This is a digital copy of a book that was preserved for generations on library shelves before it was carefully scanned by Google as part of a project to make the world's books discoverable online.

It has survived long enough for the copyright to expire and the book to enter the public domain. A public domain book is one that was never subject to copyright or whose legal copyright term has expired. Whether a book is in the public domain may vary country to country. Public domain books are our gateways to the past, representing a wealth of history, culture and knowledge that's often difficult to discover.

Marks, notations and other marginalia present in the original volume will appear in this file - a reminder of this book's long journey from the publisher to a library and finally to you.

Usage guidelines

Google is proud to partner with libraries to digitize public domain materials and make them widely accessible. Public domain books belong to the public and we are merely their custodians. Nevertheless, this work is expensive, so in order to keep providing this resource, we have taken steps to prevent abuse by commercial parties, including placing technical restrictions on automated querying.

We also ask that you:

+ *Make non-commercial use of the files* We designed Google Book Search for use by individuals, and we request that you use these files for personal, non-commercial purposes.

+ *Refrain from automated querying* Do not send automated queries of any sort to Google's system: If you are conducting research on machine translation, optical character recognition or other areas where access to a large amount of text is helpful, please contact us. We encourage the use of public domain materials for these purposes and may be able to help.

+ *Maintain attribution* The Google "watermark" you see on each file is essential for informing people about this project and helping them find additional materials through Google Book Search. Please do not remove it.

+ *Keep it legal* Whatever your use, remember that you are responsible for ensuring that what you are doing is legal. Do not assume that just because we believe a book is in the public domain for users in the United States, that the work is also in the public domain for users in other countries. Whether a book is still in copyright varies from country to country, and we can't offer guidance on whether any specific use of any specific book is allowed. Please do not assume that a book's appearance in Google Book Search means it can be used in any manner anywhere in the world. Copyright infringement liability can be quite severe.

About Google Book Search

Google's mission is to organize the world's information and to make it universally accessible and useful. Google Book Search helps readers discover the world's books while helping authors and publishers reach new audiences. You can search through the full text of this book on the web at `http://books.google.com/`

ANDOVER-HARVARD THEOLOGICAL LIBRARY
MDCCCCX
CAMBRIDGE, MASSACHUSETTS

IAE

IOR,

IAE

CORPUS
SCRIPTORUM HISTORIAE
BYZANTINAE.

EDITIO EMENDATIOR ET COPIOSIOR,

CONSILIO

B. G. NIEBUHRII C. F.

INSTITUTA,

AUCTORITATE

ACADEMIAE LITTERARUM REGIAE
BORUSSICAE

CONTINUATA.

PARS II.

PROCOPIUS.

VOLUMEN II.

BONNAE

IMPENSIS ED. WEBERI

MDCCCXXXIII.

PROCOPIUS

EX RECENSIONE

GUILIELMI DINDORFII.

VOL. II.

BONNAE
IMPENSIS ED. WEBERI
MDCCCXXXIII.

Y42.8
CORPUS
PROCOPIUS
V. 2

ΠΡΟΚΟΠΙΟΥ ΚΑΙΣΑΡΕΩΣ

ΙΣΤΟΡΙΑΙ.

H 165
P 307
V 1

ΠΡΟΚΟΠΙΟΥ ΚΑΙΣΑΡΕΩΣ
ΙΣΤΟΡΙΩΝ ΤΗΣ Β' ΤΕΤΡΑΔΟΣ Η Α'.

ΙΣΤΟΡΙΩΝ — Η Α'.] ΤΗΣ ΔΕΥΤΕΡΑΣ ΤΕΤΡΑΔΟΣ ΤΩΝ ΚΑΤ' ΑΥΤΟΝ ΙΣΤΟΡΙΩΝ ΒΙΒΛ. Α'. P. Ἱστορία τῶν γοτθικῶν πολέμων, οὓς διὰ βελισαρίου στρατηγοῦ Ἰουστινιανὸς βασιλεὺς συνεστήσατο ἐν τέσσαρσι τόμοις διηρημένη. ἀρχὴ τοῦ πρώτου τόμου L.

PROCOPII CAESARIENSIS
HISTORIARUM TETRADIS II.
LIBER I.

ARGUMENTUM.
EX EDITIONE MALTRETI.

Byzantii Zeno imperat, in Occidente Augustulus. Oreste huius patre occiso, regnat Odoacer. Theodericus Gotthorum Rex e Thracia in Italiam migrat, Zenonis impulsu. Ravennam, cuius situs describitur, obsidet. Odoacrum e medio tollit. Potitus Italia, subditis cum laude praeest. In ferculo videre sibi visus caput Symmachi, quem cum Boëtio inique occiderat; territus ac lugens moritur. (Cap. 1.) *Theoderici successor Atalaricus puer a matre Amalasuntha, laudatissima femina, praeceptoribus traditur, literis imbuendus. Earum osores Gotthi, Reginam vituperant. Ipsius constantia, et in difflanda conspiratione prudentia.* (2.) *Theodati genus, mores, consilium. Missi Byzantio Legati ad Rom. Pontificem. Procopii de religione iudicium. Aegrotante Atalarico, sibi timens a Gothis Amalasuntha cum Alexandro de Italia Iustiniano dedenda clanculum agit; dum in speciem expostulatoriae utrinque literae commeant. Byzantium Legati redeunt. Imperator Petrum in Italiam destinat.* (3.) *Amalasuntha Theodati rapacitatem coercet. Eumdem, Atalarico mortuo, studet sibi conciliare, et ad regnum vocat. In carcerem mittitur ab ingratissimo Rege, cui Petrus Iustiniani Legatus, post Amalasunthae caedem, bellum denuntiat.* (4.) *Iustinianus bellum Gotthicum suscipit. Mundum in Dalmatiam, Belisarium cum classe in Siciliam mittit. Ad Francorum Principes scribit. Mundus Salonas capit. Belisarius universa Sicilia potitus, Consulatum suum munificentia claudit.* (5.) *Theodatus cum Petro Iustiniani Legato paciscitur. Eiusdem demissio animi lepido expressa col-*

loquio. Theodati et Iustiniani mutuae literae. (6.) *Mundi filiique eius interitum praedixisse Sibylla creditur. Theodatus fidem fallit, et Imperatoris Legatos male accipit. De Legationum iure colloquium. Iustiniani ad Gotthorum Optimates epistola. Ab eo missus cum exercitu Constantianus Dalmatiam recipit. Exit annus belli Gotthici primus.* (7.) *Ingressus Italiam Belisarius, Ebrimirum Theodati generum in fidem recipit. Neapolin obsidet. Incoeptum hoc dissuadenti Stephano civi Neapolitano respondet. Initum a civibus deditionis faciendae consilium Pastor et Asclepiodotus oratione sua evertunt.* (8.) *Theodatus Gotthorum Rex futurum belli exitum prodigio discit. Belisarii in Neapolitanos conatus irriti. Via, qua urbs capi poterat, cognita et occulte munita, ad deditionem invitat, expugnationum mala commemorans.* (9.) *Belisarius in urbem Neapolin parat irrumpere: suos tandem per aquaeductum immittit. Urbis captae clades. Belisarius ad clementiam hortatur exercitum. Repentinus Pastoris obitus. Stephani et Asclepiodoti convitia mutua. Asclepiodotum populus in frusta concidit.* (10.) *Gotthorum Rex creatus Vitigis, de medio Theodatum tollit. Eius ad Gotthos oratio de prudenti cunctatione et belli apparatu. Relicto Romae praesidio, Ravennam concedit. Matasunthan Amalasunthae filiam uxorem ducit.* (11.) *Aliquarum Orbis partium descriptio. Veteres Francorum sedes. Visigotthorum ditio. Arborychi et Franci in unam gentem coalescunt. Visigotthi omnem Galliam obtinent. Franci cum Theoderico Italiae Rege foedus ineunt: Burgundiones vincunt: Alaricum Visigotthorum Regem occidunt. Carcassonem obsident frustra. Theoderici res gestae in Gallia. Theudis tyrannus.* (12.) *Franci Theringos et Burgundiones debellant. Sororem Regis Francorum Amalaricus uxorem ducit: cum Atalarico paciscitur: a Francis in proelio vita spoliatur. Theodati cum Francis pacta conventa: de quibus implendis orationem Vitigis ad suos habet. Cum Francorum Regibus societatem pangit.* (13.) *Belisarius relicto Neapoli et Cumis praesidio, Romam petit. Dedunt se Romani. Viae Appiae descriptio. Gotthi Roma excedunt. Eam ingreditur Belisarius, et ad obsidionem ferendam necessaria parat.* (14.) *Partem Samnii recipit Belisarius. Beneventum cur olim dictum Maleventum. Eius conditor Diomedes, stupendos apri Calydonii dentes ibi reposuit. Ibidem Aeneae dedit Palladium Troianum, cuius imago describitur: item sinus Ionius, Magna Graecia, aliaeque partes Italiae.* (15.) *Belisarius copias in Tusciam mittit. Narniam Bessas recipit; Spoletium et Perusiam Constantinus. Huius victoria. Vitigis, exercitu in Dalmatiam misso, Romam properat. Gotthi Salonas obsident.* (16.) *Belisarius Constantinum ac Bessam e Tuscia Romam revocat. Narniae situs. Vitigis Romam accedit. Pontem Belisarius munit. Fuga custodum pontis.* (17.) *In acerrimo praelio Belisarius, equo Bala invectus, rem fortiter ac feliciter gerit. Fugati Gotthi, Romanos fugant. Redintegratur praelium. Belisarius ad muros se recipit: iterum Gotthos fundit. Visandi Gotthi casus mirabilis. Vitigis cives Romanos ad defectionem sollicitat.* (18.) *Castra septem faciunt Gotthi: urbis aquaeductus incidunt; excitatas a Belisario moletrinas evertunt. Eas reparat Belisarius.* (19.) *Victoria Belisario puerorum ludo portenditur. Obsidionem cives Romani impatienter ferunt. Legatos mittit Vitigis ad Belisarium. Mutuae orationes.* (20.) *Vitigis ad oppugnationem inferendam se comparat. Arietis, balistae, et lupi, machinarum bellicarum descriptio.* (21.) *Belisarius admotas ab hostibus machinas ridet. Illius in sagittis mittendis dexteritas mira. Vitigis a porta Salaria ad Praenestinam se confert. Moles Adriani acriter oppugnata, acrius propugnatur.* (22.) *Conatus Gotthorum irriti. Muri Romani pars in D. Petri tutela. Tormenti ictus mirabilis. Ad Vivarium et portam Salariam ingens Gotthorum strages.* (23.) *Belisarii ad Iustinianum August. epistola. Ominosus lapsus imaginis Theoderici Gottho-*

rum Regis. Oraculum Sibyllinum. (24) *Belisarius inutilem multitudinem amandat in Campaniam: Silverium Papam in Graeciam relegat: Vigilium ad Pontificatum provehit: et custodiis providet. Templum Iani conantur quidam recludere.* (25.) *Vitigis Senatores obsides necat. Portum occupat. Belisarius ab urbe Ostia commeatus difficulter accipit.* (26.) *Copias accipit Belisarius: praeliis fatigat hostes, ac ter vincit. Frustra illum conatur Vitigis imitari. Discrimen inter Gothorum et Rom. copias.* (27.) *Ad Romanos, poscentes praelium, oratio Belisarii. Idem exercitum instruit ad equestre certamen. Oratione principii inductus, pedites in aciem admittit.* (28.) *Vitigis Gothos hortatur ad praelium. Romani initio victores, postmodum profligantur.* (29.)

α'. Τὰ μὲν οὖν ἐν Λιβύῃ πράγματα τῇδε Ῥωμαίοις ἐχώρησεν. ἐγὼ δὲ ἐπὶ πόλεμον τὸν Γοτθικὸν εἶμι, ἐπειπὼν πρότερον ὅσα
P 308 Γότθοις τε καὶ Ἰταλιώταις πρὸ τοῦδε τοῦ πολέμου γενέσθαι ξυνέβη. ἐπὶ Ζήνωνος ἐν Βυζαντίῳ βασιλεύοντος Αὔγουστος εἶχε τὸ ἑσπέριον κράτος, ὃν καὶ Αὐγουστύλον ὑποκοριζόμενοι ἐκά- 5
λουν Ῥωμαῖοι, ὅτι δὴ μειράκιον ὢν ἔτι τὴν βασιλείαν παρέλαβεν, ἦν οἱ Ὀρέστης ὁ πατὴρ διῳκεῖτο ξυνετώτατος ὤν. ἐτύγχανον δὲ Ῥωμαῖοι χρόνῳ τινὶ πρότερον Σκίρρους τε καὶ Ἀλανοὺς καὶ ἄλλα ἄττα Γοτθικὰ ἔθνη ἐς ξυμμαχίαν ἐπαγαγόμενοι· ἐξ οὗ δὴ αὐτοῖς πρός τε Ἀλαρίχου καὶ Ἀττίλα συνηνέχθη παθεῖν ἅπερ μοι ἐν τοῖς 10
B ἔμπροσθεν λόγοις ἐρρήθη. ὅσῳ τε τὰ τῶν βαρβάρων ἐν αὐτοῖς ἠκμαζε, τοσούτῳ τὸ τῶν Ῥωμαίων στρατιωτῶν ἀξίωμα ἤδη ὑπέλῃγε καὶ τῷ εὐπρεπεῖ τῆς ξυμμαχίας ὀνόματι πρὸς τῶν ἐπηλύδων τυραννούμενοι ἐβιάζοντο· ὥστε αὐτοὺς ἀναίδην ἄλλα τε πολλὰ
V 2 οὔ τι ἑκουσίους ἠνάγκαζον καὶ τελευτῶντες ξύμπαντας πρὸς αὐ- 15
τοὺς νείμασθαι τοὺς ἐπὶ τῆς Ἰταλίας ἀγροὺς ἠξίουν. ὧν δὴ τὸ τριτημόριον σφίσι διδόναι τὸν Ὀρέστην ἐκέλευον, ταῦτά τε ποιήσειν αὐτὸν ὡς ἥκιστα ὁμολογοῦντα εὐθὺς ἔκτειναν. ἦν δέ τις ἐν αὐτοῖς Ὀδόακρος ὄνομα, ἐς τοὺς βασιλέως δορυφόρους τελῶν,

1. Τὰ μὲν — εἶμι] Haec postremis superioris libri verbis adiungunt AHL. *ibid.* τῇδε] ταύτῃ Lm. 2. ἐπειπὼν] ὑπειπὼν? 3. τε om. L. 5. Αὐγουστύλον] Αὐγουστοῦλον P. 10. Ἀττίλα Grotius et Maltretus. Libri Ἀντάλα. 11. ὅσῳ Scaliger. Libri ὅτε. 12. „ὑπέλῃγε] ὑπήλυγε Reg." MALT. Sic LHm.

1. Ita quidem in Africa processit Romana res: ego vero ad bellum Gothicum venio, praevia rerum narratione, quae ante illud Gotthis et Italis contigerunt. Uno tempore, Byzantii Zeno, in Occidente imperavit Augustus, quem Romani, diminuto blande vocabulo, appellaverunt Augustulum; propterea quod Imperium susceperat adolescentulus. Id vero Orestes ipsius pater, singulari prudentia vir, administravit. Aliquanto ante Romani Scirros, Alanos, et alias quasdam gentes Gothicas in societatem asciverant; ex quo illas ab Alarico Attilaque clades acceperant, quas in superioribus libris descripsi. Sed quantum et fortunae et dignitatis addebant militiae Barbarae, tantum Romanae detrahebant subque honesto foederis nomine ab extraneis tyrannice opprimebantur. Horum certe impudentia eo crevit, ut post alia multa ab invitis expressa, demum agros omnes Italiae dividere inter se voluerint, et cum tertiam eorum partem ab Oreste exigerent, abnuentem eum illico vita spoliarint. Inter ipsos quidam erat, Odoacer nomine, Protector Caesarianus: qui tunc, si illo-

οἷς αὐτὸς τότε ποιήσειν τὰ ἐπαγγελλόμενα ὡμολόγησεν, ἥνπερ αὐτὸν ἐπὶ τῆς ἀρχῆς καταστήσωνται. οὕτω τὴν τυραννίδα παραλαβὼν ἄλλο μὲν οὐδὲν τὸν βασιλέα κακὸν ἔδρασεν, ἐν ἰδιώτου C δὲ λόγῳ βιοτεύειν τὸ λοιπὸν εἴασε. καὶ τοῖς βαρβάροις τὸ τριτημόριον τῶν ἀγρῶν παρασχόμενος τούτῳ τε τῷ τρόπῳ αὐτοὺς βεβαιότατα ἑταιρισάμενος τὴν τυραννίδα ἐς ἔτη ἐκρατύνετο δέκα.

Ὑπὸ δὲ τοὺς αὐτοὺς χρόνους καὶ Γότθοι, οἳ ἐπὶ Θρᾴκης δόντος βασιλέως κατῴκηντο, ὅπλα ἐπὶ Ῥωμαίοις, Θευδερίχου σφίσιν ἡγουμένου, ἀντῆραν, ἀνδρὸς πατρικίου τε καὶ ἐς τὸν ὑπάτων δίφρον ἀναβεβηκότος ἐν Βυζαντίῳ. Ζήνων δὲ βασιλεὺς, τὰ παρόντα εὖ τίθεσθαι ἐπιστάμενος, Θευδερίχῳ παρῆνει ἐς Ἰταλίαν πορεύεσθαι καὶ Ὀδοάκρῳ ἐς χεῖρας ἰόντι τὴν ἑσπερίαν ἐπι- D κράτησιν αὐτῷ τε καὶ Γότθοις πορίζεσθαι. ἄμεινον γάρ οἱ εἶναι, ἄλλως τε καὶ ἐπ' ἀξίωμα βουλῆς ἥκοντι, τύραννον βιασαμένῳ Ῥωμαίων τε καὶ Ἰταλιωτῶν ἄρχειν ἁπάντων ἢ βασιλεῖ διαμαχομένῳ ἐς τόσον κινδύνου ἰέναι. Θευδέριχος δὲ ἡσθεὶς τῇ ὑποθήκῃ ἐς Ἰταλίαν ᾔει, καὶ αὐτῷ ὁ τῶν Γότθων λεὼς εἵπετο, παῖδάς τε καὶ γυναῖκας ἐν ταῖς ἁμάξαις ἐνθέμενοι καὶ τὰ ἔπιπλα ὅσα φέρειν οἷοί τε ἦσαν. ἐπειδή τε κόλπου ἄγχιστα τοῦ Ἰονίου ἐγένοντο, διαπορθμεύεσθαι, νηῶν σφίσιν οὐ παρουσῶν, ἥκιστα εἶχον· περιόντες δὲ τὴν τοῦ κόλπου περίοδον πρόσω ἐχώρουν διά τε

1. *οἷς αὐτὸς*] ὃς *αὐτοῖς* Grotius. 2. *τὴν*] *τε* L. *τὲ καὶ* H: *τὴν* Hm. 4. *βιοτεύειν* L corr. *βιωτεύειν* P. *ibid. εἶασε* L. *εἴασεν* P. 12. *ἐς χεῖρας*] *εἰς χεῖρας* L. 17. *ᾔει* LHm. *ἤκει* P. 18. *ἔκπλα*] *ἐπίπλα* L. 21. *περιόντες*] *περιόντες* L.

rum opera principatum consequeretur, se voti compotes facturum recepit. Qua via arrepta tyrannide, Imperatori nihil praeterea mali intulit, vivere privatum sinens; tertiaque agrorum parte concessa Barbaris, eos sibi devinxit penitus, ac tyrannidem per annos decem firmavit.

Sub idem tempus Gotthi, qui Imperatoris permissu Thraciam incolebant, in Romanos rebellavere, duce Theoderico, qui vir erat Patricius, et Byzantii sellam Consularem ascenderat. At Zeno Aug. rationem optimam e re nata inire callens, Theoderico suasit, ut Italiam peteret, et, cum Odoacro collata manu, sibi Gotthisque Imperium Occidentis pararet: cum esset convenientius, praesertim Senatori, tyrannum exigere, et Romanis atque Italis praeesse omnibus, quam armis cum Imperatore contendere, et in tantum venire discrimen. Eo delectatus consilio Theodericus, in Italiam proficiscitur. Gotthi se comites adiunxerunt, parvulis foeminisque in plaustra impositis cum supellectili, quantacunque deferri potuit. Ubi ventum est ad sinum Ionium, quoniam traicere nequibant, defecti navibus, illum circumeundo, per Taulantiorum aliorumque eius

Ταυλαντίων καὶ τῶν ταύτῃ ἐθνῶν. τούτοις δὲ οἱ ἀμφὶ Ὀδόα-
P 309 *κρον ὑπαντιάσαντες μάχαις τε ἠσσηθέντες πολλαῖς ἔν τε Ῥαβέννῃ*
σὺν τῷ ἡγεμόνι σφᾶς αὐτοὺς εἶρξαν καὶ ἐν τοῖς μάλιστα τῶν ἄλ-
λων χωρίων ἰσχυροῖς οὖσι. καθεστηκότες δὲ ἐς πολιορκίαν οἱ
Γότθοι τὰ μὲν ἄλλα χωρία ξύμπαντα τρόπῳ δὴ ὅτῳ ἑκάστῳ τε-
H 166 *τύχηκεν εἷλον, Καισήναν δὲ τὸ φρούριον, ὅπερ σταδίοις τριακο-*
σίοις Ῥαβέννης διέχει, Ῥάβεννάν τε αὐτὴν, ἔνθα καὶ Ὀδόακρον
συμπέπτωκεν εἶναι, οὔτε ὁμολογίᾳ οὔτε βίᾳ ἑλεῖν ἴσχυον. Ῥά-
βεννα γὰρ αὕτη ἐν πεδίῳ μὲν κεῖται ὑπτίῳ, ἐς τοῦ Ἰονίου κόλ-
B *που τὰ ἔσχατα, δυοῖν σταδίοιν διειργομένη μέτρῳ τὸ μὴ ἐπι-*
θαλάσσιος εἶναι, οὐκ εὐέφοδος δὲ οὔτε ναυσὶν οὔτε πεζῶν στρα-
τῷ φαίνεται οὖσα. αἵ τε γὰρ νῆες καταίρειν ἐς τὴν ἐκείνῃ ἀκτὴν
ἥκιστα ἔχουσιν, ἐπεὶ αὐτῇ ἡ θάλασσα ἐμπόδιός ἐστι βράχος
ποιουμένη οὐχ ἧσσον ἢ κατὰ σταδίους τριάκοντα, καὶ ἀπ' αὐτοῦ
τὴν ἠόνα ταύτην, καίπερ τοῖς πλέουσιν ἄγχιστα ὁρωμένην, τῇ
τοῦ βράχους περιουσίᾳ ἑκαστάτω ξυμβαίνει εἶναι, καὶ τῷ πεζῷ
στρατῷ ἐσβατὴ οὐδαμῇ γίγνεται. Πάδος τε γὰρ ὁ ποταμὸς, ὃν
καὶ Ἠριδανὸν καλοῦσιν, ἐξ ὀρέων τῶν Κελτικῶν ταύτῃ φερόμε-
νος καὶ ποταμοὶ ἄλλοι ναυσίποροι ξὺν λίμναις τισὶ πανταχόθεν
C *αὐτὴν περιβάλλοντες ἀμφίρρυτον ποιοῦσι τὴν πόλιν. ἐνταῦθα*

1. *Ταυλαντίων* P ex Reg. et Hoeschelius ex Strabone VII. p. 326. *Ταλαντίων* LHm. *ταλαντίων* H. *Taulantiorum* Pers. 2. *μάχαις*] *μάχῃ* L: illud Lm. *ibid.* *Ῥαβέννῃ*] *ῥαβένῃ* L. 4. *ἐς*] *εἰς* L. 6. *Καισῆναν* Pm. *Caesenam* Pers. *κισίναν* HP. 10. *δυοῖν*] *δυεῖν* L. 13. *αὐτῇ*] *αὕτη* L. 15. *τὴν* add. L. *ibid.* *ἠόνα*] *ἠιόνα* P.

accolarum oras progressi sunt. Ipsis factae obviam Odoacri copiae, et multis fusae congressibus, cum suo Principe Ravennae se commiserunt, aliisque munitissimis locis: quae Gotthi cum obsedissent, pleraque varils, prout cuiusque sors tulit, cepere modis: Caesenam autem castellum, Ravenna stadiis ccc. dissitum, necnon Ravennam ipsam, ubi erat Odoacer, in potestatem suam nec vi, nec deditione redigere valuerunt. Est enim Ravenna plano in campo posita ad extremum sinum Ionium; a quo stadiis duobus distat. Neque enim maritima est, nec videtur adiri classibus facile posse, immo nec pedestribus copiis. Quippe naves ad littus illud appelli nequeunt, prohibitae brevibus, quae in mare ad xxx. saltem procurrunt stadia, ac circuitu suo longissime eos ipsos a littore summovent, qui illud habent in conspectu proxime navigantes. Pedestrem vero exercitum excludunt aquae, quibus Padus amnis, quem et Eridanum vocant, e montibus Gallicis eo decurrens, aliique fluvii, navigabiles, et lacus, urbem illam undique ambiunt. Ibi quotidie quiddam fit, sane permirum. Diluculo mare, in morem fluminis, tanto spatio, quantum expeditus viator uno die conficiat, in terram effundit sese, et naves patitur

γίγνεταί τε ἐς ἡμέραν ἑκάστην θαυμάσιον οἷον. ἡ θάλασσα πρωΐ πεισυμένη σχῆμα ποταμοῦ ἡμέρας ὁδὸν εὐζώνῳ ἀνδρὶ ἐς γῆν ἀναβαίνει καὶ πλοῖμον αὐτὴν παρεχομένη ἐν μέσῃ ἠπείρῳ, αὖθις ἀναλύουσα τὸν ποθμὸν, ἀναστρέφει ἀμφὶ δείλην ὀψίαν, καὶ ἐφ' αὐτὴν ξυνάγει τὸ ῥεῦμα. ὅσοι οὖν ἐς τὴν πόλιν ἐσκομίζειν τὰ ἐπιτήδεια ἢ ἐνθένδε ἐκφέρειν κατ' ἐμποριαν ἢ κατ' ἄλλην ἔχουσιν αἰτίαν, τὰ φορτία ἐν τοῖς πλοίοις ἐνθέμενοι, κατασπάσαντές τε αὐτὰ ἐν τῷ χωρίῳ οὗ δὴ ὁ ποθμὸς γίνεσθαι εἴωθε, προσδέχονται τὴν ἐπιρροήν. καὶ ἐπειδὰν αὖτη ἀφίκηται, τά τε πλοῖα κατὰ βραχὺ ἐκ γῆς ἐπαιρόμενα πλεῖ καὶ οἱ ἀμφὶ ναῦται ἔργον ἐχόμενοι ναυτίλλονται ἤδη. καὶ τοῦτο οὐκ ἐνταῦθα μόνον, ἀλλ' εἰς ἅπασαν τὴν ἐκείνῃ ἀκτὴν ἐς ἀεὶ γίγνεται, ἄχρι ἐς Ἀκυληίαν πόλιν. οὐ μέντοι κατὰ ταὐτὰ ἐς τὸν ἅπαντα χρόνον γίνεσθαι εἴωθεν, ἀλλ' ἡνίκα μὲν βραχὺ φαίνεται τὸ τῆς σελήνης φῶς, οὐδὲ ἡ τῆς θαλάσσης πρόοδος ἰσχυρὰ γίνεται, μετὰ δὲ τὴν πρώτην διχότομον ἄχρι ἐς τὴν ἑτέραν καρτερὰ μᾶλλον ἡ ἐπιρροὴ γίνεσθαι πέφυκε. ταῦτα μὲν οὖν ὧδέ πη ἔχει. D V 3

Ἐπεὶ δὲ τρίτον ἔτος Γότθοις τε καὶ Θευδερίχῳ Ῥάβενναν πολιορκοῦσιν ἐτέτριπτο ἤδη, οἵ τε Γότθοι ἀχθόμενοι τῇ προσεδρείᾳ καὶ οἱ ἀμφὶ Ὀδόακρον πιεζόμενοι τῶν ἀναγκαίων τῇ ἀπορίᾳ, ὑπὸ διαλλακτῇ τῷ Ῥαβέννης ἱερεῖ ἐς λόγους ἀλλήλοις ξυνίασιν, ἐφ' ᾧ Θευδερίχός τε καὶ Ὀδόακρος ἐν Ῥαβέννῃ ἐπὶ τῇ ἴσῃ P 310

8. γίνεσθαι εἴωθε (εἴωθεν P)] εἴωθε γίνεσθαι L. 11. ναυτίλλονται] ναυτίλονται H. 12. ἐκείνῃ] ἐκείνης HL. 13. γίνεσθαι L. γίγνεσθαι P. 16. ἐς τὴν] εἰς τὴν L. 19. ἀχθόμενοι] ἐχθόμενοι H.

in media continente. Vesperi traiectum, quem dedit, aufert, atque, aestu reciprocante, ad se undas reducit. Itaque quicunque res, vitae usibus accommodatas, in urbem commercii gratia aliamve ob causam inferre volunt, vel inde evehere, impositis mercibus in navigia, hisque eum in locum tractis, unde transmitti solet, accessum maris expectant. Affluente aestu, humo sensim sublatae naves feruntur, et nautae, admota iam operi manu, navigant. Quod non hic solum, sed in toto illo etiam littore ad urbem usque Aquileiam continenter fit, haud tamen semper pari modo ac ratione. Cum enim Luna minus iubar terris ostendit, tunc mitius exundat mare: at ex quo Luna medium implevit orbem, donec decrescens aequa iterum portione divisa fuerit, aestus magis fervere solet. Sed de his hactenus.

Iam annos tres Theodericus et Gotthi Ravennam circumsederant frustra, cum hinc Gotthos obsidionis taedium, inde Odoacri defensores penuria cibariorum ad hanc perpulit pactionem, cuius conciliator fuit Antistes Ravennae; ut in ea urbe Theodericus atque Odoacer ex aequo

καὶ ὁμοίᾳ διαίτῃ ἔξουσι. καὶ χρόνον μέν τινα διεσώσαντο τὰ ξυγκείμενα, μετὰ δὲ Θευδέριχος Ὀδόακρον λαβὼν, ὥς φασιν, ἐπιβουλῇ ἐς αὐτὸν χρώμενον, τρόπῳ τε δολερῷ ἐπὶ θοίνην καλέσας ἔκτεινε, καὶ ἀπ᾽ αὐτοῦ βαρβάρων τῶν πολεμίων προσποιησάμενος ὅσους περιεῖναι ξυνέπεισεν αὐτὸς ἔσχε τὸ Γότθων τε καὶ Ἰταλιωτῶν κράτος. καὶ βασιλέως μὲν τοῦ Ῥωμαίων οὔτε τοῦ σχήματος οὔτε τοῦ ὀνόματος ἐπιβατεῦσαι ἠξίωσεν, ἀλλὰ ῥῆξ τε διεβίω καλούμενος (οὕτω γὰρ σφῶν τοὺς ἡγεμόνας οἱ βάρβαροι
B καλεῖν νενομίκασι), τῶν μέντοι κατηκόων τῶν αὐτοῦ προὔστη ξύμπαντα περιβαλλόμενος ὅσα τῷ φύσει βασιλεῖ ἥρμοσται. δικαιοσύνης τε γὰρ ὑπερφυῶς ἐπεμελήσατο καὶ τοὺς νόμους ἐν τῷ βεβαίῳ διεσώσατο, ἔκ τε βαρβάρων τῶν περιοίκων ἀσφαλῶς τὴν χώραν διεφύλαξε, ξυνέσεώς τε καὶ ἀνδρείας ἐς ἄκρον ἐληλύθει ὡς μάλιστα. καὶ ἀδίκημα σχεδόν τι οὐδὲν οὔτε αὐτὸς ἐς τοὺς ἀρχομένους εἰργάζετο οὔτε τῳ ἄλλῳ τὰ τοιαῦτα ἐγκεχειρηκότι ἐπέτρεπε, πλήν γε δὴ ὅτι τῶν χωρίων τὴν μοῖραν ἐν σφίσιν αὐτοῖς
C Γότθοι ἐνείμαντο, ἅπερ Ὀδόακρος τοῖς στασιώταις τοῖς αὐτοῦ ἔδωκεν. ἦν τε ὁ Θευδέριχος λύγῳ μὲν τύραννος, ἔργῳ δὲ βασιλεὺς ἀληθὴς, τῶν ἐν ταύτῃ τῇ τιμῇ ἐξ ἀρχῆς ηὐδοκιμηκότων

10. τῷ φύσει βασιλεῖ Suidas s. v. Θευδέριχος. Legebatur τῶν φύσει βασιλέων. 12. περιοίκων] περιοικούντων Suidas. 13. ξυνέσεώς τε] γὰρ add. Suidas. ibid. ἐς] εἰς Suidas. ibid. ἐληλύθει] ἐλήλυθεν Suidas. 14. ἀδίκημα] δίκη μὴ HL: illud Scaliger cum Suida. ibid. ἐς τοὺς] εἰς τοὺς Suidas. 15. τὰ τοιαῦτα Suidas. Aberat τὰ. ibid. ἐγκεχειρηκότι Scaliger cum Suida. Libri ἐγκεχωρηκότι. 17. Γότθοι] γότθοις H. ibid. ἅπερ] οὕπερ HL. ὥνπερ Scaliger. ἧνπερ Classenus. 19. ηὐδοκιμηκότων Suidas. Vulgo εὐδοκιμηκότων.

viverent. Aliquandiu quidem mansere pacta: postea vero Theodericus, detecta, ut perhibent, fraude, quam Odoacer ipsi struebat, eum dolose ad epulas invitatum occidit. Exin Barbaris hostibus, quicunque supererant, ad se pellectis, in sua ditione Gotthos atque Italos habuit. Ac licet Romani Imperatoris nec insignia, nec nomen usurpare voluerit, sed vixerit contentus Regis appellatione, qua Barbari supremos Principes suos donare consuerunt, tamen subditis ita praefuit, ut ipsi nihil defuerit eorum, quae sunt Augustorum moribus consentanea. Nam et iustitiae cultor fuit eximius, et auctoritatis legum assertor. Provincias suas a vicinis Barbaris intactas custodiit, ad apicem provectus non prudentiae modo, verum etiam fortitudinis. Nullis fere iniuria subditos affecit ipse, neque ulli, qui talia admisisset, indulsit; nisi quod partem agrorum, quos Odoacer factioni suae concesserat, inter se Gotthi diviserunt. Verbo tyrannus fuit Theodericus, re ipsa verus Imperator, eorum nemini postponendus, qui ab ortu Imperii in illo honoris gradu excelluerunt.

οὐδενὸς ἧσσον, ἔρως τε αὐτοῦ ἔν τε Γότθοις καὶ Ἰταλιώταις πολὺς ἥκμασε, καὶ ταῦτα καὶ ἄπο τοῦ ἀνθρωπείου τρόπου. ἑτέρων γὰρ ἕτερα ἐν ταῖς πολιτείαις ἀεὶ αἱρουμένων τὴν ἐφεστῶσαν ἀρχὴν ξυμβαίνει ἀρέσκειν μὲν ἐν τῷ παραυτίκα οἷς ἂν ἐν ἡδονῇ τὰ πρασσόμενα ᾖ, λυπεῖν δὲ, ἢν τῆς γνώμης ἀπ' ἐναντίας χωρήσειεν. ἔτη δὲ ἐπιβιοὺς ἑπτὰ καὶ τριάκοντα ἐτελεύτησε, φοβερὸς μὲν τοῖς πολεμίοις γεγονὼς ἅπασι, πόθον δὲ αὐτοῦ πολύν H 167
τινα ἐς τοὺς ὑπηκόους ἀπολιπών. ἐτελεύτησε δὲ τρόπῳ τοιῷδε. D

Σύμμαχος καὶ Βοέτιος, ὁ τούτου γαμβρὸς, εὐπατρίδαι μὲν τὸ ἀνέκαθεν ἦστην, πρώτω δὲ βουλῆς τῆς Ῥωμαίων καὶ ὑπάτω ἐγενέσθην. ὕμφω τε φιλοσοφίαν ἀσκήσαντε καὶ δικαιοσύνης ἐπιμεληθέντε οὐδενὸς ἧσσον, πολλοῖς τε ἀστῶν καὶ ξένων χρήμασι τὴν ἀπορίαν ἰασαμένω καὶ δύξης ἐπὶ μέγα χωρήσαντε ἄνδρας ἐς φθόνον τοὺς πικροτάτους ἐπηγαγέτην. οἷς δὴ συνοφανοῦσι Θευδέριχος ἀναπεισθεὶς, ἅτε νεωτέροις πράγμασιν ἐγχειροῦντας, τῷ ἄνδρε τούτω ἔκτεινε καὶ τὰ χρήματα ἐς τὸ δημόσιον ἀνάγραπτα ἐποιήσατο. δειπνοῦντι δέ οἱ ὀλίγαις ἡμέραις ὕστερον ἰχθύος μεγάλου κεφαλὴν οἱ θεράποντες παρετίθεσαν. αὖτη Θευδερίχῳ ἔδοξε κεφαλὴ Συμμάχου νεοσφαγοῦς εἶναι. καὶ τοῖς μὲν ὀδοῦσιν ἐς χεῖλος τὸ κάτω ἐμπεπηγόσι, τοῖς δὲ ὀφθαλ- P 311
μοῖς βλοσυρόν τι καὶ μανικὸν ὁρῶσιν, ἀπειλοῦντί οἱ ἐπὶ πλεῖστον

1. ἧσσον] ἧσσαν Suidas. 2. ἄπο] ἀπὸ P. 3. ἕτερα] ἕτεροι H et L a pr. m. ἕτερα ab Scaligero est. 7. αὐτοῦ L corr. Vulgo αὐτοῦ. 12. ἀστῶν Grotius. Libri κἀντῶν. civium Pers. Maltretus πολλοῖς τε αὐτῶν in πολιτῶν τε mutavit. 14. δὴ om. L.

Illum Itali iuxta ac Gotthi amabant plurimum, contra humani morem ingenii. Nam cum in rerum administratione civilium alius aliud optare soleat, qui cum potestate est, continuo quidem placet quibus, quae agit, iucunda accidunt, ac illis displicet, quorum votis adversatur. Cum superstes annos XXXVII. fuisset, hostibusque omnibus formidabilis, ex vita discessit, magnum sui desiderium relinquens subditis. Sic autem illius obitus contigit.

Symmachus, eiusque gener Boëtius, nobilissimo loco nati, iidemque viri Consulares, in Senatu eminebant. A Philosophia nemo illis erat instructior, nemo studiosior aequitatis. Accedebat benignitas, qua inopiam cum civium tum peregrinorum levabant. Hinc magnam adepti gloriam, sibi invidiam cumularunt apud homines acerbissimos: quorum calumniis inductus Theodericus, ambos studii novarum rerum insimulatos morte affecit, eorumque bona publicavit. Paucis post diebus coenanti ipsi, cum piscis grandioris caput ministri apposuissent, visum est id Symmachi caput esse, recens obtruncati: quod dentibus inferiori labro impressis, et oculis torve truculenterque tuentibus, graviter minantis haberet spe-

ἐώκει. περιδεὴς δὲ τοῦ τέρατος τῷ ὑπερβάλλοντι γεγονὼς καὶ ῥιγώσας ἐπόπως ἐς κοίτην τὴν αὐτοῦ ἀπεχώρησε δρόμῳ, τριβώνιά τε πολλὰ οἱ ἐπιθεῖναι κελεύσας ἠσύχαζε. μετὰ δὲ ἅπαντα ἐς Ἐλπίδιον τὸν ἰατρὸν τὰ ξυμπεσόντα ἐξενεγκὼν τὴν ἐς Σύμμαχόν τε καὶ Βοήτιον ἁμαρτάδα ἔκλαιεν. ἀποκλαύσας δὲ καὶ περιαλγήσας τῇ συμφορᾷ οὐ πολλῷ ὕστερον ἐτελεύτησεν, ἀδίκημα
B τοῦτο πρῶτον καὶ τελευταῖον ἐς τοὺς ὑπηκόους τοὺς αὐτοῦ δράσας, ὅτι δὴ οὐ διερευνησάμενος, ὥσπερ εἰώθει, τὴν περὶ τοῖν ἀνδροῖν γνῶσιν ἤνεγκε.

V 4 β'. Τελευτήσαντός τε αὐτοῦ παρέλαβε τὴν βασιλείαν Ἀτα-
C λάριχος, ὁ Θευδερίχου θυγατριδοῦς, ὀκτὼ γεγονὼς ἔτη καὶ ὑπὸ τῇ μητρὶ Ἀμαλασούνθῃ τρεφόμενος. ὁ γὰρ οἱ πατὴρ ἤδη ἐξ ἀνθρώπων ἠφάνιστο. χρόνῳ τε οὐ πολλῷ ὕστερον Ἰουστινιανὸς ἐν Βυζαντίῳ τὴν βασιλείαν παρέλαβεν. Ἀμαλασοῦνθα δὲ, ἅτε τοῦ παιδὸς ἐπίτροπος οὖσα, τὴν ἀρχὴν διῳκεῖτο, ξυνέσεως μὲν καὶ δικαιοσύνης ἐπὶ πλεῖστον ἐλθοῦσα, τῆς δὲ φύσεως ἐς ἄγαν τὸ ἀρρενωπὸν ἐνδεικνυμένη. ὅσον τε χρόνον τῆς πολιτείας προῦστη, οὐδένα τῶν πάντων Ῥωμαίων ἐς τὸ σῶμα ἐκόλασεν ἢ χρήμασιν ἐζημίωσεν. οὐ μὴν οὐδὲ Γότθοις ξυνεχώρησεν ἐς τὴν ἐκείνων ἀδικίαν ὀργῶσιν, ἀλλὰ καὶ τοῖς Συμμάχου τε καὶ Βοητίου παισὶ τὴν οὐσίαν ἀπέδωκεν. ἡ μὲν οὖν Ἀμαλασοῦνθα τὸν

4. ἐς Ἐλπ.] εἰς ἐλπ. L. 7. αὐτοῦ L corr. Vulgo αὐτοῦ. 10. Ἀταλάριχος] ἀτάριχος L hic, ut alibi: illud Lm. 14. ἀμαλασοῦνθα L. Ἀμαλασούνθα P constanter. 17. ἐνδεικνυμένη] ἐπιδεικνυμένη Suidas s. v. Ἀμαλασοῦνθα. ibid. πολιτείας] πόλεως Suidas. 20. τε καὶ] τε om. L.

ciem. Ingenti prodigio territus, rigensque frigore extra modum, ad cubile properat, complures imponi sibi lacernas iubet, ac sub iis tenet sese: deinde exposita rei serie Elpidio medico, commissum in Symmachum ac Boëtium scelus deflevit. Id lamentatus, et animi dolore pressus, quem calamitas afferebat, paulo post obiit. In subditos haec prima fuit eademque postrema eius iniuria; quam fecit, in utrumque virum sententiam ferens, causa, praeter consuetudinem, non cognita diligenter.

2. Mortuo Theoderico, in regnum successit eius ex filia nepos Atalaricus; qui annos tum octo natus, et orbus patre, ab Amalasuntha matre educabatur: nec multo post Byzantii Iustinianus Imperium suscepit. Administrabat regnum Amalasuntha, quippe quae filii tutelam gereret, prudentia pollens, aequi servantissima, ac virilem supra modum animum ostendens. Quandiu rem tractavit publicam, nec poena corporis, nec mulcta Romanorum quemquam mulctavit: iniquam nocendi ipsis cupidinem, qua ardebant Gotthi, repressit: Symmachi ac Boëtii liberos in paterna bona restituit. Filium autem ad Romanorum principum vitam

παῖδα ἐβούλετο τοῖς Ῥωμαίων ἄρχουσι τὰ ἐς τὴν δίαιταν ὁμότροπον καταστήσασθαι καὶ φοιτᾶν ἐς γραμματιστοῦ ἤδη ἡνάγκαζε. D τρεῖς τε ἀπολεξαμένη τῶν ἐν Γότθοις γερόντων, οὕσπερ ἡπίστατο μᾶλλον ἁπάντων ξυνετούς τε καὶ ἐπιεικεῖς εἶναι, ξυνδιαιτᾶσθαι Ἀταλαρίχῳ ἐκέλευε. Γότθοις δὲ ταῦτα οὐδαμῇ ἤρεσκε. τῇ γὰρ ἐς τοὺς ὑπηκόους ἀδικίας ἐπιθυμίᾳ βαρβαρικώτερον πρὸς αὐτοῦ ἄγεσθαι ἤθελον. καί ποτε ἡ μὲν μήτηρ ἁμαρτάνοντά τι ἐν τῷ κοιτῶνι τὸν παῖδα λαβοῦσα ἐρράπισε, καὶ ὃς δεδακρυμένος ἐς τὴν ἀνδρωνῖτιν ἐνθένδε ἀπῆλθε. Γότθοι δὲ αὐτῷ ἐντυχόντες δεινὰ ἐποιοῦντο καὶ τῇ Ἀμαλασούνθῃ λοιδορούμενοι ἰσχυρίζοντο βούλεσθαι αὐτὴν τὸν παῖδα ἐξ ἀνθρώπων ἀφανιεῖν ὅτι P 312 τάχιστα, ὅπως αὐτὴ ἑτέρῳ ἀνδρὶ ἐς κοίτην ἐλθοῦσα Γότθων τε καὶ Ἰταλιωτῶν ξὺν αὐτῷ ἄρχοι. ξυλλεγέντες τε, ὅσοι δὴ ἐν αὐτοῖς λόγιμοι ἦσαν καὶ παρὰ τὴν Ἀμαλασοῦνθαν ἐλθόντες ᾐτιῶντο οὐκ ὀρθῶς σφίσιν οὐδὲ ᾗ ξυμφέρει τὸν βασιλέα παιδεύεσθαι. γράμματά τε γὰρ παρὰ πολὺ κεχωρίσθαι ἀνδρείας καὶ διδασκαλίας γερόντων ἀνθρώπων ἐς τὸ δειλὸν καὶ τὸ ταπεινὸν ἀποκρίνεσθαι ἐκ τοῦ ἐπὶ πλεῖστον. δεῖν τοίνυν τὸν ἔν τινι ἔργῳ τολμητήν τε καὶ δόξῃ μέγαν ἐσόμενον φόβου τοῦ ἐκ διδασκάλων ἀπαλλαγέντα τὰς

5. ἐκέλευε] ἐκέλευσε Suidas. *ibid.* δὲ addidi ex Suida. 6. ὑπηκόους] ἐκηκόους L. 7. ἄγεσθαι] ἄρχεσθαι Suidas. *ibid.* μὲν om. Suidas. 9. τὴν ἀνδρωνῖτιν Reg. et Suidas. τὴν ἀνδρωνίτιδα P. τὸν ἀνδρωνίτην HL. 11. βούλεσθαι] γε add. Suidas. 13. ἐν om. L. 15. οὐδὲ ᾗ P cum Scaligero. οὐδέει HL. οὐδέ οἱ Suidas. 15. ξυμφέρει τὸν βασιλέα] τὸν βασιλέα ξυμφέρει HL. ξυμφέρει om. Suidas. 16. παρὰ om. Suidas. *ibid.* κεχωρίσθαι Suidas. κεχώρισται P. *ibid.* ἀνδρείας] ἀνδρίας Suidas. *ibid.* διδασκαλίας Suidas. διδασκαλία P. 17. ἐς τὸ] ἔς τε Suidas. *ibid.* ἀποκρίνεσθαι Suidas. ἀποκρίνεται P.

et mores institui voluit, adegitque ludum literarium frequentare. Eumdem ad tres viros applicuit, e senibus Gotthis delectos, quos omnium intelligentissimos noverat. Haec Gotthis minime placebant, more magis barbaro gubernari volentibus ab Atalarico, quo licentius iniurias imponerent subditis. Aliquando mater, cum in cubiculo peccantem aliquid deprehendisset, colaphum illi infregit: is vero flens, se inde proripuit in andronitidem. Tum Gotthi, in quos incidit, excandescere, in Amalasuntham convitia iacere, et affirmare eo spectare eius consilia, ut morte quamprimum deleret filium, et alteri viro nupta, cum eo Gotthis atque Italis imperaret. Subinde collecti spectatissimi quique, Amalasuntham adeunt, et queruntur, nec honeste Regem, nec commode sibi educari: literas a fortitudine longe esse disiunctas, traditamque a senibus institutionem in timiditatem et animi humilitatem plerumque verti: itaque oportere, ut in re bellica futurus animosus gloriaque insignis, amoto docto-

B ἐν τοῖς ὅπλοις μελέτας ποιεῖσθαι. Ἔλεγον δὲ ὡς οὐδὲ Θευδέριχός
ποτε Γότθων τινὰς τοὺς παῖδας ἐς γραμματιστοῦ πέμπειν ἠξίη.
λέγειν γὰρ ἅπασιν ὡς, ἥνπερ αὐτοῖς τὸ ἀπὸ τοῦ σκύτους ἐπι-
γέγνηται δέος, οὐ μήποτε ξίφους ἢ δορατίου ὑπερφρονεῖν ἀξιώ-
σουσιν. ἐννοεῖν τε αὐτὴν ἐδικαίουν ὡς ἄρα οἱ Θευδέριχος χώ- 5
ρας τε τοσαύτης κύριος γεγονὼς καὶ βασιλείαν οὐδαμόθεν αὐτῷ
προσήκουσαν περιβαλλόμενος τελευτήσειε, καίπερ περὶ γραμμά-
των οὐδὲ ὅσον ἀκοὴν ἔχων. οἰκοῦν, ὦ δέσποινα, ἔφασαν, παι-
δαγωγοὺς μὲν τούτους χαίρειν ταύῦν ἔα, σὺ δὲ Ἀταλαρίχῳ ὁμο-
C διαίτους ἡλικάς τινας δίδου, οἵπερ αὐτῷ τὰ ἐς τὴν ἡλικίαν ξυν- 10
ακμάζοντες ἐς τὴν ἀρχὴν κατά γε τὸν βάρβαρον νόμον ὁρμήσουσι.

H 168 Ταῦτα ἐπειδὴ ἤκουσεν Ἀμαλασοῦνθα, οὐκ ἐπῄνεσε μὲν,
δείσασα δὲ τὴν τῶν ἀνθρώπων ἐπιβουλὴν δόκησίν τε παρείχετο
ὡς πρὸς ἡδονῆς αὐτῇ οἱ λόγοι ἐγένοντο, καὶ ξυνεχώρει ἅπαντα 15
ὅσων οἱ βάρβαροι αὐτῆς ἔχρῃζον. τῶν τε γερόντων Ἀταλάριχον
ἐκλελοιπότων παῖδες αὐτῷ τινες ξυνῆσαν κοινωνοὶ τῆς διαίτης
ἐσόμενοι, οὔπω μὲν ἡβηκότες, χρόνῳ δὲ οὐ πολλῷ προτερεύον-
τες, οἵπερ αὐτὸν, ἐπειδὴ τάχιστα ἐς ἥβην ἦλθεν, ἔς τε μέθην
D καὶ γυναικῶν μίξεις παρακαλοῦντες, κακοήθη τε διαφερόντως 20
εἶναι καὶ τῇ μητρὶ ὑπὸ ἀβελτερίας ἀπειθέστερον κατεστήσαντο.

3. ἦν] ἄν Suidas. 4. ξίφους] ξίφει HL: illud Hm. 7. καίπερ Pm et Scaliger. Vulgo καὶ. 9. ταῦν om. Suidas. ibid. ὁμοδιαίτους] παῖδας ὁμοδιαίτους Suidas. 10. αὐτῷ] αὐτὸν Suidas. 11. ἀρχὴν] ἀρετὴν Suidas. 13. ἐπῄνεσε] ἐπένευσε Suidas. 14. τῶν ἀνθρώπων] ἐξ αὐτῶν Suidas. ibid. ἐπιβουλὴν] βουλὴν L. 21. ἀβελτερίας] Vulgo ἀβελτηρίας.

rum metu, armis exerceatur. Theodericum allegant, nunquam passum Gotthorum liberos ad ludi magistros mitti; cum diceret omnibus, eos nunquam hastam aut gladium despecturos mente intrepida, si scuticam tremuissent. Subiiciunt debere ipsam reputare cum animo, ereptum sibi fato Theodericum, postquam tot potitus provinciis, regnumque alienum adeptus esset; quamvis literas ne tantillum quidem auribus admisisset. *Ergo*, inquiunt, *hos, domina, paedagogos in praesens valere iube, et Atalarico convictores aliquot aequales adhibe, qui aetate cum ipso florentes, ad generose et more Barbaro regnandum impellant.*

Quae cum audisset Amalasuntha, etsi parum probabat, tamen verita ne quid Barbari moverent, sibi, quae dixissent, grata accidere simulavit, et quidquid postulabant, concessit. Amotis ab Atalarici latere senibus, aggregantur in ipsius convictum pueri nondum puberes, nec longe aetate eum praecurrentes. Simul ut pubertatem attigit, eorum impulsu praeceps in temulentiam et foeminarum concubitus, evasit insigniter nequam, atque in matrem cum tanta vecordia contumax, ut de illa nil laboraret;

ὥστε οὐδὲ μεταποιεῖσθαι αὐτῆς τὸ παράπαν ἠξίου, καίπερ τῶν βαρβάρων ἐκ τοῦ ἐμφανοῦς ἐπ' αὐτὴν ἤδη ξυνισταμένων, οἵ γε καὶ τῶν βασιλείων ἀναχωρεῖν τὴν ἄνθρωπον ἀνέδην ἐκέλευον. V 5
Ἀμαλασοῦνθα δὲ οὔτε κατωρρώδησε τὴν τῶν Γότθων ἐπιβουλὴν οὔτε οἷα γυνὴ ἐμαλακίσθη, ἀλλ' ἔτι τὸ βασιλικὸν ἀξίωμα ἐνδεικνυμένη, τρεῖς ἀπολέξασα τοὺς ἐν τοῖς βαρβάροις λογιμωτάτους τε καὶ αὐτῇ αἰτιωτάτους τῆς στάσεως, ἐκέλευεν ἐς τὰς τῆς Ἰταλίας ἐσχατιὰς ἰέναι, οὐχ ἅμα μέντοι, ἀλλ' ὡς πορρωτάτω ἀλλήλων· τῷ δὲ λόγῳ ἐστέλλοντο, ἐφ' ᾧ τὴν χώραν φυλάξουσιν ἐκ τῆς τῶν πολεμίων ἐφόδου. ἀλλ' οὐδέν τι ἧσσον οἱ ἄνδρες οὗτοι διά τε τῶν φίλων καὶ τῶν ξυγγενῶν ξυνῆισαν, καίπερ μακρὰν ὁδὸν πορευόμενοι ἐς αὐτοὺς ἅπαντες, καὶ Ἀμαλασούνθῃ τὰ ἐς τὴν ἐπιβουλὴν ἐξηρτύοντο. ἅπερ οὐκέτι φέρειν ἡ γυνὴ οἵα τε P 313
οὖσα ἐπενόει τοιάδε. πέμψασα ἐς Βυζάντιον Ἰουστινιανοῦ βασιλέως ἀνεπυνθάνετο εἴπερ αὐτῷ βουλομένῳ εἴη Ἀμαλασοῦνθαν τὴν Θευδερίχου παρ' αὐτὸν ἥκειν. βούλεσθαι γὰρ αὐτὴν ἐξ Ἰταλίας ἀπαλλάσσεσθαι ὅτι τάχιστα. βασιλεύς τε τῷ λόγῳ ἡσθεὶς ἐλθεῖν τε τὴν γυναῖκα ἐκέλευε καὶ τὸν ἐν Ἐπιδάμνῳ οἶκον τὸν κάλλιστον ἐν παρασκευῇ ἐπέστελλε γενέσθαι, εἰς ὅπερ ἐπειδὴν Ἀμαλασοῦνθα ἴοι, καταλύοι τε αὐτόσε, καὶ χρόνον διατρίψασα ὅσον ἂν αὐτῇ βουλομένῃ εἴη, οὕτω δὴ κομίζεται ἐς Βυζάντιον. ταῦτα ἐπεὶ Ἀμαλασοῦνθα ἔγνω, ἄνδρας ἀπολέξασα B

8. ἀνέδην] ἀναίδην L. 14. οὖσα] ἦν HL: illud Hm. 18. ἐν Ἐπιδάμνῳ] ἐν om. L: habet Lm. 19. εἰς add. Scaliger. *ibid.* ὅπερ. Scaliger. Libri ὅπερ. ὥσπερ P ex Maltreti coniectura. 20. αὐτόσε] αὐτοῦ L: αὐτόσε L corr.

quamvis iam Barbari eam aperte conspirarent, et Regia facessere impudenter iuberent. Quam Gotthorum molitionem non extimuit Amalasuntha, nec muliebriter contraxit animum; sed regiam adhuc probans auctoritatem, e Barbaris selegit tres nobilissimos, et seditionis, qua petebatur, auctores praecipuos; eosque, per causam tuendi fines ab hostium irruptione, in extremam amandavit Italiam, non simul, sed ita ut longissime inter se abessent. Nihilo hi tamen minus, amicorum et propinquorum ope, consilia communicabant, viae longinquitatem vincente internuntiorum omnium studio; et Amalasunthae perniciem parabant. Rem illa non valens ferre diutius, rationem hanc secum iniit. Byzantium misit nuntium Iustinianum Imperatorem, velletne sui adeundi potestatem facere Theoderici filiae Amalasunthae, constitutum habenti quamprimum cedere ex Italia? Quo nuntio laetus Imperator, foeminam ad se invitat, et Epidamni domum pulcherrimam parari iubet, ut, postquam Amalasuntha venerit, in ea diversetur, et inibi morata, quandiu collibitum fuerit, Byzantium petat. Certior de his facta Amalasuntha, delectis inter Got-

Γότθους, δραστηρίους τε καὶ αὐτῇ ἐς τὰ μάλιστα ἐπιτηδείους, ἔστελλεν ἐφ' ᾧ τοὺς τρεῖς ἀποκτενοῦσιν, ὧν ἄρτι ἐμνήσθην, ἅτε τῆς στάσεως αἰτιωτάτους αὐτῇ γενομένους. αὐτὴ δὲ ἄλλα τε χρήματα καὶ τετρακόσια χρυσοῦ κεντηνάρια ἐν νηὶ μιᾷ ἐνθεμένη, ἐς ταύτην τε ἐμβιβάσασα τῶν εὐπιστοτάτων τινὰς, πλεῖν μὲν ἐκέλευσεν εἰς Ἐπίδαμνον, ἀφικομένους δὲ ὁρμίζεσθαι μὲν ἐν τῷ ταύτης λιμένι, τῶν δὲ φορτίων, ἕως αὐτὴ ἐπιστέλλει, μηδ' ὁτιοῦν ἐκφορεῖν τῆς νεώς. ἔπρασσε δὲ ταῦτα, ὅπως, ἢν μὲν ἀπολωλέναι τοὺς τρεῖς πύθηται, μένῃ τε αὐτοῦ καὶ τὴν ναῦν μεταπέμποιτο, οὐδὲν ἔτι ἔχουσα πρὸς τῶν ἐχθρῶν δέος· ἢν δὲ αὐτῶν τινα περιεῖναι ξυμβαίνῃ, οὐδεμιᾶς οἱ ἀγαθῆς ἀπολελειμμένης ἐλπίδος, πλέοι τε κατὰ τάχος καὶ ἐς γῆν τὴν βασιλέως ξὺν τοῖς χρήμασι διασώζοιτο. τοιαύτῃ μὲν γνώμῃ Ἀμαλασοῦνθα ἐς Ἐπίδαμνον τὴν ναῦν ἔστελλε, καὶ ἐπεὶ ἀφίκετο ἐς τὸν Ἐπιδαμνίων λιμένα, οἱ τὰ χρήματα ἔχοντες τὰ ἐντεταλμένα ἐποίουν. ὀλίγῳ δὲ ὕστερον Ἀμαλασοῦνθα τῶν φόνων οἱ ἐξειργασμένων ἧπερ ἐβούλετο τήν τε ναῦν μετεπέμπετο καὶ μένουσα ἐπὶ Ῥαβέννης τὴν ἀρχὴν ὡς ἀσφαλέστατα ἐκρατύνετο.

γ'. Ἦν δέ τις ἐν Γότθοις Θευδάτος ὄνομα, τῆς Θευδερίχου ἀδελφῆς Ἀμαλαφρίδης υἱὸς, πόρρω που ἤδη ἡλικίας ἥκων, λόγων μὲν Λατίνων μεταλαχὼν καὶ δογμάτων Πλατωνικῶν, πο-

1. αὐτῇ] αὐτῆς L. 6. εἰς Ἐπίδαμνον] εἰς superscr. in L. *ibid.* μὲν om. L. 7. ἐπιστέλλει] ἐπιστέλλῃ L corr. 11. ξυμβαίνῃ L. ξυμβαίῃ P. 13. τοιαύτῃ μὲν] μὲν om. L. 20. Ἀμαλαφρίδης Grotius. Vulgo Ἀμαλαφρίδος. *ex sorore Amalafrede* Pers.

thos viris strenuis, sibique addictissimis, trium illorum caedem demandat, quos auctores fuisse praecipuos excitati in eam motus proxime dixi. Tum praeter alias opes, quadraginta millibus auri pondo in navem impositis, cum quibusdam e numero fidissimorum, his, ut Epidamnum navigent, imperat: eo cum pervenerint, ad portum quidem applicent; eorum vero, quae navi commissa sint, nihil exponant; donec ipsa quid fieri velit mandaverit. Ideo haec agebat, ut, si tres illos de medio sublatos resciret, non moveret se loco, et navim revocaret, secura iam ab inimicis: sin cuiquam illorum vita superesset, sibique adeo nihil bonae esset reliquum spei, celeri navigatione in Caesareae ditionis oras cum auro sese reciperet, evaderetque. Hoc Amalasuntha consilio navem Epidamnum misit: qua ad portum illius urbis appulsa, paruere mandatis, qui pecuniam servabant. Paulo post Amalasuntha, peractis ex animi sententia caedibus, quas imperaverat, navim revocavit, et Ravennae manens, sceptrum manu validissima tenuit.

3. Inter Gotthos quidam erat, nomine Theodatus, filius Amalafridae sororis Theoderici, provecta iam aetate homo, ac Latinis quidem literis et philosophia Platonis imbutus, sed rei bellicae plane rudis, sum-

λίαν δὲ ἀμελετήτως παντάπασιν ἔχων, μακράν τε ἀπολελειμμένος τοῦ δραστηρίου, ἐς μέντοι φιλοχρηματίαν δαιμονίως ἐσπουδακώς. οὗτος ὁ Θευδάτος πλείστων μὲν τῶν ἐν Τούσκοις χωρίων κύριος ἐγεγόνει, βιαζόμενος δὲ καὶ τὰ λειπόμενα τοὺς κεκτημένους ἀφαιρεῖσθαι ἐν σπουδῇ εἶχε. γείτονας γὰρ ἔχειν συμφορά τις Θευδάτῳ ἐδόκει εἶναι. ταύτην αὐτῷ Ἀμαλασοῦνθα τὴν προθυμίαν ἀναστέλλειν ἠπείγετο, καὶ ἀπ' αὐτοῦ ἤχθετό τε αἰτῇ ἐς ἀεὶ καὶ χαλεπῶς εἶχεν. ἐβουλεύετο οὖν Ἰουστινιανῷ βασιλεῖ Τουσκίαν ἐνδοῦναι, ἐφ' ᾧ χρήματά τε πολλὰ καὶ βουλῆς V 6
πρὸς αὐτοῦ ἀξίωμα κομισάμενος ἐν Βυζαντίῳ τὸ λοιπὸν διατρί- B
βοι. ταῦτα Θευδάτου βεβουλευμένου πρέσβεις ἐκ Βυζαντίου παρὰ τὸν Ῥώμης ἀρχιερέα ἦκον, ὅ τε τῆς Ἐφέσου ἱερεὺς Ὑπάτιος καὶ Δημήτριος ἐκ τῶν ἐν Μακεδόσι Φιλίππων, δόξης ἕνεκεν, ἣν Χριστιανοὶ ἐν σφίσιν αὐτοῖς ἀντιλέγουσιν ἀμφιγνοοῦντες. τὰ
δὲ ἀντιλεγόμενα ἐγὼ ἐξεπιστάμενος ὡς ἥκιστα ἐπιμνήσομαι. H 169
ἀπονοίας γὰρ μανιώδους τινὸς ἡγοῦμαι εἶναι διερευνᾶσθαι τὴν τοῦ Θεοῦ φύσιν, ὁποία ποτέ ἐστιν. ἀνθρώπῳ γὰρ οὐδὲ τὰ ἀνθρώπεια ἐς τὸ ἀκριβὲς, οἶμαι, καταληπτὰ, μή τοί γε ὀλίγα τὰ ἐς Θεοῦ φύσιν ἥκοντα. ἐμοὶ μὲν οὖν ταῦτα ἀκινδύνως σεσιωπήσθω C
μόνῳ τῷ μὴ ἀπιστῆσαι τὰ τετιμημένα. ἐγὼ γὰρ οὐκ ἂν οὐδὲ ἄλλο περὶ Θεοῦ ὅ τι ἂν εἴποιμι ἢ ὅτι ἀγαθός τε παντάπασιν εἴη καὶ ξύμπαντα ἐν τῇ ἐξουσίᾳ τῇ αὐτοῦ ἔχει. λεγέτω δὲ ὥσπερ γι-

9. χρήματά τε] τε χρήματα L. 13. ἐκ τῶν HL. ἐκ om. P. 14. ἀμφιγνοοῦντες] Vulgo ἀμφαγνοοῦντες. 20. μόνῳ τῷ] μόνῳ, τὸ HL. ibid. γὰρ οὐκ ἂν οὐδὲ HL. γὰρ ἂν οὐδὲν P. 21. ὅ τι] ὅτι HL. ὁτιοῦν P. 22. αὐτοῦ] Vulgo αὐτοῦ.

me ignavus, et avaritiae deditus extra modum. Hic agrorum Tusciae partem maximam cum possideret, e reliquis exturbare dominos enitebatur, genus quoddam infelicitatis esse ducens, habere vicinos. Quam hominis cupiditatem omni studio reprimebat Amalasuntha: ideoque hanc ille inexpiabili odio prosequebatur, victusque impatientia, Tusciam in Iustiniani Aug. potestatem tradere cogitabat, ut ab eo multa auctus pecunia, et in Senatum allectus, deinceps Byzantii vitam ageret. Cum id Theodato deliberatum esset, Legati ad Romanum Pontificem venerunt Hypatius Ephesiorum Antistes, ac Demetrius Philippensium, qui sunt in Macedonia, ut de religionis dogmate agerent, in quo dubiis sententiis inter se Christiani dissentiunt. Eam controversiam etsi ipse probe teneo, minime tamen commemorabo; quod insanae arrogantiae esse putem, Dei quae sit natura disquirere: nam, ut equidem sentio, nequit homo vel humana, nedum Dei naturam perfecte assequi. Ac mihi quidem, quae non aliter quam pia credulitate bene coluntur, ea praeterire silentio tutum est, idque unum affirmare de Deo lubet, esse illum summe bonum, ac sua potentia res universas complecti. Quisque autem, vel sacerdos

νώσκειν ἕκαστος ὑπὲρ αὐτῶν οἴεται, καὶ ἱερεὺς καὶ ἰδιώτης. Θευδάτος δὲ ξυγγενόμενος λάθρα τοῖς πρέσβεσι τούτοις ἀγγέλλειν ἐπέστελλεν Ἰουστινιανῷ βασιλεῖ ἅπερ αὐτῷ βεβουλευμένα εἴη, ἐξειπὼν ὅσα μοι ἄρτι δεδήλωται.

Ἐν τούτῳ δὲ Ἀταλάριχος ἐς κραιπάλην ἐμπεπτωκὼς ὅρον
D οὐκ ἔχουσαν νοσήματι μαρασμοῦ ἥλω. διὸ δὴ Ἀμαλασουνθα διηπορεῖτο. οὔτε γὰρ ἐπὶ τῇ τοῦ παιδὸς γνώμῃ τὸ θαρρεῖν εἶχεν, εἰς τοῦτο ἀτοπίας ἐληλακότος, εἴ τε αὐτὸς Ἀταλάριχος ἐξ ἀνθρώπων ἀφανίζηται, οὐκ ᾤετο αὐτῆς τὸν βίον ἐν τῷ ἀσφαλεῖ τὸ λοιπὸν ἔσεσθαι, Γότθων τοῖς λογιμωτάτοις προσκεκρουκυῖα. διὸ δὴ τὸ Γότθων τε καὶ Ἰταλιωτῶν κράτος ἐνδιδόναι Ἰουστινιανῷ βασιλεῖ, ὅπως αὐτὴ σώζοιτο, ἤθελεν. ἐτύγχανε δὲ Ἀλέξανδρος, ἀνὴρ ἐκ βουλῆς, ξύν τε Δημητρίῳ καὶ Ὑπατίῳ ἐνταῦθα ἥκων. ἐπειδὴ γὰρ τὸ μὲν Ἀμαλασούνθης πλοῖον ἐν τῷ Ἐπιδάμνου λιμένι βασιλεὺς ὁρμίζεσθαι ἤκουσεν, αὐτὴν δὲ μέλλειν, καίπερ χρόνου τριβέντος συχνοῦ, ἔπεμψε τὸν Ἀλέξανδρον, ἐφ'
P 315 ᾧ κατασκεψάμενος ἅπαντα τὰ ἀμφὶ τῇ Ἀμαλασούνθῃ ἀγγείλειε· τῷ δὲ λόγῳ πρεσβευτὴν τὸν Ἀλέξανδρον βασιλεὺς ἔπεμψε, τοῖς τε ἀμφὶ τὸ Λιλύβαιον ξυνταραχθεὶς (ἅπερ μοι ἐν τοῖς ἔμπροσθεν λόγοις δεδήλωται) καὶ ὅτι Οὖννοι δέκα ἀπὸ τοῦ ἐν Λιβύῃ στρατοπέδου ὁρασμῷ ἐχόμενοι ἐς Καμπανίαν ἀφίκοντο, Οὐλία-

7. τῇ om. L. 8. εἴ τε Grotius. ἅτε HL. ἐς ὅ τε Scaliger. εἰ δὲ P ex coniectura Maltreti. 10. προσκεκρουκνίας Hm. 21. ἀφίκοντο L. ἀφίκοιντο P.

vel homo privatus, de his pro suo loquatur sensu. Porro Theodatus cum legatis illis clam collocutus, quae dicebam modo, ipsis plane exposuit, iniunxitque, ut initum a se consilium Iustiniano Aug. enuntiarent.

Hoc interim spatio Atalaricus, cum in crapulam effuse se immersisset, tabe confici coepit. Hinc animi pendens Amalasuntha, quod nec filii, adeo absurdi, voluntate fidere posset, nec, si moreretur Atalaricus, suam in tuto vitam postea fore existimaret, Gotthorum optimatibus iam offensis; ut saluti suae consuleret, statuit Gotthorum Italorumque regnum in Iustiniani Aug. ditionem transferre. In Italiam se contulerat Alexander Senator, cum Demetrio et Hypatio profectus. Nam ubi navigium, quod Amalasuntha praemiserat, applicitum stare in portu Epidamni, ipsam autem, multo licet elapso tempore, moram facere Imperator audisset, Alexandrum destinaverat, re quidem ipsa, ut de Amalasunthae rebus ab eo penitus inspectis certior fieret; in speciem vero legationem ipsi dederat, se commotum repulsa significans ad Lilybaeum accepta, de qua dixi in superiore libro: tum quod Hunnos decem ab exercitu Africae dilapsos fuga, atque in Campaniam delatos, Uliaris, Neapoli custos appo-

ρίς τε αὐτοὺς, ὃς Νεάπολιν ἐφύλασσεν, Ἀμαλασούνθης οὔτι ἀκουσίας ἐδέξατο· Γότθοι δὲ Γήπαισι τοῖς ἀμφὶ Σίρμιον πολεμοῦντες, πόλει Γρατιανῇ, ἐν τῇ Ἰλλυριῶν ἐσχατιᾷ κειμένῃ, ὡς πολεμίᾳ ἐχρήσαντο. ἅπερ Ἀμαλασούνθῃ ἐπικαλῶν γράμματά τε γράψας τὸν Ἀλέξανδρον ἔπεμψεν. ὃς ἐπειδὴ ἐν Ῥώμῃ ἐγένετο, τοὺς μὲν ἱερεῖς αὐτοῦ εἴασε πράσσοντας ὧν ἕνεκα ἦλθον, ἐς δὲ Ῥάβενναν αὐτὸς κομισθεὶς καὶ Ἀμαλασούνθῃ ἐς ὄψιν ἥκων, B τούς τε βασιλέως λόγους ἀπήγγειλε λάθρα καὶ τὰ γράμματα ἐς τὸ ἐμφανὲς ἐνεχείρισεν. ἐδήλου δὲ ἡ γραφὴ τάδε „Τὸ ἐν Λιλυβαίῳ φρούριον, ἡμέτερον ὄν, βίᾳ λαβοῦσα ἔχεις, καὶ βαρβάρους δραπέτας ἐμοὺς γεγενημένους δεξαμένη ἀποδοῦναι οὔπω καὶ νῦν ἔγνωκας, ἀλλὰ καὶ Γρατιανὴν τὴν ἐμὴν τὰ ἀνήκεστα, οὐδέν σοι προσῆκον, εἰργάσω. ὅθεν ἄρα σοι ἐκλογίζεσθαι προσήκει ποῖα ποτὲ τούτοις τελευτὴ γένοιτο.“ ταῦτα ὡς ἀπενεχθέντα ἡ γυνὴ τὰ γράμματα ἀνελέξατο, ἠμείβετο τοῖσδε „Βασιλέα μέγαν τε καὶ ἀρετῆς μεταποιούμενον, ὀρφανῷ παιδὶ καὶ ὡς ἥκιστα τῶν πρασσομένων ἐπαισθανομένῳ μᾶλλον ξυλλαβέσθαι εἰκὸς ἢ ἐξ οὐ- C δεμιᾶς αἰτίας διάφορον εἶναι. ἀνθρώπων γὰρ, ἢν μὴ ἐκ τοῦ ἀντιπάλου συσταίη, οὐδεὶς τὴν νίκην εὐπρεπῆ φέρει. σὺ δὲ τὸ Λιλύβαιον Ἀταλαρίχῳ ἐπανασείεις καὶ φυγάδας δέκα καὶ στρατιωτῶν ἐπὶ πολεμίους τοὺς σφετέρους ἰόντων ἁμαρτάδα ξυμπε-

1. αὐτοὺς Grotius et Maltretus. Libri αὐτὸς. *hos* Pers. *ibid.* Ἀμαλασούνθης Maltretus et L corr. ἀμαλασούνθην L pr. et H. Ἀμαλασούνθῃ Grotius. 2. ακουσίας Maltretus. ἑκουσίως HL. *non invita* Pers. 7. ἐς ὄψιν] εἰς ὄψιν L. 19. οὐδεὶς Grotius. Vulgo οὐδὲ. *ibid.* φέρει] φέρειν Reg.

situs, accepisset, non invita Amalasuntha: et Gotthi, dum ad Sirmium cum Gepaedibus bellum gererent, urbem Gratianam, in finibus Illyrici sitam, hostiliter vexassent. Amalasunthae haec per literas obiiciens Imperator, Alexandrum miserat: qui postquam pervenit Romam, ibi Praesules de rebus, quarum causa venerant, agentes reliquit; et Ravennam profectus, admissusque ad conspectum Amalasunthae, clam quidem arcana retulit Imperatoris verba; palam vero eiusdem literas reddidit, in hanc sententiam scriptas. *Lilybaei castellum, quod nostrum est, iniusta vi captum retines; necdum placuit remittere Barbaros, quos a me transfugas accepisti: per summam quoque iniuriam damna gravissima intulisti Gratianae meae. Quo tandem haec eruptura sint, tuum est cogitare.* Cum has literas Amalasuntha sibi datas legisset, his verbis rescripsit. *Magnum et forti animo praeditum Imperatorem magis decet puero orbo et quid agatur ignaro opitulari, quam sine causa indicere inimicitias. Ex iniquo enim congressu ne victoriam quidem honestam refert. Scilicet Lilybaeum, et fugitivos decem, et quod in urbem amicam milites nostri, dum hostes suos peterent, peccarunt per ignorantiam, minaciter Atalarico*

σοῦσαν ἀγνοίᾳ τινὶ ἐς πόλιν φιλίαν. μὴ δῆτα, μὴ σύ γε, ὦ βασιλεῦ, ἀλλ' ἐνθυμούμενος ἡνίκα ἐπὶ Βανδίλους ἐστράτευσας,
V 7 οὐχ ὅσον σοι ἐμποδὼν ἔστημεν, ἀλλὰ καὶ ὁδὸν ἐπὶ τοὺς πολεμίους καὶ ἀγορὰν τῶν ἀναγκαιοτάτων σὺν προθυμίᾳ πολλῇ ἔδομεν, ἄλλων τε καὶ ἵππων τοσούτων τὸ πλῆθος, ἀφ' ὧν σοι ἡ τῶν ἐχθρῶν ἐπικράτησις μάλιστα γέγονε. καίτοι ξύμμαχος ἂν καὶ
D φίλος δικαίως καλοῖτο οὐχ ὃς ἂν τὴν ὁμαιχμίαν ἐς τοὺς πέλας προΐσχοιτο μόνον, ἀλλὰ καὶ ὃς ἂν τὸ ἐς πόλεμον ἕκαστον, ὅτου ἂν δέοιτο, ὑπουργεῖν φαίνοιτο. ἐκλογίζου δὲ ὡς τηνικαῦτα ὁ στόλος ὁ σὸς οὔτε ἀλλαχῆ ἐκ τοῦ πελάγους εἶχεν ὅτι μὴ Σικελίᾳ προσχεῖν οὔτε τῶν ἐνθένδε ὠνηθέντων χωρὶς ἐς Λιβύην ἰέναι. ὥστε σοι τὸ τῆς νίκης κεφάλαιον ἐξ ἡμῶν ἐστιν. ὁ γὰρ τοῖς ἀπόροις λύσιν διδοὺς καὶ τὴν ἐνθένδε ἀπόβασιν ἀποφέρεσθαι δίκαιος.
H 170 τί δὲ ἀνθρώπῳ ἥδιον ἂν ἐχθρῶν ἐπικρατήσεως, ὦ βασιλεῦ, γένοιτο; καὶ μὴν ἐλασσοῦσθαι οὐκ ἐν μετρίοις ἡμῖν ξυμβαίνει, οἳ
P 316 γε σὺχὶ κατὰ τὸν τοῦ πολέμου νόμον τὸ τῶν λαφύρων νεμόμεθα μέρος. νῦν δὲ καὶ τὸ Σικελίας Λιλύβαιον, ἄνωθεν Γότθοις προσῆκον, ἀξιοῖς ἀφαιρεῖσθαι ἡμᾶς, πέτραν, ὦ βασιλεῦ, μίαν ὅσον οὐδὲ ἀργυρίου ἀξίαν, ἣν ἀνθυπουργεῖν σοι Ἀταλαρίχῳ εἰκός γε ἦν, ἐν τοῖς ἀναγκαιοτάτοις ξυναραμένῳ, εἴπερ ἄνωθεν τῆς σῆς βασιλείας οὖσα ἐτύγχανε." ταῦτα μὲν ἐκ τοῦ ἐμφανοῦς Ἀμαλασοῦνθα βασιλεῖ ἔγραψε· λάθρα δὲ αὐτῷ ξύμπασαν Ἰτα-

7. ἐς τοὺς] εἰς τοὺς L. 11. τῶν] τὴν L. 19. ἀνθυπουργεῖν Pm. ἀνθυπὸυργιεῖν HP. ἀνθυπεργιεῖν LHm.

commemoras. Absint procul, absint haec a te, Imperator: quin potius fac memineris nos tuae adversus Vandalos expeditioni non modo non obstitisse, sed tendentibus in hostem copiis lubentissime dedisse iter, copiamque emendi annonam, et cum alia, tum equos tanto numero suppeditasse, ut hostem nulla re magis, quam eorum opera, debellaveris. Socii demum et amici nomen meretur, non ille tantum, qui arma cum vicino consociat, verum etiam qui quaelibet ad bellum quodvis necessaria palam subministrat. Id etiam reputa, tunc temporis classem tuam nec alio, quam in Siciliam, recipere se e pelago, nec absque rebus ibi coëmptis tenere cursum in Africam potuisse. Quare victoriae summam ascribere nobis debes: siquidem qui negotii tollit obices, dignus est qui successus gloriam ac praemium ferat. Quid autem homini dulcius, quam potiri hostium, o Imperator? Nos tamen iacturam haud mediocrem passos, quippe spoliorum expertes contra quam lex belli iubet, nunc etiam Lilybaeo, in ditione Gothica iam pridem posito, spoliare vis, uno videlicet scopulo, o Imperator, nullius fere pretii digno: qui si in tuo prius imperio fuisset, eo saltem Atalaricum, tibi in rebus maxime necessariis auxiliatum, remunerari debueras. Imperatori his palam scriptis Amalasuntha, clam recepit traditurum se

λιαν ἐγχειριεῖν ὡμολόγησεν. οἱ δὲ πρέσβεις ἐς Βυζάντιον ἐπανήκοντες ἅπαντα Ἰουστινιανῷ βασιλεῖ ἤγγειλαν· Ἀλέξανδρος μὲν ἅπερ τῇ Ἀμαλασούνθῃ δοκοῦντα εἴη, Δημήτριός τε καὶ Ὑπάτιος ὅσα Θευδάτου λέγοντος ἤκουσαν, καὶ ὡς δυνάμει μεγάλῃ ἐν Τού- B
σκοις ὁ Θευδάτος χρώμενος, χώρας τε ἐνταῦθα τῆς πολλῆς κύριος γεγονὼς, πόνῳ ἂν οὐδενὶ τὰ ὡμολογημένα ἐπιτελεῖν οἷός τε εἴη. οἷς δὴ περιχαρὴς γεγονὼς ὁ βασιλεὺς Πέτρον, Ἰλλυριὸν γένος, ἐκ Θεσσαλονίκης ὁρμώμενον, ἐς τὴν Ἰταλίαν εὐθὺς ἔστελλεν, ἕνα μὲν ὄντα τῶν ἐν Βυζαντίῳ ῥητόρων, ἄλλως δὲ ξυνετόν τε καὶ πρᾶον καὶ ἐς τὸ πείθειν ἱκανὸν πεφυκότα.

δ'. Ἐν ᾧ δὲ ταῦτα ἐγένετο τῇδε, ἐν τούτῳ Θευδάτον C
Τοῦσκοι πολλοὶ Ἀμαλασούνθῃ διέβαλλον, βιάσασθαι ἅπαντας τοὺς ταύτῃ ἀνθρώπους καὶ τοὺς ἀγροὺς ἀφελέσθαι οὐδενὶ λόγῳ, τούς τε ἄλλους ἅπαντας καὶ οὐχ ἥκιστά γε τὴν βασίλειον οἰκίαν αὐτὴν, ἣν δὴ πατριμώνιον καλεῖν νενομίκασι. διὸ δὴ ἐς τὰς εὐθύνας καλέσασα Θευδάτον ἡ γυνὴ διαρρήδην τε πρὸς τῶν διαβαλλόντων ἐληλεγμένον ἀποτιννύναι πάντα ἠνάγκασεν, ἅπερ οὐ δέον ἀφεῖλετο, οὕτω τε αὐτὸν ἀπεπέμψατο. καὶ ἀπ' αὐτοῦ ἐς ἄγαν τῷ ἀνθρώπῳ προσκεκρουκυῖα διάφορος τὸ λοιπὸν ἐγεγόνει D
ἀνιωμένῳ ὑπὸ φιλοχρηματίας ὡς μάλιστα, ὅτι διαμαρτάνειν τε καὶ βιάζεσθαι ἀδύνατος ἦν.

11. Θευδάτον] θευδαίτον L. 15. πατριμώνιον L corr. Vulgo πατριμόνιον.

illi universam Italiam. Reversi Byzantium legati, Iustiniano August. cuncta renuntiant, Alexander quidem Amalasunthae consilia, Demetrius vero atque Hypatius quaecunque acceperant ex ore Theodati, et nullo hunc negotio perficere promissa posse, quod in Tuscia polleret plurimum, et partem magnam eius provinciae possideret. His laetus admodum Imperator, extemplo in Italiam Petrum destinat. Erat is natione Illyrius, patria Thessalonicensis, advocatus Byzantii, prudentia vir singulari, commodis moribus, et persuadendi vi praeditus.

4. Haec ibi dum aguntur, interea Tusci complures de vi in omnes provinciae suae incolas apud Amalasuntham accusant Theodatum, ex mera libidine cum in alios quosvis, tum in domus Regiae fundos, quos patrimonium vocitant, involantem. Quamobrem illa accitum ad rationem reddendam Theodatum, et ab accusatoribus manifeste convictum quaecunque malis artibus eripuerat, restituere coëgit, ac tum demum remisit. Inde cum in summam offensionem hominis incurrisset, deinceps intercessit inter ambos discordia, illum avaritia conficiente, quod nec peccare licentius, nec vi invadere cupita posset.

Ὑπὸ τὸν χρόνον τοῦτον Ἀταλάριχος μὲν τῇ νόσῳ καταμαρανθεὶς ἐτελεύτησεν, ὀκτὼ τῇ ἀρχῇ ἐπιβιοὺς ἔτη. Ἀμαλασοῦνθα δὲ (χρῆν γάρ οἱ γενέσθαι κακῶς) ἐν οὐδενὶ λόγῳ φύσιν τὴν Θευδάτου ποιησαμένη καὶ ὅσα εἰς αὐτὸν ἔναγχος δράσειεν, οὐδὲν πείσεσθαι ἄχαρι πρὸς αὐτοῦ ὑπετόπασεν, ἤν τι τὸν ἄνθρωπον ἀγα-
P 317 θὸν ἐργάζηται μεῖζον. μεταπεμψάμενη τοίνυν αὐτὸν, ἐπειδὴ ἧκε, τιθασεύουσα ἔφασκε χρόνῳ ἐπίστασθαι ὡς οἱ ὁ παῖς ἐπίδοξος εἴη, ὅτι δὴ ὀλίγῳ ὕστερον τελευτήσειε (τῶν τε γὰρ ἰατρῶν πάντων ταὐτὰ γινωσκόντων ἀκηκοέναι καὶ αὐτὴ τοῦ Ἀταλαρίχου σώματος ἀεὶ μαραινομένου αἰσθέσθαι). ἐπεί τε αὐτῷ ἀμφὶ Θευδάτῳ ἑώρα Γότθους τε καὶ Ἰταλιώτας δόξαν οὐκ ἀγαθήν τινα
V 8 ἔχοντας, ἐς ὃν περιειστήκει τὸ Θευδερίχου γένος, τούτου δὴ αὐτὸν διακαθᾶραι τοῦ αἰσχροῦ ὀνόματος ἐν σπουδῇ οἱ γενέσθαι, ὅπως μή τι αὐτῷ καλουμένῳ ἐς τὴν βασιλείαν ἐμπόδιον εἴη. ἅμα
B δὲ καὶ τὸ δίκαιον αὐτὴν ξυνταράξαι, εἴ γε περισταίη τοῖς ἠδικῆσθαι πρὸς αὐτοῦ λέγουσιν, ὡς ἤδη αἰτιωμένοις οὐκ ἔχειν μὲν ὅτῳ τὰ ξυμπεσόντα σφίσιν ἀγγείλωσι, δεσπότην δὲ τὸν δυσμενῆ ἔχειν. διὰ ταῦτα μὲν αὐτὸν, οὕτω καθαρὸν γεγενημένον, ἐς τὴν βασιλείαν παρακαλεῖν. δεῖν δὲ αὐτὸν ὅρκοις δεινοτάτοις καταληφθῆναι ὡς ἐς Θευδάτου μὲν τὸ τῆς ἀρχῆς ὄνομα ἄγοιτο,

3. χρῆν] Vulgo χρὴ. 5. ὑπετόπασεν] ὑπετόπησεν L. 7. τιθασεύουσα] Vulgo τιθασσεύουσα. *ibid.* ὁ παῖς L. ὁ om. P. 9. ταὐτὰ] Vulgo ταῦτα. *ibid.* αὐτὴ HL. αὐτῇν P. 10. αἰσθέσθαι] αἰσθῆναι HL: illud Lm. 11. οὐκ ἀγαθὴν P ex Maltreti emendatione: quod exprimere videtur Pers. *non recte sentire.* ἀναγκασθὴν HL. ἀγαθὴν Scaliger. 12. τούτου] τοῦτον HL. 14. αὐτῷ] αὐτὸν HL: αὐτῷ Scaliger. 16. λέγουσιν om. HL. *ibid.* ἔχειν] ἔχει H. 17. τὰ om. L.

Sub idem tempus tabe exesus obiit Atalaricus; cum in regno annos VIII. vixisset. Tunc Amalasuntha, haud dubie peritura, nulla nec indolis Theodati, nec suae in eum recentis severitatis habita ratione, in animum induxit, se illum plane innoxium experturam, si in ipsum maius aliquod beneficium conferret. Eum igitur accersit, ac post ipsius adventum, deliniit, asseverans, se antea cognovisse quae esset opinio de morte propinqua filii; quippe cum a medicis omnibus praenuntiatam illam audiret, ac videret ipsa Atalarici corpus in dies contabescere: quoniam vero perspiciebat, minus commode apud Gotthos et Italos audire Theodatum, ad quem Theoderici genus redactum esset; sibi id cordi fuisse, ut turpi illa existimatione depulsa, ipsi ad regnum vocato nihil obstaret: praeterea se ex amore aequi sollicitam, timuisse, ne quando ab illis circumfusa, qui se iniuria affectos ab eo dicerent, audiret expostulantes, adesse neminem, ad quem, quae passi essent, deferrent, sibique infensum dominum imperare: itaque se ad regnum iam illum invitare, cum esset purus a suspicione, et in famam secundam restitutus: at sanctissime iurandum esse, nomen quidem regiae potestatis ad Theodatum transiturum, rem

αὐτὴ δὲ τὸ ἔργον τοῦ κράτους οὐκ ἔλασσον ἢ πρότερον ἔχοι. ταῦτα ἐπεὶ Θευδάτος ἤκουσεν, ἅπαντα ὅσα ἦν βουλομένῃ Ἀμαλασούνθῃ ὁμωμοκὼς, ἐπὶ λόγῳ τῷ πονηρῷ ὡμολόγησεν, ἐν μνήμῃ ἔχων ὅσα δὴ ἐκείνη πρότερον ἐς αὐτὸν εἰργασμένη ἐτύγχα-
5 νεν. οὕτω μὲν Ἀμαλασοῦνθα πρός τε γνώμης οἰκείας καὶ τῷ C
Θευδάτῳ ὁμοσαμένη, ἀπατηθεῖσα ἐπὶ τῆς ἀρχῆς αὐτὸν κατεστήσατο. πρέσβεις τε πέμψασα ἐς Βυζάντιον ἄνδρας Γότθους Ἰουστινιανῷ βασιλεῖ ταῦτα ἐδήλου.

Θευδάτος μὲν τὴν ἡγεμονίαν παραλαβὼν, πάντα οἱ τὰ
10 ἐναντία ὧν ἐκείνη τε ἤλπισε καὶ αὐτὸς ὑπέσχετο ἔπρασσε. καὶ Γότθων τῶν πρὸς αὐτῆς ἀνηρημένων τοὺς ξυγγενεῖς ἐπαγαγόμενος, πολλούς τε καὶ λίαν λογίμους ἐν Γότθοις ὄντας, τῶν τε Ἀμαλασούνθῃ προσηκόντων ἐκ τοῦ αἰφνιδίου τινὰς ἔκτεινε καὶ αὐτὴν ἐν φυλακῇ ἔσχεν, οὔπω τῶν πρέσβεων ἐς Βυζάντιον ἀφι-
15 κομένων. ἔστι δέ τις λίμνη ἐν Τούσκοις, Βουλσίνη καλουμένη, D
ἧς δὴ ἐντὸς νῆσος ἀεί ἐστι, βραχεῖα μὲν κομιδῇ οὖσα, φρούριον H 171
δὲ ὀχυρὸν ἔχουσα. ἐνταῦθα Θευδάτος τὴν Ἀμαλασούνθαν καθείρξας ἐτήρει. δείσας δὲ, ὅπερ ἐγένετο, μὴ βασιλεῖ ἀπ' αὐτοῦ προσκεκρουκὼς εἴη, ἄνδρας ἐκ τῆς Ῥωμαίων βουλῆς Λιβέριόν τε
20 καὶ Ὀπιλίωνα στείλας ξὺν ἑτέροις τισὶ, παραιτεῖσθαι πάσῃ δυνάμει βασιλέα ἐπήγγειλεν, ἰσχυριζομένους μηδὲν πρὸς αὐτοῦ

1. αὐτὴ] αὐτὴν HL. *ibid.* τὸ ἔργον L. τὸ om. HP. 3. πονηρῷ] πονήρῳ P. 14. ἔσχεν] ἔσχον L. 16. νῆσος ἀεί ἐστι] *insula una existit* Pers. Ergo νῆσος μία. 18. βασιλεῖ] βασιλείων HL. *ibid.* αὐτοῦ] αὐτῆς HL. 20. Ὀπιλίωνα] ὀπίλιον L. *Opilionem* Pers.: sed infra *Polionem* dicit. *ibid.* πάσῃ] ὅση L, sed ὅ a corr. 21. βασιλέα] βασίλειαν H. βασιλείαν L. *ibid.* ἐπήγγειλεν] ἐπήγγειλλεν L.

vero ipsam, ut prius, in Amalasuntha mansuram. Theodatus, his auditis, quidquid placuit Amalasunthae, iurato promisit, sed malo animo ac fraudulenter; quippe memor, uti ante ab eo fuisset habitus. Iuravit quoque Amalasuntha Theodato ex animi sui sententia, ac decepta, Regem illum constituit: qua de re missis Byzantium Legatis Gotthis, Iustiniano Aug. certiorem fecit.

Principatum adeptus Theodatus, cum spem Amalasunthae, tum sui promissi fidem prorsus fefellit. Gotthorum enim, ab illa interfectorum, complexus propinquos, quorum magnus in ea gente et numerus erat et splendor; repente quosdam ex Amalasunthae necessariis occidit, adeoque ipsam coniecit in carcerem, priusquam legati Byzantium pervenissent. Est in Tuscia lacus (Vulsinum appellant) et in eo parva admodum insula, castello munita valido. Clausam hic Amalasuntham Theodatus servari iussit, ac veritus, quod accidit, ne eo facto Imperatorem offenderet, Liberium et Opilionem Senatores Romanos, aliosque nonnullos misit, omni

ἄχαρι τῇ Ἀμαλασούνθῃ ξυμβῆναι, καίπερ αὐτῷ ἀνήκιστα δεινὰ εἰργασμένῃ τὸ πρότερον. καὶ κατὰ ταὐτὰ αὐτός τε βασιλεῖ ἔγραψε καὶ τὴν Ἀμαλασοῦνθαν οὔτι ἑκουσίαν ἠνάγκασε γράψαι.
P 318 ταῦτα μὲν οὖν ἐφέρετο τῇδε. Πέτρῳ δὲ αὐτῷ πρὸς τοῦ βασιλέως ἐντέταλτο ἐντυχεῖν μὲν κρύφα τῶν ἄλλων ἁπάντων Θευδάτῳ, καὶ ὅρκῳ τὰ πιστὰ παρεχομένῳ ὡς οὐδὲν ἂν τῶν πρασσομένων ἔκπυστον γένοιτο, οὕτω τε τὰ ἀμφὶ Τουσκίαν ἐν τῷ ἀσφαλεῖ πρὸς αὐτὸν θέσθαι καὶ Ἀμαλασούνθῃ ξυγγενόμενον λάθρα ξυμπάσης περὶ Ἰταλίας διοικήσασθαι, ὅπη ἑκατέρῳ ξυνοίσειν μέλλει. ἐς δὲ τὸ ἐμφανὲς ὑπέρ τε Λιλυβαίου καὶ τῶν ἄλλων, ὧν ἔναγχος ἐμνήσθην, πρεσβεύσων ἤει. οὕπω γάρ τι περὶ τῆς Ἀταλαρίχου τελευτῆς ἢ τῆς Θευδάτου ἀρχῆς ἢ τῶν Ἀμαλασούνθῃ
B ξυμπεπτωκότων βασιλεὺς ἠκηκόει. Πέτρος δὲ ὁδῷ πορευόμενος πρῶτον μὲν τοῖς Ἀμαλασούνθης πρέσβεσι ξυγγενόμενος τὰ ἀμφὶ τῆς Θευδάτου ἀρχῆς ἔμαθε. γενόμενος δὲ ὀλίγῳ ὕστερον ἐν πόλει Αὐλῶνι, ἢ πρὸς κόλπῳ τῷ Ἰονίῳ κεῖται, ἐνταῦθά τε τοῖς ἀμφὶ Λιβέριόν τε καὶ Ὀπιλίωνα ἐντυχὼν τὰ ξυμπεσόντα σύμπαντα ἔγνω, ἔς τε βασιλέα πάντα ἀνενεγκὼν αὐτοῦ ἔμεινεν.

Ἐπεὶ δὲ ταῦτα Ἰουστινιανὸς βασιλεὺς ἤκουσε, Γότθους τε καὶ Θευδάτον ξυνταράξαι διανοούμενος, πρὸς μὲν Ἀμαλασοῦν-
C θαν γράμματα ἔγραφε, δηλοῦντα ὅτι αὐτῆς ὡς ἔνι μάλιστα με-

2. τε L. γε P. ibid. βασιλεῖ Grotius. Vulgo βασιλεὺς. illi Pers. 4. τοῦ om. L. 16. Αὐλῶνι] αὐλῶν H et L a pr. m. Apolloniam Pers.

ope deprecari iussos illius odium, affirmando, nihil mali Amalasunthae irrogasse Theodatum, quamvis ab ea prius acceptum pessime. In eamdem sententiam literas et ipse Rex dedit, et ab Amalasuntha vel invita expressit. Haec ibi sic se habebant. Petrus autem his instructus a Iustiniano Aug. mandatis, ut clam omnibus convento Theodato, et iureiurando obstricta illius fide, eorum, de quibus agerent, nihil foras elatum iri, cum eo factam pactionem de Tuscia optime stabiliret: occulto itidem cum Amalasuntha colloquio, de omni Italia, prout e re foret utriusque, transigeret: veniebat, legationi praetendens speciem controversiae de Lilybaeo aliisque rebus, quarum mentionem proxime feci. Nihildum enim de Atalarici obitu, Theodati principatu, Amalasunthae casibus Imperator audierat. Ac primum quidem in via Petrus cum Legatis Amalasunthae collocutus, Regem creatum Theodatum didicit: dein vero in urbe Aulone, quae ad sinum Ionium sita est, cum Liberio et Opilione sermone habito, quaecunque contigerant ex ipsis cognovit, ibique substitit, de re tota admonito Imperatore.

Haec ubi Iustinianus Aug. accepit, secum inita ratione, qua Gotthis ac Theodato perturbationem iniiceret, Amalasunthae scripsit, se, quoad posset, defensionem eius suscipere, ac Petro mandavit, ne consilium hoc

τιμᾶσθαι ἐν σπουδῇ ἔχει· τῷ δὲ Πέτρῳ ἐπέστελλε ταῦτα μηδαμῇ ἀποκρύψασθαι, ἀλλ' αὐτῷ τε Θευδάτῳ καὶ Γότθοις ἅπασι φανερὰ καταστήσασθαι. πρέσβεων δὲ τῶν ἐξ Ἰταλίας οἱ μὲν ἄλλοι, ἐπειδὴ ἐς Βυζάντιον ἐκομίσθησαν, τὸν πάντα λόγον βασιλεῖ ἤγγειλαν, καὶ πάντων μάλιστα Λιβέριος. ἦν γὰρ ὁ ἀνὴρ καλός τε καὶ ἀγαθὸς διαφερόντως, λόγου τε τοῦ ἀληθοῦς ἐπιμελεῖσθαι ἐξεπιστάμενος· Ὀπιλίων δὲ μόνος ἐνδελεχέστατα ἰσχυρίζετο μηδὲν ἐς Ἀμαλασοῦνθαν ἁμαρτεῖν Θευδάτον. Πέτρου δὲ ἀφικομένου ἐς Ἰταλίαν Ἀμαλασούνθῃ ξυνέβη ἐξ ἀνθρώπων ἀφανισθῆναι. Γότθων γὰρ ξυγγενεῖς τῶν ὑπ' ἐκείνης ἀνῃρημένων Θευδάτῳ προσελθόντες οὔτε αὐτῷ οὔτε σφίσι τὸν βίον ἐν τῷ ἀσφαλεῖ ἰσχυρίζοντο εἶναι, ἤν γε μὴ αὐτοῖς Ἀμαλασοῦνθα ὅτι τάχιστα ἐκποδὼν γένηται. ξυγχωροῦντός τε αὐτοῖς, ἐν τῇ νήσῳ γενόμενοι τὴν Ἀμαλασοῦνθαν εὐθὺς ἔκτειναν. ὅπερ Ἰταλιώτας τε ὑπερφυῶς ἅπαντας καὶ τοὺς ἄλλους Γότθους ἡνίασεν. ἀρετῆς γὰρ πάσης ἡ γυνὴ ἰσχυρότατα ἐπεμελεῖτο, ὥσπερ μοι ὀλίγῳ ἔμπροσθεν εἴρηται. Πέτρος μὲν οὖν Θευδάτῳ τε ἄντικρυς ἐμαρτύρατο καὶ τοῖς ἄλλοις Γότθοις ὅτι δὴ αὐτοῖς τοῦ δεινοῦ τούτου ἐξειργασμένου ἄσπονδος βασιλεῖ τε καὶ σφίσιν ὁ πόλεμος ἔσται. Θευδάτος τε ὑπὸ ἀβελτερίας τοὺς Ἀμαλασούνθης φονεῖς ἐν τιμῇ πολλῇ ἔχων, Πέτρον τε καὶ βασιλέα πείθειν ἤθελεν ὡς αὐτοῦ οὐδαμῇ ἐπαινοῦντος, ἀλλ' ὡς μάλιστα ἀκουσίου, Γότθοις ἐργασθείη τὸ μίασμα τοῦτο. V 9 D P 319

20. ἀβελτερίας] Vulgo ἀβελτηρίας 21. πολλῇ] τε πολλῇ H. πολλῇ τε LHm.

teneret abditum; sed cum Theodato, tum Gotthis omnibus declararet. Cum autem Legati Italiae Byzantium pervenissent, omnes, Opilione excepto, qui in Amalasuntham nihil deliquisse Theodatum constantissime affirmabat, rem plane, uti se habuerat, Imperatori narrarunt; inprimis Liberius, vir honestis moribus et bonitate praeditus singulari, qui veritatem contaminare mendacio nesciebat. Posteaquam Petrus in Italiam pervenit, ex vivorum numero exturbata est Amalasuntha. Propinqui enim Gotthorum, quos illa morte affecerat, adiere Theodatum, eique asseverarunt nec ipsum nec se vivere securos posse, nisi Amalasuntham de medio quamprimum tollerent. Annuente illo, nulla interposita mora delati in insulam, necem attulerunt Amalasunthae, et ea re moerorem maximum Italis omnibus ac caeteris Gotthis. Haec enim mulier summa animi firmitate, ut paulo supra dixi, omnium officia virtutum obibat. Quocirca Petrus Theodato Gotthisque caeteris aperte denuntiavit, quandoquidem hoc facinus admisissent, Imperatori bellum cum ipsis fore inexpiabile. At stolide ineptus Theodatus, cum Amalasunthae interfectoribus plurimum honoris tribueret, Petro et Imperatori persuadere volebat, se minime approbante, quin potius invitissimo, Gotthos hoc piaculum perpetrasse.

Γότθους, ὁραστηρίους τε καὶ αὐτῇ ἐς τὰ μάλιστα ἐπιτηδείους, ἔστελλεν ἐφ' ᾧ τοὺς τρεῖς ἀποκτενοῦσιν, ὧν ἄρτι ἐμνήσθην, ἅτε τῆς στάσεως αἰτιωτάτους αὐτῇ γενομένους. αὐτὴ δὲ ἄλλα τε χρήματα καὶ τετρακόσια χρυσοῦ κεντηνάρια ἐν νηὶ μιᾷ ἐνθεμένη, ἐς ταύτην τε ἐμβιβάσασα τῶν εὐπιστοτάτων τινὰς, πλεῖν μὲν ἐκέλευσεν εἰς Ἐπίδαμνον, ἀφικομένους δὲ ὁρμίζεσθαι μὲν ἐν τῷ ταύτης λιμένι, τῶν δὲ φορτίων, ἕως αὐτὴ ἐπιστέλλει, μηδ' ὁτιοῦν ἐκφορεῖν τῆς νεώς. ἔπρασσε δὲ ταῦτα, ὅπως, ἢν μὲν ἀπολωλέναι τοὺς τρεῖς πύθηται, μένῃ τε αὐτοῦ καὶ τὴν ναῦν μεταπέμποιτο, οὐδὲν ἔτι ἔχουσα πρὸς τῶν ἐχθρῶν δέος· ἢν δὲ αὐτῶν τινα περιεῖναι ξυμβαίνῃ, οὐδεμιᾶς οἱ ἀγαθῆς ἀπολελειμμένης ἐλπίδος, πλέοι τε κατὰ τάχος καὶ ἐς γῆν τὴν βασιλέως ξὺν τοῖς χρήμασι διασώζοιτο. τοιαύτῃ μὲν γνώμῃ Ἀμαλασοῦνθα ἐς Ἐπίδαμνον τὴν ναῦν ἔστελλε, καὶ ἐπεὶ ἀφίκετο ἐς τὸν Ἐπιδαμνίων λιμένα, οἳ τὰ χρήματα ἔχοντες τὰ ἐντεταλμένα ἐποίουν. ὀλίγῳ δὲ ὕστερον Ἀμαλασοῦνθα τῶν φόνων οἱ ἐξειργασμένων ἧπερ ἐβούλετο τήν τε ναῦν μετεπέμπετο καὶ μένουσα ἐπὶ Ῥαβέννης τὴν ἀρχὴν ὡς ἀσφαλέστατα ἐκρατύνετο.

γ'. Ἦν δέ τις ἐν Γότθοις Θευδάτος ὄνομα, τῆς Θευδερίχου ἀδελφῆς Ἀμαλαφρίδης υἱὸς, πόρρω που ἤδη ἡλικίας ἥκων, λόγων μὲν Λατίνων μεταλαχὼν καὶ δογμάτων Πλατωνικῶν, πο-

1. αὐτῇ] αὐτῆς L. 6. εἰς Ἐπίδαμνον] εἰς superscr. in L. ibid. μὲν om. L. 7. ἐπιστέλλει] ἐπιστέλλῃ L corr. 11. ξυμβαίνῃ L. ξυμβαίη P. 13. τοιαύτῃ μὲν] μὲν om. L. 20. Ἀμαλαφρίδης Grotius. Vulgo Ἀμαλαφρίδος. ex sorore Amalafrede Pers.

thos viris strenuis, sibique addictissimis, trium illorum caedem demandat, quos auctores fuisse praecipuos excitati in eam motus proxime dixi. Tum praeter alias opes, quadraginta millibus auri pondo in navem impositis, cum quibusdam e numero fidissimorum, his, ut Epidamnum navigent, imperat: eo cum pervenerint, ad portum quidem applicent; eorum vero, quae navi commissa sint, nihil exponant; donec ipsa quid fieri velit mandaverit. Ideo haec agebat, ut, si tres illos de medio sublatos resciret, non moveret se loco, et navim revocaret, secura iam ab inimicis: sin cuiquam illorum vita superesset, sibique adeo nihil bonae esset reliquum spei, celeri navigatione in Caesareae ditionis oras cum auro sese reciperet, evaderetque. Hoc Amalasuntha consilio navem Epidamnum misit: qua ad portum illius urbis appulsa, paruere mandatis, qui pecuniam servabant. Paulo post Amalasuntha, peractis ex animi sententia caedibus, quas imperaverat, navim revocavit, et Ravennae manens, sceptrum manu validissima tenuit.

3. Inter Gotthos quidam erat, nomine Theodatus, filius Amalafridae sororis Theoderici, provecta iam aetate homo, ac Latinis quidem literis et philosophia Platonis imbutus, sed rei bellicae plane rudis, sum-

λίαν δὲ ἀμελετήτως παντάπασιν ἔχων, μακράν τε ἀπολελειμμένος τοῦ δραστηρίου, ἐς μέντοι φιλοχρηματίαν δαιμονίως ἐσπουδακώς. οὗτος ὁ Θευδάτος πλείστων μὲν τῶν ἐν Τούσκοις χωρίων κύριος ἐγεγόνει, βιαζόμενος δὲ καὶ τὰ λειπόμενα τοὺς κεκτημένους ἀφαιρεῖσθαι ἐν σπουδῇ εἶχε. γείτονας γὰρ ἔχειν συμφορά τις Θευδάτῳ ἐδόκει εἶναι. ταύτην αὐτῷ Ἀμαλασοῦνθα τὴν προθυμίαν ἀναστέλλειν ἠπείγετο, καὶ ἀπ' αὐτοῦ ἦχθετό τε αἰτῇ ἐς ἀεὶ καὶ χαλεπῶς εἶχεν. ἐβουλεύετο οὖν Ἰουστινιανῷ βασιλεῖ Τουσκίαν ἐνδοῦναι, ἐφ' ᾧ χρήματά τε πολλὰ καὶ βουλῆς V 6
πρὸς αὐτοῦ ἀξίωμα κομισάμενος ἐν Βυζαντίῳ τὸ λοιπὸν διατρί- B
βοι. ταῦτα Θευδάτου βεβουλευμένου πρέσβεις ἐκ Βυζαντίου παρὰ τὸν Ῥώμης ἀρχιερέα ἦκον, ὅ τε τῆς Ἐφέσου ἱερεὺς Ὑπάτιος καὶ Δημήτριος ἐκ τῶν ἐν Μακεδόσι Φιλίππων, δόξης ἕνεκεν, ἣν Χριστιανοὶ ἐν σφίσιν αὐτοῖς ἀντιλέγουσιν ἀμφιγνοοῦντες. τὰ
δὲ ἀντιλεγόμενα ἐγὼ ἐξεπιστάμενος ὡς ἥκιστα ἐπιμνήσομαι. H 169
ἀπονοίας γὰρ μανιώδους τινὸς ἡγοῦμαι εἶναι διερευνᾶσθαι τὴν τοῦ Θεοῦ φύσιν, ὁποία ποτέ ἐστιν. ἀνθρώπῳ γὰρ οὐδὲ τὰ ἀνθρώπεια ἐς τὸ ἀκριβὲς, οἶμαι, καταληπτὰ, μή τοί γε ὀὴ τὰ ἐς Θεοῦ φύσιν ἥκοντα. ἐμοὶ μὲν οὖν ταῦτα ἀκινδύνως σεσιωπήσθω C
μόνῳ τῷ μὴ ἀπιστῆσαι τὰ τετιμημένα. ἐγὼ γὰρ οὐκ ἂν οὐδὲ ἄλλο περὶ Θεοῦ ὅ τι ἂν εἴποιμι ἢ ὅτι ἀγαθός τε παντάπασιν εἴη καὶ ξύμπαντα ἐν τῇ ἐξουσίᾳ τῇ αὐτοῦ ἔχει. λεγέτω δὲ ὥσπερ γι-

9. χρήματά τε] τε χρήματα L. 13. ἐκ τῶν HL. ἐκ om. P. 14. ἀμφιγνοοῦντες] Vulgo ἀμφαγνοοῦντες. 20. μόνῳ τῷ] μόνῳ, τὸ HL. ibid. γὰρ οὐκ ἂν οὐδὲ HL. γὰρ ἂν οὐδὲν P. 21. ὅ τι] ὅτι HL. ὁτιοῦν P. 22. αὐτοῦ] Vulgo αὐτοῦ.

me ignavus, et avaritiae deditus extra modum. Hic agrorum Tusciae partem maximam cum possideret, e reliquis exturbare dominos enitebatur, genus quoddam infelicitatis esse ducens, habere vicinos. Quam hominis cupiditatem omni studio reprimebat Amalasuntha: ideoque hanc ille inexpiabili odio prosequebatur, victusque impatientia, Tusciam in Iustiniani Aug. potestatem tradere cogitabat, ut ab eo multa auctus pecunia, et in Senatum allectus, deinceps Byzantii vitam ageret. Cum id Theodato deliberatum esset, Legati ad Romanum Pontificem venerunt Hypatius Ephesiorum Antistes, ac Demetrius Philippensium, qui sunt in Macedonia, ut de religionis dogmate agerent, in quo dubiis sententiis inter se Christiani dissentiunt. Eam controversiam etsi ipse probe teneo, minime tamen commemorabo; quod insanae arrogantiae esse putem, Dei quae sit natura disquirere: nam, ut equidem sentio, nequit homo vel humana, nedum Dei naturam perfecte assequi. Ac mihi quidem, quae non aliter quam pia credulitate bene coluntur, ea praeterire silentio tutum est, idque unum affirmare de Deo lubet, esse illum humane bonum, ac sua potentia res universas complecti. Quisque autem, vel sacerdos

νώσκειν ἕκαστος ὑπὲρ αὐτῶν οἴεται, καὶ ἱερεὺς καὶ ἰδιώτης. Θευδάτος δὲ ξυγγενόμενος λάθρα τοῖς πρέσβεσι τούτοις ἀγγέλλειν ἐπέστελλεν Ἰουστινιανῷ βασιλεῖ ἅπερ αὐτῷ βεβουλευμένα εἴη, ἐξειπὼν ὅσα μοι ἄρτι δεδήλωται.

Ἐν τούτῳ δὲ Ἀταλάριχος ἐς κραιπάλην ἐμπεπτωκὼς ὅρον οὐκ ἔχουσαν νοσήματι μαρασμοῦ ἥλω. διὸ δὴ Ἀμαλασουνθα διηπορεῖτο. οὔτε γὰρ ἐπὶ τῇ τοῦ παιδὸς γνώμῃ τὸ θαρρεῖν εἶχεν, εἰς τοῦτο ἀτοπίας ἐληλακότος, εἴ τε αὐτὸς Ἀταλάριχος ἐξ ἀνθρώπων ἀφανίζηται, οὐκ ᾤετο αὐτῆς τὸν βίον ἐν τῷ ἀσφαλεῖ τὸ λοιπὸν ἔσεσθαι, Γότθων τοῖς λογιμωτάτοις προσκεκρουκυῖα. διὸ δὴ τὸ Γότθων τε καὶ Ἰταλιωτῶν κράτος ἐνδιδόναι Ἰουστινιανῷ βασιλεῖ, ὅπως αὐτὴ σώζοιτο, ἤθελεν. ἐτύγχανε δὲ Ἀλέξανδρος, ἀνὴρ ἐκ βουλῆς, ξύν τε Ἡμητρίῳ καὶ Ὑπατίῳ ἐνταῦθα ἥκων. ἐπειδὴ γὰρ τὸ μὲν Ἀμαλασούνθης πλοῖον ἐν τῷ Ἐπιδάμνου λιμένι βασιλεὺς ὁρμίζεσθαι ἤκουσεν, αὐτὴν δὲ μέλλειν, καίπερ χρόνου τριβέντος συχνοῦ, ἔπεμψε τὸν Ἀλέξανδρον, ἐφ' ᾧ κατασκεψάμενος ἅπαντα τὰ ἀμφὶ τῇ Ἀμαλασούνθῃ ἀγγείλειε· τῷ δὲ λόγῳ πρεσβευτὴν τὸν Ἀλέξανδρον βασιλεὺς ἔπεμψε, τοῖς τε ἀμφὶ τὸ Λιλύβαιον ξυναραχθεὶς (ἅπερ μοι ἐν τοῖς ἔμπροσθεν λόγοις δεδήλωται) καὶ ὅτι Οὖννοι δέκα ἀπὸ τοῦ ἐν Λιβύῃ στρατοπέδου δρασμῷ ἐχόμενοι ἐς Καμπανίαν ἀφίκοντο, Οὐλία-

7. τῇ om. L. 8. εἴ τε Grotius. ἅτε HL. ἐς ὃ τε Scaliger. εἴ δὲ P ex coniectura Maltreti. 10. προσκεκρουκυίας Hm. 21. ἀφίκοντο L. ἀφίκοιντο P.

vel homo privatus, de his pro suo loquatur sensu. Porro Theodatus cum legatis illis clam collocutus, quae dicebam modo, ipsis plane exposuit, iniunxitque, ut initum a se consilium Iustiniano Aug. enuntiarent.

Hoc interim spatio Atalaricus, cum in crapulam effuse se immersisset, tabe confici coepit. Hinc animi pendens Amalasuntha, quod nec filii, adeo absurdi, voluntate fidere posset, nec, si moreretur Atalaricus, suam in tuto vitam postea fore existimaret, Gotthorum optimatibus iam offensis; ut saluti suae consuleret, statuit Gotthorum Italorumque regnum in Iustiniani Aug. ditionem transferre. In Italiam se contulerat Alexander Senator, cum Demetrio et Hypatio profectus. Nam ubi navigium, quod Amalasuntha praemiserat, applicitum stare in portu Epidamni, ipsam autem, multo licet elapso tempore, moram facere Imperator audisset, Alexandrum destinaverat, re quidem ipsa, ut de Amalasunthae rebus ab eo penitus inspectis certior fieret; in speciem vero legationem ipsi dederat, se commotum repulsa significans ad Lilybaeum accepta, de qua dixi in superiore libro: tum quod Hunnos decem ab exercitu Africae dilapsos fuga, atque in Campaniam delatos, Uliaris, Neapoli custos appo-

ρίς τε αὐτοὺς, ὃς Νεάπολιν ἐφύλασσεν, Ἀμαλασούνθης οὔτι ἀσσίας ἐδέξατο· Γότθοι δὲ Γήπαισι τοῖς ἀμφὶ Σίρμιον πολεμοῦντες, πόλει Γρατιανῇ, ἐν τῇ Ἰλλυριῶν ἐσχατιᾷ κειμένῃ, ὡς πολεμίᾳ ἐχρήσαντο. ἅπερ Ἀμαλασούνθῃ ἐπικαλῶν γράμματά τε γράψας τὸν Ἀλέξανδρον ἔπεμψεν. ὃς ἐπειδὴ ἐν Ῥώμῃ ἐγένετο, τοὺς μὲν ἱερεῖς αὐτοῦ εἴασε πράσσοντας ὧν ἕνεκα ἦλθον, ἐς δὲ Ῥάβενναν αὐτὸς κομισθεὶς καὶ Ἀμαλασούνθῃ ἐς ὄψιν ἦκων, τούς τε βασιλέως λόγους ἀπήγγειλε λάθρα καὶ τὰ γράμματα ἐς τὸ ἐμφανὲς ἐνεχείρισεν. ἐδήλου δὲ ἡ γραφὴ τάδε „Τὸ ἐν Λιλυβαίῳ φρούριον, ἡμέτερον ὄν, βίᾳ λαβοῦσα ἔχεις, καὶ βαρβάρους δραπέτας ἐμοὺς γεγενημένους δεξαμένη ἀποδοῦναι οὔπω καὶ νῦν ἔγνωκας, ἀλλὰ καὶ Γρατιανὴν τὴν ἐμὴν τὰ ἀνήκεστα, οὐδέν σοι προσῆκον, εἰργάσω. ὅθεν ἄρα σοι ἐκλογίζεσθαι προσήκει ποῖα ποτὲ τούτοις τελευτὴ γένοιτο.“ ταῦτα ὡς ἀπενεχθέντα ἡ γυνὴ τὰ γράμματα ἀνελέξατο, ἠμείβετο τοῖσδε „Βασιλέα μέγαν τε καὶ ἀρετῆς μεταποιούμενον, ὀρφανῷ παιδὶ καὶ ὡς ἥκιστα τῶν πρασσομένων ἐπαισθανομένῳ μᾶλλον ξυλλαβέσθαι εἰκὸς ἢ ἐξ οὐδεμιᾶς αἰτίας διάφορον εἶναι. ἀνθρώπων γὰρ, ἢν μὴ ἐκ τοῦ ἀνταπάλου συσταίη, οὐδεὶς τὴν νίκην εὐπρεπῆ φέρει. σὺ δὲ τὸ Λιλύβαιον Ἀταλαρίχῳ ἐπανασείεις καὶ φυγάδας δέκα καὶ στρατιωτῶν ἐπὶ πολεμίους τοὺς σφετέρους ἰόντων ἁμαρτάδα ξυμπε-

1. αὐτοὺς Grotius et Maltretus. Libri αὐτὸς. *hos* Pers. *ibid.* Ἀμαλασούνθης Maltretus et L corr. ἀμαλασούνθην L pr. et H. Ἀμαλασούνθῃ Grotius. 2. ακουσίας Maltretus. ἑκουσίως HL. *non invita* Pers. 7. ἐς ὄψιν] εἰς ὄψιν L. 19. οὐδεὶς Grotius. Vulgo οὐδὲ. *ibid.* φέρει] φέρειν Reg.

situs, accepisset, non invita Amalasuntha: et Gotthi, dum ad Sirmium cum Gepaedibus bellum gererent, urbem Gratianam, in finibus Illyrici sitam, hostiliter vexassent. Amalasunthae haec per literas obiiciens Imperator, Alexandrum miserat: qui postquam pervenit Romam, ibi Praesules de rebus, quarum causa venerant, agentes reliquit; et Ravennam profectus, admissusque ad conspectum Amalasunthae, clam quidem arcana retulit Imperatoris verba; palam vero eiusdem literas reddidit, in hanc sententiam scriptas. *Lilybaei castellum, quod nostrum est, iniusta si captum retines; necdum placuit remittere Barbaros, quos a me transfugas accepisti: per summam quoque iniuriam damna gravissima intulisti Gratianae meae. Quo tandem haec eruptura sint, tuum est cogitare.* Cum has literas Amalasuntha sibi datas legisset, his verbis rescripsit. *Magnum et forti animo praeditum Imperatorem magis decet puero orbo et quid agatur ignaro opitulari, quam sine causa indicere inimicitias. Ex iniquo enim congressu ne victoriam quidem honestam refert. Scilicet Lilybaeum, et fugitivos decem, et quod in urbem amicam milites nostri, dum hostes suos peterent, peccarunt per ignorantiam, minaciter Atalarico*

σοῦσαν ἀγνοίᾳ τινὶ ἐς πόλιν φιλίαν. μὴ δῆτα, μὴ σύ γε, ὦ βασιλεῦ, ἀλλ' ἐνθυμούμενος ἡνίκα ἐπὶ Βανδίλους ἐστράτευσας,
V 7 οὐχ ὅσον σοι ἐμποδὼν ἔστημεν, ἀλλὰ καὶ ὁδὸν ἐπὶ τοὺς πολεμίους καὶ ἀγορὰν τῶν ἀναγκαιοτάτων σὺν προθυμίᾳ πολλῇ ἔδομεν, ἄλλων τε καὶ ἵππων τοσούτων τὸ πλῆθος, ἀφ' ὧν σοι ἡ τῶν ἐχθρῶν ἐπικράτησις μάλιστα γέγονε. καίτοι ξύμμαχος ἂν καὶ
D φίλος δικαίως καλοῖτο οὐχ ὃς ἂν τὴν ὁμαιχμίαν ἐς τοὺς πέλας προΐσχοιτο μόνον, ἀλλὰ καὶ ὃς ἂν τὸ ἐς πόλεμον ἕκαστον, ὅτου ἂν δέοιτο, ὑπουργεῖν φαίνοιτο. ἐκλογίζου δὲ ὡς τηνικαῦτα ὁ στόλος ὁ σὸς οὔτε ἀλλαχῆ ἐκ τοῦ πελάγους εἶχεν ὅτι μὴ Σικελίᾳ προσχεῖν οὔτε τῶν ἐνθένδε ὠνηθέντων χωρὶς ἐς Λιβύην ἰέναι. ὥστε σοι τὸ τῆς νίκης κεφάλαιον ἐξ ἡμῶν ἐστιν. ὁ γὰρ τοῖς ἀπόροις λύσιν διδοὺς καὶ τὴν ἐνθένδε ἀπόβασιν ἀποφέρεσθαι δίκαιος.
H 170 τί δὲ ἀνθρώπῳ ἥδιον ἂν ἐχθρῶν ἐπικρατήσεως, ὦ βασιλεῦ, γένοιτο; καὶ μὴν ἐλασσοῦσθαι οὐκ ἐν μετρίοις ἡμῖν ξυμβαίνει, οἳ
P 316 γε οὐχὶ κατὰ τὸν τοῦ πολέμου νόμον τὸ τῶν λαφύρων νεμόμεθα μέρος. νῦν δὲ καὶ τὸ Σικελίας Λιλύβαιον, ἄνωθεν Γότθοις προσῆκον, ἀξιοῖς ἀφαιρεῖσθαι ἡμᾶς, πέτραν, ὦ βασιλεῦ, μίαν ὅσον οὐδὲ ἀργυρίου ἀξίαν, ἣν ἀνθυπουργεῖν σοι Ἀταλαρίχῳ εἰκός γε ἦν, ἐν τοῖς ἀναγκαιοτάτοις ξυναραμένῳ, εἴπερ ἄνωθεν τῆς σῆς βασιλείας οὖσα ἐτύγχανε." ταῦτα μὲν ἐκ τοῦ ἐμφανοῦς Ἀμαλασοῦνθα βασιλεῖ ἔγραψε· λάθρα δὲ αὐτῷ ξύμπασαν Ἰτα-

7. ἐς τοὺς] εἰς τοὺς L. 11. τῶν] τὴν L. 19. ἀνθυπουργεῖν Pm. ἀνθυπόυργιεῖν HP. ἀνθυπεργιεῖν LHm.

commemoras. Absint procul, absint haec a te, Imperator: quin potius fac memineris nos tuae adversus Vandalos expeditioni non modo non obstitisse, sed tendentibus in hostem copiis lubentissime dedisse iter, copiamque emendi annonam, et cum alia, tum equos tanto numero suppeditasse, ut hostem nulla re magis, quam eorum opera, debellaveris. Socii demum et amici nomen meretur, non ille tantum, qui arma cum vicino consociat, verum etiam qui quaelibet ad bellum quodvis necessaria palam subministrat. Id etiam reputa, tunc temporis classem tuam nec alio, quam in Siciliam, recipere se e pelago, nec absque rebus ibi coëmptis tenere cursum in Africam potuisse. Quare victoriae summam ascribere nobis debes: siquidem qui negotii tollit obices, dignus est qui successus gloriam ac praemium ferat. Quid autem homini dulcius, quam potiri hostium, o Imperator? Nos tamen iacturam haud mediocrem passos, quippe spoliorum expertes contra quam lex belli iubet, nunc etiam Lilybaeo, in ditione Gothica iam pridem posito, spoliare vis, uno videlicet scopulo, o Imperator, nullius fere pretii digno: qui si in tuo prius imperio fuisset, eo saltem Atalaricum, tibi in rebus maxime necessariis auxiliatum, remunerari debueras. Imperatori his palam scriptis Amalasuntha, clam recepit traditurum se

λίαν ἐγχειριεῖν ὡμολόγησεν. οἱ δὲ πρέσβεις ἐς Βυζάντιον ἐπανήκοντες ἅπαντα Ἰουστινιανῷ βασιλεῖ ἤγγειλαν· Ἀλέξανδρος μὲν ἅπερ τῇ Ἀμαλασούνθῃ δοκοῦντα εἴη, Δημήτριός τε καὶ Ὑπάτιος ὅσα Θευδάτου λέγοντος ἤκουσαν, καὶ ὡς δυνάμει μεγάλῃ ἐν Τού- B
σκοις ὁ Θευδάτος χρώμενος, χώρας τε ἐνταῦθα τῆς πολλῆς κύριος γεγονὼς, πόνῳ ἂν οὐδενὶ τὰ ὡμολογημένα ἐπιτελεῖν οἷός τε εἴη. οἷς δὴ περιχαρὴς γεγονὼς ὁ βασιλεὺς Πέτρον, Ἰλλυριὸν γένος, ἐκ Θεσσαλονίκης ὁρμώμενον, ἐς τὴν Ἰταλίαν εὐθὺς ἔστελλεν, ἕνα μὲν ὄντα τῶν ἐν Βυζαντίῳ ῥητόρων, ἄλλως δὲ ξυνετόν τε καὶ πρᾶον καὶ ἐς τὸ πείθειν ἱκανὸν πεφυκότα.

δ'. Ἐν ᾧ δὲ ταῦτα ἐγένετο τῇδε, ἐν τούτῳ Θευδάτον C
Τοῦσκοι πολλοὶ Ἀμαλασούνθῃ διέβαλλον, βιάσασθαι ἅπαντας τοὺς ταύτῃ ἀνθρώπους καὶ τοὺς ἀγροὺς ἀφελέσθαι οὐδενὶ λόγῳ, τούς τε ἄλλους ἅπαντας καὶ οὐχ ἥκιστά γε τὴν βασίλειον οἰκίαν αὐτὴν, ἣν δὴ πατριμώνιον καλεῖν νενομίκασι. διὸ δὴ ἐς τὰς εὐθύνας καλέσασα Θευδάτον ἡ γυνὴ διαρρήδην τε πρὸς τῶν διαβαλλόντων ἐληλεγμένον ἀποτιννύναι πάντα ἠνάγκασεν, ἅπερ οὐ δίον ἀφεῖλετο, οὕτω τε αὐτὸν ἀπεπέμψατο. καὶ ἀπ' αὐτοῦ ἐς ἄγαν τῷ ἀνθρώπῳ προσκεκρουκυῖα διάφορος τὸ λοιπὸν ἐγεγόνει D
ἀνιωμένῳ ὑπὸ φιλοχρηματίας ὡς μάλιστα, ὅτι διαμαρτάνειν τε καὶ βιάζεσθαι ἀδύνατος ἦν.

11. *Θευδάτον*] *Θευδαίτον* L. 15. *πατριμώνιον* L corr. Vulgo *πατριμόνιον*.

illi universam Italiam. Reversi Byzantium legati, Iustiniano August. cuncta renuntiant, Alexander quidem Amalasunthae consilia, Demetrius vero atque Hypatius quaecunque acceperant ex ore Theodati, et nullo hunc negotio perficere promissa posse, quod in Tuscia polleret plurimum, et partem magnam eius provinciae possideret. His laetus admodum Imperator, extemplo in Italiam Petrum destinat. Erat is natione Illyrius, patria Thessalonicensis, advocatus Byzantii, prudentia vir singulari, commodis moribus, et persuadendi vi praeditus.

4. Haec ibi dum aguntur, interea Tusci complures de vi in omnes provinciae suae incolas apud Amalasuntham accusant Theodatum, ex mera libidine cum in alios quosvis, tum in domus Regiae fundos, quos patrimonium vocitant, involantem. Quamobrem illa accitum ad rationem reddendam Theodatum, et ab accusatoribus manifeste convictum quaecunque malis artibus eripuerat, restituere coëgit, ac tum demum remisit. Inde cum in summam offensionem hominis incurrisset, deinceps intercessit inter ambos discordia, illum avaritia conficiente, quod nec peccare licentius, nec vi invadere cupita posset.

D ἐγὼ δὲ, εἴ μοι χωρία γένηται οὐχ ἧσσον ἢ δώδεκα κεντηναρίων ἐπέτειον φέροντα πρόσοδον, περὶ ἐλάσσονος ἂν αὐτῶν τὴν βασιλείαν ποιήσαιμι, καί σοι τὸ Γότθων τε καὶ Ἰταλιωτῶν αὐτίκα ἐγχειριῶ κράτος. ὡς ἔγωγε ἥδιον ἂν ξὺν τῇ ἀπραγμοσύνῃ γεωργὸς εἶην ἢ ἐν μερίμναις βασιλικαῖς βιώην, κινδύνοις ἐκ κινδύνων παραπεμπούσαις. ἀλλὰ πέμπε ἄνδρα ὡς τάχιστα, ὅτῳ με Ἰταλίαν τε καὶ τὰ τῆς βασιλείας πράγματα παραδοῦναι προσήκει." Θευδάτου μὲν ἡ γραφὴ τοσαῦτα ἐδήλου. βασιλεὺς δὲ ὑπεράγαν ἡσθεὶς ἀμείβεται ὧδε „Πάλαι μέν σε ξυνετὸν εἶναι ἀκοῇ εἶχον, νῦν δὲ καὶ τῇ πείρᾳ μεμαθηκὼς οἶδα οἷς οὐκ ἔγνωκας τὸ τοῦ πολέμου καραδοκεῖν πέρας. ὅπερ ἤδη πεπονθότες τινὲς ἐν τοῖς μεP 323 γίστοις ἐσφάλησαν. καί σοι οὔ ποτε μεταμελήσει φίλους ἡμᾶς H 174 ἀντὶ πολεμίων ποιησαμένῳ. ἀλλὰ καὶ ταῦτα ἅπερ αἰτεῖς παρ' ἡμῶν ἕξεις, καὶ προσίσται σοι ἐν ταῖς πρώταις Ῥωμαίων τιμαῖς V 12 ἀναγράπτῳ εἶναι. νῦν μὲν οὖν Ἀθανάσιον καὶ Πέτρον ἀπέσταλκα, ὅπως ὁμολογίᾳ τινὶ ἑκατέρῳ τὸ βέβαιον ἔσται. ἥξει δὲ ὅσον οὔπω καὶ Βελισάριος παρὰ σὲ, πέρας ἅπασιν ἐπιθήσων ὅσα ἂν ἐν ἡμῖν ξυγκείμενα ᾖ. ταῦτα βασιλεὺς γράψας Ἀθανάσιόν τε τὸν τοῦ Ἀλεξάνδρου ἀδελφὸν, ὃς πρώην ἐς Ἀταλάριχον, B ὥσπερ ἐρρήθη, ἐπρέσβευσε, καὶ Πέτρον αὖθις τὸν ῥήτορα ἔπεμψεν, οὗ πρόσθεν ἐμνήσθην, ἐντειλάμενος τὰ μὲν χωρία τῆς βασιλέως οἰκίας, ἣν δὴ πατριμώνιον καλοῦσι, Θευδάτῳ νεῖμαι,

17. παρὰ σὲ L. παρά σε P. 20. ἐρρήθη] ἐῤῥέθη P. 22. πατριμώνιον] Vulgo πατριμόνιον.

nem parit. Si modo habeam praedia, unde mihi quotannis auri pondo saltem mille et ducenta proveniant, regnum his posthabebo, ac tibi statim Gothorum Italorumque imperium tradam: ut qui terram animo vacuo colere malim, quam regales inter sollicitudines vivere, quae me in alia ex aliis pericula mittant. Age, cum ocyus huc virum destina, cui conveniat, a me Italiam, et quidquid ad regnum spectat accipere. Haec significabat epistola Theodati: cui Imperator, summa auctus laetitia, in hunc modum rescripsit. *Te virum cordatum esse fama pridem acoeperum: nunc vero etiam experientia doctus talem agnosco, dum statuis non expectare exitum belli: quae demens expectatio iam quosdam in summi momenti rebus fefellit. At te nunquam poenitebit, quod nos ex hostibus amicos feceris: verum concessis iis, quae postulas, illud accedet, ut amplissimis Romanorum Magistratibus ascribaris. In praesenti Athanasium ac Petrum destino, rem ita composituros, ut ea praeclare stet utrique nostrum. Belisarius quoque propediem te conveniet, omnibus, quaecunque inter nos pepigerimus, extremam impositurus manum.* Haec ubi scripsit Imperator, Athanasium, fratrem Alexandri, legatione apud Atalaricum antea functi, ut dictum est, iterumque Petrum causidicum, de quo supra memini, misit, cum his mandatis; ut fundos, domui Regis addictos, quos patrimonium vocant, Theodato attribuerent: cum pacta re-*

γράμματα δὲ καὶ ὅρκους ὀχύρωμα ταῖς ξυνθήκαις ποιησαμένους οὕτω δὴ ἐκ Σικελίας Βελισάριον μεταπέμψασθαι, ἐφ' ᾧ τά τε βασίλεια καὶ Ἰταλίαν παραλαβὼν ξύμπασαν ἐν φυλακῇ ἔχει. καὶ Βελισαρίῳ ἐπέστειλεν ὥστε αὐτὸν, ἐπειδὰν μεταπέμψωνται, κατὰ τάχος ἥκειν.

ζ'. Ἐν ᾧ δὲ ταῦτα βασιλεὺς ἔπρασσε καὶ οἱ πρέσβεις οὗτοι ἐς Ἰταλίαν ἐστέλλοντο, ἐν τούτῳ Γότθοι, ἄλλων τε καὶ Ἀσιναρίου καὶ Γρίππα σφίσιν ἡγουμένων, στρατῷ πολλῷ ἐς Δαλματίαν ἦκον. ἐπειδή τε Σαλώνων ἄγχιστα ἵκοντο, Μαυρίκιος σφίσιν, ὁ Μούνδου υἱὸς, οὐκ ἐς παράταξιν, ἀλλ' ἐπὶ κατασκοπῇ ἔχων ξὺν ὀλίγοις τισὶν ὑπηντίαζε. καρτερᾶς δὲ γενομένης τῆς προσβολῆς Γότθων μὲν οἱ πρῶτοι καὶ ἄριστοι ἔπεσον, Ῥωμαῖοι δὲ σχεδὸν ἅπαντες καὶ Μαυρίκιος ὁ στρατηγός. ἅπερ ἐπεὶ ἤκουσε Μοῦνδος, περιώδυνός τε γενόμενος τῇ ξυμφορᾷ καὶ θυμῷ πολλῷ ἤδη ἐχόμενος, αὐτίκα μάλα ἐπὶ τοὺς πολεμίους οὐδενὶ κόσμῳ ἦει. τῆς τε μάχης καρτερᾶς γεγενημένης τὴν Καδμείαν νίκην Ῥωμαίοις νικῆσαι ξυνέπεσε. τῶν μὲν γὰρ πολεμίων ἐνταῦθα οἱ πλεῖστοι ἔπεσον καὶ ἡ τροπὴ λαμπρὰ ἐγεγόνει, Μοῦνδος δὲ κτείνων καὶ ὅποι παρατύχοι ἑπόμενος κατέχειν τὴν διάνοιαν τῇ τοῦ παιδὸς ξυμφορᾷ ὡς ἥκιστα ἔχων ὑφ' ὅτου δὴ τῶν φευγόντων πληγεὶς ἔπεσε, καὶ ἥ τε δίωξις ἐς τοῦτο ἐτελεύτα καὶ τὰ στρατόπεδα ἑκάτερα διελέλυντο. τότε Ῥωμαῖοι ἀνεμνήσθησαν τοῦ Σιβύλλης ἔπους, ὅπερ ἀδόμενον ἐν τῷ πρὶν χρόνῳ τέρας αὐτοῖς ἔδοξεν εἶναι. ἔλεγε

C

D

P 324

1. καὶ ὅρκους] καὶ om. L. 8. Γρίππα] γρίπα HL: Grippa Pers. 9. Σαλώνων] σαλώνῶν L. 16. καρτερᾶς H. κρατερᾶς P.

tulissent in tabulas, ac iuramentis firmassent, Belisarium accerserent e Sicilia, quo Palatium omnemque Italiam reciperet et custodiret. Ipsi deinde Belisario iniunxit ut ab illis accitus maturaret.

7. Dum haec tractat Imperator, et Legati, quos dixi, in Italiam proficiscuntur, interea Gotthi cum magno exercitu, Asinario, Grippa, aliisque ducibus, in Dalmatiam veniunt. Quibus ad Salonas progressis occurrit cum exigua manu Mauricius, Mundi filius, explorandi gratia, non pugnandi. Nihilominus acri commisso certamine, hinc Gotthorum primarii fortissimique, illinc Romani fere omnes cum duce Mauricio cecidérunt. Mundus, accepto nuntio, magnum ex infelici casu dolorem cepit: sex, ira ardens, adversus hostem incomposite properat. Validissime configitur: ac victoria quidem Romanis cedit, sed Cadmea. Confectis enim plerisque hostium, cum caeteri palam fugerent, Mundus caede furens, ac temere insequens, nec valens commotum filii casu animum cohibere, a quodam fugientium vulneratus occubuit: tandem hostis urgeri desitus, et uterque exercitus digressus est. Tunc Romani in memoriam revocarunt Sibyllinum oraculum, quod antea decantatum prodigii loco habe-

γὰρ τὸ λόγιον ἐκεῖνο ὡς, ἡνίκα ἂν Ἀφρικὴ ἔχηται, ὁ κόσμος ξὺν τῷ γόνῳ ὀλεῖται. τὸ μέντοι χρηστήριον οὐ τοῦτο ἐδήλου, ἀλλ' ὑπεπὸν ὅτι δὴ αὖθις ὑπὸ Ῥωμαίοις Λιβύη ἔσται καὶ τοῦτο ἐπεῖπεν, ὅτι τότε ξὺν τῷ παιδὶ ἀπολεῖται Μοῦνδος. λέγει γὰρ ὧδε, ἀερίσας ἄρτα ϛqΔqƧCUϚNϠ τζεριστασι. ἐπεὶ δὲ κόσμος τῇ Λατίνων φωνῇ ὁ Μοῦνδος δύναται, ᾠοντο ἀμφὶ τῷ κόσμῳ τὸ λόγιον εἶναι. ταῦτα μὲν δὴ ὧδέ πη ἔσχεν. ἐς δὲ Σάλωνας εἰσῆλθεν οὐδείς. οἵ τε γὰρ Ῥωμαῖοι ἐπ' οἴκου ἀνεχώρησαν, ἐπεὶ ἄναρχοι τὸ παράπαν ἐλείποντο, καὶ οἱ Γότθοι τῶν ἐρίστων οὐδενὸς σφίσιν ἀπολελειμμένου ἐς δέος ἐλθόντες τὰ ἐκείνῃ φρούρια ἔσχον· οὐδὲ γὰρ Σαλώνων τῷ περιβόλῳ ἐπίστευον, ἄλλως τε καὶ οὐ λίαν αὐτοῖς εὐνοϊκῶς ἐχόντων Ῥωμαίων, οἳ ταύτῃ ᾤκηντο.

Ταῦτα ἐπεὶ Θευδάτος ἤκουσε, τοὺς πρέσβεις ἤδη που παρ' αὐτὸν ἥκοντας ἐν οὐδενὶ ἐποιήσατο λόγῳ. εἰς γὰρ ἀπιστίαν ἱκανῶς ἐπεφύκει καὶ βέβαιον τὴν διάνοιαν οὐδαμῇ εἶχεν, ἀλλ' ἀεὶ αὐτὸν ἡ παροῦσα τύχη ἀλόγως τε καὶ τῶν καθ' ἑαυτὸν οὐκ ἐπαξίως ἔς τε ὀρρωδίαν ἀπῆγε μέτρον οὐκ ἔχουσαν καὶ αὖθις ἐς ἄφατόν τι ἀντικαθίστη θράσος. καὶ τότε γοῦν τοῦ θανάτου πέρι τοῦ Μούνδου τε ἀκούσας καὶ Μαυρικίου ἐπήρθη τε ὑπερά-

4. *λέγει γὰρ ὧδε*] Sibyllinum illud oraculum, quod hic legis, ita cusum exhibet Ioannes Opsopaeus in Sibyllinorum oraculorum fragmentis p. 432. *ἀερίσας ἄρτα* ϛqΔqƧCUϚNϠ TJPPIS7ΔƧI· MALT. In marginibus HP scriptum ϠqΔƧIƧCMϚNϠ.. 7. *σάλωνας* L. *Σαλώνας* P. 8. *ἀνεχωρησαν*] *ἐχώρησαν* L. 9. *καὶ οἱ* L. *οἱ* H. *οἱ δὲ* P.

bant. Sic enim illud accipiebant, ut dicerent, post captam Africam, Orbem sua progenie ad interitum redactum iri. Non erat haec sententia vaticinii: sed praenuntiato Africae reditu in ditionem Romanam, id sequebatur; tunc Mundum cum filio periturum. Etenim his verbis constabat: *Africa capta, Mundus cum nato peribis.* Et quoniam Mundus Latine Orbem universum significat, ad Orbem oraculum referebant. Sed haec hactenus. Salonas autem nemo se recepit. Nam et Romani, omnino orbati ducibus, rediere domum; et Gotthos, amisso exercitus robore, in regionis illius castella metus compulit. Neque enim Salonarum muris fidebant, praesertim cum Romani, urbis illius incolae, ipsis parum studerent.

Theodatus, his auditis, Legatos, qui ad ipsum iam venerant, nullo numero habere coepit. Erat enim perfidiosus natura, itaque mobilis, ut Fortuna, quaecunque adesset, eum temere, et contra personae ac muneris dignitatem, iam immodico terrore deiiceret; iam audacia efferret tanta, quantam verbis consequi nequeo. Tunc igitur allato necis Mundi ac Mauricii nuntio supra modum et rerum gestarum conditionem elatus, Le-

γαν καὶ οὐ κατὰ λόγον τῶν πεπραγμένων, καὶ τοὺς πρέσβεις ἤδη
περ᾽ αὐτὸν ἥκοντας ἐρεσχελεῖν ἠξίου. καὶ ἐπειδὴ αὐτῷ Πέτρος V 13
ποτὲ, ἅτε ὑπερβάντι τὰ βασιλεῖ ὡμολογημένα, ἐλοιδορεῖτο, ἔμφω
Θευδάτος δημοσίᾳ καλέσας ἔλεξε τοιάδε „Σεμνὸν μὲν τὶ χρῆμα
τῶν πρέσβεων καὶ ἄλλως ἔντιμον καθέστηκεν ἐς πάντας ἀνθρώ-
πους, τοῦτο δὲ τὸ γέρας ἐς τόδε οἱ πρέσβεις ἐν σφίσιν αἰτοῖς
διασώζουσιν, ἐς ὃ τῇ σφετέρᾳ ἐπιεικείᾳ φυλάξωσι τὸ τῆς πρεσ-
βείας ἀξίωμα. κτεῖναι γὰρ ἄνδρα πρεσβευτὴν ἐνδίκως νενομί-
κασιν ἄνθρωποι, ὅταν ἢ ἐς βασιλέα ὑβρίσας φαίνηται, ἢ γυ- D
ναικὸς ἄλλῳ ξυνοικούσης ἐς εὐνὴν ἔλθοι.“ Θευδάτος μὲν ταῦτα
ἐς Πέτρον ἀπέρριψεν, οὐχ ὅτι γυναικὶ ἐπλησίαζεν, ἀλλ᾽ ὅπως
ἰσχυρίσαιτο ἐγκλήματα γίνεσθαι ἐς πρεσβευτοῦ θάνατον ἄγοντα.
οἱ δὲ πρέσβεις ἀμείβονται τοῖσδε „Οὐ δὴ ταῦτα, ἃ Γότθων
ἀρχηγέ, ἥπερ εἴρηκας ἔχει, οὐδ᾽ ἂν σὺ παραπετάσμασιν οὐχ
ὑγιαίνουσιν ἀνόσια ἔργα ἐς ἀνθρώπους πρέσβεις ἐνδείξαιο. μοιχῷ H 175
μὲν γὰρ οὐδὲ βουλομένῳ πρεσβευτῇ πάρεστι γίνεσθαι, ᾧ γε οὐδὲ
ὕδατος μεταλαγχάνειν ὅτι μὴ γνώμῃ τῶν φυλασσόντων ῥᾴδιόν P 325
ἐστι. λόγους δὲ, ὅσους ἂν ἐκ τοῦ πέμψαντος ἀκηκοὼς εἴπῃ,
οὐκ αὐτὸς τὴν ἐντεῦθεν αἰτίαν, ἢν γε οὐκ ἀγαθοὶ τύχωσιν ὄντες,
εἰκότως ἂν λάβοι, ἀλλ᾽ ὃ μὲν κελεύσας φέροιτο ἂν δικαίως τὸ
ἔγκλημα τοῦτο, τῷ δὲ πρεσβευτῇ τὸ τὴν ὑπουργίαν ἐκτελέσαι
περίεστι μόνον. ὥστε ἡμεῖς μὲν ἅπαντα ἐροῦμεν ὅσα ἀκούσαν-
τες πρὸς βασιλέως ἐστάλημεν, σὺ δὲ ὅπως ἀκούσῃ πράως (τα-

7. ἐς ὃ τῇ] Vulgo ἐσόπον.

gatos, quos iam acceperat, argute ludificari aggressus est, ac die quodam, cum ei Petrus pactionem, quam cum Imperatore confecerat, violatam exprobrasset, accitis ambobus publice haec verba protulit. *Augusta quidem est, et apud omnes gentes verenda admodum Legationis functio. Hoc autem honore tamdiu Legati merito fruuntur, dum Legationis dignitatem modestia sua retinent. Etenim iure communi gentium occiditur Legatus, qui vel in Regem aperte fuit contumeliosus, vel torum cuiuspiam temeravit.* His Petrum Theodatus perstrinxit, non quod ille cum femina rem habuisset; verum ut ostenderet esse crimina, quae Legatum capitali supplicio obnoxium redderent. Legati vero sic responderunt. *Haec non ita se habent, ut dixisti, Gotthorum Princeps, nec tu Legatos gravium scelerum reos feceris, levibus vanisque praetextibus. Nequit enim, ut maxime velit, adulter esse Legatus, qui ne aquam quidem habere facile possit, nisi eorum, a quibus asservatur, permissu. Quod ad verba illius attinet, cum is omnia refert, quae a delegante accepit, si qua est in his culpa, eam iure sustineat qui imperavit, non Orator, in quo nihil, nisi ministri operam, spectes. Quare quidquid ex Imperatoris ore exceptum afferimus, dicemus: tu vero fac animo tranquillo audias: nam perturba-*

ραττομένῳ γάρ σοι ἀδικεῖν ἀνθρώπους πρέσβεις λελείψεται) ὥρα σοι ἑκόντι ἐπιτελεῖν ὅσα βασιλεῖ ὡμολόγησας. ἐπ' αὐτὸ γὰρ τοῦτο ἡμεῖς ἥκομεν. ἐπιστολὴν, ἣν σοι ἔγραψεν, ἤδη λαβὼν
B ἔχεις, τὰ δὲ γράμματα, ἃ τοῖς Γότθων πρώτοις ἔπεμψεν, οὐκ ἄλλοις τισὶν ἢ αὐτοῖς δώσομεν." ταῦτα τῶν πρέσβεων εἰπόντων, ἐπεὶ παρόντες οἱ τῶν βαρβάρων ἄρχοντες ἤκουσαν, Θευδάτῳ ἐγχειρίσαι τὰ γεγραμμένα σφίσιν ἐπέστελλον. εἶχε δὲ ὧδε „Ἐπιμελὲς γέγονεν ἡμῖν ἐν πολιτείᾳ ὑμᾶς ἀνελέσθαι τῇ ἡμετέρᾳ, ὥπερ ὑμᾶς ἠσθῆναι εἰκός. οὐ γὰρ ἐπὶ τῷ ἐλασσοῦσθαι, ἀλλ' ὅπως ἀξιώτεροι ἔσοισθε, ἐς ἡμᾶς ἥξετε. ἄλλως τε οὐκ ἐς ἤθη
C ξένα ἢ ἄλλως ἀγνῶτα Γότθους καλοῦμεν, ἀλλ' ὡς ἐθάσι γενομένοις ἡμῖν, κἂν ἐπὶ καιροῦ διεστάναι τετύχηκε. διὰ ταῦτα τοίνυν Ἀθανάσιός τε καὶ Πέτρος ἐστάλησαν, οἷς ὑμῖν ἐς ἅπαντα ξυλλαβέσθαι χρεών." τοσαῦτα μὲν ἡ γραφὴ ἐδήλου. Θευδάτος δὲ ἅπαντα ἀναλεξάμενος οὔτε τι ἔργῳ ἐπιτελεῖν ὧν βασιλεῖ ὑπέσχετο ἔγνω καὶ τοὺς πρέσβεις ἐν φυλακῇ οὐ μετρίᾳ εἶχε.

Βασιλεὺς δὲ Ἰουστινιανὸς ἐπεὶ ταῦτά τε καὶ τὰ ἐν Δαλματίᾳ ξυνενεχθέντα ἠκηκόει, Κωνσταντιανὸν μὲν, ὃς τῶν βασιλικῶν ἱπποκόμων ἦρχεν, εἰς Ἰλλυριοὺς ἔπεμψε, στρατιάν τε αὐτῷ ἐπιστείλας ἀγεῖραι καὶ Σαλώνων ἀποπειράσασθαι, ὅπως ἂν αὐτῷ δυνατὸν εἴη· Βελισάριον δὲ ἐς Ἰταλίαν τε κατὰ τάχος ἐκέλευεν ἰέναι καὶ Γότθοις ὡς πολεμίοις χρῆσθαι. Κωνσταντιανὸς μὲν
D *οὖν ἐς Ἐπίδαμνόν τε ἀφικόμενος καὶ χρόνον τινὰ διατρίψας ἐν-*

9. ὥπερ LPm. ὅσπερ HP. 10. ἔσοισθε] ἐσεῖσθε H.

tus, huc facile prolaberis, ut Legatorum ius violes. Nunc demum tempus est quaecunque Imperatori promisisti, implere sponte; eamque ob causam venimus, et tibi scriptas ab eo literas iam accepisti: quas autem ad Optimates Gotthorum dedit, ipsis tantum reddemus. Haec a Legatis dicta cum audiissent, qui aderant, Barbarorum primores, missas ad se literas iussere tradi Theodato: erant autem huiusmodi. *Id nobis cordi est, ut vos in nostrae Rei corpus publicae recipiamus: quod vobis iucundissmum esse debet. Venturos enim ad nos, non imminutio dignitatis, sed accessio manet et cumulus. In primis valeat, quod Gotthos non ad externa et ignota ipsis domicilia invitamus: verum familiares accimus nostros post interruptam aliquanto spatio consuetudinem. Quamobrem Athanasium et Petrum misimus, quorum operam iuvare vos in omnibus decet.* Haec erat literarum significatio; quas Theodatus cum perlegisset, longe aversus a praestanda Augusto promissi fide, Legatos severa custodia septos tenuit.

Postquam haec Iustinianus Aug. et quae in Dalmatia contigerant, audiit; Constantianum, sacri stabuli Comitem, in Illyricum misit, iussitque exercitum cogere, et Salonas tentare pro viribus: Belisario mandavit, ut in Italiam properaret, et pro hostibus haberet Gotthos. Ubi venit Epidamnum Constantianus, aliquandiu moratus ibi, conflavit exerci-

ταῦθ' στρατιὰν ἤγειρεν. ἐν τούτῳ δὲ Γότθοι, Γρίππα σφίσιν ἡγουμένου, στρατῷ ἑτέρῳ ἐς Δαλματίαν ἀφικόμενοι Σάλωνας ἔσχον· Κωνσταντιανός τε, ἐπεί οἱ τὰ τῆς παρασκευῆς ὡς ἄριστα εἶχεν, ἄρας ἐξ Ἐπιδάμνου τῷ παντὶ στόλῳ ὁρμίζεται ἐς Ἐπίδαυρον, ἥ ἐστιν ἐν δεξιᾷ ἐσπλέοντι τὸν Ἰόνιον κόλπον· ἔνθα δὴ ἄνδρας, οὓς ἐπὶ κατασκοπῇ Γρίππας ἔπεμψε, τετύχηκεν εἶναι. καὶ αὐτοῖς τάς τε ναῦς ἐπικατασκοποῦσι καὶ τὸ Κωνσταντιανοῦ στρατόπεδον ἔδοξε θάλασσά τε καὶ ἡ γῆ ξύμπασα στρατιωτῶν ἔμπλεως εἶναι, παρά τε τὸν Γρίππαν ἐπανήκοντες μυριάδας ἀνδρῶν οὐκ ὀλίγας Κωνσταντιανὸν ἐπάγεσθαι ἰσχυρίζοντο. ὁ δὲ ἐς δέος τι μέγα ἐμπεσὼν ὑπαντιάζειν τε τοῖς ἐπιοῦσιν ἀξύμφορον ᾤετο εἶναι καὶ πολιορκεῖσθαι πρὸς τοῦ βασιλέως στρατοῦ, οὕτω δὴ θαλασσοκρατοῦντος, ἥκιστα ἤθελε· μάλιστα δὲ αὐτὸν ξυνετάρασσεν ὁ τῶν Σαλώνων περίβολος, ἐπεὶ αὐτοῦ τὰ πολλὰ ἤδη καταπεπτώκει καὶ τῶν ταύτῃ ᾠκημένων τὰ ἐς Γότθους κομιδῇ ὕποπτα ἦν. καὶ διὰ τοῦτο ἐνθένδε παντὶ τῷ στρατῷ ἀπαλλαγὴς ὅτι τάχιστα ἐν τῷ πεδίῳ στρατοπεδεύεται, ὃ μεταξὺ Σαλώνων καὶ Σκαρδώνης πόλεώς ἐστι. Κωνσταντιανὸς δὲ ταῖς ναυσὶν ἁπάσαις πλέων ἐξ Ἐπιδαύρου, Λίσσῃ προσέσχεν, ἥ ἐν τῷ κόλπῳ κεῖται. ἐνθένδε τε τῶν ἑπομένων τινὰς ἔπεμψεν, ἐφ' ᾧ τὰ ἀμφὶ τῷ Γρίππᾳ διερευνώμενοι ὁποῖά ποτε ἦ ἐσαγγελοῦσιν.

P 326

V 14

11. ἐς δέος] εἰς δέος L. 16. ὕποπτα] ὕποπτον HL: illud HmLm. *ibid.* ἀπαλλαγὴς] ἀλλαγὴς L. 17. στρατοπεδεύεται] ἐστρατοπεδεύετο L, s a m. sec. 18. Σκαρδώνης Maltretus. Libri Κρότωνος. *Cremonem* Pers. *ibid.* ναυσὶν L. ναυσὶ P. 19. Λίσσῃ Maltretus. Libri Λυσίᾳ. *Lysenem appulit* Pers. 20. τινὰς] τισὶ H et L a pr. m.

tam. Interea Gotthi cum aliis copiis, Grippa duce, ingressi Dalmatiam, Salonas obtinuerunt. Optime tandem instructus Constantianus, Epidamno solvit, classemque universam appellit Epidaurum: quae urbs a dextera est sinum Ionium ingredientibus. Ibi tum agebant a Grippa missi exploratores: quibus classem et exercitum Constantiani inspicientibus, et mare et terra armato plena milite visa sunt. Itaque ad Grippam reversi, Constantianum non paucas virorum myriadas secum ducere asseverarunt. Quo ille nuntio perculsus, nec tutum esse ducebat ire obviam adventantibus, nec cingi obsidione a Caesarianis volebat, tam valide maris imperium obtinentibus. Salonarum praesertim muri, quorum iam pars magna corruerat, eum habebant sollicitum, et civium in Gotthos voluntas ipsi valde suspecta erat. Quocirca inde cum omnibus copiis quam celerrime egressus, in campo, Salonas et urbem Scardonam interiacente, castra metatur. Profectus Epidauro Constantianus universa cum classe navigat, et ad Lissam, quae in sinu sita est, applicat. Tum quosdam e suis mittit, renuntiaturos, quae de rebus Grippae explorate compere-

B ἀφ' ἂν δὴ τὸν πάντα λόγον πυθόμενος εὐθὺ Σαλώνων κατὰ τάχος ἔπλει. καὶ ἐπειδὴ αὐτῆς ἄγχιστα ἐγεγόνει, ἀπόβιβάσας τὸ στράτευμα ἐς τὴν ἤπειρον αὐτὸς μὲν ἐνταῦθα ἡσύχαζε, πεντακοσίους δὲ τοῦ στρατοῦ ἀπολέξας Σιφύλλαν τε αὐτοῖς ἄρχοντα ἐπιστήσας, τῶν δορυφόρων τῶν αὐτοῦ ἕνα, ἐκέλευε τὴν στενο- 5
χωρίαν καταλαβεῖν, ἣν δὴ ἐν τῷ τῆς πόλεως προαστείῳ ἐπύθετο εἶναι. καὶ Σιφύλλας μὲν κατὰ ταῦτα ἐποίει. Κωνσταντιανὸς δὲ καὶ ἡ στρατιὰ πᾶσα ἐς Σάλωνας τῇ ὑστεραίᾳ ἐσελάσαντες τῷ τε πεζῷ καὶ ταῖς ναυσὶ προσωρμίσαντο. Κωνσταντιανὸς μὲν Σαλώνων τοῦ περιβόλου ἐπεμελεῖτο, ἀνοικοδομούμενος σπουδῇ 10
C ἅπαντα ὅσα αὐτοῦ καταπεπτώκει· Γρίππας δὲ καὶ ὁ τῶν Γότ-
H 176 θων στρατὸς, ἐπειδὴ Ῥωμαῖοι Σάλωνας ἔσχον, ἑβδόμῃ ἡμέρᾳ ἐνθένδε ἀναστάντες ἐπὶ Ῥαβέννης ἀπεκομίσθησαν, οὕτω τε Κωνσταντιανὸς Δαλματίαν τε καὶ Λιβουρνίαν ξύμπασαν ἔσχε, Γότθους προσαγαγόμενος ἅπαντας, οἳ ταύτῃ ἵδρυντο. τὰ μὲν οὖν 15
ἀμφὶ Δαλματίαν ταύτῃ πῃ ἔσχε· καὶ ὁ χειμὼν ἔληγε, καὶ πρῶτον ἔτος ἐτελεύτα τῷ πολέμῳ τῷδε, ὃν Προκόπιος ξυνεγράψατο.

D η'. Βελισάριος δὲ φύλακας ἔν τε Συρακούσῃ καὶ Πανόρμῳ ἀπολιπὼν τῷ ἄλλῳ στρατῷ ἐκ Μεσσήνης διέβη ἐς Ῥήγιον (ἔνθα δὴ οἱ ποιηταὶ τήν τε Σκύλλαν γεγονέναι μυθοποιοῦσι καὶ Χάρυβδιν), καὶ αὐτῷ προσεχώρουν ὅσημέραι οἱ ταύτῃ ἄνθρωποι. τῶν τε γὰρ χωρίων, ἀτειχίστων σφίσιν ἐκ παλαιοῦ ὄντων, φυλακὴν 20

2. αὐτῆς] αὐτοῖς L. 9. τε om. L. 11. καταπεπτώκει] κατεπεπτώκει L. 19. Μεσσήνης] μεσύνης H. Μεσήνης P. Μεσσήνης Grotius ex MS.

rint. Ab his ordine edoctus omnia, recta Salonas cursum intendit. Proxime urbem delatus, expositis in terram copiis, ipse quidem ibi constitit; delectis vero quingentis, cum Siphyllan, e suis unum Protectoribus, praeposuisset, iniunxit ut angustias occuparent, quas in suburbiis esse audiverat. Siphyllas mandata fecit. Postridie Constantianus omnisque exercitus Salonas terra marique ingressi, in portu classem religarunt. Tum curam Constantianus ad reparandas propere ruinas omnes murorum contulit. Grippas autem et Gothorum exercitus, septimo post captas a Romanis Salonas die, inde moventes, Ravennam redierunt. Ita demum Constantianus Dalmatiam Liburniamque omnem obtinuit, conciliatis sibi omnibus Gothis, illarum partium incolis. Eo loci erant Dalmatiae res. Pariter cum hyeme primus annus exiit huius belli, quod literis commisit Procopius.

8. Belisarius, relicto Syracusis et Panormi praesidio, cum caeteris copiis Messana traiecit Rhegium; ubi Scyllam et Charybdin fuisse Poëtae fabulantur. Quotidie confluebant indigenae, in eius fidem se conferentes; cum oppida sua, a multo iam tempore nuda moenibus, tueri nol-

αὐτῶν οὐδαμῇ εἶχον καὶ κατὰ ἔχθος τῶν Γότθων μάλιστα· τῇ γὰρ παρούσῃ ἀρχῇ, ὡς τὸ εἰκὸς, ἤχθοντο. ἐκ δὲ Γότθων αὐτόμολος παρὰ Βελισάριον Ἐβριμοὺθ ξὺν παισὶ τοῖς ἑπομένοις ἦλθεν, ὃ Θευδάτου γαμβρὸς, ὃς τῇ ἐκείνου θυγατρὶ Θευδενάν- P 327
θῃ ξυνῴκει. αὐτίκα τε παρὰ βασιλέως σταλεὶς, γερῶν τε ἄλλων ἔτυχε καὶ ἐς τὸ πατρικίων ἀξίωμα ἦλθε. τὸ δὲ στράτευμα ἐκ Ῥηγίου πεζῇ διὰ Βρουτίων τε καὶ Λευκανῶν ἦει, παρηκολούθει τε ἄγχιστα τῆς ἠπείρου ὁ τῶν νηῶν στόλος. ἐπεὶ δὲ ἐς Καμπανίαν ἀφίκοντο, πόλει ἐνέτυχον ἐπιθαλασσίᾳ, Νεαπόλει ὄνομα, χωρίῳ τε ἐχυρῷ καὶ Γότθων πολλὴν φρουρὰν ἐχούσῃ. καὶ τὰς μὲν ναῦς Βελισάριος ἐκέλευεν ἐν τῷ λιμένι ἔξω βελῶν ὄντι ὁρμίζεσθαι, αὐτὸς δὲ τῆς πόλεως ἐγγὺς στρατόπεδον ποιησάμενος πρῶτον μὲν τὸ φρούριον, ὃ ἐν τῷ προαστείῳ ἐστὶν, ὁμολογίᾳ εἷλεν, ἔπειτα δὲ καὶ τοῖς ἐν τῇ πόλει δεομένοις ἐπέτρεπε τῶν τι- B
νας λογίμων ἐς τὸ στρατόπεδον πέμψαι, ἐφ' ᾧ ἐπείπωσί τε ὅσα αὐτοῖς βουλομένοις ἐστὶ καὶ τοὺς λόγους ἀκούσαντες τοὺς αὐτοῦ ἐς τὸ πᾶν ἀναγγείλωσιν. αὐτίκα οὖν οἱ Νεαπολῖται Στέφανον πέμπουσιν. ὃς ἐπεὶ παρὰ Βελισάριον ἦκεν, ἔλεξε τοιάδε „Οἱ δίκαια ποιεῖς, ὦ στρατηγὲ, ἐπ' ἄνδρας Ῥωμαίους καὶ οἰδὲν ἀδικοῦντας στρατεύων, οἳ πόλιν τε μικρὰν οἰκοῦμεν καὶ βαρβάρων δεσποτῶν φρουρὰν ἔχομεν, ὥστε οὐδὲ ἀντιπρᾶξαι, ἢν ἐθέλωμεν, ἐφ' ἡμῖν εἶναι. ἀλλὰ καὶ φρουροῖς τοῖσδε ξυμβαίνει παῖ-

3. Ἐβριμοὺθ P ex Reg. *Ebrimirus* Pers ἐβρίμου H. ἐβρίμος Hm. *ibid.* παισὶ LHm. πᾶσι HP. 7. Βρουτίων] βρυτίων H: illud Hm. 10. χωρίῳ τε ἐχυρῷ] χωρίον τε ἔχυρον L. 15. ἐς τὸ] εἰς τὸ L. 18. ἔλεξε] ἔλεγξε L.

lent, maximeque odissent Gotthos, dominatu, quo tunc premebantur, offensi merito. E Gotthis Ebrimuth, gener Theodati, cuius filiam Theodenantham uxorem duxerat, cum omni suo comitatu ad Belisarium transfugit, et statim ad Imperatorem profectus, praeter honores alios, Patricii dignitatem obtinuit. Rhegio exercitus terrestri itinere per Brutiorum et Lucanorum oras processit, prosequente classe non procul a continente. Ingressi Campaniam devenerunt ad urbem maritimam (Neapolin vocant) munitam admodum, et magno Gotthorum praesidio instructam. Ac naves quidem Belisarius in portu extra teli iactum haerere iussit: ipse vero prope urbem metatus, ante omnia castellum suburbanum deditione cepit: deinde civibus, quod petebant, concessit, ut quosdam ex Optimatibus in castra mitterent, qui quaecunque vellent elocuti, vicissim quae ex ipso audissent, publice renuntiarent. Confestim Neapolitani Stephanum destinant, qui ad Belisarium admissus, ita disseruit. *Inique facis, Magister militum, cum bellum infers Romanis insontibus, et urbis parvae incolis, ita constrictis Barbarorum dominorum praesidio, ut, si libet repugnare, non liceat. Accedit quod isti praesidium apud nos agita-*

δώς τε καὶ γυναῖκας καὶ τὰ τιμιώτατα ὑπὸ ταῖς Θευδάτου χερσὶν
ἀπολιποῦσιν ἐπὶ τῇ ἡμετέρᾳ φυλακῇ ἥκειν. οὐκοῦν, ἤν τι ἐς
C ὑμᾶς πράξωσιν, οὐ τὴν πόλιν, ἀλλὰ σφᾶς αὐτοὺς καταπροδι-
δόντες φανήσονται. εἰ δὲ δεῖ τἀληθὲς οὐδὲν ὑποστειλαμένους
V 15 εἰπεῖν, οὐδὲ τὰ ξύμφορα ὑμῖν αὐτοῖς βουλευσάμενοι ἐφ' ἡμᾶς 5
ἥκετε. Ῥώμην μὲν γὰρ ἑλοῦσιν ὑμῖν καὶ Νεάπολις οὐδενὶ πόνῳ
ὑποχειρία ἔσται, ἐκείνης δὲ, ὡς τὸ εἰκὸς, ἀποκρουσθέντες οὐδὲ
ταύτην ἀσφαλῶς ἕξετε. ὥστε τηνάλλως ὁ χρόνος ὑμῖν ἐν τῇ
προσεδρείᾳ τετρίψεται ταύτῃ." τοσαῦτα μὲν Στέφανος εἶπε.

Βελισάριος δὲ ἀμείβεται ὧδε „Τὸ μὲν εὖ ἢ ἄλλως ἡμᾶς 10
βουλευσαμένους ἐνθάδε ἥκειν οὐ Νεαπολίταις σκοπεῖν δώσομεν.
ἃ δέ ἐστι τῆς ὑμετέρας βουλῆς ἄξια, βουλόμεθα σκοπουμένους
D ὑμᾶς οὕτω δὴ πράσσειν ὅσα ἂν ξυνοίσειν ὑμῖν αὐτοῖς μέλλῃ.
δέξασθε τοίνυν τὸν βασιλέως στρατὸν ἐπὶ τῇ ἐλευθερίᾳ τε ὑμῶν
καὶ τῶν ἄλλων Ἰταλιωτῶν ἥκοντα, καὶ μὴ τὰ πάντων ἀνιαρό- 15
τατα ἐφ' ὑμῖν ἕλησθε. ὅσοι μὲν γὰρ δουλείαν ἢ ἄλλο τι ἀνα-
δυόμενοι τῶν αἰσχρῶν ἐς πόλεμον χωροῦσιν, οὗτοι δὴ ἔν γε τῷ
ἀγῶνι εὐημεροῦντες εὐτυχήματα διπλᾶ ἔχουσι, ξὺν τῇ νίκῃ καὶ
τὴν τῶν κακῶν ἐλευθερίαν κτησάμενοι, καὶ ἠσσώμενοι φέρονταί
τι αὐτοῖς παραμύθιον, τὸ μὴ ἑκόντες τῇ χείρονι ἕπεσθαι τύχῃ· 20
οἷς δὲ παρὸν ἀμαχητὶ ἐλευθέρους εἶναι, οἱ δὲ ὅπως τὴν δουλείαν
βέβαιον ἕξουσιν ἐς ἀγῶνα καθιστῶνται, οὗτοι δὴ καὶ νενικηκό-

3. ὑμᾶς Grotius. Vulgo ἡμᾶς. 9. προσεδρείᾳ] Vulgo προσε-
δρίᾳ. 12. ὑμετέρας Grotius. ἡμετέρας P. 15. ἀνιαρότατα]
Vulgo ἀνιαρώτατα.

turi venerunt, relictis sub Theodati manu liberis, uxoribus, rebusque pretiosissimis. Quare si quid in eum moliti nobiscum fuerint, se ipsi potius prodidisse videbuntur, quam urbem. Ac si verum libere fatendum est, vestris rationibus adversatur susceptum a vobis consilium nos invadendi. Vos quidem, ubi Romam ceperitis, Neapoli quoque nullo negotio potiemini: ab illa autem repulsi, neque hanc, ut patet, obtinebitis tuto. Itaque tempus in hac obsidione inutiliter traducetis. Hactenus Stephanus.

At Belisarius ita reposuit. *Rectene an secus consulta ac provisa re huc venerimus, considerandum Neapolitanis non proponemus: sed quae a nobis institutam modo consultationem merentur, ea volumus ut expendatis, et quidquid e re vestra futurum est, amplectamini. Ergo missum ad vos caeterosque Italos in libertatem vindicandos exercitum Imperatoris accipite, nec bonis deterrima omnium praeoptate. Qui ne servitium aliudve dedecus patiantur, bellum suscipiunt; ii sane, si rem prospere gesserint, fructum inde duplicem referunt, victores utique et malis liberi redeuntes: sin victi fuerint; hoc saltem reportant solatium, quod inviti Fortunam infestam sequantur. Quibus vero, cum citra pugnam excutere iugum liceat, ut firmius id retineat, pugnare libet; illis vel ipsa victoria, si forte cesse-*

τες, ἂν οὕτω τύχοι, ἐν τοῖς ἀναγκαιοτάτοις ἐσφάλησαν, καὶ P 328
κατὰ τὴν μάχην ἐλασσόνως ἢ ἐβούλοντο ἀπαλλάξαντες ξὺν τῇ
ἄλλῃ κακοδαιμονίᾳ καὶ τὴν ἀπὸ τῆς ἥσσης ξυμφορὰν ἔξουσι.
πρὸς μὲν οὖν Νεαπολίτας ἡμῖν τοσαῦτα εἰρήσθω. Γότθοις δὲ
τοῖς παροῦσιν αἵρεσιν δίδομεν, ἢ ξὺν ὑμῖν τοῦ λοιποῦ ὑπὸ βασι-
λεῖ τῷ μεγάλῳ τετάχθαι, ἢ κακῶν ἀπαθέσιν οἴκαδε τὸ παράπαν
ἰέναι. ὡς, ἢν τούτων ἁπάντων αὐτοί τε καὶ ὑμεῖς ἀμελήσαντες
ὅπλα ἡμῖν ἀνταίρειν τολμήσητε, ἀνάγκη καὶ ἡμᾶς, ἢν θεὸς θέ-
λῃ, τῷ προστυχόντι ὡς πολεμίῳ χρῆσθαι. εἰ μέντοι βουλομέ- H 177
νοις ἦ Νεαπολίταις τά τε βασιλέως ἑλέσθαι καὶ δουλείας οὕτω B
χαλεπῆς ἀπηλλάχθαι, ἐκεῖνα ὑμῖν ἀναδέχομαι τὰ πιστὰ διδοὺς
ἔσεσθαι πρὸς ἡμῶν, ἃ Σικελιῶται πρώην ἐλπίσαντες ψευδορ-
κίους ἡμᾶς οὐκ ἔσχον εἰπεῖν."

Ταῦτα μὲν Στέφανον Βελισάριος ἐς τὸν δῆμον ἀπαγγέλλειν
ἐκέλευεν. ἰδίᾳ δέ οἱ μεγάλα ὑπέσχετο ἀγαθὰ ἔσεσθαι, Νεαπο-
λίτας ἐς εὔνοιαν τὴν βασιλέως ὁρμήσοντι. Στέφανος δὲ ἐς τὴν
πόλιν ἥκων τούς τε Βελισαρίου λόγους ἀπήγγελλε καὶ γνώμην αὐ-
τὸς ἀπεφαίνετο βασιλεῖ μάχεσθαι ἀξύμφορον εἶναι. καί οἱ ξυνέ-
πρασσεν Ἀντίοχος, Σύρος μὲν ἀνὴρ, ἐκ παλαιοῦ δὲ ᾠκημένος C
ἐν Νεαπόλει ἐπὶ τῇ κατὰ θάλασσαν ἐργασίᾳ καὶ δόξαν πολλὴν
ἐπί τε ξυνέσει καὶ δικαιοσύνῃ ἐνταῦθα ἔχων. Πάστωρ δὲ καὶ
Ἀσκληπιόδοτος ῥήτορε μὲν ἦστην καὶ λίαν ἔν γε Νεαπολίταις λο-
γίμω, Γότθοις δὲ φίλω ἐς τὰ μάλιστα, καὶ τὰ παρόντα ὡς

7. καὶ ὑμεῖς H. καὶ om. P. 17. ἀπήγγελλε] Vulgo ἀπήγγελε.

rit, in rebus maxime necessariis fraudi est: peius autem, quam optabant, certamine perfunctis, ad caeteras aerumnas calamitas cladis accedit. Atque haec Neapolitanis dicta sunto. Gotthis vero hic degentibus optionem facimus, utrum malint nobiscum deinceps Imperatori magno parere, an redire domum incolumes. Iam, si his prorsus repudiatis conditionibus, arma in nos tollere audeatis, non poterimus facere, volente Deo, quin obvium quemque hostiliter accipiamus. At si Neapolitanis sequi partes Augusti placet, seque adeo dura servitute eximere; interposita fide recipio, a nobis bona in vos eadem profectura, quorum spem Siculis antea ita fecimus, ut nos periurii insimulare merito nequeant.

Haec Stephano Belisarius referenda publice commisit: privatim magna spopondit praemia, si Neapolitanorum animos ad Imperatorem converteret. Reversus in urbem Stephanus, sibi dicta a Belisario retulit, mamque ipse sententiam promens, perniciosum fore civibus cum Augusto bellum asseruit. Cum eo conspirabat Antiochus, natione Syrus; qui commercii maritimi gratia iampridem habitabat Neapoli, magna cum laude prudentiae et probitatis. Ibidem erant Pastor et Asclepiodotus, Advocati, et inter Neapolitanos admodum clari. Hi Gotthis amicissimi

ἥκιστα βουλομένῳ μεταβάλλεσθαι. τούτῳ τῷ ἀνδρὶ βουλευσαμένῳ ὅπως τὰ πρασσόμενα ἐν κωλύμῃ ἔσται, πολλά τε καὶ μεγάλα τὸ πλῆθος ἐνηγέτην προϊσχεῖσθαι καὶ Βελισάριον ὅρκοις καταλαμβάνειν ὅτι δὴ τούτων αὐτίκα μάλα πρὸς αὐτοῦ τεύξονται. ἐν βιβλιδίῳ δὲ ἅπαντα γράψαντε ὅσα Βελισάριον οὐκ ἂν τις ἐν- 5
D δέξασθαι ὑπετόπασε Στεφάνῳ ἔδοσαν. ὃς ἐπεὶ ἐς τὸ βασιλέως στρατόπεδον αὖθις ἀφίκετο, τῷ στρατηγῷ ἐπιδείξας τὸ γραμματεῖον ἐπυνθάνετο εἴ οἱ πάντα τε ἐπιτελέσειν ὅσα Νεαπολῖται προτείνονται καὶ περὶ τούτων ὁμεῖσθαι βουλομένῳ εἴη. ὁ δὲ αὐτὸν, ἅπαντα σφίσιν ἐπιτελῆ ἔσεσθαι ὑποσχόμενος, ἀπεπέμ- 10
ψατο. ταῦτα Νεαπολῖται ἀκούσαντες τούς τε λόγους ἐνεδέχοντο ἤδη καὶ κατὰ τάχος ἐκέλευον τῇ πόλει τὸ τοῦ βασιλέως στράτευμα δέχεσθαι. ἀπαντήσειν γὰρ αὐτοῖς σφίσιν ἰσχυρίζοντο οὐδὲν ἄχαρι, εἴ τῳ ἱκανοὶ Σικελιῶται τεκμηριῶσαι. οἷς δὴ τετύχηκεν, ἔναγχος βαρβάρων τυράννων τὴν Ἰουστινιανοῦ βασιλείαν 15
ἀλλαξαμένοις, ἐλευθέροις τε εἶναι καὶ ἀπαθέσι δυσκόλων ἁπάντων. καὶ πολλῷ θορύβῳ ἐχόμενοι ἐπὶ τὰς πύλας ὡς δὴ αὐτὰς ἀνακλινοῦντες ἦεσαν. Γότθοις δὲ οὐκ ἦν ἐν ἡδονῇ τὰ πρασσό-
P 329 μενα, κωλύειν μέντοι οὐχ οἷοί τε ὄντες ἐκποδὼν ἵσταντο. Πάστωρ δὲ καὶ Ἀσκληπιόδοτος τόν τε δῆμον καὶ Γότθους ἅπαντας 20
εἰς ἕνα ξυγκαλέσαντες χῶρον ἔλεξαν τοιάδε „Πόλεως μὲν πλῆθος ἑαυτούς τε καὶ τὴν ἑαυτῶν σωτηρίαν προϊέσθαι οὐδὲν ἀπεικὸς ἦν, ἄλλως τε ἦν καὶ μηδενὶ τῶν δοκίμων κοινώσαντες εἶτα

4. πρὸς αὐτοῦ] πρὸς om. L. 12. τοῦ βασιλέως L. Aberat τοῦ.

cum essent, nec vellent praesentem rerum statum mutari, ratione inter se inita, qua coeptum disturbarent, multitudini instabant, ut multas ac magnas proponeret conditiones, et Belisarium iureiurando obstringeret, quo fidem is faceret, se promissa non dilaturum. Denique omnia, quae Belisarium nemo admissurum putaret, in libello perscripta, dedere Stephano: qui iterum Caesarea castra ingressus, cum libellum Magistro militum obtulisset, rogavit, velletne, quaecunque Neapolitani peterent, exequi, et iureiurando firmare? Ille vero in omnibus satis ipsis factum iri pollicitus, Stephanum remisit. His auditis, assensum testari voce Neapolitani; clamitare, accipiendum in urbem esse Imperatoris exercitum: pro certo iactare, nullo modo fraudi id sibi fore; cuivis rem planam fieri exemplo Siculorum, qui Tyrannis Barbaris nuper valere iussis, ut se Iustiniani imperio subderent, libertate gaudeant, omni molestia vacui. Iamque ad portas tumultuose decurrebant, ut eas panderent; his autem offensi Gotthi, nec valentes obsistere, abscedebant: cum et populum et Gotthos omnes Pastor atque Asclepiodotus unum in locum convocarunt, itaque sunt allocuti. *Cum civitatis plebs in praecipitem locum se et salutem suam committit, id facit, quod in proclivi est; praesertim si cum nullo Procerum communicato consilio, de rerum summa ad arbitrium*

αὐτόνομον τὴν περὶ τῶν ὅλων ποιήσωνται γνῶσιν. ἡμᾶς δὲ ἀνάγκη ξὺν ὑμῖν ὅσον οὔπω ἀπολουμένους ὕστατον ἔρανον τῇ πατρίδι τήνδε παρέχεσθαι τὴν παραίνεσιν. ὁρῶμεν τοίνυν ὑμᾶς, V 16
ὄνδρες πολῖται, καταπροδιδόναι Βελισαρίῳ ὑμᾶς τε αὐτοὺς καὶ τὴν πόλιν ἐπειγομένους, πολλά τε ὑμᾶς ἀγαθὰ ἐπαγγελλομένῳ ἐργάζεσθαι καὶ ὅρκους δεινοτάτους ὑπὲρ τούτων ὀμεῖσθαι. εἰ B
μὲν οὖν καὶ τοῦτο ἡμῖν ἀναδέχεσθαι οἷός τε ὡς ἐς αὐτὸν ἥξειν τὸ τοῦ πολέμου κράτος, οὐδεὶς ἀντείποι μὴ οὐχὶ ταῦτα ἡμῖν ξύμφορα εἶναι. τῷ γὰρ κυρίῳ γενησομένῳ μὴ οὐχὶ πάντα χαρίζεσθαι πολλὴ ἄνοια. εἰ δὲ τοῦτο μὲν ἐν ἀδήλῳ κεῖται, ἀνθρώπων δὲ οὐδεὶς ἀξιόχρεώς ἐστι τὴν τῆς τύχης ἀναδέχεσθαι γνώμην, σκέψασθε ὑπὲρ οἵων ὑμῖν συμφορῶν ἡ σπουδὴ γίγνεται. ἢν γὰρ τῷ πολέμῳ Γότθοι τῶν δυσμενῶν περιέσωνται, ὡς πολεμίους ὑμᾶς, τὰ δεινότατα σφᾶς αὐτοὺς εἰργασμένους, κολάσουσιν. οὐ γὰρ ἀνάγκῃ βιαζόμενοι, ἀλλὰ γνώμῃ ἐθελοκακοῦντες ἐς τὴν προδοσίαν καθίστασθε. ὥστε καὶ Βελισαρίῳ κρατήσαντι τῶν πολεμίων ἴσως ἄπιστοί τε φανοίμεθα καὶ τῶν ἡγουμένων προδόται, C
καὶ, ἅτε δραπέται γεγενημένοι, ἐς πάντα τὸν αἰῶνα φρουρὰν πρὸς βασιλέως κατὰ τὸ εἰκὸς ἕξομεν. ὁ γάρ του προδότου τετυχηκὼς τῇ μὲν χάριτι ἐς τὸ παραυτίκα νικήσας ἥσθη, ὑποψίᾳ δὲ ὕστερον τῇ ἐκ τῶν πεπραγμένων μισεῖ καὶ φοβεῖται τὸν εὐεργέτην, αὐτὸς ἐφ' ἑαυτῷ τὰ τῆς ἀπιστίας γνωρίσματα ἔχων. ἢν μέντοι πιστοὶ Γότθοις ἐν τῷ παρόντι γενώμεθα, γενναίως ὑπο-

7. ὡς om. L. 12. γίγνεται] γίνεται L. 13. περιέσωνται] περιέσονται L. 14. ὑμᾶς] ἡμᾶς L.

suam constituit. Nos autem, communi instante exitio, facere non possumus, quin de patria bene mereamur nunc ultimum, hac saltem cohortatione. Ergo, Cives, omni, ut videmus, ope contenditis, vos urbemque permittere Belisario, montes vobis pollicenti aureos, ac iusiurandum sanctissimum offerenti. Ista quidem vobis conducere nemo non fateatur, si id quoque promittere Belisarius possit, se bello potiturum. Summae enim esset dementiae, non quidlibet gratificari futuro domino. Verum si haec in incerto posita sunt, nec mortalium quisquam idoneus est fideiussor fortunae, videte quas calamitates accersere studeatis. Nam si Gothi bello superiores evaserint; poenam vobis irrogabunt, ut hostibus infensissimis: quippe qui nulla adacti necessitate, sed perfida adducti segnitie, in proditionem incubueritis. Ex quo etiam fiet ut ipse Belisarius, si forte vicerit, nos infidos et nostrorum proditores Principum iudicet, ac tanquam transfugas perpetuo, ut par est, praesidio Imperator fraenet. Et vero qui proditorem, quo utatur, nactus est, eius quidem beneficio repente victor oblectatur; at postea, ob admissam fraudem suspectum, odit, ac talis auctorem beneficii timet, signa illius perfidiae apud se habens. Rursus, modo Gothis in praesenti fidem servemus, fortiter dimicando; si quidem hostem

στάντες τὸν κίνδυνον, αὐτοί τε τῶν πολεμίων κρατήσαντες μεγάλα ἡμᾶς ἀγαθὰ δράσουσι καὶ Βελισάριος ἡμῖν νενικηκὼς, ἂν οὕτω τύχῃ, ξυγγνώμων ἔσται. εὔνοια γὰρ ἀποτυχοῦσα πρὸς οὐδενὸς ἀνθρώπου ὅτι μὴ ἀξυνέτου κολάζεται. τί δὲ καὶ παH 178 θόντες κατωρρωδήκατε τῶν πολεμίων τὴν προσεδρείαν, οἳ οὔτε
D τῶν ἐπιτηδείων σπανίζοντες οὔτε του ἀποκεκλεισμένοι τῶν ἀναγκαίων καθίζεσθε οἴκοι, τῷ τε περιβόλῳ καὶ φρουροῖς τοῖσδε τὸ θαρρεῖν ἔχοντες; οἰόμεθα δὲ οὐδ' ἂν Βελισάριον ἐς τήνδε ξυμβῆναι τὴν ὁμολογίαν ἡμῖν, εἴ τινα βίᾳ τὴν πόλιν αἱρήσειν ἐλπίδα εἶχε. καίτοι εἰ τὰ δίκαια καὶ ἡμῖν ξυνοίσοντα ποιεῖν ἤθελεν, οὐ Νεαπολίτας αὐτὸν δεδίσσεσθαι ἐχρῆν οὐδὲ τῇ παρ' ἡμῶν ἐς Γότθους ἀδικίᾳ τὴν οἰκείαν βεβαιοῦν δύναμιν, ἀλλὰ Θευδάτῳ τε καὶ Γότθοις ἐς χεῖρας ἰέναι, ὅπως κινδύνου καὶ προδοσίας ἡμετέρας χωρὶς ἡ πόλις ἐς τὸ τῶν νικώντων χωρήσει κράτος." τοσαῦτα Πάστωρ τε καὶ Ἀσκληπιάδοτος εἰπόντες τοὺς Ἰουδαίους παρῆγον ἰσχυριζομένους τὴν πόλιν τῶν ἀναγκαίων οὐδενὸς ἐνδεᾶ ἔσεσθαι, καὶ Γότθοι δὲ φυλάξειν ἀσφαλῶς τὸν περίβολον ἰσχυP 330 ρίζοντο. οἷς δὴ Νεαπολῖται ἠγμένοι ἐκέλευον Βελισάριον ἐνθένδε ὅτι τάχιστα ἀπαλλάσσεσθαι. ὁ δὲ ἐς τὴν πολιορκίαν καθίστατο. πολλάκις τε τοῦ περιβόλου ἀποπειρασάμενος ἀπεκρούσθη, τῶν στρατιωτῶν ἀπολέσας πολλοὺς, καὶ μάλιστα οἷς δὴ ἀρετῆς τι μεταποιεῖσθαι ξυνέβαινε. τὸ γὰρ Νεαπόλεως τεῖχος τὰ μὲν θαλάσσῃ, τὰ δὲ δυσχωρίαις τισὶν ἀπρόσοδόν τε ἦν καὶ τοῖς ἐπιβου-

5. προσεδρείαν] Vulgo προσεδρίαν. ibid. οὔτε — οὔτε] οὐδὲ — οὐδὲ P. 8. 19. ἐς] εἰς L.

debellaverint, ab ipsis bona amplissima; sin forte vicerit Belisarius, ab eo veniam consequemur. Nemo enim, nisi excors, amorem infeliciter fidelem plectit. Quid vero vobis accidit, ut obsidionem hostilem expaveatis, cum nec ab annona imparati, nec commeatibus intercusi, domi sedeatis in otio, moenibus atque hisce praesidiariis praebentibus securitatem? Si qua certe spes expugnandae urbis Belisario foret, ad factionem eiusmodi, ut equidem sentimus, non accessisset: ac si iustitiae nostraeque utilitati studeret, sibi non committendum putaret, ut terrorem incuteret Neapolitanis, et nostro in Gotthos scelere suam potentiam stabiliret: sed cum Theodato et Gotthis conferret manum, ut in victoris potestatem veniret urbs, sine periculo nostro ac proditione. Sic locuti Pastor et Asclepiodotus, Iudaeos nullam urbi rem necessariam defore affirmantes producunt: Gotthi se moenia tuto servaturos omni asseveratione recipiunt. Quibus promissis inducti Neapolitani, Belisario mandant, inde quamprimum moveat. At ille in obsidionem incubuit. Tentato saepe muro, repulsus est, multis amissis militibus, iisque generosissimis. Ad muros enim Neapolis qua mare, qua derupta loca negabant, aditum, et cum ob alia, tum propter

λεύσσει τά τε ἄλλα καὶ διὰ τὸ ἄναντες εἶναι οὐδαμῇ ἐσβατόν. καὶ τὸν ὀχετὸν μέντοι, ὃς ἐς τὴν πόλιν εἰσῆγε τὸ ὕδωρ, διελὼν Βελισάριος, οὐ σφόδρα Νεαπολίτας ἐτάραξεν, ἐπεὶ φρέατα ἐντός τε ὄντα τοῦ περιβόλου καὶ τὴν χρείαν παρεχόμενα αἴσθησιν τούτου σφίσιν οὐ λίαν ἐδίδου.

Θ'. Οἱ μὲν οὖν πολιορκούμενοι λανθάνοντες τοὺς πολεμίους ἔπεμπον ἐς Ῥώμην παρὰ Θευδάτου βοηθεῖν σφίσι κατὰ τάχος δεόμενοι. Θευδάτος δὲ πολέμου παρασκευήν τινα ἥκιστα ἐποιεῖτο, ὧν μὲν καὶ φύσει ἄνανδρος, ὥσπερ μοι ἔμπροσθεν εἴρηται. λέγουσι δὲ αὐτῷ καὶ ἕτερόν τι ξυμβῆναι, ὃ μάλιστα αὐτὸν ἐξέπληξέ τε καὶ εἰς ὀρρωδίαν μείζω ἀπήνεγκεν, ἐμοὶ μὲν οὐ πιστὰ λέγοντες· καὶ ὡς δὲ εἰρήσεται. Θευδάτος καὶ πρότερον μὲν οὐκ ἀτέλεστος ἦν τῶν τι προλέγειν ἐπαγγελλομένων τὰς πίστεις ποιεῖσθαι, τότε δὲ τοῖς παροῦσιν ἀπορούμενος, ὃ δὴ μάλιστα τοὺς ἀνθρώπους ἐς μαντείας ὁρμᾶν εἴωθε, τῶν τινος Ἑβραίων, δόξαν ἐπὶ τούτῳ πολλὴν ἔχοντος, ἐπυνθάνετο ὁποῖόν ποτε τῷ πολέμῳ τῷδε τὸ πέρας ἔσται. ὁ δὲ αὐτῷ ἐπήγγειλε χοίρων δεκάδας τρεῖς καθειρξαντι ἐν οἰκίσκοις τρισὶ καὶ ὄνομα ποιησαμένῳ δεκάδι ἑκάστῃ, Γότθων τε καὶ τῶν Ῥωμαίων καὶ τῶν βασιλέως στρατιωτῶν, ἡμέρας ῥητὰς ἡσυχῇ μένειν. Θευδάτος δὲ κατὰ ταῦτα ἐποίει. καὶ ἐπειδὴ παρῆν ἡ κυρία, ἐν τοῖς οἰκίσκοις ἄμφω γενόμενοι ἐθεῶντο τοὺς χοίρους, εὗρόν τε αὐτῶν οἷς μὲν τὸ Γότθων ἐπῆν ὄνομα δυοῖν ἀπολελειμμένοιν νεκροὺς

14. δὲ] δὴ L. 17. ἐπήγγειλε] ἐπήγγειλλε L. 23. τὸ] Vulgo τῶν.

acclivitatem, insuperabiles erant aggredientibus. Nec multum Belisarius Neapolitanos turbavit, aquaeductu urbis inciso: nam cum intra murorum ambitum essent putei, qui sufficerent usibus necessariis, vix iactura illa sentiebatur.

9. Obsessi, clam hostibus, Romam miserunt, qui promptum a Theodato subsidium peterent. Is vero, ut erat natura ignavus, quemadmodum supra dixi, nullum belli apparatum habebat. Sunt qui causam aliam addant, oblatum nempe prodigium, quod illum perculerit ac terruerit vehementius: id ego etsi iudico incredibile, tamen narrabo. Theodatus, cum antea didicisset divinos consulere et fide dignari, consilii tunc laborans inopia, quae maxime ad exploranda vaticinia impellere solet homines, ex Hebraeo quodam, arte illa celeberrimo, quaesiit, quis exitus belli huius futurus esset? Praecepit ille, ut porcos triginta in cellulas tres, nimirum denos in unamquamque, concluderet, ac primam quidem decadem Gothos, alteram Romanos, tertiam Imperatoris milites appellaret; tum ad praestitutam diem quiesceret. Morem gessit Theodatus. Ubi dies dicta affuit, ambo cellas ingressi, porcos inspiciunt. Quibuscumque nomen impositum Gotthorum fuerat, eos inve-

ραττομένῳ γάρ σοι ἀδικεῖν ἀνθρώπους πρέσβεις λελείψεται) ὥρα σοι ἑκοντὶ ἐπιτελεῖν ὅσα βασιλεῖ ὡμολόγησας. ἐπ' αὐτὸ γὰρ τοῦτο ἡμεῖς ἥκομεν. ἐπιστολὴν, ἣν σοι ἔγραψεν, ἤδη λαβὼν
B ἔχεις, τὰ δὲ γράμματα, ἃ τοῖς Γότθων πρώτοις ἔπεμψεν, οὐκ ἄλλοις τισὶν ἢ αὐτοῖς δώσομεν." ταῦτα τῶν πρέσβεων εἰπόν- 5
των, ἐπεὶ παρόντες οἱ τῶν βαρβάρων ἄρχοντες ἤκουσαν, Θευδάτῳ ἐγχειρίσαι τὰ γεγραμμένα σφίσιν ἐπέστελλον. εἶχε δὲ ὧδε ,,Ἐπιμελὲς γέγονεν ἡμῖν ἐν πολιτείᾳ ὑμᾶς ἀνελέσθαι τῇ ἡμετέρᾳ, ᾧπερ ὑμᾶς ἠσθῆναι εἰκός. οὐ γὰρ ἐπὶ τῷ ἐλασσοῦσθαι, ἀλλ' ὅπως ἀξιώτεροι ἔσοισθε, ἐς ἡμᾶς ἥξετε. ἄλλως τε οὐκ ἐς ἤθη 10
ξένα ἢ ἄλλως ἀγνῶτα Γότθους καλοῦμεν, ἀλλ' ὡς ἐθάσι γενομένοις ἡμῖν, κἂν ἐπὶ καιροῦ διεστάναι τετύχηκε. διὰ ταῦτα τοίνυν Ἀθανάσιός τε καὶ Πέτρος ἐστάλησαν, οἷς ὑμῖν ἐς ἅπαντα
C ξυλλαβέσθαι χρεών." τοσαῦτα μὲν ἡ γραφὴ ἐδήλου. Θευδάτος δὲ ἅπαντα ἀναλεξάμενος οὔτε τι ἔργῳ ἐπιτελεῖν ὧν βασιλεῖ 15
ὑπέσχετο ἔγνω καὶ τοὺς πρέσβεις ἐν φυλακῇ οὐ μετρίᾳ εἶχε.

Βασιλεὺς δὲ Ἰουστινιανὸς ἐπεὶ ταῦτά τε καὶ τὰ ἐν Δαλματίᾳ ξυνενεχθέντα ἠκηκόει, Κωνσταντιανὸν μὲν, ὃς τῶν βασιλικῶν ἱπποκόμων ἦρχεν, εἰς Ἰλλυριοὺς ἔπεμψε, στρατιάν τε αὐτῷ ἐπιστείλας ἀγεῖραι καὶ Σαλώνων ἀποπειράσασθαι, ὅπως ἂν αὐτῷ 20
δυνατὸν εἴη· Βελισάριον δὲ ἐς Ἰταλίαν τε κατὰ τάχος ἐκέλευεν ἰέναι καὶ Γότθοις ὡς πολεμίοις χρῆσθαι. Κωνσταντιανὸς μὲν
D οὖν ἐς Ἐπίδαμνόν τε ἀφικόμενος καὶ χρόνον τινὰ διατρίψας ἐν-

9. ᾧπερ LPm. ὥσπερ HP. 10. ἔσοισθε] ἔσεῖσθε H.

tus, huc facile prolaberis, ut Legatorum ius violes. Nunc demum tempus est quaecunque Imperatori promisisti, implere sponte; eamque ob causam venimus, et tibi scriptas ab eo literas iam accepisti: quas autem ad Optimates Gotthorum dedit, ipsis tantum reddemus. Haec a Legatis dicta cum audiissent, qui aderant, Barbarorum primores, missas ad se literas iussere tradi Theodato: erant autem huiusmodi. *Id nobis cordi est, ut vos in nostrae Rei corpus publicae recipiamus: quod vobis iucundissmum esse debet. Venturos enim ad nos, non imminutio dignitatis, sed accessio manet et cumulus. In primis valeat, quod Gotthos non ad externa et ignota ipsis domicilia invitamus: verum familiares accimus nostros post interruptam aliquanto spatio consuetudinem. Quamobrem Athanasium et Petrum misimus, quorum operam iuvare vos in omnibus decet.* Haec erat literarum significatio; quas Theodatus cum perlegisset, longe aversus a praestanda Augusto promissi fide, Legatos severa custodia septos tenuit.

Postquam haec Iustinianus Aug. et quae in Dalmatia contigerant, audiit; Constantianum, sacri stabuli Comitem, in Illyricum misit, iussitque exercitum cogere, et Salonas tentare pro viribus: Belisario mandavit, ut in Italiam properaret, et pro hostibus haberet Gotthos. Ubi venit Epidamnum Constantianus, aliquandiu moratus ibi, conflavit exerci-

ταῦθα στρατιὰν ἤγειρεν. ἐν τούτῳ δὲ Γότθοι, Γρίππα σφίσιν ἡγουμένου, στρατῷ ἑτέρῳ ἐς Δαλματίαν ἀφικόμενοι Σάλωνας ἔσχον· Κωνσταντιανός τε, ἐπεί οἱ τὰ τῆς παρασκευῆς ὡς ἄριστα εἶχεν, ἄρας ἐξ Ἐπιδάμνου τῷ παντὶ στόλῳ ὁρμίζεται ἐς Ἐπίδαυρον, ἣ ἐστιν ἐν δεξιᾷ ἐσπλέοντι τὸν Ἰόνιον κόλπον· ἔνθα δὴ ἄνδρας, οὓς ἐπὶ κατασκοπῇ Γρίππας ἔπεμψε, τετύχηκεν εἶναι. καὶ αὐτοῖς τάς τε ναῦς ἐπικατασκοποῦσι καὶ τὸ Κωνσταντιανοῦ στρατόπεδον ἔδοξε θάλασσά τε καὶ ἡ γῆ ξύμπασα στρατιωτῶν ἔμπλεως εἶναι, παρά τε τὸν Γρίππαν ἐπανήκοντες μυριάδας ἀνδρῶν οὐκ ὀλίγας Κωνσταντιανὸν ἐπάγεσθαι ἰσχυρίζοντο. ὁ δὲ ἐς δέος τι μέγα ἐμπεσὼν ὑπαντιάζειν τε τοῖς ἐπιοῦσιν ἀξύμφορον ᾤετο εἶναι καὶ πολιορκεῖσθαι πρὸς τοῦ βασιλέως στρατοῦ, οὕτω δὴ θαλασσοκρατοῦντος, ἥκιστα ἤθελε· μάλιστα δὲ αὐτὸν ξυνετάρασσεν ὁ τῶν Σαλώνων περίβολος, ἐπεὶ αὐτοῦ τὰ πολλὰ ἤδη καταπεπτώκει καὶ τῶν ταύτῃ ᾠκημένων τὰ ἐς Γότθους κομιδῇ ὕποπτα ἦν. καὶ διὰ τοῦτο ἐνθένδε παντὶ τῷ στρατῷ ἀπαλλαγεὶς ὅτι τάχιστα ἐν τῷ πεδίῳ στρατοπεδεύεται, ὃ μεταξὺ Σαλώνων καὶ Σκαρδώνης πόλεως ἐστι. Κωνσταντιανὸς δὲ ταῖς ναυσὶν ἁπάσαις πλέων ἐξ Ἐπιδαύρου, Λίσσῃ προσέσχεν, ἣ ἐν τῷ κόλπῳ κεῖται. ἐνθένδε τε τῶν ἑπομένων τινὰς ἔπεμψεν, ἐφ' ᾧ τὰ ἀμφὶ τῷ Γρίππᾳ διερευνώμενοι ὁποῖά ποτε ἦ ἐσαγγελῶσιν.

P 326

V 14

11. ἐς δέος] εἰς δέος L. 16. ὕποπτα] ὕποπτον HL: illud HmLm. *ibid.* ἀπαλλαγεὶς] ἀλλαγεὶς L. 17. στρατοπεδεύεται] ἐστρατοπεδεύετο L, e a m. sec. 18. Σκαρδώνης Maltretus. Libri Κρότωνος. *Cremonem* Pers. *ibid.* ναυσὶν L. ναυσὶ P. 19. Λίσσῃ Maltretus. Libri Λυσίᾳ. *Lysenem appulit* Pers. 20. τινὰς] τινὰ H et L a pr. m.

tum. Interea Gotthi cum aliis copiis, Grippa duce, ingressi Dalmatiam, Salonas obtinuerunt. Optime tandem instructus Constantianus, Epidamno solvit, classemque universam appellit Epidaurum: quae urbs a dextera est sinum Ionium ingredientibus. Ibi tum agebant a Grippa missi exploratores: quibus classem et exercitum Constantiani inspicientibus, et mare et terra armato plena milite visa sunt. Itaque ad Grippam reversi, Constantianum non paucas virorum myriadas secum ducere asseverarunt. Quo ille nuntio perculsus, nec tutum esse ducebat ire obviam adventantibus, nec cingi obsidione a Caesarianis volebat, tam valide maris imperium obtinentibus. Salonarum praesertim muri, quorum iam pars magna corruerat, eum habebant sollicitum, et civium in Gotthos voluntas ipsi valde suspecta erat. Quocirca inde cum omnibus copiis quam celerrime egressus, in campo, Salonas et urbem Scardonam interiacente, castra metatur. Profectus Epidauro Constantianus universa cum classe navigat, et ad Lissam, quae in sinu sita est, applicat. Tum quosdam e suis mittit, renuntiaturos, quae de rebus Grippae explorate compere-

B ἀφ' ἓν δὴ τὸν πάντα λόγον πυθόμενος εὐθὺ Σαλώνων κατὰ τάχος ἔπλει. καὶ ἐπειδὴ αὐτῆς ἄγχιστα ἐγεγόνει, ἀπόβιβάσας τὸ στράτευμα ἐς τὴν ἤπειρον αὐτὸς μὲν ἐνταῦθα ἡσύχαζε, πεντακοσίους δὲ τοῦ στρατοῦ ἀπολέξας Σιφύλλαν τε αὐτοῖς ἄρχοντα ἐπιστήσας, τῶν δορυφόρων τῶν αὐτοῦ ἕνα, ἐκέλευε τὴν στενοχωρίαν καταλαβεῖν, ἣν δὴ ἐν τῷ τῆς πόλεως προαστείῳ ἐπύθετο εἶναι. καὶ Σιφύλλας μὲν κατὰ ταῦτα ἐποίει. Κωνσταντιανὸς δὲ καὶ ἡ στρατιὰ πᾶσα ἐς Σάλωνας τῇ ὑστεραίᾳ ἐσελάσαντες τῷ τε πεζῷ καὶ ταῖς ναυσὶ προσωρμίσαντο. Κωνσταντιανὸς μὲν Σαλώνων τοῦ περιβόλου ἐπεμελεῖτο, ἀνοικοδομούμενος σπουδῇ
C ἅπαντα ὅσα αὐτοῦ καταπεπτώκει· Γρίππας δὲ καὶ ὁ τῶν Γότ-
H 176 θων στρατὸς, ἐπειδὴ Ῥωμαῖοι Σάλωνας ἔσχον, ἑβδόμῃ ἡμέρᾳ ἐνθένδε ἀναστάντες ἐπὶ Ῥαβέννης ἀπεκομίσθησαν, οὕτω τε Κωνσταντιανὸς Δαλματίαν τε καὶ Λιβουρνίαν ξύμπασαν ἔσχε, Γότθους προσαγαγόμενος ἅπαντας, οἳ ταύτῃ ᾤδρυντο. τὰ μὲν οὖν ἀμφὶ Δαλματίαν ταύτῃ πῃ ἔσχε· καὶ ὁ χειμὼν ἔληγε, καὶ πρῶτον ἔτος ἐτελεύτα τῷ πολέμῳ τῷδε, ὃν Προκόπιος ξυνεγράψατο.
D η'. Βελισάριος δὲ φύλακας ἔν τε Συρακούσῃ καὶ Πανόρμῳ ἀπολιπὼν τῷ ἄλλῳ στρατῷ ἐκ Μεσσήνης διέβη ἐς Ῥήγιον (ἔνθα δὴ οἱ ποιηταὶ τήν τε Σκύλλαν γεγονέναι μυθοποιοῦσι καὶ Χάρυβδιν), καὶ αὐτῷ προσεχώρουν ὁσημέραι οἱ ταύτῃ ἄνθρωποι. τῶν τε γὰρ χωρίων, ἀτειχίστων σφίσιν ἐκ παλαιοῦ ὄντων, φυλακὴν

2. αὐτῆς] αὐτοῖς L. 9. τε om. L. 11. κατακεπτώκει] κατεπεπτώκει L. 19. Μεσσήνης] μεσύνης H. Μεσήνης P. Μεσσήνης Grotius ex MS.

rint. Ab his ordine edoctus omnia, recta Salonas cursum intendit. Proxime urbem delatus, expositis in terram copiis, ipse quidem ibi constitit; delectis vero quingentis, cum Siphyllan, e suis unum Protectoribus, praeposuisset, iniunxit ut angustias occuparent, quas in suburbiis esse audiverat. Siphyllas mandata fecit. Postridie Constantianus omnisque exercitus Salonas terra marique ingressi, in portu classem religarunt. Tum curam Constantianus ad reparandas propere ruinas omnes murorum contulit. Grippas autem et Gotthorum exercitus, septimo post captas a Romanis Salonas die, inde moventes, Ravennam redierunt. Ita demum Constantianus Dalmatiam Liburniamque omnem obtinuit, conciliatis sibi omnibus Gotthis, illarum partium incolis. Eo loci erant Dalmatiae res. Pariter cum hyeme primus annus exiit huius belli, quod literis commisit Procopius.

8. Belisarius, relicto Syracusis et Panormi praesidio, cum caeteris copiis Messana traiecit Rhegium; ubi Scyllam et Charybdin fuisse Poëtae fabulantur. Quotidie confluebant indigenae, in eius fidem se conferentes; cum oppida sua, a multo iam tempore nuda moenibus, tueri nol-

αὐτῶν οὐδαμῇ εἶχον καὶ κατὰ ἔχθος τῶν Γότθων μάλιστα· τῇ γὰρ παρούσῃ ἀρχῇ, ὡς τὸ εἰκὸς, ἤχθοντο. ἐκ δὲ Γότθων αὐτόμολος παρὰ Βελισάριον Ἐβριμοὺθ ξὺν παισὶ τοῖς ἑπομένοις ἦλθεν, ὃ Θευδάτου γαμβρὸς, ὃς τῇ ἐκείνου θυγατρὶ Θευδενάν- P 327
θῃ ξυνῴκει. αὐτίκα τε παρὰ βασιλέως σταλεὶς, γερῶν τε ἄλλων ἔτυχε καὶ ἐς τὸ πατρικίων ἀξίωμα ἦλθε. τὸ δὲ στράτευμα ἐκ Ῥηγίου πεζῇ διὰ Βρεντίων τε καὶ Λευκανῶν ἦει, παρηκολούθει τε ἄγχιστα τῆς ἠπείρου ὁ τῶν νηῶν στόλος. ἐπεὶ δὲ ἐς Καμπανίαν ἀφίκοντο, πόλει ἐνέτυχον ἐπιθαλασσίᾳ, Νεαπόλει ὄνομα, χωρίῳ τε ἐχυρῷ καὶ Γότθων πολλὴν φρουρὰν ἐχούσῃ. καὶ τὰς μὲν ναῦς Βελισάριος ἐκέλευεν ἐν τῷ λιμένι ἔξω βελῶν ὄντι ὁρμίζεσθαι, αὐτὸς δὲ τῆς πόλεως ἐγγὺς στρατόπεδον ποιησάμενος πρῶτον μὲν τὸ φρούριον, ὃ ἐν τῷ προαστείῳ ἐστὶν, ὁμολογίᾳ εἷλεν, ἔπειτα δὲ καὶ τοῖς ἐν τῇ πόλει δεομένοις ἐπέτρεπε τῶν τι-
νας λογίμων ἐς τὸ στρατόπεδον πέμψαι, ἐφ' ᾧ ἐπείπωσί τε ὅσα B
αὐτοῖς βουλομένοις ἐστὶ καὶ τοὺς λόγους ἀκούσαντες τοὺς αὐτοῦ ἐς τὸ πᾶν ἀναγγείλωσιν. αὐτίκα οὖν οἱ Νεαπολῖται Στέφανον πέμπουσιν. ὃς ἐπεὶ παρὰ Βελισάριον ἦκεν, ἔλεξε τοιάδε „Οἱ δίκαια ποιεῖς, ὦ στρατηγὲ, ἐπ' ἄνδρας Ῥωμαίους καὶ οἳ δὲν ἀδικοῦντας στρατεύων, οἳ πόλιν τε μικρὰν οἰκοῦμεν καὶ βαρβάρων δεσποτῶν φρουρὰν ἔχομεν, ὥστε οὐδὲ ἀντιπρᾶξαι, ἢν ἐθέλωμεν, ἐφ' ἡμῖν εἶναι. ἀλλὰ καὶ φρουροῖς τοῖσδε ξυμβαίνει παῖ-

3. Ἐβριμοὺθ P ex Reg. *Ebrimirus* Pers ἐβρίμου H. ἐβρίμος Hm. *ibid.* παισὶ LHm. πᾶσι HP. 7. Βρεντίων] βρεττίων H: illud Hm. 10. χωρίῳ τε ἐχυρῷ] χωρίον τε ἐχυροῦ L. 15. ἐς τὸ] εἰς τὸ L. 18. ἔλεξε] ἔλεγξε L.

lent, maximeque odissent Gotthos, dominatu, quo tunc premebantur, offensi merito. E Gotthis Ebrimuth, gener Theodati, cuius filiam Theodenantham uxorem duxerat, cum omni suo comitatu ad Belisarium transfugit, et statim ad Imperatorem profectus, praeter honores alios, Patricii dignitatem obtinuit. Rhegio exercitus terrestri itinere per Brutiorum et Lucanorum oras processit, prosequente classe non procul a continente. Ingressi Campaniam devenerunt ad urbem maritimam (Neapolin vocant) munitam admodum, et magno Gotthorum praesidio instructam. Ac naves quidem Belisarius in portu extra teli iactum haerere iussit: ipse vero prope urbem metatus, ante omnia castellum suburbanum deditione cepit: deinde civibus, quod petebant, concessit, ut quosdam ex Optimatibus in castra mitterent, qui quaecunque vellent elocuti, vicissim quae ex ipso audissent, publice renuntiarent. Confestim Neapolitani Stephanum destinant, qui ad Belisarium admissus, ita disseruit. *Iniqua facis, Magister militum, cum bellum infers Romanis insontibus, et urbis parvae incolis, ita constrictis Barbarorum dominorum praesidio, ut, si libeat repugnare, non liceat. Accedit quod isti praesidium apud nos agita-*

βουλήν τινα περὶ τοῦ στρατοπέδου ποιήσασθαι· καὶ ἐπειδὴ πόρ-
B ρω ἦν τῶν νυκτῶν, Μάγνῳ τε καὶ Ἔννῃ τὰ σφίσι παρόντα εἰ-
πὼν καὶ τὸ χωρίον ἐπιδείξας, οὗ πρότερον τὸν ὀχετὸν ἔτυχε διαρ-
ρήξας, τοῖς τετρακοσίοις ἐς τὴν πόλιν ἐξηγήσασθαι, λύχνα ἀνε-
λομένους, ἐκέλευε. καὶ ἄνδρας δύο ταῖς σάλπιγξι χρῆσθαι ἐπι-
σταμένους ξὺν αὐτοῖς ἔπεμψεν, ὅπως, ἐπειδὰν τοῦ περιβόλου
ἐντὸς γένωνται, τήν τε πόλιν ξυνταράξαι καὶ τὰ πρασσόμεναση-
μῆναι σφίσιν οἷοί τε ὦσιν. αὐτὸς δὲ κλίμακας ὅτι πλείστας πρό-
τερον πεποιημένας ἐν παρασκευῇ εἶχεν. οἱ μὲν οὖν ἐς τὸν ὀχε-
C τὸν ὑποδύντες ἐπὶ τὴν πόλιν ἐβάδιζον, αὐτὸς δὲ ξὺν τῷ Βέσσᾳ
καὶ Φωτίῳ αὐτοῦ ἔμενε καὶ ξὺν αὐτοῖς ἅπαντα ἔπρασσε. πέμ-
ψας δὲ καὶ ἐς τὸ στρατόπεδον, ἐγρηγορέναι τε καὶ τὰ ὅπλα ἐν
χερσὶν ἔχειν ἐπέταττε. καὶ πολλοὺς μέντοι ἀμφ' αὐτὸν εἶχεν,
οὓς δὴ εὐτολμοτάτους ᾤετο εἶναι. τῶν δὲ ἐπὶ τὴν πόλιν ἰόντων
V 19 οἱ ὑπὲρ ἥμισυ κατωρρωδηκότες τὸν κίνδυνον ὀπίσω ἀπεκομίζοντο.
οὓς ἐπεὶ Μάγνος ἕπεσθαί οἱ, καίπερ πολλὰ παραινέσας, οὐκ
ἔπειθε, πυρὰ τὸν στρατηγὸν ξὺν αὐτοῖς ἐπανῆκε. τούτους δὲ
Βελισάριος κακίσας καὶ τῶν ἀμφ' αὐτὸν ἀπολέξας διακοσίους
D ξὺν Μάγνῳ ἰέναι ἐκέλευεν. ὧν δὴ καὶ Φώτιος ἡγεῖσθαι θέλων,
ἐς τὴν διώρυχα ἐσεπήδησεν· ἀλλὰ Βελισάριος αὐτὸν διεκώλυσεν.
αἰσχυνθέντες δὲ τοῦ τε στρατηγοῦ καὶ Φωτίου τὴν λοιδορίαν καὶ
ὅσοι τὸν κίνδυνον ἔφευγον, αὖθις αὐτὸν ὑποστῆναι τολμήσαντες
ξὺν αὐτοῖς εἵποντο. Βελισάριος δὲ δείσας μὴ τῶν πολεμίων τισὶ

8. οἶσιν P ex Vat. εἶεν Reg. εἶναι HL, sed εἶεν Lm. 15. οἱ ὑπὲρ] οἱ om. Vat. 17. παρὰ] περὶ L a pr. m.

habere se dicens quae cum ipso de exercitu constitueret. Adulta nocte, Magno et Enni, quo iam res deducta esset, aperuit, ac monstrans locum, ubi prius aquaeductum inciderat, praecepit, ut, sumptis lucernis, quadringentos illos in urbem inducerent. Comites addidit tubicines duos; qui, urbem ingressi, eam clangore turbarent, suisque significarent eventum rei. Ipse scalas quamplurimas, iam ante fabricatas, habebat in expedito, ac dum illi, qui subierant aquaeductum, ad urbem procedebant, cum Bessa ac Photio ibi stans, cum ipsis omnia disponebat. Tum dimissis per castra, qui vigilare omnes iuberent, et habere arma in manibus; quos maxime valere animo iudicabat, eorum agmine se succinxit. Ad urbem vero suggredientium pars maior, periculo territa, pedem retulit: quos vehementer quidem, sed frustra ad se hortando revocare conatus Magnus, cum illis ad militiae Magistrum rediit. Eos male verbis accepit Belisarius, lectosque e circumstantibus ducentos, cum Magno ire iussit. His ducem se Photius praebere volens, in canalem insiluit: sed vetuit Belisarius perro pergere. Pudore demum, quem Magistri militum Photique exprobratio incutiebat, incensi omnes, quicumque periculum refugerant, illudque ausi subire denuo, eos secuti sunt. Ac veritus Beli-

τες, ἐν οὕτω τύχοι, ἐν τοῖς ἀναγκαιοτάτοις ἐσφάλησαν, καὶ P 328
κατὰ τὴν μάχην ἐλασσόνως ἢ ἐβούλοντο ἀπαλλάξαντες ξὺν τῇ
ἄλλῃ κακοδαιμονίᾳ καὶ τὴν ἀπὸ τῆς ἥσσης ξυμφορὰν ἔξουσι.
πρὸς μὲν οὖν Νεαπολίτας ἡμῖν τοσαῦτα εἰρήσθω. Γότθοις δὲ
τοῖς παροῦσιν αἵρεσιν δίδομεν, ἢ ξὺν ὑμῖν τοῦ λοιποῦ ὑπὸ βασι-
λεῖ τῷ μεγάλῳ τετάχθαι, ἢ κακῶν ἀπαθέσιν οἴκαδε τὸ παράπαν
ἰέναι. ὡς, ἢν τούτων ἁπάντων αὐτοί τε καὶ ὑμεῖς ἀμελήσαντες
ὅπλα ἡμῖν ἀνταίρειν τολμήσητε, ἀνάγκη καὶ ἡμᾶς, ἢν θεὸς θέ-
λῃ, τῷ προστυχόντι ὡς πολεμίῳ χρῆσθαι. εἰ μέντοι βουλομέ- H 177
νοις ἦ Νεαπολίταις τά τε βασιλέως ἑλέσθαι καὶ δουλείας οὕτω B
χαλεπῆς ἀπηλλάχθαι, ἐκεῖνα ὑμῖν ἀναδέχομαι τὰ πιστὰ διδοὺς
ἔσεσθαι πρὸς ἡμῶν, ἃ Σικελιῶται πρώην ἐλπίσαντες ψευδορ-
κίους ἡμᾶς οὐκ ἔσχον εἰπεῖν."

Ταῦτα μὲν Στέφανον Βελισάριος ἐς τὸν δῆμον ἀπαγγέλλειν
ἐκέλευεν. ἰδίᾳ δέ οἱ μεγάλα ὑπέσχετο ἀγαθὰ ἔσεσθαι, Νεαπο-
λίτας ἐς εὔνοιαν τὴν βασιλέως ὁρμήσοντι. Στέφανος δὲ ἐς τὴν
πόλιν ἥκων τούς τε Βελισαρίου λόγους ἀπήγγελλε καὶ γνώμην αὐ-
τὸς ἀπεφαίνετο βασιλεῖ μάχεσθαι ἀξύμφορον εἶναι. καί οἱ ξυνέ-
πρασσεν Ἀντίοχος, Σύρος μὲν ἀνὴρ, ἐκ παλαιοῦ δὲ ᾠκημένος C
ἐν Νεαπόλει ἐπὶ τῇ κατὰ θάλασσαν ἐργασίᾳ καὶ δόξαν πολλὴν
ἴσχε τε ξυνέσει καὶ δικαιοσύνῃ ἐνταῦθα ἔχων. Πάστωρ δὲ καὶ
Ἀσκληπιόδοτος ῥήτορε μὲν ἦστην καὶ λίαν ἔν γε Νεαπολίταις λο-
γίμω, Γότθοις δὲ φίλω ἐς τὰ μάλιστα, καὶ τὰ παρόντα ὡς

7. καὶ ὑμεῖς H. καὶ om. P. 17. ἀπήγγελλε] Vulgo ἀπήγγελε.

rit, in rebus maxime necessariis fraudi est: peius autem, quam optabant, certamine perfunctis, ad caeteras aerumnas calamitas cladis accedit. Atque haec Neapolitanis dicta sunto. Gotthis vero hic degentibus optionem facimus, utrum malint nobiscum deinceps Imperatori magno parere, an redire domum incolumes. Iam, si his prorsus repudiatis conditionibus, arma in nos tollere audeatis, non poterimus facere, volente Deo, quin obviam quemque hostiliter accipiamus. At si Neapolitanis sequi partes Augusti placet, seque adeo dura servitute eximere; interposita fide recipio, a nobis bona in vos eadem profectura, quorum spem Siculis antea ita fecimus, ut nos periurii insimulare merito nequeant.

Haec Stephano Belisarius referenda publice commisit: privatim magna spopondit praemia, si Neapolitanorum animos ad Imperatorem converteret. Reversus in urbem Stephanus, sibi dicta a Belisario retulit, eamque ipse sententiam promens, perniciosum fore civibus cum Augusto bellum asseruit. Cum eo conspirabat Antiochus, natione Syrus; qui commercii maritimi gratia iampridem habitabat Neapoli, magna cum laude prudentiae et probitatis. Ibidem erant Pastor et Asclepiodotus, Advocati, et inter Neapolitanos admodum clari. Hi Gotthis amicissimi

ἔχουσα. τῶν δὲ στρατιωτῶν ἐπὶ πλεῖστον ἀπορουμένων καὶ ἐς στενοχωρίαν πολλὴν ξυνιόντων (ἤδη γὰρ καὶ τῶν ὄπισθεν ἰόν-
C των πολύς τε ξυνέρρει ὅμιλος), ἐγένετο αὐτῶν τινι ἔννοια τῆς ἀνόδου ἀποπειρᾶσθαι. καταθέμενος οὖν αὐτίκα τὰ ὅπλα, ταῖς χερσὶ καὶ τοῖς ποσὶ τὴν ἀνάβασιν βιασάμενος, ἐς τὸ τῆς γυναι- 5
κὸς οἴκημα ἦλθε. καὶ αὐτὴν ἐνταῦθα ἰδὼν, ἣν μὴ σιωπήν, κτείνειν ἠπείλησεν. ἡ δὲ καταπλαγεῖσα ἄφωνος ἔμεινε. καὶ ὃς ἐκ τοῦ πρέμνου τῆς ἐλαίας ἱμάντα τινὰ ἰσχυρὸν ἀναψάμενος τὴν ἑτέραν τοῦ ἱμάντος ἀρχὴν ἐς τὸν ὀχετὸν ἔρριψεν. οὗ δὴ λαβό-
D μενος τῶν στρατιωτῶν ἕκαστος ἀνέβαινε μόλις. ἐπεὶ δὲ ἀναβε- 10
βήκεισαν ἅπαντες, τῆς τε νυκτὸς τὸ τεταρτημόριον ἔτι ἐλείπετο, χωροῦσιν ἐπὶ τὸ τεῖχος· καὶ πύργων δύο τοὺς φύλακας, οὐδέν τι αἰσθανομένους τοῦ κακοῦ, κτείνουσιν ἀμφὶ τὰ πρὸς βορρᾶν τοῦ
D περιβόλου, ἔνθα Βελισάριος ξὺν τῷ Βέσσα καὶ Φωτίῳ εἱστήκει, καραδοκῶν τὰ πρασσόμενα. καὶ οἱ μὲν ἐς τὸ τεῖχος ταῖς σάλ- 15
πιγξιν ἐκάλουν, Βελισάριος δὲ τῷ περιβόλῳ τὰς κλίμακας ἐρεί-
σας τοὺς στρατιώτας ἐνθένδε ἀναβαίνειν ἐκέλευε. τῶν δὲ κλιμά-
κων οὐδεμίαν διήκειν ἄχρι ἐς τὰς ἐπάλξεις ξυνέβαινεν. ἅτε γὰρ αὐτὰς οὐκ ἐκ τοῦ ἐμφανοῦς οἱ τεχνῖται ποιούμενοι μέτρου τοῦ καθήκοντος οὐχ οἷοί τε ἐξανεῖσθαι ἐγένοντο. διόπερ δύο ἐς ἀλ- 20
H 181 λήλας ξυνδέοντες καὶ ἐπ' ἀμφοῖν ἀναβαίνοντες οὕτω δὴ τῶν ἐπάλξεων καθυπέρτεροι οἱ στρατιῶται ἐγίνοντο. ταῦτα μὲν οὖν Βελισαρίῳ ἐφέρετο τῇδε.

8. πολύς τε] πολύς τις? 9. ἔρριψεν] ἔρριψαν L. 18. οὐδεμίαν] Vulgo οὐδὲ μίαν.

ascensum praebebant. Militibus valde animo fluctuantibus, et angustiori in spatio se comprimentibus (iam enim pone sequentium magnus numerus confluebat) cuidam in mentem venit ascensum tentare. Itaque positis confestim armis, manibus pedibusque enitens, ad mulieris domum evasit, eamque ibi nactus, ipsi mortem, ni taceret, minatus est. Illa prae ingenti metu obmutuit. Is vero, cum ex oleae caudice lorum validum religasset, alteram eius partem extremam in aquaeductum demisit: qua singuli milites apprehensa, foras aegre se sustulerunt. Quarta pars noctis adhuc supererat, cum suggressi omnes ad moenia succedunt, ac turrium duarum custodes incautos trucidant, ad illam murorum partem, quae Septentrionem spectat: ubi Belisarius cum Bessa ac Photio stabat, incepti successum cupidissime expectans. Illi tubis vocarunt ipsos ad murum: cui scalas cum applicuisset Belisarius, et inde milites iussisset ascendere, accidit, ut nullae pinnas pertingerent: quippe fabricati illas in occulto opifices, non potuerant iustam assequi longitudinem. Quare binis invicem colligatis, per utrasque scandendo, milites pinnas superavere. Ibi res Belisario sic procedebat.

Ἐς δὲ τὰ πρὸς τὴν θάλασσαν τοῦ περιβόλου, ἔνθα οὐχ οἱ P 335
βάρβαροι, ἀλλὰ Ἰουδαῖοι φυλακὴν εἶχον, οὔτε ταῖς κλίμαξι χρῆσθαι οὔτε ἀναβαίνειν ἐς τὸ τεῖχος οἱ στρατιῶται ἐδύναντο. οἱ γὰρ Ἰουδαῖοι τοῖς πολεμίοις ἤδη προσκεκρουκότες, ἐμπόδιοί τε ἐγεγενημένοι ὅπως μὴ τὴν πόλιν ἁλώσει, καὶ ἀπ' αὐτοῦ ἐλπίδα οὐδεμίαν ἐπ' αὐτοῖς ἔχοντες, καρτερῶς τε, καίπερ αὐτοῖς τῆς πόλεως ἤδη ἁλούσης, ἐμάχοντο καὶ τῇ τῶν ἐναντίων ῥώμῃ παρὰ δόξαν ἀντεῖχον. ἐπεὶ δὲ ἡμέρα ἐγένετο καὶ τῶν ἀναβεβηκότων τινὲς ἐς αὐτοὺς ἦσαν, οὕτω δὴ καὶ αὐτοὶ ὄπισθεν
προσπαλλόμενοι ἔφυγον, καὶ κατὰ κράτος Νεάπολις ἥλω. καὶ τῶν B
πυλῶν ἤδη ἀνακεκλιμένων ἅπας ὁ Ῥωμαίων στρατὸς εἰσήει. ὅσοι V 20
δὲ ἀμφὶ πύλας ἐτετύχατο τὰς πρὸς ἀνίσχοντα ἥλιον τετραμμένας, ἐπεὶ κλίμακες σφίσι παρῶσαι οὐδαμοῦ ἔτυχον, ταύτας δὴ τὰς πύλας ἀφυλάκτους παντάπασιν οὔσας ἔκαυσαν. ἔρημον γὰρ ἀνδρῶν τὸ ἐκεῖ τεῖχος, ἅτε τῶν φυλάκων δρασμῷ χρησαμένων, ἐγένετο, φόνος τε ἐνταῦθα πολὺς ἐγεγόνει. θυμῷ γὰρ ἐχόμενοι ἅπαντες, ἄλλως τε καὶ ὅσοις ἀδελφόν τινα ἢ ξυγγενῆ ἀποθανεῖν τειχομαχοῦντα τετύχηκε, τὸν ἐν ποσὶ ἀεί, οὐδεμιᾶς ἡλικίας φειδόμενοι, ἔκτεινον, ἔς τε τὰς οἰκίας ἐσβάλλοντες παῖδας μὲν καὶ
γυναῖκας ἠνδραπόδισαν, τὰ δὲ χρήματα ἐληίσαντο, καὶ πάν- C
των μάλιστα οἱ Μασσαγέται, οἳ οὐδὲ τῶν ἱερῶν ἀπεχόμενοι πολ-

2. οὔτε — οὔτε] Vulgo οὐδὲ — οὐδὲ. 6. Post οὐδεμίαν in L signum lacunae et in marg. λείπει. ibid. ἐπ' αὐτοῖς] ἐπ' αὐτοὺς Vat. αὐτοῖς ὦσι HL. Unde Grotius ἦν ἐπ' αὐτοῖς ὦσιν. 8. παρὰ δόξαν Vat. Vulgo παραδόξως. 14. ἀφυλάκτους] Vulgo ἀφυλάκτως. 21. ἱερῶν] ἱερέων L: illud Lm.

Interea ad maritimam murorum partem, non Barbarorum sed Iudaeorum custodiis munitam, nec scalis uti milites, nec ascendere poterant. Sibi enim consciī Iudaei, se in offensionem hostium cecidisse, oblato ipsis impedimento, quo minus urbe citra pugnam potirentur; eam ob causam, acti desperatione, fortiter pugnabant, quamvis urbe iam capta, ac praeter opinionem hostilem impetum sustinebant. Ubi illuxit, pars eorum, qui ascenderant, illos invasit: tum a tergo appetiti telis, fugerunt; vi atque impressione Neapolis capta est, ac portis iam reclusis, Rom. omnis exercitus intravit. Qui ad portas, orienti Soli obversas, locati fuerant, cum scalae nusquam praesto essent, igni valvas corruperunt, nullis defensas custodibus: iam enim his fuga dilapsis, pars illa muri plane vacabat. Ingens tum caedes facta. Nam omnes, praesertim quicumque fratrem vel propinquum in oppugnatione amiserant, ira furentes, obvium quemque, sine ullo aetatis discrimine, mactabant. Ingressi domos, pueros feminasque sua faciebant mancipia, et opes diripiebant: in primis Massagetae; qui ne a templis quidem vim abstinentes, multis, qui se il-

λοὺς τῶν ἐς αὐτὰ φυγόντων ἀνεῖλον, ἕως Βελισάριος παντα-
χόσε περιιὼν διεκώλυσέ τε καὶ ξυγκαλέσας ἅπαντας ἔλεξε τοιάδε
„Ἐπειδὴ νενικηκέναι τε ἡμῖν δέδωκεν ὁ θεὸς καὶ ἐπὶ πλεῖστον
εὐδοξίας ἀφῖχθαι, πόλιν ἀνάλωτον πρότερον οὖσαν ὑποχειρίαν
ἡμῖν ποιησάμενος, ἀναγκαῖον καὶ ἡμᾶς τε μὴ ἀναξίους εἶναι τῆς
χάριτος, ἀλλὰ καὶ τῇ ἐς τοὺς ἡσσημένους φιλανθρωπίᾳ τὸ δι-
καίως κεκρατηκέναι τούτων ἐνδείκνυσθαι. μὴ τοίνυν ἀπέραντα
Νεαπολίτας μισήσητε, μηδὲ ὑπερόριον τοῦ πολέμου τὸ εἰς αὐ-
τοὺς ἔχθος ποιήσητε. τοὺς γὰρ ἡσσημένους οὐδεὶς τῶν νενικη-
κότων ἔτι μισεῖ. κτείνοντές τε γὰρ αὐτοὺς οὐ πολεμίων ἀπαλ-
λαγήσεσθε τὸ λοιπὸν, ἀλλὰ θανάτῳ ζημιωθήσεσθε τῶν ὑπηκόων.
οὐκοῦν ἀνθρώπους τούσδε μηδὲν ἐργάσησθε πειραιτέρω κακὸν,
μηδὲ τῇ ὀργῇ πάντα χαρίζεσθε. αἰσχρὸν γὰρ τῶν μὲν πολεμίων
κρατεῖν, τοῦ δὲ θυμοῦ ἥσσους φαίνεσθαι. ὑμῖν δὲ χρήματα
μὲν τὰ ἄλλα γινέσθω τῆς ἀρετῆς ἆθλα, γυναῖκες δὲ τοῖς ἀνδράσι
ξὺν τοῖς παισὶν ἀποδιδόσθωσαν. μανθανέτωσαν δὲ οἱ νενικη-
μένοι τοῖς πράγμασιν ἡλίκων ἐξ ἀβουλίας ἐστέρηνται φίλων.“
τοσαῦτα εἰπὼν Βελισάριος τάς τε γυναῖκας καὶ τὰ παιδία καὶ τὰ
ἄλλα ἀνδράποδα Νεαπολίταις πάντα ἀφῆκεν, ὕβρεως οὐδεμιᾶς
ἐς πεῖραν ἐλθόντας, καὶ αὐτοῖς τοὺς στρατιώτας διήλλαξεν. 2
οὕτω τε Νεαπολίταις ξυνηνέχθη ἐκείνῃ τῇ ἡμέρᾳ αἰχμαλώτοις τε

του
5. καὶ ἡμᾶς τε] Offendit τε. 8. αὐτοὺς] τοὺς L, τον a m. sec. 10. Post μισεῖ in L signum lacunae et in marg. λείπει.
σαν
16. ἀποδιδόσθωσαν] ἀποδιδόσθω L, σαν a m. sec.

lis commiserant, necem intulerunt. Ita saevitum est, donec Belisarius, quoquoversum discurrens, prohibuit, et advocata concione sic verba fecit. *Postquam Deus victoriam et insignem gloriam nobis tribuit, urbe, quae hactenus inexpugnabilis fuerat, in nostram potestatem subiuncta, non oportet indignos praestare nos tali gratia; sed multa erga victos humanitate ostendere, a nobis illos merito subactos esse. Nolite igitur odium in Neapolitanos exercere perpetuum, neque ultra belli finem illud producite. Nemo victor iam victos odit: quod si ipsos interimatis, non iam tolletis hostes de medio, verum subditos morte mulctabitis. Itaque nocendi his finem facite, nec irae sic indulgete, ut illi omnia permittatis. Turpe enim est iracundia videri vinci victores hostium. Vobis eorum omnes pecuniae in praemium bellicae virtutis cedant: at viris reddantur cum liberis coniuges: atque hinc discant victi, quales amicos sua ipsis temeritas in tempore eripuerit.* Hac Belisarius habita oratione, Neapolitanis uxores, liberos ac caeteros captivos omnes dimisit, nullam vim turpem expertos, ipsisque animos militum reconciliavit. Ita factum est, ut Neapolitani illo uno die libertatem amiserint receperintque, et ad suas

γενέσθαι καὶ τὴν ἐλευθερίαν ἀνασώσασθαι καὶ τῶν χρημάτων τὰ P 336
τιμιώτατα ἀνακτήσασθαι. ἐπεὶ αὐτῶν ὅσοι χρυσὸν ἢ ἄλλο τι
τῶν ἐπιτηδείων ἔχοντες ἔτυχον, οὗτοι δῆτα πρότερον ἐς γῆν κα-
τορύξαντες ἀπεκρύψαντο, καὶ ταύτῃ τοὺς πολεμίους λαθεῖν
ἴσχυσαν αὐτοῖς χρήμασι τὰς οἰκίας ἀπολαβόντες. ἥ τε πολιορ-
κία ἐς ἡμέρας μάλιστα εἴκοσιν κατατείνασα ἐς τοῦτο ἐτελεύτα.
Γότθους δὲ τοὺς τῇδε ἁλόντας οὐχ ἥσσους ἢ ὀκτακοσίους ὄντας
κακῶν ἀπαθεῖς Βελισάριος παντάπασι διαφυλάξας, οὐκ ἐλασσό-
νως ἢ τοὺς στρατιώτας τοὺς αὐτοῦ ἐν τιμῇ εἶχε.

Πάστωρ δὲ, ὃς ἐς ἀπόνοιαν, ὡς πρότερόν μοι δεδήλωται, B
τὸν δῆμον ἐνῆγεν, ἐπεὶ τὴν πόλιν ἁλισκομένην εἶδεν, ἐς ἀπο-
πληξίαν ἐξέπεσε καὶ ἐξαπίνης ἀπέθανεν, οὔτε νοσήσας πρότερον
οὔτε ἄλλο τι πρὸς οὐδενὸς παθὼν ἄχαρι. Ἀσκληπιόδοτος δὲ,
ὃς ξὺν αὐτῷ ταῦτα ἔπρασσε, ξὺν τῶν λογίμων τοῖς περιοῦσι παρὰ
Βελισάριον ἦλθε. καὶ αὐτῷ Στέφανος ἐπιτωθάζων ἐλοιδορεῖτο
ὧδε „Ὅρα, ὦ κάκιστε ἀνθρώπων ἁπάντων, οἷα κακὰ τῇ πα-
τρίδι εἰργάσω, τῆς ἐς Γότθους εὐνοίας τὴν τῶν πολιτῶν ἀποδό-
μενος σωτηρίαν. εἶτα εἰ μὲν τοῖς βαρβάροις εὖ ἐγεγόνει τὰ πρά-
γματα, ἠξίωσας ἂν ἔμμισθός τε αὐτὸς πρὸς ἐκείνων εἶναι καὶ H 182
ἡμῶν ἕκαστον τῶν τὰ βελτίω βεβουλευμένων τῆς ἐς τοὺς Ῥω- C
μαίους προδοσίας ὑπαγαγεῖν. ἐπεὶ δὲ τὴν πόλιν βασιλεὺς εἶλε,
σεσώσμεθα δὲ τῇ τοῦδε τοῦ ἀνδρὸς ἀρετῇ, οὕτω δὴ εἰσελθεῖν

3. ἐπιτηδείων Reg. et LHm. Vulgo ἐπιτιμίων. 8. παντάπασι L. παντάπασιν P. 12. ἐξέπεσε L. ἐξέπεσεν P. ἐσέπεσεν Pm. Frustra.

pretii maioris pecunias redierint. Nam qui aurum aliudve pretiosum habuerant, id iam ante abdiderant, infossum terrae. Itaque inscientibus hostibus, pecunias pariter cum domibus recuperarunt. Hunc habuit exitum obsidio, per dies admodum xx. extracta. Captos ibi Gotthos, minimum DCCC. servavit incolumes Belisarius, nec minori in honore quam suos milites habuit.

Pastor, qui plebem, uti supra commemoravi, ad insaniendum perpelerat, ubi captam urbem animadvertit, in apoplexiam incidit, ac repente efflavit animam, cum antea belle haberet, nec eum quisquam molestia affecisset. Asclepiodotus vero, quem ille participem sociumque machinationis habuerat, cum optimatibus, qui supererant, Belisarium adiit. Hic ipsum Stephanus huiusmodi convitiis aggressus est. *Vide, mortalium omnium pessime, quae mala patriae importaveris, tuo in Gotthos studio prodita salute civium. Ac si res Barbaris ex sententia successisset, mercedem ab illis accipere, et unumquemque nostrum, qui potiora consilia sequebamur, insimulare proditionis, cum Romanis compositae voluisse. Nunc, postquam Imperator urbem recepit, ac nobis huius viri virtus salutem peperit, adeone inconsiderate ausus es convenire Magi-*

παρὰ τὸν στρατηγὸν ἀνεπαισχύντως ἐτόλμησας, ἅτε οὐδὲν δεινὸν οὔτε Νεαπολίτας οὔτε τὸ βασιλέως διαπεπραγμένος στρατόπεδον." Στέφανος μὲν τῇ ξυμφορᾷ περιώδυνος ὢν εἰς Ἀσκληπιόδοτον ταῦτα ἀπέρριψεν. ὁ δὲ αὐτὸν ἀμείβεται τοῖσδε ,,Ἀλλὰ σεαυτὸν ἐγκωμιάζων ἡμᾶς, ὦ γενναῖε, οἷς δὴ εὔνοιαν τὴν πρὸς τοὺς Γότθους ἡμῶν ἐνεδείξεις. εὔνους γάρ τις δεσπότας κινδυνεύουσιν, ἢν μὴ ἐκ τοῦ βεβαίου τῆς γνώμης, οὐκ ἄν ποτε εἴη. ἐμὲ μὲν οὖν οἱ κρατοῦντες τοιοῦτον τῆς πολιτείας φύλακα ἔχουσιν οἷον ἀρτίως πολέμιον εὗρον, ἐπεὶ ὁ τῇ φύσει τὸ πιστὸν ἔχων οὐ ξυμμεταβάλλει τῇ τύχῃ τὴν γνώμην. σὺ δὲ τῶν πραγμάτων οὐχ ὁμοίως αὐτοῖς φερομένων ἑτοίμως ἂν τοὺς τῶν ἐπόντων ἐνδέξαιο λόγους. ὁ γὰρ τὰ τῆς διανοίας νοσῶν ἄστατον ἅμα τε ἔδεισε καὶ τὴν εἰς τοὺς φιλτάτους ἠρνήσατο πίστιν." τοιαῦτα μὲν καὶ Ἀσκληπιόδοτος εἶπε. Νεαπολιτῶν δὲ ὁ δῆμος, ἐπεὶ αὐτὸν ἐνθένδε ἀναχωροῦντα εἶδον, ἀθρόοι γενόμενοι, ἅπαντα αὐτῷ ἐπεκάλουν τὰ παρόντα σφίσι. καὶ οὐ πρότερον ἀπέστησαν, πρὶν δὴ ἔκτεινάν τε καὶ τὸ σῶμα κατὰ βραχὺ διεσπάσαντο. οὕτω τε ἐν τῇ Πάστωρος οἰκίᾳ γενόμενοι τὸν ἄνδρα ἐζήτουν. τοῖς τε οἰκέταις τεθνάναι Πάστωρα ἰσχυριζομένοις ἥκιστα πιστεύειν ἠξίουν, ἕως αὐτοῖς τὸν τοῦ ἀνθρώπου νεκρὸν ἔδειξαν. καὶ αὐτὸν Νεαπολῖται ἐν τῷ προαστείῳ ἀνεσκολόπισαν. οὕτω τε Βελισάριον παρῆσαν ἐφ' οἷς δικαίᾳ ὀργῇ ἐχόμενοι ἔδρα-

V 21 D P 337

10. σὺ δὲ] οὐδὲ H. 12. ἐνδέξαιο Vat. Vulgo ἐνδέξῃ.

strum militum; quasi nihil mali nec in Neapolitanos, nec in Caesareum exercitum molitus sis? Sic Stephanus, vicem publicam graviter dolens, in Asclepiodotum erupit stomachum. Is vero respondens, Non advertis, inquit, praeclare vir, te nobis, dum nostram in Gothos benevolentiam exprobras, praeconium tribuere. Nemo enim, nisi constans animo sit, adductis in periculum dominis studium unquam exhibeat. Me certe victorem talem publicae rei suae defensorem habebunt, qualem hostem experti sunt. Nam qui ingenio fideli est, haud mutat animum cum fortuna. Tu vero, si cursus rerum diversus fuerit, quicumque accesserint, oblatam ab ipsis conditionem statim accipies. Etenim qui mentis inconstantia laborat; simul timuit, fidem vel amicissimis pactam deserit. Haec retulit Asclepiodotus: quem ut inde abeuntem vidit populus Neapolitanus, facto agmine, malorum omnium, quae tunc accidissent, auctorem clamitans, haud prius discessit, quam ipsum contrucidavit, eiusque corpus minutatim discerpsit. Subinde Pastoris domum ingressi, cum eum quaererent, famulis mortuum affirmantibus, credere neluerunt, donec illi monstrarunt cadaver hominis: quod Neapolitani e patibulo suspenderunt in suburbano. Tum Belisarium orarunt, ut eorum quae iusta accensi ira fecissent

σαν, ταχόντες τε αὐτοῦ συγγνώμονας διελύθησαν. οὕτω μὲν Νεαπολῖται ἀπήλλαξαν.

ια'. Γότθοις δὲ, ὅσοις ἀμφί τε Ῥώμην καὶ τὰ ἐκείνῃ χω- B
ρία ξυνέπεσεν εἶναι, καὶ πρόσθεν τὴν Θευδάτου ἡσυχίαν ἐν θαύ-
5ματι μεγάλῳ ποιουμένοις, ὅτι δὴ ἐκ γειτόνων οὖσαι τοῖς πολεμίοις
οὐ βούλοιντο διὰ μάχης ἰέναι, ἐν σφίσι τε αὐτοῖς ὑποψίᾳ πολλῇ
ἐς αὐτὸν χρησαμένοις, ὡς δὴ τὰ τῶν Γότθων πράγματα προδι-
δοῖ Ἰουστινιανῷ βασιλεῖ ἐθελοντής, ἄλλο τέ οἱ οὐδὲν ἐμέλες.
ἔᾳ, πλήν γε δὴ ὅπως αὐτὸς ἡσυχῇ βιοτεύοι, ὡς πλεῖστα περι-
10βαλλόμενος χρήματα· ἐπειδὴ ἅλῶναι Νεάπολιν ἤκουσαν, ἅπαντά
οἱ ταῦτα ἐκ τοῦ ἐμφανοῦς ἐπικαλοῦντες ἐς χωρίον ξυνελέγησαν C
Ῥώμης ὀγδοήκοντα καὶ διακοσίοις σταδίοις διέχον, ὅπερ Ῥωμαῖοι
καλοῦσι Ῥεγέτα· ἐνθένδε γὰρ ἐστρατοπεδεύσασθαι σφίσιν ἔδο-
ξεν ἄριστον εἶναι· πεδία γὰρ πολλὰ ἐνταῦθά ἐστιν ἱππόβοτα.
15ῥεῖ δὲ καὶ ποταμὸς, ὃν Δεκεννόβιον τῇ Λατίνων φωνῇ καλοῦσιν
οἱ ἐπιχώριοι, ὅτι δὴ ἐννεακαίδεκα περιὼν σημεῖα, ὅπερ ξύνισιν
ἐς τρεῖς καὶ δέκα καὶ ἑκατὸν σταδίους, οὕτω δὴ ἐκβάλλει ἐς θά-
λασσαν, ἀμφὶ πόλιν Ταρακίνην, ἧς ἄγχιστα ὄρος τὸ Κιρκαῖόν
ἐστιν, οὗ τὸν Ὀδυσσέα τῇ Κίρκῃ ξυγγενέσθαι φασὶν, ἐμοὶ μὲν
20οὐ πιστὰ λέγοντες, ἐπεὶ ἐν νήσῳ Ὅμηρος τὰ τῆς Κίρκης οἰκία
ἰσχυρίζεται εἶναι. ἐκεῖνο μέντοι ἔχω εἰπεῖν, ὡς τὸ Κιρκαῖον D
τοῦτο, ἐπὶ πολὺ τῆς θαλάσσης διῆκον, νήσῳ ἐμφερές ἐστι,
καὶ τοῖς τε πλέουσιν ἄγχιστα τοῖς τε εἰς τὴν ἐκείνῃ ἠόνα βαδί-

5. ἐν γειτόνων] ἐγγειτόνων L. 23. εἰς τὴν] εἰς om. HL.
ibid. ἠόνα] ἠιόνα P.

veniam daret: qua impetrata, digressi sunt. Ita demum Neapolitani ex malis emersere.

11. Gothi vero, qui apud Romam circumiectisque in locis degebant, et vehementer mirati antea fuerant adeo cessare Theodatum, ut hosti appropinquanti offerre se et congredi nollet, non leviter suspicantes, eum Iustiniano Augusto. Gotthorum res ultro prodere, neque aliud curare, nisi ut in otio, fortunis abundanti, vitam traduceret, ubi nuntius venit captam esse Neapolin, horum omnium culpam in ipsum palam conlicientes, in locum coiere, qui Roma CCLXXX. stadiis distat, et a Romanis Regeta dicitur. Is castris commodissimus visus est, quod multa habeat equorum pascua, ac rigetur fluvio, quem indigenae Latino vocabulo Decennovium ideo appellant, quia decursis XIX. milliaribus, quae stadia conficiunt CXIII. in mare influit ad urbem Tarracinam, monti proximam Circaeo: ubi cum Circe egisse Ulyssem ferunt; quos falli iudico, si bene Homerus in insula domicilium Circes collocat. Quanquam fateor Circaeum hunc montem sic in mare porrigi, ut insulae speciem habeat, nec modo praetervigantibus, sed perambulantibus etiam ea littora, esse insula videatur lon-

ζουσι νῆσος δοκεῖ ἐπὶ πλεῖστον εἶναι. καὶ ἐπειδάν τις ἐν αὐτῇ γένηται, τότε δὴ μεταμανθάνει ψευσθῆναι τῆς δόξης τὰ πρότερα. καὶ διὰ τοῦτο Ὅμηρος ἴσως νῆσον τὸ χωρίον ὠνόμασεν. ἐγὼ δὲ ἐπὶ τὸν πρότερον λόγον ἄνειμι.

Γότθοι, ἐπειδὴ ἐς Ῥεγέτα ξυνελέγησαν, βασιλέα σφίσι τε καὶ Ἰταλιώταις Οὐίτιγιν εἵλοντο, ἄνδρα οἰκίας μὲν οὐκ ἐπιφανοῦς ὄντα, ἐν μάχαις δὲ ταῖς ἀμφὶ Σίρμιον λίαν εὐδοκιμηκότα
P 338 τὸ πρότερον, ἡνίκα τὸν πρὸς Γήπαιδας πόλεμον Θευδέριχος διέφερε. Θευδάτος καὶ ταῦτα ἀκούσας ἐς φυγήν τε ὥρμητο καὶ τὴν ἐπὶ Ῥάβενναν ἤλαυνεν. Οὐίτιγις δὲ κατὰ τάχος Ὄπταριν ἔπεμψεν, ἄνδρα Γότθον, ἐπιστείλας αὐτῷ ἢ ζῶντα ἢ νεκρὸν ἀγαγεῖν Θευδάτον. ἐτύγχανε δὲ τῷ Θευδάτῳ οὗτος ὁ Ὄπταρις
V 22 χαλεπῶς ἔχων ἐξ αἰτίας τοιᾶσδε. κόρην τινὰ ὁ Ὄπταρις ἐπίκληρόν τε καὶ τὴν ὄψιν εὐπρεπῆ οὖσαν ἐμνηστεύετο. ταύτην Θευδάτος ἀφελόμενος τὸν μνηστῆρα τοῦτον, χρήμασιν ἀναπεισθείς, ἑτέρῳ ἐγγύησε. διὸ δὴ τῷ τε θυμῷ καὶ Οὐίτιγι χαριζόμενος, πολλῇ Θευδάτον σπουδῇ τε καὶ προθυμίᾳ, οὔτε νύκτα ἀνεὶς οὔτε ἡμέραν, ἐδίωκε. καὶ αὐτὸν ἐν ὁδῷ ἔτι πορευόμενον καταλαμ-
B
H 183 βάνει, ἐς ἔδαφός τε ὕπτιον ἀνακλίνας ὥσπερ ἱερεῖόν τι ἔθυσεν. αὕτη τε Θευδάτῳ καταστροφὴ τοῦ τε βίου καὶ τῆς ἡγεμονίας, τρίτον ἐχούσης ἔτος, ἐγένετο.

Οὐίτιγις δὲ, ἅμα Γότθων τοῖς παροῦσιν, ἐς Ῥώμην ἐσήλαυνε. γνούς τε τὰ Θευδάτῳ ξυνενεχθέντα, ἥσθη τε καὶ αὐτοῦ τὸν παῖδα Θευδέγισκλον ἐν φυλακῇ ἐποιήσατο. καὶ ἐπειδὴ

gissimo tractu. At ubi quis in ipso fuerit, tunc demum se opinione deceptum prius fuisse videt. Atque hanc forte ob causam Homerus insulae nomen loco tribuit. Ego vero ad propositum redeo.

Congregati apud Regeta Gotthi, sibi Italisque Regem eligunt Vitigia, virum haud illustri quidem loco natum, sed clarissimum praeliis ad Sirmium ante editis, cum adversus Gepaedas bellum gereret Theodericus. His Theodatus auditis, praecipiti fuga Ravennam petit. Mox Vitigis Optarin, natione Gotthum, instare iubet, ac Theodatum abducere, seu vivum, seu mortuum. Erat autem Optaris Theodato hac de causa infensus. Puellae cuiusdam, cum haereditate, tum forma divitis, nuptias Optaris ambiebat. Inductus pecunia Theodatus illam, huic ereptam proco, despondit alteri. Quamobrem Optaris, et animo suo et Vitigi obsequens, totum se ad insequendum Theodatum lubentissime contulit, neque diem, neque noctem intermittens, donec illum assecutus in via, afflixit humi, ac resupinum, instar victimae, iugulavit. Funestum hunc habuit Theodatus exitum et vitae et regni, hoc tres annos potitus.

At Vitigis cum Gotthis, qui aderant, ingressus Romam, ac de casu Theodati certior factus, laetitiam ex eo cepit, illiusque filium Theodegisclum in custodiam dedit. Et quoniam Gotthorum res minus paratas vi-

τὰ Γότθων πράγματα ἥκιστά οἱ ἐν παρασκευῇ ἔδοξεν εἶναι, βέλτιον ἐνόμισεν ἐς Ῥάβενναν πρῶτον ἰέναι, ἐνταῦθά τε πάντα ἐξαρτυσαμένῳ ὡς ἄριστα οὕτω δὴ καθίστασθαι ἐς τὸν πόλεμον. ξυγκαλέσας οὖν ἅπαντας ἔλεξε τοιάδε „Αἱ μέγισται τῶν πράξεων, ἄνδρες ξυστρατιῶται, οὐ καιρῶν ὀξύτητι, ἀλλ' εὐβουλίᾳ φιλοῦσιν ὀρθοῦσθαι. πολλάκις γὰρ μέλλησίς τε εἰς καιρὸν ἐλθοῦσα μᾶλλον ὤνησε καὶ σπουδὴ οὐκ ἐν δέοντι ἐπιδειχθεῖσα πολλοῖς ἀνεχαίτισε τὴν τοῦ κατορθώσειν ἐλπίδα. ῥᾷον γὰρ οἱ πλεῖστοι ἀπαράσκευοι μὲν, ἐξ ἀντιπάλου δὲ τῆς δυνάμεως μαχόμενοι, ἡσσῶνται ἢ ὅσοι τὴν ἐλάσσω ἰσχὺν ὡς ἄριστα παρασκευασάμενοι ἐς τὸν ἀγῶνα κατέστησαν. μὴ τοίνυν τῷ παραυτίκα φιλοτίμῳ ἐπειρόμενοι τὰ ἀνήκεστα ἡμᾶς αὐτοὺς ἐργασώμεθα. κρεῖσσον γὰρ ἐν χρόνῳ βραχεῖ αἰσχυνομένους τὴν εὔκλειαν ἀπέραντον διασώσασθαι ἢ τὴν ἐν αὐτῷ παραυτίκα φυγόντας ὕβριν εἰς ἅπαντα τὸν αἰῶνα, ὡς τὸ εἰκὸς, ἐγκαλύπτεσθαι. καίτοι καὶ ὑμεῖς δή που ἐπίστασθε ὡς τό τε Γότθων πλῆθος καὶ ξύμπασαν σχεδὸν τὴν τῶν ὅπλων παρασκευὴν ἔν τε Γαλλίαις καὶ Βενετίαις καὶ χώραις ταῖς ἑκάστοτε ξυμβαίνει εἶναι. καὶ μὴν καὶ πρὸς τὰ Φράγγων ἔθνη οὐχ ἥσσω τοῦδε πόλεμον διαφέρομεν, ὃν δὴ οὐκ εὖ διαθεμένους ἐφ' ἕτερον χωρεῖν πολλὴ ἄνοια. τοὺς γὰρ ἐς ἀμφίβολόν τι καθισταμένους καὶ οὐ πρὸς ἕνα πολέμιον ὁρῶντας τῶν ἐναντίων ἡσσᾶσθαι εἰκός. ἐγὼ δέ φημι χρῆναι νῦν μὲν εὐθὺ Ῥαβέννης ἰέναι, τὸν δὲ πρὸς Φράγ-

10. *ἰσχὺν* in L deletum, et ab Scaligero adscriptum *ἴσχοντες*. 11. *ἐς τὸν*] *εἰς τὸν* L. 14. *ἀπέραντον*] *ἀπέρατον* L. 17. *παρασκευὴν* L. Vulgo *σκευὴν*. 19. *ἥσσω*] *ἧσσον* L. *ἧσσονα* Scaliger.

debat, satius esse duxit, ante omnia Ravennam contendere, ut omnibus ibi probe ornatis, bellum susciperet. Advocata igitur concione, ita disseruit. *Coeptis ingentibus, Commilitones, non usus praecepe occasionum, sed consiliorum prudentia eventus prosperos afferre solet. Saepe enim plus profuit tempestiva cunctatio, dum vehemens opera, alieno tempore exhibita, rei bene gerendae spem multis incidit. Etenim qui numero pollent, si imparati pugnent cum hoste viribus pari, facilius vincuntur quam qui, viribus quidem inferiores, sed paratissimi, certamen ineunt. Nolimus igitur in perniciem subito ambitionis impetu ruere: siquidem brevi pudore immortalem gloriam retinere praestat, quam vitata puncto temporis ignominia, probrum, ut apparet, sempiternum subire. Certe scitis Gothorum quamplurimos ac fere omnem armorum apparatum in Galliis, Venetiis, et regionibus remotissimis esse. Praeterea cum Francis non levius isto susceptum habemus bellum: quo non bene composito, extremae dementiae fuerit aliud inchoare. Nam qui in ambiguo positi, nec in unum hostem intenti sunt, eos vinci consentaneum est. Ego vero sic statuo, Ravennam recta*

βουλήν τινα περὶ τοῦ στρατοπέδου ποιήσασθαι· καὶ ἐπειδὴ πόρ-
B ρω ἦν τῶν νυκτῶν, Μάγνῳ τε καὶ Ἔννῃ τὰ σφίσι παρόντα εἰ-
πὼν καὶ τὸ χωρίον ἐπιδείξας, οὗ πρότερον τὸν ὀχετὸν ἔτυχε διαρ-
ρήξας, τοῖς τετρακοσίοις ἐς τὴν πόλιν ἐξηγήσασθαι, λύχνα ἀνε-
λομένους, ἐκέλευε. καὶ ἄνδρας δύο ταῖς σάλπιγξι χρῆσθαι ἐπι-
σταμένους ξὺν αὐτοῖς ἔπεμψεν, ὅπως, ἐπειδὰν τοῦ περιβόλου
ἐντὸς γένωνται, τήν τε πόλιν ξυνταράξαι καὶ τὰ πρασσόμεναση-
μῆναι σφίσιν οἷοί τε ὦσιν. αὐτὸς δὲ κλίμακας ὅτι πλείστας πρό-
τερον πεποιημένας ἐν παρασκευῇ εἶχεν. οἱ μὲν οὖν ἐς τὸν ὀχε-
C τὸν ὑποδύντες ἐπὶ τὴν πόλιν ἐβάδιζον, αὐτὸς δὲ ξὺν τῷ Βέσσᾳ
καὶ Φωτίῳ αὐτοῦ ἔμενε καὶ ξὺν αὐτοῖς ἅπαντα ἔπρασσε. πέμ-
ψας δὲ καὶ ἐς τὸ στρατόπεδον, ἐγρηγορέναι τε καὶ τὰ ὅπλα ἐν
χερσὶν ἔχειν ἐπέταττε. καὶ πολλοὺς μέντοι ἀμφ' αὐτὸν εἶχεν,
οὓς δὴ εὐτολμοτάτους ᾤετο εἶναι. τῶν δὲ ἐπὶ τὴν πόλιν ἰόντων
V 19 οἱ ὑπὲρ ἥμισυ κατωρρωδηκότες τὸν κίνδυνον ὀπίσω ἀπεκομίζοντο·
οὓς ἐπεὶ Μάγνος ἔπεσθαί οἱ, καίπερ πολλὰ παραινέσας, οὐκ
ἔπειθε, παρὰ τὸν στρατηγὸν ξὺν αὐτοῖς ἐπανῆκε. τούτους δὲ
Βελισάριος κακίσας καὶ τῶν ἀμφ' αὐτὸν ἀπολέξας διακοσίους
D ξὺν Μάγνῳ ἰέναι ἐκέλευεν. ὧν δὴ καὶ Φώτιος ἡγεῖσθαι θέλων,
ἐς τὴν διώρυχα ἐσεπήδησεν· ἀλλὰ Βελισάριος αὐτὸν διεκώλυσεν.
αἰσχυνθέντες δὲ τοῦ τε στρατηγοῦ καὶ Φωτίου τὴν λοιδορίαν καὶ
ὅσοι τὸν κίνδυνον ἔφευγον, αὖθις αὐτὸν ὑποστῆναι τολμήσαντες
ξὺν αὐτοῖς εἵποντο. Βελισάριος δὲ δείσας μὴ τῶν πολεμίων τισὶ

8. ὦσιν P ex Vat. εἶεν Reg. εἶναι HL, sed εἶεν Lm. 15. οἱ ὑπὲρ] οἱ om. Vat. 17. παρὰ] περὶ L a pr. m.

habere se dicens quae cum ipso de exercitu constitueret. Adulta nocte, Magno et Enni, quo iam res deducta esset, aperuit, ac monstrans locum, ubi prius aquaeductum inciderat, praecepit, ut, sumptis lucernis, quadringentos illos in urbem inducerent. Comites addidit tubicines duos; qui, urbem ingressi, eam clangore turbarent, suisque significarent eventum rei. Ipse scalas quamplurimas, iam ante fabricatas, habebat in expedito, ac dum illi, qui subierant aquaeductum, ad urbem procedebant, cum Bessa ac Photio ibi stans, cum ipsis omnia disponebat. Tum dimissis per castra, qui vigilare omnes iuberent, et habere arma in manibus; quos maxime valere animo iudicabat, eorum agmine se succinxit. Ad urbem vero suggredientium pars maior, periculo territa, pedem retulit: quos vehementer quidem, sed frustra ad se hortando revocare conatus Magnus, cum illis ad militiae Magistrum rediit. Eos male verbis accepit Belisarius, lectosque e circumstantibus ducentos, cum Magno ire iussit. His ducem se Photius praebere volens, in canalem insiluit: sed vetuit Belisarius perro pergere. Pudore demum, quem Magistri militum Photique exprobratio incutiebat, incensi omnes, quicumque periculum refugerant, illudque ausi subire denuo, eos secuti sunt. Ac veritus Beli-

τῶν πρασσομένων αἴσθησις γένηται, οἳ δὴ ἐς τὸν πύργον φυλακὴν εἶχον, ὃς τοῦ ὀχετοῦ ἄγχιστα ἐτύγχανεν ὤν, ἐνταῦθά τε ἦλθε καὶ Βέσσαν ἐκέλευε τῇ Γότθων φωνῇ διαλέγεσθαι τοῖς P 334
τεύτῃ βαρβάροις, ὅπως δὴ μή τις αὐτοῖς ἐκ τῶν ὅπλων πάταγος ἔναυλος εἴη. καὶ Βέσσας μὲν αὐτοῖς ἀναβοήσας μέγα προσχωρεῖν Βελισαρίῳ παρῄνει, πολλὰ σφίσιν ἐπαγγελλόμενος ἀγαθὰ ἔσεσθαι. οἱ δὲ ἐτώθαζον, πολλὰ ἐς Βελισάριόν τε καὶ βασιλέα ὑβρίζοντες. ταῦτα μὲν οὖν Βελισαρίῳ καὶ Βέσσᾳ ἐπράσσετο τῇδε.

Ὁ δὲ Νεαπόλεως ὀχετὸς οὐκ ἄχρι ἐς τὸ τεῖχος καλύπτεται μόνον, ἀλλ' οὕτω τῆς πόλεως ἐπὶ πλεῖστον διήκει, κύρτωμα ἐκ πλίνθου ὠπτημένης ὑψηλὸν ἔχων, ὥστε γενόμενοι ἐντὸς τοῦ περιβόλου οἱ ἀμφὶ Μάγνον τε καὶ Ἔννην ἅπαντες οὐδὲ ὅπου ποτὲ γῆς εἰσι ξυμβάλλεσθαι ἠδύναντο. οὐ μὴν οὐδέ πη ἀποβαίνειν B
εἶχον, ἕως οἱ πρῶτοι ἐς χῶρον ἵκοντο, οὗ τὸν ὀχετὸν ἀνώροφον ξυνέπεσεν εἶναι καὶ οἴκημα ἦν κομιδῇ ἀπημελημένον. ἐνταῦθα ἔσω γυνή τις ᾤκει, μόνη τε οὖσα καὶ πενίᾳ πολλῇ ξυνοικοῦσα, καὶ δένδρον ἐλαίας καθύπερθεν τοῦ ὀχετοῦ ἐπεφύκει. οὗτοι ἐπειδὴ τόν τε οὐρανὸν εἶδον καὶ ἐν μέσῃ πόλει ἤσθοντο εἶναι, ἐκβαίνειν μὲν διενοοῦντο, μηχανὴν μέντοι οὐδεμίαν εἶχον, ἄλλως τε καὶ ξὺν τοῖς ὅπλοις, τοῦ ὀχετοῦ ἀπαλλάσσεσθαι. ὑψηλὴ γάρ τις οἰκοδομία ἐνταῦθα ἐτύγχανεν οὖσα καὶ οὐδὲ ἀνάβασίν τινα

6. ἐπαγγελλόμενος] ἐπαγγελόμενος L. 12. ὠπτημένης] Vulgo ὀπτηπέντης. 16. ἀπημελημένον] ἀπειλημμένον H. ἀπηλημένον L, ει a m. sec.

sarius, ne hostium manipulus, qui in turri, aquaeductui proxima, excubabat, fraudem perciperet, eo se contulit, et Bessae imperavit, ut, sermones serendo cum illis Gothice, ipsorum aures teneret, quo minus armorum sonitum acciperent. Bessas magna voce eos inclamans, ut sese Belisario dederent, hortari coepit, bona pollicens plurima. Illi ridicula et sannas in Belisarium ipsumque Imperatorem pleno ore mittebant. Ita se Belisarius ac Bessas ibi gesserunt.

Cum autem Neapolis aquaeductus non solum ad muros usque tectus sit, sed in urbem etiam longe excurrat, altum habens fornicem e coctili latere, hinc factum est, ut intra murum urbis progressi omnes, quos Magnus atque Ennes ducebant, nec, ubi terrarum essent, coniicere, nec usquam exire potuerint: donec primi devenere in locum, ubi caelo canalis patebat, eratque domus admodum neglecta; quam sola, eaque pauperrima, muliercula incolebat: ibidem super aquaeductu enata olea in arborem creverat. Simul ac videre caelum, et in urbe media se esse intellexerunt, erumpere consilium fuit: sed nulla ars suppetebat, qua, praesertim cum armis, canali egrederentur. Erant enim alti parietes, nec

ἔχουσα. τῶν δὲ στρατιωτῶν ἐπὶ πλεῖστον ἀπορουμένων καὶ ἐς στενοχωρίαν πολλὴν ξυνιόντων (ἤδη γὰρ καὶ τῶν ὄπισθεν ἰόν-
C των πολύς τε ξυνέρρει ὅμιλος), ἐγένετο αὐτῶν τινι ἔννοια τῆς ἀνόδου ἀποπειρᾶσθαι. καταθέμενος οὖν αὐτίκα τὰ ὅπλα, ταῖς χερσὶ καὶ τοῖς ποσὶ τὴν ἀνάβασιν βιασάμενος, ἐς τὸ τῆς γυναι-
κὸς οἴκημα ἦλθε. καὶ αὐτὴν ἐνταῦθα ἰδὼν, ἢν μὴ σιωπῷη, κτενεῖν ἠπείλησεν. ἡ δὲ καταπλαγεῖσα ἄφωνος ἔμεινε. καὶ ὃς ἐκ τοῦ πρέμνου τῆς ἐλαίας ἱμάντα τινὰ ἰσχυρὸν ἀναψάμενος τὴν ἑτέραν τοῦ ἱμάντος ἀρχὴν ἐς τὸν ὀχετὸν ἔρριψεν. οὗ δὴ λαβό-
μενος τῶν στρατιωτῶν ἕκαστος ἀνέβαινε μόλις. ἐπεὶ δὲ ἀναβε-
βήκεισαν ἅπαντες, τῆς τε νυκτὸς τὸ τεταρτημόριον ἔτι ἐλείπετο, χωροῦσιν ἐπὶ τὸ τεῖχος· καὶ πύργων δύο τοὺς φύλακας, οὐδέν τι αἰσθανομένους τοῦ κακοῦ, κτείνουσιν ἀμφὶ τὰ πρὸς βορρᾶν τοῦ
D περιβόλου, ἔνθα Βελισάριος ξὺν τῷ Βέσσα καὶ Φωτίῳ εἱστήκει, καραδοκῶν τὰ πρασσόμενα. καὶ οἱ μὲν ἐς τὸ τεῖχος ταῖς σάλ-
πιγξιν ἐκάλουν, Βελισάριος δὲ τῷ περιβόλῳ τὰς κλίμακας ἐρεί-
σας τοὺς στρατιώτας ἐνθένδε ἀναβαίνειν ἐκέλευε. τῶν δὲ κλιμά-
κων οὐδεμίαν διήκειν ἄχρι ἐς τὰς ἐπάλξεις ξυνέβαινεν. ἅτε γὰρ αὐτὰς οὐκ ἐκ τοῦ ἐμφανοῦς οἱ τεχνῖται ποιούμενοι μέτρου τοῦ καθήκοντος οὐχ οἷοί τε ἐξεπνεῖσθαι ἐγένοντο. διόπερ δύο ἐς ἀλ-
H 181 λήλας ξυνδέοντες καὶ ἐπ' ἀμφοῖν ἀναβαίνοντες οὕτω δὴ τῶν ἐπάλξεων καθυπέρτεροι οἱ στρατιῶται ἐγίνοντο. ταῦτα μὲν οὖν Βελισαρίῳ ἐφέρετο τῇδε.

8. πολύς τε] πολύς τις? 9. ἔρριψεν] ἔρριψαν L. 18. οὐδεμίαν] Vulgo οὐδὲ μίαν.

ascensum praebebant. Militibus valde animo fluctuantibus, et angustiori in spatio se comprimentibus (iam enim pone sequentium magnus numerus confluebat) cuidam in mentem venit ascensum tentare. Itaque positis confestim armis, manibus pedibusque enitens, ad mulieris domum evasit, eamque ibi nactus, ipsi mortem, ni taceret, minatus est. Illa prae ingenti metu obmutuit. Is vero, cum ex oleae caudice lorum validum religasset, alteram eius partem extremam in aquaeductum demisit: qua singuli milites apprehensa, foras aegre se sustulerunt. Quarta pars noctis adhuc supererat, cum suggressi omnes ad moenia succedunt, ac turrium duarum custodes incautos trucidant, ad illam murorum partem, quae Septentrionem spectat: ubi Belisarius cum Bessa ac Photio stabat, incepti successum cupidissime expectans. Illi tubis vocarunt ipsos ad murum: cui scalas cum applicuisset Belisarius, et inde milites iussisset ascendere, accidit, ut nullae pinnas pertingerent: quippe fabricati illas in occulto opifices, non potuerant tantam assequi longitudinem. Quare binis invicem colligatis, per utrasque scandendo, milites pinnas superavere. Ibi res Belisario sic procedebat.

Ἐς δὲ τὰ πρὸς τὴν θάλασσαν τοῦ περιβόλου, ἔνθα οὐχ οἱ P 335
βάρβαροι, ἀλλὰ Ἰουδαῖοι φυλακὴν εἶχον, οὔτε ταῖς κλίμαξι χρῆσθαι οὔτε ἀναβαίνειν ἐς τὸ τεῖχος οἱ στρατιῶται ἐδύναντο. οἱ γὰρ Ἰουδαῖοι τοῖς πολεμίοις ἤδη προσκεκρουκότες, ἐμπόδιοί τε γεγενημένοι ὅπως μὴ τὴν πόλιν ἁλῶσι, καὶ ἀπ' αὐτοῦ ἐλπίδα οὐδεμίαν ἐπ' αὐτοῖς ἔχοντες, καρτερῶς τε, καίπερ αὐτοῖς τῆς πόλεως ἤδη ἀλούσης, ἐμάχοντο καὶ τῇ τῶν ἐναντίων προσβολῇ παρὰ δόξαν ἀντεῖχον. ἐπεὶ δὲ ἡμέρα ἐγένετο καὶ τῶν ἀναβεβηκότων τινὲς ἐς αὐτοὺς ἦσαν, οὕτω δὴ καὶ αὐτοὶ ὄπισθεν προσπαλλάμενοι ἔφυγον, καὶ κατὰ κράτος Νεάπολις ἥλω. καὶ τῶν B
πυλῶν ἤδη ἀνακεκλιμένων ἅπας ὁ Ῥωμαίων στρατὸς εἰσῄει. ὅσοι V 20
δὲ ἀμφὶ πύλας ἐτετύχατο τὰς πρὸς ἀνίσχοντα ἥλιον τετραμμένας, ἐπεὶ κλίμακες σφίσι παροῦσαι οὐδαμοῦ ἔτυχον, ταύτας δὴ τὰς πύλας ἀφυλάκτους παντάπασιν οὔσας ἔκαυσαν. ἔρημον γὰρ ἀνδρῶν τὸ ἐκεῖ τεῖχος, ἅτε τῶν φυλάκων δρασμῷ χρησαμένων, ἐγένετο, φόνος τε ἐντεῦθεν πολὺς ἐγεγόνει. θυμῷ γὰρ ἐχόμενοι ἅπαντες, ἄλλως τε καὶ ὅσοις ἀδελφόν τινα ἢ ξυγγενῆ ἀποθανεῖν τειχομαχοῦντα τετύχηκε, τὸν ἐν ποσὶ μᾶλλον ἕκαστος, οὐδεμιᾶς ἡλικίας φειδόμενοι, ἔκτεινον, ἔς τε τὰς οἰκίας ἐσβάλλοντες παῖδας μὲν καὶ γυναῖκας ἠνδραπόδισαν, τὰ δὲ χρήματα ἐληίσαντο, καὶ πάν- C
των μάλιστα οἱ Μασσαγέται, οἳ οὐδὲ τῶν ἱερῶν ἀπεχόμενοι πολ-

2. οὔτε — οὔτε] Vulgo οὐδὲ — οὐδὲ. 6. Post οὐδεμίαν in L signum lacunae et in marg. λείπει. ibid. ἐπ' αὐτοῖς] ἐπ' αὐτούς Vat. αὐτοῖς ὦσιν HL. Unde Grotius ἦν ἐπ' αὐτοῖς ὦσιν. 8. παρὰ δόξαν Vat. Vulgo παραδόξως. 14. ἀφυλάκτους] Vulgo ἀφυλάκτως. 21. ἱερῶν] ἱερέων L: illud Lm.

Interea ad maritimam murorum partem, non Barbarorum sed Iudaeorum custodiis munitam, nec scalis uti milites, nec ascendere poterant. Sibi enim conscii Iudaei, se in offensionem hostium cecidisse, oblato ipsis impedimento, quo minus urbe citra pugnam potirentur; eam ob causam, uti desperatione, fortiter pugnabant, quamvis urbe iam capta, ac praeter opinionem hostilem impetum sustinebant. Ubi illuxit, pars eorum, qui ascenderant, illos invasit: tum a tergo appetiti telis, fugerunt; vi atque impressione Neapolis capta est, ac portis iam reclusis, Rom. omnis exercitus intravit. Qui ad portas, orienti Soli obversas, locati fuerant, cum scalae nusquam praesto essent, igni valvas corruperunt, nullis defensas custodibus: iam enim his fuga dilapsis, pars illa muri plane vacabat. Ingens tum caedes facta. Nam omnes, praesertim quicumque fratrem vel propinquum in oppugnatione amiserant, ira furentes, obvium quemque, sine ullo aetatis discrimine, mactabant. Ingressi domos, pueros femineasque sua faciebant mancipia, et opes diripiebant: in primis Massagetae; qui ne a templis quidem vim abstinentes, multis, qui se il-

λοὺς τῶν ἐς αὐτὰ φυγόντων ἀνεῖλον, ἕως Βελισάριος παντα-
χόσε περιιὼν διεκώλυσέ τε καὶ ξυγκαλέσας ἅπαντας ἔλεξε τοιάδε
„Ἐπειδὴ νενικηκέναι τε ἡμῖν δέδωκεν ὁ θεὸς καὶ ἐπὶ πλεῖστον
εὐδοξίας ἀφῖχθαι, πόλιν ἀνάλωτον πρότερον οὖσαν ὑποχειρίαν
ἡμῖν ποιησάμενος, ἀναγκαῖον καὶ ἡμᾶς τε μὴ ἀναξίους εἶναι τῆς
χάριτος, ἀλλὰ καὶ τῇ ἐς τοὺς ἡσσημένους φιλανθρωπίᾳ τὸ δι-
καίως κεκρατηκέναι τούτων ἐνδείκνυσθαι. μὴ τοίνυν ἀπέραντα
Νεαπολίτας μισήσητε, μηδὲ ὑπερόριον τοῦ πολέμου τὸ εἰς αὐ-
τοὺς ἔχθος ποιήσητε. τοὺς γὰρ ἡσσημένους οὐδεὶς τῶν νενικη-
κότων ἔτι μισεῖ. κτείνοντές τε γὰρ αὐτοὺς οὐ πολεμίων ἀπαλ-
λαγήσεσθε τὸ λοιπὸν, ἀλλὰ θανάτῳ ζημιωθήσεσθε τῶν ὑπηκόων.
οὐκοῦν ἀνθρώπους τούσδε μηδὲν ἐργάσησθε πειραιτέρω κακὸν,
μηδὲ τῇ ὀργῇ πάντα χαρίζεσθε. αἰσχρὸν γὰρ τῶν μὲν πολεμίων
κρατεῖν, τοῦ δὲ θυμοῦ ἥσσους φαίνεσθαι. ὑμῖν δὲ χρήματα
μὲν τὰ ἄλλα γινέσθω τῆς ἀρετῆς ἆθλα, γυναῖκες δὲ τοῖς ἀνδράσι
ξὺν τοῖς παισὶν ἀποδιδόσθωσαν. μανθανέτωσαν δὲ οἱ νενικη-
μένοι τοῖς πράγμασιν ἡλίκων ἐξ ἀβουλίας ἐστέρηνται φίλων.“
τοσαῦτα εἰπὼν Βελισάριος τάς τε γυναῖκας καὶ τὰ παιδία καὶ τὰ
ἄλλα ἀνδράποδα Νεαπολίταις πάντα ἀφῆκεν, ὕβρεως οὐδεμιᾶς
ἐς πεῖραν ἐλθόντας, καὶ αὐτοῖς τοὺς στρατιώτας διήλλαξεν. οὕ-
τω τε Νεαπολίταις ξυνηνέχθη ἐκείνῃ τῇ ἡμέρᾳ αἰχμαλώτοις τε

του
5. καὶ ἡμᾶς τε] Offendit τε. 8. αὐτοὺς] τοὺς L, τον a m. sec. 10. Post μισεῖ in L signum lacunae et in marg. λείπει.
σαν
16. ἀποδιδόσθωσαν] ἀποδιδόσθω L, σαν a m. sec.

lis commiserant, necem intulerunt. Ita saevitum est, donec Belisarius, quoquoversum discurrens, prohibuit, et advocata concione sic verba fecit. *Postquam Deus victoriam et insignem gloriam nobis tribuit, urbe, quae hactenus inexpugnabilis fuerat, in nostram potestatem subiuncta, non oportet indignos praestare nos tali gratia; sed multa erga victos humanitate ostendere, a nobis illos merito subactos esse. Nolite igitur odium in Neapolitanos exercere perpetuum, neque ultra belli finem illud producite. Nemo victor iam victos odit: quod si ipsos interimatis, non iam tolletis hostes de medio, verum subditos morte mulctabitis. Itaque nocendi his finem facite, nec irae sic indulgete, ut illi omnia permittatis. Turpe enim est iracundia videri vinci victores hostium. Vobis eorum omnes pecuniae in praemium bellicae virtutis cedant: at viris reddantur cum liberis coniuges: atque hinc discant victi, quales amicos sua ipsis temeritas in tempore eripuerit.* Hac Belisarius habita oratione, Neapolitanis uxores, liberos ac caeteros captivos omnes dimisit, nullam vim turpem expertos, ipsisque animos militum reconciliavit. Ita factum est, ut Neapolitani illo uno die libertatem amiserint receperintque, et ad suas

γενέσθαι καὶ τὴν ἐλευθερίαν ἀνασώσασθαι καὶ τῶν χρημάτων τὰ P 336
τιμιώτατα ἀνακτήσασθαι. ἐπεὶ αὐτῶν ὅσοι χρυσὸν ἢ ἄλλο τι
τῶν ἐπιτηδείων ἔχοντες ἔτυχον, οὗτοι δῆτα πρότερον ἐς γῆν κα-
τορύξαντες ἀπεκρύψαντο, καὶ ταύτῃ τοὺς πολεμίους λαθεῖν
ἴσχυσαν αὐτοῖς χρήμασι τὰς οἰκίας ἀπολαβόντες. ἥ τε πολιορ-
κία ἐς ἡμέρας μάλιστα εἴκοσιν κατατείνασα ἐς τοῦτο ἐτελεύτα.
Γότθους δὲ τοὺς τῇδε ἁλόντας οὐχ ἥσσους ἢ ὀκτακοσίους ὄντας
κακῶν ἀπαθεῖς Βελισάριος παντάπασι διαφυλάξας, οὐκ ἐλασσό-
νως ἢ τοὺς στρατιώτας τοὺς αὐτοῦ ἐν τιμῇ εἶχε.

Πάστωρ δὲ, ὃς ἐς ἀπόνοιαν, ὡς πρότερόν μοι δεδήλωται, B
τὸν δῆμον ἐνῆγεν, ἐπεὶ τὴν πόλιν ἁλισκομένην εἶδεν, ἐς ἀπο-
πληξίαν ἐξέπεσε καὶ ἐξαπίνης ἀπέθανεν, οὔτε νοσήσας πρότερον
οὔτε ἄλλο τι πρὸς οὐδενὸς παθὼν ἄχαρι. Ἀσκληπιόδοτος δὲ,
ὃς ξὺν αὐτῷ ταῦτα ἔπρασσε, ξὺν τῶν λογίμων τοῖς περιοῦσι παρὰ
Βελισάριον ἦλθε. καὶ αὐτῷ Στέφανος ἐπιτωθάζων ἐλοιδορεῖτο
ὧδε „Ὅρα, ὦ κάκιστε ἀνθρώπων ἁπάντων, οἷα κακὰ τῇ πα-
τρίδι εἰργάσω, τῆς ἐς Γότθους εὐνοίας τὴν τῶν πολιτῶν ἀποδό-
μενος σωτηρίαν. εἶτα εἰ μὲν τοῖς βαρβάροις εὖ ἐγεγόνει τὰ πρά-
γματα, ἠξίωσας ἂν ἔμμισθός τε αὐτὸς πρὸς ἐκείνων εἶναι καὶ H 182
ἡμῶν ἕκαστον τῶν τὰ βελτίω βεβουλευμένων τῆς ἐς τοὺς Ῥω- C
μαίους προδοσίας ὑπαγωγεῖν. ἐπεὶ δὲ τὴν πόλιν βασιλεὺς εἶλε,
σεσώσμεθα δὲ τῇ τοῦδε τοῦ ἀνδρὸς ἀρετῇ, οὕτω δὴ εἰσελθεῖν

3. ἐπιτηδείων Reg. et LHm. Vulgo ἐπιτιμίων. 8. παντάπασι L. παντάπασιν P. 12. ἐξέπεσε L. ἐξέπεσεν P. ἐσέπεσεν Pm. Frustra.

pretii maioris pecunias redierint. Nam qui aurum aliudve pretiosum habuerant, id iam ante abdiderant, infossum terrae. Itaque inscientibus hostibus, pecunias pariter cum domibus recuperarunt. Hunc habuit exitum obsidio, per dies admodum xx. extracta. Captos ibi Gotthos, minimam partem, servavit incolumes Belisarius, nec minori in honore quam suos milites habuit.

Pastor, qui plebem, uti supra commemoravi, ad insaniendum perpulerat, ubi captam urbem animadvertit, in apoplexiam incidit, ac repente efflavit animam, cum antea belle haberet, nec eum quisquam molestia affecisset. Asclepiodotus vero, quem ille participem sociumque machinationis habuerat, cum optimatibus, qui supererant, Belisarium adiit. Hic ipsum Stephanus huiusmodi convitiis aggressus est. *Vide, mortalium omnium pessime, quae mala patriae importaveris, tuo in Gothos studio prodita salute civium. Ac si res Barbaris ex sententia successissent, mercedem ab illis accipere, et unumquemque nostrum, qui potiora consilia sequebamur, insimulare proditionis, cum Romanis compositae voluisses. Nunc, postquam Imperator urbem recepit, ac nobis huius viri virtus salutem peperit, adeone inconsiderate ausus es convenire Magi-*

παρὰ τὸν στρατηγὸν ἀνεπισκέπτως ἐτόλμησας, ὅτε οὐδὲν δεινὸν οὔτε Νεαπολίτας οὔτε τὸ βασιλέως διαπεπραγμένος στρατόπεδον." Στέφανος μὲν τῇ ξυμφορᾷ περιώδυνος ὢν εἰς Ἀσκληπιόδοτον ταῦτα ἀπέρριψεν. ὁ δὲ αὐτὸν ἀμείβεται τοῖσδε ,,Λέληθας σεαυτὸν ἐγκωμιάζων ἡμᾶς, ὦ γενναῖε, οἷς δὴ εὔνοιαν τὴν
V 21 πρὸς τοὺς Γότθους ἡμῖν ὀνειδίζεις. εὔνους γάρ τις δεσπότας κινδυνεύουσιν, ἣν μὴ ἐκ τοῦ βεβαίου τῆς γνώμης, οὐκ ἄν ποτε
D εἴη. ἐμὲ μὲν οὖν οἱ κρατοῦντες τοιοῦτον τῆς πολιτείας φύλακα ἔχουσιν οἷον ἀρτίως πολέμιον εὗρον, ἐπεὶ ὁ τῇ φύσει τὸ πιστὸν ἔχων οὐ ξυμμεταβάλλει τῇ τύχῃ τὴν γνώμην. σὺ δὲ τῶν πραγμάτων οὐχ ὁμοίως αὐτοῖς φερομένων ἐτοίμως ἂν τοὺς τῶν ἐπιόντων ἐνδέξαιο λόγους. ὁ γὰρ τὴ τῆς διανοίας νοσῶν ἄστατον ἅμα τε ἔδειξε καὶ τὴν εἰς τοὺς φιλτάτους ἠρνήσατο πίστιν." τοιαῦτα μὲν καὶ Ἀσκληπιόδοτος εἶπε. Νεαπολιτῶν δὲ ὁ δῆμος, ἐπεὶ αὐτὸν ἐνθένδε ἀναχωροῦντα εἶδον, ἀθρόοι γενόμενοι, ἅπαντα αὐτῷ ἐπεκάλουν τὰ παρόντα σφίσι. καὶ οὐ πρότερον ἐπέστησαν, πρὶν δὴ ἔκτεινάν τε καὶ τὸ σῶμα κατὰ βραχὺ διεσπάσαντο. οὕτω τε ἐν τῇ Πάστωρος οἰκίᾳ γενόμενοι τὸν ἄνδρα ἐζήτουν.
P 337 τοῖς τε οἰκέταις τεθνάναι Πάστωρα ἰσχυριζομένοις ἥκιστα πιστεύειν ἤξίουν, ἕως αὐτοῖς τὸν τοῦ ἀνθρώπου νεκρὸν ἔδειξαν. καὶ αὐτὸν Νεαπολῖται ἐν τῷ προαστείῳ ἀνεσκολόπισαν. οὕτω τε Βελισάριον παρῃτήσαντο ἐφ' οἷς δικαίᾳ ὀργῇ ἐχόμενοι ἔδρα-

10. σὺ δὲ] οὐδὲ H. 12. ἐνδέξαιο Vat. Vulgo ἐνδέξῃ.

strum militum; quasi nihil mali nec in Neapolitanos, nec in Caesareum exercitum molitus eis? Sic Stephanus, vicem publicam graviter dolens, in Asclepiodotum erupit stomachum. Is vero respondens, Non advertis, inquit, praeclare vir, te nobis, dum nostram in Gothos benevolentiam exprobras, praeconium tribuere. Nemo enim, nisi constans animo sit, adductis in periculum dominis studium unquam exhibeat. Me certe victoreo talem publicae rei suae defensorem habebunt, qualem hostem experti sunt. Nam qui ingenio fideli est, haud mutat animum cum fortuna. Tu vero, si cursus rerum diversus fuerit, quicumque accesserint, oblatam ab ipsis conditionem statim accipies. Etenim qui mentis inconstantia laborat; simul timuit, fidem vel amicissimis pactam deserit. Haec retulit Asclepiodotus: quem ut inde abeuntem vidit populus Neapolitanus, facto agmine, malorum omnium, quae tunc accidissent, auctorem clamitans, haud prius discessit, quam ipsum contrucidavit, eiusque corpus minutatim discerpsit. Subinde Pastoris domum ingressi, cum eum quaererent, famulis mortuum affirmantibus, credere noluerunt, donec illi monstrarunt cadaver hominis: quod Neapolitani e patibulo suspenderunt in suburbano. Tum Belisarium orarunt, ut eorum quae iusta accensi ira fecissent

σαν, ταχύτητς τε αὐτοῦ συγγνώμονες διελύθησαν. οὕτω μὲν Νεαπολῖται ἀπήλλαξαν.

ια'. Γότθοις δὲ, ὅσοις ἀμφί τε Ῥώμην καὶ τὰ ἐκείνῃ χω- B
ρία ξυνέπεσεν εἶναι, καὶ πρότερον τὴν Θευδάτου ἡσυχίαν ἐν θαύ-
μασι μεγάλῳ ποιουμένοις, ὅτι δὴ ἐκ γειτόνων οὖσαι τοῖς πολεμίοις
οὐ βούλοιτο διὰ μάχης ἰέναι, ἐν σφίσι τε αὐτοῖς ὑποψίᾳ πολλῇ
ἐς αὐτὸν χρησαμένοις, ὡς δὴ τὰ τῶν Γότθων πράγματα προδι-
δοῖ Ἰουστινιανῷ βασιλεῖ ἐθελουσίως, ἄλλο τέ οἱ οὐδὲν ἐμμελές
εἴη, πλήν γε δὴ ὅπως αὐτὸς ἡσυχῇ βιοτεύοι, ὡς πλεῖστα περι-
βαλλόμενος χρήματα· ἐπειδὴ ἁλῶναι Νεάπολιν ἤκουσαν, ἅπαντά
οἱ ταῦτα ἐκ τοῦ ἐμφανοῦς ἐπικαλοῦντες ἐς χωρίον ξυνελέγησαν C
Ῥάμης ὀγδοήκοντα καὶ διακοσίοις σταδίοις διέχον, ὅπερ Ῥωμαῖοι
καλοῦσι Ῥεγέτα· ἐνθένδε γὰρ ἐνστρατοπεδεύσασθαι σφίσιν ἔδο-
ξεν ἄριστον εἶναι· πεδία γὰρ πολλὰ ἐνταῦθά ἐστιν ἱππόβοτα.
ῥεῖ δὲ καὶ ποταμὸς, ὃν Δεκεννόβιον τῇ Λατίνων φωνῇ καλοῦσιν
οἱ ἐπιχώριοι, ὅτι δὴ ἐννεακαίδεκα περιὼν σημεῖα, ὅπερ ξύνεισιν
ἐς τρεῖς καὶ δέκα καὶ ἑκατὸν σταδίους, οὕτω δὴ ἐκβάλλει ἐς θά-
λασσαν, ἀμφὶ πόλιν Ταρακίνην, ἧς ἄγχιστα ὄρος τὸ Κιρκαῖόν
ἐστιν, οὗ τὸν Ὀδυσσέα τῇ Κίρκῃ ξυγγενέσθαι φασὶν, ἐμοὶ μὲν
οὐδὲ πιστὰ λέγοντες, ἐπεὶ ἐν νήσῳ Ὅμηρος τὰ τῆς Κίρκης οἰκία
ἰσχυρίζεται εἶναι. ἐκεῖνο μέντοι ἔχω εἰπεῖν, ὡς τὸ Κιρκαῖον D
τοῦτο, ἐπὶ πολὺ τῆς θαλάσσης δῆκον, νήσῳ ἐμφερές ἐστι,
καὶ τοῖς τε πλέουσιν ἄγχιστα τοῖς τε εἰς τὴν ἐκείνῃ ᾐόνα βαδί-

5. ἐν γειτόνων] ἐγγειτόνων L. 23. εἰς τὴν] εἰς om. HL. ibid. ᾐόνα] ἠϊόνα P.

veniam daret: qua impetrata, digressi sunt. Ita demum Neapolitani ex malis emersere.

11. Gotthi vero, qui apud Romam circumiectisque in locis degebant, et vehementer mirati antea fuerant adeo cessare Theodatum, ut hosti appropinquanti offerre se et congredi nollet, non leviter suspicantes, eum Iustiniano August. Gotthorum res ultro prodere, neque aliud curare, nisi ut in otio, fortunis abundanti, vitam traduceret, ubi nuntius venit captam esse Neapolin, horum omnium culpam in ipsum palam conlicientes, in locum coiere, qui Roma CCLXXX. stadiis distat, et a Romanis Regeta dicitur. Is castris commodissimus visus est, quod multa habeat equorum pascua, ac rigetur fluvio, quem indigenae Latino vocabulo Decennovium ideo appellant, quia decursis XIX. milliaribus, quae stadia conficiunt CXIII. in mare influit ad urbem Tarracinam, monti proximam Circaeo: ubi cum Circe egisse Ulyssem ferunt; quos falli iudico, si bene Homerus in insula domicilium Circes collocat. Quanquam fateor Circaeum hunc montem sic in mare porrigi, ut insulae speciem habeat, nec modo praeternavigantibus, sed perambulantibus etiam ea littora, esse insula videatur lon-

ζουσι νῆσος δοκεῖ ἐπὶ πλεῖστον εἶναι. καὶ ἐπειδάν τις ἐν αὐτῇ γένηται, τότε δὴ μεταμανθάνει ψευσθῆναι τῆς δόξης τὰ πρότερα. καὶ διὰ τοῦτο Ὅμηρος ἴσως νῆσον τὸ χωρίον ὠνόμασεν. ἐγὼ δὲ ἐπὶ τὸν πρότερον λόγον ἄνειμι.

Γότθοι, ἐπειδὴ ἐς Ῥεγέτα ξυνελέγησαν, βασιλέα σφίσι τε καὶ Ἰταλιώταις Οὐίτιγιν εἵλοντο, ἄνδρα οἰκίας μὲν οὐκ ἐπιφανοῦς ὄντα, ἐν μάχαις δὲ ταῖς ἀμφὶ Σίρμιον λίαν εὐδοκιμηκότα
P 338 τὸ πρότερον, ἡνίκα τὸν πρὸς Γήπαιδας πόλεμον Θευδέριχος διέφερε. Θευδάτος καὶ ταῦτα ἀκούσας ἐς φυγήν τε ὥρμητο καὶ τὴν ἐπὶ Ῥάβενναν ἤλαυνεν. Οὐίτιγις δὲ κατὰ τάχος Ὄπταριν ἔπεμψεν, ἄνδρα Γότθον, ἐπιστείλας αὐτῷ ἢ ζῶντα ἢ νεκρὸν ἀγαγεῖν Θευδάτον. ἐτύγχανε δὲ τῷ Θευδάτῳ οὗτος ὁ Ὄπταρις χαλεπῶς ἔχων ἐξ αἰτίας τοιᾶσδε. κόρην τινὰ ὁ Ὄπταρις ἐπίκληρόν τε καὶ τὴν ὄψιν εὐπρεπῆ οὖσαν ἐμνηστεύετο. ταύτην Θευ-
V 22 δάτος ἀφελόμενος τὸν μνηστῆρα τοῦτον, χρήμασιν ἀναπεισθείς, ἑτέρῳ ἠγγύησε. διὸ δὴ τῷ τε θυμῷ καὶ Οὐίτιγι χαριζόμενος, ποιλῇ Θευδάτον σπουδῇ τε καὶ προθυμίᾳ, οὔτε νύκτα ἀνεὶς οὔτε ἡμέραν, ἐδίωκε. καὶ αὐτὸν ἐν ὁδῷ ἔτι πορευόμενον καταλαμ-
B
H 183 βάνει, ἐς ἔδαφός τε ὕπτιον ἀνακλίνας ὥσπερ ἱερεῖόν τι ἔθυσεν. αὕτη τε Θευδάτῳ καταστροφὴ τοῦ τε βίου καὶ τῆς ἡγεμονίας, τρίτον ἐχούσης ἔτος, ἐγένετο.

Οὐίτιγις δὲ, ἅμα Γότθων τοῖς παροῦσιν, ἐς Ῥώμην ἐσήλαυνε. γνούς τε τὰ Θευδάτῳ ξυνενεχθέντα, ἤσθη τε καὶ αὐτοῦ τὸν παῖδα Θευδέγισκλον ἐν φυλακῇ ἐποιήσατο. καὶ ἐπειδὴ

gissimo tracta. At ubi quis in ipso fuerit, tunc demum se opinione deceptum prius fuisse videt. Atque hanc forte ob causam Homerus insulae nomen loco tribuit. Ego vero ad propositum redeo.

Congregati apud Regeta Gotthi, sibi Italisque Regem eligunt Vitigin, virum haud illustri quidem loco natum, sed clarissimum praeliis ad Sirmium ante editis, cum adversus Gepaedas bellum gereret Theodericus. His Theodatus auditis, praecipiti fuga Ravennam petit. Mox Vitigis Optarin, natione Gotthum, instare iubet, ac Theodatum abducere, seu vivum, seu mortuum. Erat autem Optaris Theodato hac de causa infensus. Puellae cuiusdam, cum haereditate, tum forma divitis, nuptias Optaris ambiebat. Inductus pecunia Theodatus illam, huic ereptam proco, despondit alteri. Quamobrem Optaris, et animo suo et Vitigi obsequens, totum se ad insequendum Theodatum lubentissime contulit, neque diem, neque noctem intermittens, donec illum assecutus in via, afflixit humi, ac resupinum, instar victimae, iugulavit. Funestum hunc habuit Theodatus exitum et vitae et regni, hec tres annos potitus.

At Vitigis cum Gotthis, qui aderant, ingressus Romam, ac de casu Theodati certior factus, laetitiam ex eo cepit, illiusque filium Theodegisclum in custodiam dedit. Et quoniam Gotthorum res minus paratas vi-

τὰ Γότθων πράγματα ἥκιστά οἱ ἐν παρασκευῇ ἔδοξεν εἶναι, βέλτιον ἐνόμισεν ἐς Ῥάβενναν πρῶτον ἰέναι, ἐνταῦθά τε πάντα ἐξαρτυσαμένῳ ὡς ἄριστα οὕτω δὴ καθίστασθαι ἐς τὸν πόλεμον. ξυγκαλέσας οὖν ἅπαντας ἔλεξε τοιάδε „Ἀεί μέγιστα τῶν πράξεων, ἄνδρες ξυστρατιῶται, οὐ καιρῶν ὀξύτητι, ἀλλ' εὐβουλίᾳ φιλοῦσιν ὀρθοῦσθαι. πολλάκις γὰρ μέλλησίς τε εἰς καιρὸν ἐλθοῦσα μᾶλλον ὤνησε καὶ σπουδὴ οὐκ ἐν δέοντι ἐπιδειχθεῖσα πολλοῖς ἀνεχαίτισε τὴν τοῦ κατορθώσειν ἐλπίδα. ῥᾷον γὰρ οἱ πλεῖστοι ἀπαράσκευοι μὲν, ἐξ ἀντιπάλου δὲ τῆς δυνάμεως μαχόμενοι, ἡσσῶνται ἢ ὅσοι τὴν ἐλάσσω ἰσχὺν ὡς ἄριστα παρασκευασάμενοι ἐς τὸν ἀγῶνα κατέστησαν. μὴ τοίνυν τῷ παραυτίκα φιλοτίμῳ ἐπαιρόμενοι τὰ ἀνήκεστα ἡμᾶς αὐτοὺς ἐργασώμεθα. κρεῖσσον γὰρ ἐν χρόνῳ βραχεῖ αἰσχυνομένους τὴν εὔκλειαν ἀπέραντον διασώσασθαι ἢ τὴν ἐν αὐτῷ παραυτίκα φυγόντας ὕβριν εἰς ἅπαντα τὸν αἰῶνα, ὡς τὸ εἰκὸς, ἐγκαλύπτεσθαι. καίτοι καὶ ὑμεῖς δή που ἐπίστασθε ὡς τό τε Γότθων πλῆθος καὶ ξύμπασαν σχεδὸν τὴν τῶν ὅπλων παρασκευὴν ἔν τε Γαλλίαις καὶ Βενετίαις καὶ χώραις ταῖς ἑκαστάτω ξυμβαίνει εἶναι. καὶ μὴν καὶ πρὸς τὰ Φράγγων ἔθνη οὐχ ἥσσω τοῦδε πόλεμον διαφέρομεν, ὃν δὴ οὐκ εὖ διαθεμένους ἐφ' ἕτερον χωρεῖν πολλὴ ἄνοια. τοὺς γὰρ ἐς ἀμφίβολόν τι καθισταμένους καὶ οὐ πρὸς ἕνα πολέμιον ὁρῶντας τῶν ἐναντίων ἡσσᾶσθαι εἰκός. ἐγὼ δέ φημι χρῆναι νῦν μὲν εὐθὺ Ῥαβέννης ἰέναι, τὸν δὲ πρὸς Φράγ-

10. ἰσχὺν in L deletum, et ab Scaligero adscriptum ἴσχοντες. 11. ἐς τὸν] εἰς τὸν L. 14. ἀπέραντον] ἀπέρατον L. 17. παρασκευὴν L. Vulgo σκευὴν. 19. ἥσσω] ἧσσον L. ἧσσονα Scaliger.

debat, satius esse duxit, ante omnia Ravennam contendere, ut omnibus ibi probe ornatis, bellum susciperet. Advocata igitur concione, ita disseruit. *Coeptis ingentibus, Commilitones, non usus praeceps occasionum, sed consiliorum prudentia eventus prosperos afferre solet. Saepe enim plus profuit tempestiva cunctatio, dum vehemens opera, alieno tempore exhibita, rei bene gerendae spem multis incidit. Etenim qui numero pollent, si imparati pugnent cum hoste viribus pari, facilius vincuntur quam qui, viribus quidem inferiores, sed paratissimi, certamen incunt. Nolimus igitur in perniciem subito ambitionis impetu ruere: siquidem brevi pudore immortalem gloriam retinere praestat, quam vitata puncto temporis ignominia, probrum, ut apparet, sempiternum subire. Certe scitis Gothorum quamplurimos ac fere omnem armorum apparatum in Galliis, Venetiis, et regionibus remotissimis esse. Praeterea cum Francis non levius isto susceptum habemus bellum: quo non bene composito, extremae dementiae fuerit aliud inchoare. Nam qui in ambiguo positi, nec in unum hostem intenti sunt, eos vinci consentaneum est. Ego vero sic statuo, Ravennam recta*

γους πόλεμον διαλύσαντας τἄλλα τε διῳκημένους ὡς ἄριστα οὕτω δὴ Βελισαρίῳ παντὶ τῷ Γότθων στρατῷ διαμάχεσθαι. καί μοι τὴν ἀναχώρησιν τήνδε ὑποστελλέσθω μηδείς, μηδὲ φυγὴν αὐτὴν ὀνομάζειν ὀκνείτω. δειλίας μὲν γὰρ προσηγορία ἐπιτηδείως
P 339 προσπεσοῦσα πολλοὺς ὤρθωσεν, ἀνδρείας δὲ ὄνομα οὐκ ἐν τῷ καθήκοντι χρόνῳ τισὶν ἐγγενόμενον, εἶτα ἐς ἧτταν ἐχώρησεν. ᾧ γὰρ τοῖς τῶν πραγμάτων ὀνόμασιν, ἀλλὰ τῷ ξυμφόρῳ τῶν ἔργων ἕπεσθαι ἄξιον. ἀνδρός τε γὰρ ἀρετὴν οὐκ ἀρχόμεναι δηλοῦσιν αἱ πράξεις, ἀλλὰ τελευτῶσαι μηνύουσι. φεύγουσι δὲ τοὺς πολεμίους οὐχ οἳ ἂν μετὰ μεῖζονος τῆς παρασκευῆς αὐτίκα μάλα ἐπ' αὐτοῖς ἥκοιεν, ἀλλ' ὅσοι τὰ σφέτερα αὐτῶν σώματα εἰς ἀεὶ διασώζειν βουλόμενοι ἐκποδὼν ἵστανται. πόλεώς τε τῇδε ἁλώσεως πέρι μηδεὶς ὑμῶν γινέσθω τι δέος. ἦν τε γὰρ Ῥωμαῖοι
B ἡμῖν εὐνοϊκῶς ἔχωσι, τὴν πόλιν ἐν βεβαίῳ Γότθοις φυλάξουσιν, ἀνάγκης τε πεῖραν οὐδεμιᾶς ἕξουσιν, ἐπεὶ ἐν βραχεῖ αὐτοῖς ἐπανήξομεν χρόνῳ. καὶ ἦν τι ὕποπτον αὐτοῖς ἐς ἡμᾶς ἐστιν, ἐλάσσω βλάψουσι, τῇ πόλει τοὺς πολεμίους δεξάμενοι. ἄμεινον γὰρ πρὸς δυσμενεῖς ἐκ τοῦ ἐμφανοῦς διαμάχεσθαι. ὅπως μέντοι μηδὲν ξυμβήσεται τοιοῦτον, ἐγὼ προνοήσω. ἄνδρας τε γὰρ παλλοὺς καὶ ἄρχοντα ξυνετώτατον ἀπολείψομεν, οἳ Ῥώμην φυλάξαι ἱκανοὶ ἔσονται, ὥστε καὶ ταῦτα ἡμῖν ἐν καλῷ κείσεται καὶ οὐδὲν ἂν ἐκ τῆσδε ἡμῶν τῆς ἀναχωρήσεως γένοιτο βλάβος."

6. ἐς] εἰς L. 10. μετὰ Lm. Vulgo κατὰ. 13. πέρι] περὶ H. ibid. τι] τὰ L. 17. ἄμεινον P ex Vat. ἀμήχανον HL.

cundum esse, atque ubi cum Francis confecerimus pacem, optimoque in loco cetera posuerimus, invadendum Ecclesiarum cum omni Gettherum exercitu. Nec vetro mecum sedere quemquam pigeat: quin etiam fugere nos aperte dicat. Enimvero ut opportuna timoris appellatio iuvit multos, ita quosdam perdidit fortitudinis nomen aliena tempore usurpatum. Rerum autem momenta atque utilitates consectari decet, non speciosa vocabula. Porro virtutem viri non facinoris praeclari initium, sed finis probat: nec fugient hostem, qui statim ut melius se instruxerunt, contra illum proficiscuntur, verum qui sua corpora semper salva et integra cupientes, subducunt sese. Nec vestrum quisquam timeat, ne ista urbe capiatur. Nam si nobis Romani student, cum Gotthis constanti fide servabunt, neque ullam experientur difficultatem, nos propediem ad se reduces accepturi. Sin aliquid in nos audent, minus nocebunt, cum in urbem hostes admiserint: satius enim est cum aperto hoste pugnare. Quanquam ne quid eiusmodi contingat, providebo. Quippe milites plurimos ac Praefectum intelligentissimum, qui tuendae Romae sufficiant, relinquemus. Itaque haec bene constituta habebimus, nec detrimentum ullum discessus hic noster pariet.

Οὐίτιγις μὲν τοσαῦτα εἶπεν. ἐπαινέσαντες δὲ Γότθοι C
ἅπαντες παρεσκευάζοντο ἐς τὴν πορείαν. μετὰ δὲ Σιλβερίῳ τε
τῷ τῆς πόλεως ἱερεῖ καὶ Ῥωμαίων τοῖς τε ἐκ βουλῆς καὶ τῷ δήμῳ
πολλὰ παραινέσας Οὐίτιγις, καὶ τῆς Θευδερίχου ἀρχῆς ὑπομνή-
σας, ἐνεκελεύετο ἅπασιν ἐς Γότθων τὸ ἔθνος εὐνοϊκῶς ἔχειν,
ὅρκοις αὐτοὺς δεινοτάτοις ὑπὲρ τούτων καταλαβών, ἄνδρας τε
ἀπολέξας οὐχ ἧττον ἢ τετρακισχιλίους, καὶ αὐτοῖς ἄρχοντα ἐπι-
στήσας Λεύδεριν, ἡλικίας τε πόρρω ἥκοντα καὶ δόξαν ἐπὶ ξυνέ-
σει πολλὴν ἔχοντα, ἐφ' ᾧ Ῥώμην φυλάξουσι σφίσιν, οὕτω δὴ V 23
τῷ ἄλλῳ στρατῷ ἐς Ῥάβενναν ἦει, τῶν ἐκ βουλῆς πλείστους ἐν D
ὁμήρων λόγῳ ξὺν αὐτῷ ἔχων. καὶ ἐπεὶ ἐνταῦθα ἀφίκετο, Μα- H 184
ταθοῦνθαν τὴν Ἀμαλασούνθης θυγατέρα, παρθένον τε καὶ
ὡραίαν ἤδη οὖσαν, γυναῖκα γαμετὴν οὔ τι ἐθελούσιον ἐποιήσατο,
ὅπως δὴ βεβαιότερον τὴν ἀρχὴν ἕξει τῇ ἐς γένος τοῦ Θευδερίχου
ἐπιμιξίᾳ. ἔπειτα δὲ ἅπαντας Γότθους πανταχόθεν ἀγείρας διεῖ-
πέ τε καὶ διεκόσμει, ὅπλα τε καὶ ἵππους διανέμων κατὰ λόγον
ἑκάστῳ, μόνους δὲ Γότθους, οἳ ἐν Γαλλίαις φυλακὴν εἶχον,
δέει τῶν Φράγγων οὐχ οἷός τε ἦν μεταπέμπεσθαι. οἱ δὲ Φράγ-
γοι οὗτοι Γερμανοὶ μὲν τὸ παλαιὸν ὠνομάζοντο. ὅντινα δὲ τρό-
πον τε ἐξ ἀρχῆς καὶ ὅπη ὡκημένοι Γαλλίαις τε ἐπεβάτευσαν καὶ
διάφοροι Γότθοις γεγένηνται, ἐρῶν ἔχομαι.

2. *Σιλβερίῳ* P ex Vat. *Διβερίῳ* HL, consentiente Pers. 3. *τοῖς*] *τῆς* HL: illud Lm. 10. *ἐς* 'P.] *εἰς* ϕ. L. 13. *ἤδη οὖσαν*] *οὖσαν ἤδη* L.

Haec Vitigis: cui assensi Gotthi omnes, ad iter se accinxerunt. Deinde Silverium urbis Antistitem, Senatum Populumque Rom. multis idem commonefecit, reductoque in memoriam regno Theoderici, omnem hortatus est, ut Gotthorum genti praestarent benevolentiam, sibique eorum fidem gravissimo sacramento devinxit. Delectis minimum quatuor millibus virorum, qui Romam Gotthis custodirent, Leuderin, provecta aetate virum, ac prudentiae laude celebrem praefecit: tum reliquo stipatus exercitu, Ravennam petiit, obsides secum habens Senatores quamplurimos. Eo cum pervenisset, Matasunthan Amalasunthae filiam, maturam iam viro virginem, invitam duxit in matrimonium, ut certius sibi regnum assereret, hoc intimo nexu cum stirpe Theoderici. Deinde contractos undique Gotthos omnes descripsit ordinavitque, arma atque equos singulis pro modo et gradu dividens. Eos tantum Gotthos, qui in Galliarum praesidiis erant, cum sibi a Francis metueret, revocare non poterat. Hi vero Franci dicebantur olim Germani. Quae primae eorum fuerint sedes, et quo pacto Gallias occupaverint, ac demum hostiles cum Gotthis susceperint inimicitias, narrare aggredior.

P 340 ιβ'. Τὴν θάλασσαν ἔκ τε τοῦ ὠκεανοῦ καὶ Γαδείρων ἐσπλέοντι χώρα μὲν ἡ ἐν ἀριστερᾷ, ὥσπερ ἐν τοῖς ἔμπροσθεν λόγοις ἐρρήθη, Εὐρώπη ὠνόμασται, ἡ δὲ ἀντιπέρας αὐτῇ Λιβύη ἐκλήθη, ἣν δὴ προϊόντες Ἀσίαν καλοῦσι. Λιβύης μὲν οὖν τὰ ἐπέκεινα ἐς τὸ ἀκριβὲς οὐκ ἔχω εἰπεῖν· ἔρημος γάρ ἐστιν ἐπὶ πλεῖ- 5
στον ἀνθρώπων, καὶ ἀπ' αὐτοῦ ἡ πρώτη τοῦ Νείλου ἐκροὴ οὐδαμῇ ἔγνωσται, ὃν δὴ ἐπ' Αἰγύπτου ἐνθένδε φέρεσθαι λέγουσιν. Εὐρώπη δὲ εὐθὺς ἀρχομένη Πελοποννήσῳ βεβαιότατα ἐμφερὴς ἐστι καὶ πρὸς θαλάσσῃ ἑκατέρωθι κεῖται. καὶ χώρα μὲν ἡ πρώτη ἀμφί τε τὸν ὠκεανὸν καὶ δύοντα ἥλιον Ἱσπανία ὠνόμασται, ἄχρι 10
B ἐς Ἄλπεις τὰς ἐν ὄρει τῷ Πυρηναίῳ οὔσας. Ἄλπεις δὲ καλεῖν τὴν ἐν στενοχωρίᾳ δίοδον οἱ ταύτῃ ἄνθρωποι νενομίκασι. τὸ δὲ ἐνθένδε μέχρι τῶν Λιγουρίας ὁρίων Γαλλία ἐκλήθη. ἔνθα δὴ καὶ Ἄλπεις ἕτεραι Γάλλους τε καὶ Λιγούρους διορίζουσι. Γαλλία μέντοι Ἱσπανίας πολλῷ εὐρυτέρα, ὡς τὸ εἰκὸς, ἐστὶν, ἐπεὶ 15
ἐκ στενοῦ ἀρχομένη Εὐρώπη ἐς ἄφατόν τι εὖρος ἀεὶ προϊόντι κατὰ λόγον χωρεῖ. χώρα δὲ αὖτη ἑκατέρα τὰ μὲν πρὸς βορρᾶν ἄνεμον πρὸς τοῦ ὠκεανοῦ περιβάλλεται, τὰ δὲ πρὸς νότον θάλασσαν τὴν Τυρρηνὴν καλουμένην ἔχει. ἐν Γάλλοις δὲ ἄλλοι τε ποταμοὶ καὶ Ῥοδανός τε καὶ Ῥῆνος ῥέουσι. τούτοιν τὴν ὁδὸν 20
C τὴν ἐναντίαν ἀλλήλοιν ἰόντοιν ἄτερος μὲν ἐκδίδωσιν ἐς τὴν Τυρ-

2. ἀριστερᾷ P. δεξιᾷ HL. 3. ἐρρήθη] ἐῤῥέθη P. 14. διορίζουσι] διορίζονσαι H. 19. Τυρρηνὴν] τυρηνὴν L, et infra. 20. Ῥοδανός] ἠριδανός HL: illud Lm. *Rhodanus* Pers. *ibid.* τὴν ὁδὸν P ex Vat. τοῖν ὁδοῖν HL. 21. τυρρηνικὴν Vat. ut p. 350 c. Vulgo Τυρρηνὴν.

12. Europa dicitur pars Orbis ad eorum sinistram sita, qui in mare mediterraneum ab Oceano et Gadibus provehuntur, ut in superioribus libris commemoravi. Africae vero nomen accepit opposita continens: quam deinde Asiam vocant, qui porro tendunt. De ulterioribus Africae partibus explorate non possum scribere, propter immensas solitudines. Quo etiam fit, ut nos penitus lateat origo Nili, quem in Aegyptum inde decurrere perhibent. Europa, ipso statim initio plane Peloponneso similis, utrinque mari alluitur, ac prima illius portio, quae magis ad Oceanum Solemque occidentem porrigitur, appellatur Hispania ad Alpes usque montis Pyrenaei. Alpium vero nomen perviis montium angustiis tribunnt regionum illarum incolae. Sequitur Gallia, quam vocant usque ad Liguriae fines: ubi Alpes aliae Gallos a Liguribus discludunt. Porro Gallia multo maiorem, quam Hispania, latitudinem habet, ut par est. Incipiens enim ab angusto Europa, in progressu patescit amplissima proportione. Utriusque illius regionis latus Aquilonare, Oceano; Australe, mari, quod nominant Tyrrhenum, ambitur. Galliam cum alii rigant fluvii tum Rhodanus ac Rhenus: qui sic diversi abeunt, ut alter in mare

ρηκὴν θάλασσαν, Ῥῆνος δὲ ἐς τὸν ὠκεανὸν τὰς ἐκβολὰς ποιεῖται. λίμναι τε ἐνταῦθα, οὗ δὴ Γερμανοὶ τὸ παλαιὸν ᾤκηντο, βάρβαρον ἔθνος, οὐ πολλοῦ λόγου τὸ κατ' ἀρχὰς ἄξιον, οἳ νῦν Φράγγοι καλοῦνται. τούτων ἐχόμενοι Ἀρβόρυχοι ᾤκουν, οἳ ξὺν πάσῃ τῇ ἄλλῃ Γαλλίᾳ καὶ μὴν καὶ Ἱσπανίᾳ Ῥωμαίων κατήκοοι ἐκ παλαιοῦ ἦσαν. μετὰ δὲ αὐτοὺς ἐς τὰ πρὸς ἀνίσχοντα ἥλιον Θόριγγοι βάρβαροι, δόντος Αὐγούστου πρώτου βασιλέως, ἱδρύσαντο. καὶ αὐτῶν Βουργουζίωνες οὐ πολλῷ ἄποθεν πρὸς νότον ἄνεμον τετραμμένοι ᾤκουν, Σουάβοι τε ὑπὲρ Θορίγγων καὶ Ἀλα- P 341
μανοί, ἰσχυρὰ ἔθνη. οὗτοι αὐτόνομοι ἅπαντες ταύτῃ τὸ ἀνέκαθεν ἵδρυντο.

Προϊόντος δὲ χρόνου Οὐισιγοτθοι τὴν Ῥωμαίων ἀρχὴν βιασάμενοι Ἱσπανίαν τε πᾶσαν καὶ Γαλλίας τὰς ἐκτὸς Ῥοδανοῦ ποταμοῦ κατηκόους σφίσιν ἐς φόρου ἀπαγωγὴν ποιησαμένοι ἔσχον. ἐτύγχανον δὲ Ἀρβόρυχοι τότε Ῥωμαίων στρατιῶται γεγενημένοι. οὓς δὴ Γερμανοὶ κατηκόους σφίσιν ἐθέλοντες, ἅτε ὁμόρους ὄντας καὶ πολιτείαν ἣν εἶχον πάλαι καταβαλόντας, ποιήσασθαι V. 24
ἐληίζοντό τε καὶ πανδημεὶ πολεμησείοντες ἐπ' αὐτοὺς ἦσαν. Ἀρβόρυχοι δὲ ἀρετήν τε καὶ εὔνοιαν ἐς Ῥωμαίους ἐνδειξάμενοι ἄν- B
δρες ἀγαθοὶ ἐν τῷδε τῷ πολέμῳ ἐγένοντο, καὶ ἐπεὶ βιάζεσθαι αὐτοὺς Γερμανοὶ οὐχ οἷοί τε ἦσαν, ἑταιρίζεσθαί τε ἠξίουν καὶ

4. ἐχόμενοι] ἐχόμενα Reg. ἀρχόμενα Hm. ibid. Ἀρβόρυχοι] Arberichi Pers. Armoricos dicit. ibid. ξὺν πάσῃ] ξυμπάσῃ HL. 7. Θόριγγοι] Vulgo Θόρυγγοι, et infra Θορύγγων. Thoringi Pers. 8. βουργουζίωνες HL. Βουργουντζίωνες P. 9. Σουάβοι] σουαβίται HL. „ἴσ. σουάβοι" Hm. 13. Ῥοδανοῦ] ἠριδανοῦ HL.

Tyrrhenum exeat, Rhenus in Oceanum evolvatur. Hic sunt paludes, ubi quondam habitarunt Germani, qui Franci nunc appellantur, gens barbara, et initio parum spectata. Horum sedes contingebant Arborychi, cum reliqua omni Gallia atque Hispania Romanis iampridem subditi: secundum quos, ad Orientem, Thoringi concessam sibi ab Augusto Caesare, Imperatorum primo, regionem colebant. Non procul ab his, ad Austrum versus, degebant Burgundiones, ultra Thoringos Suabi et Alamanni, validae nationes. Isti omnes, ab antiquo liberi, oras illas tenebant.

Procedente tempore Visigotthi facta in Rom. Imperium irruptione, Hispaniam universam ac provincias Galliae trans Rhodanum positas, subegerant, habuerantque vectigales. Militarem operam Romanis tunc navabant Arborychi: quibus Germani, utpote finitimis, et a veteri Reip. forma digressis, cum legem ac iugum vellent imponere, primum praedati, deinde recto Marte eos aggressi sunt, agente omnes belli prurigine. Generositatem et in Romanos benevolentiam testati Arborychi, rem in eo bello gessere fortiter. Nihil vi proficientes Germani, illos ad se-

ἀλλήλοις ηδυσταὶ γίγνεσθαι. ἃ δὴ Ἀρβόρυχοι οὔτι ἀκούσιοι ἐνεδέχοντο. Χριστιανοὶ γὰρ ἀμφότεροι ὄντες ἐτύγχανον, οὕτω τε εἰς ἕνα λαὸν ξυνελθόντες δυνάμεως ἐπὶ μέγα ἐχώρησαν. καὶ στρατιῶται δὲ Ῥωμαίων ἕτεροι ἐς Γάλλων τὰς ἐσχατιὰς φυλακῆς ἕνεκα ἐτετάχατο. οἳ δὴ οὔτε ἐς Ῥώμην ὅπως ἐπανήξουσιν ἔχοντες οὐ μὴν οὔτε προσχωρεῖν Ἀρειανοῖς οὗσι τοῖς πολεμίοις βουλόμενοι, σφᾶς τε αὐτοὺς ξὺν τοῖς σημείοις καὶ χώραν ἣν πάλαι
C Ῥωμαίοις ἐφύλασσον Ἀρβορύχοις τε καὶ Γερμανοῖς ἔδοσαν, ἔς τε ἀπογόνους τοὺς σφετέρους ξύμπαντα παραπέμψαντες διεσώσαντο τὰ πάτρια ἤθη, ἃ δὴ σεβόμενοι καὶ ἐς ἐμὲ τηρεῖν ἀξιοῦσιν. ἔκ τε γὰρ τῶν καταλόγων ἐς τόδε τοῦ χρόνου δηλοῦνται, ἐς οὓς τὸ παλαιὸν ταττόμενοι ἐστρατεύσαντο, καὶ σημεῖα τὰ σφέτερα ἐπαγόμενοι οὕτω δὴ ἐς μάχην καθίστανται, νόμοις τε τοῖς πατρίοις ἐς ἀεὶ χρῶνται. καὶ σχῆμα τῶν Ῥωμαίων ἔν τε τοῖς ἄλλοις ἅπασι κἀν τοῖς διαδήμασι διασώζουσιν.

Ἕως μὲν οὖν πολιτεία Ῥωμαίοις ἡ αὐτὴ ἔμενε, Γαλλίας
H 185 τὰς ἐντὸς Ῥοδανοῦ ποταμοῦ βασιλεὺς εἶχεν· ἐπεὶ δὲ αὐτὴν Ὀδόα-
D κρος ἐς τυραννίδα μετέβαλλε, τότε δὴ, τοῦ τυράννου σφίσιν ἐνδιδόντος, ξύμπασαν Γαλλίαν Οὐισίγοτθοι ἔσχον μέχρις Ἄλπεων, αἳ τὰ Γάλλων τε ὅρια καὶ Λιγούρων διορίζουσι. πεσόντος δὲ Ὀδοάκρου Θόριγγοί τε καὶ Οὐισίγοτθοι τὴν Γερμανῶν δύναμιν ἤδη αὐξομένην δειμαίνοντες (πολυανθρωπία γὰρ ἰσχυρο-

10. ἤθη] ἴθη Maltretus. 12. ἐστρατεύσαντο] ἐστρατεύοντο L. 15. διαδήμασι] ὑποδήμασι L et Grotius. 17. Ῥοδανοῦ] ῥιδανοῦ HL. Ῥήνου Grotius. 22. αὐξομένην] αὐξανομένην L.

cietatem et affinitates iungendas invitarunt: quibus Arborychi libenter assensi sunt, quod Christiani utrique essent. Eo pacto in unam coaliti gentem, potentissimi evaserunt. Alii vero Romani milites, qui erant in extrema Gallia stationarii, cum nec Romam redire possent, neque ad hostes Arianos desciscere vellent; se ipsi cum signis, et regionem, quam Romanis ante servabant, Arborychis ac Germanis permiserunt, moresque omnes patrios retinuere: quos eorum posteri ad se transmissos adhuc rite observant. Nam et ex numeris, in quos olim contributi militaverunt, hac etiam aetate agnoscuntur, et signa propria praeferentes invadunt praelia. Constanter patriis utuntur legibus, et praeter alias Romani habitus partes, redimiculum capitis etiamnum gestant.

Ac tamdiu quidem Galliam, quae eis Rhodanum fluvium est, tenuit Imperator, quamdiu Romanis sua constitit civilis administrationis forma: ubi vero illam Odoacer in tyrannidem mutavit, tunc, Tyranni concessu, Galliam omnem ad Alpes usque, quibus Gallorum ac Ligurum fines terminantur, Visigotthi obtinuerunt. Post Odoacri necem, Thoringi et Visigotthi iam auctam Germanorum potentiam veriti (quippe hominum mul-

τάτη ἐγεγόνει καὶ τοὺς ἀεὶ ἐν ποσὶν ὄντας ἐκ τοῦ ἐμφανοῦς ἐβιάζετο) Γότθων δὴ καὶ Θευδερίχου τὴν ξυμμαχίαν προσποιήσασθαι ἐν σπουδῇ ἔσχον. οὓς δὴ ἑταιρίσασθαι Θευδέριχος θέλων ἐς κῆδος αὐτοῖς ἐπιμίγνυσθαι οὐκ ἀπηξίου. τῷ μὲν οὖν τηνικαῦτα τῶν Οὐισιγότθων ἡγουμένῳ Ἀλαρίχῳ τῷ νεωτέρῳ Θευδιχοῦσαν τὴν αὐτοῦ θυγατέρα παρθένον ἠγγύησεν, Ἑρμενεφρίδῳ P 342
δὲ τῶν Θορίγγων ἄρχοντι Ἀμελοβέργαν τὴν Ἀμαλαφρίδης τῆς ἀδελφῆς παῖδα. καὶ ἀπ' αὐτοῦ Φράγγοι τῆς μὲν ἐς αὐτοὺς βίας δέει τῷ Θευδερίχου ἀπέσχοντο, ἐπὶ Βουργουζίωνας δὲ πολέμῳ ἦεσαν. ὕστερον δὲ Φράγγοις τε καὶ Γότθοις ξυμμαχίαι τε καὶ ξυνθῆκαι ἐπὶ κακῷ τῷ Βουργουζιώνων ἐγένοντο, ἐφ' ᾧ καταστρέψωνται γένος καὶ χώραν ἣν ἔχουσι παραστήσωνται, ποινὴν δὲ οἱ νενικηκότες παρὰ τῶν μὴ ξυστρατευσάντων ῥητόν τι χρυσίον κομίζονται, κοινὴν δὲ καὶ οὕτω χώραν τὴν δοριάλωτον ἀμφοτέρων εἶναι. οἱ μὲν οὖν Γερμανοὶ πολλῷ στρατῷ ἐπὶ Βουρ- B
γουζίωνας κατὰ τὰ σφίσι συγκείμενα ἦκον, Θευδέριχος δὲ παρεσκευάζετο μὲν δῆθεν τῷ λόγῳ, ἐξεπίτηδες δ' ἀεὶ ἐς τὴν ὑστεραίαν τῆς στρατιᾶς τὴν ἔξοδον ἀπετίθετο, καραδοκῶν τὰ ἐσόμενα. μόλις δὲ πέμψας ἐπέστελλε τοῖς τοῦ στρατοῦ ἄρχουσι σχολαίτερον τὴν πορείαν ποιεῖσθαι, καὶ εἰ μὲν Φράγγους νενικημένους ἀκούσουσι, μηκέτι περαιτέρω πορεύεσθαι, ἢν δέ τι νίκης αὐτῶν ξύμβαμα πύθωνται, τὸ λοιπὸν κατὰ τάχος ἰέναι. καὶ οἱ

3. ἔσχον Reg. Vulgo εἶχον. 6. αὐτοῦ H. αὐτοῦ P. 12. ποινὴν δὲ Scaliger. Aberat δὲ. 13. παρὰ Pm. Vulgo περὶ. 14. κομίζονται] κομίζωνται Grotius. ibid. δοριάλωτον] Vulgo δορυάλωτον. 16. συγκείμενα] ξυγκείμενα L.

titudine plurimum convaluerat, et obvios quosque aperta vi evertebat) Gotthorum ac Theoderici societatem magno studio ambierunt. Volens quoque Theodericus eos habere socios, cum ipsis devincire se affinitate non renuit. Itaque tunc Regi Visigotthorum Alarico iuniori Theudichuam virginem filiam suam, et Hermenefrido Thoringorum Regi Amelobergam, Amalafridae sororis suae filiam, collocavit. Quo factum, ut ab illis quidem Franci, metu Theoderici, vim abstinuerint; sed arma intulerint Burgundionibus. Deinde Francos inter et Gotthos coitur societas in Burgundionum perniciem, pactoque convenit, ut gentem debellent, et ditionis illius terras obtineant: qui vicerint, a sociis non adiuti, ubi mulctae nomine certam auri summam ab illis acceperint, participes eos faciant bello captae regionis. Igitur ex constituto Germani cum magno exercitu Burgundiones petunt, dum Theodericus, qui se in speciem ad expeditionem paraverat, copiarum profectionem differt, consulto procrastinans, exitumque expectans. Vix tandem emisso exercitu, Ducibus mandat, uti lentius iter habeant, ac si Francos victos audierint, ne porro ire pergant: an forte victoriam cessisse illis acceperint, deinceps properent. Haec

μὲν ἐποίουν ὅσα Θευδέριχος σφίσιν ἐπήγγελλε, Γερμανοὶ δὲ κατὰ μόνας Βουργουζίωσιν ἐς χεῖρας ἦλθον. μάχης τε καρτερᾶς γενομένης φόνος μὲν ἑκατέρων πολὺς γίνεται· ἦν γὰρ ἀγχώ-
C μαλος ἐπὶ πλεῖστον ἡ ξυμβολή. ἔπειτα δὲ Φρύγγοι τρεψάμενοι τοὺς πολεμίους ἐς τὰ ἔσχατα χώρας ἧς τότε ᾤκουν ἐξήλασαν, ἔνθα σφίσι τότε πολλὰ ὀχυρώματα ἦν, αὐτοὶ δὲ τὴν λοιπὴν ξύμπασαν ἔσχον. ἅπερ Γότθοι ἀκούσαντες κατὰ τάχος παρῆσαν. κακιζόμενοί τε πρὸς τῶν ξυμμάχων τὸ τῆς χώρας δύσοδον ἠτιῶντο, καὶ τὴν ποινὴν καταθέμενοι τὴν χώραν, καθάπερ ξυνέκειτο, ξὺν τοῖς νενικηκόσιν ἐνείμαντο. οὕτω τε Θευδερίχου ἡ πρόνοια
V 25 ἔτι μᾶλλον ἐγνώσθη, ὃς γε οὐδένα τῶν ὑπηκόων ἀποβαλὼν ὀλίγῳ χρυσῷ τὴν ἡμίσειαν τῶν πολεμίων ἐκτήσατο χώραν. οὕτω μὲν τὸ κατ' ἀρχὰς Γότθοι τε καὶ Γερμανοὶ μοῖράν τινα Γαλλίας ἔσχον.

D Μετὰ δὲ Γερμανοὶ τῆς δυνάμεως σφίσιν ἐπιπροσθεν ἰούσης ἐν ὀλιγωρίᾳ ποιησάμενοι Θευδερίχου τε καὶ τὸ ἀπ' αὐτοῦ δέος ἐπί τε Ἀλάριχον καὶ Οὐισιγότθους ἐστράτευσαν. ἃ δὴ Ἀλάριχος μαθὼν Θευδέριχον ὅτι τάχιστα μετεπέμψατο. καὶ ὁ μὲν ἐς τὴν ἐπικουρίαν στρατῷ πολλῷ ἦει. ἐν τούτῳ δὲ Οὐισίγοτθοι, ἐπεὶ Γερμανοὺς ἐπὶ πόλιν Καρκασιανὴν στρατοπεδεύειν ἐπύθοντο, ὑπηρτίαζόν τε καὶ στρατόπεδον ποιησάμενοι ἔμενον. χρόνου δὲ σφίσιν ἐν ταύτῃ τῇ προσεδρείᾳ τριβομένου συχνοῦ ἠσχαλλόν τε

1. ἐπήγγελλε] Vulgo ἐπήγγειλε. 8. πρὸς] περὶ H et a pr. m. L. 13. μὲν τὸ HL. τὸ om. P. 18. μετεπέμψατο] μετεπέμπετο L. 20. Καρκασιανὴν] Scaliger Καρκασσῶνα. 22. ἠσχαλλον] ἠσχαλον L.

Theoderici mandata accurantibus Ducibus, Germani soli cum Burgundionibus manus conserunt. Inito acerrime praelio, ceciderunt utrinque plurimi. Etenim diu dubio Marte pugnatum est: at dein Franci, verso in fugam hoste, et ad ultimas regionis, quam incolebat, propulso oras, ubi multas habebat munitiones, reliqua occuparunt. Accepto rei nuntio, affuere confestim Gotthi, increpitique a sociis, viae difficultatem causati sunt. Tum mulcta repraesentata, regionem, uti convenerat, cum victoribus diviserunt. Atque ita magis. eluxit prudentia Theoderici; qui subditorum amisso nemine, dimidiam terrae hostilis partem auro modico sibi paravit. Sic demum pars Galliae a Gotthis et Germanis haberi coepta est.

Postea Germani, viribus auctiores, nulla habita Theoderici ratione, eiusque metu deposito, in Alaricum et Visigotthos bellum moverunt. Qua de re factus certior Alaricus, Theodericum protinus advocavit. Dum ille cum magno exercitu suppetias venit, interea Visigotthi Germanis, quos ad Urbem Carcassonem habere castra audierant, occurrunt, et castra ipsi etiam metati, sistunt. Ibi cum diutius sedissent, suos ab hoste va-

καὶ, ἅτε τῆς αὐτῶν χώρας πρὸς τῶν πολεμίων ληιζομένης, δεινὰ ἐποιοῦντο. καὶ τελευτῶντες εἰς Ἀλάριχον πολλὰ ὕβριζον, αὐτόν τε διὰ τὸ τῶν πολεμίων δέος κακίζοντες καὶ τοῦ κηδεστοῦ τὴν μίλλησιν ὀνειδίζοντες. ἀξιόμαχοι γὰρ αὐτοὶ ἰσχυρίζοντο εἶναι καὶ ῥᾷον κατὰ μόνας περιέσεσθαι Γερμανῶν τῷ πολέμῳ. διὸ δὴ καὶ Γότθων σφίσιν οὔπω παρόντων Ἀλάριχος ἠνάγκαστο τοῖς πολεμίοις διὰ μάχης ἰέναι. καθυπέρτεροι δὲ Γερμανοὶ ἐν τῇ ξυμβολῇ ταύτῃ γενόμενοι τῶν τε Οὐισιγότθων τοὺς πλείστους καὶ Ἀλάριχον τὸν ἄρχοντα κτείνουσι. καὶ Γαλλίας μὲν κατιλαβόντες τὰ πολλὰ ἔσχον, Καρκασιανὴν δὲ πολλῇ σπουδῇ ἐπολιόρκουν, ἐπεὶ τὸν βασιλικὸν πλοῦτον ἐνταῦθα ἐπύθοντο εἶναι, ὃν δὴ ἐν τοῖς ἄνω χρόνοις Ἀλάριχος ὁ πρεσβύτατος Ῥώμην ἑλὼν ἐλήσατο. ἐν τοῖς ἦν καὶ τὰ Σολόμωνος τοῦ Ἑβραίων βασιλέως κειμήλια, ἀξιοθέατα ἐς ἄγαν ὄντα. πρασία γὰρ λίθος αὐτῶν τὰ πολλὰ ἐκαλλώπιζεν, ἅπερ ἐξ Ἱεροσολύμων Ῥωμαῖοι τὸ παλαιὸν εἶλον. Οὐισιγότθων τε οἱ περιόντες Γισέλιχον, νόθον Ἀλαρίχου υἱόν, ἄρχοντα σφίσιν ἀνεῖπον, Ἀμαλαρίχου τῆς τοῦ Θευδερίχου θυγατρὸς παιδὸς ἔτι κομιδῇ ὄντος. ἔπειτα δὲ Θευδερίχου ξὺν τῷ Γότθων στρατῷ ἥκοντος δείσαντες Γερμανοὶ τὴν πολιορκίαν διέλυσαν. ἔνθεν τε ἀναχωρήσαντες Γαλλίας τὰ ἐκτὸς Ῥοδανοῦ ποταμοῦ ἐς ὠκεανὸν τετραμμένα ἔσχον. ὅθεν αὐτοὺς ἐξελάσαι Θευδέριχος οὐχ οἷός τε ὢν ταῦτα μὲν σφᾶς ξυνεχώρει

P 343

B

H 186

C

18. τοῦ Θευδερίχου Grotius ex MS. Vulgo τοῦ Ἀλαρίχου.
21. Ῥοδανοῦ] ἡριδανοῦ HL.

stari agros moleste ferebant. Denique in Alaricum contumeliosi passim erupere sermones, terrorem illi ab hoste incussum obiicientium, socerique exprobrantium cunctationem. Se adversariis virtute et animo pugnandi pares iactabant, et solos facilius e Germanis relaturos victoriam. Quare Gotthis absentibus, coactus est Alaricus cum hoste confligere. Quo in praelio superiores Germani, Alaricum Regem cum plerisque Visigottherum occidunt, magnam Galliae partem occupant, et summa contentione Carcassonem obsident, ferente fama, gazam ibi Imperatoriam asservari, quam aetate superiori, Roma capta, Alaricus senior abstulerat. In ea visebatur Salomonis Hebraeorum Regis supellex praeclarissima. Erant enim prasiis ornata lapidibus complura vasa: quae quondam Romani Hierosolymis exportaverant. Qui praelio superfuerant Visigotthi, Giselicum, Alarici ex concubina filium, Regem appellarunt; quod Amalaricus, qui matrem habuit filiam Alarici, tunc admodum puer esset. Deinde Theoderico cum Gotthorum copiis adventante, correpti metu Germani obsidionem solverunt. Illinc digressi, regiones Galliae, quae ultra Rhodanum ad Oceanum vergunt, subegere: unde cum eos exigere non posset Theodericus, ut partes illas retinerent concessit: reliquam ipse

ἔχειν, αὐτὸς δὲ Γαλλίας τὰ λοιπὰ ἀνεσώσατο. Γισελίχου τε ἐκποδὼν γενομένου ἐς τὸν θυγατριδοῦν Ἀμαλάριχον τὴν Οὐισιγότθων ἀρχὴν ἤνεγκεν, οὗ δὴ αὐτὸς ἐπετρόπευε παιδὸς ἔτι ὄντος. χρήματά τε λαβὼν ξύμπαντα ὅσα ἐν πόλει Καρκασιανῇ ἔκειτο ἐς Ῥάβενναν κατὰ τάχος ἀπήλαυνεν, ἄρχοντάς τε ἀεὶ καὶ στρατιὰν Θευδέριχος ἔς τε Γαλλίαν καὶ Ἱσπανίαν πέμπων αὐτὸς εἶχετο ἔργου, τὸ τῆς ἀρχῆς κράτος προνοούμενος ὅπως βέβαιον ἐς ἀεὶ
D ἕξει. φόρου τε ἀπαγωγὴν ἔταξέν οἱ αὐτῷ ἀποφέρειν τοὺς ταύτῃ ἄρχοντας. δεχόμενός τε αὐτὴν ἐς ἕκαστον ἔτος, τοῦ μὴ δοκεῖν φιλοχρημάτως ἔχειν, τῷ Γότθων τε καὶ Οὐισιγότθων στρατῷ δῶρον ἐπέτειον ἔπεμπε. καὶ ἀπ' αὐτοῦ Γότθοι τε καὶ Οὐισιγότθοι προϊόντος τοῦ χρόνου, ἅτε ἀρχόμενοί τε πρὸς ἀνδρὸς ἑνὸς καὶ χώραν τὴν αὐτὴν ἔχοντες, παῖδας τοὺς σφετέρους ἀλλήλοις ἐγγυῶντες ἐς ξυγγένειαν ἐπεμίγνυντο.

Μετὰ δὲ Θεύδης, Γότθος ἀνήρ, ὅνπερ Θευδέριχος τῷ στρατῷ ἄρχοντα ἔπεμψε, γυναῖκα ἐξ Ἱσπανίας γαμετὴν ἐποιήσατο, οὐ γένους μέντοι Οὐισιγότθων, ἀλλ' ἐξ οἰκίας τῶν τινος ἐπιχωρίων εὐδαίμονος, ἄλλα τε περιβεβλημένην μεγάλα χρήματα καὶ χώρας πολλῆς ἀνὰ τὴν Ἱσπανίαν κυρίαν οὖσαν. ὅθεν στρα-
P 344 τιώτας ἀμφὶ δισχιλίους ἀγείρας δορυφόρων τε περιβαλλόμενος δύναμιν Γότθων μέν, Θευδερίχου δόντος, τῷ λόγῳ ἦρχεν, ἔργῳ δὲ τύραννος οὐκ ἀφανὴς ἦν. δείσας τε Θευδέριχος, ἅτε ξυνέσεως ἐς ἄκρον καὶ ἐμπειρίας ἥκων, μή οἱ πόλεμον τὸν πρὸς δοῦ-

4. ἐν πόλει] ἐμπόλει L.

recepit Galliam, sublatoque e medio Giselico, regnum Visigotthorum transtulit ad suum ex filia nepotem Amalaricum, cuius adhuc pueri tutelam suscepit. Thesauro omni, qui repositus erat Carcassone, sublato, Ravennam festine rediit. At in Galliam Hispaniamque Praefectos et copias itentidem mittens, dabat operam provide, ut regnum sibi firmissime stabiliret. Illarum autem provinciarum Praefectis tributum imposuit: quod cum quotannis acciperet, ne avaritia duci videretur, illud in donativum annuum, quo Gotthorum ac Visigotthorum exercitum afficiebat, convertit. Hinc factum progressu temporis, ut Gotthi et Visigotthi, sub eodem Principe iisdem in terris positi, mutuis liberorum suorum connubiis affinitatem contraxerint.

Post vero, Theudis, natione Gotthus, quem Theodericus exercitui praefecerat miseratque in eas partes, ex Hispania uxorem duxit, non Visigottham genere, sed e sanguine indigenae divitis, et ipsam auro locupletissimam, et fundi dominam latissimi in Hispania. Unde cum militum duo circiter millia collegisset, ac valido munisset se satellitio, verbo quidem Dux Gotthorum Theoderici munere, re autem ipsa tyrannus erat non obscurus. Ac veritus pro singulari sua prudentia ac rerum usu Theodericus, ne si bellum inferret subdito, sibi obviam ut verisimile vi-

λον τὸν αὐτοῦ διαφέροντι ἢ Φράγγοι, ὡς τὸ εἰκὸς, ἀπαντήσουσαν ἢ καί τι νεώτερον Οὐισίγοτθοι ἐς αὐτὸν δράσουσι, οὔτε παρῆλνε τῆς ἀρχῆς Θεύδην, ἀλλὰ καὶ τῷ στρατῷ ἐξηγεῖσθαι ἀεὶ ἐς πόλεμον ἰόντι ἐκέλευε. γράφειν μέντοι αὐτῷ Γότθων τοῖς πρώτοις ἐπήγγελλεν ὡς δίκαιά τε ποιοίη καὶ ξυνέσεως τῆς αὐτοῦ ἄξια, ἢν Θευδέριχον ἐς Ῥάβενναν ἥκων ἀσπάζοιτο. Θεύδης δὲ ἃ μὲν Θευδέριχος ἐκέλευεν ἅπαντα ἐπετέλει, καὶ φόρον τὸν ἐπέτειον οὔποτε ἀνῆκε, ἐς Ῥάβενναν δὲ ἰέναι οὔτε ἤθελεν οὔτε τοῖς γράφουσιν ἐπηγγέλλετο. V 26 B

ιγ'. Ἐπεὶ δὲ Θευδέριχος ἐξ ἀνθρώπων ἠφάνιστο, οἱ Φράγγοι, οὐδενὸς σφίσιν ἔτι ἀντιστατοῦντος, ἐπὶ Θορίγγους ἐστράτευσαν, καὶ Ἑρμενέφριδόν τε τὸν αὐτῶν ἄρχοντα κτείνουσι καὶ αὐτοὺς ἅπαντας ὑποχειρίους ποιησάμενοι ἔσχον. ἡ δὲ τοῦ Ἑρμενεφρίδου γυνὴ ξὺν τοῖς παισὶ φυγοῦσα, παρὰ Θευδάτον τὸν ἀδελφὸν, Γότθων τηνικαῦτα ἄρχοντα, ἦλθε. μετὰ δὲ Γερμανοὶ Βουργουζιώνων τε τοῖς περιοῦσιν ἐς χεῖρας ἦλθον καὶ μάχῃ νικήσαντες τὸν μὲν αὐτῶν ἄρχοντα ἕς τι τῶν ἐκείνῃ φρουρίων καθείρξαντες ἐν φυλακῇ εἶχον, αὐτοὺς δὲ κατηκόους ποιησάμενοι ξυστρατεύειν τὸ λοιπὸν σφίσιν ἐπὶ τοὺς πολεμίους, ἅτε δορυαλώτους, ἠνάγκαζον, καὶ τὴν χώραν ξύμπασαν, ἣν Βουργουζίωνες τὰ πρότερα ᾤκουν, ὑποχειρίαν ἐς ἀπαγωγὴν φόρου ἐκτήσαντο. Ἀμαλάριχός τε, ὃς ἦρχεν Οὐισιγότθων, ἐπεὶ ἐς ἀνδρὸς ἡλικίαν C D

3. Θεύδην] Θέσθαι HL: illud in marg. 5. ἐπήγγελλεν] Vulgo ἐπήγγελεν. ibid. αὐτοῦ] αὐτῶν HL. 14. παρὰ Hm. Vulgo περί. 17. αὐτῶν L. αὐτὸν P. 19. δοριαλώτους] Vulgo δορυαλώτους. 22. ἐς L. εἰς P.

debatur, Franci obsisterent, vel res novas moverent Visigotthi, adeo non Theudi potestatem abrogavit, ut perpetuum armorum imperium ipsi detulerit. Porro Gotthorum primoribus imperavit, ad eum scriberent, recte ipsum et convenienter sapientiae suae facturum, si Theoderici salutandi causa Ravennam veniret. Mandata quidem Theoderici plane Theudis exequebatur, nec vectigal annuum intervertebat unquam; at nec Ravennam ire, nec per literas invitantibus id polliceri voluit.

13. Post Theoderici obitum, Franci, nemine iam obsistente, Thoringos bello adorti, ipsorum Regem Hermenefridum interficiunt, ac totam gentem in ditionem subiungunt suam. Hermenefridi uxor cum liberis elapsa, ad fratrem suum Theodatum, tunc temporis Gotthorum Regem, se recipit. Deinde Germani cum Burgundionibus, qui supererant, armis congressi adeptique victoriam, eorum Regem, in castellum quoddam regiemis illius coniectum, asservarunt custodiis: ipsos vero, ad obsequium redactos, secum in posterum militare coegerunt, ut bello captorum conditio postulabat, et locis omnibus, quae Burgundiones ante coluerant, vectigal imposuerunt. Rex autem Visigotthorum Amalaricus, adulta iam

ἦλθε, δύναμιν τὴν Γερμανῶν κατορρωδήσας τὴν Θευδιβέρτου ἀδελφὴν τοῦ Γερμανῶν ἄρχοντος ἐν γαμετῆς ἐποιήσατο λόγῳ, καὶ Γαλλίαν πρός τε Γότθους καὶ τὸν ἀνεψιὸν Ἀταλάριχον ἐνείματο. τὰ μὲν γὰρ ἐντὸς τοῦ Ῥοδανοῦ ποταμοῦ Γότθοι ἔλαχον,
P 345 τὰ δὲ τούτου ἐκτὸς ἐς τὸ Οὐισιγότθων περιέστη κράτος. ξυνέκειτο δὲ φόρον, ὃν Θευδέριχος ἔταξε, μηκέτι ἐς Γότθους κομίζεσθαι, καὶ χρήματα, ὅσα ἐκεῖνος ἐκ Καρκασιανῆς πόλεως λαβὼν ἔτυχεν, Ἀταλάριχος Ἀμαλαρίχῳ ὀρθῶς καὶ δικαίως ἀπέδωκεν. ἐπεὶ δὲ ἄμφω τὰ ἤθνη ταῦτα ἐς τὸ κῆδος ἀλλήλοις ξυνελθόντα ἔτυχε, τὴν αἵρεσιν ἔδοσαν ἀνδρὶ ἑκάστῳ, τὴν ἐγγύην ἐς θάτερον ἔθνος πεποιημένῳ, πότερον γυναικὶ ἕπεσθαι βούλοιτο, ἢ ἐκείνην ἐς γένος τὸ αὐτοῦ ἄγεσθαι. ἦσαν δὲ πολλοὶ καὶ οἱ τὰς γυναῖκας ὅπως ἐβούλοντο ἄγοντες καὶ οἱ πρὸς τῶν γυναικῶν τῶν σφετέρων ἀγόμενοι. ὕστερον δὲ Ἀμαλάριχος, προσκεκρουκὼς τῷ
B τῆς γυναικὸς ἀδελφῷ, κακὸν μέγα ἔλαβε. δόξης γὰρ ὀρθῆς τὴν
H 187 γυναῖκα οὖσαν, αἵρεσιν αὐτὸς τὴν Ἀρείου ἔχων, οὐκ εἴα νομίμοις τοῖς εἰωθόσι χρῆσθαι οὐδὲ κατὰ τὰ ἤθη τὰ πάτρια τὰ ἐς τὸ θεῖον ἐξοσιοῦσθαι, ἀλλὰ καὶ προσχωρεῖν τοῖς αὐτοῦ ἤθεσιν οὐκ ἐθέλουσαν ἐν πολλῇ ἀτιμίᾳ εἶχεν. ἅπερ ἐπεὶ οὐχ οἷά τε ἦν ἡ γυνὴ φέρειν, ἐς τὸν ἀδελφὸν ἐξήνεγκεν ἅπαντα. διὸ δὴ ἐς πόλεμον Γερμανοί τε καὶ Οὐισίγοτθοι πρὸς ἀλλήλους κατέστησαν. καὶ λίαν μὲν ἰσχυρὰ ἐπὶ πλεῖστον ἐγεγόνει ἡ μάχη, τέλος δὲ ἡσσηθεὶς Ἀμαλάριχος τῶν τε οἰκείων πολλοὺς ἀποβάλλει καὶ αὐτὸς

3. ἐνείματο] ἐνείμαντο HL. 4. Ῥοδανοῦ] ῥιδανοῦ HL.

aetate, Germanorum potentiam reformidans, eorum Regis Theodeberti sororem in matrimonium duxit, et Galliam cum Gotthis et Atalarico consobrino suo ita divisit, ut Gotthis cesserit quidquid est cis Rhodanum fluvium, partes vero trans illum positae in Visigotthorum ditione manserint. Convenit etiam inter ipsos, ut vectigal, quod constituerat Theodericus, non penderetur amplius Gotthis. Quidquid opum ex urbe Carcassone idem abstulerat, Atalaricus bona fide Amalarico restituit. Quoniam vero hae duae gentes connubiis affinitates iunxerant, unicuique viro, qui uxorem e gente altera accepisset, permissa est optio, utrum mallet uxorem sequi, an ad gentem, ex qua ipse esset, illam traducere. Uxores multi abduxerunt arbitratu suo: multi secuti sunt. Postea Amalaricus offenso suae coniugis fratri poenas graves persolvit. Cum enim uxorem de Deo recte sentientem Ariana ipse imbutus haeresi, non modo consuetis uti caeremoniis, et in divino cultu instituta patria vetaret sequi, sed indignis etiam modis acciperet nolentem ad suae sectae ritus accedere, haec ferre non valens mulier, fratri rem totam edidit. Hinc orto Germanos inter ac Visigotthos bello, ac praelio pertinacissime inito, victus demum Amalaricus non sine magna suorum strage, oppetit.

θνήσκει. Θευδίβερτος δὲ τήν τε ἀδελφὴν ξὺν πᾶσι χρήμασιν *ἔλαβε καὶ Γαλλίας ὁπόσον Οὐισίγοτθοι λαχόντες εἶχον. τῶν δὲ* C *ἡσσημένων οἱ περιόντες ἐκ Γαλλίας ξὺν γυναιξί τε καὶ παισὶν ἀναστάντες παρὰ Θεύδην ἐς Ἱσπανίαν ἤδη ἐκ τοῦ ἐμφανοῦς τυ-* 5 *ραννοῦντα ἐχώρησαν. οὕτω μὲν Γότθοι τε καὶ Γερμανοὶ Γαλλίαν ἔσχον.*

Χρόνῳ δὲ τῷ ὑστέρῳ Θευδάτος, ὁ τῶν Γότθων ἀρχηγὸς, V 27 *ἐπειδὴ Βελισάριον ἐς Σικελίαν ἥκειν ἐπύθετο, ξυνθήκας πρὸς Γερμανοὺς ποιεῖται, ἐφ' ᾧ ἄρχοντάς τε αὐτοὺς καὶ τὴν Γότθοις* 10 *ἐπιβάλλουσαν ἐν Γάλλοις μοῖραν καὶ χρυσοῦ κεντηνάρια λαβόντας εἴκοσι πόλεμον σφίσι τόνδε ξυνάρασθαι. οὔπω τε τὰ ξυγκείμενα ἔργῳ ἐπιτελέσας μοῖραν τὴν πεπρωμένην ἀνέπλησε. διὸ δὴ Γότ-* *θων πολλοί τε καὶ ἄριστοι ἐνταῦθα, ὧν Μαρκίας ἡγεῖτο, φυλα-* D *κὴν εἶχον. οὓς δὴ Οὐίτιγις ἐνθένδε ἐξαναστῆσαι οὐχ οἷός τε ἦν,* 15 *οὐ μὴν οὐδὲ Φράγγοις ἀντιτάξασθαι αὐτοὺς ᾤετο ἱκανοὺς ἔσε-* *σθαι, Γαλλίαν τε καὶ Ἰταλίαν, ὡς τὸ εἰκὸς, καταθέουσιν, ἣν αὐτὸς τῷ παντὶ στρατῷ ἐς Ῥώμην ἐλάσῃ. ξυγκαλέσας οὖν εἴ τι ἐν Γότθοις καθαρὸν ἦν, ἔλεξε τοιάδε „Οὐχ ἡδεῖαν μέν, ἄνδρες* *ξυγγενεῖς, ἀναγκαίαν δὲ ὑμῖν παραίνεσιν ποιεῖσθαι βουλόμενος* 20 *ἐνθάδε ὑμᾶς ἐν τῷ παρόντι ξυνήγαγον· ὅπως δὲ ἀκούσησθε μὲν πρᾴως, βουλεύσησθε δὲ τῶν παρόντων ἡμῖν ἐπαξίως. οἷς γὰρ αἱ πράξεις οὐ κατὰ νοῦν χωροῦσι, τὸ μὴ πειθομένους ἀνάγκῃ ἢ*

2. ἔλαβε L. ἔλαβεν P. 4. παρὰ Scaliger. περὶ HP. πρὸς Hm. 9. ἄρχοντάς τε αὐτοὺς] ἔχοντας τὰ αὐτῶν Grotius 20. ἐνθάδε L. ἐνθένδε P. 22. τὸ μὴ] τῷ μὴ Hm. „vel τοὺς μὴ" Pm. Utrumque falsum.

Sororem Theodibertus cum omnibus opibus recipit, et quantacumque pars Galliae Visigotthis obvenerat, eam obtinet. Qui cladi superfuerant, ex Gallia cum uxoribus liberisque egressi, in Hispaniam ad Theudin iam palam tyrannum se receperunt. Ita Gallia in Gotthorum ac Germanorum ditionem venit.

Deinde Theodatus Gotthorum Rex, de Belisarii in Siciliam adventu certior factus, cum Germanis paciscitur, ut ipsi eorum Reges ad hoc bellum auxilio veniant, ubi Galliae partem, in ditione Gotthica sitam, ac duo millia auri pondo acceperint. Verum is vitae fatum prius implevit, quam pacta conventa. Quamobrem multi iique fortissimi Gotthorum in illis erant partibus praesidiarii, duce Marcia. Neque eos evocare inde Vitigis tuto poterat, nec Francis pares putabat fore, Galliam atque Italiam procul dubio incursaturis, si ipse copias omnes Romam duceret. Itaque convocatis, qui inter Gotthos erant lectissimi, orationem hanc habuit. *Huc vos coëgi modo, Gentiles mei, ut monita dem, parum illa quidem iucunda, sed necessaria: quae aequo animo audiatis velim, et pro rerum instantium merito in medium consulatis. Certe quibus ex voto non procedunt incepta, de statu, in quo sunt, frustra illi tractaverint, nisi*

P 346 τύχῃ οὕτω τὰ παρόντα διῳκῆσθαι ἀξύμφορον. τὰ μὲν οὖν ἄλλα
ἡμῖν ὡς ἄριστα ἐς τὴν πολέμου παρασκευὴν ἔχει. Φράγγοι δὲ
ἡμῖν ἐμποδὼν ἵστανται, οἷς ἐκ παλαιοῦ πολεμίοις οὖσι, τοῖς τε
χρήμασι καὶ τοῖς σώμασι δαπανώμενοι, ἀντέχειν εἰς τόδε ὅμως
ἰσχύσαμεν, ἐπεὶ ἄλλο ἡμῖν οὐδὲν ἀπήντα πολέμιον. ἐφ' ἑτέρους 5
δὲ νῦν ἡμᾶς ἀναγκαζομένους ἰέναι τὸν πρὸς αὐτοὺς πόλεμον κα-
ταλύειν δεήσει, πρῶτον μὲν, ὅτι, ἢν δυσμενεῖς ἡμῖν διαμεί-
νωσι, μετὰ Βελισαρίου ἐφ' ἡμᾶς τετάξονται πάντως. τοὺς γὰρ
ἐχθρὸν τὸν αὐτὸν ἔχοντας ἀλλήλοις ἐς εὔνοιάν τε καὶ ξυμμαχίαν
B ξυνάπτεσθαι ἡ τῶν πραγμάτων εἰσηγεῖται φύσις. ἔπειτα, ἢν 10
καὶ πρὸς ἑκάτερον στρατόπεδον χωρὶς τὸν πόλεμον διενέγκωμεν,
λελείψεται ἡμῖν ἀμφοτέρων ἡσσᾶσθαι. ἄμεινον οὖν ὀλίγῳ ἡμᾶς
ἐλασσουμένους τὰ πλεῖστα τῆς ἀρχῆς διασώσασθαι, ἢ πάντων
ἔχειν ἐφιεμένους ξὺν πάσῃ τῆς ἡγεμονίας δυνάμει πρὸς τῶν πο-
λεμίων ἀπολωλέναι. οἶμαι τοίνυν ὡς, ἢν Γαλλίας τὰς σφίσιν 15
ὁμόρους Γερμανοῖς δῶμεν, καὶ χρήματα ὅσα ξὺν τῇ χώρᾳ ταύτῃ
Θευδάτος αὐτοῖς ὡμολόγησε δώσειν, οὐχ ὅσον ἀποτρέψονται τὸ
εἰς ἡμᾶς ἔχθος, ἀλλὰ καὶ πόλεμον ἡμῖν ξυλλήψονται τόνδε.
ὅπως δ' αὖθις, εὖ φερομένων τῶν πραγμάτων ἡμῖν, Γαλλίας
C ἀνακτησώμεθα, ὑμῶν διαλογιζέσθω μηδείς. ἐμὲ γάρ τις πα- 20
λαιὸς εἰσέρχεται λόγος, τὸ παρὸν εὖ τιθέναι κελεύων." ταῦτα
ἀκούσαντες οἱ τῶν Γότθων λόγιμοι, ξύμφορά τε εἶναι αὐτοῖς
οἰόμενοι, ἐπιτελῆ γίνεσθαι ἤθελον. στέλλονται τοίνυν πρέσβεις
αὐτίκα ἐς τὸ Γερμανῶν ἔθνος, ἐφ' ᾧ Γαλλίας τε αὐτοῖς ξὺν τῷ

necessitati ac fortunae sese accommodent. Caetera quidem bello necessaria optime Paravimus; sed obstant Franci, veteres hostes: quibus hactenus, licet cum pecuniae et vitae multorum dispendio, restitimus, quia nihil hostile praeterea se nobis obtulit. Nunc arma alio vertere coactis, pacem cum Francis pangere necesse erit: primo, quia, si ipsis inimicitiae nobiscum maneant, profecto in nos vires cum Belisario sociabunt. Fert enim natura, ut qui hostem communem habent, amicitia ac societate coniuncti sint. Deinde, si utrumque exercitum separate adoriamur, utrique certa nobis clades impendet. Praestat igitur levi iactura maximam regni partem conservare, quam habendi omnia cupiditate eo redigi, ut vita pariter cum omni ditione spoliemur ab hostibus. Quare existimo Germanos, non modo odium, quo a nobis dissident, deposituros, sed nostros etiam in hoc bello socios fore, si ipsis finitimam Galliam et quantamcunque pecuniam cum ea se daturum Theodatus promiserat, concedamus. Quo autem pacto, si res nobis prospere cesserit, recuperaturi Galliam simus, nemo vestrum disquirat. Subit enim memoria veteris illius verbi, quo iubemur instantia bene constituere. Haec cum audissent Gotthorum Proceres, ac sibi conducere censuissent, ut ea fierent placuit. Ergo mittuntur statim ad Germanos Legati, qui illis Gallia cedant, datoque auro componant

χρυσῷ δώσουσι καὶ ὁμαιχμίαν ποιήσονται. Φράγγων δὲ τότε ἡγεμόνες ἦσαν Ἠλδίβερός τε καὶ Θευδίβερτος καὶ Κλοαδάριος, οἳ Γαλλίας τε καὶ τὰ χρήματα παραλαβόντες διενείμαντο μὲν κατὰ λόγον τῆς ἑκάστου ἀρχῆς, φίλοι δὲ ὡμολόγησαν Γότθοις ἐς τὰ μάλιστα ἔσεσθαι, καὶ λάθρα αὐτοῖς ἐπικούρους πέμψειν, οὐ D Φράγγους μέντοι, ἀλλ' ἐκ τῶν σφίσι κατηκόων ἐθνῶν. ὁμαιχμίαν γὰρ αὐτοὶ ἐκ τοῦ ἐμφανοῦς ἐπὶ τῷ Ῥωμαίων κακῷ ποιήσασθαι οὐχ οἷοί τε ἦσαν, ἐπεὶ ὀλίγῳ πρότερον βασιλεῖ ἐς τόνδε τὸν πόλεμον ξυλλήψεσθαι ὡμολόγησαν. οἱ μὲν οὖν πρέσβεις τὰ ἐφ' οἷσπερ ἐστάλησαν διαπεπραγμένοι ἐπανῆκον ἐς Ῥάβενναν. τότε δὴ καὶ Μαρκίαν ξὺν τοῖς ἑπομένοις Οὐίτιγις μετεπέμπετο.

P 347
ιδ'. Ἐν ᾧ δὲ ταῦτα Οὐίτιγις ἔπρασσεν, ἐν τούτῳ Βελι- V 28
σάριος ἐς Ῥώμην ἰέναι παρεσκευάζετο. ἀπολέξας οὖν ἄνδρας ἐκ H 188
καταλόγου πεζικοῦ τριακοσίους καὶ Ἡρωδιανὸν ἄρχοντα ἐπὶ τῇ Νεαπόλεως φυλακῇ κατεστήσατο. ἔπεμψε δὲ καὶ ἐς Κύμην φρουροὺς, ὅσους ᾤετο τῇ τοῦ ἐνταῦθα φρουρίου φυλακῇ ἱκανοὺς ἔσεσθαι. ἄλλο γάρ τι ὀχύρωμα ἐν Καμπανίᾳ, ὅτι μὴ ἐν Κύμῃ τε καὶ ἐν Νεαπόλει, οὐκ ἦν. ἐν ταύτῃ τῇ Κύμῃ οἱ ἐπιχώριοι τὸ Σιβύλλης δεικνύουσι σπήλαιον, ἔνθα δὴ αὐτῆς τὸ μαντεῖον γεγενῆσθαί φασιν. ἐπιθαλασσία δὲ ἡ Κύμη ἐστὶ, Νεαπόλεως B ὀκτὼ καὶ εἴκοσι καὶ ἑκατὸν σταδίους διέχουσα. Βελισάριος μὲν οὖν διεκόσμει τὸ στράτευμα, Ῥωμαῖοι δὲ, δείσαντες μὴ σφίσι ξυμβαίη ὅσα Νεαπολίταις ξυμπέπτωκε, λογισάμενοι ἔγνωσαν

2. Ἠλδίβερος] *Ildibertus* Pers. 7. αὐτοὶ Pm. αὐτοὺς P.
8. τόνδε om. L. 23. ξυμβαίη L. ξυμβαίνη P.

societatem. Tunc Reges Francorum erant Childebertus, Theodebertus et Clotharius: qui traditam sibi Galliam ac pecuniam inter se pro cuiusque regni portione diviserunt, promiseruntque se Gothis amicissimos fore, et auxilia missuros clam, non Francorum, sed nationum, quibus imperarent. Nec vero poterant adversus Romanos societatem colre palam, imperatori in hoc bello opem paulo ante polliciti. Legati, re, cuius causa missi erant, confecta, Ravennam redeunt. Tum demum Marciam cum copiis, quibus praeerat, Vitigis revocavit.

14. Dum haec agit Vitigis, interea Belisarius Romam cogitans, profectionem parat. Itaque trecentis militibus, e peditatu delectis, Praefectoque Herodiano, Neapolin credidit. Quot etiam Cumanae arci custodiendae suffecturos putavit, tot eo misit: cum in Campania, praeter Cumas ac Neapolin, nullus esset munitus locus. Hae sunt Cumae, quarum incolae antrum ostendunt, in quo Sibyllam vaticinatam perhibent. Porro Cumas mare alluit, stadiis CXXVIII. Neapoli dissitas. Instruente exercitum Belisario, Romani, calamitatem Neapolitanae similem veriti, re per-

ἄμεινον εἶναι τῇ πόλει τὸν βασιλέως στρατὸν δέξασθαι. μάλιστα δὲ αὐτοὺς Σιλβέριος εἰς τοῦτο ἐνῆγεν, ὁ τῆσδε τῆς πόλεως ἀρχιερεύς. Φιδέλιόν τε πέμψαντες, ἄνδρα ἐκ Μεδιολάνων ὁρμώμενον, ἣ ἐν Λιγούροις κεῖται, ὃς δὴ Ἀταλαρίχῳ παρήδρευε πρότερον (κοιαίστωρα δὲ τὴν ἀρχὴν ταύτην καλοῦσι Ῥωμαῖοι), Βελισάριον ἐς Ῥώμην ἐκάλουν, ἁμαχητὶ τὴν πόλιν παραδώσειν ὑποσχόμενοι. ὁ δὲ διὰ τῆς Λατίνων ὁδοῦ ἀπῆγε τὸ στράτευμα, τὴν Ἀππίαν ὁδὸν ἀφεὶς ἐν ἀριστερᾷ, ἣν Ἄππιος ὁ Ῥωμαίων ὕπατος ἐννακοσίοις ἐνιαυτοῖς πρότερον ἐποίησέ τε καὶ ἐπώνυμον ἔσχεν. ἔστι δὲ ἡ Ἀππία ὁδὸς ἡμερῶν πέντε ἀνδρὶ εὐζώνῳ· ἐκ Ῥώμης γὰρ αὕτη ἐς Καπύην διήκει. εὖρος δέ ἐστι τῆς ὁδοῦ ταύτης ὅσον ἁμάξας δύο ἀλλήλαις ἐναντίας ἰέναι, καὶ ἔστιν ἀξιοθεατος πάντων μάλιστα. τὸν γὰρ λίθον ἅπαντα, μυλίτην τε ὄντα καὶ φύσει σκληρὸν, ἐκ χώρας ἄλλης μακρὰν οὔσης τεμὼν Ἄππιος ἐνταῦθα ἐκόμισε. ταύτης γὰρ δὴ τῆς γῆς οὐδαμῇ πέφυκε. λείους δὲ τοὺς λίθους καὶ ὁμαλοὺς ἐργασάμενος, ἐγγωνίους δὲ τῇ ἐντομῇ πεποιημένος, ἐς ἀλλήλους ξυνέδησεν, οὔτε χαλκὸν ἐντὸς οὔτε τι ἄλλο ἐμβεβλημένος. οἱ δὲ ἀλλήλοις οὕτω τε ἀσφαλῶς ξυνδέδενται καὶ μεμύκασιν, ὥστε ὅτι δὴ οὐκ εἰσὶν ἡρμοσμένοι, ἀλλ' ἐμπεφύκασιν ἀλλήλοις, δόξαν τοῖς ὁρῶσι παρέχοντες· καὶ χρόνου τριβέντος συχνοῦ δὴ οὕτως ἁμάξαις τε πολλαῖς καὶ ζώοις ἅπασι διαβατοὶ γενόμενοι ἐς ἡμέραν ἑκάστην οὔτε τῆς ἁρμονίας παντάπασι διακέκριναι οὔτε τινι αὐτῶν διαφθα-

2. Σιλβέριος] *λιβέριος* HL. Conf. ad p. 339 c. 4. *Λιγούροις*] *λιβούροις* HL. 8. *Ἀππίαν*] Simplici π HL hic et infra. 15. *ἐκόμισε*] *ἐκόσμησε* HL: illud Hm. 22. *οὔτε — οὔτε*] Vulgo *οὐδὲ — οὐδέ*.

pensa, satius esse iudicarunt Imperatoris copias in urbem accipere, eos ad id maxime impellente Silverio, civitatis Pontifice. Mox Fidelium, Mediolano urbe Liguriae oriundum, qui prius Atalarici Assessor fuerat (haec dignitas lingua Romana dicitur Quaestor) ad Belisarium legant, eumque Romam hoc invitant promisso, citra pugnam se urbem dedituros. Ille via Latina exercitum duxit, relicta ad laevam Appia, quam Appius Consul Romanus ante annos nongentos muniit, ac suo donavit nomine. Viam Appiam diebus quinque emetitur vir expeditus. Ab urbe enim Roma ad Capuam pertinet, ea latitudine, ut adversa inter se plaustra duo libere commeent. Omnium maxime spectabilis est. Molares enim et natura praeduri sunt lapides omnes: quos certe Appius e remota aliqua lapicidina illuc convexit, cum vicinus ager nullos ferat eiusmodi. Eos autem levigatos in planum, et angulatos, apte commisit, non inserto aere aliave re quapiam. Adeo tamen firma compage haerent, itaque coëunt, ut spectantibus non arte coagmentati, sed natura congeniti videantur. Et quamvis per tot saecula frequentibus plaustris ac iumentis quibuslibet quotidianum iter praebuerint, tamen nec ab ordine vel minimum ces-

ῥῆνai ἢ μείονι γενέσθαι ξυνέπεσεν, οὐ μὴν οὐδὲ τῆς ἀμαρυγῆς τι P 348
ἀποβαλέσθαι. τὰ μὲν δὴ τῆς Ἀππίας ὁδοῦ τοιαῦτά ἐστι.

Γότθοι δὲ, οἳ ἐν Ῥώμῃ φυλακὴν εἶχον, ἐπεὶ τούς τε πολιμίους ἄγχιστά πη ἐπύθοντο καὶ Ῥωμαίων τῆς γνώμης ἥσθοντο, ἤσχαλλον, τήν τε πόλιν φυλάσσειν καὶ τοῖς ἐπιοῦσι διὰ μάχης ἴέναι οὐχ οἷοί τε ὄντες· ἔπειτα δὲ Ῥωμαίων σφίσιν ἐνδιδόντων ἐνθένδε ἀπαλλαγέντες ἐπὶ Ῥαβέννης ἀνεχώρησαν ἅπαντες, πλήν γε δὴ ὅτι Λεύδερις, ὃς αὐτῶν ἦρχεν, αἰδεσθεὶς, οἶμαι, τύχην τὴν παροῦσαν, αὐτοῦ ἔμεινε. ξυνέπεσέ τε ἐκείνῃ τῇ ἡμέρᾳ κατὰ B
τὸν αὐτὸν χρόνον Βελισάριον μὲν καὶ τὸν βασιλέως στρατὸν ἐς Ῥώμην εἰσιέναι διὰ πύλης, ἣν καλοῦσιν Ἀσιναρίαν, Γότθους δὲ ἀναχωρεῖν ἐνθένδε διὰ πύλης ἑτέρας, ἣ Φλαμινία ἐπικαλεῖται, Ῥώμῃ τε αὖθις ἑξήκοντα ἔτεσιν ὕστερον ὑπὸ μηνὸς, ἑνδέκατον ἔτος Ἰουστινιανοῦ βασιλέως τὴν αὐτοκράτορα ἀρχὴν ἔχοντος, ἥλω. Λεύδεριν μὲν οὖν τὸν Γότθων ἄρχοντα καὶ τῶν πυλῶν

7. ἀντιχώρησαν L. ἐχώρησαν P. 13. ὑπὸ] θ' Ἀπελλαίου Pm. „Hinc nequeo me expedire, nisi meam, quam habes in margine, coniecturam sequar, ductam ex Evagrii lib. IV. cap. 19. edit. Graecae Rob. Stephani, et ex Nicephori Call. lib. XVII. cap. 18. ubi citato Procopii testimonio, dicitur recepta Roma ἑνάτῃ ἀπελλαίου μηνὸς, die 9. mensis Apellaei, sive Decembris. Quam temporis notam videtur Procopius, vel librarius sic abbreviasse, θ' ἐπε. μηνὸς, ut fieri videmus quotidie. Hanc scripturam depravatam existimo sublata numeri nota θ' et ἀπε. mutato in ὑπό. Est autem Ἀπελλαῖος December, teste Evagrio, quem supra laudavi, nec piget eius referre verba: γέγονεν ὑπὸ Ῥωμαίους αὖθις ἡ Ῥώμη ἑξήκοντα ἔτεσιν ὕστερον, ἑνάτῃ Ἀπελλαίου, πρὸς δὲ Ῥωμαίων προσαγορευομένου Δικεμβρίου μηνός. Nicephorus vero Call. sic loquitur: ἡ Ῥώμη αὖθις ὑπὸ Ῥωμαίους ἐγένετο ἑξήκοντα ἔτεσιν ὕστερον, ἑνάτῃ Ἀπελλαίου μηνὸς, ὃς πρὸς Ῥωμαίων Δεκέμβριος ὀνομάζεται. Latinum etiam nomen huius mensis hic forte Procopius addiderat, ut illud iam supra expressit pagina 242 c.“ Malt. ibid. ἑνδέκατον] δέκατον Kanngiesserus p. 87.

sere; nec fractus quisquam est nec minutus, nec pristinum nitorem amisit. Hactenus de via Appia.

Gothi vero, qui Romae praesidium agitabant, cum adventare hostem audissent, nec lateret eos Romanorum consilium, ex eo valde erant solliciti, quod urbem tueri, et accedentibus repugnare minime poterant. Inde postmodum, cum bona Romanorum venia, profecti, concesserunt omnes Ravennam; excepto Leuderi ipsorum Duce: quem, ut opinor, praesentis fortunae pudor ibi tenuit. Illa die evenit, ut quo tempore Romam Belisarius cum Imperatoris exercitu per portam, quam Asinariam vocant, intrabat, eodem inde Gothi per aliam, quae Flaminia appellatur, excesserint. Atque ita recepta est Roma die IX. Decembris, anno postquam capta fuerat sexagesimo; qui fuit XI. imperii Iustiniani. Tum Leuderin Gothorum Ducem et portarum claves ad Imperatorem Belisa-

τὰς κλεῖς Βελισάριος βασιλεῖ ἔπεμψεν, αὐτὸς δὲ τοῦ περιβόλου
C πολλαχῇ διερρυηκότος ἐπεμελεῖτο, ἔπαλξιν δὲ ἑκάστην ἐγγώνιον
V 29 ἐποίει, οἰκοδομίαν δή τινα ἑτέραν ἐκ πλαγίου τοῦ εὐωνύμου τι-
θέμενος, ὅπως οἱ ἐνθένδε τοῖς ἐπιοῦσι μαχόμενοι πρὸς τῶν ἐν
ἀριστερᾷ σφίσι τειχομαχούντων ἥκιστα βάλλωνται, καὶ τάφρον
ἀμφὶ τὸ τεῖχος βαθεῖάν τε καὶ λόγου ἀξίαν πολλοῦ ὤρυσσε. Ῥω-
μαίοις δὲ τὴν μὲν πρόνοιαν τοῦ στρατηγοῦ καὶ διαφερόντως τὴν
ἐς τὰς ἐπάλξεις ἀποδεδειγμένην ἐμπειρίαν ἐπῄνουν, ἐν θαύματι
δὲ μεγάλῳ ποιούμενοι ἤσχαλλον, εἴ τινα ὡς πολιορκηθήσεται ἔν-
D νοιαν ἔχων, ᾠήθη ἐσιτητά οἱ ἐς Ῥώμην εἶναι, ἢ οὔτε πολιορ-
κίαν οἷά τέ ἐστι φέρειν τῶν ἐπιτηδείων τῇ ἀπορίᾳ, διὰ τὸ μὴ
ἐπιθαλάσσιος εἶναι, καὶ τείχη περιβαλλομένη τοσοῦτόν τι χρῆμα,
ἄλλως τε καὶ ἐν πεδίῳ κειμένη ἐς ἄγαν ὑπτίῳ τοῖς ἐπιοῦσιν εὐέ-
φοδος, ὡς τὸ εἰκός, ἔστιν. ὁ δὲ καὶ ταῦτα ἀκούων τὰ ἐς πο-
λιορκίαν οὐδέν τι ἧσσον ἅπαντα ἐξηρτύετο, καὶ τὸν σῖτον, ὃν
H 189 ταῖς ναυσὶν ἔχων ἐκ Σικελίας ἐφίκετο, ἐν οἰκήμασι δημοσίοις κα-
ταθέμενος ἐφύλασσε, καὶ Ῥωμαίους ἅπαντας, καίπερ δεινὰ
ποιουμένους, ἠνάγκαζεν ἅπαντα σφίσι τὰ ἐπιτήδεια ἐκ τῶν ἀγρῶν
ἐσκομίζεσθαι.

P 349 ιε'. Τότε δὴ καὶ Πίτζας, Γότθος ἀνήρ, ἐκ Σαμνίου
ἥκων, αὐτόν τε καὶ Γότθους, οἳ ἐκείνῃ ξὺν αὐτῷ ᾤκηντο, καὶ
Σαμνίου τοῦ ἐπιθαλασσίου μοῖραν τὴν ἡμίσειαν Βελισαρίῳ ἐνε-
χείρισεν, ἄχρι ἐς τὸν ποταμὸν, ὃς τῆς χώρας μεταξὺ φέρεται.

4. ἐν ἀριστερᾷ Maltretus. Aberat ἐν. 9. ἤσχαλλον] ἤσχαλον L.

rius misit, et cura ad muros, qui passim collapsi erant, reparandos conversa, minas ita extruxit, ut in angulum omnes desinerent, addita a sinistro latere appendice, ne defensores ad illos positi paterent telis oppugnantium a parte laeva: et moenibus altam ac praeclaram fossam circumdedit. Ac providentiam quidem Magistri militum, et solertiam in pinnarum structura praecipue eluscentem Romani praedicabant; iidem vero angebantur, vehementer mirantes, quid illi in mentem venisset, ut si obsessum iri se intelligeret, intraret Romam, obsidioni ferendae imparem, tum ob annonae difficultatem, quam, quod a mari absit, passura esset; tum ob ingentem murorum ambitum, situmque in campo planissimo, qui facilem invadentibus praebet aditum, pro natura loci. Haec audiens Belisarius, nihilo secius omnia ad obsidionem necessaria expedivit, et frumentum, quod e Sicilia secum advexerat, in horrea publica conditum servavit. Immo vero Romanos omnes, ex agris comportare quidquid annonae ibi habebant, quamvis id aegre ferrent, coëgit.

15. Tum etiam Pitzas, natione Gotthus, profectus e Samnio, se et Gotthos, qui ibi cum ipso degebant, ac Samnii maritimi dimidiam partem, ad fluvium usque, qui regionem interluit, Belisarii potestati permi-

Γότθοι δὲ, ὅσοι ἐπὶ θάτερον τοῦ ποταμοῦ ἵδρυντο, οὔτε τῷ Πίτζᾳ ἕπεσθαι οἵτε βασιλεῖ κατήκοοι εἶναι ἤθελον. στρατιώτας τέ οἱ Βελισάριος οὐ πολλοὺς ἔδωκεν, ὅπως αὐτῷ ξυμφυλάξωσι τὰ ἐκείνῃ χωρία, πρότερον δὲ Καλαβροί τε καὶ Ἀπούλιοι, Γότθων σφίσι τῇ χώρᾳ οὐ παρόντων, Βελισαρίῳ ἐθελούσιοι προσεχώρησαν οἵ τε παράλιοι καὶ οἱ τὰ μεσόγεια ἔχοντες. ἐν τοῖς καὶ Βενεβεντός ἐστιν, ἣν πάλαι Μαλεβεντὸν ὠνόμασαν Ῥωμαῖοι, ταυῦν δὲ Βενεβιεντὸν καλοῦσι, τὴν ἀπὸ τοῦ προτέρου ὀνόματος διαφεύγοντες βλασφημίαν. βέντος γὰρ ἄνεμον Λατίνων φωνῇ δίνανται. ἐν Δαλματίᾳ γὰρ, ἣ ταύτῃ καταντικρὺ ἐν τῇ ἀντιπέρας ἠπείρῳ κεῖται, ἀνέμου τε πνεῦμα σκληρόν τε καὶ ὑπερφυῶς ἄγριον ἐπισκήπτειν φιλεῖ, ὅπερ ἐπειδὰν ἐπιπνεῖν ἄρξηται, ὁδῷ ἰόντα ὄντινα ἄνθρωπον ἐνταῦθα εὑρεῖν οὐδεμία μηχανή ἐστιν, ἀλλ' οἵκοι ἅπαντες καθείρξαντες ἑαυτοὺς τηροῦσι. τοιαύτη γάρ τις ἡ τοῦ πνεύματος φορὰ τυγχάνει οὖσα ὥστε ἄνδρα ἱππέα ξὺν τῷ ἵππῳ ἁρπάσασα μετέωρον φέρει, ἐπὶ πλεῖστόν τε περιαγοῦσα τῆς τοῦ ἀέρος χώρας εἶτα ὅπη παρατύχοι ἀπορρίπτουσα κτείνει. Βενεβεντὸν δὲ, ἅτε καταντικρὺ Δαλματίας οὖσαν, ὥσπερ μοι εἴρηται, ἐπί τε ὑψηλοῦ τινος χώρου κειμένην μοῖράν τινα φέρεσθαι τῆς τούτου δὴ τοῦ ἀνέμου δυσκολίας συμβαίνει. ταύτην Διομήδης ποτὲ ὁ Τυδέως ἐδείματο, μετὰ Ἴλιον ἅλωσιν ἐκ τοῦ Ἄργους ἀποκρουσθείς. καὶ γνώρισμα τῇ πόλει τοὺς ὀδόντας συὸς τοῦ Καλυδωνίου ἐλείπετο, οὓς οἱ θεῖος Μελέαγρος

10. ταύτῃ L, ut videtur. ταύτην P. ibid. καταντικρὺ] κατὰ ἀντικρὺ P, et infra κατ' ἀντικρύ. 13. ὅντινα] ὅτι HL: ὅντινα Scaliger et P. 14. ἅπαντες LPm. ἅπαντα HP. 17. παρατύχοι] Vulgo παρατύχῃ.

sit. Gottherum, qui trans fluvium habitabant, nemo Pitzam sequi, neque in ditionem Imperatoris concedere voluit. Belisarius vero milites ei non multos dedit, qui cum ipso tractum illum tuerentur. Iam ante Belisario se sponte dediderant, nullo constricti Gotthorum praesidio, Calabri Apuliique, cum maris accolae, tum mediterranea incolentes: in quorum urbibus est Beneventum, olim Maleventum a Romanis dictum. Nunc autem Beneventum vocant, execrationem vitantes priori inditam nomini. Nam vox quidem Latina *Ventus* auram spirantem significat. In Dalmatia vero, quae contra hanc urbem in adversa continente sita est, *malus* ac vehementissimus ventus bacchatur: qui quoties flare coeperit, in via neminem reperire est: at omnes se domi tenent. Is enim est venti impetus, ut equitem cum equo in sublime rapiat, ac diu per auras circumactum, quocumque sors tulerit, proiiciens enecet. Molestiae quam affert hic ventus, non expers est Beneventum, quippe contra Dalmatiam, ut dixi, editoque in loco positum. Eam urbem filius Tydei Diomedes, ab Argis olim, post excidium Ilii, pulsus, condidit, ibique in monumentum reliquit apri Calydonii dentes, qui ipsius patruo Meleagro in venationis

ἄθλα τοῦ κυνηγεσίου λαβὼν ἔτυχεν, οἳ καὶ εἰς ἐμὲ ἐνταῦθά εἰσι, θέαμα λόγου πολλοῦ ἰδεῖν ἄξιον, περίμετρον οὐχ ἧσσον ἢ τρισπίθαμον ἐν μηνοειδεῖ σχήματι ἔχοντες. ἐνταῦθα καὶ ξυγγενέσθαι τὸν Διομήδην Αἰνείᾳ τῷ Ἀγχίσου ἥκοντι ἐξ Ἰλίου φασὶ καὶ κατὰ τὸ λόγιον τὸ τῆς Ἀθήνης ἄγαλμα δοῦναι, ὃ ξὺν τῷ Ὀδυσσεῖ ἀποσυλήσας ἔτυχεν, ὅτε κατασκόπω ἐς τὸ Ἴλιον ἠλθέτην ἄμφω πρότερον ἢ τήν τε ἁλώσιμον γενέσθαι τοῖς Ἕλλησι. P 350 λέγουσι γὰρ αὐτῷ νοσήσαντί τε ὕστερον καὶ ὑπὲρ τῆς νόσου πυνθανομένῳ χρῆσαι τὸ μαντεῖον οὔ ποτέ οἱ τοῦ κακοῦ ἀπαλλαγὴν V 30 ἔσεσθαι πλὴν εἰ μὴ ἀνδρὶ Τρωΐ τὸ ἄγαλμα τοῦτο δισθοίη. καὶ αὐτὸ μὲν ὅπου γῆς ἐστιν, οὔ φασι Ῥωμαῖοι εἰδέναι, εἰκόνα δὲ αὐτοῦ λίθῳ τινὶ ἐγκεκολαμμένην δεικνύουσιν, ἥτις δὴ καὶ ἐς ἐμὲ ἐν τῷ τῆς Τύχης ἱερῷ πρὸ τοῦ χαλκοῦ τῆς Ἀθηνᾶς ἀγάλματος κεῖται, ὅπερ αἴθριον ἐς τὰ πρὸς ἕω τοῦ νεὼ ἵδρυται. αὕτη δὲ ἡ ἐν τῷ λίθῳ εἰκὼν πολεμούσῃ τε καὶ τὸ δόρυ ἀνατεινούσῃ ἄτε B ἐς ξυμβολὴν ἔοικε· ποδήρη δὲ καὶ ὡς τὸν χιτῶνα ἔχει. τὸ δὲ πρόσωπον οὐ τοῖς Ἑλληνικοῖς ἀγάλμασι τῆς Ἀθηνᾶς ἐμφερές ἐστιν, ἀλλ' οἷα παντάπασι τὸ παλαιὸν Αἰγύπτιοι ἐποίουν. Βυζάντιοι δέ φασι τὸ ἄγαλμα τοῦτο Κωνσταντῖνον βασιλέα ἐν τῇ ἀγορᾷ, ἣ αὐτοῦ ἐπώνυμός ἐστι, κατορύξαντα θέσθαι. ταῦτα μὲν δὴ ὧδέ πη ἔσχεν.

Ἰταλίαν δὲ οὕτω ξύμπασαν, ἣ ἐντὸς κόλπου τοῦ Ἰονίου ἐστὶν, ἄχρι ἔς τε Ῥώμην καὶ Σάμνιον Βελισάριος παρεστήσατο,

5. δοῦναι] δοῦν H. 6. ἠλθέτην L. ἐλθέτην HP. 7. τήν τε] τήν γε HL. Fort. τὴν πόλιν. 12. ἥτις] οὗς HL. ἥτις Hm. 23. Σάμνιον] σάμνον H: illud Hm.

praemium cesserant. Ibidem etiamnum servantur, visendi sane: ut qui non minus palmos tres orbe lunato colligant. Illic insuper cum Anchisae filio Aenea, qui Ilio venerat, Diomedem egisse ferunt, eique ex oraculi praescripto dedisse Palladis simulacrum: quod rapuerat, Ulysse socio, cum ambo Ilium, priusquam a Graecis caperetur, exploratum ivissent. Nam illi postmodum, ut fama est, aegrotanti consultum de morbo Oraculum respondit, nunquam ipsum convaliturum, nisi viro Troiano illam traderet statuam: quae nunc ubi terrarum sit, Romani se scire negant. Eius tantum speciem ostendunt incisam lapidi, et in aede Fortunae hac etiam aetate positam pro aeneo Palladis simulacro, ad exertivum templi latus sub dio stanti. Illa autem imago lapidea habitum refert bellantis, hasta, veluti ad conflictum, protenta. Tunicam talarem habet, nec vultu reddit facta a Graecis Minervae signa; sed iis est plane similis, quae veteres formabant Aegyptii. Palladium Constantinus Aug. (si audimus Byzantios) in foro, cui nomen tribuit suum, defodit. Sed haec hactenus.

Sic Belisarius totam Italiam, quae citra sinum Ionium est, Romam usque et Samnium subegit: quae sunt ultra sinum, usque ad Liburniam,

τοῦ δὲ κόλπου ἐκτὸς ἄχρι ἐς Λιβουρνίαν Κωνσταντιανὸς, ὥσπερ ἐρρήθη, ἔσχεν. ὄντινα δὲ τρόπον Ἰταλίαν οἰκοῦσιν οἱ ταύτῃ ἄνθρωποι ἐρῶν ἔρχομαι. πέλαγος τὸ Ἀδριατικὸν, ἐκροήν τινα πόρρω που τῆς ἠπείρου ἐκβάλλον, ποιεῖται τὸν Ἰόνιον κόλπον, C
οὐδὲν ὁμοίως τοῖς ἄλλοις χωρίοις, ἔνθα δὴ τελευτῶσα τῆς θαλάσσης ἡ ἐς τὴν ἤπειρον ἀνάβασις Ἰσθμὸν ποιεῖται. ὅ τε γὰρ Κρισαῖος καλούμενος κόλπος, ἀπολήγων ἐς τὸ Λέχαιον, ἵνα δὴ Κορινθίων ἡ πόλις ἐστὶν, ἐν μέτρῳ τεσσαράκοντα σταδίων μάλιστα, ποιεῖται τὸν ταύτῃ Ἰσθμόν. καὶ ὁ ἀφ' Ἑλλησπόντου κόλπος, ὃν Μέλανα καλοῦσιν, οὐ πλέον, ἀλλὰ κατὰ τοῦτο τὸ μέτρον ἀποτελεῖ τὸν ἐν Χερρονήσῳ Ἰσθμόν. ἐκ δὲ Ῥαβέννης πόλεως, οὗ δὴ τελευτᾷ ὁ Ἰόνιος κόλπος, ἐς θάλασσαν τὴν Τυρρηνικὴν οὐχ ἧσσον ἢ ὀκτὼ ὁδὸς ἡμερῶν εὐζώνῳ ἀνδρί ἐστιν. αἴ- H 190
τιον δὲ ὅτι προϊοῦσα ἡ τῆς θαλάσσης ἐπιρροὴ ἐν δεξιᾷ ἐπὶ πλεῖ- D
στον ἐς ἀεὶ φέρεται. τούτου δὲ τοῦ κόλπου ἐντὸς πόλισμα πρῶτον ὃ Δρυοῦς οἰκεῖται, ὅπερ ταυῦν Ὑδροῦς καλεῖται. τούτου ἐν δεξιᾷ μὲν Καλαβροί τε καὶ Ἀπούλιοι καὶ Σαμνῖται εἰσι, καὶ αὐτῶν ἐκόμενοι Πικηνοὶ ἄχρι ἐς Ῥάβενναν πόλιν ᾤκηνται. ἐπὶ θάτερα δὲ Καλαβρῶν τε μοῖρα ἡ λειπομένη ἐστὶ καὶ Βρέττιοί τε καὶ Λευκανοὶ, μεθ' οὓς Καμπανοὶ ἄχρι ἐς Ταρακίνην πόλιν οἰκοῦσιν, οὓς δὴ οἱ Ῥώμης ὅροι ἐκδέχονται. ταῦτα τὰ ἔθνη ἑκατέρας τῆς θαλάσσης τὴν ἠόνα καὶ τὰ ἐκίνη μεσόγεα ξύμπαντα

14. προϊοῦσα] Fort. προϊοῦσι. Classen. 16. ὁ Δρυοῦς] ὁδρυοῦς H. Ὑδροῦς L corr. et Grotius. ibid. Ὑδροῦς] Δρυοῦς Grotius. 19. βρέττιοι L corr. et Hm. Βριττιοι HP. 22. ἑκατέρας τῆς L. ἑκατέρας τε H. ἑκατέρας P. ibid. ἠόνα] ἠιόνα P.

Constantianus, ut dixi, recepit. Nunc eorum, qui Italiam incolunt, exponere situm aggredior. Adriaticum pelagus in longum continentis recessum sese effundens, Sinum Ionium efficit, haud tamen ut in aliis locis, in quibus maris procursus finitur Isthmo. Nam et Sinus, quem appellant Crisaeum, ad Lechaeum desinens, ubi est urbs Corinthus, Isthmum ibi facit, stadiis ad summum XL. latum. Et sinus alter, qui excipit Hellespontum, ac Melas (id es, Niger) dicitur, haud maiori, sed pari spatio Cherronesum in Isthmum cogit. Ab urbe autem Ravenna, ubi sinus Ionius terminatur, ad mare Tyrrhenicum viro expedito non minus dierum octo iter est: propterea quod ita progreditur infusum mare, ut constanter ad dexteram spatietur. Citra hunc sinum incolitur primum oppidum Dryus, hodie vulgo Hydrus: a cuius dextera sunt Calabri, Apuli et Samnites: hos Picentes excipiunt; quorum sedes Ravennam usque pertinent. A laeva est pars altera Calabriae, Brutii, Lucani: post quos habitant Campani, usque ad urbem Tarracinam: succedunt his agri Romani fines. Hi populi maris utriusque littora ac mediterraneas omnes pla-

ἔχουσιν. αὕτη τέ ἐστιν ἡ μεγάλη Ἑλλὰς καλουμένη τὰ πρότερα. ἐν Βρεττίοις γὰρ Λοκροί τέ εἰσιν οἱ Ἐπιζεφύριοι καὶ Κροτωνιᾶται καὶ Θούριοι. τοῦ δὲ κόλπου ἐκτὸς πρῶτοι μὲν Ἕλληνές εἰσιν, Ἠπειρῶται καλούμενοι, ἄχρι Ἐπιδάμνου πόλεως, ὅπερ
P 351 ἐπιθαλασσία οἰκεῖται. καὶ ταύτης μὲν ἐχομένη Πρέκαλις ἡ χώρα ἐστί, μεθ' ἣν Δαλματία ἐπικαλεῖται, καὶ τὸ τῆς ἑσπερίας λελόγισται κράτος. τὸ δ' ἐντεῦθεν Λιβουρνία τε καὶ Ἰστρία καὶ Βενετίων ἡ χώρα ἐστὶ μέχρι ἐς Ῥάβενναν πόλιν διήκουσα. οὗτοι μὲν ἐπιθαλάσσιοι ταύτῃ ᾤκηνται. ὑπερθε δὲ αὐτῶν Σίσκιοί τε καὶ Σουάβοι (οὐχ οἱ Φράγγων κατήκοοι, ἀλλὰ παρὰ τούτους ἕτεροι) χώραν τὴν μεσόγειον ἔχουσι. καὶ ὑπὲρ τούτους Κάρνιοί τε καὶ Νουρικοὶ ἵδρυνται. τούτων δὲ Δᾶκαί τε καὶ Πάννονες ἐν δεξιᾷ οἰκοῦσιν, οἳ ἄλλα τε χωρία καὶ Σιγγηδόνα καὶ Σίρμιον ἔχουσιν, ἄχρι ἐς ποταμὸν Ἴστρον διήκοντες. τούτων μὲν
B δὴ τῶν ἐθνῶν Γότθοι κόλπου τοῦ Ἰονίου ἐκτὸς κατ' ἀρχὰς τοῦδε τοῦ πολέμου ἦρχον, ὑπὲρ δὲ Ῥαβέννης πόλεως Πάδου τοῦ ποταμοῦ ἐν ἀριστερᾷ Λιγούριοι ᾤκηνται. καὶ αὐτῶν τὰ μὲν πρὸς βορρᾶν ἄνεμον Ἄλβανοὶ ἐν χώρᾳ ὑπερφυῶς ἀγαθῇ Λαγγούβιλλα καλουμένῃ οἰκοῦσι. τούτων δὲ πρὸς ἑσπέραν Γάλλοι τε καὶ μετ' ἐκείνους Ἴσπανοὶ ἔχουσι. τοῦ δὲ Πάδου ἐν δεξιᾷ Αἰμιλία τέ ἐστι καὶ τὰ Τούσκων ἔθνη, ἄχρι καὶ ἐς τοὺς Ῥώμης ὅρους διήκοντα. ταῦτα μὲν δὴ ὧδέ πως ἔχει.

1. τὰ πρότερα om. L. 2. βρεττίοις L corr. et Hm. Βριττίοις HP. 5. οἰκεῖται] κεῖται L. ibid. πρέβαλις Vat. Πρέκαλις P. 10. τούτους] Vulgo τούτοις. 13. Σιγγηδόνα καὶ Σίρμιον] Vulgo Σιγγιδόνων καὶ Σιρμίων (σερμίων HL). Correctum ex vol. I. p. 313, 9.

gas interiacentes habent: eaque est quae prius Magna Graecia dicebatur. Et vero sunt in agro Brutio Locri Epizephyrii, Crotoniatae, ac Thurii. Trans sinum Graeci, Epirotae dicti, primum locum obtinent, ad urbem usque maritimam Epidamnum. Hinc se aperit Prebalis regio; sequitur cui Dalmatiae nomen est, et quae cum ipsa Occidentalis Imperii finibus comprehenduntur, proxima Liburnia, huic Istria, deinde regio Venetorum ad Ravennam urbem porrecta. Atque hi sunt maris accolae: supra quos Siscii et Suabi, non illi, qui Francis parent, sed ab iis diversi, interiores terrae tractus obtinent. Ultra hos Carnii siti sunt Noricique: ad quorum dexteram Dacae et Pannones habitant, suisque in urbibus Singidonum ac Sirmium numerant, ad Istrum fluv. evadentes. Illis nationibus Gotthi trans Ionium sinum belli huius initio imperabant. Ultra Ravennam, a parte laeva fluminis Padi, degunt Ligures, et ad eorum latus Aquilonare Albani in perbona regione, quam Langivillam vocant: ad Occasum Galli ac deinde Hispani. A parte dextera habet Padus Aemiliam et Tuscos ad Romae usque confinia. Atque haec ita se habent.

ις'. Βελισάριος δὲ τὰ Ῥώμης ὅρια κύκλῳ ἅπαντα μέχρι C
ἐς ποταμὸν Τίβεριν καταλαβὼν ἐκρατύνατο. καὶ ἐπειδὴ οἱ ἅπαντα V 31
ὡς ἄριστα εἶχε, πολλοὺς τῶν αὐτοῦ ὑπασπιστῶν ξὺν δορυφόροις
ἄλλοις τε καὶ Ζαντῆρι καὶ Χορσομάνῳ καὶ Αἰσχμάνῳ τοῖς Μασ-
σαγέταις καὶ στρατιὰν ἄλλην Κωνσταντίνῳ ἔδωκεν, ἐς τε Του-
σκίαν ἐκέλευεν ἰέναι, ἐφ' ᾧ παραστήσεται τὰ ἐκείνῃ χωρία. καὶ
Βέσσαν ἐπήγγελλε καταλαβεῖν Ναρνίαν, πόλιν ἐχυρὰν μάλιστα
ἐν Τούσκοις οὖσαν. ὁ δὲ Βέσσας οὗτος Γότθος μὲν ἦν γένος
τῶν ἐκ παλαιοῦ ἐν Θράκῃ ᾠκημένων, Θευδερίχῳ τε οὐκ ἐπισπο-
μένων, ἡνίκα ἐνθένδε ἐς Ἰταλίαν ἐπῆγε τὸν Γότθων λεών, δρα- D
στήριος δὲ καὶ ἀγαθὸς τὰ πολέμια. στρατηγός τε γὰρ ἦν ἄρι-
στος καὶ αὐτουργὸς δεξιός. καὶ Βέσσας μὲν οὔ τι ἀκουσίων τῶν
ἱκητόρων Ναρνίαν ἔσχε, Κωνσταντῖνος δὲ Σπολίτιόν τε καὶ
Περυσίαν καὶ ἄλλα ἄττα πολίσματα παρεστήσατο οὐδενὶ πόνῳ.
ἐθελούσιοι γὰρ αὐτὸν ταῖς πόλεσι Τοῦσκοι ἐδέχοντο. φρουρὰν
οὖν ἐν Σπολιτίῳ καταστησάμενος αὐτὸς ξὺν τῷ ἄλλῳ στρατῷ ἐν
Περυσίᾳ τῇ Τούσκων πρώτῃ ἡσύχαζεν. Οὐίτιγις δὲ ταῦτα ἀκού- P 352
σας στρατιάν τε καὶ ἄρχοντας Οὐνίλαν τε καὶ Πίτζαν ἐπ' αὐτοὺς
ἔπεμπεν. οἷς Κωνσταντῖνος ὑπαντιάσας ἐν τῷ Περυσίας προα-
στείῳ ἐς χεῖρας ἦλθε. πλήθει δὲ τῶν βαρβάρων ὑπεραιρόντων
ἀγχώμαλος μὲν τὰ πρῶτα ἐγεγόνει ἡ μάχη, μετὰ δὲ Ῥωμαῖοι τῇ

6. παραστήσεται] παραστήσηται L. 7. ἐπήγγελλε] ἐπήγγελε P. *ibid.* Ναρνίαν] ἀρνίαν L. 9. ἐπισπομένων] ἐπισπομένῳ H. ἑπισχομένω L. 12. οὔ τι] οὗτοι HL. 13. „Κωνσταντῖνος] κωνσταντιανὸς Reg. male; erat enim Constantianus in Dalmatia, ut ex hoc ipso capite patet." MALT. *ibid.* Σπολίτιον] σπολίτιαν HL. 18. πίτζαν Reg. Vulgo *Πίσσαν*.

16. Belisarius fines omnes Romae circumpositos usque ad fluv. Tiberin complexus, eos munivit. Atque ubi cuncta recte disposuit, validam scutariorum suorum manum, cum stipatoribus hastatis, inter quos erant Zanter, Chorsomanus, et Aeschmannus Massagetae, aliasque Constantino copias dedit, et eo consilio misit illum in Tusciam, ut eam subigeret. Bessae, uti Narniam, urbem Tusciae munitissimam, occuparet; iussit. Erat hic Bessas natione Gotthus, ex eorum stirpe, qui in Thracia iamdiu habitabant, nec Theodericum secuti fuerant inde Gotthos in Italiam ducentem. Animo impigro ac bellica virtute praeditus, optime ductabat milites, et res dextere per se ipse agebat. Is quidem Narniam, civibus non invitis, obtinuit. Constantinus vero Spoletium, Perusiam et alia quaedam oppida nullo negotio recepit, Tuscis eum sponte in suas urbes accipientibus. Praesidio Spoletii constituto, Perusiae, quae urbs princeps Tuscorum est, cum exercitu sese tenuit. Vitigis, his auditis, adversus illos exercitum, Unila ac Pissa Ducibus, destinat. Obviam fit Constantinus, et in Perusiae suburbano congreditur. Superioribus numero Barbaris, anceps pugnae primordium fuit. Virtute postmo-

σφῶν ἀρετῇ καθυπέρτεροι γεγενημένοι τοὺς πολεμίους ἐτρέψαντο, φεύγοντάς τε οὐδενὶ κόσμῳ σχεδόν τι ἅπαντας ἔκτεινον. καὶ ζῶντας ἑλόντες τοὺς τῶν πολεμίων ἄρχοντας παρὰ Βελισάριον ἔπεμψαν. ἐπεὶ δὲ ταῦτα Οὐίτιγις ἤκουσεν, ἡσυχάζειν ἐπὶ Ῥαβέννης οὐκ ἔτι ἤθελεν, οὗ δὴ αὐτῷ Μαρκίας τε καὶ οἱ ξὺν αὐτῷ οὔπω ἐκ Γαλλίας ἥκοντες ἐμπόδιοι ἦσαν. ἐς μὲν οὖν Δαλμα-
B τίαν στρατιάν τε πολλὴν καὶ ἄρχοντας Ἀσινάριόν τε καὶ Οὐλιγίσαλον ἔπεμψεν, ἐφ' ᾧ Δαλματίαν τῇ Γότθων ἀρχῇ ἀνασώσαι. καὶ αὐτοῖς ἐπέστελλεν ἐκ τῶν ἀμφὶ Σουαβίαν χωρίων στράτευμα ἑταιρισαμένοις τῶν ταύτῃ βαρβάρων· οὕτω δὴ εὐθὺ Δαλματίας τε καὶ Σαλώνων ἰέναι. ξὺν αὐτοῖς δὲ καὶ μακρὰ πλοῖα πολλὰ ἔπεμψεν, ὅπως Σάλωνας κατὰ γῆν τε καὶ θάλασσαν πολιορκεῖν
H 191 οἷοί τε ὦσιν. αὐτὸς δὲ τῷ παντὶ στρατῷ ἐπὶ Βελισάριόν τε καὶ Ῥώμην ἰέναι ἠπείγετο, ἱππέας τε καὶ πεζοὺς οὐχ ἧσσον ἢ μυριάδας πεντεκαίδεκα ἐπαγόμενος, καὶ αὐτῶν τεθωρακισμένοι ξὺν τοῖς ἵπποις οἱ πλεῖστοι ἦσαν.

C Ἀσινάριος μὲν οὖν ἀμφὶ τὴν Σουαβίαν γενόμενος τὸ τῶν βαρβάρων στράτευμα ἤγειρε, μόνος δὲ Οὐλιγίσαλος Γότθοις ἐς Λιβουρνίαν ἠγήσατο. καὶ σφίσι Ῥωμαίων ἐν χωρίῳ Σκάρδωνι ἐς χεῖρας ἐλθόντων ἡσσηθέντες τῇ μάχῃ ἀνεχώρησαν εἰς Βοῦρνον πόλιν. ἐνταῦθά τε τὸν ξυνάρχοντα ἀνέμενεν Οὐλιγίσαλος. Κωνσταντιανὸς δὲ, ἐπεὶ τὴν Ἀσιναρίου παρασκευὴν ἤκουσε, δείσας

5. δὴ αὐτῷ Grotius et Maltretus in annot. Libri δὴ αὐτόν. δὴ πρὸς αὐτὸν Maltretus in textu. 6. ἐκ om. HL. *ibid.* γαλλίας Reg. γαλλίων HP. 8. ἀνασῶσαι Reg. ἀνασώσηται L. ἀνασώσητον HP.

dum sua victores Romani, hostes fundunt, atque incomposite fugientes ad internecionem fere caedunt. Cum Duces eorum capissent vivos, miserunt ad Belisarium. Qua de re factus certior Vitigis, Ravennae diutius sedere noluit; ubi tenebatur expectatione Marciae, qui nondum e Gallia cum suis advenerat. Itaque Asinarium et Uligisalum magno cum exercitu in Dalmatiam expedit, ut illam ad ditionem Gotthicam revocent, iubetque, cum ex Suabia Barbarorum indigenarum copias asciverint, recta Dalmatiam ac Salonas petere. Cum iisdem longas naves misit complures, quo Salonas terra ac mari obsidere possent. Ipse cum omni exercitu Belisarium versus ac Romam properat, non minus centum et quinquaginta millia equitum ac peditum ducens: plerique cum ipsis equis loricati erant.

Dum apud Suabiam Asinarius Barbarorum exercitum conscribit, solus Uligisalus Gotthos in Liburniam ducit. Hi facto cum Romanis ad Scardonem oppidum praelio victi, urbem Burnum repetierunt: ubi collegam suum Uligisalus expectavit. Constantianus, apparatu Asinarii co-

περὶ Σάλωνι, στρατιώτας μετεπέμψατο, οἳ ξύμπαντα τὰ ἐκείνῃ φρούρια εἶχον. καὶ τάφρον τε ἀμφὶ τὸν περίβολον ἅπαντα ὤρυσσε κύκλῳ καὶ τὰ ἄλλα ἐς τὴν πολιορκίαν ὡς ἄριστα ἐξηρτύετο. Ἀσινάριος δὲ πάμπολύ τι στράτευμα βαρβάρων ἀγείρας ἐς Βοῦρνον πόλιν ἀφίκετο. ἔνθα δὴ Οὐλιγισάλῳ τε καὶ τῇ Γότθων στρατιᾷ ξυμμίξας ἐς Σάλωνας ἦλθε. καὶ χαράκωμα μὲν ἀμφὶ τὸν D περίβολον ἐποήσαντο, τὰ δὲ πλοῖα στρατιωτῶν ἐμπλησάμενοι τοῦ περιβόλου τὸ ἐπιθαλάσσιον μέρος ἐφρούρουν. οὕτω τε Σάλωνας κατὰ γῆν τε καὶ κατὰ θάλασσαν ἐπολιόρκουν. Ῥωμαῖοι δὲ ταῖς τῶν πολεμίων ναυσὶν ἐξαπιναίως ἐπιθέμενοι ἐς φυγὴν τρέπουσι καὶ αὐτῶν πολλὰς μὲν αὐτοῖς ἀνδράσι καταδύουσι, πολ- V 82
λὰς δὲ ἀνδρῶν κενὰς εἶλον. οὐ μέντοι τὴν προσεδρείαν Γότθοι διέλυσαν, ἀλλὰ καὶ μᾶλλον ἐν τῇ πόλει Ῥωμαίους κατὰ κράτος πολιορκοῦντες εἶρξαν. τὰ μὲν οὖν στρατόπεδα Ῥωμαίων τε καὶ Γότθων ἐν Δαλματίαις ἐφέρετο τῇδε. Οὐιτίγιδι δὲ πρὸς τῶν ἐπιχωρίων ἐκ Ῥώμης ἡκόντων ἀκούσαντι τὸ ξὺν Βελισαρίῳ στράτευμα βαρύτατον εἶναι, Ῥώμης τε ὑποκεχωρηκότι μετέμελε καὶ μένειν ἐν τοῖς καθεστῶσιν οὐκ ἔτι ἠδύνατο, ἀλλὰ θυμῷ ἤδη ἐχόμενος ἐπ᾽ αὐτοὺς ἤει. καί οἱ ἐν αὐτῇ τῇ πορείᾳ τῶν τις ἱερέων P 353
ἐκ Ῥώμης ἥκων ἐνέτυχεν. οὗ δὴ ξὺν θορύβῳ πολλῷ πυθέσθαι φασὶν Οὐίτιγιν εἰ Βελισάριος ἔτι ἐν Ῥώμῃ εἴη, ἅτε δείσαντα μὴ οὐχὶ αὐτὸν καταλαμβάνειν οἷός τε ᾖ, ἀλλὰ φθάσει ἀποδρὰς ἐνθένδε· καὶ αὐτὸν εἰπεῖν ἥκιστά οἱ χρῆναι τοῦτο ἐν φροντίδι εἶ-

4. τι] Vulgo τε. *ibid.* ἐς B.] εἰς β. L. 17. βαρύτατον] βραχύτατον Grotius. 19. ἱερέων om. L.

gaito, Salonis timens, milites, qui omnia regionis illius castella obtinebant, accivit; muros fossa cinxit perpetua caeteraque ad obsidionem ferendam necessaria diligentissime expedivit. Asinarius, collectis Barbarorum ingentibus copiis, ad urbem Burnum pervenit. Ibi iunctis cum Uligisalo Gotthorumque exercitu viribus, Salonas sese contulit. Mox ducto vallo claussere moenia, atque horum parti maritimae plenas militibus naves opposuerunt; itaque terra ac mari obsederunt Salonas. Romani vero repentino impetu fugata hostium classe, naves multas submersere cum viris; multas cepere vacuas. Nec tamen Gotthi obsidionem solverunt: immo vero Romanos intentiori oppugnatione intra muros coërcuere. Ita Romani et Gotthi in Dalmatia rem armis gerebant. At Vitigis, cum ex indigenis, qui Roma veniebant, audiret, exercitum Belisarii molestissimum esse, ipsum sui ex urbe discessus poenitebat, nec poterat mente consistere: sed ira captus contra pergebat. In itinere obvium nactus Sacerdotem quemdam Roma profectum, dicitur interrogasse contentius, utrum adhuc esset Belisarius Romae? quasi vereretur ut Belisarium posset assequi, ac ne is inde se proripuisset. Hac parte Vitigin

ναι. καὶ αὐτὸν γάρ οἱ ἀναδέχεσθαι μήποτε Βελισάριον δρασμῷ χρήσασθαι, ἀλλ' αὐτοῦ μένειν. καὶ τὸν ἔτι ἐπείγεσθαι μᾶλλον ἢ πρότερον, εὐξάμενον ἐκ τοῦ ἐμφανοῦς τὸ Ῥώμης θεάσασθαι τεῖχος πρότερον ἢ Βελισάριον ἐνθένδε ἀποδρᾶναι.

B ιζ'. Βελισάριος δὲ, ἐπεὶ Γότθους πανδημεὶ στρατεύεσθαι ἐπ' αὐτὸν ἤκουσε, διεπορεῖτο. οὔτε γὰρ τοὺς ἀμφὶ Κωνσταντῖνόν τε καὶ Βέσσαν ἀπολείπεσθαι ἤθελεν, ἄλλως τε καὶ ὀλίγης οἱ τῆς στρατιᾶς παντάπασιν οὔσης, καὶ τὰ ἐν Τούσκοις ἐκλιπεῖν ὀχυρώματα ἐδόκει οἱ ἀξύμφορον εἶναι, ὅπως δὴ μὴ ταῦτα ἐπὶ Ῥωμαίους Γότθοι ἐπιτειχίσματα ἔχοιεν. λογισάμενος οὖν Κωνσταντίνῳ τε καὶ Βέσσᾳ ἐπέστειλε φρουρὰν μὲν ἐν τοῖς ἀναγκαιοτάτοις τῶν ἐκείνῃ ἀπολιπεῖν χωρίων, ὅση δὴ φυλάσσειν αὐτὰ

C ἱκανὴ εἴη, αὐτοὺς δὲ τῷ ἄλλῳ στρατῷ ἐς Ῥώμην κατὰ τάχος ἰέναι. καὶ Κωνσταντῖνος μὲν κατὰ ταῦτα ἐποίει. ἔν τε γὰρ Περυσίᾳ καὶ Σπολιτίῳ φρουρὰν καταστησάμενος ξὺν τοῖς ἄλλοις ἅπασιν ἐς Ῥώμην ἀπήλαυνε. Βέσσα δὲ σχολαίτερον τὰ ἐν Ναρνίᾳ καθισταμένου ξυνέπεσε τὴν ὁδὸν ἐνθένδε ποιουμένων τῶν πολεμίων ἔμπλεα Γότθων τὰ ἐν τῷ προαστείῳ πεδία εἶναι. πρόδρομοι δὲ οὗτοι πρὸ τῆς ἄλλης στρατιᾶς ἦσαν· οἷς δὴ Βέσσας ἐς χεῖρας ἐλθὼν τούς τε κατ' αὐτὸν παρὰ δόξαν ἐτρέψατο καὶ πολ-

D λοὺς κτείνας, ἐπειδὴ τῷ πλήθει ἐβιάζετο, ἐς Ναρνίαν ἀνεχώρησεν. ἐνταῦθά τε φρουροὺς ἀπολιπὼν, καθάπερ οἱ ἐπέστειλε

6. *Κωνσταντῖνον*] κωνσταντιανόν HL. Et sic Pers. ter deinceps. 10. *Ῥωμαίους*] ῥωμαίοις L. *ibid. Κωνσταντίνῳ*] κωνσταντιανῷ HL. 14. *Κωνσταντῖνος*] κωνσταντιανὸς HL. 21. *ἀνεχώρησεν*] ἐχώρησεν L.

securum esse Sacerdos iubet, pro certo affirmans, nunquam fugere Belisarium, sed tenere, quem habet, locum. Instat acrius Vitigis, aperte optans muros Romae prius videre, quam Belisarius illinc aufugeret.

17. Ubi Gotthorum copiis omnibus peti se Belisarius cognovit, aestuare dubitatione coepit. Nam ut cohortibus, quas Constantinus et Bessas ducebant, carere nollet, suadebat inprimis paucitas militum, quos secum habebat. Rursus non expedire censebat, praesidia ex munitis Tusciae locis deducere; ne inde Gotthi Romanos oppugnaret. Re bene explorata, Constantino ac Bessae mandavit, ut idoneo praesidio in regionis illius locis, quae maximi momenti essent, relicto, confestim ipsi cum reliquo exercitu Romam venirent. Dicto audiens Constantinus, Perusiae et Spoletii collocatis praesidiis, Romam cum reliquis omnibus iter celerat. At Narniae dum res Bessas lentius digerit, Gotthi illac iter habentes, agrum suburbanum implent. Hi sequentis exercitus praecursores erant: quos adortus Bessas, sibi oppositos, praeter opinionem, in fugam vertit, multisque caesis, cum ab ingruente multitudine premeretur, Narniam sese retulit. Ibi relicto praesidio, Romam, uti insserat Belisarius,

Βελισάριος, ἐς Ῥώμην κατὰ τάχος ἦει καὶ παρέσεσθαι τότε ὅσον οὔπω τοὺς πολεμίους ἀπήγγειλε. Ῥώμης γὰρ Ναρνία πεντήκοντα καὶ τριακοσίοις σταδίοις διέχει. Οὐίτιγις δὲ Περυσίας μὲν καὶ Σπολετίου ἀποπειρᾶσθαι ἥκιστα ἐγχειρεῖ. τὰ γὰρ χωρία ἰσχυρὰ ὡς μάλιστά ἐστι, καὶ τρίβεσθαι οἱ ἐνταῦθα τὸν χρόνον οὐδαμῇ ἤθελε. μόνον γάρ οἱ ἐν ἐπιθυμίᾳ ἐγένετο Βελισάριον οὔπω ἀποδράντα ἐν Ῥώμῃ εὑρέσθαι. ἀλλὰ καὶ Ναρνίαν ἔχεσθαι πρὸς τῶν πολεμίων μαθὼν οὐδὲν ἐνταῦθα κινεῖν ἤθελε, δυσπρόσοδόν τε καὶ ἄλλως ἅπαντες ὂν τὸ χωρίον εἰδώς. κεῖται μὲν γὰρ ἐν ὑψηλῷ ὄρει. ποταμὸς δὲ Νάρνος ἐς τὸν τοῦ ὄρους P 354
παραρρεῖ πρόποδα, ὃς καὶ τὴν ἐπωνυμίαν τῇ πόλει παρέσχεν. ἄνοδοί τε δύο ἐνταῦθα ἄγουσιν, ἡ μὲν πρὸς ἀνίσχοντα, ἡ δὲ H 192
πρὸς δύοντα ἥλιον. ταύταιν ἄτερα μὲν στενοχωρίαν τινὰ δύσκολον ἐξ ἀποτόμων πετρῶν ἔλαχεν, ἐς δὲ τὴν ἑτέραν οὐκ ἔστιν ὅτι μὴ διὰ τῆς γεφύρας ἰέναι, ἣ τὸν ποταμὸν ἐπικαλύπτουσα διάβασιν ταύτῃ ἐργάζεται. ταύτην δὲ τὴν γέφυραν Καῖσαρ Αὔγουστος ἐν τοῖς ἄνω χρόνοις ἐδείματο, θέαμα λόγου πολλοῦ ἄξιον. τῶν γὰρ κυρτωμάτων πάντων ὑψηλότατόν ἐστιν ὧν ἡμεῖς ἴσμεν.

Οὐίτιγις οὖν οὐκ ἀναμείνας τὸν χρόνον σφίσιν ἐνταῦθα B
τρίβεσθαι κατὰ τάχος ἐνθένδε ἀπαλλαγεὶς τῷ παντὶ στρατῷ ἐπὶ Ῥώμην ἦει, διὰ Σαβίνων τὴν πορείαν ποιούμενος. καὶ ἐπειδὴ V 33
Ῥώμης ἄγχοῦ ἐγένετο, σταδίοις τε αὐτῆς οὐ μᾶλλον ἢ τέσσαρσι

7. εὐρέσθαι] εὑρᾶσθαι Vat. 8. τῶν πολεμίων] τῶν ἐν ῥώμῃ πολεμίων HL. ibid. κινεῖν] κρίνειν L. 11. παραρρεῖ] παραρρεῖ L.

advolat, ac iam iam hostem affore nuntiat. Etenim Narnia ccci. solum stadiis Roma distat. Porro Vitigis Perusia ac Spoletio, urbibus validissimis, abstinuit, nec voluit ibi tempus conterere, id unum expetens, ut nondum fuga elapsum Belisarium Romae deprehenderet. Ubi Narniam quoque teneri ab hoste resciit, illic nihil movere voluit, haud ignarus difficilem aditu et valde arduum locum esse. Insidet enim editum montem, cuius radices Nar amnis alluit, unde suum urbs nomen hausit. Ad eam ducunt ascensus duo, hic ab oriente Sole, ille ab occidente. Horum alter difficiles angustias inter saxa praerupta habet: alter non nisi ponte adiri potest, qui fluvio impositus, ea parte transitum praebet. Hunc pontem Caesar Augustus olim extruxit, spectatu sane dignissimum opus: nam quotquot usquam fornices vidimus, eos altitudine superat.

Itaque inutili abiecta mora, inde Vitigis movit, et cum universo exercitu per agrum Sabinum iter intendit Romam: cui iam ita proximus, ut ab ea stadiis non amplius XIV. abesset, pontem Tiberis offendit paulo ante a Belisario munitum turri, et in hac, foribus defensa, locatum ab

καὶ δέκα διεῖχε, Τιβέριδος ποταμοῦ γεφύρᾳ ἐνέτυχεν. ἔνθα δὴ Βελισάριος ὀλίγῳ πρότερον πύργον τε διειμάμενος καὶ πύλας αὐτῷ ἐπιθέμενος στρατιωτῶν φρουρὰν κατεστήσατο, οὐχ ὅτι τοῖς πολεμίοις ταύτῃ μόνον ὁ Τίβερις διαβατὸς ἦν (νῆές τε γὰρ καὶ γέφυραι πολλαχόσε τοῦ ποταμοῦ τυγχάνουσιν οὖσαι), ἀλλ' ὅτι
C πλείονα χρόνον ἐν τῇ πορείᾳ τοῖς ἐναντίοις τρίβεσθαι ἤθελε, στράτευμά τε ἄλλο ἐκ βασιλέως καραδοκῶν, καὶ ὅπως ἔτι μᾶλλον Ῥωμαῖοι τὰ ἐπιτήδεια ἐσκομίζωνται. ἦν τε γὰρ ἐνθένδε ἀποκρουσθέντες οἱ βάρβαροι διαβαίνειν ἐγχειρήσωσιν ἐπὶ γεφύρας ἑτέρωθι οὔσης, οὐχ ἧσσον ἢ εἴκοσιν ἡμέρας δαπανᾶσθαι σφίσιν ἐνόμιζε, καὶ πλοῖα βουλομένοις ἐς Τίβεριν κατασπάσαι τοσαῦτα τὸ πλῆθος πλείω αὐτοῖς, ὡς τὸ εἰκός, τετρίψεσθαι χρόνον. ἃ δὴ ἐν νῷ ἔχων τὴν τῇδε φρουρὰν κατεστήσατο, ἔνθα οἱ Γότθοι ἐκείνῃ τῇ ἡμέρᾳ ηὐλίσαντο, ἀπορούμενοί τε καὶ πολεμητέα ἔσε-
D σθαι σφίσιν ἐς τὸν πύργον τῇ ὑστεραίᾳ οἰόμενοι. ἦλθον δὲ αὐτοῖς καὶ αὐτόμολοι δύο καὶ εἴκοσι, βάρβαροι μὲν τὸ γένος, στρατιῶται δὲ Ῥωμαῖοι, ἐκ καταλόγου ἱππικοῦ, οὗπερ Ἰννοκέντιος ἦρχεν. ἔννοια δὲ τότε Βελισαρίῳ ἐγένετο ἀμφὶ Τίβεριν ποταμὸν ἐνστρατοπεδεύσασθαι, ὅπως δὴ τῇ τε διαβάσει τῶν πολεμίων ἔτι μᾶλλον ἐμπόδιοι γένωνται καὶ θάρσους τοῦ σφετέρου ἐπίδειξίν τινα ἐς τοὺς ἐναντίους ποιήσωνται. στρατιῶται μέντοι ὅσοι φρουρὰν, ὥσπερ ἐρρήθη, ἐν τῇ γεφύρᾳ εἶχον, καταπεπληγμένοι τὸν τῶν Γότθων ὅμιλον καὶ τοῦ κινδύνου κατωρρωδηκότες τὸ μέγεθος, νύκτωρ τὸν πύργον ἐκλιπόντες, ὅνπερ ἐφύλασσον, ἐς

4. ταύτῃ μόνον ex Vat. addidit P: om. HL. 17. Ἰννοκέντιος] Ἰνοκέντιος HL. 19. δὴ τῇ τε L. τε τῇδε P. δὲ (τε Hm). τῇδέ H. 20. ἐμπόδιοι] Vulgo ἐμπόδιον.

eodem militare praesidium; non quod hostes Tiberim illac solum transire possent: quandoquidem fluvius et vectorias naves et pontes multis habet in locis; sed quia, cum alias ab Imperatore copias magno expectaret opere, constitutum habebat moram hosti in via longiorem iniicere: idque etiam agebat, ut Romani in urbem ampliores commeatus inveherent. Nam, si inde repulsi Barbari, per alium transire pontem aggrederentur, illis dies saltem xx. absumtum iri putabat: ac plus etiam temporis periturum videbatur, si quot opus essent navigia, tot vellent in Tiberim trahere. Sic Belisarius ratione subducta, eos ibi custodes posuerat, ubi Gotthi illius diei noctem egerunt, fluctuantes animis, ac sibi postridie oppugnandam turrim existimantes. Ad ipsos transfugerant Barbari XXII. Romani milites, ex equestri turma, cui praeerat Innocentius. Tum Belisario in mentem venit castra ad fluv. Tiberim metari, ut melius hostem transitu prohiberent, et quantum animo confiderent, demonstrarent. At milites, quibus credita, ut dictum est, pontis custodia fuerat, attoniti Gotthorum ingenti numero, ac periculi magnitudinem reformidantes, tur-

φυγὴν ὥρμηντο. ἐς Ῥώμην δὲ σφίσιν οὐκ οἰόμενοι εἰσιτητὰ εἶναι ἐπὶ Καμπανίας λάθρα ἐχώρησαν, ἢ τὴν ἐκ στρατηγοῦ κόλασιν δείσαντες, ἢ τοὺς ἑταίρους ἐρυθριῶντες.

ιη'. Τῇ δὲ ἐπιγενομένῃ ἡμέρᾳ οἱ μὲν Γότθοι τὰς τοῦ P 355
πύργου πύλας πόνῳ οὐδενὶ διαφθείραντες τὴν διάβασιν ἐποιήσαντο, οὐδενὸς σφίσιν ἐμποδὼν ἱσταμένου. Βελισάριος δὲ οὕπω τι πεπυσμένος τῶν ἀμφὶ τῇ φρουρᾷ ξυμπεσόντων ἱππέας χιλίους ἐπαγόμενος ἐς τοῦ ποταμοῦ τὴν γέφυραν ἦει, τὸν χῶρον ἐπισκεψόμενος οὗπερ ἂν σφίσιν ἐνστρατοπεδεύσασθαι ἄμεινον εἴη. καὶ ἐπειδὴ ἐγγύτερον ἐγένοντο, ἐντυγχάνουσι τοῖς πολεμίοις ἤδη τὸν ποταμὸν διαβᾶσιν, ἐς χεῖράς τε αὐτῶν τισιν οὔτι ἐθελούσιοι ἦλ- B
θον. ἐξ ἱππέων δὲ συνίστατο ἡ ξυμβολὴ ἑκατέρωθεν. τότε Βελισάριος, καίπερ ἀσφαλὴς τὰ πρότερα ὤν, οὐκέτι τοῦ στρατηγοῦ τὴν τάξιν ἐφύλασσεν, ἀλλ' ἐν τοῖς πρώτοις ἅτε στρατιώτης ἐμάχετο. καὶ ἀπ' αὐτοῦ τὰ Ῥωμαίων πράγματα ξυνέβη ἐς κίνδυνον πολὺν ἐκπεπτωκέναι, ἐπεὶ ξύμπασα ἡ τοῦ πολέμου ῥοπὴ ἐπ' αὐτὸν ἔκειτο. ἔτυχε δὲ ἵππῳ τηνικαῦτα ὀχούμενος, πολέμιων τε λίαν ἐμπείρῳ καὶ διασώσασθαι τὸν ἐπιβάτην ἐπισταμένῳ, ὃς δὴ ὅλον μὲν τὸ σῶμα φαιὸς ἦν, τὸ μέτωπον δὲ ἅπαν ἐκ κεφα- C
λῆς ἄχρι ἐς ῥῖνας λευκὸς μάλιστα. τοῦτον Ἕλληνες μὲν Φαλιὸν, βάρβαροι δὲ Βάλαν καλοῦσι. καὶ ξυνέπεσε Γότθων τοὺς πλείστους βάλλειν ἐπ' αὐτόν τε καὶ Βελισάριον τά τε ἀκόντια καὶ τὰ ἄλλα βέλη ἐξ αἰτίας τοιᾶσδε. αὐτόμολοι ὅσοι τῇ προτεραίᾳ ἐς

1. σφίσιν L. σφίσι P. 21. Βάλαν] βάλλαν L.

ri, quam custodiebant, noctu relicta, fugam ceperunt, ac Romam sibi clausam rati, in Campaniam ivere furtim, seu poena a Magistro militum infligendae metu, seu commilitonum verecundia ducti.

18. Postridie Gotthi, effractis nullo negotio turris foribus, obsistente nemine, fluvium transierunt. Belisarius vero, cum de custodum fuga nihildum audisset, assumptis equitibus mille, ad fluminis pontem contendit, optaturus locum, qui castris commodior videretur. Invecti propius, iam fluvium transgressos offendunt hostes, ac vel inviti cum eorum parte certamen ineunt: ex equis utrique pugnant. Tunc Belisarius, quamvis antea cautus, non se tenuit in ordine Magistri militum; sed inter primos, uti miles, certavit. Unde Romana res in grave discrimen venit: siquidem belli momentum omne in eius capite positum erat. Equo tum vehebatur bellicosissimo, sessorisque e periculis expediendi perito: qui toto fuscus corpore, anteriorem capitis partem, a summa fronte ad nares, eximio candore insignem habebat. Equum eiusmodi vocitant Graeci Phalion, Barbari Balan. Illum autem ac Belisarium plerique Gotthi iaculis aliisque telis ideo petebant; quia transfugae, qui pri-

καὶ δέκα διεῖχε, Τιβέριδος ποταμοῦ γεφύρᾳ ἐνέτυχεν. ἔνθα δὴ Βελισάριος ὀλίγῳ πρότερον πύργον τε δειμάμενος καὶ πύλας αὐτῷ ἐπιθέμενος στρατιωτῶν φρουρὰν κατεστήσατο, οὐχ ὅτι τοῖς πολεμίοις ταύτῃ μόνον ὁ Τίβερις διαβατὸς ἦν (νῆές τε γὰρ καὶ γέφυραι πολλαχόσε τοῦ ποταμοῦ τυγχάνουσιν οὖσαι), ἀλλ' ὅτι
C πλείονα χρόνον ἐν τῇ πορείᾳ τοῖς ἐναντίοις τρίβεσθαι ἤθελε, στράτευμά τε ἄλλο ἐκ βασιλέως καραδοκῶν, καὶ ὅπως ἔτι μᾶλλον Ῥωμαῖοι τὰ ἐπιτήδεια ἐσκομίζωνται. ἦν τε γὰρ ἐνθένδε ἀποκρουσθέντες οἱ βάρβαροι διαβαίνειν ἐγχειρήσωσιν ἐπὶ γεφύρας ἑτέρωθι οὔσης, οὐχ ἧσσον ἢ εἴκοσιν ἡμέρας δαπανᾶσθαι σφίσιν ἐνόμιζε, καὶ πλοῖα βουλομένοις ἐς Τίβεριν κατασπάσαι τοσαῦτα τὸ πλῆθος πλείω αὐτοῖς, ὡς τὸ εἰκὸς, τετρίψεσθαι χρόνον. ἃ δὴ ἐν νῷ ἔχων τὴν τῇδε φρουρὰν κατεστήσατο, ἔνθα οἱ Γότθοι ἐκείνῃ τῇ ἡμέρᾳ ηὐλίσαντο, ἀπορούμενοί τε καὶ πολεμητέα ἔσε-
D σθαι σφίσιν ἐς τὸν πύργον τῇ ὑστεραίᾳ οἰόμενοι. ἦλθον δὲ αὐτοῖς καὶ αὐτόμολοι δύο καὶ εἴκοσι, βάρβαροι μὲν τὸ γένος, στρατιῶται δὲ Ῥωμαῖοι, ἐκ καταλόγου ἱππικοῦ, οὗπερ Ἰννοκέντιος ἦρχεν. ἔννοια δὲ τότε Βελισαρίῳ ἐγένετο ἀμφὶ Τίβεριν ποταμὸν ἐνστρατοπεδεύσασθαι, ὅπως δὴ τῇ τε διαβάσει τῶν πολεμίων ἔτι μᾶλλον ἐμπόδιοι γένωνται καὶ θάρσους τοῦ σφετέρου ἐπίδειξίν τινα ἐς τοὺς ἐναντίους ποιήσωνται. στρατιῶται μέντοι ὅσοι φρουρὰν, ὥσπερ ἐρρήθη, ἐν τῇ γεφύρᾳ εἶχον, καταπεπληγμένοι τὸν τῶν Γότθων ὅμιλον καὶ τοῦ κινδύνου κατωρρωδηκότες τὸ μέγεθος, νύκτωρ τὸν πύργον ἐκλιπόντες, ὅνπερ ἐφύλασσον, ἐς

4. ταύτῃ μόνον ex Vat. addidit P: om. HL. 17. Ἰννοκέντιος] Ἰνοκέντιος HL. 19. δὴ τῇ τε L. τε τῇδε P. δὲ (τε Hm). τῇδε H. 20. ἐμπόδιοι] Vulgo ἐμπόδιον.

eodem militare praesidium; non quod hostes Tiberim illac solum transire possent: quandoquidem fluvius et vectorias naves et pontes multis habet in locis; sed quia, cum alias ab Imperatore copias magno expectaret opere, constitutum habebat moram hosti in via longiorem iniicere: idque etiam agebat, ut Romani in urbem ampliores commeatus inveherent. Nam, si inde repulsi Barbari, per alium transire pontem aggrederentur, illis dies saltem xx. absumtum iri putabat: ac plus etiam temporis periturum videbatur, si quot opus essent navigia, tot vellent in Tiberim trahere. Sic Belisarius ratione subducta, eos ibi custodes posuerat, ubi Gotthi illius diei noctem egerunt, fluctuantes animis, ac sibi postridie oppugnandam turrim existimantes. Ad ipsos transfugerant Barbari xxii. Romani milites, ex equestri turma, cui praeerat Innocentius. Tum Belisario in mentem venit castra ad fluv. Tiberim metari, ut melius hostem transitu prohiberent, et quantum animo confiderent, demonstrarent. At milites, quibus credita, ut dictum est, pontis custodia fuerat, attoniti Gotthorum ingenti numero, ac periculi magnitudinem reformidantes, tur-

φυγὴν ὥρμηντο. ἐς Ῥώμην δὲ σφίσιν οὐκ οἰόμενοι εἰσιτητὰ εἶναι ἐπὶ Καμπανίας λάθρα ἐχώρησαν, ἢ τὴν ἐκ στρατηγοῦ κόλασιν δείσαντες, ἢ τοὺς ἑταίρους ἐρυθριῶντες.

ιη'. Τῇ δὲ ἐπιγενομένῃ ἡμέρᾳ οἱ μὲν Γότθοι τὰς τοῦ P 355
πύργου πύλας πόνῳ οὐδενὶ διαφθείραντες τὴν διάβασιν ἐποιήσαντο, οὐδενὸς σφίσιν ἐμποδὼν ἱσταμένου. Βελισάριος δὲ οὔπω τι πεπυσμένος τῶν ἀμφὶ τῇ φρουρᾷ ξυμπεσόντων ἱππέας χιλίους ἐπαγόμενος ἐς τοῦ ποταμοῦ τὴν γέφυραν ἦει, τὸν χῶρον ἐπισκεψόμενος οὗπερ ἂν σφίσιν ἐνστρατοπεδεύσασθαι ἄμεινον εἴη. καὶ ἐπειδὴ ἐγγύτερον ἐγένοντο, ἐντυγχάνουσι τοῖς πολεμίοις ἤδη τὸν ποταμὸν διαβᾶσιν, ἐς χεῖράς τε αὐτῶν τισιν οὔτι ἐθελούσιοι ἦλ- B
θον. ἐξ ἱππέων δὲ συνίστατο ἡ ξυμβολὴ ἑκατέρωθεν. τότε Βελισάριος, καίπερ ἀσφαλὴς τὰ πρότερα ὤν, οὐκέτι τοῦ στρατηγοῦ τὴν τάξιν ἐφύλασσεν, ἀλλ' ἐν τοῖς πρώτοις ἅτε στρατιώτης ἐμάχετο. καὶ ἀπ' αὐτοῦ τὰ Ῥωμαίων πράγματα ξυνέβη ἐς κίνδυνον πολὺν ἐκπεπτωκέναι, ἐπεὶ ξύμπασα ἡ τοῦ πολέμου ῥοπὴ ἐπ' αὐτὸν ἔκειτο. ἔτυχε δὲ ἵππῳ τηνικαῦτα ὀχούμενος, πολέμιων τε λίαν ἐμπείρῳ καὶ διασώσασθαι τὸν ἐπιβάτην ἐπισταμένῳ, ὃς δὴ ὅλον μὲν τὸ σῶμα φαιὸς ἦν, τὸ μέτωπον δὲ ἅπαν ἐκ κεφα- C
λῆς ἄχρι ἐς ῥῖνας λευκὸς μάλιστα. τοῦτον Ἕλληνες μὲν Φαλιὸν, βάρβαροι δὲ Βάλαν καλοῦσι. καὶ ξυνέπεσε Γότθων τοὺς πλείστους βάλλειν ἐπ' αὐτόν τε καὶ Βελισάριον τά τε ἀκόντια καὶ τὰ ἄλλα βέλη ἐξ αἰτίας τοιᾶσδε. αὐτόμολοι ὅσοι τῇ προτεραίᾳ ἐς

1. σφίσιν L. σφίσι P. 21. Βάλαν] βάλλαν L.

ri, quam custodiebant, noctu relicta, fugam ceperunt, ac Romam sibi clausam rati, in Campaniam ivere furtim, seu poena a Magistro militum infligendae metu, seu commilitonum verecundia ducti.

18. Postridie Gotthi, effractis nullo negotio turris foribus, obsistente nemine, fluvium transierunt. Belisarius vero, cum de custodum fuga nihildum audisset, assumptis equitibus mille, ad fluminis pontem contendit, optaturus locum, qui castris commodior videretur. Invecti propius, iam fluvium transgressos offendunt hostes, ac vel inviti cum eorum parte certamen ineunt: ex equis utrique pugnant. Tunc Belisarius, quamvis antea cautus, non se tenuit in ordine Magistri militum; sed inter primos, uti miles, certavit. Unde Romana res in grave discrimen venit: siquidem belli momentum omne in eius capite positum erat. Equo tum vehebatur bellicosissimo, sessorisque e periculis expediendi perito: qui toto fuscus corpore, anteriorem capitis partem, a summa fronte ad nares, eximio candore insignem habebat. Equum eiusmodi vocitant Graeci Phalion, Barbari Balan. Illum autem ac Belisarium plerique Gotthi iaculis aliisque telis ideo petebant; quia transfugae, qui pri-

Γότθους ἦκον, ἐπεὶ ἐν τοῖς πρώτοις μαχόμενον Βελισάριον εἶδον, ἐπιστάμενοι ὡς, ἢν αὐτὸς πέσῃ, διαφθαρήσεται Ῥωμαίοις αὐτίκα δὴ μάλα τὰ πράγματα, κραυγῇ ἐχρῶντο, βάλλειν ἐγκελευόμενοι ἐς ἵππον τὸν Βάλαν. καὶ ἀπ' αὐτοῦ ἐς τὴν Γότθων στρα-
V 34 *τιὰν ξύμπασαν οὗτος δὴ περιφερόμενος ὁ λόγος ἦλθε, ζήτησιν* 5
H 193 D *μέντοι αὐτοῦ, ἅτε ἐν θορύβῳ μεγάλῳ, ἥκιστα ἐποιήσαντο, οὐδὲ ὅτι ἐστὶ Βελισάριος σαφῶς ἔγνωσαν. ἀλλὰ ξυμβαλόντες οὐκ εἰκῇ τὸν λόγον ἐπιπολάζοντα ἐς πάντας ἰέναι, τῶν ἄλλων ἀφέμενοι πάντων, οἱ πλεῖστοι ἐπὶ Βελισάριον ἔβαλλον. ἤδη δὲ αὐτῶν καὶ φιλοτιμίᾳ μεγάλῃ ἐχόμενοι, ὅσοι ἀρετῆς τι μετεποιοῦντο, ὡς* 10
ἀγχοτάτω παραγενόμενοι, ἅπτεσθαί τε αὐτοῦ ἐνεχείρουν καὶ τοῖς τε δόρασι τοῖς τε ξίφεσι θυμῷ πολλῷ χρώμενοι ἔπαιον. Βελι-
P 356 *σάριος δὲ καὶ αὐτός τε ἐπιστροφάδην τοὺς ἀεὶ ὑπαντιάζοντας ἔκτεινε καὶ τῶν αὐτοῦ δορυφόρων τε καὶ ὑπασπιστῶν τῆς εἰς αὐ-*
τὸν εὐνοίας ὡς μάλιστα δὴ ἐν τούτῳ τῷ κινδύνῳ ἀπέλαυσε. γε- 15
νόμενοι γὰρ ἀμφ' αὐτὸν ἅπαντες ἀρετὴν ἐπεδείξαντο οἵαν πρὸς οὐδενὸς ἀνθρώπων ἐς τήνδε τὴν ἡμέραν δεδηλῶσθαι οἶμαι. τὰς γὰρ ἀσπίδας τοῦ τε στρατηγοῦ καὶ τοῦ ἵππου προβεβλημένοι, τά τε βέλη πάντα ἐδέχοντο καὶ τοὺς ἀεὶ ἐπιόντας ὠθισμῷ χρώμενοι ἀπεκρούοντο. οὕτω τε ἡ ξυμβολὴ πᾶσα ἐς σῶμα ἑνὸς ἀπεκρίθη 20
ἀνδρός. ἐν τούτῳ τῷ πόνῳ πίπτουσι μὲν Γότθοι οὐχ ἧσσους ἢ χίλιοι, καὶ αὐτοὶ ἄνδρες οἳ ἐν τοῖς πρώτοις ἐμάχοντο, θνή-

6. *αὐτοῦ* om. HL. 7. *ἐστὶ Βελισάριος*] *ἐς βελισάριον* HL: illud Hoeschel. in annot. 8. *ἐς*] *ὡς* Vat. *ibid. πάντας*] *πάντα* HL. 15. *ἐν* om. HL. *ibid. ἀπέλαυσε*] *ἀπήλαυσέ* P. 17. *οἶμαι*] *εἶναι* HL. 20. *ξυμβολὴ*] *ξυμβουλὴ* L.

die ad illos concesserant, simul Belisarium in prima acie praeliantem viderunt, haud ignari, si is occideret, extemplo Romanam rem collapsuram, sublato clamore, ad feriendum equum Balan hortati sunt. Hac inde voce per omnem didita Gotthorum exercitum, omittebant, ut fit in magno tumultu, quorsum ea spectaret, quaerere, nec Belisarium plane noverant: at conicctantes id monitum non abs re quoquoversum manare, omissis caeteris, in Belisarium plerique tela torquebant. Ac iam eorum generosissimi quique, acribus impulsi gloriae stimulis, equis proxime admotis, nitebantur illum prehendere, et vehementi ira abrepti, hastis et gladiis feriebant. Belisarius vero obvios, sine ulla intermissione, nunc hos, nunc illos necabat. Quo in discrimine maxime eluxit amor, quo illum hastati scutatique ipsius Protectores complectebantur. Ei namque circumfusi omnes, fortitudinis specimen dederunt, quale neminem hactenus edidisse crediderim. Siquidem Magistro militum eiusque equo praetentis clypeis tela omnia excipiebant, et eos, qui incurrebant, trudendo, non cessabant repellere. Ita demum omnis impetus in unius viri corpus furebat. In hac pugna ceciderunt e prima Gotthorum acie non minus

σκουσι δὲ τῆς Βελισαρίου οἰκίας πολλοί τε καὶ ἄριστοι, καὶ Μαξέντιος ὁ δορυφόρος, ἔργα μεγάλα ἐπὶ τοὺς πολεμίους ἐπιδειξάμενος. Βελισαρίῳ δὲ ξυνέβη τις τύχη ἐκείνῃ τῇ ἡμέρᾳ, μήτε τετρῶσθαι μήτε βεβολῆσθαι, καίπερ ἀμφ' αὐτῷ μόνῳ γενομένης τῆς μάχης. B

Τέλος δὲ ἀρετῇ τε τῇ σφετέρᾳ Ῥωμαῖοι τοὺς πολεμίους ἐτρέψαντο, ἔφευγέ τε πάμπολύ τι βαρβάρων πλῆθος, ἕως ἐς στρατόπεδον τὸ αὐτῶν ἵκοντο. ἐνταῦθα γὰρ οἱ Γότθων πεζοί, ἅτε ἀχμῆτες ὄντες, ὑπέστησάν τε τοὺς πολεμίους καὶ πόνῳ οὐδενὶ ἀπεώσαντο. βεβοηθηκότων τε αὖθις ἱππέων ἑτέρων κατὰ κράτος Ῥωμαῖοι ἔφυγον, ἕως ἀναβάντες ἔς τινα γεώλοφον ἔστησαν. καταλαβόντων δὲ σφᾶς βαρβάρων ἱππέων, αὖθις ἱππομαχία ἐγένετο. ἔνθα δὴ Βαλεντῖνος, ὁ Φωτίου τοῦ Ἀντωνίνης παιδὸς ἱπποκόμος, ἀρετῆς δήλωσιν ὡς μάλιστα ἐποιήσατο. μόνος γὰρ ἐσπηδήσας ἐς τὸν τῶν πολεμίων ὅμιλον ἐμπόδιός τε τῇ Γότθων ὁρμῇ ἐγεγόνει καὶ τοὺς ξὺν αὐτῷ διεσώσατο. οὕτω τε διαφυγόντες ἐς τὸν Ῥώμης περίβολον ἦλθον, διώκοντές τε οἱ βάρβαροι ἄχρι ἐς τὸ τεῖχος ἵκοντο, ἀμφὶ τὴν πύλην ἣ Βελισαρία ὀνόμασται νῦν. δείσαντες δὲ Ῥωμαῖοι μὴ τοῖς φεύγουσιν οἱ πολέμιοι ξυνεισβάλλοντες τοῦ περιβόλου ἐντὸς γένωνται, ἀνακλίνειν τὰς πύλας ἥκιστα ἤθελον, καίπερ Βελισαρίου πολλά τε σφίσιν ἐγκελευομένου καὶ ξὺν ἀπειλῇ ἀναβοῶντος. οὔτε γὰρ τὸν C D

8. μήτε — μήτε] Vulgo μηδὲ — μηδὲ. 7. ἔφευγε] ἔφυγε L. *ibid.* ἕως ἐς] ἐς om. L. 13. *Βαλεντῖνος*] βαλαντῖνος L. 18. *Βελισαρία*] *Salaria* Pers. Conf. p. 365 d.

mille; e Belisarii familia multi, iique fortissimi, et ipsius stipator Maxentius, cum in hostem praeclara facinora edidisset. Eo die Belisario sic favit fortuna, ut quamvis unus ipse praelio peteretur, nullo tamen affectus vulnere, nec missili percussus fuerit.

Tandem Romani virtute sua hostem fuderunt, nec fuga destitit Barbarorum ingens multitudo, donec ad castra sua pervenit: ubi Gotthorum pedites, recentes adhuc et integri, impetum hostium sustinuerunt, eosque facile propulerunt. Aliis subinde equitum turmis auxilio subeuntibus, effusa Romani fuga evaserunt in collem, ibique stetere. Equitibus vero Barbaris eos assecutis, equestris pugna redintegratur: in qua Valentinus, equiso Photii Antoninae filii, fortem animum maxime prodidit. Cum enim solus in hostile agmen insiluisset, represso Gotthorum impetu, iis, qui cum ipso erant, salutem peperit. Sic elapsi, ad moenia Romae contendunt: eodem feruntur insequentes Barbari, et ad portam, quae nunc dicitur Belisaria, veniunt. Veriti Romani, ne cum fugientibus irrumpens hostis urbem intraret, nolebant portam aperire, enixe licet instante, et minaciter inclamante Belisario. Nempe qui despectabant e turri, virum,

ἄνδρα οἱ ἐκ τοῦ πύργου διακύπτοντες ἐπιγινώσκειν οἷοί τε ἦσαν, ἐπεί οἱ τό τε πρόσωπον καὶ ἡ κεφαλὴ ξύμπασα λύθρῳ τε καὶ κονιορτῷ ἐκαλύπτετο, ἅμα δὲ οὐδὲ καθορᾶν τις ἀκριβῶς εἶχεν. ἦν γὰρ τῆς ἡμέρας ἀμφὶ ἡλίου δύσιν. οὐ μὴν οὐδὲ περιεῖναι τὸν στρατηγὸν Ῥωμαῖοι ᾤοντο. ὅσοι γὰρ ἐν τῇ πρότερον γενόμενοι τροπῇ φεύγοντες ἦκον, τεθνάναι Βελισάριον ἐν τοῖς πρώτοις ἀριστεύοντα ἤγγελον. ὁ μὲν οὖν ὅμιλος τῶν πολεμίων ῥεύσας τε πολὺς καὶ θυμῷ μεγάλῳ ἐχόμενος, τήν τε τάφρον εὐθὺς διαβῆναι καὶ τοῖς φεύγουσιν ἐνταῦθα ἐπιθέσθαι διενοοῦντο. Ῥωμαῖοι δὲ ἀμφὶ τὸ τεῖχος ἀθρόοι τῆς τάφρου ἐντὸς γεγενημένοι ἐν χρῷ ξυνιόντες ἀλλήλοις ἐς ὀλίγον ξυνήγοντο. οἱ μέντοι περιβόλου ἐν-
P 357 τὸς, ἅτε ἀστρατήγητοι τε καὶ ἀπαράσκευοι παντάπασιν ὄντες, καὶ περὶ σφίσι τε αὐτοῖς καὶ τῇ πόλει πεφοβημένοι, ἀμύνειν τοῖς σφετέροις, καίπερ ἐς τοσοῦτον κινδύνου ἐληλυθόσιν, οὐδαμῇ εἶχον.

Τότε Βελισάριον ἔννοιά τε καὶ τόλμα εἰσῆλθεν, ᾗ Ῥωμαίοις ἐκ τοῦ ἀπροσδοκήτου τὰ πράγματα διεσώσατο. ἐγκελευσάμενος γὰρ τοῖς ξὺν αὐτῷ πᾶσιν ἐξαπιναίως τοῖς ἐναντίοις ἐνέπεσεν. οἱ δὲ καὶ πρότερον ἀκοσμίᾳ πολλῇ, ἅτε ἐν σκότῳ καὶ διώξει, χρώμενοι, ἐπεὶ σφίσιν ἐπιόντας παρὰ δόξαν τοὺς φεύγοντας εἶδον, ὑποτοπήσαντες καὶ ἄλλο ἐκ τῆς πόλεως βεβοηθηκέναι στράτευμα,
B ἐς φόβον τε πολὺν ἀπ' αὐτοῦ καταστάντες κατὰ κράτος ἤδη ἅπαντες ἔφευγον. Βελισάριος δὲ ἧκιστα ἐκπεσὼν ἐς τὴν δίωξιν
H 194 αὐτίκα ἐς τὸ τεῖχος ἀνέστρεψεν. οὕτω τε Ῥωμαῖοι θαρσήσαντες
V 35 αὐτόν τε καὶ τοὺς ἀμφ' αὐτὸν ἅπαντας τῇ πόλει ἐδέξαντο. παρὰ

cuius vultum adeoque totum caput concretus sudore pulvis tegebat, agnoscere minime poterant. Quin etiam clarum omnibus visum auferebat occasus Solis: praeterea Romani Magistrum mil. occidisse existimabant. Etenim quicunque priori in fuga sese urbi commiserant, Belisarium inter primos fortiter pugnantem occubuisse renuntiarant. Confluentes magno numero Barbari, itaque ardentes, transvolare fossam, et illos, qui se ultra receperant, invadere meditabantur. Romani vero cis fossam ad moenia conferti, se in arctum coëgerant, sic, ut alter haereret alteri. Qui intra muros erant, cum nec Ducem haberent, ac prorsus imparati, sibi atque urbi metuerent, opem ferre suis nequibant, in tantum adductis periculum.

Tunc animum Belisarii audax subiit cogitatio, quae praeter expectationem rem Romanam servavit. Nam voce cunctis, qui circum aderant, animatis, in hostes impressionem repente fecit. Illi, iam ante et nocte et cursu admodum turbatis ordinibus, ubi in se ab iis, quos fugaverant, necopinato fieri viderunt impetum, alios ex urbe copias venisse subsidio suspicantes, gravi hinc subeunte metu, in fugam omnes consternantur. Sustinens se ab insequendo Belisarius, ad muros confestim redit. Quo erecti facto Romani, in urbem ipsum cum omnibus, quos du-

τοσοῦτον μὲν κινδύνου Βελισάριός τε καὶ τὰ βασιλέως πράγματα ἦλθεν, ἥ τε μάχη πρωὶ ἀρξαμένη ἐτελεύτα ἐς νύκτα. ἡρίστευσαν δὲ ἐν ταύτῃ τῇ μάχῃ Ῥωμαίων μὲν Βελισάριος, Γότθων δὲ Οὐίσανδος Βανδαλάριος, ὃς, ἡνίκα ἡ μάχη ἀμφὶ Βελισαρίῳ ἐγένετο, ἐπειδὴ αὐτῷ τὰ πρῶτα ἐπέπεσεν, οὐ πρότερον ἀπέστη ἕως τρισκαίδεκα πληγὰς λαβὼν τῷ σώματι ἔπεσε. δόξας δὲ αὐ- C τίκα τεθνάναι, ἠμελήθη τε πρὸς τῶν ἑταίρων, καίπερ νενικηκότων, καὶ ξὺν τοῖς νεκροῖς αὐτοῦ ἔκειτο. τρίτῃ δὲ ἡμέρᾳ ἐπειδὴ στρατοπεδευσάμενοι ἔγγιστα τοῦ Ῥώμης περιβόλου οἱ βάρβαροι ἔπεμψάν τινας ἐφ' ᾧ νεκρούς τε τοὺς σφετέρους θάψωσι καὶ τὰ νόμιμα ἐπὶ ὁσίᾳ τῇ ἐκείνων ποιήσωνται, οἱ τὰ σώματα διερευνώμενοι Οὐίσανδον Βανδαλάριον ἔτι ἔμπνουν εὑρίσκουσι, καὶ αὐτὸν τῶν τις ἑταίρων φωνήν τινά οἱ ἀφεῖναι ἠξίου. οὐδὲ γὰρ ἠδύνατο, ἐπεὶ οἱ τὰ ἐντὸς τῷ τε λιμῷ καὶ τῷ ἐκ τῆς ἄλλης κακο- παθείας αὐχμῷ λίαν ἐκαίετο, καὶ ὕδωρ οἱ ἐνθένδε ἐδέετο ἐς τὸ στόμα ἐμβάλλεσθαι. πιόντα τε αὐτὸν καὶ ἐν ἑαυτῷ γεγονότα ἀράμενοι ἐς τὸ στρατόπεδον ἤνεγκαν. μέγα τε ὄνομα Οὐίσαν- D δος Βανδαλάριος ἐκ τοῦ ἔργου τούτου ἐν Γότθοις ἔσχε, καὶ τὰ μάλιστα εὐδοκιμῶν πάμπολύν τινα ἐπεβίω χρόνον. ταῦτα μὲν οὖν τρίτῃ ἀπὸ τῆς μάχης ἡμέρᾳ γεγενῆσθαι ξυνέπεσε.

4. *Οὐίσανδος*] *οὐίσανδρος* L et Pers. 5. *αὐτῷ* om. HL. Ex Vat. addidit P. 6. *δόξας*] Vulgo *δόξαν*. 8. *ἐπειδὴ* om. L. 11. *ποιήσωνται*] *ποιήσονται* L. 12. *Οὐίσανδον*] *Visandrum* Pers., non L. *ibid. αὐτὸν*] *αὐτῶν* HL; illud Hm. 15. *ἐνθένδε*] *ἐνθένδεν* H. 16. *ἑαυτῷ*] *ἑαυτοῦ* L. 19. *ταῦτα*] *ταύτῃ* H. *ταῦτα* Hm.

cebat, accipiunt. Eo discriminis Belisarius, resque Imperatoris venerunt. Porro coeptum mane praelium nox diremit. Ac Romanorum quidem optime se in eo Belisarius gessit; Gotthorum vero Visandus Bandalarius: qui, fervente circa Belisarium Marte, in primo confligens ordine, non prius abstitit, quam corpore tredecim saucio vulneribus concidit. Illico expirasse visus, et a sociis, quamvis victoribus, pro occiso relictus, inter mortuos ibi iacuit. Die tertio, cum Barbari, ad Romae muros castra metati, misissent qui sues fato functos sepelirent, ac iusta ipsis funebria solverent, hi, dum perquirunt inspectantque cadavera, Visandum Bandalarium spirantem adhuc offendunt. Ex eo sodalium quidam vocem aliquam precibus conatur elicere. Silebat enim, absumptis ardore viribus, quem inedia aliaeque aerumnae in visceribus acuebant. Quocirca tandem petiit, ut aqua ori infunderetur. Potu refocillatum, levatumque humo, in castra portarunt. Magnum hinc nomen Visandus Bandalarius apud Gotthos adeptus, summa cum gloria diutissime superstes fuit. Haec die post pugnam tertio contigerunt.

Τότε δὲ Βελισάριος ἐπεὶ ἐν τῷ ἀσφαλεῖ ξὺν τοῖς ἑπομένοις ἐγένετο, στρατιώτας τε καὶ τὸν τῶν Ῥωμαίων δῆμον σχεδόν τι ἅπαντα ἐς τὸ τεῖχος ἀγείρας, πυρά τε πολλὰ καίειν καὶ τὴν νύκτα ὅλην ἐγρηγορέναι ἐκέλευε. καὶ τὸν περίβολον περιὼν κύκλῳ τά τε ἄλλα διεῖπε καὶ πύλῃ ἑκάστῃ τῶν τινα ἀρχόντων ἐπέστησε. Βέσσας δὲ, ὃς ἐν πύλῃ τῇ καλουμένῃ Πραινεστίνῃ φυλακὴν ἔσχεν, ἄγγελον παρὰ Βελισάριον πέμψας ἐκέλευε λέγειν ἔχεσθαι πρὸς τῶν πολεμίων τὴν πόλιν, δι' ἄλλης πύλης ἐσβεβληκότων, ἣ ὑπὲρ
P 358 *ποταμὸν Τίβεριν Παγκρατίου ἀνδρὸς ἁγίου ἐπώνυμος οὖσα. ταῦτα ἀκούσαντες ὅσοι ἀμφὶ Βελισάριον ἦσαν, σώζεσθαι ὅτι τάχιστα διὰ πύλης ἑτέρας παρῄνουν. αὐτὸς μέντοι οὐδὲν κατωρρώδησεν, οὐδὲ τὸν λόγον ὑγιᾶ ἴσχυρίζετο εἶναι. ἔπεμψε δὲ καὶ τῶν ἱππέων τινὰς ὑπὲρ ποταμὸν Τίβεριν κατὰ τάχος, οἵ τὰ ἐκείνῃ ἐπισκεψάμενοι οὐδὲν πολέμιον τῇ πόλει ἐνταῦθα ξυμβῆναι ἀπήγγελον. πέμψας οὖν εὐθὺς ἐς πύλην ἑκάστην ἄρχουσι τοῖς παν-*
ταχῇ οὖσιν ἐπέστελλεν ὥστε, ἐπειδὰν τοὺς πολεμίους ἀκούσωσιν κατ' ἄλλην τινὰ τοῦ περιβόλου ἐσβεβληκέναι μοῖραν, μήτε ἀμύ-
B *νειν μήτε φυλακὴν τὴν σφετέραν ἐκλιπεῖν, ἀλλ' ἡσυχῇ μένειν· αὐτῷ γὰρ ὑπὲρ τούτων μελήσειν. ἔπρασσε δὲ ταῦτα, ὅπως μὴ ἐκ φήμης οὐκ ἀληθοῦς ἐς ταραχὴν αὖθις καθιστῶνται. Οὐίτιγις δὲ, Ῥωμαίων ἔτι ἐν θορύβῳ πολλῷ καθεστώτων, ἐς πύλην Σαλαρίαν τῶν τινα ἀρχόντων, Οὔακιν ὄνομα, ἔπεμψεν, οὐκ ἀφανῆ ἄνδρα. ὃς ἐνταῦθα ἐλθὼν καὶ Ῥωμαίους τῆς ἐς Γότθους*

1. δὲ] δὴ L. 2. τε et τὸν om. L. 6. *Πραινεστίνῃ*] πενεστρίνῃ HL. 9. *ἁγίου ἀνδρὸς οὖσα ἐπώνυμος* HL, nisi quod H ἁγίου om., quod in annot. supplet Hoeschel.

Tunc autem Belisarius cum suis in tutum receptus, coactis ad muros militibus ac populo Rom. fere universo, iniunxit, crebros ignes accenderent, ac totam noctem vigilarent. Moenia deinde circumiens, cum caetera provisit, tum singulis portis singulos Duces apposuit. Sub haec Bessas, portae Praenestinae custos, ad Belisarium misit, qui nuntiaret, urbem ab hostibus teneri, per eam ingressis portam, quae ultra Tiberim est, et a sancto Pancratio nomen habet. His auditis, qui Belisarium circumstabant, ut per aliam portam evaderet, auctores erant. At ille intrepidus, et falsa afferri asserens, nulla interposita mora, trans fluv. Tiberim aliquot misit equites: qui, regione explorata, nihil ibi hostile urbi incidisse retulerunt. Quamobrem ad singulas portas e vestigio mittit Ducibus, ubivis positis, si forte hostem alia muri parte irrupisse audierint, ne suppetias ferant, neu de statione decedant, sed in ea taciti maneant; sibi enim caetera curae fore. Haec eo agebat consilio, ne falso rumore iterum turbarentur. Adhuc Roma tumultu trepido plena erat, cum Vitigis ad portam Salariam Vacin Ducem, virum non ignobilem, destinat. Quo ille cum accessisset, Romanis perfidiam in

ἀπιστίας κακίσας τὴν προδοσίαν ὠνείδιζεν, ἣν αὐτοὺς ἐπί τε τῇ πατρίδι πεποιῆσθαι καὶ σφίσιν αὐτοῖς ἔλεγεν, οἳ τῆς Γότθων δυνάμεως Γραικοὺς τοὺς σφίσιν οὐχ οἵους τε ἀμύνειν ὄντας ἠλλάξαντο, ἐξ ὧν τὰ πρότερα οὐδένα ἐς Ἰταλίαν ἥκοντα εἶδον, ὅτι μὴ τραγῳδοὺς καὶ μίμους καὶ ναύτας λωποδύτας. ταῦτά τε καὶ C πολλὰ τοιαῦτα Οὐακις εἰπών, ἐπεὶ οἱ οὐδεὶς ἀπεκρίνατο, ἐς Γότθους τε καὶ Οὐίτιγιν ἀνεχώρησε. Βελισάριος δὲ γέλωτα πολὺν πρὸς Ῥωμαίους ὤφλεν, ἐπεὶ μόλις τοὺς πολεμίους διαφυγὼν θαρσεῖν τε ἤδη καὶ περιφρονεῖν τῶν βαρβάρων ἐκέλευεν. εὖ γὰρ εἰδέναι ὡς κατὰ κράτος αὐτοὺς νικήσει. ὅπως δὲ τοῦτο καταμαθὼν ἔγνω, ἐν τοῖς ὄπισθεν λόγοις εἰρήσεται. ἐπεὶ δὲ πόρρω ἦν τῶν νυκτῶν, νῆστιν ἔτι Βελισάριον ὄντα ἥ τε γυνὴ καὶ τῶν ἐπιτηδείων ὅσοι παρῆσαν ἄρτου βραχέος κομιδῆ γεύσασθαι μόλις ἠνάγκαζον. ταύτην μὲν οὖν τὴν νύκτα οὕτως ἑκάτεροι διενυκτέρευσαν.

ιθ'. Τῇ δὲ ἐπιγενομένῃ ἡμέρᾳ Γότθοι μὲν Ῥώμην πολιορ- D
κίᾳ εἷλεῖν διὰ μέγεθος τῆς πόλεως οὐδενὶ πόνῳ οἰόμενοι, Ῥωμαῖοι V 36
δὲ αὐτοῖς ἀμυνόμενοι ἐτάξαντο ὧδε. ἔχει μὲν τῆς πόλεως ὁ πε- H 195
ρίβολος δὶς ἑπτὰ πύλας καὶ πυλίδας τινάς. Γότθοι δὲ οὐχ οἷοί
τε ὄντες ὅλον στρατοπέδῳ τὸ τεῖχος περιλαβέσθαι, κύκλῳ ἐξ
ποιησάμενοι χαρακώματα πέντε πυλῶν χῶρον ἠνώχλουν, ἐκ τῆς
Φλαμινίας ἄχρι ἐς τὴν καλουμένην Πραινεστίναν· ταῦτά τε αὖ- P 359

5. λωποδύτας] καὶ λωποδύτας Classenus. 10. νικήσει L corr. et Maltretus. Vulgo νικήσειν. 14. ἠνάγκαζον] ἠνάγκασαν L. ibid. οὕτως] Vulgo οὕτω. 18. αὐτοῖς] αὐτῆς Vat. Nisi haec lectio ad p. 359 a. pertinet. 20. περιλαβέσθαι] περιβαλέσθαι L corr. 22. Πραινεστίναν] πενεστρίναν HL. ibid. αὐτοῖς] αὐτῆς HL.

Gotthos obiecit, ac proditionem exprobravit, quam, ut dicebat, in se ipsi et patriam cuderant, Gotthorum potentia posthabita Graecis, qui tueri ipsos non possent, et a quibus profectum neminem vidisset unquam Italia, nisi Tragoedos, Mimes ac piratas. Haec aliaque eiusmodi plurima locutus Vacis, cum ei nemo responderet, ad Gotthos et Vitigin rediit. Romanis vero dignissimus risu Belisarius videbatur, qui ex hostibus aegre elapsus, bono esse iuberet animo, Barbarosque contemnere, nec dubitare se diceret, quin eos vi debellaret. Id quo pacto edoctus sciret, dicetur postea. Provecta nox erat, cum Belisarium, adhuc impastum, uxor et familiares quicunque aderant, vix ut frustum panis ederet perpulerunt. Sic demum hanc utrique noctem egerunt.

19. Postero die Gotthi, qui urbem facillime, ob ipsius amplitudinem, obsidione se capturos putabant, et Romani, salutis suae propugnatores, ita se ordinarunt. Habent urbis moenia maiores portas XIV. et minores aliquot. Spatium, quod portis maioribus quinque, a Flaminia ad Praenestinam, comprehenditur, infestare Gotthi aggressi sunt, castris

τοῖς τὰ χαρακώματα ξύμπαντα ἐντὸς Τιβέριδος ποταμοῦ ἐπεποίηντο. δείσαντες οὖν οἱ βάρβαροι μὴ τὴν γέφυραν διαφθείραντες οἱ πολέμιοι, ἣ Μιλβίου ἐπώνυμός ἐστιν, ἄβατα σφίσι ποιήσονται ἅπαντα ὅσα ἐκτὸς ποταμοῦ ἐστι διήκοντα μέχρι ἐς θάλασσαν, καὶ ἀπ' αὐτοῦ αἴσθησιν τῶν ἐν τῇ πολιορκίᾳ κακῶν ἥκιστα ἔχοιεν, χαράκωμα δὴ ἕβδομον Τιβέριδος ἐκτὸς ἐν Νέρωνος πεδίοις ἐπήξαντο, ὅπως σφίσιν ἡ γέφυρα τῶν στρατοπέδων ἐν μέσῳ εἴη. διὸ δὴ ἄλλας δύο τῆς πόλεως πύλας ἐνοχλεῖσθαι πρὸς τῶν πολεμίων ξυνέβαινε, τήν τε Ἀὐρηλίαν (ἣ νῦν Πέτρου
B τοῦ τῶν Χριστοῦ ἀποστόλων κορυφαίου, ἅτε που πλησίον κειμένου, ἐπώνυμός ἐστι) καὶ τὴν ὑπὲρ τὸν ποταμὸν Τίβεριν. οὕτω τε Γότθοι τῷ στρατοπέδῳ τὴν ἡμίσειαν μάλιστα περιεβάλοντο τοῦ τείχους μοῖραν, ἅτε δὴ τῷ ποταμῷ οὐδαμῇ τὸ παράπαν εἰργόμενοι, ἐς ἅπαντα τὸν περίβολον κύκλῳ, ἡνίκα ἐβούλοντο, τῷ πολέμῳ ἦσαν. ὄντινα δὲ τρόπον Ῥωμαῖοι τοῦ ποταμοῦ ἑφ' ἑκάτερα τὸ τῆς πόλεως τεῖχος ἐδείμαντο ἐρῶν ἔρχομαι. πολὺς μὲν ὁ Τίβερις παραρρέων ἐπὶ πλεῖστον τοῦ περιβόλου ἐφέρετο τῇδε. ὁ δὲ χῶρος οὗτος, ἐφ' οὗ ὁ περίβολος κατὰ τὸν ῥοῦν τοῦ ποταμοῦ ἀνέχει, ὕπτιός τε καὶ λίαν εὐέφοδός ἐστι. τούτου δὲ ἀντικρὺ τοῦ χώρου, ἐκτὸς τοῦ Τιβέριδος, λόφον τινὰ μέγαν ξυμβαίνει εἶναι, ἔνθα δὴ οἱ τῆς πόλεως μύλωνες ἐκ παC λαιοῦ πάντες πεποίηνται, ἅτε ὕδατος ἐνταῦθα πολλοῦ διὰ μὲν τοῦ ὀχετοῦ ἀγομένου ἐς τὴν τοῦ λόφου ὑπερβολήν, ἐς τὸ κάταν-

3. *Μιλβίου*] μολβίου Reg. μολιβίου HL, sed μολβίου uterque marg. *Milvium pontem* Pers. 4. ἐκτὸς π.] ἐκ τοῦ HL. 15. ἦσαν] ἦσαν Classenus. 17. παραρρέων] παραρέων L.

sex circumiectis, propterea quod muros omnes non poterant vallo intersepire: castra autem haec omnia cis flumen Tiberim locarunt. Veriti etiam Barbari, ne hostis, rupto ponte, quem vocant Milvium, eriperet ipsis transitum in oram omnem, quae trans fluvium ad mare usque patet, eoque pacto nullum sentiret obsidionis incommodum, ultra Tiberim vallum septimum in Neronis campo fixerunt, ut pontem inter castra positum haberent. Itaque ab hostibus infestae fuerunt portae aliae duae, videlicet Aurelia, insignis iam Petri nomine, qui Princeps fuit Apostolorum Christi, ac prope illam conditus iacet, et Transtiberina. Atque ita Gotthi ad summum dimidiam murorum partem castris complexi, nec amne usquam prohibiti, moenia, quacunque vellent, oppugnatum ibant. Quo autem modo Romani muris fluvium interceperint, explicabo. Tiberis, copiosus aquis, longe moenia praeterfluebat. Locus autem, in quo flumini murus imminet propius, planus est et valde faciles habet aditus. E regione, trans Tiberim, magnus collis eminet, ibique omnes urbis moletrinae iam inde olim extructae sunt: quippe magna aquae vis per alveum structilem ad collis verticem deducta, inde vehementi cum impetu

τες δὲ ξὺν ῥύμῃ μεγάλῃ ἐνθένδε ἰόντος. διὸ δὴ οἱ πάλαι Ῥωμαῖοι τόν τε λόφον καὶ τὴν κατ' αὐτὸν τοῦ ποταμοῦ ὄχθην τείχει περιλαβεῖν ἔγνωσαν, ὡς μὴ τοῖς πολεμίοις δυνατὰ εἴη τούς τε μύλωνας διαφθεῖραι καὶ ποταμὸν διαβᾶσιν εὐπετῶς τῷ τῆς πόλεως περιβόλῳ ἐπιβουλεύειν. ζεύξαντες οὖν ταύτῃ τὸν ποταμὸν τῇ γεφύρᾳ, ξυνάπτειν τε τὸ τεῖχος ἔδοξαν καὶ οἰκίας συχνὰς ἐν χωρίῳ τῷ ἀντιπέρας δειμάμενοι μέσον τῆς πόλεως τὸ Τιβέριδος πεποίηνται ῥεῦμα. ταῦτα μὲν δὴ ὧδέ πη ἔσχεν.

Γότθοι δὲ τάφρους βαθείας ἀμφὶ τὰ χαρακώματα ξύμ- D
παντα ὤρυξαν, καὶ τὸν χοῦν, ὃν ἐνθένδε ἀφείλοντο, ξυννήσαντες ὑπὲρ τοῦ τοίχου τοῦ ἔνδον, ὑψηλόν τε ὡς μάλιστα αὐτὸν ποιησάμενοι καὶ σκολόπων ὀξέων καθύπερθεν πάμπολύ τι χρῆμα πηξάμενοι, οὐδέν τι καταδεέστερον τῶν ἐν τοῖς φρουρίοις ὀχυρωμάτων τὰ στρατόπεδα πάντα εἰργάσαντο. καὶ χαρακώματος μὲν τοῦ ἐν Νέρωνος πεδίῳ Μαρκίας ἦρχεν (ἤδη γὰρ ἐκ Γαλλιῶν ξὺν τοῖς ἑπομένοις ἀφῖκτο, ξὺν οἷς ἐνταῦθα ἐστρατοπέδευσε), τῶν δὲ ἄλλων Οὐίτιγις ἡγεῖτο ἕκτος αὐτός. ἄρχων γὰρ ἦν εἷς κατὰ χαράκωμα ἕκαστον. Γότθοι μὲν οὕτω ταξάμενοι διεῖλον τοὺς ὀχετοὺς ἅπαντας, ὅπως δὴ ὕδωρ ὡς ἥκιστα ἐς τὴν πόλιν ἐνθένδε εἰσίοι. Ῥώμης δὲ ὀχετοὶ τεσσαρεσκαίδεκα μὲν τὸ πλῆ- P 360
θός εἰσιν, ἐκ πλίνθου δὲ ὠπτημένης τοῖς πάλαι ἀνθρώποις πεποίηνται, ἐς τοσοῦτον εὔρους καὶ βάθους διήκοντες ὥστε ἀν-

3. μὴ] Vulgo μήτε. 9. δὲ] τὲ HL. 10. ξυννήσαντες] Vulgo ξυνδήσαντες. ξυνήσαντες L. 12. καθύπερθεν] καθύπερθε L. 15. πεδίῳ] Vulgo πεδίον. *ibid.* Γαλλιῶν P. γαλλίων HL. Fortasse igitur Γαλλίας. Conf. var. lect. p. 352 a. 20. τεσσαρεσκαίδεκα L. ιδ' P. 21. ἐκ] οἱ ἐκ Hm. *ibid.* δὲ om. HL.

is declive labitur. Quamobrem veteres Romani collem hunc et adversam fluminis ripam muro claudere statuerunt, ut hostes nec moletrinas disturbare, nec, amne transito, in muros urbis movere quidquam facile possent. Igitur cum illic fluvium ponte iunxissent, placuit murum illi committere, multisque in opposita regione aedificatis domibus, effectum est, ut urbem Tiberis interlueret. Sed haec hactenus.

Gotthi vero, cum fossas altas castris omnibus praeduxissent, terram, quam inde egesserant, coagmentantes, illam extra interiorem parietem altius exaggerarunt, ac superinfixis stipitibus praeacutis quamplurimis, castra singula non minus, quam castellorum propugnacula, munierunt. Ac vallo quidem, quod in campo Neronis erat, Marcias praerat: iam enim cum suis e Gallia reversus, ibi castra posuerat. Caetera autem Vitigis moderabatur, Sextus ipse: nam unumquodque Praefectum habebat suum. Hoc dispositi modo Gotthi, aquaeductus omnes incidunt, ut inde urbs nihil aquae accipiat. Sunt aquaeductus Romae XIV. numero, e coctili latere structi quondam, adeo lati altique, ut eques intra illos equitare

θρώπῳ ἵππῳ ὀχουμένῳ ἐνταῦθα ἱππεύειν δυνατὰ εἶναι. Βελισάριος δὲ τὰ ἐς τὴν φυλακὴν τῆς πόλεως διεκόσμει ὧδε. πυλίδα
V 37 μὲν αὐτὸς τὴν Πιγκιανὴν καὶ πύλην τὴν ταύτης ἐν δεξιᾷ εἶχεν, ἣ Σαλαρία ὠνόμασται. κατὰ ταύτης γὰρ ἐπίμαχός τε ὁ περίβολος ἦν καὶ Ῥωμαίοις ἐξιτητὰ ἐπὶ τοὺς πολεμίους ὄντα ἐτύγχανε. Πραινεστίναν δὲ Βέσσᾳ ἔδωκε. καὶ τῇ Φλαμινίᾳ, ἣ Πιγκιανῆς
B ἐπὶ θάτερά ἐστι, Κωνσταντῖνον ἐπέστησε, τάς τε πύλας ἐπιθεὶς πρότερον, καὶ λίθων μεγάλων οἰκοδομίᾳ ἔνδοθεν αὐτὰς ἀποφράξας ὡς μάλιστα, ὅπως δὴ αὐτὰς μηδενὶ ἀνακλίνειν δυνατὰ εἴη. τῶν γὰρ χαρακωμάτων ἐνὸς ἀγχοτάτω ὄντος ἔδεισε μή τις ἐπὶ τῇ πόλει ἐνέδρα πρὸς τῶν πολεμίων ἐνταῦθα ἔσται. τὰς δὲ λειπομένας τῶν πεζικῶν καταλόγων τοὺς ἄρχοντας διαφυλάσσειν ἐκέλευσε. τῶν δὲ ὀχετῶν ἕκαστον ὡς ἀσφαλέστατα οἰκοδομίᾳ ἐπὶ πλεῖστον κατέλαβε, μή τις ἔξωθεν κακουργήσων ἐνταῦθα ἴοι.

Ἐπεὶ δὲ τῶν ὀχετῶν, καθάπερ μοι εἴρηται, διαιρεθέντων οὐκέτι τὰς μύλας τὸ ὕδωρ ἐνήργει, ζῴοις τέ τισιν ἐργάζεσθαι
H 196 αὐτὸ οὐδαμῇ εἶχον, τροφῆς ἁπάσης ἄτε ἐν πολιορκίᾳ σπανίζον-
C τες, οἵ γε καὶ ἵππων μύλις τῶν σφίσιν ἀναγκαίων ἠδύναντο ἐπιμελεῖσθαι, Βελισάριος ἐξεῦρε τόδε. ἔμπροσθεν τῆς γεφύρας, ἧς ἄρτι πρὸς τῷ περιβόλῳ οὔσης ἐμνήσθην, σχοίνους ἀρτήσας ἔξ ἑκατέρας τοῦ ποταμοῦ ὄχθης ὡς ἄριστα ἐντεταμένας, ταύταις τε λέμβους δύο παρ' ἀλλήλοις ξυνδήσας, πόδας δύο ἀπ' ἀλλή-

4. *Σαλαρία*] *σαλαρίνα* HL. *ibid. ταύτης*] *ταύτας* L. 6. *Πραινεστίναν*] *πανεστρίναν* HL. 7. *Κωνσταντῖνον*] *κωνσταντιανὸν* HL. 14. *ἴοι*] *εἴη* HL. 15. *τῶν ὀχετῶν — ἐνήργει*] Suidas s. v. *μύλη*. 17. *αὐτό*] *αὐτὸν* H. *αὐτὰς* L. *ibid. ἄτε*] *τε* HL.

possit. At Belisarius urbis custodiae sic providit. Portam ipse minorem Pinciauam, et maiorem, quae a dextera huius est, ac Salaria dicitur, insedit; quia partis illius murus expugnari facile poterat, et in hostes exitum Romanis dabat. Praenestinam Bessae assignavit: Constantino Flaminiam, a laeva Pinciauae sitam, commisit, occlusis prius foribus, et magnorum strue lapidum intus optime communitis, ne quis posset eas recludere. Cum enim unum ex vallis hostilibus proximum esset, ne quas ibi insidias urbi hostes molirentur timebat. Reliquarum custodiam Ducibus numerorum pedestrium demandavit. Singulos aquaeductus denso pariete firmissime obstruxit, ne quis infensus eo extrinsecus illaberetur.

Et quoniam, aquaeductibus, uti dixi, incisis, aqua molas non versabat amplius, neque id iumentorum opera fieri poterat, re cibaria penitus, ut fit in obsidione, defectis Romanis, qui vix habebant quo equos sibi necessarios sustentarent, artem hanc Belisarius excogitavit. Pro ponte, quem moenibus commissum dicebam modo, aptatis funibus, et ab utraque fluminis ripa validissime tentis, binos lembos colligavit, bipedali

λων διέχοντας, ᾗ μάλιστα ἡ τῶν ὑδάτων ἐπιῤῥοὴ ἐκ τοῦ τῆς γεφύρας κυρτώματος ἀκμάζουσα κατῄει. μύλας τε δύο ἐν λέμβῳ ἑκατέρῳ ἐνθέμενος ἐς τὸ μεταξὺ τὴν μηχανὴν ἀπεκρέμασεν, ᾗ τὰς μύλας στρέφειν εἰώθει. ἐπέκεινα δὲ ἄλλας τε ἀκάτους ἐχομένας τῶν ἀεὶ ὄπισθεν κατὰ λόγον ἐδέσμευε, καὶ τὰς μηχανὰς τρόπῳ τῷ αὐτῷ ἐπὶ πλεῖστον ἐνέβαλε. προϊούσης οὖν τῆς τοῦ D ὕδατος ῥύμης αἱ μηχαναὶ ἐφεξῆς ἅπασαι ἐφ' ἑαυτὰς κυλινδούμεναι ἐνήργουν τε τὰς κατ' αὐτὰς μύλας καὶ τῇ πόλει τὰ αὐτάρκη ἤλουν. ἃ δὴ οἱ πολέμιοι πρὸς τῶν αὐτομόλων γνόντες ἀφανίζουσι τὰς μηχανὰς τρόπῳ τοιῷδε. δένδρα μεγάλα καὶ Ῥωμαίων σώματα νεοσφαγῆ ἐς τὸν ποταμὸν ξυμφοροῦντες ἐρρίπτουν. τούτων τε τὸ πλεῖστα ξὺν τῷ ῥεύματι ἐς μέσα τὰ σκάφη φερόμενα τὴν μηχανὴν ἀπεκαύλιζε. Βελισάριος δὲ κατιδὼν τὰ ποιούμενα προσεπετεχνήσατο τάδε. ἁλύσεις μακρὰς σιδηρᾶς πρὸς τῇ γεφύρᾳ ἤρτυσεν, ἐξικνουμένας ἐς Τίβεριν ὅλον. αἷς δὴ προσπίπτοντα ξύμπαντα, ὅσα ὁ ποταμὸς ἔφερε, ξυνίστατό τε καὶ οὐκέτι ἐς τὰ πρόσω ἐχώρει. ταῦτά τε ἀνέλκοντες ἀεὶ οἷς τὸ ἔργον τοῦτο ἐπέκειτο ἐς τὴν γῆν ἔφερον. ταῦτα δὲ ἐποίει οὐ τοσοῦ- P 361
τον τῶν μυλῶν ἕνεκα ἢ ὅτι, ὅσον ἐνθένδε ἐς δέος τε καὶ ἔννοιαν ἦλθε, μὴ λάθωσιν ἀκάτοις πολλαῖς οἱ πολέμιοι ἐντὸς τῆς γεφύρας καὶ ἐν μέσῃ πόλει γενόμενοι. οὕτω τε οἱ βάρβαροι τῆς πείρας, ἐπεὶ οὐδὲν σφίσι ταύτῃ προὐχώρει, ἀπέσχοντο. καὶ τὸ λοιπὸν Ῥωμαῖοι τούτοις μὲν τοῖς μύλωσιν ἐχρῶντο, τῶν δὲ βα-

7. ῥύμης] ῥώμης H. 23. βαλανείων] βαλλανείων L.

inter utrumque relicto spatio, qua maiori impetu e pontis fornice aqua decurrebat. Tum duabus molis utrique lembo impositis, in medio machinam, qua molae volvi solent, suspendit. Alios continenter lenunculos ad eorum rationem, qui pone erant, connexuit, ac machinas eodem modo immisit: quae omnes ordine, profluentis aquae vi, circumactae, appositas sibi molas ciebant, et quantum urbi opus erat, molebant. Quae cum hostes ex transfugis cognovissent, hac arte machinas everterunt. Magnas arbores et Romanorum nuper occisorum cadavera ad fluvium comportantes, mittebant in profluentem. Horum pars maxima, secundo amne in medias devecta scaphas, machinam fregit. Re Belisarius animadversa, priori huic invento addidit. Late, per totum Tiberis alveum, oblongas praetendit ponti catenas ferreas: in quas omnia, quae deferebat flumen, sic incurrebant, ut ibi colligerentur, nec ultra procederent. Ea vero indesinenter trahentes, qui hoc munus susceperant, in terram subducebant. Id Belisarius non tam molarum causa agebat, quam quia metu et suspicione hac pulsabatur, ne hostes multis lembis invecti, cis pontem et in mediam urbem clam penetrarent. Sic tandem Barbari incepto iam irrito abstitere: et huiusmodi quidem moletrinis Romani dein-

λανείων τοῦ ὕδατος τῇ ἀπορίᾳ παντάπασιν ἀπεκέκλειντο. ὕδωρ μέντοι ὅσον πιεῖν διαρκὲς εἶχον, ἐπεὶ καὶ τοῖς τοῦ ποταμοῦ ἑκαστάτω οἰκοῦσι παρῆν ἐκ φρεάτων ὑδρεύεσθαι. ἐς δὲ τοὺς ὑπονόμους, οἵπερ ἐκ τῆς πόλεως, εἴ τι οὐ καθαρὸν, ἐκβάλλουσιν ἔξω, ἀσφάλειαν ἐπινοεῖν οὐδεμίαν ἠνάγκαστο, ἐπεὶ ἐς τὸν ποτα-5
B μὸν Τίβεριν τὰς ἐκβολὰς ἔχουσιν ἅπαντες, καὶ διὰ τοῦτο οὐδεμίαν οἷόν τε τῇ πόλει ἐνθένδε πρὸς τῶν πολεμίων ἐπιβουλὴν γενέσθαι.

C V 38 κ'. Τὰ μὲν οὖν ἐς τὴν πολιορκίαν τῇδε Βελισαρίῳ διῳκητο. Σαμνιτῶν δὲ παῖδες πολλοὶ, πρόβατα ἐν χώρᾳ τῇ σφε-1
τέρᾳ ποιμαίνοντες, δύο τοὺς σώματος ἐν σφίσιν εὖ ἥκοντας ἀπολέξαντες, καὶ αὐτῶν ἕνα μὲν καλέσαντες ἐπὶ τοῦ Βελισαρίου ὀνόματος, Οὐΐτιγιν δὲ τὸν ἕτερον ὀνομάσαντες, παλαίειν ἐκέλευον. ὧν δὴ ἰσχυρότατα ἐς τὸν ἀγῶνα καθισταμένων, τὸν Οὐΐτιγιν δῆθεν ξυνηνέχθη πεσεῖν. καὶ αὐτὸν ὁ τῶν παίδων ὅμιλος παί-1
ζοντες ἀπὸ δένδρου ἐκρέμων. λύκου δὲ τύχῃ τινὶ ἐνταῦθα φανέντος οἱ μὲν παῖδες ἔφυγον ἅπαντες, ὁ δὲ ἀπὸ τοῦ δένδρου ἡρτημένος Οὐΐτιγις χρόνου οἱ τριβέντος ἐν ταύτῃ δὴ τῇ τιμωρίᾳ θνήσκει. καὶ ἐπεὶ ταῦτα ἐς Σαμνίτας ἔκπυστα ἐγεγόνει, οὔτε
D κόλασίν τινα ἐς τὰ παιδία ταῦτα ἐξήνεγκαν καὶ τὰ ξυμπεσόντα 2
ξυμβαλόντες νικήσειν κατὰ κράτος Βελισάριον ἰσχυρίζοντο. ταῦτα μὲν δὴ οὕτως ἐγένετο.

3. ὑδρεύεσθαι] ὑδρεύεσθαι L. superscr. a m. sec. 9. ἐς τὴν] πρὸς τὴν L Scaliger. ibid. διῳκητο Libri διφκήσατο. 16. ἀπὸ] ἐπὶ L a pr. m. ibid. ἐκρέμων L. ἐκρήμνων P. 18. οἱ excidit in P.

ceps usi sunt; balneis autem ipsos exclusit aquae penuria. Quod ad potum attinet, satis aquae habebant: cum ii, quorum domus erant a fluvio remotissimae, e puteis haurire possent. Denique cloacis, quae sordes et purgamenta urbis foras eiiciunt, nullam Belisarius cautionem adhibere necesse habuit. Etenim quia cunctae in fluv. Tiberim se exonerant, propterea nullus ibi locus erat insidiis hostium.

20. Ita quidem obsidioni ferendae necessaria disposuit Belisarius; multi vero Samnites pueri, qui oves in agro suo pascebant, cum duos delegissent corpore valentiores, et Belisarium vocassent alterum, alterum Vitigin, luctari ambos iusserunt. Certamine validissime inito, cadit Vitigis: hunc puerorum turba ex arbore per ludum suspendit: viso tum forte lupo, pueri omnes se in pedes conilciunt: suspensus ex arbore Vitigis, in eo cruciatu derelictus diutius, moritur. Quo Samnites audito, poenam quidem ex pueris nullam, sed coniecturam ex illo casu ceperunt certissimam, ut dicebant, victorem belli vi Belisarium forte. Haec ita contigerunt.

Ῥωμαίων δὲ ὁ δῆμος, τῶν ἐν πολέμῳ τε καὶ πόλιορκίᾳ κακῶν ἀήθεις παντάπασιν ὄντες, ἐπειδὴ τῇ μὲν ἀλουσίᾳ ἐπιέζοντο καὶ τῶν ἀναγκαίων τῇ ἀπορίᾳ, φυλάσσειν δὲ ἄϋπνοι τὸν περίβολον ἠναγκάζοντο, καὶ τὴν πόλιν ἁλώσεσθαι οὐκ εἰς μακρὰν ὑπετόπαζον, ἅμα δὲ καὶ τοὺς πολεμίους ἑώρων τούς τε ἀγροὺς καὶ τἆλλα πάντα ληιζομένους, ἠσχαλλόν τε καὶ δεινὰ ἐποιοῦντο, εἰ οὐδὲν αὐτοὶ ἠδικηκότες πολιορκοῖντό τε καὶ ἐς τοσοῦτον κινδύνου μέγεθος ἥκοιεν. ἐν σφίσι τε αὐτοῖς ξυνιστάμενοι Βελισαρίῳ ἐκ τοῦ ἐμφανοῦς ἐλοιδοροῦντο, ὅς γε οὐκ ἀξιόχρεων πρὸς βασιλέως λαβὼν δύναμιν ἐτόλμησεν ἐπὶ Γότθους P 362
στρατεύεσθαι. ταῦτα δὲ καὶ οἱ ἐκ βουλῆς, ἣν σύγκλητον καλοῦσι, Βελισαρίῳ ἐν παραβύστῳ ὠνείδιζον. ἅπερ Οὐίτιγις πρὸς τῶν αὐτομόλων ἀκούσας ξυγκρούειν τε αὐτοὺς ἔτι μᾶλλον ἐθέλων καὶ ἐς πολλὴν ταραχὴν ἐμπεσεῖσθαι τὰ Ῥωμαίων πράγματα ταύ- H 197
τῃ οἰόμενος, πρέσβεις παρὰ Βελισάριον ἄλλους τε καὶ Ἄλβιγν ἔπεμψεν. οἳ, ἐπειδὴ ἐς ὄψιν τὴν Βελισαρίου ἀφίκοντο, παρόντων τε τῶν ἐκ βουλῆς καὶ ὅσοι τοῦ στρατοῦ ἄρχοντες ἦσαν, ἔλεξαν τοιάδε „Πάλαι, ὦ στρατηγέ, τοῖς ἀνθρώποις εὖ τε καὶ καλῶς διώρισται τὰ τῶν πραγμάτων ὀνόματα. ἐν οἷς ἓν τόδε ἐστί, θράσος κεχώρισται ἀνδρείας. τὸ μὲν γὰρ αὐτῶν οἷς ἂν προσγένοιτο, ξὺν ἀτιμίᾳ ἐς κινδυνον ἄγει, τὸ δὲ δόξαν ἀρετῆς B
ἱκανῶς φέρεται. τούτων θάτερόν σε εἰς ἡμᾶς ἤνεγκεν. ὁπότε-

4. ἠναγκάζοντο] ἠναγκάζετο L. 5. ἑώρων] Vulgo ἐώρουν. 6. ἠσχαλλον] ἤσχαλον L. 7. πολιορκοῖντό τε P et Scaliger. πολιορκεῖν τότε L. πολιορκοῦν τότε H. 12. ἐν παραβύστῳ om. L.

Populus vero Romanus, incommodorum belli obsidionisque omnino inscius, cum et illuvie et annonae penuria premeretur, atque in muris cogeretur excubare pervigil, ac venturam brevi urbem putaret in potestatem hostium, a quibus interea agros caeteraque omnia vastari videbat; graviter commotus indignabatur, quod immerens obsideretur, et in tantum discrimen veniret. Quare collecti cives, aperte Belisario maledicebant; quod ab Imperatore minoribus, quam par esset, copiis instructus, non dubitasset bellum suscipere Gotthicum. Eadem Patres Curiae, quam appellant Senatum, Belisario occulte exprobrabant. Quae cum Vitigis ex transfugis audisset, ut accenderet offensionem, qua rem Romanam valde turbatum iri existimabat, Legatos, in quibus erat Albes, ad Belisarium misit: qui ad eius conspectum admissi, praesentibus Senatoribus exactisque exercitus Ducibus, orationem hanc habuerunt. *Sapienter olim, Magister militum, assignarunt homines rerum nominibus certa discrimina: quorum e numero istud profertur: Temeritas a Fortitudine diversa est. Nam illa quidem si quos occupaverit, eos turpiter in periculum coniicit: haec vero virtutis laudem amplissimam refert. Harum certe altera te ad-*

ρον μέντοι, αὐτίκα δηλώσεις. εἰ μὲν γὰρ ἀνδρείᾳ πιστεύων ἐπὶ Γότθους ἐστράτευσας (ὁρᾷς γὰρ δή που ἀπὸ τοῦ τείχους καὶ τὸ τῶν πολεμίων στρατόπεδον), καὶ σοὶ ἀνδραγαθίζεσθαι, ὦ γεναῖε, διαρκῶς πάρεστιν· ἢν δέ γε θράσει ἐχόμενος ἐφ' ἡμᾶς ὥρμησαι, πάντως σοι καὶ μεταμελήσει τῶν εἰκῇ πεπραγμένων. τῶν γὰρ ἀπονενοημένων αἱ γνῶμαι, ὅταν ἐν τοῖς ἰγῶσι γένωνται, μετανοεῖν φιλοῦσι. νῦν οὖν μήτε Ῥωμαίοις τοῖσδε περαιτέρω τὴν ταλαιπωρίαν μηκύνεσθαι ποίει, οὓς δὴ Θευδέριχος ἐν βίῳ τρυφερῷ τε καὶ ἄλλως ἐλευθέρῳ ἐξέθρεψε, μηδὲ τῷ Γότθων τε καὶ Ἰταλιωτῶν δεσπότῃ ἐμποδὼν ἵστασο. πῶς γὰρ οὐκ ἄτοπον, σὲ μὲν οὕτω καθειργμένον τε καὶ τοὺς πολεμίους κατεπτηχότα ἐν Ῥώμῃ καθῆσθαι, τὴν δὲ ταύτης βασιλέα ἐν χαρακώμασι διατρίβοντα τὰ τοῦ πολέμου κακὰ τοὺς αὐτοῦ κατηκόους ἐργάζεσθαι; ἡμεῖς δὲ σοί τε καὶ τοῖς ἑπομένοις ποιεῖσθαι ἤδη τὴν ἄφοδον κατ' ἐξουσίαν παρέξομεν, ἅπαντα τὰ ὑμέτερα αὐτῶν ἔχουσι. τὸ γὰρ ἐπεμβαίνειν τοῖς τὸ σῶφρον μεταμαθοῦσιν οὔτε ὅσιον οὔτε ἄξιον τρόπου τοῦ ἀνθρωπίνου εἶναι νομίζομεν. ἡδέως δ' ἂν καὶ Ῥωμαίους ἔτι ἐροίμεθα τούσδε, τί ποτε ἄρα Γότθοις ἐπικαλεῖν ἔχοντες ἡμᾶς τε αὖ καὶ σφᾶς αὐτοὺς προὔδοσαν, οἵ γε τῆς μὲν ἡμετέρας ἐπιεικείας ἄχρι τοῦδε ἀπέλαυσαν, νῦν δὲ καὶ τῆς παρ' ἡμῶν ἐπικουρίας εἰσὶν ἔμπειροι."

11. καθειργμένον] καθειργόμενον L. 19. αὖ excidit in P. 20. ἀπέλαυσαν] ἀπήλαυσαν vulgo: quod fortasse ferendum in Procopio. 21. ἡμῶν] ὑμῶν HL.

versum nos impulit: utra autem ea sit, mox planum facies. Etenim si bellum Gotthis infers, fortitudine fretus, illius probandae facultas adest, praeclare vir; cum hostium castra moenibus adeoque tuis oculis subiecta sint. Sin armatus audacia in nos insurrexisti, facti utique temerarii te poenitet. Nam ubi in dimicationem ventum est, subire solet eorum animos poenitentia, qui rem ratione non inierunt. Nunc autem desine aerumnas his Romanis producere, quos Theodericus in deliciis ac summa libertate enutriit, nec iusto Gotthorum Italorumque domino impedimentum offer. Quo enim pacto non absurdum id fuerit, ut Romae sedeas inclusus, et prae hostium metu prodire renuens, dum urbis huius Rex, in castris agens, subditos suos belli damnis et incommodis afficit? Nos vero tibi tuisque potestatem dabimus abeundi cum rebus vestris. Nam nec fas, nec humanis moribus consentaneum esse ducimus, ad officium se et modestiam referentibus insultare. Quod ad Romanos spectat, lubenter eos interrogabimus, quo tandem crimine a Gotthis laesi, cum nos, tum se ipsi prodiderint, qui nostram hactenus experti benignitatem, iam etiam auxilium sibi a nobis oblatum vident.

Τοσαῦτα μὲν οἱ πρέσβεις εἶπον. Βελισάριος δὲ ἀμείβεται D
ὧδε „Ὁ μὲν τῆς ξυμβουλῆς καιρὸς οὐκ ἐφ' ὑμῖν κείσεται. γνώ- V 39
μῃ γὰρ τῶν πολεμίων εἰώθασιν ἥκιστα πολεμεῖν ἄνθρωποι, ἀλλ' αὐτόν τινα τὰ οἰκεῖα διατίθεσθαι νόμος, ὅπως ἂν αὐτῷ δοκῇ ὡς ἄριστα. φημὶ δὲ ὑμῖν ἀφίξεσθαι χρόνον, ἡνίκα ὑπὸ ταῖς ἀκάνθαις βουλόμενοι τὰς κεφαλὰς κρύπτεσθαι οὐδαμῇ ἕξετε. Ῥώμην μέντοι ἑλόντες ἡμεῖς τῶν ἀλλοτρίων οὐδὲν ἔχομεν, ἀλλ' ὑμεῖς ταύτης τὰ πρότερα ἐπιβατεύσαντες, οὐδὲν ὑμῖν προσῆκον, νῦν οὐχ ἑκόντες τοῖς πάλαι κεκτημένοις ἀπέδοτε. ὅστις δὲ ὑμῶν Ῥώμης ἐλπίδα ἔχει ἀμαχητὶ ἐπιβήσεσθαι, γνώμης ἁμαρτάνει. P 363
ζῶντα γὰρ Βελισάριον μεθήσεσθαι ταύτης ἀδύνατον." τοσαῦτα μὲν καὶ Βελισάριος εἶπε. Ῥωμαῖοι δὲ ἐν δέει μεγάλῳ γινόμενοι ἡσυχῇ ἐκάθηντο, καὶ οὐδὲν τοῖς πρέσβεσιν ἀντιλέγειν ἐτόλμων, καίπερ ἐπὶ τῇ ἐς Γότθους προδοσίᾳ πολλὰ πρὸς αὐτῶν κακιζόμενοι, πλήν γε δὴ ὅτι Φιδέλιος αὐτοὺς ἐρεσχελεῖν ἔγνω. ὃς τότε τῆς αὐλῆς ὕπαρχος καταστὰς πρὸς Βελισάριον ἐτύγχανε, καὶ ἀπ' αὐτοῦ πάντων μάλιστα ἔδοξε βασιλεῖ εὐνοϊκῶς ἔχειν.

κα'. Οὕτω μὲν δὴ οἱ πρέσβεις ἐς τὸ σφέτερον στρατόπε- B
δον ἐκομίζοντο. καὶ ἐπεὶ αὐτῶν Οὐίτιγις ἐπυνθάνετο ὁποῖός τε ἀνὴρ Βελισάριος εἴη καὶ γνώμης ὅπως ποτὲ ἀμφὶ τὴν ἐνθένδε ἀναχώρησιν ἔχων, ἀπεκρίναντο ὡς οὐκ εἰκότα Γότθοι ἐλπίζουσι, δεδίξεσθαι Βελισάριον ὅτῳ δὴ τρόπῳ οἰόμενοι. Οὐίτιγις δὲ

ἐ

2. ξυμβουλῆς] ξυμβολῆς Grotius ex MS. 5. ἀφίξεσθαι] ἀφίσεσθαι L. 6. ἕξεται] ἕξεται L. 11. ταύτης P ex Vat. τοσούτου HL. 13. ἐτόλμων] Vulgo ἐτόλμουν.

Locutis haec Oratoribus Belisarius ita respondit. *Deliberandi tempus non capiemus arbitrio vestro: neque enim is est hominum mos, ut de hostium sententia bellum gerant: at rem quisque suam tractare solet, prout optimum factu iudicat. Vobis autem praedico futurum tempus, cum sub vestibus capita voletis abdere, nec reliquum ibi locum habebitis. Nos demum potiti Roma nihil alienum tenemus: at vos quam antea occupaveratis iniuria, antiquis dominis inviti nunc reddidistis. Caeterum si quis vestrum sperat fore ut Romam sine ullo conflictu ingrediatur, eum sua fallit opinio. Neque enim fieri potest, ut vobis urbem hanc Belisarius, quandiu vivet, relinquat.* Secundum hanc Belisarii orationem, Romani metu perculsi ac taciti sedebant, nec audebant refellere Legatorum obiurgationem, proditos ab ipsis Gotthos vehementer querentium. Unus admodum Fidelius, quem Belisarius Praefectum Praetorio tunc creaverat, ausus eos verbis impetere, omnium maxime Imperatori studere visus est.

21. Ad sua reversi castra Oratores, quaerenti Vitigi, quis esset vir Belisarius, et quid animi ad discessum haberet, responderunt, spe vana teneri Gotthos, si Belisarium utcunque se territuros putarent. Quo Vi-

ρον μέντοι, αὐτίκα δηλώσεις. εἰ μὲν γὰρ ἀν
Γότθους ἐστράτευσας (ὁρᾷς γὰρ δή που ἀπὸ
τῶν πολεμίων στρατόπεδον), καὶ σοὶ ἀνδραγ-
ναΐε, διαρκῶς πάρεστιν· ἢν δέ γε θράσει
ὥρμησαι, πάντως σοι καὶ μεταμελήσει τῶν
τῶν γὰρ ἀπονενοημένων αἱ γνῶμαι, ὅταν ἐ
ται, μετανοεῖν φιλοῦσι. νῦν οὖν μήτε Ῥω
τέρω τὴν ταλαιπωρίαν μηκύνεσθαι ποίει, ὁ
βίῳ τρυφερῷ τε καὶ ἄλλως ἐλευθέρῳ ἐξέθ
C θων τε καὶ Ἰταλιωτῶν δεσπότῃ ἐμποδὼν ὅσι
ἄτοπον, σὲ μὲν οὕτω καθειργμένον τε καὶ
πτηχότα ἐν Ῥώμῃ καθῆσθαι, τὸν δὲ ταύ
κώματι διατρίβοντα τὰ τοῦ πολέμου κακὰ
ἐργάζεσθαι; ἡμεῖς δὲ σοί τε καὶ τοῖς ἑπομέ
ἄφοδον κατ' ἐξουσίαν παρέξομεν, ἅπαντ
ἔχουσι. τὸ γὰρ ἐπεμβαίνειν τοῖς τὸ σῶφρ
ὅσιον οὔτε ἄξιον τρόπου τοῦ ἀνθρωπίνου εἶ
δ' ἂν καὶ Ῥωμαίους ἔτι ἐροίμεθα τούσδε,
ἐπικαλεῖν ἔχοντες ἡμᾶς τε αὖ καὶ σφᾶς αὐτ
τῆς μὲν ἡμετέρας ἐπιεικείας ἄχρι τοῦδε ὑ
τῆς παρ' ἡμῶν ἐπικουρίας εἰσὶν ἔμπειροι."

11. καθειργμένον] καθειργόμενον L.
20. ἀπέλαυσαν] ἀπήλαυσαν vulgo: quod copio. 21. ἡμῶν] ὑμῶν HL.

versum nos impulit: utra autem ea sit, mox bellum Gotthis infers, fortitudine fretus, illius praeclare vir; cum hostium castra moenibus ac sint. Sin armatus audacia in nos insurrexisti, poenitet. Nam ubi in dimicationem ventum est, poenitentia, qui rem ratione non inierunt. Nu his Romanis producere, quos Theodericus in enutriit, nec iusto Gotthorum Italorumque d Quo enim pacto non absurdum id fuerit, ut Ron hostium metu prodire renuens, dum urbis huius ditos suos belli damnis et incommodis afficit? testatem dabimus abeundi cum rebus vestris. moribus consentaneum esse ducimus, ad officiu bus insultare. Quod ad Romanos spectat, lu quo tandem crimine a Gotthis laesi, cum nos, nostram hactenus experti benignitatem, iam oblatum vident.

ν ἔνδοθεν. οἳ ἐπειδὰν αὐ-
ὸν, ἧς δὴ ἄρτι ἐμνήσθην, P 364
ουσιν, αὖθις δὲ αὐτὴν ξὺν
ἡ δὲ συχνὰ ἐμβαλλομένη
λεῖν ῥᾷστα οἷα τέ ἐστι, καὶ
ιηχανὴ ἔχει, ἐπεὶ τῆς δοκοῦ
ειν ὅπου παρατύχοι, καθά-
θε. τῶν μὲν οὖν τειχομα-

φακέλλων ἔκ τε ξύλων καὶ
εἶχον, ὅπως δὴ ἐς τὴν τά- V 40
ν ἐργάσωνται καὶ ταύτῃ δια- B
οὕτω μὲν δὴ Γότθοι πα-
ιο. Βελισάριος δὲ μηχανὰς
ῦσι βαλίστρας. τόξου δὲ
ὑτοῦ κοίλη τις κεραία προὔ-
ιδηρᾷ δὲ εἰθεῖᾳ τινὶ ἐπικει-
θένδε βάλλειν ἐθέλουσιν ἄν-
ύλα ἐς ἄλληλα νεύειν ποιοῦ-
ι εἶναι, τόν τε ἄτρακτον ἐν
βελῶν, ὅπερ ἐκ τῶν τόξων
άλιστα, εὖρος δὲ κατὰ τὸ C
εἰωθόσιν ἀνέρχονται, ἀλλὰ

15. βαλίστρας] Al. βαλλίστρας, hrysost. de sacerdotio. Hoescn.

ι, trabem, cuius modo memini,
, et in murum magno cum im-
etita impressio eam habet vim,
ı facillime quatiat convellatque.
uod prominens trabis eiusce ca-
ctum soleat feriendo, quo modo
.a est arietum, quibus murorum

ros lignorum arundinumque fasci-
ı et aequarent, ne machinae transi-
ıi oppug ut. Be-
.avit, q ı. Ha-
ı cornu atena
rectae ole
arcus ca ne

ταῦτα ἀκούσας, τειχομαχεῖν τε πολλῇ σπουδῇ ἐβουλεύετο καὶ τὰ ἐς τὴν τοῦ περιβόλου ἐπιβουλὴν ἐξηρτύετο ὧδε. πύργους ξυλίνους ἐποιήσατο ἴσους τῷ τείχει τῶν πολεμίων, καὶ ἔτυχέ γε τοῦ ἀληθοῦς μέτρου πολλάκις ξυμμετρησάμενος ταῖς τῶν λίθων ἐπιβολαῖς. τούτοις δὲ τοῖς πύργοις τροχοὶ ἐς τὴν βάσιν ἐμβεβλημέ-
C νοι πρὸς γωνίᾳ ἑκάστῃ ὑπέκειντο, οἳ δὴ αὐτοὺς κυλινδούμενοι ῥᾷστα περιάξειν ἔμελλον ὅπη οἱ τειχομαχοῦντες ἀεὶ βούλοιντο, καὶ βόες τοὺς πύργους ξυνδεδεμένοι εἵλκον. ἔπειτα δὲ κλίμακας πολλάς τε τὸ πλῆθος καὶ ἄχρι ἐς τὰς ἐπάλξεις ἐξικνουμένας ἡτοίμαζε καὶ μηχανὰς τέσσαρας, αἳ κριοὶ καλοῦνται. ἔστι δὲ ἡ μηχανὴ τοιαύτη. κίονες ὀρθοὶ ξύλινοι τέσσαρες ἀντίοι τε καὶ ἴσοι ἀλλήλοις ἑστᾶσι. τούτοις δὲ τοῖς κίοσι δοκοὺς ὀκτὼ ἐγκαρ-
H 198 σίας ἐνείροντες τέσσαρας μὲν ἄνω, τοσαύτας δὲ πρὸς ταῖς βάσεσιν ἐναρμόζουσιν. οἰκίσκου τε σχῆμα τετραγώνου ἐργαζόμενοι προκάλυμμα πανταχόθεν ἀντὶ τοίχων τε καὶ τείχους διφθέρας
D αὐτῇ περιβάλλουσιν, ὅπως ἥ τε μηχανὴ τοῖς ἕλκουσιν ἐλαφρὰ εἴη καὶ οἱ ἔνδον ἐν τῷ ἀσφαλεῖ ὦσιν, ὡς πρὸς τῶν ἐναντίων ἥκιστα βάλλεσθαι. ἐντὸς δὲ αὐτῆς δοκὸν ἑτέραν ἄνωθεν ἐγκαρσίαν ἀναρτήσαντες χαλαραῖς ταῖς ἁλύσεσι κατὰ μέσην μάλιστα τὴν μηχανὴν ἔχουσιν. ἧς δὴ ὀξεῖαν ποιούμενοι τὴν ἄκραν, σιδήρῳ πολλῷ καθάπερ ἀκίδα καλύπτουσι βέλους, ἣ καὶ τετράγωνον, ὥσπερ ἄκμονα, τὸν σίδηρον ποιοῦσι. καὶ τροχοῖς μὲν ἡ μηχανὴ τέσσαρσι πρὸς κίονι ἑκάστῳ κειμένοις ἐπῆρται, ἄνδρες δὲ αὐτὴν

3. ἐποιήσατο] ἐποιήσαντο L. 5. δὲ] δὴ L. 22. ἄκμονα] Vulgo ἄκμονα.

tigis audito, oppugnationem acriter inferre constituit, et quae ad moenia labefactanda valerent, ita paravit. Turres ligneas fecit, aequales hostili muro, cuius mensuram assecutus est, illas cum structura lapidea saepe componendo. Earum turrium basi, ad singulos angulos, suberant rotae, quarum lapsu facillime agerentur, quocunque vellent oppugnatores: ipsas demum iuncti boves trahebant. Deinde scalas paravit quamplurimas, quae ad pinnas pertingebant, ac machinas quatuor, quas Arietes vocant. Est autem eiusmodi machina. Ligneis columnis quatuor sic erectis, ut inter se oppositae et aequales stent, illis trabes inserunt transversas octo; nempe quatuor committunt supra, totidemque ad bases. Tum opus, ad cubiculi formam quadranguli, pro parietibus ac muro, undique circumtegunt corlis, ut et levis sit tractu machina, et, qui in ea sunt, tuti sint ab hostium telis. Aliam quoque trabem intus transversam, atque ex alto ad medium fere machinae spatium laxis catenis suspensam habent: cuius caput in mucronem desinens, non secus ac teli cuspidem, multo induunt ferro, incudis instar, quadrangulo. Machinam rotis quatuor, quae singulis columnis subiectae sunt, elatam, viri non minus L.

οὐχ ἧσσον ἢ κατὰ πεντήκοντα κινοῦσιν ἔνδοθεν. οἱ ἐπειδὰν αὐτὴν τῷ περιβόλῳ ἐρείσωσι, τὴν δοκὸν, ἧς δὴ ἄρτι ἐμνήσθην, P 364
μηχανῇ τινι στρέφοντες ὀπίσω ἀνέλκουσιν, αὖθις δὲ αὐτὴν ξὺν ῥύμῃ πολλῇ ἐπὶ τὸ τεῖχος ἀφιᾶσιν. ἡ δὲ συχνὰ ἐμβαλλομένη κατασεῖσαί τε ὅπη προσπίπτοι καὶ διελεῖν ῥᾷστα οἷά τέ ἐστι, καὶ ἀπ᾽ αὐτοῦ τὴν ἐπωνυμίαν ταύτην ἡ μηχανὴ ἔχει, ἐπεὶ τῆς δοκοῦ ταύτης ἡ ἐμβολὴ προὔχουσα πλήσσειν ὅπου παρατύχοι, καθάπερ τῶν προβάτων τὰ ἄρρενα, εἴωθε. τῶν μὲν οὖν τειχομαχούντων οἱ κριοὶ τοιοίδε εἰσί.

Γότθοι δὲ πάμπολύ τι χρῆμα φακέλλων ἔκ τε ξύλων καὶ καλάμων ποιησάμενοι ἐν παρασκευῇ εἶχον, ὅπως δὴ ἐς τὴν τάφρον ἐμβαλόντες ὁμαλόν τε τὸν χῶρον ἐργάσωνται καὶ ταύτῃ διαβαίνειν αἱ μηχαναὶ ἥκιστα εἴργωνται. οὕτω μὲν δὴ Γότθοι παρασκευασάμενοι τειχομαχεῖν ὥρμηντο. Βελισάριος δὲ μηχανὰς ἐς τοὺς πύργους ἐτίθετο, ἃς καλοῦσι βαλίστρας. τόξου δὲ σχῆμα ἔχουσιν αὗται, ἔνερθέν τε αὐτοῦ κοίλη τις κεραία προὔχει, αὐτὴ μὲν χαλαρὰ ἠρτημένη, σιδηρᾷ δὲ εἰθείᾳ τινὶ ἐπικειμένη. ἐπειδὰν οὖν τοὺς πολεμίους ἐνθένδε βάλλειν ἐθέλουσιν ἄνθρωποι, βρόχου βραχέος ἐνέρσει τὰ ξύλα ἐς ἄλληλα νεύειν ποιοῦσιν, ἃ δὴ τοῦ τόξου ἄκρα ξυμβαίνει εἶναι, τόν τε ἄτρακτον ἐν τῇ κοίλῃ κεραίᾳ τίθενται, τῶν ἄλλων βελῶν, ἅπερ ἐκ τῶν τόξων ἀφιᾶσι, μῆκος μὲν ἔχοντα ἥμισυ μάλιστα, εὖρος δὲ κατὰ τὸ τετραπλάσιον. πτεροῖς μέντοι οὐ τοῖς εἰωθόσιν ἀνέρχονται, ἀλλὰ

V 40
B
C

12. ἐργάσωνται] ἐργάσονται H. 15. βαλίστρας] Al. βαλλίστρας, de qua διττογραφίᾳ notis ad lib. I. Chrysost. de sacerdotio. Hoeschi. 17. χαλαρᾷ P. χαλαρὰ H.

intrinsecus movent; eaque muro applicita, trabem, cuius modo memini, machina agentes quadam, abducunt retro, et in murum magno cum impetu remittunt. Haec autem saepius repetita impressio eam habet vim, ut quamcunque in partem inciderit, eam facillime quatiat convellatque. Atque inde nacta nomen est machina, quod prominens trabis eiusce caput, quocunque sors tulerit, dare impetum soleat feriendo, quo modo ovium mares arietant. Ea demum forma est arietum, quibus murorum oppugnatores utuntur.

Pararunt praeterea Gotthi innumeros lignorum arundinumque fasciculos, quibus iniectis complerent fossam et aequarent, ne machinae transitu prohiberentur. Sic instructi Gotthi oppugnare muros ardebant. Belisarius vero in turribus machinas locavit, quas appellant Balistas. Habent hae speciem arcus, infra quem cornu concavum prominet, catena lata suspensum, ferreaeque virgae rectae incumbens. Qui inde volunt hostem appetere, ligna, quae sunt arcus capita duo, modici funis nexu coire cogunt, et cavo in cornu sagittam aptant, dimidio quidam sagittis aliis, quas arcubus mittunt, breviorem, sed latiorem quadruplo: nec pen-

ξύλα λεπτὰ ἐς τῶν πτερῶν τὴν χώραν ἐνείροντες ὅλον ἀπομιμοῦνται τοῦ βέλους τὸ σχῆμα. μεγάλην δὲ αὐτῷ λίαν καὶ τοῦ πάχους κατὰ λόγον τὴν ἀκίδα ἐμβαλόντες σφίγγουσί τε πολλοὶ οἱ ἀμφοτέρωθεν μηχαναῖς τισι, καί ποτε ἡ κοίλη κεραία προϊοῦσα ἐκπίπτει μὲν, ξὺν ῥύμῃ δὲ τοσαύτῃ ἐκπίπτει τὸ βέλος ὥστε ἔξεκνεῖται μὲν οὐχ ἧσσον ἢ κατὰ δύο τῆς τοξείας βολὰς, δένδρου δὲ ἢ λίθου ἐπιτυχὸν τέμνει ῥᾳδίως. τοιαύτη μὲν ἡ μηχανή ἐστιν ἐπὶ τοῦ ὀνόματος τούτου, ὅτι δὴ βάλλει μάλιστα, ἐπικληθεῖσα.

D ἑτέρας δὲ μηχανὰς ἐπήξαντο ἐν ταῖς τοῦ περιβόλου ἐπάλξεσιν ἐς λίθων βολὰς ἐπιτηδείας. σφενδόναις δὲ αὗταί εἰσιν ἐμφερεῖς καὶ ὄναγροι ἐπικαλοῦνται. ἐν δὲ ταῖς πύλαις λύκους ἔξω ἐπετίθεντο, οὓς δὴ ποιοῦσι τρόπῳ τοιῷδε. δοκοὺς δύο ἰστῶσιν ἐκ γῆς ἄχρι καὶ ἐς τὰς ἐπάλξεις ἐξικνουμένας, ξύλα τε εἰργασμένα ἐπάλληλα θέμενοι τὰ μὲν ὀρθὰ, τὰ δὲ ἐγκάρσια ἐναρμόζουσιν, ὡς τῶν ἐνέρσεων τὰ ἐν μέσῳ εἰς ἀλλήλους τρυπήματα φαίνεσθαι. ἑκάστης δὲ ἁρμονίας ἐμβολή τις προὔχει, κέντρῳ παχεῖ ἐς τὰ μάλιστα ἐμφερὴς οὖσα. καὶ τῶν ξύλων τὰ ἐγκάρσια ἐς δοκὸν ἑτέραν πηξάμενοι, ἄνωθεν ἄχρι ἐς μοῖραν διήκοντα τὴν ἡμίσειαν, ὑπτίας

P 365 τὰς δοκοὺς ἐπὶ τῶν πυλῶν ἀνακλίνουσι. καὶ ἐπειδὰν αὐτῆς ἐγγυτέρω οἱ πολέμιοι ἵκωνται, οἵδε ἄνωθεν ἄκρων δοκῶν ἁψάμενοι ὠθοῦσιν, αὗται δὲ ἐς τοὺς ἐπιόντας ἐκ τοῦ αἰφνιδίου ἐμπίπτουσαι

8. ἐμβαλόντες] ἐμβάλλοντες H. *ibid.* πολλοὶ] πολλῷ HL. 7. ἐπιτυχὸν] Vulgo ἐπιτυχών. 8. ἐπὶ] Lego ἀπό. Sic Synes. Epist. p. 26. ἐκάλουν ἀλλήλους οὐκ ἀπὸ τῶν ὀνομάτων, ἀλλ' ἀπὸ τῶν ἀτυχημάτων. Hoescn. 20. οἵδε] οἱ δὲ H. 21. δὲ] δὴ Hm.

nis consuetis instructam, at tenuibus lignis, earum loco ita insertis, ut sagittae speciem omnino reddant. Ei demum infixa cuspide, admodum magna, pro crassitudinis portione; multi, qui utrinque astant, vincula machinis quibusdam intendunt: tum concavum cornu progrediens, erumpit: sagitta pariter vi tanta exploditur, ut sagittariorum iactus minimum duos aequet, incidensque in arborem lapidemve, facile frangat. Eiusmodi est machina, quae nomen ex eo traxit, quod vehementissime tela iaciat. In murorum pinnis alias machinas statuerunt, lapidibus mittendis idoneas: fundarum cae sunt similes, et Onagri appellantur. Portis etiam, extra murum, imposuerunt Lupos, quos ita fabricantur. Trabes erigunt binas, quae a terra ad pinnas pertingunt. Tum ligna laborata alternatim apponunt, recta haec, illa transversa; itaque committunt, ut media inter commissuras foramina appareant sibi respondentia. Ex qualibet iunctura mucro quidam prominet, stimulo crasso persimilis. Ac postquam ligna transversa alii trabi sic infixerunt, ut desuper ad dimidiam partem pervadant, efficiunt, ut trabes supinae portis incumbant. Ubi propius accessit hostis, qui sunt in parte superiori, apprehensis summis trabibus, eas impellunt. Illae vero subeuntibus incidentes repente, mu-

τοῖς προὔχουσι τῶν ἐμβολῶν, ὅσους ἂν λάβοιεν, εὐπετῶς κτεί-
νουσι. Βελισάριος μὲν ταῦτα ἐποίει.

κβ'. Γότθοι δὲ ὀκτωκαιδεκάτῃ ἀπὸ τῆς προσεδρείας ἡμέ- B
ρᾳ, Οὐιτίγιδος σφίσιν ἡγουμένου, ἀμφὶ ἥλιον ἀνατολὰς ὡς τει-
χομαχήσοντες ἐπὶ τὸν περίβολον ἦεσαν, καὶ Ῥωμαίους ἅπαντας
προϊοῦσα ἡ τῶν πύργων τε καὶ κριῶν ὄψις παντάπασί τε ἀήθης
οὖσα ἐξέπλησσε. Βελισάριος δὲ βαδίζουσαν ξὺν ταῖς μηχαναῖς H 199
ὁρῶν τὴν τῶν πολεμίων παράταξιν, ἐγέλα τε καὶ τοὺς στρατιώ-
τας ἡσυχάζειν ἐκέλευε, καὶ τῶν χειρῶν μηδαμῶς ἄρχειν, ἕως
αὐτὸς σημήνῃ. ὅτου δὲ ἕνεκα γελῴη, ἐν μὲν τῷ αὐτίκα ἥκιστα
ἐδήλου, ὕστερον δὲ ἐγνώσθη. Ῥωμαῖοι μέντοι αὐτὸν εἰρωνεύ-
σθαι ὑποτοπήσαντες ἐκάκιζόν τε καὶ ἀναιδῆ ἐκάλουν, καὶ ὅτι ἐς C
τὰ πρόσω ἰόντας οὐκ ἀναστέλλοι τοὺς ἐναντίους, δεινὰ ἐποιοῦντο.
ἐπεὶ δὲ Γότθοι τῆς τάφρου ἐγγυτέρω ἵκοντο, πρῶτος ὁ στρατη-
γὸς τὸ τόξον ἐντείνας, αὐτῶν τινα τεθωρακισμένον τε καὶ τῆς
στρατιᾶς ἡγούμενον ἐς τὸν αὐχένα ἐπιτυχὼν βάλλει. καὶ ὁ μὲν
καιρίαν πληγεὶς ἔπεσεν ὕπτιος, ὁ Ῥωμαίων δὲ λεὼς ἅπας ἀνέκρα-
γεν ἐξαίσιόν τε καὶ ἀκοῆς κρεῖσσον, ἄριστον οἰωνὸν ξυνενεχθῆναι
σφίσιν οἰόμενοι. δὶς δὲ Βελισαρίου τὸ βέλος ἀφιέντος, ταὐτὸ
τοῦτο καὶ αὖθις ξυνέβη, καὶ ἥ τε κραυγὴ μείζων ἀπὸ τοῦ περι- V 41
βόλου ἤρθη καὶ τοὺς πολεμίους ἠσσῆσθαι Ῥωμαῖοι ᾤοντο. καὶ D
τότε μὲν Βελισάριος τῇ μὲν στρατιᾷ πάσῃ κινεῖν τὰ τοξεύματα
ἐσήμαινε, τοὺς δὲ ἀμφ' αὐτὸν ἅπαντας ἐς μόνους τοὺς βόας

15. αὐτῶν] τῶν HL. 20. ἀπὸ τοῦ] ἀπὸ τῆς L.

cronibus prominentibus quoscumque intercipiunt, momento perimunt. Acta haec a Belisario.

22. Obsidionis die XVIII. circiter Solis ortum, Gotthi, duce Vitigi, ad oppugnanda moenia accesserunt. Ac Romani quidem, turrium arietumque appropinquantium insueto plane spectaculo percellebantur omnes: Belisarius vero hostilem aciem cum machinis progredientem videns, ridebat, et militibus imperabat, uti se continerent, nec pugnam prius lacesserent, quam ipse signum dedisset. Neque ille tum risus causam, quae patuit postmodum, prodidit. Quamobrem Romani, eum rati facete ridere, carpebant ipsum, et impudentem vocabant, atque iniquo ferebant animo, quod hostes porro pergentes haud inhiberet. Iam Gotthi fossae propinqui erant, cum primus omnium Magister militiae, intento arcu, eorum cuidam lorica induto, atque agmen ducenti, collum traiicit. Is letali accepto vulnere, supinus sternitur. Mox ab omni Rom. populo ingens et inauditus attolli clamor, optimum inde omen accipiente. Missa a Belisario sagitta altera, cum eodem successu; intentior e muro clamor sublatus est, iamque hostem devictum Romani existimarunt. Tum Belisarius cunctis militibus dato signo, sagittas expedire iubet, ac suis prae-

ἐκέλευε βάλλειν. πάντων τε τῶν βοῶν αὐτίκα πεσόντων, οὔτε τοὺς πύργους περαιτέρω κινεῖν οἱ πολέμιοι εἶχον οὔτε τι ἐπιτεχνήσασθαι ἀποκρουόμενοι ἐν αὐτῷ τῷ ἔργῳ οἷοί τε ἦσαν. οὕτω τε Βελισαρίου ἡ πρόνοια ἐγνώσθη τοῦ μὴ ἑκαστάτω ὄντας τοὺς πολεμίους ἀναστέλλειν πειρᾶσθαι, καὶ ὅτι γελᾷη τὴν τῶν βαρβάρων εὐήθειαν, οἳ δὴ βόας περιάξειν ἐς τῶν ἐναντίων τὸ τεῖχος οὕτως ἀνεπισκέπτως ἐλπίδα εἶχον. ταῦτα μὲν ἀμφὶ Βελισαρίαν πύλην ἐγένοντο. Οὐίτιγις δὲ ταύτῃ ἀποκρουσθεὶς, Γότθων μὲν
P 366 στρατιὰν πολλὴν αὐτοῦ εἴασε, φάλαγγα δὲ αὐτῶν βαθεῖαν κομιδῇ ποιησάμενος καὶ τοῖς ἄρχουσιν ἐπιστείλας προσβολὴν μὲν μηδαμῇ τοῦ περιβόλου ποιεῖσθαι, μένοντας δὲ ἐν τάξει βάλλειν τε συχνὰ ἐς τὰς ἐπάλξεις καὶ ὡς ἥκιστα Βελισαρίῳ καιρὸν ἐνδιδόναι ἐπιβοηθεῖν ἑτέρωθεν τοῦ τείχους ὅπῃ ἂν αὐτὸς προσβάλλειν μέλλῃ στρατῷ πλείονι, οὕτω τε ἀμφὶ πύλην Πραινεστίναν ἐπὶ μοῖραν τοῦ περιβόλου, ἣν Ῥωμαῖοι βιβάριον καλοῦσι, καὶ ᾗ
B τὸ τεῖχος ἐπιμαχώτατον μάλιστα, πολλῷ στρατῷ ἦει, ἐτύγχανον δὲ ἤδη καὶ μηχαναὶ ἄλλαι πύργων τε καὶ κριῶν καὶ κλίμακες πολλαὶ ἐνταῦθα οὖσαι.

Ἐν τούτῳ δὲ Γότθων προσβολὴ ἑτέρα ἐς πύλην Αὐρηλίαν ἐγίνετο τρόπῳ τοιῷδε. Ἀδριανοῦ τοῦ Ῥωμαίων αὐτοκράτορος τάφος ἔξω πύλης Αὐρηλίας ἐστὶν, ἀπέχων τοῦ περιβόλου ὅσον λίθου βολὴν, θέαμα λόγου πολλοῦ ἄξιον. πεποίηται γὰρ ἐκ λί-

1. οὔτε — οὔτε] Vulgo οὐδὲ — οὐδέ. 3. ἀποκρούμενοι P. ἀποκρουόμενοι Reg. 14. Πραινεστίναν] πενεστρίναν HL. 19. Αὐρηλίαν] ἀβρηλιανὴν HL. 21. Αὐρηλίας] ἀβρηλίας HL.

sertim iniungit, ut boves tantum configant: quibus ad unum confestim caesis, turres promovere hostis ultra non potuit, coeptoque in medio haesit, inops artis atque consilii. Hinc constitit fecisse provide Belisarium, cum hostes procul positos coërcere renuit, ac risisse Barbarorum simplicitatem; qui tam inconsiderate sperassent, fore ut boves ad hostilem murum perducerent. His ad portam gestis Belisariam, Vitigis ita repulsus, numerosam Gotthorum cohortem ibi reliquit, eorumque acie sic disposita, ut magnam altitudinem haberet, Ducibus praecepit, ne in murum impressionem facerent; at, servatis ordinibus, crebra in pinnas tela torquerent, nec Belisario darent spatium ferendi suppetias laborantibus in alia murorum parte, quam ipse cum maioribus copiis pararet invadere. Itaque ad partem, portae Praenestinae vicinam, dictamque a Romanis Vivarium, ubi murus expugnari facillime poterat, cum magno armatorum numero contendit. Ibidem iam paratae erant cum aliae machinae, tum turres, arietes et scalae quamplurimae.

Interea portam quoque Aureliam hoc modo Gotthi oppugnaverunt. Extra portam Aureliam, iactu lapidis procul a moenibus, est Adriani Aug. tumulus, opus spectandum ac memorabile. Nam constat ex mar-

θου Παρίου καὶ οἱ λίθοι ἐς ἀλλήλους μεμύκασιν, οὐδὲν ἄλλο ἐντὸς ἔχοντες. πλευραί τε αὐτοῦ τέσσαρές εἰσιν ἴσαι ἀλλήλαις, εὖρος μὲν σχεδόν τι ἐς λίθου βολὴν ἑκάστη ἔχουσα, μῆκος δὲ ὑπὲρ τὸ τῆς πόλεως τεῖχος. ἀγάλματά τε ἄνω ἐκ λίθου εἰσὶ τοῦ αὐτοῦ ἀνδρῶν τε καὶ ἵππων θαυμάσια οἷα· τοῦτον δὴ τὸν τάφον C οἱ παλαιοὶ ἄνθρωποι (ἐδόκει γὰρ τῇ πόλει ἐπιτείχισμα εἶναι) τειχίσμασι δύο ἐς αὐτὸν ἀπὸ τοῦ περιβόλου διήκουσι μέρος εἶναι τοῦ τείχους πεποίηνται. ἔοικε γοῦν πύργῳ ὑψηλῷ πύλης τῆς ἐκείνῃ προβεβλημένῳ. ἦν μὲν οὖν τὸ ἐνταῦθα ὀχύρωμα ἱκανώτατον. τούτου δὲ τῷ φυλακτηρίῳ Κωνσταντῖνον ἐπιστήσας Βελισάριος ἔτυχεν. ᾧ δὴ ἐπέστειλε καὶ τῆς φυλακῆς τείχους τοῦ ἐχομένου ἐπιμελεῖσθαι, φαύλην τινὰ καὶ οὐκ ἀξιόλογον φρουρὰν ἔχοντος. ἥκιστα γὰρ ταύτῃ ἐπιμάχου ὄντος τοῦ περιβόλου, ἅτε τοῦ ποταμοῦ παραρρέοντος, οὐδεμίαν αὐτόθι προσβολὴν ἔσεσθαι ὑποτοπήσας, οὐκ ἀξιόλογον ἐνταῦθα φυλακτήριον κατεστήσατο, D ἀλλ' ὀλίγων οἱ τῶν στρατιωτῶν ὄντων, τοῖς τῶν χωρίων ἀναγκαιοτάτοις τὸ πλῆθος ἔνειμεν. ἐς πεντακισχιλίους γὰρ μάλιστα τὸ βασιλέως στράτευμα ἐν Ῥώμῃ κατ' ἀρχὰς τῆσδε τῆς πολιορκίας ξυνῆλθε. Κωνσταντῖνος δὲ (καὶ γάρ οἱ ἠγγέλλοντο οἱ πολέμιοι τῆς ἐς τὸν Τίβεριν ἀποπειρώμενοι διαβάσεως) δείσας περὶ τῷ ἐκεῖσε τειχίσματι, αὐτὸς μὲν κατὰ τάχος ἐκεῖσε ξὺν ὀλίγοις τισὶν ἐβοήθει, τοῖς δὲ πλείοσι τῆς ἐν τῇ πύλῃ τε καὶ τῷ τάφῳ

6. πόλει ἐπιτείχισμα — τειχίσμασι P ex Vat. πόλει) ἐπιτειχίσμασι H. 7. αὐτὸν ἀπὸ P et Scaliger. αὐτὴν ἐπὶ HL. 10. τούτου] τούτῳ L. ibid. Κωνσταντῖνον] κωνσταντιανὸν HL. 14. παραρρέοντος] παραρέοντος L a pr. m. 17. ἐς] ὡς LHm. 19. ξυνῆλθε] Vulgo ξυνίει. ibid. Κωνσταντῖνος] κωνσταντιανὸς HL.

more Pario, aptissimeque haerent inter se lapides, quamvis nihil sit intus, quo vinciantur. Aequalia sunt quatuor eius latera: cuiusque latitudo iactum lapidis aequat; altitudo muros urbis excedit. In culmine admirabiles visuntur virorum equorumque statuae ex eodem marmore. Et quoniam obiecta urbi munitio tumulus hic esse videbatur; eum veteres moenibus coniunxerunt duobus extructis brachiis, quae a muro ad ipsum pertinent. Itaque speciem turris habet excelsae, et portam protegentis vicinam. Quod propugnaculum cum opportunissimum esset, illius praesidium Belisarius commiserat Constantino: eidemque mandaverat, ut muro etiam continenti, in quo parva ac levissimi momenti custodia stabat, advigilaret. Etenim, quia praeterlabens ibi fluvius obstabat, quominus murus oppugnaretur, nullam ea parte datum iri impressionem ratus, custodiam, nullo fere habendam numero, illic posuerat, in loca maxime necessaria militibus contributis: quorum magna sane paucitas erat: cum Imperatoris copiae, quas habebat Roma, obsidionis huius initio, virorum millibus ad summum quinque constitissent. Factus certior Constantinus hostem Tiberis transitum tentare, muro partis illius timens, eo

φρουρᾶς ἐπιμελεῖσθαι παρήγγειλεν. ἐν τούτῳ δὲ οἱ Γότθοι πύλῃ τῇ Ἀὐρηλίᾳ καὶ τῷ Ἀδριανοῦ πύργῳ προσέβαλλον, μηχανὴν μὲν οὐδεμίαν ἔχοντες, κλιμάκων δὲ πάμπολύ τι ἐπαγόμενοι χρῆμα
H 200 καὶ τοξευμάτων πλήθη, ἔς τε ἀπορίαν ῥᾷον καταστήσασθαι τοὺς
P 367 πολεμίους οἰόμενοι καὶ τοῦ ἐνταῦθα φυλακτηρίου κρατήσειν δι' ὀλιγανθρωπίαν οὐδενὶ πόνῳ. Θυρεοὺς δὲ προβεβλημένοι ἐβάδιζον, οὐδὲν ἐλασσουμένους τῶν ἐν Πέρσαις δέρρεων, καὶ ἔλαθόν τε τοὺς ἐναντίους ἀγχοτάτω αὐτῶν ἥκοντες. ὑπὸ γὰρ τῇ στοᾷ κρυπτόμενοι ἔλαθον, ἢ ἐς τὸν Πέτρου τοῦ ἀποστόλου νεὼν διήκει. ὅθεν δὴ φανέντες ἐξαπιναίως ἔργου εἴχοντο, ὡς μήτε τῇ καλουμένῃ βαλίστρᾳ χρῆσθαι τοὺς φύλακας οἵους τε εἶναι (οὐ γὰρ πέμπουσιν ὅτι μὴ ἐξ ἐναντίας αἱ μηχαναὶ αὗται τὰ βέλη) οὐ
V 42 μὴν οὐδὲ ἐν τοῖς τοξεύμασι τοὺς ἐπιόντας ἀμύνεσθαι, τοῦ πράγ-
B ματος σφίσι διὰ τοὺς Θυρεοὺς ἀντιστατοῦντος. ἐπεὶ δὲ καρτερῶς τε οἱ Γότθοι ἔκειντο, βάλλοντες συχνὰ ἐς τὰς ἐπάλξεις, καὶ τὰς κλίμακας ἤδη προσθήσειν τῷ τειχίσματι ἔμελλον, κυκλώσαντες σχεδόν τι τοὺς ἐκ τοῦ τάφου ἀμυνομένους, ἀεὶ γὰρ αὐτοῖς, εἰ χωρήσειαν, κατὰ νώτου ἐκ τῶν πλαγίων ἐγίνοντο, χρόνον μέν τινα ὀλίγον ἔκπληξις τοῖς Ῥωμαίοις ἐγένετο οὐκ ἔχουσιν ἐλπίδα καθ' ὅ τι χρὴ ἀμυνομένους σωθῆναι, μετὰ δὲ ξυμφρονήσαν-
C τες τῶν ἀγαλμάτων τὰ πλεῖστα, μεγάλα λίαν ὄντα, διέφθειρον, αἴροντές τε λίθους ὑπερπληθεῖς ἐνθένδε χερσὶν ἀμφοτέραις κατὰ

2. Ἀὐρηλίᾳ] ἀβρηλίᾳ HL. 6. θυρεοὺς — ἐλασσουμένους Scaliger cum Pers. qui scuta interpretatus est. Libri θύρας — ἐλασσουμένας. 7. δέρρεων] γέρρων Scaliger. 13. ἐν τοῖς] ἐν fort. delendum. Classen. 14. τοὺς θυρεοὺς Maltretus. Vulgo τὰς θύρας.

cum paucis subsidio currit, portae et tumuli demandata cura maiori numero. Interea Gotthi portam Aureliam Adrianique molem invadunt, nulla quidem machina, sed ingenti vi scalarum sagittarumque instructi, cum sibi persuaderent se hostem facilius redacturos ad incitas, locatique ibi praesidii, ob paucitatem, nullo negotio potituros. Scuta praeferentes, haud minora Persarum gerris, subibant, et quamvis iam hostibus proximi, eos tamen latebant. Etenim porticu tegebantur, quae ad Petri Apostoli templum pertinet. Hinc repente facta eruptione, rem ita aggressi sunt, ut nec balista, quam vocant, uti possent custodes, propterea quod ex adverso tantum tela mittunt hae machinae, nec sagittis quidquam contra accedentes proficerent, scutorum obiectu prohibiti. Acriter Gotthi, in pinnas tela creberrima iacientes, instabant, ac iam parabant scalas muro applicare, tumuli defensoribus fere undique circumventis: quippe horum terga ab utroque latere occupassent continuo, si processissent. Romanos, vi salvos evadere desperantes, aliquandiu defixit timor. Deinde communi animo confractis grandioribus plerisque statuis, ambabus inde

Ῥωμαίων δὲ ὁ δῆμος, τῶν ἐν πολέμῳ τε καὶ πόλιορκίᾳ κακῶν ἀήθεις παντάπασιν ὄντες, ἐπειδὴ τῇ μὲν ἀλουσίᾳ ἐπιέζοντο καὶ τῶν ἀναγκαίων τῇ ἀπορίᾳ, φυλάσσειν δὲ ἄϋπνοι τὸν περίβολον ἠναγκάζοντο, καὶ τὴν πόλιν ἁλώσεσθαι οὐκ εἰς μακρὰν ὑπετόπαζον, ἅμα δὲ καὶ τοὺς πολεμίους ἑώρων τούς τε ἀγροὺς καὶ τἄλλα πάντα ληιζομένους, ἤσχαλλόν τε καὶ δεινὰ ἐποιοῦντο, εἰ οὐδὲν αὐτοὶ ἠδικηκότες πολιορκοῖντό τε καὶ ἐς τοσοῦτον κινδύνου μέγεθος ἥκοιεν. ἐν σφίσι τε αὐτοῖς ξυνιστάμενοι Βελισαρίῳ ἐκ τοῦ ἐμφανοῦς ἐλοιδοροῦντο, ὅς γε οὐκ ἀξιόχρεων πρὸς βασιλέως λαβὼν δύναμιν ἐτόλμησεν ἐπὶ Γότθους P 362
στρατεύεσθαι. ταῦτα δὲ καὶ οἱ ἐκ βουλῆς, ἣν σύγκλητον καλοῦσι, Βελισαρίῳ ἐν παραβύστῳ ὠνείδιζον. ἅπερ Οὐίτιγις πρὸς τῶν αὐτομόλων ἀκούσας ξυγκρούειν τε αὐτοὺς ἔτι μᾶλλον ἐθέλων καὶ ἐς πολλὴν ταραχὴν ἐμπεσεῖσθαι τὰ Ῥωμαίων πράγματα ταύ- H 197
τῃ οἰόμενος, πρέσβεις παρὰ Βελισάριον ἄλλους τε καὶ Ἄλβιν ἔπεμψεν. οἳ, ἐπειδὴ ἐς ὄψιν τὴν Βελισαρίου ἀφίκοντο, παρόντων τε τῶν ἐκ βουλῆς καὶ ὅσοι τοῦ στρατοῦ ἄρχοντες ἦσαν, ἔλεξαν τοιάδε „Πάλαι, ὦ στρατηγέ, τοῖς ἀνθρώποις εὖ τε καὶ καλῶς διώρισται τὰ τῶν πραγμάτων ὀνόματα. ἐν οἷς ἓν τόδε ἐστὶ, θράσος κεχώρισται ἀνδρείας. τὸ μὲν γὰρ αὐτῶν οἷς ἂν προσγένοιτο, ξὺν ἀτιμίᾳ ἐς κίνδυνον ἄγει, τὸ δὲ δόξαν ἀρετῆς B
ἱκανῶς φέρεται. τούτων θάτερόν σε εἰς ἡμᾶς ἤνεγκεν. ὁπότε-

4. ἠναγκάζοντο] ἠναγκάζετο L. 5. ἑώρων] Vulgo ἑώρουν. 6. ἤσχαλλον] ἤσχαλον L. 7. πολιορκοῖντό τε P et Scaliger. πολιορκεῖν τότε L. πολιορκοῦν τότε H. 12. ἐν παραβύστῳ om. L.

Populus vero Romanus, incommodorum belli obsidionisque omnino insolens, cum et illuvie et annonae penuria premeretur, atque in muris cogeretur excubare pervigil, ac venturam brevi urbem putaret in potestatem hostium, a quibus interea agros caeteraque omnia vastari videbat; graviter commotus indignabatur, quod immerens obsideretur, et in tantum discrimen veniret. Quare collecti cives, aperte Belisario maledicebant; quod ab Imperatore minoribus, quam par esset, copiis instructus, non dubitasset bellum suscipere Gotthicum. Eadem Patres Curiae, quam appellant Senatum, Belisario occulte exprobrabant. Quae cum Vitigis ex transfugis audisset, ut accenderet offensionem, qua rem Romanam valde turbatum iri existimabat, Legatos, in quibus erat Albes, ad Belisarium misit: qui ad eius conspectum admissi, praesentibus Senatoribus cunctisque exercitus Ducibus, orationem hanc habuerunt. *Sapienter olim, Magister militum, assignarunt homines rerum nominibus certa discrimina: quorum e numero istud profertur: Temeritas a Fortitudine diversa est. Nam illa quidem si quos occupaverit, eos turpiter in periculum coniicit: haec vero virtutis laudem amplissimam refert. Harum certe altera te ad-*

λανείων τοῦ ὕδατος τῇ ἀπορίᾳ παντάπασιν ἀπεκέκλειντο. ὕδωρ μέντοι ὅσον πιεῖν διαρκὲς εἶχον, ἐπεὶ καὶ τοῖς τοῦ ποταμοῦ ἑκαστάτω οἰκοῦσι παρῆν ἐκ φρεάτων ὑδρεύεσθαι. ἐς δὲ τοὺς ὑπονόμους, οἵπερ ἐκ τῆς πόλεως, εἴ τι οὐ καθαρὸν, ἐκβάλλουσιν ἔξω, ἀσφάλειαν ἐπινοεῖν οὐδεμίαν ἠνάγκαστο, ἐπεὶ ἐς τὸν ποτα-
B μὸν Τίβεριν τὰς ἐκβολὰς ἔχουσιν ἅπαντες, καὶ διὰ τοῦτο οὐδεμίαν οἷόν τε τῇ πόλει ἐνθένδε πρὸς τῶν πολεμίων ἐπιβουλὴν γενέσθαι.

C V 88 κ'. Τὰ μὲν οὖν ἐς τὴν πολιορκίαν τῇδε Βελισαρίῳ διῴκητο. Σαμνιτῶν δὲ παῖδες πολλοὶ, πρόβατα ἐν χώρᾳ τῇ σφετέρᾳ ποιμαίνοντες, δύο τοὺς σώματος ἐν σφίσιν εὖ ἥκοντας ἀπολέξαντες, καὶ αὐτῶν ἕνα μὲν καλέσαντες ἐπὶ τοῦ Βελισαρίου ὀνόματος, Οὐΐτιγιν δὲ τὸν ἕτερον ὀνομάσαντες, παλαίειν ἐκέλευον. ὧν δὴ ἰσχυρότατα ἐς τὸν ἀγῶνα καθισταμένων, τὸν Οὐΐτιγιν δῆθεν ξυννενέχθη πεσεῖν. καὶ αὐτὸν ὁ τῶν παίδων ὅμιλος παί-
D ζοντες ἀπὸ δένδρου ἐκρέμων. λύκου δὲ τύχῃ τινὶ ἐνταῦθα φανέντος οἱ μὲν παῖδες ἔφυγον ἅπαντες, ὁ δὲ ἀπὸ τοῦ δένδρου ἡρτημένος Οὐΐτιγις χρόνου οἱ τριβέντος ἐν ταύτῃ δὴ τῇ τιμωρίᾳ θνήσκει. καὶ ἐπεὶ ταῦτα ἐς Σαμνίτας ἔκπυστα ἐγεγόνει, οὔτε κόλασίν τινα ἐς τὰ παιδία ταῦτα ἐξήνεγκαν καὶ τὰ ξυμπεσόντα ξυμβαλόντες νικήσειν κατὰ κράτος Βελισάριον ἰσχυρίζοντο. ταῦτα μὲν δὴ οὕτως ἐγένετο.

3. ὑδρεύεσθαι] ὑδρεύεσθαι L. superscr. a m. sec. 9. ἐς τὴν] πρὸς τὴν L Scaliger. 16. ἀπὸ] ἐπὶ L a pr. m. 18. οἱ excidit in P. *ibid.* διῴκητο Libri διφκήσατο. *ibid.* ἐκρέμων L. ἐκρήμνουν P.

ceps usi sunt; balneis autem ipsos exclusit aquae penuria. Quod ad potum attinet, satis aquae habebant: cum ii, quorum domus erant a fluvio remotissimae, e puteis haurire possent. Denique cloacis, quae sordes et purgamenta urbis foras eiiciunt, nullam Belisarius cautionem adhibere necesse habuit. Etenim quia cunctae in fluv. Tiberim se exonerant, propterea nullus ibi locus erat insidiis hostium.

20. Ita quidem obsidioni ferendae necessaria disposuit Belisarius; multi vero Samnites pueri, qui oves in agro suo pascebant, cum duos delegissent corpore valentiores, et Belisarium vocassent alterum, alterum Vitigin, luctari ambos iusserunt. Certamine validissime inito, cadit Vitigis: hunc puerorum turba ex arbore per ludum suspendit: viso tum forte lupo, pueri omnes se in pedes coniiciunt: suspensus ex arbore Vitigis, in eo cruciatu derelictus diutius, moritur. Quo Samnites audito, poenam quidem ex pueris nullam, sed coniecturam ex illo casu ceperunt certissimam, ut dicebant, victorem belli vi Belisarium forte. Haec ita contigerunt.

Ῥωμαίων δὲ ὁ δῆμος, τῶν ἐν πολέμῳ τε καὶ πόλιορκίᾳ κακῶν ἀήθεις παντάπασιν ὄντες, ἐπειδὴ τῇ μὲν ἀλουσίᾳ ἐπίεζοντο καὶ τῶν ἀναγκαίων τῇ ἀπορίᾳ, φυλάσσειν δὲ ἄϋπνοι τὸν περίβολον ἠναγκάζοντο, καὶ τὴν πόλιν ἁλώσεσθαι οὐκ εἰς μακρὰν ὑπετόπαζον, ἅμα δὲ καὶ τοὺς πολεμίους ἐώρων τούς τε ἀγροὺς καὶ τἆλλα πάντα ληιζομένους, ἠσχαλλόν τε καὶ δεινὰ ἐποιοῦντο, εἰ οὐδὲν αὐτοὶ ἠδικηκότες πολιορκοῖντό τε καὶ ἐς τοσοῦτον κινδύνου μέγεθος ἥκοιεν. ἐν σφίσι τε αὐτοῖς ξυνιστάμενοι Βελισαρίῳ ἐκ τοῦ ἐμφανοῦς ἐλοιδοροῦντο, ὅς γε οὐκ ἀξιόχρεων πρὸς βασιλέως λαβὼν δύναμιν ἐτόλμησεν ἐπὶ Γότθους P 362
στρατεύεσθαι. ταῦτα δὲ καὶ οἱ ἐκ βουλῆς, ἣν σύγκλητον καλοῦσι, Βελισαρίῳ ἐν παραβύστῳ ὠνείδιζον. ἅπερ Οὐίτιγις πρὸς τῶν αὐτομόλων ἀκούσας ξυγκρούειν τε αὐτοὺς ἔτι μᾶλλον ἐθέλων καὶ ἐς πολλὴν ταραχὴν ἐμπεσεῖσθαι τὰ Ῥωμαίων πράγματα ταύ- H 197
τῃ οἰόμενος, πρέσβεις παρὰ Βελισάριον ἄλλους τε καὶ Ἄλβιγν ἔπεμψεν. οἳ, ἐπειδὴ ἐς ὄψιν τὴν Βελισαρίου ἀφίκοντο, παρόντων τε τῶν ἐκ βουλῆς καὶ ὅσοι τοῦ στρατοῦ ἄρχοντες ἦσαν, ἔλεξαν τοιάδε „Πάλαι, ὦ στρατηγέ, τοῖς ἀνθρώποις εὖ τε καὶ καλῶς διώρισται τὰ τῶν πραγμάτων ὀνόματα. ἐν οἷς ἓν τόδε ἐστὶ, θράσος κεχώρισται ἀνδρείας. τὸ μὲν γὰρ αὐτῶν οἷς ἂν προσγένοιτο, ξὺν ἀτιμίᾳ ἐς κίνδυνον ἄγει, τὸ δὲ δόξαν ἀρετῆς B
ἱκανῶς φέρεται. τούτων θάτερόν σε εἰς ἡμᾶς ἤνεγκεν. ὁπότε-

4. ἠναγκάζοντο] ἠναγκάζετο L. 5. ἐώρων] Vulgo ἐώρουν. 6. ἠσχαλλόν] ἤσχαλον L. 7. πολιορκοῖντό τε P et Scaliger. πολιορκεῖν τότε L. πολιορκοῦν τότε H. 12. ἐν παραβύστῳ om. L.

Populus vero Romanus, incommodorum belli obsidionisque omnino insolens, cum et illuvie et annonae penuria premeretur, atque in muris cogeretur excubare pervigil, ac venturam brevi urbem putaret in potestatem hostium, a quibus interea agros caeteraque omnia vastari videbat; graviter commotus indignabatur, quod immerens obsideretur, et in tantum discrimen veniret. Quare collecti cives, aperte Belisario maledicebant; quod ab Imperatore minoribus, quam par esset, copiis instructus, non dubitasset bellum suscipere Gotthicum. Eadem Patres Curiae, quam appellant Senatum, Belisario occulte exprobrabant. Quae cum Vitigis ex transfugis audisset, ut accenderet offensionem, qua rem Romanam valde turbatum iri existimabat, Legatos, in quibus erat Albes, ad Belisarium misit: qui ad eius conspectum admissi, praesentibus Senatoribus cunctisque exercitus Ducibus, orationem hanc habuerunt. *Sapienter olim, Magister militum, assignarunt homines rerum nominibus certa discrimina: quorum e numero istud profertur: Temeritas a Fortitudine diversa est. Nam illa quidem si quos occupaverit, eos turpiter in periculum coniicit: haec vero virtutis laudem amplissimam refert. Harum certe altera te ad-*

ρον μέντοι, αὐτίκα δηλώσεις. εἰ μὲν γὰρ ἀνδρείᾳ πιστεύων ἐπὶ Γότθους ἐστράτευσας (ὁρᾷς γὰρ δή που ἀπὸ τοῦ τείχους καὶ τὸ τῶν πολεμίων στρατόπεδον), καὶ σοὶ ἀνδραγαθίζεσθαι, ὦ γενναῖε, διαρκῶς πάρεστιν· ἢν δέ γε θράσει ἐχόμενος ἐφ' ἡμᾶς ὥρμησαι, πάντως σοι καὶ μεταμελήσει τῶν εἰκῇ πεπραγμένων. τῶν γὰρ ἀπονενοημένων αἱ γνῶμαι, ὅταν ἐν τοῖς ἀγῶσι γένωνται, μετανοεῖν φιλοῦσι. νῦν οὖν μήτε Ῥωμαίοις τοῖσδε περαιτέρω τὴν ταλαιπωρίαν μηκύνεσθαι ποίει, οὓς δὴ Θευδέριχος ἐν βίῳ τρυφερῷ τε καὶ ἄλλως ἐλευθέρῳ ἐξέθρεψε, μηδὲ τῷ Γότθων τε καὶ Ἰταλιωτῶν δεσπότῃ ἐμποδὼν ἵστασο. πῶς γὰρ οὐκ ἄτοπον, σὲ μὲν οὕτω καθειργμένον τε καὶ τοὺς πολεμίους κατεπτηχότα ἐν Ῥώμῃ καθῆσθαι, τὸν δὲ ταύτης βασιλέα ἐν χαρακώματι διατρίβοντα τὰ τοῦ πολέμου κακὰ τοὺς αὐτοῦ κατηκόους ἐργάζεσθαι; ἡμεῖς δὲ σοί τε καὶ τοῖς ἑπομένοις ποιεῖσθαι ἤδη τὴν ἄφοδον κατ' ἐξουσίαν παρέξομεν, ἅπαντα τὰ ὑμέτερα αὐτῶν ἔχουσι. τὸ γὰρ ἐπεμβαίνειν τοῖς τὸ σῶφρον μεταμαθοῦσιν οὔτε ὅσιον οὔτε ἄξιον τρόπου τοῦ ἀνθρωπίνου εἶναι νομίζομεν. ἡδέως δ' ἂν καὶ Ῥωμαίους ἔτι ἐροίμεθα τούσδε, τί ποτε ἄρα Γότθοις ἐπικαλεῖν ἔχοντες ἡμᾶς τε αὖ καὶ σφᾶς αὐτοὺς προΐδοσαν, οἵ γε τῆς μὲν ἡμετέρας ἐπιεικείας ἄχρι τοῦδε ἀπέλαυσαν, νῦν δὲ καὶ τῆς παρ' ἡμῶν ἐπικουρίας εἰσὶν ἔμπειροι."

11. καθειργμένον] καθειργόμενον L. 19. αὖ excidit in P. 20. ἀπέλαυσαν] ἀπήλαυσαν vulgo: quod fortasse ferendum in Procopio. 21. ἡμῶν] ὑμῶν HL.

versum nos impulit: utra autem ea sit, mox planum facies. Etenim si bellum Gotthis infers, fortitudine fretus, illius probandae facultas adest, praeclare vir; cum hostium castra moenibus adeoque tuis oculis subiecta sint. Sin armatus audacia in nos insurrexisti, facti utique temerarii te poenitet. Nam ubi in dimicationem ventum est, subire solet eorum animos poenitentia, qui rem ratione non inierunt. Nunc autem desine aerumnas his Romanis producere, quos Theodericus in deliciis ac summa libertate enutriit, nec iusto Gotthorum Italorumque domino impedimentum offer. Quo enim pacto non absurdum id fuerit, ut Romae sedeas inclusus, et prae hostium metu prodire renuens, dum urbis huius Rex, in castris agens, subditos suos belli damnis et incommodis afficit? Nos vero tibi tuisque potestatem dabimus abeundi cum rebus vestris. Nam nec fas, nec humanis moribus consentaneum esse ducimus, ad officium se et modestiam referentibus insultare. Quod ad Romanos spectat, lubenter eos interrogabimus, quo tandem crimine a Gotthis laesi, cum nos, tum se ipsi prodiderint, qui nostram hactenus experti benignitatem, iam etiam auxilium sibi a nobis oblatum vident.

Τοσαῦτα μὲν οἱ πρέσβεις εἶπον. Βελισάριος δὲ ἀμείβεται D
ὧδε „Ὁ μὲν τῆς ξυμβουλῆς καιρὸς οὐκ ἐφ' ὑμῖν κείσεται. γνώ- V 39
μῃ γὰρ τῶν πολεμίων εἰώθασιν ἥκιστα πολεμεῖν ἄνθρωποι, ἀλλ' αὐτόν τινα τὰ οἰκεῖα διατίθεσθαι νόμος, ὅπως ἂν αὐτῷ δοκῇ ὡς ἄριστα. φημὶ δὲ ὑμῖν ἀφίξεσθαι χρόνον, ἡνίκα ὑπὸ ταῖς ἀκάνθαις βουλόμενοι τὰς κεφαλὰς κρύπτεσθαι οὐδαμῇ ἕξετε. Ῥώμην μέντοι ἑλόντες ἡμεῖς τῶν ἀλλοτρίων οὐδὲν ἔχομεν, ἀλλ' ὑμεῖς ταύτης τὰ πρότερα ἐπιβατεύσαντες, οὐδὲν ὑμῖν προσῆκον, νῦν οὐχ ἑκόντες τοῖς πάλαι κεκτημένοις ἀπέδοτε. ὅστις δὲ ὑμῶν Ῥώμης ἐλπίδα ἔχει ἁμαχητὶ ἐπιβήσεσθαι, γνώμης ἁμαρτάνει. P 363
ζῶντα γὰρ Βελισάριον μεθήσεσθαι ταύτης ἀδύνατον." τοσαῦτα μὲν καὶ Βελισάριος εἶπε. Ῥωμαῖοι δὲ ἐν δέει μεγάλῳ γινόμενοι ἡσυχῇ ἐκάθηντο, καὶ οὐδὲν τοῖς πρέσβεσιν ἀντιλέγειν ἐτόλμων, καίπερ ἐπὶ τῇ ἐς Γότθους προδοσίᾳ πολλὰ πρὸς αὐτῶν κακιζόμενοι, πλήν γε δὴ ὅτι Φιδέλιος αὐτοὺς ἐρεσχελεῖν ἔγνω. ὃς τότε τῆς αὐλῆς ὕπαρχος κατεστὰς πρὸς Βελισάριον ἐτύγχανε, καὶ ἀπ' αὐτοῦ πάντων μάλιστα ἔδοξε βασιλεῖ εὐνοϊκῶς ἔχειν.

κα'. Οὕτω μὲν δὴ οἱ πρέσβεις ἐς τὸ σφέτερον στρατόπε- B
δον ἐκομίζοντο. καὶ ἐπεὶ αὐτῶν Οὐίτιγις ἐπυνθάνετο ὁποῖός τε ἀνὴρ Βελισάριος εἴη καὶ γνώμης ὅπως ποτὲ ἀμφὶ τὴν ἐνθένδε ἀναχώρησιν ἔχων, ἀπεκρίναντο ὡς οὐκ εἰκότα Γότθοι ἐλπίζουσι, διδίξεσθαι Βελισάριον ὅτῳ δὴ τρόπῳ οἰόμενοι. Οὐίτιγις δὲ

2. ξυμβουλῆς] ξυμβολῆς Grotius ex MS. 5. ἀφίξεσθαι] ἀφίστασθαι L. 6. ἕξετε] ἕξεται L. 11. ταύτης P ex Vat. τοσοῦτον HL. 13. ἐτόλμων] Vulgo ἐτόλμουν.

Locutis haec Oratoribus Belisarius ita respondit. *Deliberandi tempus non capiemus arbitrio vestro: neque enim is est hominum mos, ut de hostium sententia bellum gerant: at rem quisque suam tractare solet, prout optimum factu iudicat. Vobis autem praedico futurum tempus, cum sub ventibus capita voletis abdere, nec reliquum ibi locum habebitis. Nos demum potiti Roma nihil alienum tenemus: at vos quam antea occupaveratis iniuria, antiquis dominis inviti nunc reddidistis. Caeterum si quis vestrum sperat fore ut Romam sine ullo conflictu ingrediatur, eum sua fallit opinio. Neque enim fieri potest, ut vobis urbem hanc Belisarius, quandiu vivet, relinquat.* Secundum hanc Belisarii orationem, Romani metu percalsi ac taciti sedebant, nec audebant refellere Legatorum obiurgationem, proditos ab ipsis Gotthos vehementer querentium. Unus admodum Fidelius, quem Belisarius Praefectum Praetorio tunc creaverat, ausus eos verbis impetere, omnium maxime Imperatori studere visus est.

21. Ad sua reversi castra Oratores, quaerenti Vitigi, quis esset vir Belisarius, et quid animi ad discessum haberet, responderunt, spe vana teneri Gotthos, si Belisarium utcunque se territuros putarent. Quo Vi-

ταῦτα ἀκούσας, τειχομαχεῖν τε πολλῇ σπουδῇ ἐβουλεύετο καὶ τὰ ἐς τὴν τοῦ περιβόλου ἐπιβουλὴν ἐξηρτύετο ὧδε. πύργους ξυλίνους ἐποιήσατο ἴσους τῷ τείχει τῶν πολεμίων, καὶ ἔτυχέ γε τοῦ ἀληθοῦς μέτρου πολλάκις ξυμμετρησάμενος ταῖς τῶν λίθων ἐπιβολαῖς. τούτοις δὲ τοῖς πύργοις τροχοὶ ἐς τὴν βάσιν ἐμβεβλημέ-
C νοι πρὸς γωνίᾳ ἑκάστῃ ὑπέκειντο, οἳ δὴ αὐτοὺς κυλινδούμενοι ῥᾷστα περιάξειν ἔμελλον ὅπη οἱ τειχομαχοῦντες ἀεὶ βούλοιντο, καὶ βόες τοὺς πύργους ξυνδεδεμένοι εἷλκον. ἔπειτα δὲ κλίμακας πολλάς τε τὸ πλῆθος καὶ ἄχρι ἐς τὰς ἐπάλξεις ἐξικνουμένας ἡτοίμαζε καὶ μηχανὰς τέσσαρας, αἳ κριοὶ καλοῦνται. ἔστι δὲ ἡ μηχανὴ τοιαύτη. κίονες ὀρθοὶ ξύλινοι τέσσαρες ἀντίοι τε καὶ ἴσοι ἀλλήλοις ἑστᾶσι. τούτοις δὲ τοῖς κίοσι δοκοὺς ὀκτὼ ἐγκαρ-
H 198 σίας ἐνείροντες τέσσαρας μὲν ἄνω, τοσαύτας δὲ πρὸς ταῖς βάσεσιν ἐναρμόζουσιν. οἰκίσκου τε σχῆμα τετραγώνου ἐργαζόμενοι προκάλυμμα πανταχόθεν ἀντὶ τοίχων τε καὶ τείχους διφθέρας
D αὐτῇ περιβάλλουσιν, ὅπως ἥ τε μηχανὴ τοῖς ἕλκουσιν ἑλαφρὰ εἴη καὶ οἱ ἔνδον ἐν τῷ ἀσφαλεῖ ὦσιν, ὡς πρὸς τῶν ἐναντίων ἥκιστα βάλλεσθαι. ἐντὸς δὲ αὐτῆς δοκὸν ἑτέραν ἄνωθεν ἐγκαρσίαν ἀναρτήσαντες χαλαραῖς ταῖς ἁλύσεσι κατὰ μέσην μάλιστα τὴν μηχανὴν ἔχουσιν. ἧς δὴ ὀξεῖαν ποιούμενοι τὴν ἄκραν, σιδήρῳ πολλῷ καθάπερ ἀκίδα καλύπτουσι βέλους, ἢ καὶ τετράγωνον, ὥσπερ ἄκμονα, τὸν σίδηρον ποιοῦσι. καὶ τροχοῖς μὲν ἡ μηχανὴ τέσσαρσι πρὸς κίονι ἑκάστῳ κειμένοις ἐπῆρται, ἄνδρες δὲ αὐτὴν

3. ἐποιήσατο] ἐποιήσαντο L. 5. δὲ] δὴ L. 22. ἄκμονα] Vulgo ἄκμονα.

tigis audito, oppugnationem acriter inferre constituit, et quae ad moenia labefactanda valerent, ita paravit. Turres ligneas fecit, aequales hostili muro, cuius mensuram assecutus est, illas cum structura lapidea saepe componendo. Earum turrium basi, ad singulos angulos, suberant rotae, quarum lapsu facillime agerentur, quocunque vellent oppugnatores: ipsas demum iuncti boves trahebant. Deinde scalas paravit quamplurimas, quae ad pinnas pertingebant, ac machinas quatuor, quas Arietes vocant. Est autem eiusmodi machina. Ligneis columnis quatuor sic erectis, ut inter se oppositae et aequales stent, illis trabes inserunt transversas octo; nempe quatuor committunt supra, totidemque ad bases. Tum opus, ad cubiculi formam quadranguli, pro parietibus ac muro, undique circumtegunt corlis, ut et levis sit tractu machina, et, qui in ea sunt, tuti sint ab hostium telis. Aliam quoque trabem intus transversam, atque ex alto ad medium fere machinae spatium laxis catenis suspensam habent: cuius caput in mucronem desinens, non secus ac teli cuspidem, multo induunt ferro, incudis instar, quadrangulo. Machinam rotis quatuor, quae singulis columnis subiectae sunt, elatam, viri non minus L.

οὐχ ἧσσον ἢ κατὰ πεντήκοντα κινοῦσιν ἔνδοθεν. οἱ ἐπειδὰν αὐτὴν τῷ περιβόλῳ ἐρείσωσι, τὴν δοκὸν, ἧς δὴ ἄρτι ἐμνήσθην, P 364
μηχανῇ τινι στρέφοντες ὀπίσω ἀνέλκουσιν, αὖθις δὲ αὐτὴν ξὺν ῥύμῃ πολλῇ ἐπὶ τὸ τεῖχος ἀφιᾶσιν. ἡ δὲ συχνὰ ἐμβαλλομένη κατασεῖσαί τε ὅπη προσπίπτοι καὶ διελεῖν ῥᾷστα οἷά τέ ἐστι, καὶ ἀπ' αὐτοῦ τὴν ἐπωνυμίαν ταύτην ἡ μηχανὴ ἔχει, ἐπεὶ τῆς δοκοῦ ταύτης ἡ ἐμβολὴ προὔχουσα πλήσσειν ὅπου παρατύχοι, καθάπερ τῶν προβάτων τὰ ἄρρενα, εἴωθε. τῶν μὲν οὖν τειχομαχούντων οἱ κριοὶ τοιοίδε εἰσί.

Γότθοι δὲ πάμπολύ τι χρῆμα φακέλλων ἔκ τε ξύλων καὶ καλάμων ποιησάμενοι ἐν παρασκευῇ εἶχον, ὅπως δὴ ἐς τὴν τάφρον ἐμβαλόντες ὁμαλόν τε τὸν χῶρον ἐργάσωνται καὶ ταύτῃ διαβαίνειν αἱ μηχαναὶ ἥκιστα εἴργωνται. οὕτω μὲν δὴ Γότθοι παρασκευασάμενοι τειχομαχεῖν ὥρμηντο. Βελισάριος δὲ μηχανὰς ἐς τοὺς πύργους ἐτίθετο, ἃς καλοῦσι βαλίστρας. τόξου δὲ σχῆμα ἔχουσιν αὗται, ἐνερθέν τε αὐτοῦ κοίλη τις κεραία προὔχει, αὐτὴ μὲν χαλαρὰ ἠρτημένη, σιδηρᾷ δὲ εἰθείᾳ τινὶ ἐπικειμένη. ἐπειδὰν οὖν τοὺς πολεμίους ἐνθένδε βάλλειν ἐθέλουσιν ἄνθρωποι, βρόχου βραχέος ἐνέρσει τὰ ξύλα ἐς ἄλληλα νεύειν ποιοῦσιν, ἃ δὴ τοῦ τόξου ἄκρα ξυμβαίνει εἶναι, τόν τε ἄτρακτον ἐν τῇ κοίλῃ κεραίᾳ τίθενται, τῶν ἄλλων βελῶν, ἅπερ ἐκ τῶν τόξων ἀφιᾶσι, μῆκος μὲν ἔχοντα ἥμισυ μάλιστα, εὖρος δὲ κατὰ τὸ C
τετραπλάσιον. πτεροῖς μέντοι οὐ τοῖς εἰωθόσιν ἀνέρχονται, ἀλλὰ

12. ἐργάσωνται] ἐργάσονται H. 15. βαλίστρας] Al. βαλλίστρας, de qua διττογραφίᾳ notis ad lib. I. Chrysost. de sacerdotio. Hoescn.
17. χαλαρᾷ P. χαλαρὰ H.

intrinsecus movent; eaque muro applicita, trabem, cuius modo memini, machina agentes quadam, abducunt retro, et in murum magno cum impetu remittunt. Haec autem saepius repetita impressio eam habet vim, ut quamcunque in partem inciderit, eam facillime quatiat convellatque. Atque inde nacta nomen est machina, quod prominens trabis eiusce caput, quocunque sors tulerit, dare impetum soleat feriendo, quo modo ovium mares arietant. Ea demum forma est arietum, quibus murorum oppugnatores utuntur.

Pararunt praeterea Gotthi innumeros lignorum arundinumque fasciculos, quibus iniectis complerent fossam et aequarent, ne machinae transitu prohiberentur. Sic instructi Gotthi oppugnare muros ardebant. Belisarius vero in turribus machinas locavit, quas appellant Balistas. Habent hae speciem arcus, infra quem cornu concavum prominet, catena lata suspensum, ferreaeque virgae rectae incumbens. Qui inde volunt hostem appetere, ligna, quae sunt arcus capita duo, modici funis nexu coire cogunt, et cavo in cornu sagittam aptant, dimidio quidam sagittis aliis, quas arcubus mittunt, breviorem, sed latiorem quadruplo: nec pen-

ξύλα λεπτὰ ἐς τῶν πτερῶν τὴν χώραν ἐνείροντες ὅλον ἀπομιμοῦνται τοῦ βέλους τὸ σχῆμα. μεγάλην δὲ αὐτῷ λίαν καὶ τοῦ πάχους κατὰ λόγον τὴν ἀκίδα ἐμβαλόντες σφίγγουσί τε πολλοὶ οἱ ἀμφοτέρωθεν μηχαναῖς τισι, καί ποτε ἡ κοίλη κεραία προϊοῦσα ἐκπίπτει μὲν, ξὺν ῥύμῃ δὲ τοσαύτῃ ἐκπίπτει τὸ βέλος ὥστε ἐξικνεῖται μὲν οὐχ ἧσσον ἢ κατὰ δύο τῆς τοξείας βολὰς, δένδρου δὲ ἢ λίθου ἐπιτυχὸν τέμνει ῥᾳδίως. τοιαύτη μὲν ἡ μηχανή ἐστιν ἐπὶ τοῦ ὀνόματος τούτου, ὅτι δὴ βάλλει μάλιστα, ἐπικληθεῖσα.

D ἑτέρας δὲ μηχανὰς ἐπήξαντο ἐν ταῖς τοῦ περιβόλου ἐπάλξεσιν ἐς λίθων βολὰς ἐπιτηδείας. σφενδόναις δὲ αὗταί εἰσιν ἐμφερεῖς καὶ ὄναγροι ἐπικαλοῦνται. ἐν δὲ ταῖς πύλαις λίκνους ἔξω ἐπετίθεντο, οὓς δὴ ποιοῦσι τρόπῳ τοιῷδε. δοκοὺς δύο ἱστῶσιν ἐκ γῆς ἄχρι καὶ ἐς τὰς ἐπάλξεις ἐξικνουμένας, ξύλα τε εἰργασμένα ἐπάλληλα θέμενοι τὰ μὲν ὀρθὰ, τὰ δὲ ἐγκάρσια ἐναρμόζουσιν, ὡς τῶν ἐνέρσεων τὰ ἐν μέσῳ εἰς ἀλλήλους τρυπήματα φαίνεσθαι. ἑκάστης δὲ ἁρμονίας ἐμβολή τις προὔχει, κέντρῳ παχεῖ ἐς τὰ μάλιστα ἐμφερὴς οὖσα. καὶ τῶν ξύλων τὰ ἐγκάρσια ἐς δοκὸν ἑτέραν πηξάμενοι, ἄνωθεν ἄχρι ἐς μοῖραν διήκοντα τὴν ἡμίσειαν, ὑπτίας

P 365 τὰς δοκοὺς ἐπὶ τῶν πυλῶν ἀνακλίνουσι. καὶ ἐπειδὰν αὐτῆς ἐγγυτέρω οἱ πολέμιοι ἵκωνται, οἵδε ἄνωθεν ἄκρων δοκῶν ἀψάμενοι ὠθοῦσιν, αὗται δὲ ἐς τοὺς ἐπιόντας ἐκ τοῦ αἰφνιδίου ἐμπίπτουσαι

8. ἐμβαλόντες] ἐμβάλλοντες H. *ibid.* πολλοὶ] πολλῷ HL. 7. ἐπιτυχὸν] Vulgo ἐπιτυχὼν. 8. ἐπὶ] Lego ἀπό. Sic Synes. Epist. p. 26. ἐκάλουν ἀλλήλους οὐκ ἀπὸ τῶν ὀνομάτων, ἀλλ' ἀπὸ τῶν ἀτυχημάτων. Horsch. 20. οἵδε] οἱ δὲ H. 21. δὲ] δὴ Hm.

nis consuetis instructam, at tenuibus lignis, earum loco ita insertis, ut sagittae speciem omnino reddant. Ei demum infixa cuspide, admodum magna, pro crassitudinis portione; multi, qui utrinque astant, vincula machinis quibusdam intendunt: tum concavum cornu progrediens, erumpit: sagitta pariter vi tanta exploditur, ut sagittariorum iactus minimum duos aequet, incidensque in arborem lapidemve, facile frangat. Eiusmodi est machina, quae nomen ex eo traxit, quod vehementissime tela iaciat. In murorum pinnis alias machinas statuerunt, lapidibus mittendis idoneas: fundarum cae sunt similes, et Onagri appellantur. Portis etiam, extra murum, imposuerunt Lupos, quos ita fabricantur. Trabes erigunt binas, quae a terra ad pinnas pertingunt. Tum ligna laborata alternatim apponunt, recta haec, illa transversa; itaque committunt, ut media inter commissuras foramina appareant sibi respondentia. Ex qualibet iunctura mucro quidam prominet, stimulo crasso persimilis. Ac postquam ligna transversa alii trabi sic infixerunt, ut desuper ad dimidiam partem pervadant, efficiunt, ut trabes supinae portis incumbant. Ubi propius accessit hostis, qui sunt in parte superiori, apprehensis summis trabibus, eas impellunt. Illae vero subeuntibus incidentes repente, mu-

τοῖς προὔχουσι τῶν ἐμβολῶν, ὅσους ἂν λάβοιεν, εὐπετῶς κτεί-
νουσι. Βελισάριος μὲν ταῦτα ἐποίει.

κβ'. Γότθοι δὲ ὀκτωκαιδεκάτῃ ἀπὸ τῆς προσεδρείας ἡμέ- B
ρᾳ, Οὐιτίγιδος σφίσιν ἡγουμένου, ἀμφὶ ἥλιον ἀνατολὰς ὡς τει-
χομαχήσοντες ἐπὶ τὸν περίβολον ἦεσαν, καὶ Ῥωμαίους ἅπαντας
προϊοῦσα ἡ τῶν πύργων τε καὶ κριῶν ὄψις παντάπασί τε ἀήθης
οὖσα ἐξέπλησσε. Βελισάριος δὲ βαδίζουσαν ξὺν ταῖς μηχαναῖς H 199
ὁρῶν τὴν τῶν πολεμίων παράταξιν, ἐγέλα τε καὶ τοὺς στρατιώ-
τας ἡσυχάζειν ἐκέλευε, καὶ τῶν χειρῶν μηδαμῶς ἄρχειν, ἕως
αὐτὸς σημήνῃ. ὅτου δὲ ἕνεκα γελῴη, ἐν μὲν τῷ αὐτίκα ἥκιστα
ἐδήλου, ὕστερον δὲ ἐγνώσθη. Ῥωμαῖοι μέντοι αὐτὸν εἰρωνεύε-
σθαι ὑποτοπήσαντες ἐκάκιζόν τε καὶ ἀναιδῆ ἐκάλουν, καὶ ὅτι ἐς C
τὰ πρόσω ἰόντας οὐκ ἀναστέλλοι τοὺς ἐναντίους, δεινὰ ἐποιοῦντο.
ἐπεὶ δὲ Γότθοι τῆς τάφρου ἐγγυτέρω ἵκοντο, πρῶτος ὁ στρατη-
γὸς τὸ τόξον ἐντείνας, αὐτῶν τινα τεθωρακισμένον τε καὶ τῆς
στρατιᾶς ἡγούμενον ἐς τὸν αὐχένα ἐπιτυχὼν βάλλει. καὶ ὁ μὲν
καιρίαν πληγεὶς ἔπεσεν ὕπτιος, ὁ Ῥωμαίων δὲ λεὼς ἅπας ἀνέκρα-
γεν ἐξαίσιόν τε καὶ ἀκοῆς κρεῖσσον, ἄριστον οἰωνὸν ξυνενεχθῆναι
σφίσιν οἰόμενοι. ὃς δὲ Βελισαρίου τὸ βέλος ἀφιέντος, ταὐτὸ
τοῦτο καὶ αὖθις ξυνέβη, καὶ ἥ τε κραυγὴ μεῖζων ἀπὸ τοῦ περι- V 41
βόλου ἤρθη καὶ τοὺς πολεμίους ἠσσῆσθαι Ῥωμαῖοι ᾠοντο. καὶ D
τότε μὲν Βελισάριος τῇ μὲν στρατιᾷ πάσῃ κινεῖν τὰ τοξεύματα
ἐσήμαινε, τοὺς δὲ ἀμφ' αὐτὸν ἅπαντας ἐς μόνους τοὺς βόας

15. αὐτῶν] τῶν HL. 20. ἀπὸ τοῦ] ἀπὸ τῆς L.

cruribus prominentibus quoscumque intercipiunt, momento perimunt. Acta haec a Belisario.

22. Obsidionis die XVIII, circiter Solis ortum, Gotthi, duce Vitigi, ad oppugnanda moenia accesserunt. Ac Romani quidem, turrium arietumque appropinquantium insueto plane spectaculo percellebantur omnes: Belisarius vero hostilem aciem cum machinis progredientem videns, ridebat, et militibus imperabat, uti se continerent, nec pugnam prius lacesserent, quam ipse signum dedisset. Neque ille tum risus causam, quae patuit postmodum, prodidit. Quamobrem Romani, eum rati facete ludere, carpebant ipsum, et impudentem vocabant, atque iniquo ferebant animo, quod hostes porro pergentes haud inhiberet. Iam Gotthi fossae propinqui erant, cum primus omnium Magister militiae, intento arcu, eorum cuidam lorica induto, atque agmen ducenti, collum traiicit. Is letali accepto vulnere, supinus sternitur. Mox ab omni Rom. populo ingens et inauditus attolli clamor, optimum inde omen accipiente. Missa a Belisario sagitta altera, cum eodem successu; intentior e muro clamor sublatus est, iamque hostem devictum Romani existimarunt. Tum Belisarius cunctis militibus dato signo, sagittas expedire iubet, ac suis prae-

ἀφ' οὗ δὴ πέμπτον Ἰούλιον ξυμβαίνει εἶναι, οἱ δὲ, ὅτι Μάρτιον πρῶτον πρὸ τῆς Νουμᾶ βασιλείας ἐνόμιζον μῆνα, ὅτε δὴ Ῥωμαίοις ἐς δέκα μῆνας ὁ τοῦ ἐνιαυτοῦ χρόνος ξυνῆγε, ὁ Ἰοῦλιός τε ἀπ' αὐτοῦ Κιντύλιος ὠνομάζετο. ἀλλ' ἦν ἄρα τούτων οὐδὲν ὑγιές. οὐδὲ γὰρ βασιλεὺς τότε Ῥωμαίοις κατέστη, καὶ ἡ πολιορκία ἐνιαυτῷ ὕστερον διαλυθήσεσθαι ἔμελλε, καὶ αὖθις ἐπὶ Τωτίλα Γότθων ἄρχοντος ἐς τοὺς ὁμοίους Ῥώμῃ κινδύνους ἀνιέναι, D ὡς μοι ἐν τοῖς ὄπισθεν λελέξεται λόγοις. δοκεῖ γάρ μοι οὐ ταύτην δὴ τὴν βαρβάρων ἔφοδον τὸ μαντεῖον δηλοῦν, ἀλλ' ἑτέραν τινὰ ἢ ἤδη ξυμβᾶσαν ἢ ὕστερόν ποτε ἐσομένην. τῶν γὰρ Σιβύλλης λογίων τὴν διάνοιαν πρὸ τοῦ ἔργου ἐξευρεῖν ἀνθρώπῳ οἶμαι ἀδύνατα εἶναι. αἴτιον δὲ, ἅπερ ἐγὼ αὐτίκα δηλώσω ἐκεῖνα ἀναλεξάμενος ἅπαντα, ἡ Σίβυλλα οὐχ ἅπαντα ἐξῆς τὰ πράγματα λέγει οὐδὲ ἁρμονίαν τινὰ ποιουμένη τοῦ λόγου, ἀλλ' ἔπος εἰποῦσα ὅ τι δὴ ἀμφὶ τοῖς Λιβύης κακοῖς ἀπεπήδησεν εὐθὺς ἐς τὰ Περσῶν ἤδη. ἐνθένδε τε Ῥωμαίων ἐς μνήμην ἐλθοῦσα μεταβιβάζει ἐς τοὺς Ἀσσυρίους τὸν λόγον. καὶ πάλιν ἀμφὶ Ῥωμαίοις μαντευομένη προλέγει τὰ Βρεττανῶν πάθη. ταύτῃ τε
P 373 V 46 ἀδύνατά ἐστιν ἀνθρώπῳ ὁτῳοῦν πρὸ τοῦ ἔργου τῶν Σιβύλλης λόγων ξυνιέναι, ἢν μὴ ὁ χρόνος αὐτὸς ἐκβάντος ἤδη τοῦ πράγματος καὶ τοῦ λόγου ἐς πεῖραν ἐλθόντος ἀκριβὴς τοῦ ἔπους ἑρ-

1. *ξυμβαίνει* Opsopaeus. Vulgo *ξυμβαίνειν*. 8. *ξυνῆγε* Hm. *ξυνίη* HP. 6. *ἐνιαυτῷ* ex Vat. addidit P. 7. *Ῥώμῃ κινδύνους ἀνιέναι* Classenus. Vulgo *Ῥώμην κινδυνεύουσαν εἶναι*. 13. *Σίβυλλα*] *Σιβύλλα* P. 20. *ξυνιέναι*] *ξυνεῖναι* HL. *ξυνιέναι* Hoesch. in annot.

Numae, cum annum mensibus decem Romani componerent, primum numerabant Martium; ex quo factum, ut Iulius Quintilis dictus fuerit. At haec omnia vana erant. Nam nec Romanorum Imperator creatus tum quisquam est, nec nisi post annum solvenda erat obsidio; et quo tempore Totilas Gotthis praefuit, Roma in eadem pericula recidit, quemadmodum in libris consequentibus narrabo. Neque enim videtur mihi vaticinium, hanc Barbarorum expeditionem significare, sed aliam quampiam, vel iam ante praeteritam, vel aliquando futuram olim. Certe fieri non posse arbitror, ut mentem oraculorum Sibyllae, priusquam accesserit exitus, humana intelligentia assequatur. Cuius rei causam ex iis peto, quae meis perlecta oculis modo promam. Nimirum Sibylla non omnia pandit ordine unoque contextu: sed verbo indicatis Africae calamitatibus, in Persidem confestim transilit: hinc, Romanorum mentione inducta, orationem ad Assyrios transfert: et ad Romanos converso iterum vaticinio, Britanniae clades praenuntiat. Quare oracula Sibyllina ante eventum nemo potest percipere: sed necesse est ut tempus ipsum, re iam peracta, et comprobata experimento praedictione, huius interpres sit accu-

μηνὸς γένηται. ἀλλὰ ταῦτα μὲν λογιζέσθω ἕκαστος ὅπως αὐτῷ φίλον. ἐγὼ δὲ ὅθενπερ ἐξέβην ἐπάνειμι.

κέ. Ἐπειδὴ Γότθοι ἀπεκρούσθησαν τειχομαχοῦντες, ηὐ- B
λίσαντο τὴν νύκτα ἐκείνην οὕτως ὥσπερ ἐρρήθη ἑκάτεροι. τῇ δ' ὑστεραίᾳ Βελισάριος πάντας Ῥωμαίους ἐκέλευε παῖδάς τε καὶ γυναῖκας ἐς Νεάπολιν ὑπεκκομίζειν, καὶ τῶν οἰκετῶν ὅσους μὴ ἀναγκαίους σφίσιν ἐς τοῦ τείχους τὴν φυλακὴν ἔσεσθαι ᾤοντο, ὅπως δὴ μὴ ἐς ἀπορίαν τῶν ἐπιτηδείων καθιστῶνται. ταὐτὸ δὲ τοῦτο ποιεῖν καὶ τοῖς στρατιώταις ἐπήγγειλεν, εἴ τινι οἰκέτης ἢ θεράπαινα ἦν. οὐ γὰρ ἔτι οἷός τε εἶναι τὰς σιτήσεις αὐτοῖς ἔφασκεν ἐν πολιορκίᾳ κατὰ πὰ εἰωθότα παρέχεσθαι, ἀλλ' αὐτοὺς τὸ C
μὲν ἥμισυ ἐς ἡμέραν ἑκάστην ἐν αὐτοῖς φέρεσθαι τοῖς ἐπιτηδείοις ἐπάναγκες εἶναι, τὸ δὲ λειπόμενον ἐν ἀργυρίῳ. οἱ δὲ κατὰ ταῦτα H 204
ἐποίουν. καὶ πολὺ αὐτίκα πλῆθος ἐς Καμπανίαν ᾔει. ἐκομίζοντο δὲ οἱ μὲν πλοίων ἐπιτυχόντες ἅπερ ἐν τῷ Ῥώμης λιμένι ὡρμίζοντο, οἱ δὲ καὶ πεζῇ ὁδῷ τῇ καλουμένῃ Ἀππίᾳ ἰόντες. κίνδυνός τε οὐδεὶς ἢ δέος ἐκ τῶν πολιορκούντων ἐγένετο οὔτε τοῖς ταύτῃ βαδίζουσιν οὔτε τοῖς ἐπὶ λιμένος ἰοῦσιν. οἱ γὰρ πολέμιοι οὔτε Ῥώμην ξύμπασαν τοῖς χαρακώμασι περιλαβέσθαι διὰ τὸ μέγεθος τῆς πόλεως οἷοί τε ἦσαν οὔτε κατ' ὀλίγους ἑτόλμων μακρὰν ἀπολείπεσθαι τῶν στρατοπέδων, φοβούμενοι τὰς ἐπεκδρομὰς D
τῶν ἐναντίων. καὶ δι' αὐτὸ τοῖς πολιορκουμένοις ἐπὶ χρόνον τινὰ

2. ὅθενπερ ἐξέβην] ὅθεν παρῃξέβην L. 4. ἐρρήθη] ἐῤῥέθη P. ibid. δ' L. δὲ P. 9. οἰκέτης] οἰκέτις HL. 17. οὔτε — οὔτε] Vulgo οὐδὲ — οὐδὲ P. 19. περιλαβέσθαι] περιβαλέσθαι Hoeschelius.

ratus. Sed de his quisque ad libitum iudicet: ego vero eo, unde sum digressus revertor.

25. Ita noctem illam, ut diximus, Romani traduxere et Gotthi, postquam isti a moenibus, quae oppugnabant, repulsi sunt. Postridie Belisarius Romanis omnibus edixit, uxores, liberos ac servitia, quae ad murorum custodiam minus necessaria viderentur, deportarent Neapolin, ne annonae penuria laborarent. Idem militibus, si cui famulus vel ancilla erat, iniunxit, cum diceret obsidione eripi sibi facultatem distribuendi cibaria consueto modo; verum necesse esse ut ipsorum quidem cibariorum dimidiam portionem singulis diebus acciperent, pro reliqua vero pecuniam. Illi morem gesserunt, ac statim turba ingens in Campaniam iter intendit; idque pars navibus in Romano portu inventis, pars pedibus via Appia confecerunt. Iis autem, qui vel hac progrediebantur, vel ibant ad portum, nullum obsessores periculum, nullum metum afferebant. Nam hostes, nec Romam castris totam cingere, propter urbis magnitudinem, poterant, nec manipulatim a castris longius digredi audebant, eruptionum hostilium metu coërciti. Quapropter obsessis liberum aliquan-

πολλὴ ἐξουσία ἐγένετο τῆς τε πόλεως ἀπανίστασθαι καὶ τὰ ἐπιτήδεια ἔξωθεν ἐς αὐτὴν ἐσκομίζεσθαι. μάλιστα δὲ νύκτωρ οἱ βάρβαροι ἐς δέος τε ἀεὶ μέγα καθίσταντο καὶ φυλακὰς ποιούμενοι ἐν τοῖς στρατοπέδοις ἡσύχαζον. ἐπεὶ ἐκ τῆς πόλεως ἄλλοι τε καὶ Μαυρούσιοι συχνοὶ ἐξιόντες, ὅπη τοὺς πολεμίους ἢ καθεύδοντας ἢ ὁδῷ ἰόντας κατ' ὀλίγους εὑρήσειαν (οἷα πολλὰ ἐν στρατῷ μεγάλῳ εἰῶθε γίνεσθαι, ἄλλων τε ἀναγκαίων χρειῶν ἕνεκα καὶ τοῦ βόσκειν ἵππους τε καὶ ἡμιόνους καὶ ζῷα ὅσα ἐς βρῶσιν ἐπιτήδεια ἦν) ἔκτεινόν τε καὶ κατὰ τάχος ἐσκυλευκότες, πλειόνων σφίσιν,
P 374 ἂν οὕτω τύχῃ, πολεμίων ἐπιπεσόντων ὑπεχώρουν δρόμῳ, ἄνδρες φύσει τε ποδώκεις καὶ κούφως ἐσκευασμένοι καὶ τῇ φυγῇ προλαμβάνοντες. οὕτω μὲν ἐκ Ῥώμης ὑποχωρεῖν ὁ πολὺς ὅμιλος ἴσχυον, καὶ οἱ μὲν ἐπὶ Καμπανίας, οἱ δὲ ἐπὶ Σικελίας ἦεσαν, οἱ δὲ ὅπη ῥᾷόν τε σφίσιν ἐνομίσθη καὶ βέλτιον εἶναι. Βελισάριος δὲ ὁρῶν τόν τε στρατιωτῶν ἀριθμὸν ἥκιστα ἐς τὴν τοῦ τείχους περίοδον ἐξικνούμενον (ὀλίγοι τε γὰρ ἦσαν, ὥσπερ μοι ἔμπροσθεν εἴρηται, καὶ οὐκ ἀεὶ φυλάσσειν οἱ αὐτοὶ ἄϋπνοι ἴσχυον, ἀλλ' οἱ μὲν
B ὕπνον, ὡς τὸ εἰκὸς ἠροῦντο, οἱ δὲ ἐς τὴν φυλακὴν ἐτετάχατο, καὶ τοῦ δήμου τὸ πλεῖστον μέρος πενίᾳ τε πιεζόμενον καὶ τῶν ἀναγκαίων σπανίζον· ἅτε γὰρ βαναύσοις ἀνθρώποις ἐφημερά τε ἅπαντα ἔχουσι καὶ ἀργεῖν διὰ τὴν πολιορκίαν ἠναγκασμένοις πόρος οὐδεὶς τῶν ἐπιτηδείων ἐγένετο) στρατιώτας τε καὶ ἰδιώτας

6. εὑρήσειαν] εὑρήσειεν L. 16. τε γὰρ] Vulgo γάρ τε.
19. πιεζόμενον] πιεζόμενοι HL.

diu fuit urbe excedere, et aliunde in eam commeatus inferre. Noctu praesertim formidine trepidabant Barbari, et agentes excubias, in castris se continebant: quoniam ex urbe cum alii, tum Mauri crebro sese eliciebant, et ubicunque hostes vel somno oppressos offenderent, vel exiguo numero incedentes (ut in magno exercitu saepe fit, cum vel usus vitae necessarii postulant, vel ad pastum ducendi sunt equi, muli et pecudes, quarum carnibus vescimur) obtruncabant, illisque raptim spoliatis, si forte maior hostium numerus ingrueret, subducebant se cursu, ut est hominum genus natura levipes, armis gravibus nudum, et fuga assuetum praevertere. Itaque Roma libere migravit magna multitudo: atque hi in Campaniam, illi in Siciliam, alii alio, prout ipsis facilius videbatur ac melius, concesserunt. Tunc Belisarius numerum militum ad murorum ambitum proportionem non habere animadvertit. Pauci enim erant, ut supra dixi, nec poterant iidem semper excubare vigiles; sed his somnum, ut par erat, capientibus, illi custodiam agitabant. Praeterea videbat maximam plebis partem egestate et victus penuria premi. Et vero, cum viles essent opifices, qui in diem viverent, ac feriari cogerentur obsidione, parandae rei cibariae ratio ipsis deerat. His de causis Belisarius homines

ξυνέμιξε καὶ φυλακτήριον ἔνειμε, ῥητόν τινα μισθὸν ἰδιώτῃ ἀνδρὶ τάξας ἐς ἡμέραν ἑκάστην. ὧν δὴ ἐγένοντο μὲν καὶ ξυμμορίαι ἐς τὴν φυλακὴν ἱκανῶς ἔχουσαι, νύκτα δὲ τακτὴν ἡ φυλακὴ τοῦ περιβόλου ἐπέκειτο ξυμμορίᾳ ἑκάστῃ, ἐφύλασσόν τε αὐτῶν V 47
ἐκ περιτροπῆς ἅπαντες. καὶ ταύτῃ Βελισάριος ἑκατέρων τὴν C
ἀπορίαν διέλυεν.

Ὑποψίας δὲ ἐς Σιλβέριον τὸν τῆς πόλεως ἀρχιερέα γεγενημένης, ὡς δὴ προδοσίαν ἐς Γότθους πράσσει, αὐτὸν μὲν ἐς τὴν Ἑλλάδα ἔπεμψεν αὐτίκα, ἕτερον δὲ ἀρχιερέα ὀλίγῳ ὕστερον, Βιγίλιον ὄνομα, κατεστήσατο. τινὰς δὲ καὶ τῶν ἐκ βουλῆς ἐπ' αἰτίᾳ τοιαύτῃ ἐνθένδε ἐξελάσας, ἐπειδὴ τὴν πολιορκίαν οἱ πολέμιοι διαλύσαντες ἀνεχώρησαν, ἐς τὰ οἰκεῖα κατήγαγεν αὖθις. ἦν τοῖς καὶ Μάξιμος ἦν, οὗ δὴ ὁ προπάτωρ Μάξιμος τὸ ἐς Βα- D
λεντινιανὸν βασιλέα πάθος εἴργαστο. δείσας δὲ μή τις πρὸς φυλάκων τῶν κατὰ πύλας ἐπιβουλὴ γένηται, καί τις ἔξωθεν χρήμασί τε αὐτοὺς κακουργήσων ἴῃ, δὶς ἑκάστου μηνὸς τάς τε κλεῖς ἁπάσας ἀφανίζων ἀνενεοῦτο ἀεὶ ἐς ἕτερον σχῆμα, καὶ τοὺς φύλακας ἐς φυλακτήριον ἄλλο μακράν που ἄποθεν τοῦ προτέρου ἀντικαθίστη, τοῖς τε ἐν τῷ περιβόλῳ φυλακὴν ἔχουσιν ἄρχοντας ἐς νύκτα ἑκάστην ἑτέρους ἐφίστη. οἷς δὴ ἐπέκειτο μέτρον τι τοῦ τείχους περιοῦσιν ἐκ περιτροπῆς ἀναγράφεσθαι τὰ τῶν φυλάκων ὀνόματα, καὶ ἤν τις ἐνθένδε ἀπολειφθείη, ἕτερον μὲν ἀντ' αὐ-

7. *Σιλβέριον*] λιβέριον HL. *ibid.* τὸν excidit in P. 16. *αὐτοὺς* L corr. αὐτοῖς P. *ibid.* ἴῃ] Vulgo εἴη. 19. *φυλακὴν ἔχουσιν* addidi ex Vat. 21. *περιοῦσιν*] περιοῦσιν HL: illud Hm.

e plebe militibus adiunxit, divisitque custodias, plebeio cuique certa quadam constituta mercede in dies singulos. Eorum classes ita descriptae sunt, ut vigiliis agendis sufficerent. Ac sua cuique classi nox, qua moenia custodiret, assignata erat, sic, ut in orbem omnes excubarent. Hoc modo Belisarius utrorumque difficultatem et inopiam depulit.

Cum autem esset suspicio, Silverium, urbis Antistitem, cum Gothis proditionem moliri; confestim eum relegavit in Graeciam, ac Vigilium paulo post ad Pontificatum provexit. Quosdam etiam Senatores eamdem ob causam in exilium missos, deinde, post solutam obsidionem discessumque hostium, restituit. In eo fuit numero Maximus, cuius progenitor Maximus, Valentiniano Aug. interitum attulit. Porro veritus Belisarius ne qua fraus a portarum custodibus instrueretur, neu quis externus pecunia tentaret eorum animos et corrumperet; bis quoque mense claves omnes diffingens, nova illas forma cudebat; et in aliam stationem custodes transferebat, a pristina valde dissitam; ac vigilum, qui erant in muro, ducibus, per noctes singulas amotis, sufficiebat novos; quorum id munus erat, ut in orbem aliquod muri spatium obeundo, nomina excubiterum mandarent commentariis, ac si quis desideraretur, alterum illico in

τοῦ καταστήσασθαι ἐν τῷ παραυτίκα, ἀναστρέφειν δὲ τῇ ὑστεραίᾳ ἐς αὐτὸν, ὅστις ποτὲ ὁ ἀπολειφθεὶς εἴη, ὅπως δὴ κόλασις ἡ προσήκουσα ἐς αὐτὸν γένοιτο. καὶ μουσικοῖς μὲν ὀργάνοις
P 375 χρῆσθαι τοὺς τεχνίτας ἐν τῷ περιβόλῳ νύκτωρ ἐκέλευε, τῶν δὲ στρατιωτῶν τινας καὶ οὐχ ἥκιστα τῶν Μαυρουσίων ἔξω ἔπεμπεν, οἳ ἀμφὶ τὴν τάφρον διανυκτερεύειν ἀεὶ ἔμελλον, καὶ ξὺν αὐτοῖς κύνας ἠφίει, ὅπως δὴ μηδὲ ἄποθέν τις ἐπὶ τὸν περίβολον ἰὼν διαλάθοι. τότε καὶ τοῦ Ἰάνου νεὼ τὰς θύρας τῶν τινες Ῥωμαίων βιασάμενοι ἀνακλῖναι λάθρα ἐπείρασαν. ὁ δὲ Ἴανος οὗτος πρῶτος μὲν ἦν τῶν ἀρχαίων θεῶν, οὓς δὴ Ῥωμαῖοι γλώσσῃ τῇ σφε-
B τέρᾳ πέντας ἐκάλουν. ἔχει δὲ τὸν νεὼν ἐν τῇ ἀγορᾷ πρὸ τοῦ βουλευτηρίου ὀλίγον ὑπερβάντι τὰ τρία φᾶτα. οὕτω γὰρ Ῥωμαῖοι τὰς μοίρας νενομίκασι καλεῖν. ὅ τε νεὼς ἅπας χαλκοῦς ἐν
H 205 τετραγώνῳ σχήματι ἕστηκε, τοσοῦτος μὲν, ὅσον ἄγαλμα τοῦ Ἰάνου σκέπειν. ἔστι δὲ χαλκοῦν οὐχ ἧσσον ἢ πηχῶν πέντε τὸ
ἄγαλμα τοῦτο, τὰ μὲν ἄλλα πάντα ἐμφερὲς ἀνθρώπῳ, διπρόσωπον δὲ τὴν κεφαλὴν ἔχον, καὶ τοῦ προσώπου θάτερον μὲν πρὸς ἀνίσχοντα, τὸ δὲ ἕτερον πρὸς δύοντα ἥλιον τέτραπται. θύραι τε χαλκαῖ ἑφ' ἑκατέρῳ προσώπῳ εἰσὶν, ἃς δὴ ἐν μὲν εἰρήνῃ καὶ
C ἀγαθοῖς ἐπιτίθεσθαι τὸ παλαιὸν Ῥωμαῖοι ἐνόμιζον, πολέμου δὲ σφίσιν ὄντος ἀνεῴχθαι. ἐπεὶ δὲ τὸ τῶν Χριστιανῶν δόγμα, εἴπερ τινὲς ἄλλοι, Ῥωμαῖοι ἐτίμησαν, ταύτας δὴ τὰς θύρας οὐκέτι οὐδὲ πολεμοῦντες ἀνέκλινον. ἀλλ' ἐν ταύτῃ δὴ τῇ πολιορκίᾳ

10. Ῥωμαῖοι om. L. 11. πέντας] Immo πέναται.

eius locum substituerent; postridie demum ad Belisarium ipsum referrent absentis nomen, ut in eum pro merito animadverteretur. Nocta quoque pro moenibus artifices musicis instrumentis iubebat uti, et militum, atque in primis Maurorum, manipulos foras mittebat, ad fossam excubituros cum canibus; ut nemo, vel e longinquo, veniens ad muros, lateret. Hoc ipso tempore Romani quidam fanum Iani, foribus vi illata, clam aperire tentarunt. Fuit hic Ianus veterum primus Deorum, quos sua Romani lingua Penates appellavere. Aedem vero habet in foro pro Curia, paulo supra Tria Fata: sic Romani Parcas vocare consueverunt. Sacellum illud totum ex aere constat, quadrata forma, eaque magnitudine, quae vix tegendo Iani simulacro sufficiat. Hoc autem fusum etiam ex aere, et quinque saltem cubitos longum, caetera quidem homini simile est, sed bifrons caput habet, vultuque uno Solem orientem spectat, altero occidentem. Ad vultum utrumque stant fores aheneae, quas in pace optimisque temporibus solebant olim Romani claudere, rursus patefacere, cum bellum gererent. Verum Christianam religionem amplexi, cum tam eam colerent, quam qui maxime, nunquam, ne bello quidem ardente, fores illas aperiebant. In hac tandem obsidione, quidam superstitione

τινὲς τὴν παλαιὰν, οἶμαι, δόξαν ἐν νῷ ἔχοντες ἐγκειρήκασι μὲν αὐτὰς ἀνοιγνύναι λάθρα, οὐ μέντοι παντάπασιν ἴσχυσαν, πλήν γε δὴ ὅσον μὴ ἐς ἀλλήλας, ὥσπερ τὸ πρότερον, μεμυκέναι τὰς θύρας. καὶ ἔλαθόν γε οἱ τοῦτο δρᾶν ἐγκειρηκότες. ζήτησις δὲ τοῦ ἔργου οὐδεμία, ἅτε ἐν θορύβῳ μεγάλῳ, ἐγεγόνει, ἐπεὶ οὐδὲ τοῖς ἄρχουσιν ἐγνώσθη, οὐδὲ ἐς τὸ πλῆθος, ὅτι μὴ ἐς ὀλίγους κομισθῆ, ἦλθεν.

κς'. Οὐίτιγις δὲ τὰ πρῶτα θυμῷ τε καὶ ἀπορίᾳ ἐχόμενος τῶν δορυφόρων τινὰς ἐς Ῥάβενναν πέμψας Ῥωμαίων τοὺς ἐκ βουλῆς ἅπαντας, οὕσπερ κατ' ἀρχὰς τοῦδε τοῦ πολέμου ἐνταῦθα ἤγαγε, κτείνειν ἐκέλευε. καὶ αὐτῶν τινες μὲν προμαθόντες φυγεῖν ἴσχυσαν, ἐν οἷς Κερβεντῖνός τε ἦν καὶ Ῥεπάρατος, Βιγιλίου ἀδελφὸς, τοῦ Ῥώμης ἀρχιερέως, οἵπερ ἄμφω ἐς Λιγούρους κομισθέντες αὐτοῦ ἔμενον. οἱ δὲ λοιποὶ ἅπαντες διεφθάρησαν. μετὰ δὲ Οὐίτιγις πολλὴν ἄδειαν ὁρῶν τοῖς πολεμίοις οὖσαν ἐκφορεῖν τε εἴ τι ἐκ τῆς πόλεως βούλοιντο, καὶ τὰ ἐπιτήδεια κατά τε γῆν καὶ θάλασσαν ἐσκομίζεσθαι, τὸν λιμένα, ὃν δὴ πόρτον Ῥωμαῖοι καλοῦσι, καταλαβεῖν ἔγνω. ὃς δὴ ἀπέχει μὲν τῆς πόλεως ἓξ καὶ εἴκοσι καὶ ἑκατὸν σταδίους. μέτρῳ γὰρ τοσούτῳ τὸ μὴ ἐπιθαλασσία εἶναι διείργεται Ῥώμη. ἔστι δὲ ᾗ ὁ ποταμὸς Τίβερις τὰς ἐκβολὰς ἔχει, ὃς δὴ ἐκ Ῥώμης φερόμενος, ἐπειδὰν τῆς θαλάσσης ἐγγυτέρω γένηται ὅσον ἀπὸ σταδίων πεντεκαίδεκα, δίχα σχιζόμενος τὴν ἱερὰν καλουμένην νῆσον ἐνταῦθα ποιεῖ.

D V 48

P 376

prisca, ut reor, imbuti, ipsas pandere occulte aggressi sunt; at consilium omnino exequi non potuerunt, ita solum impulsis foribus, ut minus quam antea cohaererent. Latuere qui hoc facinus moliti fuerant, nec de illo, utpote in magno rerum tumultu, anquisitum est, praesertim cum nec Magistratibus esset cognitum, neque in vulgus, nisi ad paucos admodum, emanasset.

26. Vitigis ira tumens atque inops consilii, primum quidem satellites aliquot Ravennam misit, mortemque afferre iussit Senatoribus Romanis omnibus, quos eo duxerat belli huius initio. Eorum aliqui, re praecognita, fugae copiam nacti, evaserunt: quo in numero fuere Cerventinus et Reparatus, Vigilii Pontificis Romani frater: ambo in Liguriam profecti, ibi manserunt: caeteri omnes interfecti sunt. Deinde vero advertens Vitigis hostes cum magna securitate efferre ex urbe quaecunque vellent, et commeatus terra marique invehere, Portum, quem appellant Romani, occupare constituit, ab urbe stadiis cxxvi. dissitum: tanto enim spatio Roma a mari distat. Est autem Portus ad fauces fluvii Tiberis, qui Roma decurrens, cum a mari abest stadiis dumtaxat xv. in duos scissus alveos, insulam efficit, quam vocant Sacram. Haec progrediente flu-

12. *Κερβεντῖνος* P ex Vat. ut videtur. *γερβεντῖνος* HL. *Βεργαντῖνος* Grotius.

προϊόντος τε τοῦ ποταμοῦ εὐρυτέρα ἡ νῆσος γίνεται, ὡς τῷ μήκει τὸ τοῦ εὔρους μέτρον κατὰ λόγον εἶναι, καὶ σταδίους πεντεκαίδεκα ῥεῦμα ἑκάτερον ἐν μέσῳ ἔχειν. ναυσίπορός τε ὁ Τίβερις
B ἀμφοτέρωθι μένει. καὶ τὸ μὲν ἐν δεξιᾷ τοῦ ποταμοῦ μέρος ἐς τὸν λιμένα τὰς ἐκβολὰς ποιεῖται, ὧν ἐκτὸς πόλιν ἐκ παλαιοῦ Ῥωμαῖοι πρὸς τῇ ὄχθῃ ἐδείμαντο, τεῖχος περιβεβλημένην ἐχυρὸν μάλιστα, Πόρτον τε αὐτὴν τῷ λιμένι ὁμωνύμως καλοῦσιν· ἐν ἀριστερᾷ δὲ πρὸ τῆς ἑτέρας τοῦ Τιβέριδος ἐς τὴν θάλασσαν ἐκβολῆς πόλις Ὄστια κεῖται, τῆς τοῦ ποταμοῦ ῥόνος ἐκτὸς, λόγου μὲν πολλοῦ τὸ παλαιὸν ἀξία, νῦν δὲ ἀτείχιστος παντάπασιν οὖσα.
ὁδὸν τοίνυν, ἣ ἐς Ῥώμην ἐκ τοῦ πόρτου φέρει, ὁμαλήν τε καὶ ἐμπόδιον οὐδὲν ἔχουσαν τὸ ἐξ ἀρχῆς Ῥωμαῖοι πεποίηνται. βάρεις τε ἀεὶ πολλαὶ ἐξεπίτηδες ἐν τῷ λιμένι ὁρμίζονται, καὶ βόες οὐκ
C ὀλίγοι ἐν παρασκευῇ ἀγχοτάτω ἑστᾶσιν. ἐπειδὰν οὖν οἱ ἔμποροι ταῖς ναυσὶν ἐς τὸν λιμένα ἀφίκωνται, ἄραντες τὰ φορτία ἐνθένδε καὶ ταῦτα ἐνθέμενοι ἐν ταῖς βάρεσι, πλέουσι διὰ τοῦ Τιβέριδος ἐπὶ τὴν Ῥώμην, ἱστίοις μὲν ἢ κώπαις ἥκιστα χρώμενοι, ἐπεὶ οὔτε ἀνέμῳ τινὶ ἐνταῦθα οἷά τέ ἐστι τὰ πλοῖα ὠθεῖσθαι συχνά τε τοῦ ποταμοῦ ἑλισσομένου καὶ οὐκ ἐκ τοῦ εὐθέος ἰόντος, οὐδέ τε ἐνεργεῖν αἱ κῶπαι δύνανται, τῆς τοῦ ὕδατος ῥύμης ἀπ' ἐναντίας αὐταῖς ἀεὶ φερομένης. βρόχους δὲ ἀπὸ τῶν βάρεων ἐς τῶν βοῶν τοὺς αὐχένας ἀρτήσαντες ἕλκουσιν αὐτὰς ὥσπερ ἁμάξας ἄχρι ἐς Ῥώμην. ἑτέρωθι δὲ τοῦ ποταμοῦ ἐκ πόλεως Ὄστιας ἐς Ῥώμην

2. καὶ στ. π.] στ. π. καὶ HL. 9. ῥόνος] ῥιόνος P. ῥονος H. ῥονος L. Et sic paullo post. 19. εὐθέος L. εὐθέως P. 20. ῥύμης] ῥώμης L.

mine ita laxatur, ut latitudo proportionem habeat cum longitudine, et inter utrumque alveum stadia xv. intersint. Utrobique Tiberis navigabilis est, parsque amnis dextera in portum evolvitur. Ultra istud os, ad ripam, condiderunt urbem olim Romani, quae moenibus cincta est validissimis, ductoque a portu vocabulo Portus dicitur. Ad sinistrum alveum, os alterum fluvii Tiberis praetexit Ostia, secundum ripam ulteriorem, urbs quondam magni nominis, nunc moenibus plane nuda. Romanorum est veterum opus via plana et expedita, quae ab oppido Porto Romam ducit. Dedita autem opera semper habet portus fluviatiles naves, ac boves non pauci praesto sunt proxime. In portum pervecti negotiatores, postquam merces ex onerariis navibus in fluviaticas translatere, Romam per Tiberim navigant, sine velorum ac remorum ope: quoniam ibi nec vento naves impelli possunt, ob multiplices amnis anfractus et flexuosum iter, nec remi quidquam proficiunt contra aquae adversae impetum. Sed navigia, funibus ad boum colla alligatis, non secus ac plaustra, pertrahunt Romam usque. Ad alterum fluminis alveum, ab urbe

ἰόντι ὑλώδης τε ἡ ὁδός ἐστι καὶ ἄλλως ἀπημελημένη καὶ οὐδὲ τῆς Τιβέριδος ἠόνος ἐγγύς, ἅτε τῆς τῶν βάρεων ἀνολκῆς ἐνταῦθα D οὐκ οὔσης. ἀφύλακτον οὖν τὴν πρὸς τῷ λιμένι πόλιν εὑρόντες οἱ Γότθοι αὐτήν τε αὐτοβοεὶ εἷλον καὶ Ῥωμαίων τῶν ταύτῃ ᾠκημένων πολλοὺς ἔκτειναν, καὶ τὸν λιμένα ξὺν αὐτῇ ἔσχον. χιλίους τε σφῶν ἐνταῦθα φρουροὺς καταστησάμενοι ἐς τὰ στρατόπεδα οἱ λοιποὶ ἀνεχώρησαν. καὶ ἀπ' αὐτοῦ τοῖς πολιορκουμένοις τὰ ἐκ H 206 θαλάσσης ἐσκομίζεσθαι ἀδύνατα ἦν, ὅτι μὴ διὰ τῆς Ὀστίας πόνῳ τε, ὡς τὸ εἰκὸς, καὶ κινδύνῳ μεγάλῳ. οὐδὲ γὰρ καταλρειν ἐνταῦθα Ῥωμαίων νῆες τὸ λοιπὸν εἶχον, ἀλλ' ἐν τῷ Ἀνθίῳ ὥρμιζοντο, ἡμέρας ὁδῷ τῆς Ὀστίας ἀπέχοντι. ἔνθεν δὲ τὰ φορτία αἰρόμενοι ἐκόμιζον μόλις. αἴτιον δὲ ἡ ὀλιγανθρωπία ἐγένετο. P 377 Βελισάριος γὰρ περὶ τῷ Ῥώμης περιβόλῳ δείσας τὸν λιμένα κρατύνασθαι οὐδεμιᾷ μηχανῇ ἴσχυσεν. οἶμαι γὰρ ἂν εἰ καὶ τριακόσιοι ἐνταῦθα ἐφύλασσον, οὔ ποτε τοὺς βαρβάρους ἀποπειρᾶσθαι τοῦ χωρίου, ἐχυροῦ ὡς τὰ μάλιστα ὄντος.

κζ'. Ταῦτα μὲν οὖν, ἐπειδὴ τειχομαχοῦντες ἀπεκρούσθησαν, τρίτῃ ἡμέρᾳ οἱ Γότθοι ἔδρασαν. ἡμέραις δὲ ὕστερον εἴκοσιν ἢ ὁ πόρτος ἥ τε πόλις καὶ ὁ λιμὴν ἑάλω, Μαρτῖνός τε καὶ Βαλεριανὸς ἦκον, ἑξακοσίους τε καὶ χιλίους στρατιώτας ἱππεῖς ἐπαγόμενοι. καὶ αὐτῶν οἱ πλεῖστοι Οὖννοί τε ἦσαν καὶ Σκλαβηνοὶ καὶ Ἄνται, οἳ ὑπὲρ ποταμὸν Ἴστρον οὐ μακρὰν τῆς ἐκείνῃ B V 49

1. ἀπημελημένη Vat. ἀτημελημένη P. Conf. p. 226 b. et p. 627 b. 9. καταίρειν P et Scaliger. κατίδρειν HL. 12. ἐγένετο] ἐγίνετο L. 18. δὲ ὕστερον] δεύτερον L.

Ostia ad Romam, via silvestris est ac valde inculta, nec vicina Tiberis ripae: quippe qua minime trahantur naves. Igitur Gotthi, cum urbem, quae ad portum sita est, omni nudam praesidio offendissent, primo illam cepere aditu, et multa Romanorum ibi habitantium strage edita, portum etiam obtinuerunt. Tum praesidiariis mille e suo relictis numero, redierunt ad castra caeteri: itaque Romanis obsessis erepta facultas est, quae mari veniunt, importandi, praeterquam Ostia; idque, ut apparet, cum labore et periculo maximo. Neque enim Romanorum navigia Ostiam applicari amplius poterant, sed Antium appellebantur, unde Ostia diei iter unius distat. Inde acceptas merces difficulter portabant, in tanta hominum paucitate. Nec Belisarius, cum de muris Romae esset sollicitus, portum ullo retinere modo potuerat: quem si vel trecenti custodiissent, nunquam Barbari, ut equidem sentio, locum situ munitissimum tentassent.

27. Haec gessere Gotthi die tertio, post tentatam a se frustra murorum oppugnationem. Diebus vero post XX. quam portum urbemque cognominem obtinuerant, advenere Martinus et Valerianus cum M. DC. equitibus, quorum plerique Hunni erant, Sclaveni, et Antae: qui trans flav.

ὄχθης ἵδρυνται. Βελισάριος δὲ ἥσθη τε αὐτῶν τῇ παρουσίᾳ καὶ πολεμητέα σφίσιν ἐπὶ τοὺς πολεμίους τὸ λοιπὸν ᾤετο. τῇ γοῦν ὑστεραίᾳ τῶν δορυφόρων τῶν αὐτοῦ ἕνα, θυμοειδῆ τε καὶ
C δραστήριον Τραϊανὸν ὄνομα, τῶν ὑπασπιστῶν διακοσίους ἱππέας λαβόντα, ἐκέλευεν εὐθὺ τῶν βαρβάρων ἰέναι, καὶ ἐπειδὰν τῶν χαρακωμάτων ἐγγυτέρω ἵκωνται, ἀναβάντας ἐπὶ λόφου ἡσυχάζειν, δείξας τι χωρίον αὐτῷ. ἦν δὲ οἱ πολέμιοι ἐπ' αὐτοὺς ἴωσιν, ἐκ χειρὸς μὲν τὴν μάχην οὐκ ἐᾶν γενέσθαι, οὐδὲ ξίφους ἢ δορατίου τινὸς ἅπτεσθαι, χρῆσθαι δὲ μόνοις τοξεύμασιν, ἡνίκα τέ οἱ τὴν φαρέτραν οὐδὲν ἐντὸς ἔχουσαν ἴδῃ, φεύγειν τε κατὰ
D κράτος μηδὲν αἰδεσθέντα καὶ ἐς τὸν περίβολον ἀναχωρεῖν δρόμῳ. ταῦτα ἐπιστείλας, τῶν τε τοξευμάτων τὰς μηχανὰς καὶ τοὺς ἀμφὶ ταύτῃ τεχνίτας ἐν παρασκευῇ εἶχε. Τραϊανὸς δὲ ξὺν τοῖς διακοσίοις ἐκ πύλης Σαλαρίας ἦει ἐς τὸ τῶν πολεμίων στρατόπεδον. καὶ οἱ μὲν, καταπεπληγμένοι τῷ αἰφνιδίῳ, ἐβοήθουν ἐκ τῶν χαρακωμάτων, ὡς ἑκάστῳ ἐκ τῶν δυνατῶν ἐσκευάσθαι τετύχηκεν. οἱ δ' ἀμφὶ Τραϊανὸν ἀναβάντες ἐπὶ τοῦ λόφου, ὃν αὐτοῖς Βελισάριος ἔδειξεν, ἐνθένδε τοὺς βαρβάρους ἠμύνοντο βάλλοντες. καὶ αὐτῶν τοὺς ἀτρώκτους, ἅτε ἐς πολὺν ἐμπίπτοντας ὅμιλον, ἀνθρώπου ἢ ἵππου ἐπιτυγχάνειν ξυνέβαινεν. ἐπεὶ δὲ ἅπαντα σφᾶς τὰ βέλη ἤδη ἐπελελοίπει, οἱ δὲ κατὰ τάχος ὀπίσω ἀπήλαυνον, διώκοντες οἱ Γότθοι ἐνέκειντο. ὡς δὲ τοῦ περι-

16. ἑκάστῳ — τετύχηκεν P ex Vat. ἑκάστῳ αὐτῶν δυνατὰ εἴη * ἐνάσθαι H, et sic L, nisi quod εἴη ἐνάσθαι cum lacunae signo marginali ante ἐνάσθαι. 17. δ' HL. δὲ P. 20. ἵππου] ἵππον ἐκπλεῖστον L.

Istrum, non procul a ripa, sedes patrias habent. Recreatus eorum praesentia Belisarius, iam hostem praeliis fatigandum putavit. Ergo postridie e stipatoribus suis unum, cui nomen Traiano, virum animosum et impigrum, cum Scutariis cc. equitibus, tendere recta iubet ad Barbaros: simul iniungit, ubi propius castra venerint, superato tumulo, quem scilicet indicabat, pede presso stent: si ipsos hostis invaserit, ne sinat eos Traianus pugnare cominus, nec manum gladio vel hastae admovere, sed tantum sagittis uti: cumque exhaustam viderit pharetram, ne pudeat conii-cere se in fugam, et ad muros recurrere. His imperatis, sagittaria tormenta, et ballistarios in promptu habuit. Mox Traianus cum ducentis illis porta Salaria egressus, ad hostium castra contendit. Eruptione subita attoniti Barbari, pro se quisque accinguntur, et se castris effundunt. Traiani turmae, occupato tumulo, quem monstraverat Belisarius, appetere ceperunt hostem sagittis: quae cum in confertam multitudinem ingruerent, vel virum quaeque vel equum feriebat. Ubi nulla superfuit, habenis illi flexis citare equos: insequi Gotthi atque instare. At cum

βόλου ἐγγυτέρω ἵοντο, τά τε ἐκ τῶν μηχανῶν τοξεύματα οἱ τεχνῖται ἐνήργουν, καὶ τῆς διώξεως οἱ βάρβαροι κατωρρωδηκότες ἀπέσχοντο. λέγονται δὲ Γότθοι οὐχ ἧσσον ἢ χίλιοι ἐν τῷ ἔργῳ τούτῳ ἀποθανεῖν, ὀλίγαις δὲ ἡμέραις ὕστερον Βελισάριος Μουν- P 378
δίλαν τὸν δορυφόρον, τὸν αὐτοῦ ἑταῖρον, καὶ Διογένην, διαφερόντως ἀγαθοὺς τὰ πολέμια, ξὺν ὑπασπισταῖς τριακοσίοις στείλας, ταὐτὸ ποιεῖν τοῖς προτέροις ἐκέλευε. καὶ οἱ μὲν κατὰ ταῦτα ἐποίουν. ὑπαντιασάντων δὲ καὶ τῶν πολεμίων ξυνηνέχθη αὐτῶν οὐχ ἧσσους, εἰ μὴ καὶ πλείους, ἢ ἐν τῷ προτέρῳ ἔργῳ τρόπῳ τῷ αὐτῷ ἀπολωλέναι. πέμψας δὲ καὶ τρίτον ξὺν ἱππεῦσι τριακοσίοις Οἶλαν τὸν δορυφόρον, ἐφ' ᾧ τὰ ὅμοια τοῖς πολεμίοις ἐργάσονται, ταῦτα ἔδρασε. τρεῖς τε, καθάπερ μοι ἐρρήθη, ἐκδρομὰς ποιησάμενος τῶν ἐναντίων ἀμφὶ τετρακισχιλίους διέφθειρεν.

Οὐίτιγις δὲ (οὐ γὰρ αὐτὸν ἐσῄει τὸ διαλλάσσον ἐν τοῖς B
στρατοπέδοις τῆς τε ὁπλίσεως καὶ τῆς ἐς τὰ πολέμια ἔργα μελέτης) ῥᾷστα καὶ αὐτὸς ᾤετο τὰ ἀνήκεστα τοὺς πολεμίους ἐργάσασθαι, ἤν γε στρατῷ ὀλίγῳ ἐπ' αὐτοὺς τὴν ἔφοδον ποιοίη. ἔπεμψεν οὖν ἱππεῖς πεντακοσίους, ἄγχιστά τε τοῦ περιβόλου ἰέναι κελεύσας, καὶ ὅσα πρὸς ὀλίγων πολλάκις πολεμίων πεπόνθασι, ταῦτα δὴ ἐς ξύμπασαν τὴν ἐκείνων στρατιὰν ἐπιδείξασθαι. καὶ οἱ μὲν ἐν χωρίῳ ὑψηλῷ γενόμενοι τῆς πόλεως οὐ μακρὰν ἄποθεν, ἀλλ' ὅσον ἔξω βελῶν, ἵσταντο. Βελισάριος δὲ ἄνδρας τε ἀπο-

4. ὕστερον om. HL. 5. καὶ Διογένην] καὶ ante τὸν αὐτοῦ transponit Grotius. 8. ταῦτα] Vulgo ταυτὰ. 11. Οἶλαν] Oilandum Pers.

propius moenia ventum est, sagittas expedierunt e machinis, qui has tractabant: territi Barbari gradum continuerunt. In hoc certamine Gothos periisse ferunt haud minus mille. Paucis post diebus Belisarius Mundilam Praetorianum, sibi valde familiarem, ac Diogenem, viros bellicosissimos, cum Scutariis ccc. emissos, coeptum priori simile iussit aggredi. Quibus mandata peragentibus, cum hostes occurrissent, haud minorem, immo vero maiorem, quam in superiori conflictu, eodem modo cladem accepere. Denique tertium emisso cum ccc. equitibus Oila Praetoriano, ut simile facinus in hostem ederent, par successus fuit. Itaque tribus, ut dixi, eruptionibus, extinxit Belisarius hostium millia circiter quatuor.

At Vitigis, non attendens armaturae bellicaeque exercitationis discrimen, quod inter utrumque exercitum intercedebat, sibi persuasit, se quoque hostes facillime obtriturum, si cum pauculis turmis ipsos incesseret. Quare equites quingentos moenibus iubet appropinquare, hostiumque exercitum omnem palam ita accipere, ut ab eorum exiguo numero fuissent ipsi iam saepe habiti. Atque illi quidem, cum in locum editum evasissent, non procul ab urbe, sed solum extra teli iactum stetere. Belisa-

λέξας χιλίους καὶ Βέσσαν αὐτοῖς ἄρχοντα ἐπιστήσας ὁμόσε χωρεῖν
C ἐπὶ τοὺς πολεμίους ἐπέστελλεν. οἱ δὲ κύκλωσίν τε τῶν βαρβάρων ποιησάμενοι καὶ κατὰ νώτου ἀεὶ βάλλοντες κτείνουσί τε συ-
H 207 χνοὺς καὶ τοὺς λοιποὺς βιασάμενοι καὶ κατελθεῖν εἰς τὸ πεδίον
V 50 ἠνάγκασαν. ἔνθα δὴ τῆς μάχης οὐκ ἐξ ἀντιπάλου τῆς δυνάμεως ἐκ χειρὸς γενομένης, τῶν Γότθων οἱ μὲν πολλοὶ διεφθάρησαν, ὀλίγοι δέ τινες μόλις διαφυγόντες ἐς τὸ σφέτερον στρατόπεδον ἀνεχώρησαν. οὓς δὴ Οὐίτιγις ἅτε τῷ ἀνάνδρῳ ἠσσημένους ἐκάκιζε, καὶ τὸ πάθος ἑτέροις τισὶν ἀνασώσασθαι οὐκ ἐς μακρὰν ὑποσχόμενος, ἐν μὲν τῷ παρόντι ἡσύχαζε, τρισὶ δὲ ὕστερον ἡμέ-
D ραις ἐκ πάντων τῶν χαρακωμάτων ἄνδρας ἀπολεξάμενος πεντακοσίους ἔργα ἐς τοὺς πολεμίους ἐκέλευεν ἐπιδείξασθαι ἀρετῆς ἄξια. οὓς ἐπειδὴ Βελισάριος ἐγγυτέρω ἥκοντας εἶδε, πεντακοσίους τε καὶ χιλίους καὶ ἄρχοντας Μαρτῖνόν τε καὶ Βαλεριανὸν ἐπ' αὐτοὺς ἔστελλεν. . ἱππομαχίας τε ἐκ τοῦ εὐθέος γεγενημένης, τῷ πλήθει Ῥωμαῖοι παρὰ πολὺ ὑπεραίροντες τῶν πολεμίων, τρέπουσί τε αὐτοὺς οὐδενὶ πόνῳ καὶ σχεδόν τι ἅπαντας διαφθείρουσι.

Καὶ τοῖς μὲν πολεμίοις δεινόν τε καὶ τύχης ἐναντίωμα παντάπασιν ἐδόκει εἶναι, εἰ πολλοί τε ὄντες πρὸς ὀλίγων πολεμίων ἐπιόντων σφίσιν ἠσσῶνται καὶ κατ' ὀλίγους αὖθις ἰόντες ἐπ' αὐτοὺς διαφθείρονται. Βελισάριον δὲ δημοσίᾳ μὲν τῆς ξυνέσεως
P 379 Ῥωμαῖοι ἐπῄνουν, ἐν θαύματι αὐτὸν, ὡς τὸ εἰκὸς, μεγάλῳ ποιούμενοι, ἰδίᾳ δὲ αὐτὸν ἠρώτων οἱ ἐπιτήδειοι ὅτῳ ποτὲ τεκ-

rius vero delectis mille viris imperat, ut duce Bessa simul hostem invadant. Hi circumventos Barbaros a tergo excipiunt, et perpetuo telorum iactu confectis non paucis, reliquos vi delectos cogunt in campum descendere: ubi iniqua pugna cominus inita, Gotthorum pars maxima periit: pauci vix elapsi in sua castra se receperunt. Quos Vitigis, tanquam culpa ignaviae suae victos, male verbis accepit, seque aliorum virtute propediem iacturam resarturum pollicitus, nihil praeterea tunc temporis movit. Tertio post die, ex omnibus castris delectu habito ad quingentos, praecepit ut in hostem facinora viris digna fortibus ederent. Quos in propinquo simul Belisarius vidit, mille et quingentos, Martino ac Valeriano ducibus, in eos immisit. Statim equestri commisso certamine, Romani, hostibus longe numero superiores, eos nullo negotio in fugam vertunt, et ad unum fere trucidant.

Atque hostes quidem adversae id fortunae omnino tribuebant, quod ingenti collecti numero, paucorum Romanorum impressioni succumberent; ac rursus ipsos cum exiguis adorti copiis, cladem contraherent. Romani vero Belisarium merito suspicientes, eius prudentiam publicis laudibus efferebant. Ex eodem quaesiere in privato congressu familiares, qua

μαιρόμενος ἐκείνῃ τῇ ἡμέρᾳ, ᾗ τοὺς πολεμίους οὕτως ἡσημένους διέφυγεν, εὔελπις ἐγεγόνει τῷ πολέμῳ κατὰ κράτος αὐτῶν περιέσεσθαι. καὶ αὐτὸς ἔλεγεν ὡς αὐτὸς κατ' ἀρχὰς ξὺν ὀλίγοις τισὶν ἐς χεῖρας ἐλθὼν κατενόησεν ὅ τι ποτε τὸ διαφέρον ἐν ἑκατέρᾳ στρατιᾷ εἴη, ὥστ' εἰ κατὰ λόγον τῆς δυνάμεως τὰς ξυμβολὰς ποιοίη, οὐδὲν ἂν τῇ σφετέρᾳ ὀλιγανθρωπίᾳ τὸ τῶν πολεμίων λυμήνασθαι πλῆθος. καὶ διαφέρειν μὲν, ὅτι Ῥωμαῖοι σχεδόν τι ἅπαντες καὶ οἱ ξύμμαχοι Οὖννοι ἱπποτοξόται εἰσὶν ἀγαθοὶ, Γότθων δὲ τὸ ἔργον τοῦτο οὐδενὶ ἤσκηται, ἀλλ' οἱ μὲν ἱππεῖς αὐτοῖς μόνοις δορατίοις τε καὶ ξίφεσιν εἰώθασι χρῆσθαι, οἱ δὲ τοξόται, πεζοί τε ὄντες καὶ πρὸς τῶν ὁπλιτῶν καλυπτόμενοι, ἐς μάχην καθίστανται. οἱ οὖν ἱππεῖς, ἢν μὴ ἐκ χειρὸς ἡ ξυμβολὴ εἴη, οὐκ ἔχοντες καθ' ὅ τι ἀμυνοῦνται πρὸς τῶν ἐναντίων τοξεύμασι χρωμένων εὐπετῶς βαλλόμενοι διαφθείρονται, καὶ οἱ πεζοὶ κατ' ἀνδρῶν ἱππέων ἐπεκδρομὰς ποιεῖσθαι οὐκ ἄν ποτε ἱκανοὶ εἶεν. διὰ ταῦτα μὲν Βελισάριος ἰσχυρίζετο τοὺς βαρβάρους ἐν ταύταις δὴ ταῖς ξυμβολαῖς πρὸς Ῥωμαίων ἡσσᾶσθαι· Γότθοι δὲ τῶν σφίσι ξυμβεβηκότων τὸ παράλογον ἐν νῷ ἔχοντες οὔτε κατ' ὀλίγους τὸ λοιπὸν ἐπὶ τὸν Ῥώμης περίβολον ἐχώρουν οὔτε τοὺς πολεμίους ἐνοχλοῦντας ἐδίωκον, πλήν γε δὴ ὅσον ἐκ τῶν χαρακωμάτων ἀπώσασθαι.

κη'. Ὕστερον δὲ Ῥωμαῖοι μὲν ἅπαντες, ἐπαρθέντες τοῖς φθάσασιν εὐτυχήμασι, παντί τε τῷ Γότθων στρατεύματι ὤργων

6. τῇ σφετέρᾳ ὀλιγανθρωπίᾳ] τῆς σφετέρας ὀλιγανθρωπίας Vat. 12. μὴ Pm. Vulgo μὲν. 23. ὤργων] ὤργουν HL.

tandem coniectura nixus, eo die, quo hostes ita, ut dictum est, victos fugaverat, spem victoriae e bello vi reportandae cepisset? Respondit, se in primo certamine, quod parva stipatus manu intulerat, cognovisse, quid inter utrumque interesset exercitum: ita ut, si praelia miscerentur, servata virium proportione, nihil detrimenti suorum paucitas acceptura esset ab hostium multitudine: hoc demum differre, quod Romani ferme omnes, Hunnique, eorum socii, equites sagittarii sint peritissimi, huic autem arti Gotthorum nemo operam dederit. Sed horum equites hastis tantum et gladiis uti solent: sagittarii vero pedibus pugnant, ordinibus protecti militum gravioris armaturae. Quamobrem equites, nisi pugnetur comminus, quoniam armis carent, quae adversus hostes sagittarios valeant, facile confixi, cadunt: nec pedites unquam in equites incursiones facere possunt. Propterea Belisarius a Romanis victos in his congressibus Barbaros affirmabat. Gotthi, casus suos, adeo inopinatos, volventes animo, non amplius muros Romae parva manu petebant; neque hostem lacessentem persequebantur, nisi quantum satis erat, ut a castris eum repellerent.

28. Deinde Romanos omnes, pristinis elatos successibus, cum universo Gotthorum exercitu praeliandi cupido cepit; ita ut aperte acie de-

διὰ μάχης εἶναι καὶ πολεμητέα εἶναι ἐκ τοῦ ἐμφανοῦς σφίσιν ᾠοντο. Βελισάριος δὲ, πάμπολυ ἔτι εἶναι τὸ διαφέρον ἐν ἀμφοτέροις οἰόμενος, ὤκνει τε ἀεὶ τῷ παντὶ διακινδυνεύειν στρατεύματι καὶ τὰς ἐπεκδρομὰς ἐσπούδαζέ τε ἔτι μᾶλλον καὶ ἐπενόει ἐπὶ τοὺς πολεμίους. ἐπεὶ δὲ κακιζόμενος πρός τε ταῦ στρατοῦ καὶ τῶν ἄλλων Ῥωμαίων ἀπεῖπε, παντὶ μὲν τῷ στρατῷ μάχεσθαι ἤθελε, τὴν δὲ ξυμβολὴν ἐξ ἐπιδρομῆς οὐδέν τι ἧσσον ποιήσασθαι. πολλάκις τε ἀπεκρούσθη ἐς τοῦτο ὁρμήσας, καὶ τὴν ἔφοδον ἐς τὴν ὑστεραίαν ἀποθέσθαι ἠνάγκαστο. ἐπεὶ οὖν προγνόντας τὰ ἐσόμενα πρὸς τῶν αὐτομόλων τοὺς πολεμίους ἐν παρασκευῇ παρὰ δόξαν εὗρε, διὸ δὴ καὶ ἐκ τοῦ ἐμφανοῦς διαμαχήσασθαι τὸ λοιπὸν ἤθελε, καὶ οἱ βάρβαροι ἄσμενοι ἐς τὴν μάχην καθίσταντο, καὶ ἐπεὶ ἀμφοτέροις τὰ ἐς τὴν ξυμβολὴν ὡς ἄριστα ἤσκητο, Βελισάριος μὲν ἀγείρας τὸ στράτευμα ὅλον τοιάδε παρεκελεύσατο „Οὐ μαλακίαν τινὰ καταγνοὺς ὑμῶν, ἄνδρες στρατιῶται, οὐδὲ τῶν πολεμίων κατορρωδήσας τὴν δύναμιν τὴν πρὸς αὐτοὺς ξυμβολὴν ὤκνουν, ἀλλ' ἐπεὶ τὸν πόλεμον ἡμῖν ἐξ ἐπιδρομῆς διαφέρουσιν εὖ καθειστήκει τὰ πράγματα, διασώσασθαι ᾠμην δεῖν ἐς ἀεὶ τὴν τῆς εὐπραξίας αἰτίαν. οἷς γὰρ κατὰ νοῦν τὰ παρόντα χωρεῖ, ὑφ' ἑτέρων μεταβάλλεσθαι ἀξύμφορον οἶμαι. ὁρῶν μέντοι ἐς τόνδε ὑμᾶς προθυμουμένους τὸν κίνδυνον, εὔελπίς τέ εἰμι καὶ οὔποτε ὑμῶν τῇ ὁρμῇ ἐμποδὼν στήσομαι. οἶδα

15. ἄνδρες] ὦ ἄνδρες L. 20. ὑφ' ἑτέρων] ἐφ' ἕτερον Pm. ibid. μεταβάλλεσθαι] μεταβαλέσθαι Reg. 22. στήσομαι Vat. ἔσομαι P..

cernendum censerent. At Belisarius, utrorumque vires iniquissime comparatas adhuc esse intelligens, usque cunctabatur copias omnes in certaminis aleam mittere, et magis ac magis intento animo operam dabat, ut hostem levibus certaminibus frangeret. Victus demum cum exercitus tum aliorum etiam Romanorum reprehensione, cunctis viribus dimicare volebat, ita tamen, ut excursibus praelium fieret. Quo saepius tentato, repulsus, et oppugnationem in crastinum reiicere coactus, cum hostes a transfugis praemonitos paratosque praeter opinionem offendisset, propterea aperto Marte postmodum congredi decrevit; seque ad pugnam Barbari libenter expedierunt. Utrinque rebus ad confligendum egregie dispositis, Belisarius convocatum omnem exercitum sic allocutus est. *Iusto praelio, Milites, non ideo aversus eram, quod vel remissos animo vos iudicarem, vel vires hostium extimescerem: sed quia levibus certaminibus re bene gesta, non dimittenda successus causa mihi videbatur. Nam quibus inceptum ex sententia procedit, illis, meo quidem iudicio, consilii mutatio nocet. Quoniam vero vos egregia alacritate ad pugnandum impelli video, spe plenus optima, impetum vestrum diutius non retardabo. Et-*

γὰρ ὡς τὸ πλεῖστον ἀεὶ τῆς ἐν τοῖς πολέμοις ῥοπῆς ἡ τῶν μαχομένων κεκλήρωται γνώμη καὶ τὰ πολλὰ τῇ τούτων προθυμίᾳ κατορθοῦσθαι φιλεῖ. ὡς μὲν οὖν ὀλίγοι μετὰ τῆς ἀρετῆς τεταγμένοι πλήθους περιεῖναι οἷοί τέ εἰσι τῶν ἐναντίων ἐξεπίστανται ὑμῶν ἕκαστος, οὐκ ἀκοῇ λαβών, ἀλλ' ἐς πεῖραν ἀγῶνος τὴν καθ' ἡμέραν ἥκων. ὅπως δὲ μὴ καταισχύνητε μήτε τὴν προτέραν τῶν ἐμῶν στρατηγημάτων δόξαν μήτε τὴν ἐκ τῆσδε ὑμῶν τῆς προθυμίας ἐλπίδα, ἐφ' ὑμῖν κείσεται. πάντα γὰρ ὅσα ἡμῖν ἐν τῷδε τῷ πολέμῳ πεπραῖχθαι ξυμβαίνει πρὸς τὴν ἀπόβασιν κρίνεσθαι C τῆς παρούσης ἡμέρας ἀνάγκη. ὁρῶ δὲ καὶ τὸν παρόντα καιρὸν ἡμῖν ξυλλαμβάνοντα, ὃς ἡμῖν δεδουλωμένου τοῖς φθάσασι τοῦ τῶν πολεμίων φρονήματος ῥᾴδιον, ὡς τὸ εἰκός, τὴν ἐκείνων ἐπαράτησιν θήσεται. τῶν γὰρ πολλάκις ἠτυχηκότων ἥκιστα ἀνδραγαθίζεσθαι φιλοῦσιν αἱ γνῶμαι. ὅππου δὲ ἢ τόξου ἢ ἄλλου D ὁτουοῦν ὅπλου ὑμῶν φειδέσθω μηδείς. ἐγὼ γὰρ ὑμῖν ἐν τῷ παραυτίκα ὑπὲρ πάντων ἕτερα τῶν κατὰ τὴν μάχην διαφθειρομένων ἀνθυπουργήσω." Βελισάριος μὲν τοσαῦτα παρακελευσάμενος ἔξῃγε τὸ στράτευμα διά τε πυλίδος Πιγκιανῆς καὶ Σαλαρίας πύλης, ὀλίγους δέ τινας διὰ πύλης Αὐρηλίας ἐς Νέρωνος πεδίον ἐκέλευεν ἰέναι. οἷς δὴ Βαλεντῖνον ἐπέστησε καταλόγου ἱππικοῦ ἄρχοντα, καὶ αὐτῷ ἐπέστελλε μάχης μὲν μηδεμιᾶς ἄρχειν, μηδὲ τοῦ στρατοπέδου τῶν ἐναντίων ἐγγυτέρω ἰέναι, δόκησιν δὲ παρέχειν ἀεὶ τοῦ αὐτίκα προσβάλλειν, ὅπως μὴ τῶν ἐνταῦθα πο-

1. πολέμοις] πολεμίοις Hm. 6. μήτε — μήτε] Vulgo μηδὲ — μηδὲ. 18. Πιγκιανῆς] πιγγιανῆς HL.

enim praeliantium voluntatem maximi in praeliis momenti esse scio, et pleraque prompto eorum studio praeclare geri consuevisse. Nec vestrum quisquam est, qui aciem, numero parvam, sed magnam animis ad profligandas hostium copias ingentes sufficere, non fama, sed quotidiano pugnandi usu doctus, ignoret. Ac ne pristinam stratagematum meorum laudem, mihique iniectam alacritate vestra spem foede infringatis, situm in vobis erit. Nam quidquid in hoc bello patravimus, huius diei exitu decidatur necesse est. Qua in parte nobis hoc favere tempus intelligo; quando hostium animis infra nos praeteritorum casuum vi deiectis, consequens est, ut vincamus eos facilius. Nec vero solent e pectore, adversa saepe fortuna fracto, praeclara facinora proficisci. Caeterum nemo vestrum equo, arcui, vel cuivis armorum generi parcat. Siquidem quaecunque vobis in pugna perierint, subinde ego aliis eiusdemmodi compensabo. Secundum hanc adhortationem, exercitum Belisarius per minorem portam Pincianam ac maiorem Salariam eduxit: paucos per Aureliam in campum Neronis misit, secum ipsos Valentinum turmae equestris Ducem: cui praescripsit, ne quam pugnam inciperet, neque ad castra hostium iret propius, at semper prae

λεμίων τινὲς τὴν ἐκείνῃ γέφυραν διαβαίνοντες ἐπιβοηθεῖν τοῖς ἐκ τῶν ἄλλων χαρακωμάτων οἷοί τε ὦσι. πολλῶν γὰρ ὄντων, ὥσπερ μοι προδεδήλωται, τῶν ἐν Νέρωνος πεδίῳ στρατοπεδευομένων βαρβάρων ἱκανὸν οἱ ἐφαίνετο τούτους ἅπαντας οὐ μεταλαχόντας τῆς ξυμβολῆς ἀπὸ τοῦ ἄλλου στρατοῦ κεχωρίσθαι. καὶ ἐπειδὴ 5 Ῥωμαίων τοῦ δήμου ἐθελούσιοί τινες ὅπλα ἀνελόμενοι ἕποντο, ἐς μὲν τὴν ξυμβολὴν αὐτοὺς ξυντετάχθαι σφίσιν οὐκ εἴασε, δεί-
P 381 σας μὴ ἐν τῷ ἀγῶνι γενόμενοι κατορρωδήσωσί τε τὸν κίνδυνον καὶ τὸ στράτευμα ξυναράξωσιν ὅλον, βάναυσοί τε ἄνδρες καὶ πολέμου ἀμελέτητοι παντάπασιν ὄντες. ἐκτὸς δὲ πυλῶν Παγ- 10 κρατιανῶν, αἳ ὑπὲρ Τίβεριν ποταμόν εἰσι, φάλαγγα παησαμένους ἡσυχάζειν ἐκέλευεν, ἕως αὐτὸς σημήνῃ, λογισάμενος, ὥσπερ ἐγένετο, ὡς, εἴπερ αὐτούς τε καὶ τοὺς ἀμφὶ Βαλεντῖνον ἴδοιεν οἱ ἐν Νέρωνος πεδίῳ πολέμιοι, οὔ ποτε θαρσήσουσι τὸ σφέτερον προλιπόντες χαράκωμα ἐπὶ σφᾶς ξὺν τῷ ἄλλῳ στρατῷ ἐς 15 μάχην ἰέναι. ξύμμαχον δὲ καὶ λόγου πολλοῦ ἄξιον εἶναι ἄνδρας τοσούτους τὸ πλῆθος τοῦ τῶν ἐναντίων στρατοπέδου ἀποκεκρίσθαι.

B Οὕτως μὲν οὖν ἱππομαχίαν μόνον ἐκείνῃ τῇ ἡμέρᾳ ποιήσασθαι ἤθελεν, ἐπεὶ καὶ τῶν ἄλλων πεζῶν οἱ πλεῖστοι ἤδη μένειν ἐν 20 τοῖς καθεστῶσιν οὐκ ἀξιοῦντες, ἵππους τε τῶν πολεμίων λησάμενοι καὶ τοῦ ἱππεύειν οὐκ ἀμελέτητοι γεγενημένοι, ἱππόται ἦσαν. τοὺς δὲ πεζοὺς, ὀλίγους τε ὄντας καὶ οὔτε φάλαγγα ἔχοντας λό-

14. θαρσήσουσι] Vulgo θαρσήσωσι. 15. προλιπόντες] ἀπολιπόντες L. 19. οὕτως L. Οὕτος P.

se speciem ferret facturi mox impetum, caveretque, ne pars hostium illic agentium, transito vicino ponte, castris aliis subveniret. Cum enim, uti supra commemoravi, Barbarorum vis magna Neronis campum insedisset, satis fore Belisario videbatur, si hi omnes, expertes pugnae, a reliquis procul copiis starent. E plebe Romana quidam cum armis aderant voluntarii: quos ille acie exclusit, veritus, ne in congressu, periculo territi, totum exercitum turbarent: quippe viles erant opifices, ac rei bellicae plane rudes. Ad portam vero Pancratianam, quae trans fluvium Tiberin est, facta seorsum acie, iussit eos consistere, donec ipse, quid fieri vellet, significaret. Futurum enim putabat, quod contigit; ut hostes, qui in campo Neronis erant, si illos et Valentini turmas conspicerent, nunquam auderent suis a castris digredi, et, cum aliis Gotthorum copiis, eos, quos haberet secum, invadere. Plurimum autem se lucraturum arbitrabatur, si tanta multitudo ab iis, quos ipse peteret, seiuncta distineretur.

Eo die Belisario consilium erat, equestre dumtaxat praelium facere: cum plerique peditum, sua iam repudiata conditione, equites essent, raptis hostium equis, quos non imperite agitabant. Reliquos vero pedites, qui pauci numero, nec momenti alicuius aciem componere poterant, nec

γου ἀξίαν ποιήσασθαι οὔτε τοῖς βαρβάροις θαρσήσαντάς πω ἐς
χεῖρας ἰέναι, ἀλλ' ἐς φυγὴν ἀεὶ ἐν τῇ πρώτῃ ὁρμῇ καθισταμέ-
νους, οὐκ ἀσφαλὲς ἐνόμιζεν εἶναι ἄποθεν τοῦ περιβόλου παρα-
τάσσεσθαι, ἀλλ' αὐτοῦ ἄγχιστα τῆς τάφρου ἐν τάξει μένειν,
ὅπως, εἴ γε σφῶν τοὺς ἱππέας τρέπεσθαι ξυμβαίνοι, δέχεσθαί C
τε οἷοί τε ὦσι τοὺς φεύγοντας καὶ ξὺν αὐτοῖς ἅτε ἀκμῆτας τοὺς
ἐναντίους ἀμύνεσθαι. Πρηγκίπιος δέ τις ἐν τοῖς αὐτοῦ δορυφό-
ροις, ἀνὴρ δόκιμος, Πισίδης τὸ γένος, καὶ Ταρμοῦτος Ἴσαυ-
ρος, Ἔννου τοῦ Ἰσαύρων ἀρχηγοῦ ἀδελφὸς, Βελισαρίῳ ἐς ὄψιν V 52
ἐλθόντες ἔλεξαν τοιάδε ,,Στρατηγῶν ἄριστε, μήτε στρατευμά
σοι, ὀλίγον τε ὂν καὶ πρὸς μυριάδας βαρβάρων πολλὰς μαχησό-
μενον, ἀποτέμνεσθαι ἀξίου τῆς πεζῶν φάλαγγος, μήτε χρῆναι
τὸ Ῥωμαίων πεζικὸν ὑβρίζεσθαι οἷόν, δι' οὗ τὴν ἀρχὴν τοῖς πά-
λαι Ῥωμαίοις ἐς τόδε μεγέθους κεχωρηκέναι ἀκούομεν. εἰ γάρ τι
οὐκ ἀξιόλογον αὐτοῖς ἐν τῷδε τῷ πολέμῳ εἰργάσθαι ξυμβαίνει, D
οὐ τῆς τῶν στρατιωτῶν κακίας τεκμήριον τοῦτο, ἀλλ' οἱ τῶν
πεζῶν ἄρχοντες τὴν αἰτίαν φέρεσθαι δίκαιοι, ἵπποις μὲν ἐν τῇ
παρατάξει μόνοι ὀχούμενοι, κοινὴν δὲ ἡγεῖσθαι οὐκ ἀξιοῦντες τὴν H 209
τοῦ πολέμου τύχην, ἀλλὰ φυγῇ αὐτῶν μόνῃ ἕκαστος καὶ πρὸ
τῆς ἀγωνίας πολλῇ χρώμενοι. σὺ δὲ πάντας μὲν τῶν πεζῶν ἄρ-
χοντας ἱππέας ὁρᾷς γεγενημένους, ἥκιστά τε ξυντάττεσθαι τοῖς
σφῶν ὑπηκόοις ἐθέλοντας, οὕς γε δὴ ξὺν τῷ ἄλλῳ τῶν ἱππέων
στρατεύματι ἔχων ἐς ξυμβολὴν τήνδε καθίστασο. ἡμᾶς δὲ δὴ

7. *Πρηγκίπιος*] πριγγίπιος HL hic et infra. Sed πρηγκίπιος H p. 385. 8. *Ταρμοῦτος*] ταρμοῦτος HL hic et infra. Et sic P quoque p. 385. 10. *μήτε — μήτε*] Vulgo μηδὲ — μηδὲ.

cum Barbaris conferre manum audebant, sed in primo conflictu terga vertere erant soliti; non posse tuto procul a moenibus locari censebat, at proxime fossam debere stare; ut si forte equitatus noster verteretur in fugam, posset fugientes accipere, et, integris adhuc viribus, coniuncte hostem propulsare. Principius vero quidam, natione Pisida, vir inter ipsius Protectores nobilis, ac Tarmutus Isaurus, frater Ennae Isaurorum Ducis, cum in Belisarii conspectum venissent, oratione hac usi sunt. *Noli, Ducum fortissime, exercitum tantulum, cum multis Barbarorum myriadibus pugnaturum, ab acie pedestri seiungere, nec committendum puta, ut ignominia notetur peditatus Romanus, cui fama laudem tribuit magnitudinis huius, ad quam olim Rom. Imperium crevit. Si nihil hi in hoc bello memorabile gesserunt, non id arguit degeneres animos; sed omnis conferenda est culpa in peditum Duces: qui soli in acie vecti equis, communem belli fortunam subire nolunt; sed quisque nihil aliud nisi fugam, vel ante pugnam, cepesit. Tu vero cunctos peditum Duces iam cernis equites factos, in eadem acie cum suis militibus stare nolle: quos quidem aliis permistos equitibus certamen hoc adire sine: nobis vero concede, ut pedestrem*

τοῖς πεζοῖς ἐς παράταξιν ἡγεῖσθαι ξυγχώρει. πεζοὶ γὰρ καὶ ἡμεῖς τὸ τῶν βαρβάρων πλῆθος ξὺν αὐτοῖς οἴσομεν, ἐλπίδα ἔχοντες ὅσα ἂν ὁ θεὸς διδοῖ τοὺς πολεμίους ἐργάσασθαι." ταῦτα ἀκού-
P 382 σας Βελισάριος κατ' ἀρχὰς μὲν οὐ ξυνεχώρησεν. αὐτὼ γὰρ ἄνδρε μαχίμω ἐς ἄγαν ὄντε ὑπεργάπα καὶ πεζοὺς ὀλίγους διακινδυνεύειν οὐκ ἤθελε. τέλος τῇ τῶν ἀνδρῶν προθυμίᾳ βιαζόμενος ὀλίγους μέν τινας ἔς τε τὰς πύλας καὶ ἄνω ἐς τὰς ἐπάλξεις ξὺν Ῥωμαίων τῷ δήμῳ ἀμφὶ τὰς μηχανὰς εἴασε, τοῖς δὲ ἄλλοις Πρεγκιπιόν τε καὶ Ταρμοῦντον ἐπιστήσας ὄπισθεν αὐτοὺς ἱστασθαι ἐν τάξει ἐκέλευεν, ὅπως αὐτοί τε μὴ τὸν κίνδυνον κατορρω-
δήσαντες τὸ ἄλλο στράτευμα ξυνταράξωσι, καὶ τῶν ἱππέων ἦν
B τίς ποτε μοῖρα τρέποιτο, ὡς μὴ ἀπωτάτω χωρήσειεν, ἀλλ' ἐς τοὺς πεζοὺς καταφεύγοντες τοὺς διώκοντας οἷοί τε ὦσι ξὺν ἐκείνοις ἀμύνεσθαι.

κϑ'. Ῥωμαίοις μὲν τὰ ἐς τὴν ξυμβολὴν παρεσκεύαστο ὧδε. Οὐίτιγις δὲ Γότθους ἐξώπλισεν ἅπαντας, οὐδένα ἐν τοῖς χαρακώμασιν, ὅτι μὴ τοὺς ἀπομάχους, ἀπολιπών. καὶ τοὺς
C μὲν ἀμφὶ Μαρκίαν ἐν Νέρωνος πεδίῳ μένειν ἐκέλευε, φυλακῆς τε τῆς ἐν γεφύρᾳ ἐπιμελεῖσθαι, ὅπως δὴ μὴ ἐνθένδε οἱ πολέμιοι ἐπὶ σφᾶς ἴωσιν· αὐτὸς δὲ τὸ ἄλλο στράτευμα ξυγκαλέσας ἔλεξε τοιάδε „Ἴσως ἂν ὑμῶν τισι περὶ τὴν ἀρχὴν δεδιέναι δοκοίην καὶ ἀπ' αὐτοῦ τήν τε ἄλλην ἐς ὑμᾶς φιλοφροσύνην ἐνδείξασθαι καὶ τανῦν ὑπὲρ εὐτολμίας ὑμῖν ἐπαγωγὰ φθέγγεσθαι. καὶ τοῦτο οὐκ

22. ὑμᾶς] ἡμᾶς HL. 23. ἐπαγωγὰ] ὑπεραγωγὰ Vat.

ducamus aciem. Nos enim, pariter pedites, cum ipsis Barbarorum multitudinem sustinebimus, ea spe freti, fore ut quaecunque Deus annuerit, in hostem perpetremus. His Belisarius auditis, initio quidem tenuit. Ambos enim, fortitudinis ergo, quae in ipsis erat eximia, summe diligebat, nec volebat paucos pedites in discrimen committere. Sed tandem sollicitis utriusque precibus victus, nonnullos ad portas, supraque in murorum pinnis ad machinas cum Romana plebe manere patitur: caeteros pone aciem ordinat, ac stare iubet sub Principii Tarmutique imperio; ne consternati metu periculi, reliquis perturbationem copiis afferant; nec longius recedat, si qua forte pars equitum terga dederit; verum a peditibus excepta, cum iis hostem prohibere valeat.

29. Ita Romani ad pugnam se compararunt. Vitigis vero, cum arma Gotthis imperasset omnibus, nemine, praeter causarios, in castris relicto, Marciae quidem copias in campo Neronis haerere iussit et in custodiam pontis diligenter incumbere, ne inde ab hostibus peterentur: reliquis vero convocatis, in hunc fere modum disseruit. *Inter vos forte nonnulli sunt, qui me regno timere putent, eamque esse causam, cur et hactenus vobis singularem humanitatem exhibuerim, et modo vos ad rem rtiter gerendam blanda horter oratione. Quae quidem eorum cogitatio*

γου ἀξίαν ποιήσασθαι οὔτε τοῖς βαρβάροις θαρσήσαντάς πω ἐς
χεῖρας ἰέναι, ἀλλ' ἐς φυγὴν ἀεὶ ἐν τῇ πρώτῃ ὁρμῇ καθιστα-
μένους, οὐκ ἀσφαλὲς ἐνόμιζεν εἶναι ἄποθεν τοῦ περιβόλου παρα-
τάσσεσθαι, ἀλλ' αὐτοῦ ἄγχιστα τῆς τάφρου ἐν τάξει μένειν,
ὅπως, εἴ γε σφῶν τοὺς ἱππέας τρέπεσθαι ξυμβαίνοι, δέχεσθαί C
τε οἷοί τε ὦσι τοὺς φεύγοντας καὶ ξὺν αὐτοῖς ἅτε ἀκμῆτας τοὺς
ἐναντίους ἀμύνεσθαι. Προγκίπιος δέ τις ἐν τοῖς αὐτοῦ δορυφό-
ροις, ἀνὴρ δόκιμος, Πισίδης τὸ γένος, καὶ Ταρμοῦντος Ἴσαυ-
ρος, Ἔννου τοῦ Ἰσαύρων ἀρχηγοῦ ἀδελφός, Βελισαρίῳ ἐς ὄψιν V 52
ἐλθόντες ἔλεξαν τοιάδε ,,Στρατηγῶν ἄριστε, μήτε στρατευμά
σοι, ὀλίγον τε ὂν καὶ πρὸς μυριάδας βαρβάρων πολλὰς μαχησό-
μενον, ἀποτέμνεσθαι ἀξίου τῆς πεζῶν φάλαγγος, μήτε χρῆναι
τὸ Ῥωμαίων πεζικὸν ὑβρίζεσθαι οἷόν, δι' οὗ τὴν ἀρχὴν τοῖς πά-
λαι Ῥωμαίοις ἐς τόδε μεγέθους κεχωρηκέναι ἀκούομεν. εἰ γάρ τι
οὐκ ἀξιόλογον αὐτοῖς ἐν τῷδε τῷ πολέμῳ εἰργάσθαι ξυμβαίνει, D
οὐ τῆς τῶν στρατιωτῶν κακίας τεκμήριον τοῦτο, ἀλλ' οἱ τῶν
πεζῶν ἄρχοντες τὴν αἰτίαν φέρεσθαι δίκαιοι, ἵπποις μὲν ἐν τῇ
παρατάξει μόνοι ὀχούμενοι, κοινὴν δὲ ἡγεῖσθαι οὐκ ἀξιοῦντες τὴν H 209
τοῦ πολέμου τύχην, ἀλλὰ φυγῇ αὐτῶν μόνῃ ἕκαστος καὶ πρὸ
τῆς ἀγωνίας πολλῇ χρώμενοι. σὺ δὲ πάντας μὲν τῶν πεζῶν ἄρ-
χοντας ἱππέας ὁρᾷς γεγενημένους, ἥκιστά τε ξυντάττεσθαι τοῖς
σφῶν ὑπηκόοις ἐθέλοντας, οὕς γε δὴ ξὺν τῷ ἄλλῳ τῶν ἱππέων
στρατεύματι ἔχων ἐς ξυμβολὴν τήνδε καθίστασο. ἡμᾶς δὲ δὴ

7. *Προγκίπιος*] *προγγίπιος* HL hic et infra. Sed *προγκίπιος* H p. 385. 8. *Ταρμοῦντος*] *ταρμοῦτος* HL hic et infra. Et sic P quoque p. 385. 10. *μήτε — μήτε*] Vulgo *μηδὲ — μηδὲ*.

cum Barbaris conferre manum audebant, sed in primo conflictu terga vertere erant soliti; non posse tuto procul a moenibus locari censebat, at proxime fossam debere stare; ut si forte equitatus noster verteretur in fugam, possent fugientes accipere, et, integris adhuc viribus, coniuncte hostem propulsare. Principibus vero quidam, natione Pisida, vir inter suos Protectores nobilis, ac Tarmutus Isaurus, frater Ennae Isaurorum Ducis, cum in Belisarii conspectum venissent, oratione hac usi sunt. *Noli, Ducum fortissime, exercitum tantulum, cum multis Barbarorum myriadibus pugnaturum, ab acie pedestri seiungere, nec committendam puta, ut quominus notetur peditatus Romanus, cui fama laudem tribuit magnitudinis huius, ad quam olim Rom. Imperium crevit. Si nihil hi in hoc bello memorabile gesserunt, non id arguit degeneres animos; sed omnis conferenda est culpa in peditum Duces: qui soli in acie vecti equis, communem belli fortunam subire nolunt; sed quisque nihil aliud nisi fugam, vel ante pugnam, capessit. Tu vero cunctos peditum Duces iam cernis equites factos, in eadem acie cum suis militibus stare nolle: quos quidem aliis pervictos equitibus certamen hoc adire sine: nobis vero concede, ut pedestrem*

εὐδαίμονας ἀεὶ τοὺς πρόσθεν οὐκ εὐτυχοῦντας ἐργάζεται. εὔδηλόν τε ὡς, ἢν μετὰ τούτων ὑμεῖς τῶν λογισμῶν τήνδε τὴν ξυμ-
B βολὴν διενέγκητε, ῥᾷστα μὲν τοὺς ἐναντίους νικήσετε, ὀλίγους τε ὄντας καὶ Γραικοὺς ἢ ἴσους, κολάσετε δὲ αὐτοὺς αὐτίκα δὴ μάλα τῆς τε ἀδικίας καὶ ὕβρεως ἧς ἐς ἡμᾶς ἦρξαν. ἡμεῖς μὲν γὰρ ὅ αὐτῶν ἀρετῇ τε καὶ πλήθει καὶ τοῖς ἄλλοις ἅπασιν ὑπεραίρειν αὐχοῦμεν, οἱ δὲ θρασύνονται καθ' ἡμῶν τοῖς ἡμετέροις κακοῖς ἐπαρθέντες, καὶ μόνον ἐφόδιον ἔχοντες τὴν ἡμετέραν ὀλιγωρίαν. βόσκει γὰρ αὐτῶν τὴν παρρησίαν τὸ παρὰ τὴν ἀξίαν εὐτύχημα." τοσαῦτα καὶ Οὐίτιγις παρακελευσάμενος διεκόσμει τὸ στράτευμα 10
εἰς παράταξιν, πεζοὺς μὲν ἐς μέσον καταστησάμενος, τοὺς ἱππέας δ' ἐς ἄμφω τὰ κέρατα. οὐκ ἄποθεν μέντοι τῶν χαρακωμά-
C των τὴν φάλαγγα διέτασσεν, ἀλλ' αὐτοῦ ἄγχιστα, ὅπως, ἐπειδὰν τάχιστα ἡ τροπὴ γένηται, εὐπετῶς οἱ πολέμιοι καταλαμβανόμενοι διαφθείρωνται, ἐν χώρῳ πολλῷ τῆς διώξεως αὐτοῖς γι- 15
νομένης. ἤλπιζε γὰρ, ἢν ἐν τῷ πεδίῳ ἡ μάχη ξυστάδην γένηται, αὐτοὺς οὐδὲ βραχύν τινα χρόνον ἀνθέξειν, τεκμαιρόμενος
H 210 πολλῷ τοῦτο τῷ παραλόγῳ, ὅτι οὐκ ἀντίπαλον τῷ σφετέρῳ τὸ τῶν πολεμίων στράτευμα εἴη.

Οἱ μὲν οὖν στρατιῶται πρωὶ ἀρξάμενοι ἔργου ἑκατέρωθεν 20
εἴχοντο. Οὐίτιγις δὲ καὶ Βελισάριος ὄπισθεν ἐγκελευόμενοι ἀμ-

2. λογισμῶν P ex coniectura Maltreti. λογιμῶν L. λογίμων H.
3. ῥᾷστα L. ῥᾷστον P. *ibid.* νικήσετε] Vulgo νικήσητε.
4. ἴσους] Ἰσαύρους Grotius. 15. γινομένης] γενομένης L.
16. ξυστάδην HL. συστάδην P.

certim cita, eos semper beatos efficit, quibus antea parum prospera fortuna fuit. Cum his animi sensibus si pugnam hanc inieritis, perspicuum est, vos ex hostibus, qui pauci sunt numero, iique Graeculi, vel similes generis facillime relaturos victoriam, et cum iniuriae, tum contumeliae, qua nos lacessiverunt, poenas brevi sumpturos. Nec vero immerito gloriamur nos illis virtute, numero, caeterisque rebus omnibus anteire: quamquam in nos ferociunt, adversis casibus nostris inflati, neque alio freti praesidio, nisi stolido contemptu nostri; alente ipsorum licentiam laeto successu, quem praeter meritum habuerunt. Ita Gothos hortatus Vitigis, instruxit aciem, locatis in medio cohortibus peditum, et in cornu utroque equitum turmis. Nec procul a castris aciem ordinavit, sed proxime: ut cum primum fugam hostes capesserent, ab assequentibus facile conficerentur, longo illis, qui instarent, patente spatio. Nam si in campo praelium pede collato fieret, Romanos ne punctum quidem temporis restituros sperabat, id coniiciens ex iniquissima virium utriusque exercitus comparatione.

Mane, facto pugnae initio, rem utrinque milites aggrediuntur, dum, a tergo hortantes, dant animos Vitigis ac Belisarius. Principio supe-

ἄπο τοῦ ἀνθρωπείου τρόπου λογίζονται. εἰώθασι γὰρ ἀμαθεῖς ἄνθρωποι, ὧν μὲν ἂν δέοιντο, πρᾳότητι ἐς αὐτοὺς χρῆσθαι, κἂν πολλῷ τῷ διαλλάσσοντι καταδεέστεροι τύχωσιν ὄντες, ἐς δὲ τοὺς ἄλλους δυσπρόσωποι εἶναι, ὧν τῆς ὑπουργίας οὐ χρῄζουσιν. ἐμοὶ μέντοι οὔτε βίου καταστροφῆς οὔτε ἀρχῆς στερήσεως D μέλει. εὐξαίμην γὰρ ἂν καὶ τὴν πορφυρίδα ταύτην ἀποδύσασθαι τήμερον, εἰ Γότθος ἀνὴρ αὐτὴν ἐνδιδύσκεσθαι μέλλοι. καὶ τὸ Θευδάτου πέρας ὄλβιον ἐν τοῖς μάλιστα γεγενῆσθαι νενόμικα, ᾧ γε ταῖς τῶν ὁμοφύλων χερσὶ τήν τε ἀρχὴν ἀφεῖναι καὶ τὴν ψυχὴν ἅμα τετύχηκε. ξυμφορὰ γὰρ ἰδίᾳ προσπίπτουσα μὴ ξυμφθειρομένου τοῦ γένους τοῖς γε οὐκ ἀνοήτοις παραψυχῆς οὐκ ἐστέρηται. ἐννοοῦντι μὲν δὴ τό τε Βανδίλων πάθος καὶ τὸ τοῦ Γελίμερος τέλος οὐδὲν εἰσέρχεται μέτριον, ἀλλὰ Γότθους μὲν ὁρῶν μοι δοκῶ ξὺν τοῖς παισὶ δεδουλωμένους, γυναῖκας δὲ ὑμέτερας ἀνδράσιν ἐχθίστοις τὰ πάντων αἴσχιστα ὑπηρετούσας, P 383 ἐμαυτὸν δὲ ἀγόμενον καὶ τῆς Θευδερίχου θυγατρὸς παῖδα ὅπη ποτὲ τοὺς νῦν πολεμίους ἀρέσκει· ταῦτα βουλοίμην ἂν καὶ ὑμᾶς ὅπως μὴ προσπέσωσι δείσαντας ἐς μάχην τήνδε καθίστασθαι. V 53 οὕτω γὰρ ἂν ἐν τῷ τῆς ξυμβολῆς χωρίῳ τὴν τοῦ βίου καταστροφὴν περὶ πλείονος τῆς μετὰ τὴν ἧτταν σωτηρίας ποιήσησθε. ἑνὶ γὰρ μόνῳ κακοτυχεῖν ἄνδρες γενναῖοι τῷ τῶν πολεμίων ἐλασσοῦσθαι νομίζουσι. θάνατος δὲ, ἄλλως τε καὶ ταχὺς ἥκων,

5. οὔτε — οὔτε] Vulgo οὐδὲ — οὐδὲ. 17. ἀρέσκει] Vulgo ἀρέσκειν. ἀρέσειε vel ἀρέσκοι Pm. 20. ποιήσησθε] ποιήσαισθε vel saltem ποιήσεσθε.

ab humani more ingenii non abhorret. Quorum enim auxilio opus habent rudiores homines, cum iis, quamvis longe conditione inferioribus, comiter agere et affabiliter solent: caeteros, quorum opera minime egent, duriter tractant. Me vero nec regni nec vitae movet amissio: ut qui vel hodie purpuram hanc exuere cupiam, si modo vir ea Gothus induendus est; obitumque Theodati felicissimum iudicem, qui popularium suorum manibus ereptum sibi pariter cum anima regnum reliquit. Etenim qui mente capti non sunt, aliquid habent solatii in calamitate domestica, si gentis perniciem non trahat secum. Simul autem me cogitatione converto ad Vandalorum exitium cum tristi coniunctum Gelimeris exitu; non leviter miserabile offert se animo meo species: at videre mihi videor Gothos cum liberis abstractos in servitutem, uxores vestras inimicissimorum hominum libidini turpissimae coactas obsequi; me ipsum ad Theoderici ex filia neptem abductos, quocumque libitum iis fuerit, quibuscum nunc bellum gerimus. Vos quoque haec ne accidant vereamini, eoque incensi metu pugnetis velim. Nam ita fiet, ut in campo honeste cadere satius existimetis, quam vestrae cladi superesse: siquidem vita, infra hostium conditionem demissa, res una est, in qua viri magnanimi infelicitatem constituunt. Mors demum, prae-

εὐδαίμονας ἀεὶ τοὺς πρόσθεν οὐκ εὐτυχοῦντας ἐργάζεται. εὔδηλόν τε ὡς, ἢν μετὰ τούτων ὑμεῖς τῶν λογισμῶν τήνδε τὴν ξυμ-
B βολὴν διενέγκητε, ῥᾷστα μὲν τοὺς ἐναντίους νικήσετε, ὀλίγους τε ὄντας καὶ Γραικοὺς ἢ ἴσους, κολάσετε δὲ αὐτοὺς αὐτίκα δὴ μάλα τῆς τε ἀδικίας καὶ ὕβρεως ἧς ἐς ἡμᾶς ἤρξαν. ἡμεῖς μὲν γὰρ αὐτῶν ἀρετῇ τε καὶ πλήθει καὶ τοῖς ἄλλοις ἅπασιν ὑπεραίρειν αὐχοῦμεν, οἱ δὲ θρασύνονται καθ' ἡμῶν τοῖς ἡμετέροις κακοῖς ἐπαρθέντες, καὶ μόνον ἐφόδιον ἔχοντες τὴν ἡμετέραν ὀλιγωρίαν. βόσκει γὰρ αὐτῶν τὴν παρρησίαν τὸ παρὰ τὴν ἀξίαν εὐτύχημα." τοσαῦτα καὶ Οὐίτιγις παρακελευσάμενος διεκόσμει τὸ στράτευμα
C εἰς παράταξιν, πεζοὺς μὲν ἐς μέσον καταστησάμενος, τοὺς ἱππέας δ' ἐς ἄμφω τὰ κέρατα. οὐκ ἄποθεν μέντοι τῶν χαρακωμάτων τὴν φάλαγγα διέτασσεν, ἀλλ' αὐτοῦ ἄγχιστα, ὅπως, ἐπειδὰν τάχιστα ἡ τροπὴ γένηται, εὐπετῶς οἱ πολέμιοι καταλαμβανόμενοι διαφθείρωνται, ἐν χώρῳ πολλῷ τῆς διώξεως αὐτοῖς γι-
H 210 νομένης. ἤλπιζε γὰρ, ἢν ἐν τῷ πεδίῳ ἡ μάχη ξυστάδην γένηται, αὐτοὺς οὐδὲ βραχύν τινα χρόνον ἀνθέξειν, τεκμαιρόμενος πολλῷ τοῦτο τῷ παραλόγῳ, ὅτι οὐκ ἀντίπαλον τῷ σφετέρῳ τὸ τῶν πολεμίων στράτευμα εἴη.

Οἱ μὲν οὖν στρατιῶται πρωὶ ἀρξάμενοι ἔργου ἑκατέρωθεν εἴχοντο. Οὐίτιγις δὲ καὶ Βελισάριος ὄπισθεν ἐγκελευόμενοι ἀμ-

2. λογισμῶν P ex coniectura Maltreti. λογιμῶν L. λογίμων H. 3. ῥᾷστα L. ῥᾷστον P. ibid. νικήσετε] Vulgo νικήσητε. 4. ἴσους] Ἰσαύρους Grotius. 15. γινομένης] γενομένης L. 16. ξυστάδην HL. συστάδην P.

sertim cita, eos semper beatos efficit, quibus antea parum prospera fortuna fuit. Cum his animi sensibus si pugnam hanc inieritis, perspicuum est, vos ex hostibus, qui pauci sunt numero, iique Graeculi, vel similes generis facillime relaturos victoriam, et cum iniuriae, tum contumeliae, qua nos lacessiverunt, poenas brevi sumpturos. Nec vero immerito gloriamur nos illis virtute, numero, caeterisque rebus omnibus anteire: quamquam in nos ferociunt, adversis casibus nostris inflati, neque alio freti praesidio, nisi stolido contemptu nostri; alente ipsorum licentiam laeto successu, quem praeter meritum habuerunt. Ita Gotthos hortatus Vitigis, instruxit aciem, locatis in medio cohortibus peditum, et in cornu utroque equitum turmis. Nec procul a castris aciem ordinavit, sed proxime: ut cum primum fugam hostes capesserent, ab assequentibus facile conficerentur, longo illis, qui instarent, patente spatio. Nam si in campo praelium pede collato fieret, Romanos ne punctum quidem temporis restituros sperabat, id coniiciens ex iniquissima virium utriusque exercitus comparatione.

Mane, facto pugnae initio, rem utrinque millites aggrediuntur, dum, a tergo hortantes, dant animos Vitigis ac Belisarius. Principio supe-

φοτέρους ἐς εὐψυχίαν ὥρμων. καὶ τὰ μὲν πρῶτα καθυπέρτερα ἦν τὰ Ῥωμαίων, οἵ τε βάρβαροι πρὸς τῶν τοξευμάτων συχνοὶ D ἔπιπτον, δίωξις μέντοι αὐτῶν οὐδεμία ἐγίνετο. ἅτε γὰρ ἐν πλήθει μεγάλῳ οἱ Γότθοι καθεστῶτες ῥᾷστα δὴ ἐς τῶν διαφθειρομένων τὴν χώραν ἕτεροι ἵσταντο, αἴσθησίν τε οὐδεμίαν τῶν ἐν σφίσιν ἀπολλυμένων παρείχοντο. καὶ τοῖς Ῥωμαίοις ἱκανὸν ἐφαίνετο ὀλίγοις λίαν ἐς τόδε οὖσιν αὐτοῖς τὴν ἀγωνίαν ἀποκεκρίσθαι. τήν τε μάχην ἄχρι ἐς τὰ τῶν ἐναντίων στρατόπεδα διενεγκοῦσιν ἐς μέσην ἡμέραν, καὶ πολλοὺς ἤδη διαφθείρουσι τῶν πολεμίων, βουλομένοις ἦν ἐς τὴν πόλιν ἐπανιέναι, ἤν τις αὐτοῖς γένηται σκῆψις. ἐν τούτῳ τῷ πόνῳ ἄνδρες Ῥωμαῖοι ἀγαθοὶ πάντων μάλιστα ἐγένοντο τρεῖς, Ἀθηνόδωρός τε, ἀνὴρ Ἴσαυρος, ἐν τοῖς Βελισαρίου δορυφόροις εὐδόκιμος, καὶ Θεοδώρητός τε καὶ Γεώργιος Μαρτίνου δορυφόροι, Καππαδόκαι γένος. ἀεὶ γὰρ τοῦ τῆς P 384 φάλαγγος ἐξιόντες μετώπου δόρασι διειργάζοντο τῶν βαρβάρων πολλούς. ταῦτα μὲν ἐφέρετο τῇδε. ἐν δὲ Νέρωνος πεδίῳ χρόνον μὲν συχνὸν ἀντεκάθηντο ἑκάτεροι ἀλλήλοις, καὶ οἱ Μαυρούσιοι ἐπεκδρομάς τε ἀεὶ ποιούμενοι καὶ τὰ δοράτια ἰσακοντίζοντες τοὺς Γότθους ἐλύπουν. ἐπεξιέναι γὰρ πρὸς αὐτοὺς ἥκιστα ἤθελον, δεδιότες τοὺς ἐκ τοῦ Ῥωμαίων δήμου οὐκ ἄποθεν ὄντας, οἷς δὴ στρατιώτας τε ᾤοντο εἶναι καὶ τινα ἐνέδραν ἐς σφᾶς ποιουμένους, ἡσυχῇ μένειν, ὅπως κατὰ νώτου ἰόντες ἀμφιβό- B λους τε ποιησάμενοι διαφθείρωσιν. ἤδη δὲ τῆς ἡμέρας μεσού-

6. παρείχοντο] παρείχετο L: illud Hm. 8. ἄχρι L. ἄχρις P.
13. Θεοδώρητος] Vulgo Θεοδώριτος. 16. ἐν δὲ] ἐν μὲν HL.

rior fuit Romana res, et quamvis confixi sagittis Barbari frequentes caderent, haud tamen eorum acies inclinavit. Cum enim starent Gothi ingenti numero, in cadentium locum alii succedebant expeditissime, ita ut sensum clades fugeret. Ac Romanis, cum pauculi essent, operae pretium videbatur eo modo pugnasse hactenus: et praelio ad hostium usque castra illato, iamque ad meridiem producto, non sine magna eorum caede, urbem repetere animus erat, si quis praetextus suppeteret. In hoc certamine omnium generosissime se gesserunt ex acie Romana tres: Athenodorus, Isaurus genere et inter Protectores Belisarii clarus, Theodoritus et Georgius, stipatores Martini, natione Cappadoces. Nam ultra aciei frontem provecti crebris excursibus, multos Barbaros hastis interemerunt. Ibi quidem sic res ibat: in campo autem Neroniano, utrique die in conspectu stetere; sic tamen, ut Mauri frequentibus velitationibus Gothos infestarent, cum in eos iacula mitterent, nec vellent illi se efferre contra, veriti ne Romanae plebis catervae, in propinquo positae, quas constare militibus, et insidias parare sibi existimabant, eo consilio se non moverent, ut subirent a tergo, et quos interceperissent, utrinque

δὲ καὶ τὸ ἄλλο Ῥωμαίων στράτευμα ὑπεχώρει, ἐγκειμένων σφίσι τῶν πολεμίων, καὶ ἡ τροπὴ κατὰ κράτος ἐγίνετο. Πριγκίπιος δὲ καὶ Ταρμοῦτος ξὺν ὀλίγοις τισὶ τῶν ἀμφ' αὐτοὺς πεζῶν ἔργα
C ἐπεδείξαντο ἀρετῆς ἄξια. ἐς αὐτοὺς γὰρ μαχομένους τε καὶ τρέπεσθαι ξὺν τοῖς ἄλλοις ἥκιστα ἀξιοῦντας τῶν Γότθων οἱ πλεῖστοι ἐν θαύματι τοῦτο μεγάλῳ ποιούμενοι ἔστησαν. καὶ ἀπ' αὐτοῦ οἵ τε ἄλλοι πεζοὶ καὶ τῶν ἱππέων οἱ πλεῖστοι ἀδεέστερον διεκώθησαν. Πριγκίπιος μὲν οὖν, κρεουργηθεὶς τὸ σῶμα ὅλον, αὐτοῦ ἔπεσε, καὶ πεζοὶ ἀμφὶ αὐτὸν τεσσαράκοντα καὶ δύο. Ταρμοῦτος δὲ δύο ἀκόντια Ἰσαυρικὰ ἐν ἀμφοτέραις ταῖς χερσὶν ἔχων, νύττων τε ἀεὶ τοὺς ἐπιόντας ἐπιστροφάδην, ἐπειδὴ κοπτόμενος τὸ σῶμα ἀπείπεν, Ἔννου τἀδελφοῦ ξὺν ἱππεῦσί τισιν ἐπιβεβοηθηκότος, ἀνέπνευσέ τε καὶ δρόμῳ ὀξεῖ λύθρου τε καὶ πληγῶν ἔμ-
D πλεως ἐπὶ τὸν περίβολον οὐδέτερον τῶν ἀκοντίων ἀποβαλὼν ἦει. ποδώκης δὲ ὢν φύσει διαφυγεῖν ἴσχυσε, καίπερ οὕτω τοῦ σώματος ἔχων, παρ' αὐτάς τε τὰς Πυγκιανὰς πύλας ἐλθὼν ἔπεσε. καὶ αὐτὸν τετελευτηκέναι δόξαντα ὑπὲρ ἀσπίδος ἄραντες τῶν τινες ἑταίρων ἐκόμισαν. ὁ δὲ ἡμέρας δύο ἐπιβιοὺς ἐτελεύτησε, λόγον αὐτοῦ πολὺν ἔν τε Ἰσαύροις καὶ τῷ ἄλλῳ στρατοπέδῳ ἀπολιπών. πεφοβημένοι τε ἤδη Ῥωμαῖοι φρουρᾶς τῆς ἐν τῷ τείχει ἐπεμε-
20 λοῦντο καὶ τὰς πύλας ἐπιθέντες ξὺν θορύβῳ πολλῷ τῇ πόλει τοὺς φεύγοντας οὐκ ἐδέχοντο, δεδιότες μὴ ξυνεισβάλλωσιν αὐτοῖς οἱ

3. αὐτοὺς] αὐτῶν L. αὐτὸν H: αὐτοὺς Hm. 4. ἐς αὐτοὺς] ἑαυτοὺς Reg. 16. τὰς excidit in P.

equitibus aufugere: mox et caeterae Romanorum copiae inclinari, urgente hoste, et vi eversae dilabi retro. Principius ac Tarmutus, cum exigua peditum suorum manu, digna fortibus animis facinora ediderunt. Nam ad ipsos pugnantes nolentesque cum aliis terga vertere, pars maxima Gotthorum constitit, admiratione defixa: quo tutius reliqui pedites equitesque plurimi evaserunt. Ac Principius quidem, toto corpore conciso, ibidem occubuit, et circa illum pedites XLII. Tarmutus vero spiculis duobus Isauricis, quibus utramque manum instruxerat, irruentes nunc hos, nunc illos punctim ferire non desinens, cum deficeret affectus vulneribus, levatus ope, quam cum equitibus nonnullis attulit Ennes frater, resumpsit spiritum: tum cruore et plagis coopertus, celerem cursum ad muros, neutro amisso spiculo, intendit; velocitate pedum, qua valebat, id consecutus, ut, quamvis corpore sic affecto, evaderet. Cum portam Pincianam attigisset, concidit, eumque pro mortuo habitum sodales ipsius quidam supposito clypeo portarunt. Biduo superstes obiit, praeclaram apud Isauros omnemque exercitum relinquens famam. Iam exterriti Romani, in custodiendis moenibus toti erant, ac portis cum maxime tumultu clausis, fugientes urbe excludebant, veriti, ne cum ipsis hostes irrumpe-

πολέμιοι. καὶ αὐτῶν ὅσοι οὐκ ἔφθασαν τοῦ περιβόλου ἐντὸς γε-
γενημένοι, τὴν τάφρον διαβάντες καὶ τῷ τείχει τὰ νῶτα ἐρείσαν- V 55
τες, ἔτρεμόν τε καὶ πάσης ἀλκῆς ἐπιλελησμένοι εἱστήκεισαν ἀμύ- P 386
νασθαί τε τοὺς βαρβάρους ἥκιστα ἴσχυον, καίπερ ἐγκειμένους τε
καὶ τὴν τάφρον ὑπερβῆναι ἐπ' αὐτοὺς μέλλοντας. αἴτιον δὲ ἦν
ὅτι τοῖς μὲν πολλοῖς τὰ δόρατα ἔν τε τῇ ξυμβολῇ καὶ τῇ φυγῇ
κατεαγότα ἐτύγχανε, τὰ δὲ τόξα ἐνεργεῖν στενοχωρίᾳ τῇ πρὸς ἀλ-
λήλων οὐχ οἷοί τε ἦσαν. ἕως μὲν οὖν οὐ πολλοὶ ἐν ταῖς ἐπάλ-
ξεσι καθεωρῶντο, οἱ Γότθοι ἐνέκειντο, ἐλπίδα ἔχοντες τούς τε
ἀποκεκλεισμένους ἅπαντας διαφθεῖραι καὶ τοὺς ἐν τῷ περιβόλῳ
βιάσασθαι. ἐπεὶ δὲ στρατιωτῶν τε καὶ τοῦ Ῥωμαίων δήμου
ἀμυνομένων, πολύ τι χρῆμα ἐς τὰς ἐπάλξεις εἶδον, αὐτίκα δὴ B
ἀπογνόντες ἐνθένδε ὀπίσω ἀπήλαυνον, πολλὰ τοὺς ἐναντίους κα-
κίσαντες. ἥ τε μάχη ἐν τοῖς τῶν βαρβάρων χαρακώμασιν ἀρ-
ξαμένη ἔν τε τῇ τάφρῳ καὶ τῷ τῆς πόλεως ἐτελεύτησε τείχει.

4. καίπερ] καθάπερ HL. 8. οἷοι] οἷα H. *ibid.* οὐ πολλοὶ] οἱ πολλοὶ HL: sed οὐ Lm.

rent. Quicunque foris remanserant, ii fossam transgressi, tergaque moenibus apprimentes, tremebant, stabantque virtutis omnino immemores: nec Barbaros imminentes et transire fossam parantes arcere poterant, cum hastas multi in pugna ac fuga fregissent, neque invicem ita comprimerent, ut nequirent arcus tractare. Quandiu ad pinnas adesse rari visi sunt, tandiu Gotthi incubuere, spe ducti, fore ut exclusos omnes delerent, atque e muris defensores deiicerent. At ubi pinnas videre cinctas densa propugnantium militum et Romanae plebis corona, inde statim desperatione retro cesserunt, multis in hostes iactis convitiis. Itaque praelium ad Barbarorum castra initum, ad urbis fossam et muros finem invenit.

P 387
H 212
V 56

ΠΡΟΚΟΠΙΟΥ ΚΑΙΣΑΡΕΩΣ
ΙΣΤΟΡΙΩΝ ΤΗΣ Β' ΤΕΤΡΑΔΟΣ Η Β'.

ΙΣΤΟΡΙΩΝ — Η Β'.] ΤΗΣ ΔΕΥΤΕΡΑΣ ΤΕΤΡΑΔΟΣ ΤΩΝ ΚΑΤ' ΑΥΤΟΝ ΙΣΤΟΡΙΩΝ ΒΙΒΛ. Β'. P.

PROCOPII CAESARIENSIS
HISTORIARUM TETRADIS II.
LIBER II.

ARGUMENTUM.
EX EDITIONE MALTRETI.

Praeclara Bessae et Constantini facinora. Romanus et Gothus in eamdem scrobem delapsi lepida pactione evadunt. Chorsamantis virtus temeraria. (Cap. 1.) *Euthalio stipendia Byzantio afferenti tutum iter Belisarius parat. In Gothos emittit copias. Ad portam Pincianam vincunt Romani; in campo Neroniano vincuntur. Arxis vulnus mirabile sanatur: Cutilas et Buchas interemunt. Gothorum luctus.* (2.) *Pestis et fames Romanos vexant. Gothis aquaeductus pro munimento. Romani, suadente fame, decernendi cum Gothis copiam a Belisario petunt: negat Belisarius, eorumque orationem refellit.* (3.) *Belisarius Procopium Caesariensem Neapolin mittit. Tibur et Albam praesidiis munit. Gothi templa SS Petri et Pauli nunquam ausi violare. In eorum castris grassatur lues. Antonina cum Procopio classem in Campania curat. Vesuvii descriptio.* (4.) *Recentes Byzantio copiae veniunt. Belisarii stratagema. Audax facinus Aquilini. Traiani vulnus mirabile.* (5.) *A Gothis missi Oratores de pace cum Belisario colloquuntur, et inducias pangunt.* (6.) *Illatis adverso flumine commeatibus abundat Roma. Firmantur induciae datis obsidibus. Portum, Centumcellas et Albanum Gothi deserunt: Romani occupant. Gothorum minas Belisarius ridet: in Picenum copias mittit: Mediolanensibus praesidium pollicetur.* (7.) *Constantinus in Belisarium, ablata iubentem reddere, contumax, eumque ense stricto petere ausus, occiditur.* (8.) *Gothi per aquaeductum Romam capere frustra tentant. Idem aggressi tum aperta vi, tum proditione, de spe decidunt. Poena prodi-*

tori a Belisario irrogata. (9.) *Ioannes Picenum populatur. Ariminum occupat. Per internuntios agit cum Metasuntha uxore Vitigis. Gothi Romae obsidionem solventes, cladem accipiunt.* (10.) *Multa Vitigis loca praesidiis munit. Arimino Belisarius provident. Romani Petram pertusam expugnant. Ioannes Belisarii mandato adversatur.* (11.) *Gothi Ariminum obsident. Ioannis generosa providentia et concio. Mediolanensibus missi a Belisario praesidiarii Genuam appellunt: ad Ticinum pugnant: ubi Fidelius Praefectus Praet. occumbit. Theodebertus Francorum Rex Gothis mittit auxilia. Gothi Mediolanum obsident.* (12.) *Belisarius Tudertum et Clusium capit. Anconae situs. Cononis imprudentia. Romanorum clades. Narsetis Eunuchi in Italiam adventus.* (13.) *Erulorum antiquae sedes: in senes et aegrotos crudelitas: uxorum saevus mos in maritorum funeribus. Langobardis pacem petentibus Rodulfus Erulorum Rex bellum infert, et cum maxima suorum parte occumbit, Deo ulciscente. Eruli se ad Gepaedes recipiunt: deinde ad Romanos, Anastasio imperante. Iustiniani principatu dant Christo nomina, nec mores perditos exuunt. Regem suum occidunt.* (14.) *Erulorum pars Thulen petit. Eius situs. Ibi Sol aestate per dies 40. non occidit; per totidem non oritur hieme. Solis reditus festo maximo celebratur. Scrithifinorum mores. Thulitarum religio. Erulorum pars altera sibi Regem ex Thule asciscit, et ab Imperatore Iustiniano deficit.* (15.) *Belisarius et Narses copias iungunt ad urbem Firmum. In consilio bellico, Narses Arimino succurrendum suadet. Ioannis obsessi epistola ad Belisarium. Profectio exercitus.* (16.) *In infantem a matre derelictum caprae amor mirabilis. Gothi, adventu Belisarii cognito, obsidionem, qua Ariminum premebant, trepide solvunt.* (17.) *Ildiger Gotthorum castris potitur. Narses a Belisario dissidet. Utriusque orationes. Iustinianus Aug. Belisario per literas belli imperium asserit.* (18.) *Belisarius Urbinum obsidet. Narses a castris abscedit. Obsessi, aqua defecti, dedunt se Belisario. Ioannes Caesenam frustra tentat. Forum Cornelii universamque Aemiliam recipit.* (19.) *Auximi obsidendi in aliud tempus reiecto, Urbem veterem Belisarius petit, et capit. Descriptio horrendae famis; qua saeviente, mulieres duae viros 17. vorarunt.* (20.) *Martinus et Uliaris Mediolano ferre iussi auxilium, ad Padum cunctantur. Paulus eos acri urget oratione. Martini ad Belisarium, Belisarii ad Narsetem literae. Mundilas a deditione facienda suos frustra dehortatur. Mediolani miserandum excidium.* (21.) *Belisarii dolor, audita Mediolanensium clade. Narsetes ex Italia revocat Imperator. Eruli inde migrant et paciscuntur cum Gothis. Vitigis Langobardos ad societatem frustra invitat. Chosroem per Legatos hortatur, ut pacem cum Romanis compositam solvat. Iustinianus de pace cum Gothis agit.* (22.) *Cyprianus ac Iustinus Faesulas obsident. Martinus et Ioannes Dertonam occupant. Belisarius Auximum obsidione cingit. Procopii sapiens consilium. Duplex signum duplici tuba editur.* (23.) *Gothi Auximo literas ad Vitigin mittunt et opem rogant. Inane promissum Vitigis. Cyprianus ac Iustinus obsidione Faesulas premunt. Uraias Ticinum accitur. Pado transito, non audet Romanos aggredi.* (24.) *Theodeberti Francorum Regis in Italiam expeditio. Francorum arma. Padum ad Ticinum traiiciunt. Priscae superstitionis ritus quosdam affingit ipsis Procopius. Gotthos ac Romanos castris exuunt. Multi dysenteria pereunt. Belisarii ad Theodebertum epistola. Franci in Galliam remigrant.* (25.) *Gotthorum, qui Auximi obsidebantur, literas Romanus miles proditor ad Vitigin profert; ac deinde huius epistolam ad obsessos. Sclavenus Gotthum ex insidiis occupat, abripitque in castra: ubi ab ipso indicata proditione dat poenas proditor.* (26.) *Ad Auximi fontem certamen acerrimum. Faesularum, ac tandem Auximi deditio.* (27.) *Belisarius Ravennam commeatibus intercludit. A Francorum Regibus et Be-*

lisario missae ad Vitigin legationes. Incensa Ravennae horrea. Gothorum, qui in Alpibus Cottiis degebant, deditio. (28.) *Iustinianus ad Vitigin Legatos de pace mittit. Pactis conventis subscribere renuit Belisarius. Coacto Ducum consilio pacem dissuadet. Gothis Regnum deferentibus assentiri se simulans et ipsos fallens, Ravennam ingreditur. Vitigin capit. Tarvisium et loca alia quaedam occupat.* (29.) *Belisarius Byzantium revocatur. Gothi regnum Uraiae deferunt. Hic ut Ildibado deferatur suadet. Ildibadus susceptum regnum offert Belisario; qui honorem singulari modestia ac fide repudiat.* (30.)

α'. Μετὰ δὲ Ῥωμαῖοι παντὶ τῷ στρατῷ διακινδυνεύειν οὐκέτι ἐτόλμων. ἱππομαχίας δὲ ποιούμενοι ἐξ ἐπιδρομῆς τρόπῳ τῷ προτέρῳ τὰ πολλὰ τοὺς βαρβάρους ἐνίκων. ἦεσαν δὲ καὶ πεζοὶ ἑκατέρωθεν, οὐκ ἐς φάλαγγα ξυντεταγμένοι, ἀλλὰ τοῖς ἱππεῦσιν ἑπόμενοι. καί ποτε Βέσσας ἐν πρώτῃ ὁρμῇ ἐς τοὺς πολεμίους P 388 ξὺν δόρατι ἐσπηδήσας τρεῖς τε τῶν ἀρίστων ἱππέων ἔκτεινε καὶ τοὺς ἄλλους ἐς φυγὴν ἔτρεψεν. αὖθις δὲ Κωνσταντῖνος τοὺς Οὔννους ἐπαγόμενος ἐν Νέρωνος πεδίῳ ἀμφὶ δείλην ὀψίαν, ἐπειδὴ τῷ πλήθει ὑπερβιαζομένους τοὺς ἐναντίους εἶδεν, ἐποίει τάδε. στάδιον μέγα ἐνταῦθα ἐκ παλαιοῦ ἐστιν, ἐν ᾧ δὴ οἱ τῆς πόλεως μονομάχοι τὰ πρότερον ἠγωνίζοντο, πολλά τε ἄλλα οἱ πάλαι ἄνθρωποι ἀμφὶ τὸ στάδιον τοῦτο οἰκήματα ἐδείμαντο, καὶ ἀπ' αὐτοῦ στενωποὺς, ὡς τὸ εἰκὸς, πανταχόθι τοῦ χωρίου ξυμβαίνει εἶναι. τότε οὖν Κωνσταντῖνος, ἐπεὶ οὔτε περιέσεσθαι τοῦ B τῶν Γότθων ὁμίλου εἶχεν οὔτε κινδύνου μεγάλου ἐκτὸς φεύγειν οἷός τε ἦν, ἀπὸ τῶν ἵππων ἀποβιβάσας ἅπαντας τοὺς Οὔννους πεζὸς ξὺν αὐτοῖς ἔς τινα τῶν ἐκείνῃ στενωπῶν ἔστη. ὅθεν δὴ βάλλοντες ἐκ τοῦ ἀσφαλοῦς τοὺς πολεμίους συχνοὺς ἔκτεινον. καὶ χρόνον μέν τινα οἱ Γότθοι βαλλόμενοι ἀντεῖχον. ἤλπιζον γὰρ, ἐπειδὰν τάχιστα τῶν Οὔννων τὰς φαρέτρας ἐπιλείποι τὰ

7. *Κωνσταντῖνος*] *Κωνσταντιανὸς* HL hic et infra. 10. *ἐν ᾧ*] *ἐν* om. HL. 11. *ἄλλα* accessit ex Vat. 12. *οἰκήματα* om. HL: sed habent in m. 16. *οἷος*] *οὐχ οἷος* L.

1. Exin Romani copiis omnibus non ausi amplius decernere, repetitis more pristino levibus equitum certaminibus, plerumque Barbaros vicerunt. Quanquam utrinque prodibant etiam pedites, non tamen instructa acie: sed turmas equestres sequebantur. Atque in primo quidem congressu Bessas cum hasta in hostes invectus, ex equitum flore tres sustulit: reliquos in fugam vertit. Iterum vero, cum in campum Neronianum Hunnos Constantinus eduxisset vesperi, seque hostium numero obrui videret, hanc viam inlit. Vetus ibi stadium est, sane magnum; in quo olim gladiatores urbis certabant, illudque ambiunt antiquae domus plurimae: quo fieri necesse est, ut locus vias ubique angustas habeat. Tum Constantinus, quoniam nec multitudinem hostilem vincere, nec sine magno periculo fugere poterat, Hunnos ex equis omnes desilire iussit, et cum illis ipse pedes in quodam eorum angiportuum stetit: unde tela mittentes tuto, hostem caede plurima afficiebant. Aliquandiu Gotthi, sic petiti, se obfirmarunt, spe freti, fore ut simul Hunni pharetras ex-

βέλη, κύκλωσίν τε αὐτῶν οὐδενὶ πόνῳ ποιήσασθαι καὶ δήσαντες
ἐς στρατόπεδον αὐτοὺς τὸ σφέτερον ἄξειν. ἐπεὶ δὲ οἱ Μασσαγέ-
C ται, τοξόται μὲν ἀγαθοὶ ὄντες, ἐς πολὺν δὲ ὅμιλον βάλλον-
τες, τοξεύματι σχεδόν τι ἑκάστῳ πολεμίου ἀνδρὸς ἐπετύγχανον,
ἥσσοντο μὲν ὑπὲρ ἥμισυ ἀπολωλότες, ἤδη δὲ καὶ ἐπὶ δυσμὰς
ἰόντος ἡλίου οὐκ ἔχοντες ὅ τι γένωνται ἐς φυγὴν ὥρμηντο. ἔνθα
δὴ αὐτῶν πολλοὶ ἔπεσον. ἐπισπόμενοι γὰρ οἱ Μασσαγέται, ἐπεὶ
V 57 τοξεύειν ὡς ἄριστα καὶ πολλῷ χρώμενοι δρόμῳ ἐπίστανται, οὐ-
δέν τι ἧσσον ἐς νῶτα βάλλοντες ἔκτεινον. οὕτω τε ἐς Ῥώμην
Κωνσταντῖνος ξὺν τοῖς Οὔννοις ἐς νύκτα ἦκε.

Περανίου δὲ ἡμέραις οὐ πολλαῖς ὕστερον Ῥωμαίων τισὶ διὰ
πύλης Σαλαρίας ἐπὶ τοὺς πολεμίους ἡγησαμένου ἔφευγον μὲν κατὰ
D κράτος οἱ Γότθοι, παλινδιώξεως δὲ περὶ ἡλίου δυσμὰς ἐκ τοῦ
αἰφνιδίου γεγενημένης, τῶν τις Ῥωμαίων πεζὸς ἐς μέγαν κατα-
στὰς θόρυβον ἐς βαθεῖάν τινα διώρυχα ἐμπίπτει, οἷαι πολλαὶ
τοῖς πάλαι ἀνθρώποις πρὸς σίτου παρακαταθήκην ἐνταῦθα, οἶ-
μαι, πεποίηνται. οὔτε δὲ κραυγῇ χρῆσθαι τολμήσας, ἅτε που
ἐγγὺς στρατοπεδευομένων τῶν πολεμίων, οὔτε τοῦ βόθρου τρό-
πῳ ὅτῳοῦν ἀπαλλάσσεσθαι οἷός τε ὢν, ἐπεὶ ἀνάβασιν οὐδαμῇ
εἶχεν, αὐτοῦ διανυκτερεύειν ἠνάγκαστο. τῇ δὲ ἐπιγενομένῃ ἡμέρᾳ,
τροπῆς αὖθις τῶν βαρβάρων γεγενημένης, τῶν τις Γότθων ἐς
τὴν αὐτὴν κατώρυχα ἐμπίπτει. ἔνθα δὴ ἄμφω ἔς τε φιλοφρο-

2. αὐτοὺς] αὐτοῦ L. 4. τι om. L. 5. ἐπὶ HL in marg. habent. 6. ὅ τι] ὅπη HmPm indocte. 7. Μασσαγέται] μασαγέται L. 9. νῶτα] αὐτοὺς HL. 10. ἐς νύκτα] ἐς om. L. 13. Γότθοι, παλινδιώξεως] Γότθοι πάλιν. διώξεως HL.

hausissent, eos nullo negotio circumvenirent, vinctosque in sua castra ducerent. At cum Massagetae, periti utique sagittarii, et confertam in turbam utentes arcubus, sagittis fere singulis hostem aliquem figerent, plus dimidiam suorum partem caesam videntes Gotthi, nec valentes cogitata perficere, iam Sole in occasum praecipitante, in fugam se contulerunt. Nec pauci tum cecidere. Insequentes enim Massagetae, pro sua in tractando arcu singulari dexteritate, cum vel celerrime currunt, impulsis in terga telis, nihilo illos minus sternebant. Hoc re modo gesta Constantinus Romam sub noctem cum Hunnis rediit.

Paucis post diebus, cum in hostes Peranius Romanorum agmen eduxisset porta Salaria, effusisque in fugam Gotthi, repente, circiter Soli occasum, reciprocum fecissent impetum, Romanus quidam pedes, per turbato animo, altam in scrobem decidit: cuiusmodi multas foderunt in veteres cives, condendi, ut opinor, frumenti causa. Et quoniam nec da re clamorem audebat, propter hostilium castrorum viciniam, neque ull poterat pacto exire fovea, nusquam scansili, ibi noctem traducere coa ctus est. Postridie fugatis iterum Barbaris, Gotthus quidam in eamde

σύνηη καὶ εὔνοιαν ξυνηλθέτην ἀλλήλοιν, ξυναγούσης αὐτοὺς τῆς ἀνάγκης, τά τε πιστὰ ἔδοσαν, ἢ μὴν κατεσπουδασμένην ἑκατέρῳ τὴν θατέρου σωτηρίαν εἶναι, καὶ τότε δὴ μέγα καὶ ἐξαίσιον ἄμφω ἐβόων. Γότθοι μὲν οὖν τῇ τε φωνῇ ἐπισπόμενοι καὶ ὑπὲρ τῆς κατώρυχος διακύψαντες ἐπυνθάνοντο ὅστις ποτὲ βοῶν εἴη. οὕτω δὲ τοῖν ἀνδροῖν δεδογμένον, σιωπὴν μὲν ὁ Ῥωμαῖος εἶχεν, ἄτερος δὲ τῇ πατρίῳ γλώσσῃ ἔναγχος ἔφασκεν ἐν τῇ γενομένῃ τροπῇ ἐμπεπτωκέναι, βρόχον τε αὐτῷ, ὅπως ἀναβαίνοι, ἠξίου καθεῖναι. καὶ οἱ μὲν ὡς τάχιστα τῶν κάλων τὰς ἀρχὰς ἀπορρίψαντες τοῦ Γότθου ποιεῖσθαί τινα ὁλκὴν ᾤοντο, λαβόμενος δὲ ὁ Ῥωμαῖος τῶν βρόχων εἵλκετο ἄνω, τοιοῦτον εἰπών, ὡς, ἢν μὲν αὐτὸς ἐπιβαίνοι πρῶτος, οὔποτε τοῦ ἑταίρου ἀμελήσειν τοὺς Γότθους, ἢν δέ γε τὸν πολέμιον πύθωνται μόνον ἐνταῦθα εἶναι, οὐδένα ἂν αὐτοῦ ποιοῖντο λόγον. ταῦτα εἰπὼν ἀνέβη. καὶ αὐτὸν ἐπεὶ οἱ Γότθοι εἶδον, ἐθαύμαζόν τε καὶ ἀμηχανίᾳ πολλῇ εἴχοντο, πάντα τε παρ' αὐτοῦ τὸν λόγον ἀκούσαντες ἐν δευτέρῳ τὸν ἑταῖρον ἀνεῖλκον, ὃς δὴ αὐτοῖς τά τε ξυγκείμενα σφίσι καὶ τὰ δεδογμένα πρὸς ἀμφοτέρων πιστὰ ἔφρασε. καὶ αὐτὸς μὲν ξὺν τοῖς ἑταίροις ἀπιὼν ᾤχετο, τὸν δὲ Ῥωμαῖον κακῶν ἀπαθῆ ἐς τὴν πόλιν ἀφῆκαν ἰέναι. ἔπειτα δὲ ἱππεῖς μὲν πολλάκις ἑκατέρωθεν οὐ πολλοὶ ὡς ἐς μάχην ὡπλίζοντο, ἐς μονο-

P 389
H 213
B

1. ξυνηλθέτην] Vulgo ξυνελθόντε. ξυνελθέτην Vat. 10. ἀπορρίψαντες] ἀποῤῥίψαντες L. 12. ἢν] εἰ L. 13. ἀμελήσειν] ει ἀμελήσαι L, ει a m. sec. 14. ποιοῖντο] ποιεῖν τὸ L. 17. ἑταῖρον] ἕτερον HL. ibid. ἀνεῖλκον] L. Vulgo ἀνεῖλον. 19. ἑταίροις L. ἑτέροις P. 20. ἀφῆκαν] ἀφῆκεν L.

scrobem prolabitur, ubi se amore complexi mutuo, quem necessitas conciliabat, data invicem fide, salutem alterius alteri caram fore promittunt. Clamorem tum ingentem uterque tollere: ad quem conversi Gothi, despicientesque e faucibus foveae, quis tandem inclamet, rogant. Ex compacto autem, premente vocem Romano, alter lingua patria eo se recenti in fuga delapsum dicit, oratque, uti funis, quo ascendat, sibi demittatur. Mox illi restium extrema iacere, rati Gotthum se subvecturos. At Romanus arreptis funibus sustolli coepit, causatus, si prior ipse ascenderet, Gotthos nunquam derelicturos sodalem: sin hostem restare solum audirent, omnino desererent. Haec locutus, ascendit. Eo viso, obstupefacti Gotthi haerebant: tum re ab ipso plane exposita, subinde sodalem extrahunt: qui factam inter se pactionem ac fidem datam asservit, et Romano in urbem remisso incolumi, cum illis abiit. Postmodum equites haud multi numero prodierunt utrinque saepius instructa ad pugnandum acie: sed congressus omnis in certamina exiit

μαχίαν δὲ ἀεὶ τὰ τῆς ἀγωνίας αὐτοῖς ἐτελεύτα καὶ πάσας Ῥωμαῖοι ἐνίκων. ταῦτα μὲν δὴ ὧδέ πη ἔσχεν.

Ὀλίγῳ δὲ ὕστερον ξυμβολῆς ἐν Νέρωνος γενομένης πεδίῳ, διώξεις τε ἄλλων ἄλλῃ κατ' ὀλίγους ἱππεῖς ποιουμένων, Χορσάμαντις, ἐν τοῖς Βελισαρίου δορυφόροις εὐδόκιμος, Μασσαγέτης γένος, ξὺν ἑτέροις τισὶν ἄνδρας ἑβδομήκοντα τῶν πολεμίων ἐδίωκεν. ἐπειδή τε τοῦ πεδίου πόρρω ἐγένοντο, οἱ μὲν ἄλλοι Ῥωμαῖοι ὀπίσω ἀπήλαυνον, Χορσάμαντις δὲ μόνος ἔτι ἐδίωκεν. ὅνπερ κατιδόντες οἱ Γότθοι στρέψαντες τοὺς ἵππους ἐπ' αὐτὸν ἦσαν. καὶ ὁ μὲν ἐς ἄμυναν χωρήσας, ἕνα τε τῶν ἀρίστων κτείνας, ἐπὶ τοὺς ἄλλους ἦει, οἱ δὲ αὖθις τραπόμενοι ἐς φυγὴν ὥρμηντο. αἰσχυνόμενοι δὲ τοὺς ἐν τῷ στρατοπέδῳ (ἤδη γὰρ καὶ πρὸς αὐτῶν καθορᾶσθαι ὑπώπτευον) πάλιν ἰέναι ἐπ' αὐτὸν ἤθελον. ταὐτὸ δὲ παθόντες, ὅπερ καὶ πρότερον, ἕνα τε τῶν ἀρίστων ἀποβαλόντες, ἐς φυγὴν οὐδὲν ἧσσον ἐτράποντο, μέχρι τε τοῦ χαρακώματος τὴν δίωξιν ὁ Χορσάμαντις ποιησάμενος ἀνέστρεψε μόνος. ὀλίγῳ τε ὕστερον ἐν μάχῃ ἑτέρᾳ κνήμην τὴν ἀριστερὰν βληθέντι ἐνομίσθη τοῦτο εἶναι ἄκρου ὀστέου τὸ βέλος ἁψάμενον. ἀπόμαχος μέντοι ἡμέρας ὅσας δὴ ἐπὶ ταύτῃ γεγονὼς τῇ πληγῇ, ἅτε ἀνὴρ βάρβαρος, οὐκ ἤνεγκε πρᾴως, ἀλλ' ἠπείλησε τῆς ἐς τὸ σκέλος ὕβρεως τοὺς Γότθους ὅτι τάχιστα τί-

4. κατ' ὀλίγους] Vulgo κατὰ λόγους. Correxit Classen. 14. ταὐτὸ Classen. Vulgo τοῦτο. ibid. πρότερον] πρόσθεν L. 18. βληθέντι] βάλλεται Vat. ibid. τοῦτο addidi ex Vat. ibid. εἶναι Vat. Vulgo ἰέναι.

singularia, ex quibus Romani semper victoriam retulerunt. Haec ita se habuere.

Paulo post, pugna in campo Neronis inita, cum hostiles copias equitum turmae alio aliae disiicerent, Chorsamantis, Belisarii Protector inclytus, natione Massageta, cum nonnullis aliis insequi aggressus est hostes LXX. Ubi in campum longius provecti sunt, cursum retro vertentibus Romanis caeteris, unus Chorsamantis instare fugacibus pergit. Quo viso Gotthi, flexis equis, in eum vadunt. Ille contra irruens, occiso e fortissmis uno, reliquos adoritur. Hi terga vertentes iterum, dant se in fugam: qua pudore repressa, cum a suis, qui in castris erant, se iam conspici putarent, illum adorti denuo, atque ut ante accepti, uno e bellicosissimis amisso, perinde ac prius terga verterunt, eosque insecutus ad vallum usque Chorsamantis, solus rediit. Haud multo post, vulnerata in altero conflictu sinistra tibia, telum in summo osse haerere sensit. Qua plaga per dies aliquot pugnae factus inutilis, animo, ut erat Barbarus, impatienti, se poenas violati cruris propediem e Gotthis repetiturum mi-

σασθαι. ῥαΐσας οὖν οὐ πολλῷ ὕστερον ἔν τε ἀρίστῳ οἰνωμένος, ὥσπερ εἰώθει, μόνος ἐπὶ τοὺς πολεμίους ἐβούλευσεν ἰέναι καὶ τῆς ἐς τὸν πόδα ὕβρεως τίσασθαι, ἔν τε Πυγκιανῇ γενόμενος πύλῃ, στέλλεσθαι πρὸς Βελισαρίου ἔφασκεν ἐπὶ τὸ τῶν ἐναντίων στρατόπεδον. οἱ δὲ ταύτῃ φρουροὶ (οὐδὲ γὰρ ἀπιστεῖν ἀνδρὶ τῶν Βελισαρίου δορυφόρων ἀρίστῳ εἶχον) τάς τε πύλας ἀνέῳξαν καὶ ὅπη βούλοιτο ἀφῆκαν ἰέναι. κατιδόντες τε αὐτὸν οἱ πολέμιοι, τὰ μὲν πρῶτα αὐτόμολον σφίσι τινὰ προσχωρεῖν ᾤοντο, ἐπεὶ δὲ ἀγχοῦ γενόμενος τοῦ τόξου εἶχετο, οὐκ εἰδότες ὅστις ποτὲ εἴη, χωροῦσιν ἐπ' αὐτὸν εἴκοσιν. οὓς δὴ εὐπετῶς ἀπωσάμενος ἀπήλαννε βάδην, πλειόνων τε Γότθων ἐπ' αὐτὸν ἰόντων οὐκ ἔφυγεν. ὡς δὲ πλήθους πολλοῦ ἐπιῤῥέοντος ἀμύνεσθαι ἠξίου, Ῥωμαῖοι ἐκ τῶν πόργων θεώμενοι μαίνεσθαι μὲν τὸν ἄνδρα ὑπώπτευον, ὡς δὲ Χορσάμαντις εἴη οὔπω ἠπίσταντο. ἔργα μὲν ἐπιδειξάμενος μεγάλα τε καὶ λόγου πολλοῦ ἄξια, ἔς τε κύκλωσιν ἐμπεπτωκὼς τοῦ τῶν πολεμίων στρατεύματος, ποινὰς ἀλόγου θράσους ἐξέτισεν. ἅπερ ἐπειδὴ Βελισάριός τε καὶ Ῥωμαίων στρατὸς ἔμαθον, ἐν πένθει μεγάλῳ γενόμενοι, ἅτε τῆς πάντων ἐλπίδος ἐπὶ τῷ ἀνθρώπῳ διαφθαρείσης, ὠδύροντο.

β'. Εὐθάλιος δέ τις ἀμφὶ θερινὰς τροπὰς ἐς Ταρακίναν ἐκ Βυζαντίου ἦκε, χρήματα ἔχων ἅπερ τοῖς στρατιώταις βασιλεὺς ὤφλε. δείσας τε μὴ κατὰ τὴν ὁδὸν ἐντυχόντες πολέμιοι τὰ

18. τῆς πάντων] τῆς τῶν πάντων L. 20. Ταρακίναν] ταρκίναν HL hic et infra.

natus est. Nec multum spatium intercesserat, cum ille melius habens, in prandio, ubi pro more suo largiori vino incaluerat, hostes solus petere, et illatum pedi dedecus ultum ire decrevit. Ad portam Pincianam progressus, ait se ad hostium castra a Belisario mitti. Custodes, qui ibi aderant, nihil habentes causae cur Protectorum Belisarii fortissimo fidem negarent, apertis foribus, quo vellet ire sinunt. Conspicati ipsum hostes, primum quidem ad se transfugam aliquem accedere existimarunt. Ubi autem is in propinquo arcum expediit, ignari quid tandem hominis esset, ad ipsum tendunt viginti. Quibus ille facile repulsis, lento gradu adequitat, nec retro cedit, ingruente maiori Gotthorum numero. Quo circumfusus cum vim contra susciperet, spectantes e turribus Romani, insanire hominem iudicabant, necdum Chorsamantim esse illum sciebant. Is facinoribus magnis ac praestantibus editis, hostili circumventus exercitu, inconsideratae audaciae poenas dedit. Rei nuntio Belisarius Romanusque exercitus in gravissimum luctum vocati, acclsam in eo viro spem publicam lamentabantur.

2. Circiter solstitium aestivum, Euthalius quidam Byzantio Tarracinam venit, stipendia militibus Imperatore debita ferens. Veritus autem ne in via, si in hostes incideret, ab illis vita pariter ac pecunia

P 390
V 58

χρήματά τε ἀφέλωνται καὶ αὐτὸν κτείνωσι, γράφει πρὸς Βελισάριον ἀσφαλῆ οἱ ἐς Ῥώμην τὴν πορείαν ποιήσασθαι. ὁ δὲ ἄνδρας μὲν ἑκατὸν τῶν αὐτοῦ ὑπασπιστῶν δοκίμους ἀπολεξάμενος ξὺν δορυφόροις δύο πέμπει ἐς Ταρακίναν ὑπὲρ τοῦ τὰ χρήματα ξυγκομίσαι. δόκησιν δὲ ἀεὶ τοῖς βαρβάροις παρείχετο ὡς παντὶ τῷ στρατῷ μαχεσόμενος, ὅπως δὴ μὴ ἐνθένδε τῶν πολεμίων τινὲς ἢ τροφῶν ξυγκομιδῆς ἕνεκα ἢ ἄλλου ὁτουοῦν ἴωσιν. ἐπεὶ
D δὲ τῇ ὑστεραίᾳ τοὺς ἀμφὶ Εὐθάλιον ἔγνω παρέσεσθαι, διεῖπέ τε
H 214 καὶ διεκόσμει ὡς ἐς μάχην τὸ στράτευμα, καὶ οἱ βάρβαροι ἐν παρασκευῇ ἦσαν. ὅλην μὲν δείλην πρωΐαν κατεῖχεν ἀμφὶ τὰς πύλας τοὺς στρατιώτας. ᾔδει γὰρ Εὐθάλιόν τε καὶ τοὺς ξὺν αὐτῷ ἐς νύκτα ἀφίξεσθαι. ἐς δὲ ἡμέραν μέσην ἄριστον ἐκέλευε τὸ στράτευμα αἱρεῖσθαι, καὶ οἱ Γότθοι ταὐτὸ τοῦτο ἐποίουν, ἐς τὴν ὑστεραίαν αὐτὸν οἰόμενοι τὴν ξυμβολὴν ἀποτίθεσθαι. ὀλίγῳ δὲ ὕστερον Μαρτῖνον μὲν καὶ Βαλεριανὸν ξὺν τοῖς ἑπομένοις ἐς Νέρωνος πεδίον Βελισάριος ἔπεμψε, ξυνταράσσειν ὅτι μάλι-
P 391 στα ἐπιστείλας τὸ τῶν πολεμίων στρατόπεδον. ἐκ δὲ πυλίδος Πιγκιανῆς ἱππέας ἑξακοσίους ἐπὶ τὰ τῶν βαρβάρων χαρακώματα ἔστελλεν. οἷς δὴ τρεῖς τῶν αὐτοῦ δορυφόρων ἐπέστησεν, Ἀρτασίνην τε ἄνδρα Πέρσην καὶ Βούχαν Μασσαγέτην γένος καὶ Κουτίλαν Θρᾷκα. καὶ πολλοὶ μὲν αὐτοῖς τῶν ἐναντίων ἀπήντησαν. χρόνον δὲ πολὺν ἡ μάχη χερσὶν οὐκ ἐγίνετο, ἀλλ' ἐπιοῦσι

9. στράτευμα] στρατόπεδον HL. *ibid.* οἱ βάρβαροι P ex Vat. ἡ μάχη HL. 10. ἦσαν] ἦν Lm. 18. Πιγκιανῆς] πιγγιανῆς Hm. 20. βούχαν L. Βοῦχαν P. 21. Κουτίλαν] βουτίλαν L.

spoliaretur, ad Belisarium scribit, tutum det iter Romam. Ille centum perspectae fortitudinis viros, e Scutariis suis delectos, cum Praetorianis duobus hastatis Tarracinam destinat, pecuniam comportaturos: nec intermittit praelii mox copiis omnibus ineundi speciem praebere Barbaris; ne qua hostium manus vel commeatum, vel cuiuspiam alius rei causa digrederetur. Postridie cum affuturum Euthalium intelligeret, in speciem instruxit aciem: steteruntque Barbari in procinctu. Et quoniam non nisi sub noctem Euthalium eiusque comites adventuros sciebat, mane quidem toto paratos ad portas milites tenuit, meridie vero prandere iussit: idemque fecere Gotthi, ipsum rati in diem posterum pugnam differre. At paulo post Belisarius Martinum et Valerianum cum turmis, quibus praeerant, in campum Neronianum emittit, iussos quam maxime possent hostium copias turbare velitationibus. Eiusdem imperio, porta Pinciana in Barbarorum castra se eiecerunt sexcenti, quibus tres e stipatoribus suis praeposuerat, Artasinem natione Persam, Buchum Massagetam, et Cutilam Thracem. Magno hostibus numero factis obviam, diu certatum est, non collata manu; sed ita, ut invicem invadentibus fuga

τε ὑπεχώρουν ἀλλήλοις καὶ τὰς διώξεις ἑκάτεροι ἀγχιστρόφους ποιούμενοι ἐώκεισαν βουλευομένοις ἐς τοῦτο σφίσι δαπανᾶσθαι τὸν τῆς ἡμέρας χρόνον. προϊόντες μέντοι ὀργῇ ἐς ἀλλήλους εἴχοντο ἤδη. καρτερᾶς τε γεγενημένης τῆς ξυμβολῆς, ἑκατέρων μὲν πολλοὶ καὶ ἄριστοι ἔπεσον, ἀμφοτέροις δὲ ἀπό τε τῆς πόλεως καὶ τῶν χαρακωμάτων ἐπίκουροι ἦλθον. ὧν δὴ ἀναμιγνυμένων B τοῖς μαχομένοις ἔτι μᾶλλον ὁ πόνος ἐπὶ μέγα ἤρετο. καὶ ἡ κραυγὴ τήν τε πόλιν καὶ τὰ στρατόπεδα περιλαβοῦσα τοὺς μαχομένους ἔπλησε. τέλος δὲ Ῥωμαῖοι ἀρετῇ ὡσάμενοι τοὺς πολεμίους ἐτρέψαντο. ἐν τούτῳ τῷ ἔργῳ Κουτίλας μέσην τὴν κεφαλὴν ἀκοντίῳ πληγεὶς καὶ ταύτῃ τὸ δοράτιον ἐμπεπηγὸς ἔχων ἐδίωκε. τῆς τε τροπῆς γενομένης ἅμα τοῖς περιοῦσιν ἐς τὴν πόλιν ἀμφὶ ἡλίου δύσιν ἐσήλασε, κραδαινομένου οἱ ἐν τῇ κεφαλῇ τοῦ ἀκοντίου, θέαμα λόγου πολλοῦ ἄξιον. ἐν τούτῳ δὲ καὶ Ἄρζην, τῶν Βελισαρίου ὑπασπιστῶν ἕνα, τῶν τις Γότθων τοξότης μεταξὺ τῆς τε ῥινὸς καὶ τοῦ ὀφθαλμοῦ τοῦ δεξιοῦ βάλλει. καὶ τοῦ μὲν τοξεύματος ἡ ἀκὶς ἄχρι ἐς τὸν αὐχένα ὀπίσω διῆλθεν, οὐ μέντοι C V 59 διεφάνη, τοῦ δὲ ἀτράκτου τὸ λειπόμενον ἐπῆν τε τῷ προσώπῳ καὶ ἱππευομένου τοῦ ἀνθρώπου ἐσείετο. ὃν δὴ ξὺν τῷ Κουτίλᾳ θεώμενοι ἐν θαύματι μεγάλῳ ἐποιοῦντο Ῥωμαῖοι, ὅτι δὴ ἱππεύοντο, οὐδεμίαν ἐπιστροφὴν τοῦ κακοῦ ἔχοντες. ταῦτα μὲν οὖν ἐφέρετο τῇδε.

Ἐν δὲ Νέρωνος πεδίῳ τὰ τῶν βαρβάρων πράγματα καθυπέρτερα ἦν. οἵ τε ἀμφὶ Βαλεριανὸν καὶ Μαρτῖνον, πλήθει πολ-

9. ἔπλησε] ἐξέπληγε Pm. Voluit fortasse ἐξέπλησσε vel ἐξέπληξε. 14. Ἄρζην] ἄρξην HL. Quod infra quoque p. 392 a. b. restitui vult Hoeschel.

alterna cederent, incursibusque reciprocis diem utrique conterere velle viderentur. Eo demum progressi, ut ira iam mutua exardescerent, acri commisso certamine, ceciderunt utrinque multi, iique fortissimi. Utrisque missi ab urbe et castris subsidiarii cum se admiscuissent pugnantibus, increbuit praelium, clamore accensum, qui ab urbe et castris circumsonabat. Tandem Romanorum virtute fusus hostis terga dat. Cutilas spiculum gerens medii capitis infixum vulneri, quod in eo conflictu acceperat, insecutus est Barbaros, hisque dissipatis, cum suis, qui supererant, circiter Solis occasum urbem ingressus, tremente in capite spiculo, omnium oculos merito in se convertit. Tum quoque Arzi, qui e Scutariis Belisarii unus erat, sagittarius quidam Gotthus vulnus inflixit inter nasum et oculum dexterum. Latebat ad cervicem usque adacta sagittae cuspis: pars eius reliqua vultu existens, equitante homine, quatiebatur. Eo viso cum Cutila, obstupuere Romani, quod ambo equos agerent summo cum doloris contemptu. Ita res ibi cessit.

At in campo Neroniano res Barbarorum meliore erant loco. Fortiter quidem cum ingenti hostium numero decertantes Valeriani ac Mar-

εὐδαίμονας ἀεὶ τοὺς πρόσθεν οὐκ εὐτυχοῦντας ἐργάζεται. εὔδηλόν τε ὡς, ἢν μετὰ τούτων ὑμεῖς τῶν λογισμῶν τήνδε τὴν ξυμ-
B βολὴν διενέγκητε, ῥᾷστα μὲν τοὺς ἐναντίους νικήσετε, ὀλίγους τε ὄντας καὶ Γραικοὺς ἢ ἴσους, κολάσετε δὲ αὐτοὺς αὐτίκα δὴ μάλα τῆς τε ἀδικίας καὶ ὕβρεως ἧς ἐς ἡμᾶς ἤρξαν. ἡμεῖς μὲν γὰρ αὐτῶν ἀρετῇ τε καὶ πλήθει καὶ τοῖς ἄλλοις ἅπασιν ὑπεραίρειν αὐχοῦμεν, οἱ δὲ φρασύνονται καθ' ἡμῶν τοῖς ἡμετέροις κακοῖς ἐπαρθέντες, καὶ μόναν ἐφόδιον ἔχοντες τὴν ἡμετέραν ὀλιγωρίαν. βόσκει γὰρ αὐτῶν τὴν παρρησίαν τὸ παρὰ τὴν ἀξίαν εὐτύχημα." τοσαῦτα καὶ Οὐίτιγις παρακελευσάμενος διεκόσμει τὸ στράτευμα
C εἰς παράταξιν, πεζοὺς μὲν ἐς μέσον καταστησάμενος, τοὺς ἱππέας δ' ἐς ἄμφω τὰ κέρατα. οὐκ ἄποθεν μέντοι τῶν χαρακωμάτων τὴν φάλαγγα διέτασσεν, ἀλλ' αὐτοῦ ἄγχιστα, ὅπως, ἐπειδὰν τάχιστα ἡ τροπὴ γένηται, εὐπετῶς οἱ πολέμιοι καταλαμβανόμενοι διαφθείρωνται, ἐν χώρῳ πολλῷ τῆς διώξεως αὐτοῖς γι-
νομένης. ἤλπιζε γὰρ, ἢν ἐν τῷ πεδίῳ ἡ μάχη ξυστάδην γένηται, αὐτοὺς οὐδὲ βραχύν τινα χρόνον ἀνθέξειν, τεκμαιρόμενος
H 219 πολλῷ τοῦτο τῷ παραλόγῳ, ὅτι οὐκ ἀντίπαλον τῷ σφετέρῳ τὸ τῶν πολεμίων στράτευμα εἴη.

Οἱ μὲν οὖν στρατιῶται πρωὶ ἀρξάμενοι ἔργου ἑκατέρωθεν εἶχοντο. Οὐίτιγις δὲ καὶ Βελισάριος ὄπισθεν ἐγκελευόμενοι ἀμ-

2. λογισμῶν P ex coniectura Maltreti. λογιμῶν L. λογίμων H. 3. ῥᾷστα L. ῥᾷστον P. *ibid.* νικήσετε] Vulgo νικήσητε. 4. ἴσους] Ἰσαύρους Grotius. 15. γινομένης] γενομένης L. 16. ξυστάδην HL. συστάδην P.

sertim cita, eos semper beatos efficit, quibus antea parum prospera fortuna fuit. Cum his animi sensibus si pugnam hanc inieritis, perspicuum est, vos ex hostibus, qui pauci sunt numero, iique Graeculi, vel similes generis facillime relaturos victoriam, et cum iniuriae, tum contumeliae, qua nos lacessiverunt, poenas brevi sumpturos. Nec vero immerito gloriamur nos illis virtute, numero, caeterisque rebus omnibus anteire: quamquam in nos ferociunt, adversis casibus nostris inflati, neque alio freti praesidio, nisi stolido contemptu nostri; alente ipsorum licentiam laeto successu, quem praeter meritum habuerunt. Ita Gotthos hortatus Vitigis, instruxit aciem, locatis in medio cohortibus peditum, et in cornu utroque equitum turmis. Nec procul a castris aciem ordinavit, sed proxime: ut cum primum fugam hostes capesserent, ab assequentibus facile conficerentur, longo illis, qui instarent, patente spatio. Nam si in campo praelium pede collato fieret, Romanos ne punctum quidem temporis restituros sperabat, id coniiciens ex iniquissima virium utriusque exercitus comparatione.

Mane, facto pugnae initio, rem utrinque milites aggrediuntur, dum, a tergo hortantes, dant animos Vitigis ac Belisarius. Principio supe-

φοτέρους ἐς εὐψυχίαν ὥρμων. καὶ τὰ μὲν πρῶτα καθυπέρτερα
ἦν τὰ Ῥωμαίων, οἵ τε βάρβαροι πρὸς τῶν τοξευμάτων συχνοὶ D
ἔπιπτον, δίωξις μέντοι αὐτῶν οὐδεμία ἐγίνετο. ἅτε γὰρ ἐν πλή-
θει μεγάλῳ οἱ Γότθοι καθεστῶτες ῥᾷστα δὴ ἐς τῶν διαφθειρο-
μένων τὴν χώραν ἕτεροι ἵσταντο, αἴσθησίν τε οὐδεμίαν τῶν ἐν
σφίσιν ἀπολλυμένων παρεῖχοντο. καὶ τοῖς Ῥωμαίοις ἱκανὸν ἐφαί-
νετο ὀλίγοις λίαν ἐς τόδε οὖσιν αὐτοῖς τὴν ἀγωνίαν ἀποκεκρίσθαι.
τήν τε μάχην ἄχρι ἐς τὰ τῶν ἐναντίων στρατόπεδα διενεγκοῦσιν ἐς
μέσην ἡμέραν, καὶ πολλοὺς ἤδη διαφθείρουσι τῶν πολεμίων,
βουλομένοις ἦν ἐς τὴν πόλιν ἐπανιέναι, ἤν τις αὐτοῖς γένηται
σκῆψις. ἐν τούτῳ τῷ πόνῳ ἄνδρες Ῥωμαῖοι ἀγαθοὶ πάντων μά-
λιστα ἐγένοντο τρεῖς, Ἀθηνόδωρός τε, ἀνὴρ Ἴσαυρος, ἐν τοῖς
Βελισαρίου δορυφόροις εὐδόκιμος, καὶ Θεοδώρητός τε καὶ Γεώρ-
γιος Μαρτίνου δορυφόροι, Καππαδόκαι γένος. ἀεὶ γὰρ τοῦ τῆς P 384
φάλαγγος ἐξιόντες μετώπου δόρασι διεργάζοντο τῶν βαρβάρων
πολλούς. ταῦτα μὲν ἐφέρετο τῇδε. ἐν δὲ Νέρωνος πεδίῳ χρό-
νον μὲν συχνὸν ἀντεκάθηντο ἑκάτεροι ἀλλήλοις, καὶ οἱ Μαυρού-
σιοι ἐπεκδρομάς τε ἀεὶ ποιούμενοι καὶ τὰ δοράτια ἐσακοντίζοντες
τοὺς Γότθους ἐλύπουν. ἐπεξιέναι γὰρ πρὸς αὐτοὺς ἥκιστα ἤθε-
λον, δεδιότες τοὺς ἐκ τοῦ Ῥωμαίων δήμου οὐκ ἄποθεν ὄντας,
οἷς δὴ στρατιώτας τε ᾤοντο εἶναι καὶ τινα ἐνέδραν ἐς σφᾶς
ποιουμένους, ἡσυχῇ μένειν, ὅπως κατὰ νώτου ἰόντες ἀμφιβό- B
λους τε ποιησάμενοι διαφθείρωσιν. ἤδη δὲ τῆς ἡμέρας μεσού-

6. παρείχοντο] παρείχετο L: illud Hm. 8. ἄχρι L. ἄχρις P.
18. Θεοδώρητος] Vulgo Θεοδώριτος. 16. ἐν δὲ] ἐν μὲν HL.

rior fuit Romana res, et quamvis confixi sagittis Barbari frequentes caderent, haud tamen eorum acies inclinavit. Cum enim starent Gothi ingenti numero, in cadentium locum alii succedebant expeditissime, ita ut sensum clades fugeret. Ac Romanis, cum pauculi essent, operae pretium videbatur eo modo pugnasse hactenus: et praelio ad hostium usque castra illato, iamque ad meridiem producto, non sine magna eorum caede, urbem repetere animus erat, si quis praetextus suppeteret. In hoc certamine omnium generosissime se gesserunt ex acie Romana tres: Athenodorus, Isaurus genere et inter Protectores Belisarii clarus, Theodoritus et Georgius, stipatores Martini, natione Cappadoces. Nam ultra aciei frontem provecti crebris excursibus, multos Barbaros hastis interemerunt. Ibi quidem sic res ibat: in campo autem Nerosiano, utrique diu in conspectu stetere; sic tamen, ut Mauri frequentibus velitationibus Gothos infestarent, cum in eos iacula mitterent, nec vellent illi se efferre contra, veriti ne Romanae plebis catervae, in propinquo positae, quas constare militibus, et insidias parare sibi existimabant, eo consilio se non moverent, ut subirent a tergo, et quos intercepissent, utrinque

σης ὁρμᾷ μὲν τὸ Ῥωμαίων στράτευμα ἐκ τοῦ αἰφνιδίου ἐπὶ τοὺς πολεμίους, τρέπονται δὲ παρὰ δόξαν οἱ Γότθοι τῷ ἀπροσδοκήτῳ καταπλαγέντες. καὶ οὐδὲ ἐς τὸ χαράκωμα φυγεῖν ἴσχυσαν, ἀλλ' ἐς τοὺς ἐκείνῃ λόφους ἀναβάντες ἡσύχαζον. οἱ δὲ Ῥωμαῖοι πολλοὶ μὲν ἦσαν, οὐ στρατιῶται δὲ πάντες, ἀλλ' οἱ πλεῖστοι γυμνὸς ὅμιλος. ἅτε γὰρ τοῦ στρατηγοῦ ἐτέρωθι ὄντος πολλοὶ ἐν τῷ Ῥωμαίων στρατοπέδῳ ναῦται καὶ οἰκέται τοῦ πολέμου μεταλαχεῖν ἐφιέμενοι ἀνεμίγνυντο τῷ ταύτῃ στρατῷ. καὶ πλήθει μὲν τοὺς βαρβάρους ἐκπλήξαντες, ὥσπερ ἐρρήθη, εἰς φυγὴν ἔτρεψαν, ἀκοσμίᾳ δὲ τὰ Ῥωμαίων πράγματα ἔσφηλαν. ἐπιμιξίᾳ γὰρ τῇ ἐκείνων ἐς ἀταξίαν πολλὴν οἱ στρατιῶται ἐμπεπτωκότες, καίπερ σφίσι Βαλεντίνου πολλὰ ἐγκελευομένου, τῶν παραγγελλομένων ἥκιστα ἤκουον. διόπερ οὐδὲ τοῖς φεύγουσιν ἐπισπόμενοί τινα ἔκτεινον, ἀλλ' ἐν τοῖς λόφοις ἡσυχάζοντας ἀδεῶς τὰ ποιούμενα θεᾶσθαι ξυνεχώρησαν. οὐδὲ τὴν ἐκείνῃ διελεῖν γέφυραν ἐν νῷ ἐποιήσαντο, ὅπως τὸ λοιπὸν ἡ πόλις μὴ ἑκατέρωθεν πολιορκοῖτο, τῶν βαρβάρων ἔτι ὑπὲρ τὸν ποταμὸν Τίβεριν ἐνστρατοπεδεύεσθαι οὐκ ἂν δυναμένων. οὐ μὴν οὐδὲ τὴν γέφυραν διαβάντες κατὰ νώτου τῶν ἐναντίων ἐγένοντο, οἳ τοῖς ἀμφὶ Βελισάριον ταύτῃ ἐμάχοντο. ὅπερ εἰ ἐγεγόνει, οὐκ ἂν ἔτι, οἶμαι, οἱ Γότθοι πρὸς ἀλκὴν ἔβλεπον, ἀλλ' ἐς φυγὴν αὐτίκα μάλα ἐτράποντο, ὡς ἕκαστός πη ἐδύνατο. νῦν δὲ καταλαβόντες τὸ τῶν

6. στρατηγοῦ P ex Vat. στρατοῦ HL. *ibid.* ὄντος] ὄντες HL. ὄντος L corr. 7. τοῦ πολέμου L. [τούτου] τοῦ πολέμαν L. 14. τινα] τινὰς Reg.

petitos delerent. Iam meridies erat, cum in hostem Romanus exercitus derepente impetum fecit. Vi subita perculsi Gotthi, actique in fugam inopinato, non potuerunt se in castra conicere, sed occupatis collium vicinorum verticibus constiterunt. Plurimi quidem numero Romani erant, haud milites tamen omnes; at nuda partem maximam turba. Hinc enim absente Magistro militum, multi nautae et famuli, qui Rom. exercitum sequebantur, cum certaminis participes esse vellent, copiis ibi positis se immiscuerant. Ac Barbaros quidem multitudine attonitos, ut dictum est, in fugam verterunt: sed mox rem Romanam evertit confusio. Siquidem milites, turbatis valde illorum permistione ordinibus, Valentini, quamvis contente enixeque instantis, mandata non audiebant. Quamobrem fugientium nemine occiso, eos in collibus quietos, securo spectare animo sinebant quae fierent. Neque ipsis in mentem venit pontem vicinum interscindere; ut adempta Barbaris opportunitate habendi castra trans fluvium Tiberin, postmodum urbs obsidione utrinque non premeretur. Nec ponte transito, hostium, qui citra amnem pugnabant cum Belisario, terga invaserunt: quod si fecissent, certe Gotthi, ut equidem sentio, se ad firmitatem non intendissent, verum pro se quisque fugam celerassent. Iam

πολεμίων χαράκωμα ἐς ἁρπαγὴν τῶν χρημάτων ἐτράποντο, καὶ πολλὰ μὲν ἐνθένδε ἀργυρώματα, πολλὰ δὲ ἄλλα χρήματα ἔφερον. οἱ δὲ βάρβαροι χρόνον μέν τινα θεώμενοι τὰ ποιούμενα ἡσύχαζόν τε καὶ αὐτοῦ ἔμενον. τέλος δὲ ξυμφρονήσαντες θυμῷ τε πολλῷ καὶ κραυγῇ ἐχόμενοι ἐπὶ τοὺς ἐναντίους ἐχώρησαν. εὑρόντες δὲ ἀνθρώπους κόσμῳ οὐδενὶ τὰ σφέτερα λῃζομένους ἔκτεινάν τε συχνοὺς καὶ τοὺς λοιποὺς κατὰ τάχος ἐξήλασαν. ὅσοι γὰρ ἐγκαταληφθέντες αὐτῶν οὐ διεφθάρησαν, ἀπὸ τῶν ὤμων τὰ χρήματα ῥίψαντες ἄσμενοι ἔφευγον. P 385

Ἐν ᾧ δὲ ταῦτα ἐν Νέρωνος πεδίῳ ἐγίνετο, ἐν τούτῳ καὶ ἄλλος βαρβάρων στρατὸς ἄγχιστα τῶν σφετέρων στρατοπέδων ταῖς ἀσπίσι φραξάμενοι καρτερῶς τοὺς ἐναντίους ἠμύνοντο, καὶ πολλοὺς μὲν ἄνδρας, ἵππους δὲ πολλῷ πλείους διέφθειρον. ἐπεὶ δὲ Ῥωμαίων οἱ μὲν τραυματίαι γεγενημένοι, οἱ δὲ τῶν ἵππων σφίσι διαφθαρέντων ἐξέλιπον τὴν παράταξιν, ἐν ὀλίγῃ καὶ πρότερον τῇ στρατιᾷ οὔσῃ ἔτι μᾶλλον ἡ ὀλιγανθρωπία διαφανὴς ἦν, πολύ τε τὸ διαλλάσσον τοῦ τῶν Γότθων ὁμίλου ἐφάνη. ἅπερ ἐν B
νῷ λαβόντες οἱ τῶν βαρβάρων ἱππεῖς ἐκ τοῦ δεξιοῦ κέρως ἐπὶ H 211
τῶν κατ' αὐτοὺς πολεμίων ἐχώρησαν δρόμῳ. ὧν δὴ τὰ δόρατα οὐκ ἐνεγκόντες οἱ ταύτῃ Ῥωμαῖοι ἐς φυγὴν ὥρμηντο καὶ ἐς τῶν πεζῶν τὴν φάλαγγα ἦκον. οὐ μὴν οὐδὲ οἱ πεζοὶ τοὺς ἐπιόντας ὑφίσταντο, ἀλλὰ ξὺν τοῖς ἱππεῦσιν οἱ πολλοὶ ἔφευγον. αὐτίκα

8. ἐγκαταληφθέντες] Vulgo ἐγκαταλειφθέντες. 9. ἔφευγον] ἔφυγον Reg. 18. κέρως] Vulgo κέρους. 21. τοὺς ἐπιόντας] Vulgo τε ἐπιόντας.

vero potiti castris hostilibus, studium omne ad ea diripienda converterunt. Unde cum argenteae supellectilis aliarumque opum vim magnam auferrent, contemplati rem aliquandiu Barbari, tenuerunt se, haeseruntque in vestigiis. Tandem uno animo, ira acriter stimulante, in hostes impetum cum ingenti clamore capiunt: rerum suarum direptioni tumultuosissimae superveniunt: raptores non paucos mactant: reliquos confestim eiiciunt. Nam quisquis deprehensus haud periit illico, relecta ex humeris divite sarcina, lubens fugit.

Dum haec in campo Neronis fiunt, interea alter Barbarorum exercitus, proxime sua castra, protectus clypeis, hostem valide propulsabat, et cum virorum magnam, tum equorum etiam multo maiorem edebat stragem. Ubi vero Romanorum alii saucii, alii, confectis equis, excesserunt ex acie, in exercitu, iam ante modico, militum paucitas clarius patuit, apparuitque numero longe praestare Gotthos. Quo animadverso, e cornu dextero Barbarorum equites in hostes adversos incurrunt. Quorum hastis disiecti, qui ibi stabant Romani, praecipiti fuga ad pedestrem aciem se recipiunt. At eadem fracti impressione pedites, magno numero cum

δὲ καὶ τὸ ἄλλο Ῥωμαίων στράτευμα ὑπεχώρει, ἐγκειμένων σφίσι τῶν πολεμίων, καὶ ἡ τροπὴ κατὰ κράτος ἐγίνετο. Πριγκίπιος δὲ καὶ Ταρμοῦτος ξὺν ὀλίγοις τισὶ τῶν ἀμφ' αὐτοὺς πεζῶν ἔργα
C ἐπεδείξαντο ἀρετῆς ἄξια. ἐς αὐτοὺς γὰρ μαχομένους τε καὶ τρέπεσθαι ξὺν τοῖς ἄλλοις ἥκιστα ἀξιοῦντας τῶν Γότθων οἱ πλεῖστοι ἐν θαύματι τοῦτο μεγάλῳ ποιούμενοι ἔστησαν. καὶ ἀπ' αὐτοῦ οἵ τε ἄλλοι πεζοὶ καὶ τῶν ἱππέων οἱ πλεῖστοι ἀδεέστερον διεσώθησαν. Πριγκίπιος μὲν οὖν, κρεουργηθεὶς τὸ σῶμα ὅλον, αὐτοῦ ἔπεσε, καὶ πεζοὶ ἀμφὶ αὐτὸν τεσσαράκοντα καὶ δύο. Ταρμοῦτος δὲ δύο ἀκόντια Ἰσαυρικὰ ἐν ἀμφοτέραις ταῖς χερσὶν ἔχων,
D νύττων τε ἀεὶ τοὺς ἐπιόντας ἐπιστροφάδην, ἐπειδὴ κοπτόμενος τὸ σῶμα ἀπείπεν, Ἔννου τἀδελφοῦ ξὺν ἱππεῦσί τισιν ἐπιβεβοηθηκότος, ἀνέπνευσέ τε καὶ δρόμῳ ὀξεῖ λύθρου τε καὶ πληγῶν ἔμπλεως ἐπὶ τὸν περίβολον οὐδέτερον τῶν ἀκοντίων ἀποβαλὼν ἦει. ποδώκης δὲ ὢν φύσει διαφυγεῖν ἴσχυσε, καίπερ οὕτω τοῦ σώματος ἔχων, παρ' αὐτάς τε τὰς Πυγιανὰς πύλας ἐλθὼν ἔπεσε. καὶ αὐτὸν τετελευτηκέναι δόξαντα ὑπὲρ ἀσπίδος ἄραντες τῶν τινες ἑταίρων ἐκόμισαν. ὁ δὲ ἡμέρας δύο ἐπιβιοὺς ἐτελεύτησε, λόγον αὐτοῦ πολὺν ἔν τε Ἰσαύροις καὶ τῷ ἄλλῳ στρατοπέδῳ ἀπολιπών. πεφοβημένοι τε ἤδη Ῥωμαῖοι φρουρᾶς τῆς ἐν τῷ τείχει ἐπεμελοῦντο καὶ τὰς πύλας ἐπιθέντες ξὺν θορύβῳ πολλῷ τῇ πόλει τοὺς φεύγοντας οὐκ ἐδέχοντο, δεδιότες μὴ ξυνεισβάλλωσιν αὐτοῖς οἱ

3. αὐτοὺς] αὐτῶν L. αὐτὸν H: αὐτοὺς Hm. 4. ἐς αὐτοὺς] ἑαυτοὺς Reg. 16. τὰς excidit in P.

equitibus aufugere: mox et caeterae Romanorum copiae inclinari, urgente hoste, et vi eversae dilabi retro. Principius ac Tarmutus, cum exigua peditum suorum manu, digna fortibus animis facinora ediderunt. Nam ad ipsos pugnantes nolentesque cum aliis terga vertere, pars maxima Gotthorum constitit, admiratione defixa: quo tutius reliqui pedites equitesque plurimi evaserunt. Ac Principius quidem, toto corpore conciso, ibidem occubuit, et circa illum pedites XLII. Tarmutus vero spiculis duobus Isauricis, quibus utramque manum instruxerat, irruentes nunc hos, nunc illos punctim ferire non desinens, cum defeceret affectus vulneribus, levatus ope, quam cum equitibus nonnullis attulit Ennes frater, resumpsit spiritum: tum cruore et plagis coopertus, celerem cursum ad muros, neutro amisso spiculo, intendit; velocitate pedum, qua valebat, id consecutus, ut, quamvis corpore sic affecto, evaderet. Cum portam Pincianam attigisset, concidit, eumque pro mortuo habitum sodales ipsius quidam supposito clypeo portarunt. Biduo superstes obiit, praeclaram apud Isauros omnemque exercitum relinquens famam. Iam exterriti Romani, in custodiendis moenibus toti erant, ac portis cum maximo tumultu clausis, fugientes urbe excludebant, veriti, ne cum ipsis hostes irrumpe-

πολέμιοι. καὶ αὐτῶν ὅσοι οὐκ ἔφθασαν τοῦ περιβόλου ἐντὸς γε- V 55
γενημένοι, τὴν τάφρον διαβάντες καὶ τῷ τείχει τὰ νῶτα ἐρείσαν- P 386
τες, ἔτρεμόν τε καὶ πάσης ἀλκῆς ἐπιλελησμένοι εἱστήκεισαν ἀμύ-
νασθαί τε τοὺς βαρβάρους ἥκιστα ἴσχυον, καίπερ ἐγκειμένους τε
καὶ τὴν τάφρον ὑπερβῆναι ἐπ' αὐτοὺς μέλλοντας. αἴτιον δὲ ἦν
ὅτι τοῖς μὲν πολλοῖς τὰ δόρατα ἔν τε τῇ ξυμβολῇ καὶ τῇ φυγῇ
κατεαγότα ἐτύγχανε, τὰ δὲ τόξα ἐνεργεῖν στενοχωρίᾳ τῇ πρὸς ἀλ-
λήλων οὐχ οἷοί τε ἦσαν. ἕως μὲν οὖν οὐ πολλοὶ ἐν ταῖς ἐπάλ-
ξεσι καθεωρῶντο, οἱ Γότθοι ἐνέκειντο, ἐλπίδα ἔχοντες τούς τε
ἀποκεκλεισμένους ἅπαντας διαφθεῖραι καὶ τοὺς ἐν τῷ περιβόλῳ
βιάσασθαι. ἐπεὶ δὲ στρατιωτῶν τε καὶ τοῦ Ῥωμαίων δήμου
ἀμυνομένων, πολύ τι χρῆμα ἐς τὰς ἐπάλξεις εἶδον, αὐτίκα δὴ B
ἀπογνόντες ἐνθένδε ὀπίσω ἀπήλαυνον, πολλὰ τοὺς ἐναντίους κα-
πίσαντες. ἥ τε μάχη ἐν τοῖς τῶν βαρβάρων χαρακώμασιν ἀρ-
ξαμένη ἔν τε τῇ τάφρῳ καὶ τῷ τῆς πόλεως ἐτελεύτησε τείχει.

4. καίπερ] καθάπερ HL. 8. οἷοι] οἷα H. *ibid.* οὐ πολλοὶ] οἱ πολλοὶ HL: sed οὔ Lm.

rent. Quicunque foris remanserant, ii fossam transgressi, tergaque moenibus apprimentes, tremebant, stabantque virtutis omnino immemores: nec Barbaros imminentes et transire fossam parantes arcere poterant, cum hastas multi in pugna ac fuga fregissent, seque invicem ita comprimerent, ut nequirent arcus tractare. Quandiu ad pinnas adesse rari visi sunt, tabdiu Gotthi incubuere, spe ducti, fore ut exclusos omnes delerent, atque e muris defensores deiicerent. At ubi pinnas videre cinctas densa propugnantium militum et Romanae plebis corona, inde statim desperatione retro cesserunt, multis in hostes iactis convitiis. Itaque praelium ad Barbarorum castra initum, ad urbis fossam et muros finem invenit.

σθαι φιλεῖ, ἀλλ' εὐβουλίᾳ τε καὶ προμηθείᾳ τὴν τῶν καιρῶν ἀεὶ σταθμώμενος ῥοπήν. ὑμεῖς μὲν οὖν πεττεύειν οἰόμενοι τὸν ἕνα βούλεσθε ὑπὲρ ἁπάντων ἀναρριπτεῖν κύβον, ἐμοὶ δὲ οὐ σύνηθες αἱρεῖσθαι πρὸ τοῦ ξυμφόρου τὸ ξύντομον. εἶτα σὺν ἡμῖν ἐπαγγέλλεσθε τοῖς πολεμίοις διὰ μάχης ἰέναι, πότε τὰς μελέτας τοῦ πολέμου πεποιημένοι; ἢ ποῖος τὰ τοιαῦτα ἐκμαθὼν τοῖς ὅπλοις οὐκ οἶδεν ὅτι οὐ χωρεῖ ἄχρι τῆς διαπείρας ἡ μάχη; οὐδὲ αὐτός σοι ἐμμελετᾶν ὁ πολέμιος ἐν τοῖς ἀγῶσι παρέχεται. νῦν μὲν οὖν
B τὴν προθυμίαν ὑμῶν ἄγαμαι καὶ συγγνώμων εἰμὶ ταραχῆς τῆσδε. ὡς δὲ ὑμῖν ταῦτα οὐκ εἰς καιρὸν γέγονε καὶ ἡμεῖς μελλήσει προμηθεῖ χρώμεθα ἐγὼ δηλώσω. στράτευμα ἡμῖν ἀριθμοῦ κρεῖσσον ἐκ πάσης γῆς ἀθροίσας βασιλεὺς ἔπεμψε καὶ στόλος, ὅσος οὐ πώποτε Ῥωμαίοις ξυνέστη, τήν τε Καμπανίας ἀκτὴν καὶ κόλπου τοῦ Ἰονίου τὰ πλεῖστα καλύπτει. ὀλίγων τε ἡμερῶν ξὺν πᾶσι τοῖς ἐπιτηδείοις παρ' ἡμᾶς ἥξουσι, τήν τε ἀπορίαν ἡμῖν διαλύσοντες καὶ πλήθει βελῶν τὰ τῶν βαρβάρων στρατόπεδα καταχώ-
C σοντες. ἀνθ' ὧν καὶ ἐλογισάμην ἐς τὴν ἐκείνων παρουσίαν τὸν τῆς ξυμβολῆς μᾶλλον ἀποθέσθαι καιρόν, καὶ ξὺν τῷ ἀσφαλεῖ τὸ τοῦ πολέμου πορίζεσθαι κράτος, ἢ σπουδῇ ἀλογίστῳ θρασυνόμενος τὴν τῶν ὅλων σωτηρίαν προΐεσθαι. ὅπως δὲ αὐτίκα τε ἥξουσι καὶ μὴ περαιτέρω μελλήσουσιν, ἐγὼ προνοήσω.

D V 62 δ'. Τούτοις μὲν Ῥωμαίων τὸν δῆμον παραθαρσύνας Βελισάριος ἀπεπέμψατο, Προκόπιον δέ, ὃς τάδε ξυνέγραψεν, αὖ-

22. παραθαρσύνας Reg. παραθρασύνας P.

derata celeritas, sed maturum consilium et providentia, quae omnia occasionum momenta ponderet. Vos, quasi alea luderetis, unius tali iactui summam rerum vultis subiicere. At meus non est mos compendia praeoptare longioris operae utilitatibus. Deinde, nobiscum vos hostem aggressuros pollicemini. Verum quandonam vos re militari exercuistis? Quis hanc disciplinam ipsa armorum tractatione edoctus, ignorat, non eo pertinere praelium, ut repente erudiat usu rudem, nec tibi hostem in certaminibus umbratilem belli meditationem praebere? Ac vestram quidem alacritatem demiror: excitati vero tumultus do veniam. Hoc demum a vobis factum alieno tempore, et nos sapienter cunctari probabo. At nos misit Imperator contractum ex universo Orbe exercitum innumerabilem: et classis, quanta nunquam a Romanis conflata fuit, Campaniae littus et sinus Ionii partem maximam tegit. Huc paucos intra dies advenient cum omni genere commeatuum, nec inopiam modo a nobis depellent, sed Barbarorum etiam castra obruent telorum vi. Quamobrem satius esse duxi pugnam in eorum adventum differre, et victoriam tuto consequi, quam praecipiti inconsultaque audacia salutem communem proiicere. Caeterum ut quamprimum adsint, nec morentur diutius, providebo.

4. Vix plebem Romanam Belisarius his verbis animatam remiserat, cum Neapolim, quo missum ab Imperatore exercitum fama nuntiabat, au-

tori a Belisario irrogata. (9.) *Ioannes Picenum populatur. Ariminum occupat. Per internuntios agit cum Matasuntha uxore Vitigis. Gotthi Romae obsidionem solventes, cladem accipiunt.* (10.) *Multa Vitigis loca praesidiis munit. Arimino Belisarius providet. Romani Petram pertusam expugnant. Ioannes Belisarii mandato adversatur.* (11.) *Gotthi Ariminum obsident. Ioannis generosa providentia et concio. Mediolanensibus missi a Belisario praesidiarii Genuam appellunt: ad Ticinum pugnant: ubi Fidelius Praefectus Praet. occumbit. Theodebertus Francorum Rex Gotthis mittit auxilia. Gotthi Mediolanum obsident.* (12.) *Belisarius Tudertum et Clusium capit. Anconae situs. Cononis imprudentia. Romanorum clades. Narsetis Eunuchi in Italiam adventus.* (13.) *Erulorum antiquae sedes: in senes et aegrotos crudelitas: uxorum saevus mos in maritorum funeribus. Langobardis pacem petentibus Rodulfus Erulorum Rex bellum infert, et cum maxima suorum parte occumbit, Deo ulciscente. Eruli se ad Gepaedes recipiunt: deinde ad Romanos, Anastasio imperante. Iustiniani principatu dant Christo nomina, nec mores perditos exuunt. Regem suum occidunt.* (14.) *Erulorum pars Thulen petit. Eius situs. Ibi Sol aestate per dies 40. non occidit; per totidem non oritur hieme. Solis reditus festo maximo celebratur. Scrithifinorum mores. Thulitarum religio. Erulorum pars altera sibi Regem ex Thule asciscit, et ab Imperatore Iustiniano deficit.* (15.) *Belisarius et Narses copias iungunt ad urbem Firmum. In consilio bellico, Narses Arimino succurrendum suadet. Ioannis obsessi epistola ad Belisarium. Profectio exercitus.* (16.) *In infantem a matre derelictum caprae amor mirabilis. Gotthi, adventu Belisarii cognito, obsidionem, qua Ariminum premebant, trepide solvunt.* (17.) *Ildiger Gotthorum castris potitur. Narses a Belisario dissidet. Utriusque orationes. Iustinianus Aug. Belisario per literas belli imperium asserit.* (18.) *Belisarius Urbinum obsidet. Narses a castris abscedit. Obsessi, aqua defecti, dedunt se Belisario. Ioannes Caesenam frustra tentat. Forum Cornelii universamque Aemiliam recipit.* (19.) *Auximi obsidendi in aliud tempus reiecto, Urbem veterem Belisarius petit, et capit. Descriptio horrendae famis; qua saeviente, mulieres duae viros 17. vorarunt.* (20.) *Martinus et Uliaris Mediolano ferre iussi auxilium, ad Padum cunctantur. Paulus eos acri urget oratione. Martini ad Belisarium, Belisarii ad Narsetem literae. Mundilas a deditione facienda suos frustra dehortatur. Mediolani miserandum excidium.* (21.) *Belisarii dolor, audita Mediolanensium clade. Narsetem ex Italia revocat Imperator. Eruli inde migrant et paciscuntur cum Gotthis. Vitigis Langobardos ad societatem frustra invitat. Chosroem per Legatos hortatur, ut pacem cum Romanis compositam solvat. Iustinianus de pace cum Gotthis agit.* (22.) *Cyprianus ac Iustinus Faesulas obsident. Martinus et Ioannes Dertonam occupant. Belisarius Auximum obsidione cingit. Procopii sapiens consilium. Duplex signum duplici tuba editur.* (23.) *Gotthi Auximo literas ad Vitigin mittunt et opem rogant. Inane promissum Vitigis. Cyprianus ac Iustinus obsidione Faesulas premunt. Uraias Ticinum accitur. Pado transito, non audet Romanos aggredi.* (24.) *Theodeberti Francorum Regis in Italiam expeditio. Francorum arma. Padum ad Ticinum traiiciunt. Priscae superstitionis ritus quosdam affingit ipsis Procopius. Gotthos ac Romanos castris exuunt. Multi dysenteria pereunt. Belisarii ad Theodebertum epistola. Franci in Galliam remigrant.* (25.) *Gotthorum, qui Auximi obsidebantur, literas Romanus miles proditor ad Vitigin profert; ac deinde huius epistolam ad obsessos. Sclavenus Gotthum ex insidiis occupat, abripitque in castra: ubi ab ipso indicata proditione dat poenas proditor.* (26.) *Ad Auximi fontem certamen acerrimum. Faesularum, ac tandem Auximi deditio.* (27.) *Belisarius Ravennam commeatibus intercludit. A Francorum Regibus et Be-*

μᾶλλον ἢ αὐτοὶ πολιορκεῖν Ῥωμαίους δόξειαν. Μαρτῖνον μὲν καὶ Τραϊανὸν ξὺν χιλίοις ἐς Ταρακίναν ἐκέλευσεν ἰέναι. οἷς δὴ καὶ Ἀντωνίναν τὴν γυναῖκα ξυνέπεμψεν, ἐντειλάμενος ἔς τε Νεάπολιν αὐτὴν στέλλεσθαι ξὺν ὀλίγοις τισὶ καὶ τύχην ἐκ τοῦ ἀσφαλοῦς τὴν σφίσι ξυμβησομένην καραδοκεῖν. Μάγνον τε καὶ Σινθούην τὸν δορυφόρον πεντακοσίους μάλιστα ἑπαγομένους ἐς Τιβούρων τὸ φρούριον ἔπεμψε, σταδίους τεσσαράκοντα καὶ ἑκατὸν Ῥώμης διέχον. ἐς μέντοι τὸ Ἀλβανῶν πόλισμα, σταδίους μὲν τοσούτους ἀπέχον, ἐν δὲ τῇ Ἀππίᾳ ὁδῷ κείμενον, πρότερον ἤδη Γόνθαριν ξὺν Ἐρούλοις τισὶ πέμψας ἔτυχεν, οὓς δὴ οἱ Γότθοι βιασάμενοι ἐξήλασαν ἐνθένδε οὐ πολλῷ ὕστερον.

Ἔστι δέ τις νεὼς Παύλου τοῦ ἀποστόλου, Ῥώμης τοῦ περιβόλου τέσσαρας καὶ δέκα σταδίους ἀπέχων. ὃ τε ποταμὸς αὐτὸν παραρρεῖ Τίβερις. ἐνταῦθα ὀχύρωμα μὲν οὐδαμῇ ἐστι, στοὰ δέ τις ἄχρι ἐς τὸν νεὼν διήκουσα ἐκ τῆς πόλεως, ἄλλαι τε πολλαὶ οἰκοδομίαι ἀπ' αὐτῶν οὖσαι οὐκ εὐέφοδον ποιοῦσι τὸν χῶρον. ἔστι δέ τις καὶ αἰδὼς πρὸς ταῦτα δὴ τὰ ἱερὰ τοῖς Γότθοις. ἐς οὐδέτερον γοῦν τοῖν ἀποστόλοιν νεὼν παρὰ πάντα τὸν τοῦ πολέμου καιρὸν ἄχαρί τι πρὸς αὐτῶν γέγονεν, ἀλλὰ πάντα τῇδε τοῖς ἱερεῦσιν, ἥπερ εἰώθει, ἐξοσιοῦσθαι ξυμβέβηκεν. ἐν τούτῳ δὲ τῷ χωρίῳ Βαλεριανὸν, τοὺς Οὔννους ἅπαντας ἀπαγαγόντα, χαράκωμα περὶ τοῦ Τιβέριδος τὴν ὄχθην ἐκέλευε ποιεῖσθαι, ὅπως ἂν αὐτοῖς τε ἀδεέστερον οἱ ἵπποι τρέφοιντο καὶ οἱ Γότθοι μᾶλλον

5. *Σινθούην*] *σίνθουσιν* H. 6. *Τιβούρων*] *τίβουρ* Reg. et Lm. *τίβυρι* HL. 20. *ξυμβέβηκεν*] *συμβέβηκεν* L.

bari quam Romanos obsidere videantur. Martino Traianoque imperat Tarracinam abeant cum viris mille: quibuscum et Antoninam uxorem mittit, iussam proficisci inde Neapolim cum nonnullis, et fortunam, quae res cunque suas maneret, expectare in tuto. Ad Tiburtinum castellum, quod Roma stadiis abest CXL. Magno et Sinthue Praetoriano ducibus, quingentos fere destinat. Iam ante ad Albanorum oppidum, in via situm Appia, totidemque ab urbe stadiis dissitum, Gontharin cum Erulorum agmine miserat: quos Gotthi non multo post inde vi expulerunt.

Templum est Pauli Apostoli, quod a moenibus Romae stadiis XIV. distat. Alluitur fluvio Tiberi, nullis septum operibus: quanquam ab urbe pertinens ad templum hoc porticus, et vicina utrique aedificia, faciles negant ad locum aditus. Porro Gotthi sacram hanc Pauli aedem Apostoli, itemque alteram Apostoli Petri sic reverentur, ut neutram toto belli tempore, ne minimum quidem, violarint: at Sacerdotibus de more sacra illic omnia procurare licuerit. Iussus a Belisario Valerianus, Hunnis secum eductis omnibus, in eo loco, ad Tiberis ripam, castra ponere, tum ut liberius eques alerent, tum ut Gotthis facultas minor esset, lon-

ἔτι ἀναστέλλοιντο τοῦ κατ' ἐξουσίαν ὡς ἀπωτάτω τῶν στρατοπέδων τῶν σφετέρων ἰέναι. ὃ δὲ κατὰ ταῦτα ἐποίει. ἐπειδή τε οἱ Οὖννοι ἐνταῦθα ἐστρατοπεδεύσαντο, οὗπερ ὁ στρατηγὸς ἐνετέλλετο, ἐς τὴν πόλιν ἀπήλαυνε. ταῦτα μὲν οὖν Βελισάριος διαπεπραγμένος ἡσύχαζε, μάχης μὲν οὐκ ἄρχων, ἐκ δὲ τοῦ τεί- V 63
χους ἀμύνεσθαι προθυμούμενος, ἤν τις ἔξωθεν ἀπ' αὐτῆς κακουργήσων ἴοι. καὶ σῖτον μέντοι τισὶ τῶν Ῥωμαίων δήμιον πα- P 397
ρείχετο, Μαρτῖνος δὲ καὶ Τραϊανὸς διελθόντες νύκτωρ τὰ τῶν πολεμίων στρατόπεδα, ἐπειδὴ ἐν Ταρακίνῃ ἐγένοντο, Ἀντωνίναν μὲν ἐς Καμπανίαν ξὺν ὀλίγοις τισὶν ἔπεμψαν, αὐτοὶ δὲ τὰ ταύτῃ ὀχυρώματα καταλαβόντες, ἔνθεν τε ὁρμώμενοι, καὶ τὰς ἐφόδους ἐκ τοῦ ἀλφιδίου ποιούμενοι, τῶν Γότθων τοὺς τὰ ἐκείνῃ περιόντας χωρία ἀνέστελλον. Μάγνος δὲ καὶ Σινθούης τοῦ τε φρουρίου ὅσα κατεπεπτώκει ἐν βραχεῖ ἀνῳκοδομήσαντο χρόνῳ καὶ ἐπειδὴ ἐν τῷ ἀσφαλεῖ ἐγένοντο, ἤδη μᾶλλον ἐλύπουν τοὺς πολεμίους, ἅτε αὐτῶν τὸ ἐπιτείχισμα οὐκ ἄποθεν ὂν συχνά τε καταθέοντες, καὶ τῷ ἀπροσδοκήτῳ ἐμπλήσσοντες ἀεὶ τῶν βαρβά- B
ρων τοὺς τὰ ἐπιτήδεια παραπέμποντας, ἕως Σινθούης ἐν μάχῃ δή τινι δόρατι πληγεὶς τὴν δεξιὰν χεῖρα τῶν τε νεύρων οἱ ἀποκοπέντων ἀπόμαχος τὸ λοιπὸν γέγονε. καὶ Οὖννοι δὲ τὸ στρατόπεδον ἐν γειτόνων, ὥσπερ μοι ἐρρήθη, πεποιημένοι οὐκ ἐλάσσω κακὰ τοὺς Γότθους ἐποίουν, ὥστε καὶ αὐτοὶ τῷ λιμῷ ἐπιέζοντο ἤδη, οὐκέτι σφίσιν ἀδείας οὔσης τὰς τροφὰς ὥσπερ τὸ

1. ἀπωτάτω] ἀποτάτω P. 6. ἀπ' αὐτῆς] ἐπ' αὐτῷ Pm.
13. περιόντας] περιόντας L.

gias a suis castris evagandi ad libitum; mandatum exequitur, Hunnisque, ubi Magister militiae praescripserat, metatis, in urbem redit. His constitutis, nihil movebat Belisarius, nec pugnam lacessebat, ad externam vim, si qua ingrueret, a moenibus propulsandam paratissimus. Ac nonnullis quidem e Romana plebe frumentum praebuit: Martinus vero ac Traianus noctu castra hostium praetergressi, post suum Tarracinam adventum, Antoninam cum paucis in Campaniam miserunt, et vicinis munitionibus occupatis, coeperunt ita inde erumpere, ut Gotthos, ea pervagantes loca, subitis represserint incursionibus. Magnus et Sinthues, reparatis brevi ruinis omnibus castelli Tiburtini, iam in tuto positi, hostem, cui munimentum hoc prope imminebat, magis ac magis vexabant, crebrisque et improvisis excursibus Barbaros, deductores commeatuum, percelebant: donec Sinthues, hasta in quodam certamine manu dextera vulnerata, ac praecisis ipsius nervis, causarius in posterum fuit. Nec misera Gotthi damna ab Hunnis, in propinquo, ut dixi, metatis, accipiebant: ita ut iam ipsos quoque urgeret fames, erepta, qua prius gaude-

νηκότος ἀδελφιδοῦς καὶ ξὺν αὐτοῖς ἕτεροι στρατιῶται ἐκ καταλόγου ἱππικοῦ χίλιοι· ὧν ἄλλοι τε καὶ Ἀλέξανδρός τε καὶ Μαρκέντιος ἦρχον. ἐτύγχανε δὲ ἤδη καὶ Ζήνων ξὺν τριακοσίοις ἱππεῦσιν ἐς Ῥώμην διά τε Σαμνίου καὶ Λατίνης ὁδοῦ ἀφικόμενος. ἐπεὶ δὲ καὶ Ἰωάννης ξὺν τοῖς ἄλλοις ἅπασιν ἐς Καμπανίαν ἦλθεν, ἁμάξας πολλὰς ἐκ Καλαβρῶν ἔχων, ἀνεμίγνυτο τοῖς πεντακοσίοις ἠθροισμένοις ἐκ Καμπανίας, ὥσπερ μοι εἴρηται. οὗτοι μὲν ὁδὸν ἔχοντες τὴν παραλίαν ξὺν ταῖς ἁμάξαις ἦεσαν ἐν νῷ ἔχοντες, ἤν τι ἀπαντήσῃ πολέμιον σφίσι, κύκλον τέ τινα καὶ χαρακώματος σχῆμα τὰς ἁμάξας ποιησαμένους ἐνθένδε τοὺς ἐπιόντας ἀμύνασθαι, τοῖς δὲ ἀμφὶ Παῦλόν τε καὶ Κώνωνα πλεῖν κατὰ τάχος ἐκέλευον, καὶ σφίσιν εἰς Ὄστιαν ξυμβῆναι τὸ Ῥωμαίων ἐπίνειον, σῖτον μὲν ἱκανὸν ἐν ταῖς ἁμάξαις ἐνθεμένοις, τὰς ναῦς τε ἁπάσας οὐ σίτου μόνον ἐμπλησαμένους, ἀλλὰ καὶ οἴνου καὶ τῶν ἀναγκαίων ἁπάντων. καὶ αὐτοὶ μὲν τοὺς ἀμφὶ Μαρτῖνον καὶ Τραϊανὸν ᾤοντο ἐς τὰ ἐπὶ Ταρακίνης χωρία εὑρήσειν καὶ ξὺν αὐτοῖς ἐνθένδε ἰέναι· γεγονότες δὲ ἄγχιστα ἔμαθον ὡς ὀλίγῳ πρότερον ἐς Ῥώμην μετάπεμπτοι ἀνεχώρησαν. Βελισάριος δὲ τοὺς ἀμφὶ τὸν Ἰωάννην προϊέναι μαθὼν καὶ δείσας μὴ σφᾶς οἱ πολέμιοι πλήθει πολλῷ ἀπαντήσαντες διαφθείρωσιν ἐποίει τάδε. πύλην τὴν Φλαμινίαν, οὗ δὴ αὐτῆς ἄγχιστα ἐνστρατοπεδεύσασθαι τοὺς πολεμίους τετύχηκε, λίθων οἰκοδομίαις αὐτὸς κατ' ἀρχὰς τοῦδε τοῦ πολέμου ἀπέφραξεν, ὥσπερ μοι ἐν τοῖς ἔμπρο-

23. ἐν τοῖς om. L.

nes, Vitaliani tyranni nuperi ex sorore nepos; et cum his e numeris equestribus alii milites mille, quibus, ut alios taceam, Alexander et Marcentius imperabant. Iam et Zeno cum ccc. equitibus Romam per Samnium ac viam Latinam pervenerat. Postquam autem Ioannes quoque cum caeteris omnibus in Campaniam advenit, coactis e Calabria plaustris quamplurimis instructus, adiunxit se quingentis illis, qui ex Campania, uti diximus, collecti fuerant. Hi secundum mare iter facientes, plaustra secum trahebant eo consilio, ut, si hostis occurreret, illis in castrorum speciem circumvallati, vim illatam repellerent. Iidem Paulo et Cononi mandaverant, ut celeri navigatione usi, copias secum ad Ostiam, Romanorum navale, iungerent. Magno frumenti numero in plaustra imposito, naves cunctas non solum frumento, sed vino etiam rebusque omnibus necessariis compleverant. Martinum quidem ac Traianum apud Tarracinam se offensuros et cum ipsis inde profecturos rebantur: verum, ubi proxime ventum est, eos Romam paulo ante revocatos abiisse intellexerunt. Certior factus Belisarius Ioannis copias progredi, ac veritus ne ingenti hostes numero facti obviam, eas delerent, rationem hanc iniit. Portam Flaminiam, ad quam hostes castra locaverant, ipse belli huius initio, quemadmodum in superiore libro narravi, lapideo pariete obstru-

ἐκ τοῦ ἐπὶ πλεῖστον ἀνίησι. καὶ ἢν μέν τινα ὁδῷ τὸ κακὸν τοῦτο βαδίζοντα λάβῃ, τοῦτον δὴ τὸν ἄνθρωπον οὐδεμιᾷ μηχανῇ βιώσεσθαί ἐστιν, ἢν δὲ οἰκίαις τισὶν ἐπιπέσοι, πίπτουσι καὶ αὐταὶ τῷ τῆς κόνεως πλήθει ἀχθόμεναι. ἀνέμου δὲ σκληροῦ, ἂν οὕτω P 398
5 τύχῃ, ἐπιπεσόντος, ἀνιέναι μὲν αὐτὴν ξυμβαίνει ἐς ὕψος μέγα, ὡς μηκέτι ἀνθρώπῳ ὁρατὴν γίνεσθαι, φέρεσθαι δὲ ὅπη ἂν αὐτῇ τὸ πνεῦμα ἐπίφορον ἴοι, ἐμπίπτειν τε εἰς γῆν, ἢ ὡς ἑκαστάτω τυγχάνει οἶσα. καί ποτε μέν φασιν ἐν Βυζαντίῳ ἐπιπεσοῦσαν οὕτως ἐκπλῆξαι τοὺς ταύτῃ ἀνθρώπους ὥστε παυδημεὶ ἐξ ἐκείνου
10 δὴ καὶ ἐς τόδε τοῦ χρόνου λιταῖς ἐνιαυσίοις ἐξιλάσκεσθαι τὸν θεὸν ἔγνωσαν, ἐς Τρίπολιν δὲ τῆς Λιβύης χρόνῳ ἑτέρῳ ἐμπεπτωκέναι. καὶ πρότερον μὲν ἐνιαυτῶν ἑκατὸν ἢ καὶ πλειόνων τὸν μυκηθμὸν τοῦτόν φασι γενέσθαι, ὕστερον δὲ καὶ πολλῷ ἔτι θᾶσσον ξυμβῆναι. τοῦτο μέντοι ἀπισχυρισάμενοι λέγουσιν, ὅτι δὴ ἐπειδὰν τῷ B
15 Βεβίῳ ταύτην ἐρεύξασθαι τὴν κόνιν ξυμβαίη, εὐθηνεῖν ἀνάγκη τοὺς καρποὺς κατὰ τὴν ἐκείνῃ χώραν ἅπασαν. ἀὴρ δὲ λεπτότατός ἐστι καὶ πρὸς ὑγείαν ἱκανὸς πεφυκὼς ἐν τῷ ὄρει τούτῳ πάντων μάλιστα. ἐς τοῦτο ἀμέλει τοὺς φθόῃ ἁλόντας ἐκ τῶν ἄνωθεν χρόνων ἰατροὶ πέμπουσι. τὰ μὲν οὖν ἀμφὶ Βεβίῳ ταύτῃ
20 ἔχει.

ε'. Ἐν τούτῳ δὲ καὶ ἄλλο στράτευμα ἐκ Βυζαντίου κατέ- C
πλευσεν, Ἰσαύρων μὲν ἐς τὸν Νεαπόλεως λιμένα τρισχίλιοι, ὧν V 64
Παῦλος καὶ Κώνων ἡγοῦντο, ἐς Ὑδροῦντα δὲ Θρᾷκες ἱππεῖς ὀκτακόσιοι, ὧν Ἰωάννης ἦρξεν ὁ Βιταλιανοῦ τοῦ πρώην τετυραν-

16. κατὰ add. P et Scaliger: om. HL. 23. Ὑδροῦντα Pm et Scaliger. Δρυοῦντα P.

si in via quempiam deprehenderit, nullo is pacto mortem potest effugere: si in domos inciderit, eae corruunt, oppressae copia cineris. Hic denum, si forte ventus vehementior incumbat, in sublime adeo tollitur, ut visum fugiat, et quocumque impellit aura, perlatus, in terram decidat remotissimam. Ferunt illius casu sic territum aliquando Byzantium, ut quae tunc ad placandum Deum decretae sunt, etiamnum habeantur solennes supplicationes. Alio tempore cadentem eum excepit Tripolis Libyae. Iam autem anni sunt centum, et amplius, ut perhibent, cum prior mugitus editus fuit; alterius multo recentior est memoria. Caeterum affirmant fieri non posse, quin omnis regio, in quam cineres Vesuvius eructaverit, exuberet frugibus. In eo monte caelum est tenuissimum omnium, ac saluberrimum. Eo certo Medici diutina tabe correptos mittunt. Sed de Vesuvio hactenus.

5. Hoc interim spatio aliae Byzantio copiae navibus advectae sunt. Ac Neapolim quidem tria Isaurorum millia, Paulo et Conone ducibus, appulerunt, Hydruntem vero Thraces equites DCCC. quibus praerat Ioan-

P 394 δὲ καὶ ἐξ ἡμιόνων τῶν ἐν Ῥώμῃ θνησκόντων ἀλλᾶντας ποιούμενοι ἀπεδίδοντο λάθρα. ἐπεὶ δὲ σῖτον τὰ λήια οὐκέτι εἶχε καὶ ἐς μέγα κακὸν ἅπαντες Ῥωμαῖοι ἀφίκοντο, Βελισάριόν τε περιίσταντο καὶ ἐν μάχῃ μιᾷ διακρίνεσθαι πρὸς τοὺς πολεμίους ἠνάγκαζον, Ῥωμαίων οὐδένα τῆς ξυμβολῆς ἀπολείψεσθαι ὑποσχόμενοι. 5
H 216 καὶ αὐτῷ ἀπορουμένῳ τε τοῖς παροῦσι καὶ λίαν ἀχθομένῳ τῶν ἀπὸ τοῦ δήμου ἔλεξάν τινες τοιάδε

„Οὐ προσδεχομένους ἡμᾶς ἡ παροῦσα, ὦ στρατηγέ, κατέ-
B λαβε τύχη, ἀλλ' εἰς πᾶν ἡμῖν τοὐναντίον τὰ τῆς ἐλπίδος ἐκβέβηκε. τετυχηκότες γὰρ ὧν πρότερον ἐν ἐπιθυμίᾳ κατέστημεν, 10 τανῦν ἐς τὴν παροῦσαν ξυμφορὰν ἥκομεν, καὶ περιέστηκεν ἡμᾶς
V 61 ἡ προλαβοῦσα δόξα τῷ καλῶς τῆς βασιλέως προμηθείας ἐφίεσθαι, νῦν ἄνοιά τε οὖσα καὶ κακῶν τῶν μεγίστων ὑπόθεσις. ἀφ' οὗ δὴ ἐς τόδε ἀνάγκης ἀφίγμεθα ὥστε ἐν τῷ παρόντι ἔτι βιάζεσθαι καὶ πρὸς τοὺς βαρβάρους ὁπλίζεσθαι τετολμήκαμεν. καὶ 15 συγγνώμη μὲν εἰ πρὸς Βελισάριον θρασυνόμεθα. γαστὴρ οὐκ οἶδεν ἀπορουῦσα τῶν ἀναγκαίων αἰσχύνεσθαι. ἀπολελογήσθω δὲ ἡμῶν ὑπὲρ τῆσδε ἡμῶν τῆς προπετείας ἡ τύχη. πάντων γὰρ εἰκότως ἀνιαρότατος δοκεῖ εἶναι μηκυνόμενος τοῖς οὐκ εὖ φερομέ-
C νοις ὁ βίος. τὰ μὲν οὖν ξυμπεσόντα ἡμῖν ὁρᾷς δήπουθεν. ἀγροὶ 20 μὲν οὗτοι καὶ χώρα ξύμπασα ὑποπέπτωκε ταῖς τῶν πολεμίων χερσί. πόλις δὲ αὕτη τῶν ἀγαθῶν ἀποκέκλεισται πάντων ὧν οὐκ

1. ἀλλᾶντας] Vulgo ἀλλάντας. ἀλάντας L. 5. Ῥωμαίων] ῥωμαῖον L. 14. ἔτι P, Vat. ἔτει τῷ HL. 19. ἀνιαρότατος] Vulgo ἀνιαρώτατος.

lorum qui Romae moriebantur, confectos vendebant clanculum. Nudatis iam agris messibus, ad extrema redacti Romani omnes, conventum facto agmine Belisarium ad decretoriam cum hoste pugnam compellunt, ab ea neminem civium abfore pollicentes. Tum ipsum praesenti necessitate districtum, et valde animo dolentem, quidam e populo his fere verbis affati sunt.

Expectationi, qua tenebamur, Magister militum, rerum haec nostrarum fortuna minime respondet: sed spei plane contrarium exitum reperimus. Id enim consecuti, quod prius in votis erat, in hanc modo calamitatem devenimus, iamque insania mera est, ac nobis aerumnas maximas parit iniecta ante opinio; quae nos a pristina conditione avertit praeclaro studio gaudendi Caesarea providentia. Unde eo necessitatis adducti sumus, ut iam etiam uti vi audeamus, et in Barbaros arma sumere. Ac nobis detur venia, si apud Belisarium fidentius loquimur. Iciunus enim et inops venter erubescere nescit. Fortuna quoque, qua premimur, nostram hanc excuset licentiam: siquidem vita omnium miserrima videtur esse, quae infelicibus prorogatur. Vides quae nobis acciderint. En, agros atque omnem late regionem hostis tenet: cunctis vitae commodis urbs haec

ἴσμεν ἐξ ὅτου δὴ χρόνου. Ῥωμαίων δὲ οἱ μὲν ἤδη κεῖνται, τὸ μηδὲ γῇ κρύπτεσθαι κληρωσάμενοι, οἱ περιόντες δὲ ἡμεῖς, ὡς ἂν συλλήβδην εἴπωμεν ἅπαντα τὰ δεινὰ, ξυντετάχθαι τοῖς οὕτω κειμένοις εὐχόμεθα. πάντα γὰρ τοῖς ἐντυγχάνουσιν ὁ λιμὸς τὰ κακὰ φορητέα δείκνυσιν, ἔνθα τε ἂν φαίνηται, μετὰ τῶν ἄλλων ἐπέρχεται τῆς λήθης καὶ θανάτους ἅπαντας, πλὴν τοῦ παρ' αὐτοῦ, προσιόντας πρὸς ἡδονῆς εἶναι τοῖς ἀνθρώποις ἐργάζεται. ἕως τοίνυν μὴ κεκράτηκεν ἡμῶν τὸ κακὸν, δὸς ἡμῖν ὑπὲρ ἡμῶν αὐτῶν ἀνελέσθαι τὴν ἀγωνίαν, ἐξ ἧς ἡμῖν ἢ περιεῖναι τῶν πολε- D
μίων ἢ τῶν δυσχερῶν ἀπηλλάχθαι ξυμβήσεται. οἷς μὲν γὰρ ἐλπίδα σωτηρίας ἡ μέλλησις φέρει, πολλὴ ἄνοια προτερήσασιν ἐς κίνδυνον τὸν ὑπὲρ τῶν ὅλων καθίστασθαι. οἷς δὲ τῇ βραδυτῆτι δυσκολώτερος ὁ ἀγὼν γίνεται, τὸ καὶ πρὸς ὀλίγον ἀναβάλλεσθαι χρόνον τῆς παραυτίκα προπετείας μεμπτότερον." Ῥωμαῖοι μὲν τοσαῦτα εἶπον. Βελισάριος δὲ ἀμείβεται ὧδε „Ἀλλ' ἔμοιγε καὶ λίαν προσδεχομένῳ τὰ παρ' ὑμῶν γεγένηται πάντα, ἐκβέβηκε δὲ παρὰ δόξαν οὐδέν. ἐγὼ γὰρ οἶδα πάλαι δῆμον ὅτι πρᾶγμα ἀβουλότατόν ἐστι, καὶ οὔτε τὰ παρόντα φέρειν πέφυκεν οὔτε τὰ μέλλοντα προβουλεύεσθαι, ἀλλ' ἐγχειρεῖν μὲν εὐπετῶς ἀεὶ τοῖς ἀμηχάνοις, διαφθείρεσθαι δὲ ἀνεπισκέπτως ἐπίσταται μόνον. ἐγὼ μέντοι οὐκ ἄν ποτε διὰ τὴν ὑμετέραν ὀλιγωρίαν οὔτε ὑμᾶς ἀπολέσαιμι ἔχων γε εἶναι οὔτε ὑμῖν τὰ βασιλέως ξυνδιαφθείραιμι πρά- P 395
γματα. πόλεμος γὰρ οὐκ ἐξ ἀλογίστου τῆς σπουδῆς κατορθοῦ-

6. τῆς λήθης] τῆς om. H et Reg. Hm. 16. ὑμῶν Vat. ἡμῶν P. Vulgo οὐδὲ — οὐδὲ. ibid. λήθης] λήθη Reg. et 18. 21. 22. οὔτε — οὔτε]

interclusa est, idque tamdiu, ut spatium temporis vix animo complectamur. Ium Romanorum pars iacet, insepulta: nos vero superstites, ut quae patimur, uno omnia verbo comprehendamus, in numerum vel sic iacentium venire cupimus. Quos enim fames occupat, his mala quaevis suadet esse tolerabilia, alierumque aerumnarum oblivionem sua praesentia inducit, et quodlibet mortis genus, praeter illud quod ipsa infert, homini suave reddit. Quamobrem patere, ut malo hoc nondum fracti, pro nobis ipsi pugnemus, vel victoriam, vel aerumnarum finem consecuturi. Illi certe, quibus cunctatio spem salutis affert, stultissime fecerint, si rerum summam in certaminis aleam praefestinent coniicere: qui vero praelii difficultatem augent mora, haec, quantulacunque fuerit, ipsis vitio vertenda potius est, quam promptus ad audendum impetus. Huic Romanorum orationi Belisarius ita respondit. *Ego vero, quaecunque fecistis hactenus, certa cogitatione praecipiebam, nec praeter opinionem quidquam accidit. Quippe tamdiu novi insubidum esse vulgus, nec instantis patiens, nec futuri providum, nihil scire nisi difficillima facile semper aggredi, temereque in perniciem ruere. At me caeca levitas ventre non ita movet, ut vos, resque Imperatoris perdere vobiscum velim. Neque enim rem bellicam promovet inconsi-*

σθαι φιλεῖ, ἀλλ' εὐβουλίᾳ τε καὶ προμηθείᾳ τὴν τῶν καιρῶν ἀεὶ σταθμώμενος ῥοπήν. ὑμεῖς μὲν οὖν πεττεύειν οἰόμενοι τὸν ἕνα βούλεσθε ὑπὲρ ἁπάντων ἀναρριπτεῖν κύβον, ἐμοὶ δὲ οὐ σύνηθες αἱρεῖσθαι πρὸ τοῦ ξυμφόρου τὸ ξύντομον. εἶτα σὺν ἡμῖν ἐπαγγέλλεσθε τοῖς πολεμίοις διὰ μάχης ἰέναι, πότε τὰς μελέτας τοῦ πολέμου πεποιημένοι; ἢ ποῖος τὰ τοιαῦτα ἐκμαθὼν τοῖς ὅπλοις οὐκ οἶδεν ὅτι οὐ χωρεῖ ἄχρι τῆς διαπείρας ἡ μάχη; οὐδὲ αὐτός σοι ἐμμελετᾶν ὁ πολέμιος ἐν τοῖς ἀγῶσι παρέχεται. νῦν μὲν οὖν
B τὴν προθυμίαν ὑμῶν ἄγαμαι καὶ συγγνώμων εἰμὶ ταραχῆς τῆσδε. ὡς δὲ ὑμῖν ταῦτα οὐκ εἰς καιρὸν γέγονε καὶ ἡμεῖς μελλήσει προμηθεῖ χρώμεθα ἐγὼ δηλώσω. στράτευμα ἡμῖν ἀριθμοῦ κρεῖσσον ἐκ πάσης γῆς ἀθροίσας βασιλεὺς ἔπεμψε καὶ στόλος, ὅσος οὐ πώποτε Ῥωμαίοις ξυνέστη, τήν τε Καμπανίας ἀκτὴν καὶ κόλπου τοῦ Ἰονίου τὰ πλεῖστα καλύπτει. ὀλίγων τε ἡμερῶν ξὺν πᾶσι τοῖς ἐπιτηδείοις παρ' ἡμᾶς ἥξουσι, τήν τε ἀπορίαν ἡμῖν διαλύσοντες καὶ πλήθει βελῶν τὰ τῶν βαρβάρων στρατόπεδα καταχώ-
C σοντες. ἀνθ' ὧν καὶ ἐλογισάμην ἐς τὴν ἐκείνων παρουσίαν τὸν τῆς ξυμβολῆς μᾶλλον ἀποθέσθαι καιρὸν, καὶ ξὺν τῷ ἀσφαλεῖ τὸ τοῦ πολέμου πορίζεσθαι κράτος, ἢ σπουδῇ ἀλογίστῳ θρασυνόμενος τὴν τῶν ὅλων σωτηρίαν προΐεσθαι. ὅπως δὲ αὐτίκα τε ἥξουσι καὶ μὴ περαιτέρω μελλήσουσιν, ἐγὼ προνοήσω.

D V 62 δ'. Τούτοις μὲν Ῥωμαίων τὸν δῆμον παραθαρσύνας Βελισάριος ἀπεπέμψατο, Προκόπιον δὲ, ὃς τάδε ξυνέγραψεν, αἰ-

22. παραθαρσύνας Reg. παραθρασύνας P.

derata celeritas, sed maturum consilium et providentia, quae omnia occasionum momenta ponderet. Vos, quasi alea luderetis, unius tali iactui summam rerum vultis subiicere. At meus non est mos compendia praeoptare longioris operae utilitatibus. Deinde, nobiscum vos hostem aggressuros pollicemini. Verum quandonam vos re militari exercuistis? Quis hanc disciplinam ipse armorum tractatione edoctus, ignorat, non eo pertinere praelium, ut repente erudiat usu rudem, nec tibi hostem in certaminibus umbratilem belli meditationem praebere? Ac vestram quidem alacritatem demiror: excitati vero tumultus do veniam. Hoc demum a vobis factum alieno tempore, et nos sapienter cunctari probabo. At nos misit Imperator contractum ex universo Orbe exercitum innumerabilem: et classis, quanta nunquam a Romanis conflata fuit, Campaniae littus et sinus Ionii partem maximam tegit. Huc paucos intra dies advenient cum omni genere commeatuum, nec inopiam modo a nobis depellent, sed Barbarorum etiam castra obruent telorum vi. Quamobrem satius esse duxi pugnam in eorum adventum differre, et victoriam tuto consequi, quam praecipiti inconsultaque audacia salutem communem proticere. Caeterum ut quamprimum adsint, nec morentur diutius, providebo.

4. Vix plebem Romanam Belisarius his verbis animatam remiserat, cum Neapolim, quo missum ab Imperatore exercitum fama nuntiabat, au-

τίκα ἐς Νεάπολιν ἐκέλευεν ἰέναι. φήμη γάρ τις περιήγγελλεν ὡς στράτευμα ἐνταῦθα βασιλεὺς πέμψειε. καὶ οἱ ἐπέστελλε ναῦς τε ὅτι πλείστας σίτου ἐμπλήσασθαι καὶ στρατιώτας ἀγεῖραι ἅπαντας, ὅσους ἐν τῷ παρόντι ἐκ Βυζαντίου ἥκειν τετύχηκεν, ἢ ἵπ- H 217
πων φυλακῆς ἕνεκα ἢ ἄλλου ὁτουοῦν ἐνταῦθα λελεῖφθαι, οἵους δὴ πολλοὺς ἐς τὰ Καμπανίας χωρία ἠκηκόει ἰέναι. τινὰς δὲ καὶ τῶν ταύτῃ φρουρῶν ἀφελέσθαι, ἥξειν τε ξὺν αὐτοῖς τὸν σῖτον παρακομίζοντα ἐς Ὄστιαν ὅτι τάχος, τὸ Ῥωμαίων ἐπίνειον. καὶ ὁ μὲν ξὺν τῷ Μουνδίλᾳ τῷ δορυφόρῳ καὶ ὀλίγοις ἱππεῦσι διὰ P 396
πύλης, ἣ Παύλου τοῦ ἀποστόλου ἐπώνυμος, νύκτωρ διῆλθε, λαθὼν τὸ τῶν πολεμίων στρατόπεδον, ὅπερ ἄγχιστα ὁδοῦ τῆς Ἀππίας ἐφύλασσεν. ἐπειδή τε ἐς Ῥώμην οἱ ἀμφὶ Μουνδίλαν ἐπανήκοντες ἀφῖχθαι ἤδη Προκόπιον ἐς Καμπανίαν οὐδενὶ ἐντυχόντα τῶν βαρβάρων ἀπήγγελλον· νύκτωρ γὰρ οὔποτε τοὺς πολεμίους ἔξω τοῦ στρατοπέδου πορεύεσθαι· εὐέλπιδες μὲν γεγένηνται ἅπαντες, Βελισάριος δὲ θαρσήσας ἤδη ἐπενόει τάδε· τῶν ἱππέων πολλοὺς ἐς τὰ πλησίον ἐξέπεμψεν ὀχυρώματα, ἐπιστέλλας, ἤν τινες τῶν πολεμίων ταύτῃ ἴωσιν, ἐφ' ᾧ τὰ ἐπιτήδεια ἐς τὰ στρατόπεδα ἐσκομίσωνται, ἔνθεν αὐτοῖς ἐπεκδρομάς τε καὶ B
ἐνέδρας πανταχόθι τῶν τῇδε χωρίων ἀεὶ ποιουμένους μὴ ἐπιτρέπειν, ἀλλὰ παντὶ σθένει ἀπείργειν, ὅπως ἥ τε πόλις ἐλασσόνως ἢ πρότερον τῇ ἀπορίᾳ πιέζοιτο καὶ οἱ βάρβαροι πολιορκεῖσθαι

6. καμπανίας Reg. ἐν Καμπανίᾳ P. 8. παρακομίζοντα L corr. Vulgo παρακομίζοντι. 13. ἐντυχόντα] ἐντυχόντι L. 15. πορεύεσθαι Vat. Vulgo ἰέναι.

eterem huius Historiae Procopium destinavit, iussitque frumento naves implere plurimas, nec milites solum cogere omnes, cum ab urbe Byzantio recentes, tum qui in eo tractu, sive ut equos suos servarent, sive aliam ob causam restabant, quales multos per Campaniam sparsos audierat: sed partem etiam praesidiorum, quae ibi essent, deducere, et cum ipsis Ostiam (id Romanorum navale est) frumentum advehere, quam celerrime posset. Ille cum Mundila Praetoriano et paucis equitibus per eam portam, quae a Paulo Apostolo nomen habet, sic egressus est nocte, ut hostium castra fefellerit, praesidii gratia proxime viam Appiam posita. Dein Mundila Romam reverso, ac referente iam in Campaniam pervenisse Procopium, Barbarorum nemine facto obviam, propterea quod hostes totam noctem sese castris tenerent, laeta spes omnibus affulsit, et plenus fiducia Belisarius hoc consilium cepit. Magnam equitum partem in vicinas munitiones emittit, praecipiens, ut, si qua hostium manus illac commeatus in castra importare velit, crebris inde factis excursibus, et insidiis ubique structis, id nunquam patiantur, sed omni ope prohibeant: quo et urbs minori quam ante prematur penuria, et obsideri potius Bar-

μᾶλλον ἢ αὐτοὶ πολιορκεῖν Ῥωμαίους δόξειαν. Μαρτῖνον μὲν καὶ Τραϊανὸν ξὺν χιλίοις ἐς Ταρακίναν ἐκέλευσεν ἰέναι. οἷς δὴ καὶ Ἀντωνίναν τὴν γυναῖκα ξυνέπεμψεν, ἐντειλάμενος ἔς τε Νεάπολιν αὐτὴν στέλλεσθαι ξὺν ὀλίγοις τισὶ καὶ τύχην ἐκ τοῦ ἀσφαλοῦς τὴν σφίσι ξυμβησομένην καραδοκεῖν. Μάγνον τε καὶ Σινθούην τὸν δορυφόρον πεντακοσίους μάλιστα ἐπαγομένους ἐς Τιβούρων τὸ φρούριον ἔπεμψε, σταδίους τεσσαράκοντα καὶ ἑκατὸν Ῥώμης διέχον. ἐς μέντοι τὸ Ἀλβανῶν πόλισμα, σταδίους μὲν τοσούτους ἀπέχον, ἐν δὲ τῇ Ἀππίᾳ ὁδῷ κείμενον, πρότερον ἤδη Γόνθαριν ξὺν Ἐρούλοις τισὶ πέμψας ἔτυχεν, οὓς δὴ οἱ Γότθοι βιασάμενοι ἐξήλασαν ἐνθένδε οὐ πολλῷ ὕστερον.

Ἔστι δέ τις νεὼς Παύλου τοῦ ἀποστόλου, Ῥώμης τοῦ περιβόλου τέσσαρας καὶ δέκα σταδίους ἀπέχων. ὅ τε ποταμὸς αὐτὸν παραρρεῖ Τίβερις. ἐνταῦθα ὀχύρωμα μὲν οὐδαμῇ ἐστι, στοαὶ δέ τις ἄχρι ἐς τὸν νεὼν διήκουσα ἐκ τῆς πόλεως, ἄλλαι τε πολλαὶ οἰκοδομίαι ἀπ' αὐτῶν οὖσαι οὐκ εὐέφοδον ποιοῦσι τὸν χῶρον. ἔστι δέ τις καὶ αἰδὼς πρὸς ταῦτα δὴ τὰ ἱερὰ τοῖς Γότθοις. ἐς οὐδέτερον γοῦν τοῖν ἀποστόλοιν νεὼν παρὰ πάντα τὸν τοῦ πολέμου καιρὸν ἄχαρί τι πρὸς αὐτῶν γέγονεν, ἀλλὰ πάντα τῇδε τοῖς ἱερεῦσιν, ἥπερ εἰώθει, ἐξοσιοῦσθαι ξυμβέβηκεν. ἐν τούτῳ δὲ τῷ χωρίῳ Βαλεριανὸν, τοὺς Οὔννους ἅπαντας ἀπαγαγόντα, χαράκωμα περὶ τοῦ Τιβέριδος τὴν ὄχθην ἐκέλευε ποιεῖσθαι, ὅπως ἂν αὐτοῖς τε ἀδεέστερον οἱ ἵπποι τρέφοιντο καὶ οἱ Γότθοι μᾶλλον

5. *Σινθούην*] *σίνθουσιν* H. 6. *Τιβούρων*] *τίβουρ* Reg. et Lm. *τίβυριν* HL. 20. *ξυμβέβηκεν*] *συμβέβηκεν* L.

bari quam Romanos obsidere videantur. Martino Traianoque imperat Tarracinam abeant cum viris mille: quibuscum et Antoninam uxorem mittit, iussam proficisci inde Neapolim cum nonnullis, et fortunam, quae res cunque suas maneret, expectare in tuto. Ad Tiburtinum castellum, quod Roma stadiis abest CXL. Magno et Sinthue Praetoriano ducibus, quingentos fere destinat. Iam ante ad Albanorum oppidum, in via situm Appia, totidemque ab urbe stadiis dissitum, Gontharin cum Erulorum agmine miserat: quos Gotthi non multo post inde vi expulerunt.

Templum est Pauli Apostoli, quod a moenibus Romae stadiis XIV. distat. Alluitur fluvio Tiberi, nullis septum operibus: quanquam ab urbe pertinens ad templum hoc porticus, et vicina utrique aedificia, faciles negant ad locum aditus. Porro Gotthi sacram hanc Pauli aedem Apostoli, itemque alteram Apostoli Petri sic reverentur, ut neutram toto belli tempore, ne minimum quidem, violarint: at Sacerdotibus de more sacra illic omnia procurare licuerit. Iussus a Belisario Valerianus, Hunnis secum eductis omnibus, in eo loco, ad Tiberis ripam, castra ponere, tum ut liberius equos alerent, tum ut Gotthis facultas minor esset, lon-

ἔτι ἀναστέλλοιντο τοῦ κατ' ἐξουσίαν ὡς ἀπωτάτω τῶν στρατοπέδων τῶν σφετέρων ἰέναι. ὁ δὲ κατὰ ταῦτα ἐποίει. ἐπειδή τε οἱ Οὖννοι ἐνταῦθα ἐστρατοπεδεύσαντο, οὗπερ ὁ στρατηγὸς ἐνετέλλετο, ἐς τὴν πόλιν ἀπήλαυνε. ταῦτα μὲν οὖν Βελισάριος διαπεπραγμένος ἡσύχαζε, μάχης μὲν οὐκ ἄρχων, ἐκ δὲ τοῦ τείχους ἀμύνεσθαι προθυμούμενος, ἤν τις ἔξωθεν ἀπ' αὐτῆς κακουργήσων ἴοι. καὶ σῖτον μέντοι τισὶ τῶν Ῥωμαίων δήμιον παρείχετο, Μαρτῖνος δὲ καὶ Τραϊανὸς διελθόντες νύκτωρ τὰ τῶν πολεμίων στρατόπεδα, ἐπειδὴ ἐν Ταρακίνῃ ἐγένοντο, Ἀντωνίναν μὲν ἐς Καμπανίαν ξὺν ὀλίγοις τισὶν ἔπεμψαν, αὐτοὶ δὲ τὰ ταύτῃ ὀχυρώματα καταλαβόντες, ἔνθεν τε ὁρμώμενοι, καὶ τὰς ἐφόδους ἐκ τοῦ αἰφνιδίου ποιούμενοι, τῶν Γότθων τοὺς τὰ ἐκείνῃ περιόντας χωρία ἀνέστελλον. Μάγνος δὲ καὶ Σινθούης τοῦ τε φρουρίου ὅσα κατεπεπτώκει ἐν βραχεῖ ἀνῳκοδομήσαντο χρόνῳ καὶ ἐπειδὴ ἐν τῷ ἀσφαλεῖ ἐγένοντο, ἤδη μᾶλλον ἐλύπουν τοὺς πολεμίους, ἅτε αὐτῶν τὸ ἐπιτείχισμα οὐκ ἄποθεν ὂν συχνά τε καταθέοντες, καὶ τῷ ἀπροσδοκήτῳ ἐμπλήσσοντες ἀεὶ τῶν βαρβάρων τοὺς τὰ ἐπιτήδεια παραπέμποντας, ἕως Σινθούης ἐν μάχῃ δή τινι δόρατι πληγεὶς τὴν δεξιὰν χεῖρα τῶν τε νεύρων οἱ ἀποκοπέντων ἀπόμαχος τὸ λοιπὸν γέγονε. καὶ Οὖννοι δὲ τὸ στρατόπεδον ἐν γειτόνων, ὥσπερ μοι ἐρρήθη, πεποιημένοι οὐκ ἐλάσσω κακὰ τοὺς Γότθους ἐποίουν, ὥστε καὶ αὐτοὶ τῷ λιμῷ ἐπιέζοντο ἤδη, οὐκέτι σφίσιν ἀδείας οὔσης τὰς τροφὰς ὥσπερ τὸ

1. ἀπωτάτω] ἀποτάτω P. 6. ἀπ' αὐτῆς] ἐπ' αὐτῷ Pm.
13. περιόντας] περιόντας L.

gius a suis castris evagandi ad libitum; mandatum exequitur, Hunnisque, ubi Magister militiae praescripserat, metatis, in urbem redit. His constitutis, nihil movebat Belisarius, nec pugnam lacessebat, ad externam vim, si qua ingrueret, a moenibus propulsandam paratissimus. Ac nonnullis quidem e Romana plebe frumentum praebuit: Martinus vero ac Traianus noctu castra hostium praetergressi, post suum Tarracinam adventum, Antoninam cum paucis in Campaniam miserunt, et vicinis munitionibus occupatis, coeperunt ita inde erumpere, ut Gotthos, ea pervagantes loca, subitis represserint incursionibus. Magnus et Sinthues, reparatis brevi ruinis omnibus castelli Tiburtini, iam in tuto positi, hostem, cui munimentum hoc prope imminebat, magis ac magis vexabant, crebrisque et improvisis excursibus Barbaros, deductores commeatuum, percelebant: donec Sinthues, hasta in quodam certamine manu dextera vulnerata, ac praecisis ipsius nervis, causarius in posterum fuit. Nec misera Gotthi damna ab Hunnis, in propinquo, ut dixi, metatis, accipiebant: ita ut iam ipsos quoque urgeret fames, erepta, qua prius gaude-

δικαίως. οὕτω τοίνυν παραλαβόντες τὴν τῆς Ἰταλίας ἀρχὴν τούς τε νόμους καὶ τὴν πολιτείαν διεσωσάμεθα τῶν πώποτε βεβασιλευκότων οὐδενὸς ἧσσον, καὶ Θευδερίχου μὲν ἢ ἄλλου ὁτουοῦν διαδεξαμένου τὸ Γότθων κράτος νόμος τὸ παράπαν οὐδεὶς οὐκ ἐν γράμμασιν, οὐκ ἄγραφός ἐστι. τὰ δὲ τῆς εἰς θεὸν εὐσεβείας τε καὶ πίστεως οὕτω Ῥωμαίοις ἐς τὸ ἀκριβὲς ἐφυλάξαμεν, ὥστε Ἰταλιωτῶν μὲν τὴν δόξαν οὐδεὶς οὐχ ἑκὼν οὐκ ἀκούσιος ἐς τήνδε τὴν ἡμέραν μετέβαλεν, Γότθων τε μεταβεβλημένων ἐπιστροφή
B τις οὐδαμῶς γέγονε. καὶ μὴν καὶ τὰ Ῥωμαίων ἱερὰ τιμῆς παρ' ἡμῶν τῆς ἀνωτάτω τετύχηκεν. οὐ γὰρ οὐδεὶς εἴς τι τούτων καταφυγὼν πώποτε πρὸς οὐδενὸς ἀνθρώπων βεβίασται, ἀλλὰ καὶ πάσας τὰς τῆς πολιτείας ἀρχὰς αὐτοὶ μὲν διαγεγόνασιν ἔχοντες, Γότθος δὲ αὐτῶν μετέσχεν οὐδείς. ἢ παρελθών τις ἡμᾶς ἐλεγχέτω, ἢν μὴ μετὰ τοῦ ἀληθοῦς ἡμῖν εἰρῆσθαι οἴηται. προσθείη δ' ἄν τις ὡς καὶ τὸ ὑπάτων ἀξίωμα Γότθοι ξυνεχώρουν Ῥωμαίοις πρὸς τοῦ τῶν ἑῴων βασιλέως ἐς ἕκαστον ἔτος κομίζεσθαι. ὑμεῖς δὲ, τούτων τοιούτων ὄντων, Ἰταλίας μὲν οὐ προσεποιεῖσθε, κακουμένης ὑπὸ τῶν Ὀδοάκρου βαρβάρων, καίπερ οὐ δι'
H 221 ὀλίγου, ἀλλ' ἐς δέκα ἐνιαυτοὺς τὰ δεινὰ ἐργασαμένου, νῦν δὲ
C τοὺς δικαίως αὐτὴν κεκτημένους, οὐδὲν ὑμῖν προσῆκον, βιάζεσθε. οὐκοῦν ἐντεῦθεν ἡμῖν ἐκποδὼν ἵστασθε, τά τε ὑμέτερα αὐτῶν ἔχοντες καὶ ὅσα λησάμενοι τετυχήκατε. Βελισάριος ἔφη „Ἡ μὲν ὑπόσχεσις ὑμῶν βραχέα τε εἰρῆσθαι καὶ μέτρια προὔλε-

8. ἡμέραν L. ἡμετέραν P. 10. εἴς τι] εἴς ὅ τι L. 15. καὶ τὸ L. καὶ οἱ τὸ P. 17. τούτων om. L.

optimo possiderent. Hoc igitur pacto Italiae regnum adepti, leges ac regiminis formam haud minori studio, quam quivis Imperatorum ceterum, conservavimus, neque ulla prorsus Theoderici, aliusve cuiuspiam Gothorum Regis lex scripta extat, vel inscripta. Quod ad divinum cultum fidemque attinet, Romanis in integro rem sic esse voluimus, ut Italorum nemo religionem, nec volens, nec coactus, ad hanc diem mutaverit, neque in Gothos, qui ad illorum sacra transierunt, ullo sit modo animadversum. Immo vero honorem summum templis Romanorum impendimus. Quisquis enim salutem suam eorum cuiquam aliquando commisit, ei vim nullus mortalium attulit. Praeterea civiles omnes Magistratus gessere ipsi, neque illos cum Gothorum quopiam communicarunt: quae si quis falso dicta a nobis putat, nos palam confutet. Accedit huc, quod Romanis per Gothos licuit ab Orientis Imperatore Consulatum quotannis accipere. Nihilominus vos, qui Italiam vobis non asseruistis, dum a Barbaris atteretur, quibus imperabat Odoacer, malorum auctor non brevi spatio, sed per annos decem; nunc iustos illius dominos iniqua vi deturbare nitimini. Itaque hinc cum rebus vestris et omni praeda facessite. Belisarius vero, *Brevem*, inquit, *ac modestam orationem polliciti, longam et affinem iactantiae habuistis.*

γιν, ἡ δὲ ῥῆσις μακρά τε καὶ οὐ πόρρω ἀλαζονείας ὑμῖν γέγονε. Θευδέριχον δὲ βασιλεὺς Ζήνων Ὀδοάκρῳ πολεμήσοντα ἔπεμψεν, οὐχ ἐφ' ᾧ Ἰταλίας αὐτὸς τὴν ἀρχὴν ἔχοι· τί γὰρ ἂν καὶ τύραννον τυράννου διαλλάσσειν βασιλεῖ ἔμελεν; ἀλλ' ἐφ' ᾧ ἐλευθέρα τε καὶ βασιλεῖ κατήκοος ἔσται. ὁ δὲ τὰ περὶ τὸν τύραννον εὖ διαθέμενος ἀγνωμοσύνῃ ἐς τἄλλα οὐκ ἐν μετρίοις ἐχρήσατο. ἀποδιδόναι γὰρ τῷ κυρίῳ τὴν γῆν οὐδαμῇ ἔγνω. οἶμαι δὲ ἔγωγε τόν τε βιασάμενον καὶ ὃς ἂν τὰ τοῦ πέλας ἑκουσίως μὴ ἀποδιδῷ D ἴσον γε εἶναι. ἐγὼ μὲν οὖν χώραν τὴν βασιλέως ἑτέρῳ τῳ οὐκ ἂν παραδοίην. εἰ δέ του ἄλλου τυχεῖν βούλεσθε, λέγειν ἀφίημι." V 67 οἱ δὲ βάρβαροι „Ὡς μὲν ἀληθῆ πάντα ἡμῖν εἴρηται οὐδὲ ὑμῶν τινα λέληθεν. ἡμεῖς δὲ ὅπως ἥκιστα φιλονεικεῖν δόξαιμεν, καὶ Σικελίας, τοσαύτης τε τὸ μέγεθος καὶ τοιαύτης τὸν πλοῦτον οὔσης, ὑμῖν ἐξιστάμεθα, ἧς δὴ ἐκτὸς Λιβύην ὑμᾶς ἀσφαλῶς κε- κτῆσθαι οὐ δυνατόν." καὶ ὁ Βελισάριος „Ἡμεῖς δὲ Γότθοις Βρεττανίαν ὅλην συγχωροῦμεν ἔχειν, μείζω τὸ παρὰ πολὺ Σικε- λίας οὖσαν καὶ Ῥωμαίων κατήκοον τὸ ἀνέκαθεν γεγενημένην. τοὺς γὰρ εὐεργεσίας ἢ χάριτός τινος ἄρξαντας τοῖς ἴσοις ἀμείβε- σθαι ἄξιον." βάρβαροι „Οὐκοῦν, ἤν τι καὶ περὶ Καμπανίας ὑμῖν ἢ Νεαπόλεως αὐτῆς εἴποιμεν, οὐκ ἂν δέξαισθε;" Βελισά- ριος „Μηδαμῇ. οὐ γάρ ἐσμεν κύριοι τὰ βασιλέως πράγματα P 403 διοικήσασθαι, οὐχ ὅπη αὐτῷ βουλομένῳ ἐστίν." βάρβαροι

11. οἱ δὲ βάρβαροι et sequentes in hoc capite personarum notas ex Vat. add. P. 13. πλοῦτον] πλοῦν L. 15. Γότθοις] γότθους HL: illud marg. 16. Βρεττανίαν] βρετανίαν L. 20. δέξαισθε] Vulgo δέξησθε. 21. Μηδαμῇ om. L. 22. βουλομένῳ Pm. βουλευομένῳ P.

Bellum quidem in Odoacrum Zeno Aug. Theoderico dedit, non ut regnum Italiae occuparet ipse: quid enim erat, cur tyrannum tyranno Imperator mutaret? verum ut eam in libertatem et Caesaream ditionem vindicaret. Is vero, initi adversus tyrannum consilii victor, se postmodum haud mediocriter ingratum praebuit, cum recusavit Italiam suo restituere domino. Mea certe sententia, par scelus est, quae vicini sunt, ei sponte non reddere, et per vim auferre. Caeterum non committam, ut tradam cuiquam terras ditionis Imperatoriae: si quid vultis aliud consequi, per me id proponatis licet. Ad haec Barbari. *Etsi neminem vestrum praeterit nihil non vere a nobis dictum: tamen, ne litigare videamur, vobis Sicilia cedimus, tanta ac tam divite insula: sine qua Africam non potestis tenere tute.* Mox Belisarius, *At nos*, inquit, *Britanniam totam, multis partibus maiorem Sicilia, atque olim Romanis subditam, Gothis concedimus. Nam qui beneficio vel gratia provocaverint, illis paria referri par est.* Barbari. *Ergo nec mentionem Campaniae ipsiusque Neapolis, si quam fecerimus, admittetis?* Belisarius. *Minime: nobis enim nec fas nec integrum est res Augusti administrare, nisi de ipsius sententia.* Barbari.

„Οὐδ' ἦν χρήματα ῥητὰ φέρειν βασιλεῖ ἐφ' ἕκαστον ἔτος ἡμᾶς αὐτοὺς τάξωμεν;" Βελισάριος „Οὐ δῆτα. οὐ γὰρ ἄλλου του ἡμεῖς αὐτοκράτορες ἢ ὥστε τῷ κεκτημένῳ φυλάξαι τὴν χώραν." βάρβαροι „Φέρε δή, στέλλεσθαι ἡμᾶς παρὰ βασιλέα ξυγχώρει καὶ πρὸς ἐκεῖνον τὰς ξυνθήκας περὶ τῶν ὅλων ποιήσασθαι. δεῖ δὲ καὶ τακτόν τινα ὁρίζεσθαι χρόνον καθ' ὃν προσήκει τὰ στρατόπεδα ἐς ἐκεχειρίαν παρίστασθαι." Βελισάριος „Ἔστω· γι-
B νέσθω ταῦτα. οὐ γάρ ποτε ὑμῖν εἰρηναῖα βουλευομένοις ἐμποδὼν στήσομαι." τοσαῦτα εἰπόντες διελύθησάν τε ἐκ τῶν λόγων ἑκάτεροι καὶ οἱ πρέσβεις τῶν Γότθων ἐς τὸ σφέτερον στρατόπεδον ἀπεχώρησαν. ἡμέραις δὲ ἐπιγενομέναις συχνὰ παρ' ἀλλήλους φοιτῶντες τά τε ἀμφὶ τῇ ἐκεχειρίᾳ διετίθεντο καὶ ὅπως δὴ ἐπὶ ταύτῃ τῶν τινας ἐπισήμων ἑκάτεροι ἀλλήλοις ἐν ὁμήρων λόγῳ παρέσχοντο.

C ζ'. Ἐν ᾧ δὲ ταῦτα ἐπράσσετο τῇδε, ἐν τούτῳ ὅ τε τῶν Ἰσαύρων στόλος τῷ Ῥωμαίων λιμένι προσέσχε καὶ οἱ ἀμφὶ τὸν Ἰωάννην ἐς Ὄστιαν ἦλθον, καὶ τῶν μὲν πολεμίων οὐδεὶς οὔτε καταίρουσιν οὔτε στρατοπεδευομένοις ἐμπόδιον σφίσιν ἐγένετο αὐτοῖς. ὅπως δὲ ἐν τῷ ἀσφαλεῖ διανυκτερεύειν οἷοί τε ὦσιν ἐξ ἐπιδρομῆς τῆς πρὸς τῶν ἐναντίων, οἵ τε Ἴσαυροι τάφρον βα-
θεῖαν ἄγχιστα τοῦ λιμένος ὀρύξαντες φυλακὰς ἐκ περιτροπῆς ἀεὶ ἐποιοῦντο καὶ οἱ ξὺν τῷ Ἰωάννῃ ταῖς ἁμάξαις φραξάμενοι τὸ στρατόπεδον ἡσυχίαν εἶχον. ἐπειδὴ δὲ νὺξ ἐπεγένετο, Βελισά-

4. ξυγχώρει HL. συγχώρει P. 23. δὲ νὺξ] Vulgo δέ τε νύξ.

Immo, nec si tributum certum nobis ipsi indixerimus, quotannis pendendum Imperatori? Belisarius. *Nequaquam sane: nam eo solum valet potestas nostra, ut recepta loca domino servemus suo.* Barbari. *Age vero: saltem patere adeamus Imperatorem, et cum ipso componamus de rerum summa. Certum etiam constituendum est tempus, quo inter utrumque exercitum induciae rite maneant.* Belisarius. *Licet: ita fiat. Nunquam enim vobis impedimentum, meditantibus pacem, inferam.* His dictis, colloquium solutum est, suaque in castra Oratores Gotthorum reversi sunt. Consequentibus diebus ultro citroque crebro commeantes, pepigerunt inducias, et confirmare datis utrinque obsidibus viris insignibus decreverunt.

7. Dum haec ibi aguntur, interea portum Romanum classis Isaurorum tenet, et Ioannes cum suis Ostiam venit. Ac nemo quidem hostium nec appellentibus, nec castrametantibus se opposuit: ut vero securam a Barbarorum incursibus noctem agerent, Isauri proxime portum altam duxerunt fossam, et in orbem semper excubare instituerunt: Ioannis copiae sese castris tenuerunt, cum ea plaustris sepsissent. Ostiam nocte

ριος ἐς Ὄστιαν ξὺν ἱππεῦσιν ἑκατὸν ἦλθε καὶ τά τε ξυμπεπτωκότα
ἐν τῇ ξυμβολῇ τά τε ξυγκείμενα σφίσι τε καὶ Γότθοις εἰπὼν καὶ
τὰ ἄλλα παραθαρσύνας, τά τε φορτία πέμπειν ἐκέλευε καὶ ξὺν D
προθυμίᾳ ἐς Ῥώμην ἰέναι. ὅπως γὰρ, ἔφη, ἄνευ κινδύνου ἡ
ὁδὸς ἔσται ἐγὼ προνοήσω. αὐτὸς μὲν οὖν ὄρθρου βαθέος ἐς τὴν
πόλιν ἀπήλαυνεν, Ἀντωνῖνα δὲ ξὺν τοῖς ἄρχουσιν ἅμα ἡμέρᾳ
τῶν φορτίων τὴν παρακομιδὴν ἐν βουλῇ ἐποιεῖτο. ἐδόκει δὲ χα-
λεπόν τε καὶ δεινῶς ἄπορον τὸ πρᾶγμα εἶναι. οἵ τε γὰρ βόες οὐκ
ἔτι ἀντεῖχον, ἀλλ' ἡμιθνῆτες ἅπαντες ἔκειντο, ἦν δὲ οὐδὲ ἀκίν-
δυνον στενήν τινα ὁδὸν ξὺν ταῖς ἁμάξαις πορεύεσθαι, καὶ τοῦ πο-
ταμοῦ τὰς βάρεις ἀνέλκειν, καθάπερ τὸ παλαιὸν εἴθιστο, ἀδύ-
νατα ἦν. ἡ μὲν γὰρ ὁδὸς ἡ τοῦ ποταμοῦ ἐν ἀριστερᾷ, ὥσπερ P 404
μοι ἐν τοῖς ἔμπροσθεν λόγοις ἐρρήθη, πρὸς τῶν πολεμίων ἐχο-
μένη Ῥωμαίοις τηνικαῦτα ἀπόρευτος ἦν, ἡ δὲ αὐτοῦ ἐπὶ θάτερα,
ὅσα γε παρ' ὄχθην, ἀστίβητος παντάπασι τυγχάνει οὖσα. διὸ
δὴ τοὺς λέμβους νηῶν τῶν μειζόνων ἀπολεξάμενοι, σανίσι τε αὐ-
τοὺς ὑψηλαῖς κύκλῳ τειχίσαντες, ὅπως οἱ πλέοντες πρὸς τῶν
πολεμίων ἥκιστα βάλλωνται, τοξότας τε καὶ ναύτας ἐσεβίβασαν
κατὰ λόγον ἑκάστῳ. τῶν τε φορτίων ἐν αὐτοῖς ὅσα δὴ φέρειν
οἷοί τε ἦσαν ἐνθέμενοι, διὰ τοῦ Τιβέριδος ἐς Ῥώμην ἤθελον V 68
ἀγαγεῖν. καὶ δὴ πνεῦμα τηρήσαντες σφίσιν ἐπίφορον ἐναυτίλ- H 222
λοντο, καὶ τοῦ στρατοῦ μέρος ἐν δεξιᾷ τοῦ ποταμοῦ παρεβεβοη-
θήκει. ἐλίποντο δὲ τῶν Ἰσαύρων συχνοὺς τὰς ναῦς φυλάσσον- B

19. ἑκάστῳ] ἑκάστου Pm. 21. ἐναυτίλλοντο] Vulgo ἐναυτίλοντο.

Belisarius venit cum equitibus centum: pugnam recentem narrat: pactiones inter se et Gotthos confectas refert: inprimis animos addit: mittere iubet quae advexissent, Romamque alacriter petere: *Nam*, inquit, *ut nihil sit in via periculi providebo.* Vix albescente aurora in urbem rediit. Simul autem dies illuxit, cum Ducibus consilium habuit Antonina de pervehendis, quae illuc delata fuerant. Grave id ac perdifficile videbatur. Nam et boves omnes labore iam fracti, semianimes iacebant, nec tutum erat viam angustam cum plaustris ingredi, nec pro more veteri naves fluviatiles trahi poterant. Cum enim via, quae ad fluminis laevam est, hostium praesidiis, ut supra memoravi, insideretur, tunc praeclusa Romanis erat. Quae vero est ad dexteram, secundum ripam, nullis teritur vestigiis. Quamobrem selectos maiorum navium lembos celsis tabulis circumuniunt, ut vectores ab hostium telis intacti sint, et pro cuiusque modo sagittarios nautasque imponunt atque onera, quantacunque deferri possunt, et statuunt Romam per Tiberim agere. Ventum captant secundum; eoque usi navigant, parte exercitus ad fluvii dexteram opitulante, dum relicti magno Isauri numero classem custodiunt. Ac nullo quidem

τας. ἔνθα μὲν ποταμὸς ἦει, πόνῳ οὐδενὶ ἔπλεον, ἀράμενοι τὰ τῶν λέμβων ἱστία· ἦ δὲ ὁ ῥοῦς ἑλισσόμενος εἰς ὀδὸν πλατεῖαν ἐφέρετο, ἐνταῦθα ἐπεὶ τὰ ἱστία τῷ πνεύματι οὐδαμῇ ἐνηργεῖτο, ἐρέσσοντές τε καὶ τὸν ῥοῦν βιαζόμενοι πόνον οἱ ναῦται οὐ μέτριον εἶχον. οἱ δὲ βάρβαροι ἐν τοῖς στρατοπέδοις καθήμενοι ἐμπόδιοι γίνεσθαι τοῖς πολεμίοις ἥκιστα ἤθελον, ἢ κατωρρωδηκότες τὸν κίνδυνον, ἢ οὐκ ἄν ποτε ταύτῃ Ῥωμαίους ἐσκομίζεσθαί τι τῶν ἀναγκαίων οἰόμενοι, αἰτίᾳ τε οὐ λόγου ἀξίᾳ διακωλύειν τὴν τῆς ἐκεχειρίας ἐλπίδα, ἣν ὑποσχέσει Βελισάριος ἐκρατύνατο ἀξύμφορον σφίσιν εἶναι ἡγούμενοι. Γότθοι μέντοι, ὅσοι ἐν πόρτῳ ἦσαν, ἐν χρῷ ἀεὶ παραπλέοντας τοὺς πολεμίους θεώμενοι οὐδαμῇ ἥπτοντο, ἀλλὰ τεθηπότες ἐκάθηντο τὴν τῶν Ῥωμαίων αὐτῶν ἔννοιαν. ἐπεὶ δὲ τρόπῳ τῷ αὐτῷ πολλάκις ἀναπλεύσαντες ἅπαντα κατ' ἐξουσίαν ἐσεκομίσαντο τὰ φορτία, οἱ μὲν ναῦται σὺν ταῖς ναυσὶν ἀνεχώρησαν κατὰ τάχος (ἤδη γὰρ καὶ τὸ ἔτος ἀμφὶ τρεπὰς χειμερινὰς ἦν), τὸ δὲ λοιπὸν στράτευμα ἐς Ῥώμην εἰσῆλθε, πλήν γε δὴ ὅτι Παῦλος ἐν Ὀστίᾳ ξὺν τῶν Ἰσαύρων τισὶν ἔμεινε.

Μετὰ δὲ ἀλλήλοις ἐπὶ τῇ ἐκεχειρίᾳ ὁμήρους ἔδοσαν, Ζήνωνα μὲν Ῥωμαῖοι, Γότθοι δὲ Οὐλίαν, οὐκ ἀφανῆ ἄνδρα, ἐφ' ᾧ ἐν τρισὶ μησὶ μηδεμιᾷ ἐς ἀλλήλους ἐφόδῳ χρήσονται, ἕως οὗ πρέσβεις ἐκ Βυζαντίου ἐπανήκοντες γνώμην τοῦ βασιλέως ἀγγείλωσιν. ἦν δέ τινος ἀδικίας οἱ ἕτεροι ἐς τοὺς ἐναντίους ἀπάρξωσιν.

1. „ποταμὸς ἦει] Editionis Augustanae vitium hic vitavimus, Vaticano adiuti.“ Malt. ποταμῷ σῇ HL. 14. ἐσκομίσαντο L. Vulgo ἐσκομίσαντο. 15. τὸ ἔτος] τοῦ ἔτους H. τὸ δ' ἔτος L.

negotio provehebantur sublatis lemborum velis, ubi recta amnis decurrit: at in anfractibus, qui fluentum late abducunt, quoniam vela nullo ibi vento impellebantur, nautae in superando remis aquae impetu non mediocriter desudabant. Interea sedentes in castris Barbari, nolebant moram obiicere, sive periculo territi, sive hac opinione inducti, nullos unquam commeatus a Romanis ea via invectum iri: maxime vero, quod, si temere levique ex causa spem induciarum excluderent, quam Belisarius promisso firmaverat, id fraudi sibi fore existimarent. Itaque Gotthi, quicunque erant in Portu, visa hostium individua navigatione, abstinentes vim, eorumque consilium demirantes, sedebant. Postquam crebris eiusmodi vectionibus onera importata sunt omnia ad arbitrium, iam anno se ad brumale solstitium circumagente, reditum maturarunt nautae cum navibus: reliquae Romam copiae ingressae sunt, praeter Paulum; qui Ostiae cum Isaurorum manu substitit.

Deinde induciarum obsides utrinque dati sunt, a Romanis Zeno, a Gotthis Ulias, vir non obscurus; et cautum est, tres menses mutuis incursibus fore vacuos, donec reversi Byzantio Legati qua mente Imperator esset, renuntiarent: si qua iniuria pars altera alteram provocaret,

ται, τοὺς πρέσβεις οὐδέν τι ἧσσον ἀποδοθήσεσθαι ἐς τὸ σφῶν ἔθνος. τῶν μὲν οὖν βαρβάρων οἱ πρέσβεις Ῥωμαίων παραπεμπόντων ἐς Βυζάντιον ἦεσαν, Ἰλδίγερ δὲ, ὁ τῆς Ἀντωνίνης γαμβρὸς, ξὺν ἵπποις οὐκ ὀλίγοις ἐκ Λιβύης ἐς Ῥώμην ἦλθε. Γότθοι τε, οἳ ἐν τῷ πόρτῳ τὸ φρούριον εἶχον, ἐπιλελοιπότων σφᾶς τῶν ἀναγκαίων ἐξελίποντο αὐτὸ Οὐιτίγιδος γνώμῃ, καὶ ἐς τὸ στρατόπεδον μετάπεμπτοι ἦλθον. Παῦλος δὲ αὐτὺ P 405 ξὺν τοῖς Ἰσαύροις ἐξ Ὄστίας καταλαβὼν ἔσχεν. αἴτιοι δὲ μάλιστα τούτοις τοῖς βαρβάροις τῶν ἐπιτηδείων τῆς ἀπορίας ἐγένοντο θαλασσοκρατοῦντες Ῥωμαῖοι, καί τι αὐτοῖς ἐσκομίζεσθαι τῶν ἀναγκαίων οὐ ξυγχωροῦντες. διὸ δὴ καὶ πόλιν ἐπιθαλασσίαν, λόγου πολλοῦ ἀξίαν, Κεντουκέλλας ὄνομα, τῶν ἐπιτηδείων σπανίζοντες, ὑπὸ τὸν αὐτὸν χρόνον ἐξέλιπον. ἔστι δὲ ἡ πόλις μεγάλη καὶ πολυάνθρωπος, ἐς τὰ Ῥώμης πρὸς ἑσπέραν ἐν Τούσκοις κειμένη, σταδίοις αὐτῆς ὀγδοήκοντα καὶ διακοσίοις ἀπέχουσα. καὶ αὐτὴν Ῥωμαῖοι καταλαβόντες ἔτι μᾶλλον ἐπὶ μέγα δυνάμεως ἦλθον, ἐπεὶ καὶ τὸ Ἀλβανῶν πόλισμα ἔσχον, Ῥώμης B πρὸς ἀνίσχοντα ἥλιον κείμενον, ἀνακεχωρηκότων ἐνθένδε διὰ τὸν αὐτὸν λόγον τηνικαῦτα τῶν ἐναντίων. Ῥωμαῖοι δὲ παντοχόθεν ἤδη κυκλωσάμενοι τοὺς βαρβάρους ἐν μέσῳ εἶχον. διὸ δὴ Γότθοι διαλύειν τε τὰ ξυγκείμενα καί τι ἐς Ῥωμαίους κακουργεῖν ὥργων. πέμψαντες οὖν παρὰ Βελισάριον πρέσβεις ἠδικῆσθαι σφᾶς ἐν σπονδαῖς ἔφασαν. Οὐιτίγιδος γὰρ Γότθους τοὺς ἐν πόρ-

1. ἀποδοθήσεσθαι] ἀποδώσεσθαι Pm. 3. Ἰλδίγερ] ἰλδίγερις H. ἰλδίγερις Reg 4. ἐς] εἰς L. 12. Κεντουκέλλας] κεντουκέλας HL. 20. ἤδη] Vulgo τε ἤδη.

Legatis reditum ad suam gentem datum iri. Itaque Byzantium profecti sunt Oratores Gotthorum, Romanis ducentibus. Antoninae gener Ildiger cum equitibus non paucis Romam venit ex Africa. Gotthi, qui Portuense castellum tenebant, defecti cibariis, excesserunt, de sententia Vitigis, cuius accitu ex castris rediere. Locum occupavit vacuum Paulus cum Isauris Ostia ductis. Porro Barbaros illos ad victus penuriam redegerunt maxime Romani, qui sic mari dominabantur, ut nihil annonae ad ipsos inferri sinerent. Quamobrem et Centumcellas, urbem maritimam ac nobilissimam, sub idem tempus Gotthi deseruerunt, compellente cibi inopia. Ampla est illa urbs atque incolis frequens in Tuscia, ab Occidentali Romae latere: unde stadiis abest cc. LXXX. A Romanis occupata, magnam attulit ad eorum vires accessionem: cum et Albanum oppidum, quod Romae partem exortivam spectat, obtinuissent, eamdem ob causam tunc ab hostibus derelictum. Itaque Romani iam undique circunclusos intercepere Barbaros: qui eam ob rem pactiones rescindere, et aliquam Romanis creare fraudem ardebant. Quare missi ad Belisarium Oratores facta sibi iniuria violatam armorum quietem obiiciunt. Cum

τῷ μεταπεμψαμένου κατά τινα χρείαν Παῦλόν τε καὶ Ἰσαύρους τὸ ταύτης φρούριον λόγῳ οὐδενὶ καταλαβόντας ἔχειν. ταὐτὸ δὲ
C τοῦτο ἀμφί τε Ἄλβανῷ καὶ Κεντουκέλλαις δῆθεν τῷ λόγῳ ἠτιῶντο, ἠπείλουν τε, ἢν μὴ ταῦτα σφίσιν ἀποδιδῷ, οὐκ ἐπιτρέψειν. Βελισάριος δὲ ξὺν γέλωτι αὐτοὺς ἀπεπέμψατο, παραπέτασμα μὲν εἶναι δὴ τὴν αἰτίαν εἰπών, ἀγνοεῖν δὲ οὐδένα ὅτου δὴ ἕνεκα τὰ χωρία ταῦτα Γότθοι ἐκλίποιεν. καὶ τὸ λοιπὸν ὑποψίᾳ τινὶ ἐς ἀλλήλους ἐχρῶντο. ἔπειτα δὲ Βελισάριος, ἐπεὶ Ῥώμην εἶδε στρατιωτῶν πλήθει ἀκμάζουσαν, ἄλλους τε ἱππέας ἐς χωρία Ῥώμης μακρὰν που ἄποθεν περιέπεμψε καὶ Βιταλιανοῦ τὸν ἀδελφιδοῦν
V 69 Ἰωάννην ἐκέλευε ξὺν τοῖς ἑπομένοις ἱππεῦσιν, ὀκτακοσίοις οὖσιν, ἀμφὶ πόλιν Ἄλβαν διαχειμάζειν, ἐν Πικηνοῖς κειμένην· καὶ οἱ
D τῶν τε Βαλεριανῷ ἑπομένων τετρακοσίους ξυνέπεμψεν, ὧν Δαμιανὸς ὁ Βαλεριανοῦ ἀδελφιδοῦς ἦρχε, καὶ τῶν αὐτοῦ ὑπασπιστῶν ὀκτακοσίους ἄνδρας, διαφερόντως ἀγαθοὺς τὰ πολέμια. οἷς δὴ δορυφόρους δύο, Σουτᾶν τε καὶ Ἄβιγιν, ἐπέστησε, καὶ αὐτοὺς μὲν Ἰωάννῃ ἕπεσθαι, ὅπῃ ἂν αὐτὸς ἐξηγεῖτο, ἐκέλευε, τῷ δὲ Ἰωάννῃ ἐπήγγελλεν, ἕως μὲν τὰ ξυγκείμενα σφίσι φυλάτ-
II 223 τοντας ὁρᾷ τοὺς πολεμίους, ἡσυχῇ μένειν· ὅταν δὲ τὴν ἐκεχειρίαν πρὸς αὐτῶν λελύσθαι ξυμβαίνῃ, προιεῖν κατὰ τάδε, παντὶ τῷ στρατῷ ἄφνω τε καὶ ἐξ ἐπιδρομῆς καταθεῖν τὴν Πικηνῶν χώ-

8. *Κεντουκέλλαις*] κεντούλαις L: illud Lm. 4. *ἀποδιδῷ* P ex Vat. ἀποδιδόναι L. ὑποδιδόναι H. *ibid. ἐπιτρέψειν* P ex Vat. ἐπιτρέψει L. ἐπιτρέψῃ H. 10. *Βιταλιανοῦ — Ἰωάννην*] βιταλιανὸν — ἰωάννου HL. 12. *Πικηνοῖς*] Πικήνους P. πικηνοῖς H. πικιανοῖς Reg. 16. *Ἄβιγιν*] ἄδηγιν Vat. 20. ξυμβαίνῃ] ξυμβαίῃ L. 21. *Πικηνῶν*] πικήνων P. πικιανὴν HL.

enim Vitigis Gotthos, qui portum praesidio tenebant, rei causa requirentis ipsorum operam, revocasset, loci castellum a Paulo Isaurisque per meram animi libidinem occupatum fuisse. Idem Albano et Centumcellis factum queruntur in speciem, nec se id inultum relicturos minantur, nisi illa restituat. Eos cum risu Belisarius remittit, querelam dicens praetextum inanem esse: neminem latere causam, cur ea Gotthi loca liquissent. Ex eo suspecti invicem fuere. Post haec Belisarius, ubi Romam abundare militibus vidit, cum turmas alias alia circum loca procul Roma dimisit, tum Ioannem, sororis Vitaliani filium, apud Albam, Piceni urbem, hiemare iussit cum octingentis ipsius equitibus: adiunxitque ex Valeriani turmis quadringentos, quibus Valeriani ex sorore nepos Damianus praeerat; nec non e scutariis suis octingentos, viros bellicosissimos, quibus Protectores hastatos duos, Sütan et Abigin praefecit, atque iniunxit, ut Ioannem, quocunque duceret, sequerentur, his mandatis instructum. Quandiu pactis manere hostes videret, contineret sese: ubi fidem inductarum solvissent, haec faceret. Repente et raptim agrum Picentum

ραν, ἅπαντά τε ἐξῆς περιιόντα τὰ ἐκείνῃ χωρία καὶ αὐτοῖς πρὸ τῆς φήμης ἐπιθημοῦντα. ταύτης γὰρ σχεδόν τι ἁπάσης τῆς χώρας ἄνδρας μὲν οὐδαμῇ ἀπολελεῖφθαι, πάντων ἐπὶ Ῥώμην στρατευσαμένων, παῖδας δὲ καὶ γυναῖκας τῶν πολεμίων καὶ χρήματα P 406
πανταχῇ εἶναι. ἐξανδραποδίζειν οὖν καὶ ληΐζεσθαι τὰ ἐν ποσὶν ἅπαντα φυλασσόμενον μή ποτε Ῥωμαίων τινὶ τῶν ταύτῃ ᾠκημένων λυμήνηται. ἦν δέ πῃ χωρίῳ ἐντύχῃ, ἄνδρας τε καὶ ὀχυρώματα, ὡς τὸ εἰκὸς, ἔχοντι, πάσῃ αὐτοῦ δυνάμει ἀποπειράσασθαι. καὶ εἰ μὲν ἑλεῖν δύνηται, ἐς τὰ πρόσω ἰέναι, τοῦ πράγματος δὲ, ἂν οὕτω τύχοι, ἀντιστατοῦντος, ἀπελαύνειν ὀπίσω, ἢ αὐτοῦ μένειν. προϊόντι γάρ οἱ καὶ τοῦτο δὴ τὸ ὀχύρωμα κατὰ νώτου ἀπολιπόντι κίνδυνος πολὺς ἐπὶ πλεῖστον ἔσται, ἐπεὶ οὔποτ' ἀμύνειν εὐπετῶς σφίσιν ἔξουσιν, ἤν που ἐνοχλοῖντο πρὸς τῶν ἐναντίων· τὴν δὲ λείαν φυλάσσειν ἅπασαν, ὅπως ἂν αὐτὴν B
ὀρθῶς καὶ δικαίως στρατιὰ διανέμοιτο. εἶτα ξὺν γέλωτι καὶ τοῦτο ἐπεῖπεν „Οὐ γὰρ δίκαιον ὑφ' ἑτέρων μὲν τοὺς κηφῆνας πόνῳ μεγάλῳ ἀπόλλυσθαι, ἄλλους δὲ τοῦ μέλιτος οὐδεμιᾷ ταλαιπωρίᾳ ὀνίνασθαι." τοσαῦτα μὲν ἐπιστείλας Βελισάριος Ἰωάννην ξὺν τῷ στρατεύματι ἔπεμψεν.

Ὑπὸ δὲ τὸν αὐτὸν χρόνον ὅ τε Μεδιολάνων ἱερεὺς Δάτιος καὶ τῶν πολιτῶν ἄνδρες δόκιμοι ἐς Ῥώμην ἀφικόμενοι Βελισαρίου ἐδέοντο φρουροὺς ὀλίγους σφίσι ξυμπέμψαι. αὐτοὶ γὰρ ἱκανοὶ ἰσχυρίζοντο εἶναι, οὐ Μεδιόλανα μόνην, ἀλλὰ καὶ Λιγουρίαν

16. *Οὐ — ὀνίνασθαι*] Suidas s. v. κηφήν. 23. *Μεδιόλανα μόνην*] *Μεδιόλανον μόνον* Pm.

cum omnibus copiis pervolaret, continenti cursu loca obiens cuncta, ac celeritate famam praevertens: propterea quod viris ibi nusquam fere relictis, cum plerique omnes bello Romam petiissent, ubivis essent hostium liberi, uxores atque pecuniae. Itaque captivos abduceret, et obvia quaeque diriperet, caveret tamen, ne quid detrimenti Romanus ullus incola pateretur. Si quem in locum incideret, militari praesidio, ac proinde arte et manu munitum, viribus omnibus tentaret: si caperet, pergeret porro: sin forte rei difficultas consilium vinceret, referret sese, vel ibi consisteret. Etenim progredienti maximum, ut saepissime fit, a relicto post se loco periculum fore: cum nec se facile tueri possent, sicubi impetentur ab hostibus, nec praedam omnem servare, cum reliquo exercitu bona fide dividendam. Tum ridens subiecit: *Haud enim aequum est, dum alii in fucis male perdendis desudant, alios defatigationis expertes gaudere mellis vindemia.* Haec ubi mandata dedit Belisarius, Ioannem cum exercitu misit.

Sub idem tempus Mediolanensis Antistes Datius, ac cives primarii, cum Romam venissent, a Belisario modicum petiere praesidium, satis virium sibi fore asseverantes ad eripiendum Gothis nullo negotio, vindicandumque Imperatori non modo Mediolanum, sed Liguriam quoque uni-

C ὅλην πόνῳ οὐδενὶ Γότθων τε ἀποστῆσαι καὶ βασιλεῖ ἀνασώσασθαι. αὕτη δὲ ἡ πόλις ᾠκεῖτο μὲν ἐν Λιγούροις, μέση που μάλιστα Ῥαβέννης τε πόλεως καὶ Ἄλπεων τῶν ἐν Γάλλων ὁρίοις κειμένη. ἑκατέρωθεν γὰρ ἐς αὐτὴν ὀκτὼ ἡμερῶν ὁδὸς ἀνδρὶ εὐζώνῳ ἐστί, πρώτη δὲ πόλεων τῶν ἑσπερίων μετά γε Ῥώμην μεγέθει τε καὶ πολυανθρωπίᾳ καὶ τῇ ἄλλῃ εὐδαιμονίᾳ ἐτύγχανεν οὖσα. καὶ αὐτοῖς Βελισάριος ὑποσχόμενος ἐπιτελῆ τὴν δέησιν ποιήσειν κατεῖχεν αὐτοῦ τὴν τοῦ χειμῶνος ὥραν.

D η'. Ταῦτα μὲν δὴ ὧδέ πη εἶχε. τῆς δὲ τύχης ὁ φθόνος ὤδινεν ἤδη ἐπὶ Ῥωμαίους, ἐπεὶ τὰ πράγματα εὖ τε καὶ καλῶς σφίσιν ἐπίπροσθεν προϊόντα ἑώρα, κακῷ τε κεραννύναι τινὶ ταῦτα ἐθέλουσα, ἔριν ἐξ οὐδεμιᾶς αἰτίας λόγου ἀξίας ἐπενόει Βελισαρίῳ τε καὶ Κωνσταντίνῳ, ἢ ὅπως ἔφυ καὶ ἐς ὅ τι ἐτελεύτησεν, ἐρῶν ἔρχομαι. Πρεσίδιος ἦν τις, ἀνὴρ Ῥωμαῖος, ᾠκημένος μὲν ἐπὶ Ῥαβέννης, ὢν δὲ οὐκ ἀφανής. οὗτος ὁ Πρεσίδιος, ὅτι δὴ Γότθοις προσκεκρουκὼς ἦν, ἡνίκα Οὐίτιγις ἐπὶ Ῥώμην στρατεύειν
P 407 ἔμελλε, ξὺν ὀλίγοις τισὶ τῶν οἰκετῶν ἐπὶ κυνηγέσιον δῆθεν τῷ λόγῳ στελλόμενος φεύγει, οὔτε τῳ τὴν βουλὴν κοινωσάμενος οὔτε τι τῶν χρημάτων ξὺν αὐτῷ ἔχων, πλήν γε δὴ ὅτι ξιφίδια δύο αὐτὸς ἔφερεν, ὧν τὼ κουλεὼ χρυσῷ τε πολλῷ καὶ λίθοις ἐντίμοις
V 70 κεκαλλωπισμένω ἐτυχέτην. καὶ ἐπειδὴ ἐν Σπολετίῳ ἐγένοντο, ἐς νεών τινα ἔξω τοῦ περιβόλου κατέλυσεν. ὃ δὴ Κωνσταντῖνος ἀκούσας (ἐτύγχανε γὰρ ἔτι ἐνταῦθα διατριβὴν ἔχων) τῶν τινα

2. ᾠκεῖτο] ᾤκισται Pm. 18. οὔτε — οὔτε] Vulgo οὐδέ — οὐδέ. 22. Κωνσταντῖνος] Κωνσταντιανὸς HL. Et sic per totum hoc caput.

versam: in qua illa urbs posita, inter urbem Ravennam et Alpes, quibus Galliae terminantur, media fere est. Utrinque enim ad ipsam dierum octo iter est viro expedito. Amplitudine, frequentia, opibus Romae cedens, Occidentis urbes caeteras superabat. Illorum petitioni satisfacturum se pollicitus Belisarius, ibi hiemem egit.

8. Ita quidem haec se habebant. Iam vero Fortuna Romanis invidens, quibus bene praeclareque res videbat procedere, in eos noxam parturiebat, ac prosperis miscere volens adversum aliquid, Belisarium inter et Constantinum de nihilo dissidium moliebatur; cuius ortum exitumque modo exponam. Romanus quidam, Praesidius nomine, vir nobilis, cum Ravennae, ubi habitabat, in Gotthorum offensionem eo tempore venisset, quo in urbem Romam Vitigis expeditionem parabat, simulato venationis consilio, nec prodito cuiquam quod vere meditabatur, aufugit, nihil opum secum ferens, praeter pugiones duos, quorum vaginae multo auro gemmisque ornatae erant. Ut Spoletium cum suis attigit, in templum divertit extra muros positum. Qua de re factus certior, qui ibi tum agebat, Constantinus indicta causa acinacem utrumque aufert, misso

ὑπασπιστῶν Μαξεντίολον πέμψας ἄμφω ἀφαιρεῖται λόγῳ οὐδενὶ τῷ ἀκινάκα. περιαλγὴς δὲ γεγονὼς τοῖς ξυμπεσοῦσιν ὁ ἄνθρωπος ἐς Ῥώμην ὅτι τάχιστα παρὰ Βελισάριον στέλλεται, οὗ δὴ οὐκ εἰς μακρὰν καὶ Κωνσταντῖνος ἀφίκετο. ἤδη γὰρ ὁ τῶν Γότθων στρατὸς οὐκ ἄποθεν εἶναι ἠγγέλλετο. ἕως μὲν οὖν ἔν τε θορύβῳ καὶ κινδύνῳ Ῥωμαίοις καθειστήκει τὰ πράγματα, σιωπῇ ὁ Πρεσίδιος ἔμενεν· ὡς δὲ τά τε Ῥωμαίων καθυπέρτερα εἶδε καὶ Γότθων πρέσβεις παρὰ βασιλέα σταλέντας, καθάπερ ἔμπροσθεν εἴρηται, Βελισαρίῳ συχνὰ προσιὼν τήν τε ἀδικίαν ἐπήγγελλε καὶ οἱ τὰ δίκαια βοηθεῖν ἠξίου. ὁ δὲ Κωνσταντίνῳ πολλὰ μὲν αὐτὸς, πολλὰ δὲ δι' ἑτέρων μεμφόμενος, παρῄνει ἔργου τε ἀδίκου καὶ δόξης αἰσχρᾶς ἀπαλλάσσεσθαι. ἀλλὰ γὰρ Κωνσταντῖνος (ἐχρῆν γάρ οἱ γενέσθαι κακῶς) τούς τε λόγους ἀεὶ ἐρεσχελῶν διεκρούετο καὶ τὸν ἠδικημένον ἐτώθαζε. Βελισαρίῳ δέ ποτε, ἵππῳ ἐν τῇ ἀγορᾷ ὀχουμένῳ, ἐντυχὼν ὁ Πρεσίδιος τοῦ τε χαλινοῦ τοῦ ἵππου ἐλάβετο καὶ μέγα ἀναβοῶν ἠρώτα εἰ ταῦτα λέγουσιν οἱ βασιλέως νόμοι, ἵνα ἐπειδάν τις τοὺς βαρβάρους φυγὼν ἱκέτης ἐς αὐτοὺς ἵκοιτο, ἀφέληται βίᾳ ὅσα ἂν τύχῃ ἐν χερσὶν ἔχων. πολλῶν δὲ περιεστηκότων τῶν ἀνθρώπων καὶ τοῦ χαλινοῦ ξὺν ἀπειλῇ κελευόντων μεθίεσθαι, οὐ πρότερον ἀφῆκε, πρὶν δὴ αὐτῷ ὑπέσχετο Βελισάριος τὰ ξιφίδια δώσειν. τὴν οὖν

2. ἀκινάκα] ἀκίνακα HL. 9. ἐπήγγελλε L. ἀπήγγελλε P. 16. εἰ ταῦτα] εἶτα HL: illud marg. 18. ἀφέληται] ἀφέληταί τις HL. 20. ξὺν ἀπειλῇ κελευόντων Vat. ξυναπειλούντων καὶ λέγοντων HL.

ad id Maxentiolo, quo Scutario utebatur. Hinc ille dolore percitus, Romam, nulla interposita mora, ad Belisarium properat, quo et Constantinus aliquanto post venit, accepto iam nuntio, Gotthorum exercitum appropinquare. Ac quandiu Romana res in tumultu et discrimine versata est, tandiu silentium Praesidius tenuit. Ubi vero illam superiorem esse, et Oratores Gotthorum, uti supra diximus, ad Imperatorem adiisse vidit; Belisarium saepe conveniens, iniuriamque expostulans, enixe ius orabat. Nec minus saepe Belisarius cum per se ipse, tum per alios Constantinum urgebat reprehensionibus, ut se ab iniquo facinore turpique existimatione vindicaret. Sed enim Constantinum manebat interitus. Quamobrem ille dicta semper elevabat ludibriis, et quem affecerat iniuria, ridebat. Aliquando demum in foro equitanti Belisario occurrens Praesidius, apprehensis habenis equi, contenta voce interrogat, num Imperatoris leges id ferant, ut qui a Barbaris ad ipsius partes supplex transfugerit, omnibus, quae in manibus habet, per vim spolietur? Tum circumstantibus multis et minaciter imperantibus, ut a fraeno manum moveret, non prius dimisit, quam ipsi pugiones redditum iri Belisarius

ὑστεραίαν Κωνσταντῖνόν τε καὶ τῶν ἀρχόντων πολλοὺς ἐς οἰκίσκον τινὰ ξυγκαλέσας Βελισάριος ἐν παλατίῳ τῶν μὲν τῇ προτεραίᾳ ξυμπεπτωκότων ὑπέμνησε, παρῄνει δὲ ὀψὲ γοῦν τοῦ χρόνου τοὺς ἀκινάκας ἀποδιδόναι. ὁ δὲ οὐκ ἔφη δώσειν· ἥδιον γὰρ ἂν αὐτοὺς ἐς τὸ Τιβέριδος ὕδωρ ἐμβάλλοι ἢ τῷ Πρεσιδίῳ διδοίη. ὑμῷ τε ἤδη ἐχόμενος Βελισάριος ἐπυνθάνετο εἰ οὐκ οἴοιτο Κωνσταντῖνος πρὸς αὐτοῦ ἄρχεσθαι. καὶ αὐτὸς τὰ μὲν ἄλλα οἱ ὡμολόγει ἅπαντα πείσεσθαι· βουλομένῳ γὰρ ταῦτα βασιλεῖ εἶναι· τόδε μέντοι, ὃ ἐν τῷ παρόντι ἐπιτάττοι, οὐ μήποτε δράσειν. Βελισάριος μὲν οὖν εἰσιέναι τοὺς δορυφόρους ἐκέλευε, Κωνσταντῖνος δὲ „Ὅπως με δηλαδὴ ἀποκτενοῦσιν“ ἔφη. „Οὐδαμῶς“ ὁ Βελισάριος εἶπεν „ἀλλ' ἵνα τὸν σὸν ὑπασπιστὴν Μαξεντίολον, P 408 ὅς σοι τὰ ξιφίδια βιασάμενος ἤνεγκεν, ἀναγκάσωσι τῷ ἀνθρώπῳ ἀποδιδόναι ἅπερ αὐτοῦ βίᾳ ἔτυχε λαβών.“ ἀλλὰ Κωνσταντῖνος τεθνήξεσθαι παραυτίκα οἰόμενος δρᾶσαί τι μέγα, πρίν τι αὐτὸς παθεῖν, ἐβούλετο. διὸ δὴ τὸ ξιφίδιον εἶλκεν, ὅπερ οἱ πρὸς τῷ μηρῷ ἀπεκρέματο, ἄφνω τε αὐτὸ ἐπὶ τὴν Βελισαρίου γαστέρα ὦσεν. ὁ δὲ καταπλαγεὶς ὀπίσω τε ἀπέστη καὶ Βέσσᾳ ἐγγύς που ἑστηκότι περιπλακεὶς διαφυγεῖν ἴσχυσε. Κωνσταντῖνος μὲν οὖν, ἔτι τῷ θυμῷ ζέων, ἀπῄει. κατιδόντες δὲ Ἰλδίγερ τε καὶ Βαλεριανὸς τὸ ποιούμενον ὁ μὲν τῆς δεξιᾶς, ὁ δὲ αὐτοῦ τῆς ἑτέρας χειρὸς λαβόμενος ὀπίσω ἀνθεῖλκον. ἐν τούτῳ δὲ εἰσελθόντες οἱ B δορυφόροι, οὓς δὴ ὀλίγῳ πρότερον ἐκάλεσε Βελισάριος, Κων-

15. δρᾶσαι] δράσειν L. δράσειν H. δρασείειν Hoeschelius.

recepit. Itaque postridie Belisarius Constantino ac multis Ducibus in quoddam Palatii cubiculum convocatis, et commemoratis quae acciderant pridie, hortatur hominem, ut acinaces tandem aliquando restituat. Abnuens ille, iucundius sibi fore asseruit, si illos mitteret in undas Tiberis, quam si Praesidio redderet. Iratus iam Belisarius quaerit, annon se agnoscat ipsi subditum Constantinus? Hic in rebus caeteris plane obsecuturum se illi spondet, quando sic placitum Imperatori: quod ipse praesenti iuberet, nunquam facturum. Tum Protectores iubenti ingredi Belisario, *Nimirum*, inquit Constantinus, *ut me trucident. Minime vero* ait Belisarius: *sed ut Scutarium tuum Maxentiolum, qui iussu tuo pugiones, illata vi, abstulit, adigant Praesidio restituere, quae ipsi invito rapuit.* At Constantinus se illico moriturum ratus, grave aliquid patrare prius, quam pati statuit. Quare educto pugione, quem pendulum ad femur gestabat, repente Belisarii ventrem appetit. Is territus retro cedit et Bessam prope astantem complexus, elabitur. Ipse etiam referebat se Constantinus, ira adhuc incensus; cum, re animadversa, eius dexteram prehendit Valerianus, sinistram Ildiger, illumque retrahunt. Interea ingressi, quos Belisarius paulo ante acciverat, Protectores, e Constantin

σταντίνου τε τὸ ξιφίδιον ξὺν βίᾳ πολλῇ ἐκ χειρὸς αἴρουσι. καὶ αὐτὸν πολλῷ θορύβῳ ἁρπάσαντες οὐδὲν μὲν ἄχαρι τὸ παραυτίκα εἰργάσαντο, παρόντας αἰδούμενοι τοὺς ἄρχοντας, οἶμαι, ἐς οἴκημα δὲ ἄλλο ἀπαγαγόντες, Βελισαρίου κελεύσαντος, χρόνῳ τινὶ ὕστερον ἔκτειναν. τοῦτο Βελισαρίῳ μόνον εἴργασται οὐχ ὅσιον ἔργον καὶ ἦθους τοῦ αὐτοῦ οὐδαμῶς ἄξιον. ἐπιεικείᾳ γὰρ πολλῇ ἐς πάντας ἄλλους ἐχρῆτο. ἀλλὰ ἔδει, ὅπερ ἐρρήθη, Κωνσταντίνῳ γενέσθαι κακῶς.

Θ'. Γότθοι τε οὐ πολλῷ ὕστερον ἐς Ῥώμης τὸν περίβολον C V 71
κακουργεῖν ἤθελον. καὶ πρῶτα μέν τινας ἐς τῶν ὀχετῶν ἕνα νύκτωρ καθῆκαν, ὧν αὐτοὶ τὸ ὕδωρ κατ' ἀρχὰς τοῦδε τοῦ πολέμου ἀφῇρηντο. οἱ δὲ λύχνα τε καὶ δᾷδας ἐν χερσὶν ἔχοντες ἀπεπειρῶντο τῆς ἐς τὴν πόλιν ἐνθένδε εἰσόδου. ἔτυχε δέ τινα διώρυχα οὐ μακρὰν Πηγκιανῆς πυλίδος τοῦ ὀχετοῦ τούτου κύρτωμα ἔχειν. ὅθεν δὴ τῶν τις φυλάκων τὸ πῦρ κατιδὼν τοῖς ξυμφυλάσσουσιν ἔφρασεν· οἱ δὲ λύκον αὐτοῦ παριόντα ἰδεῖν ἔφρασαν. ταύτῃ γὰρ τὴν γῆν οὐχ ὑπερέχειν τὴν τοῦ ὀχετοῦ οἰκοδομίαν ξυνέβαινε, πυρὶ δὲ εἰκάζεσθαι τοὺς τοῦ λύκου ὀφθαλμοὺς ᾤοντο. τῶν μὲν οὖν βαρβάρων ὅσοι τοῦ ὀχετοῦ ἀπεπειράσαντο, ἐπειδὴ D
ἐν μέσῃ πόλει ἐγένοντο, ἔνθα δὴ ἄνοδός τις ἦν ἐκ παλαιοῦ ἐς αὐτό που τὸ παλάτιον φέρουσα, οἰκοδομίᾳ τινὶ ἐνταῦθα ἐνέτυχον οὔτ' ἐς πρόσω ἰέναι τὸ λοιπὸν ξυγχωρούσῃ οὔτε τῇ ἀναβάσει τὸ παράπαν χρῆσθαι. ταύτην δὲ τὴν οἰκοδομίαν Βελισάριος προ-

22. οὔτ' — οὔτε] Vulgo οὐδ' — οὐδὲ.

manu pugionem extorquent multa vi, correptumque ingenti cum fremitu hominem extemplo quidem omittunt multare, Ducum, ut opinor, praesentiam veriti, sed abductum in cubiculum aliud paulo post, iubente Belisario, interficiunt. Unum hoc Belisarius admisit facinus minus honestum, nec moribus dignum commodis; cum ipsum omnes alii lenissimum experti sint. Verumenimvero Constantinum, ut dictum est, manebat interitus.

9. Haud multo post, Gotthi in muros Romae cupientes moliri aliquid, primum quosdam immisere noctu in unum ex aquaeductibus, a quibus aquam initio belli huius averterant. Illi manibus lychnos ac faces praeferentes, in urbem aditum ea parte tentabant, cum per foramen, quod non procul a pota Pinciana in fornice aquaeductus illius erat, vigilum quidam, conspecto igne, rem sociis indicat. Hi vero, quoniam ibi structura aquaeductus non extabat e terra, visum asserunt lupum, illac praetereuntem; cuius oculos igni similes rebantur esse. Ingressi canalem Barbari, cum in mediam urbem penetrassent, eoque loci venissent, ubi ad ipsum Palatium vetus quidam ascensus erat, offenderunt praestructum obicem, quo et longius progredi, et ascendere omnino prohibebantur. Hunc Belisarius obsidionis principio, ut a me in libro superiori narratum

μηθεία τινὶ κατ' ἀρχὰς τῆσδε τῆς πολιορκίας πεποίηται, ὥσπερ
P 409 μοι ἐν τοῖς ἔμπροσθεν λόγοις δεδήλωται. λίθον οὖν ἕνα βραχὺν ἐνθένδε ἀφελόντες ὄπισω τε ἀναστρέφειν εὐθὺς ἔγνωσαν καὶ παρὰ τὸν Οὐίτιγιν ἐπανήκοντες τὸν λίθον ἐνδεικνύμενοι πάντα ἀπήγγελλον. καὶ ὁ μὲν τὰ τῆς ἐπιβουλῆς ἅμα τοῖς Γότθων ἀρίστοις ἐν βουλῇ εἶχε, Ῥωμαίων δὲ ὅσοι φρουρὰν ἀμφὶ πυλίδα Πιγκιανὴν εἶχον, μνήμην τῆς τοῦ λύκου ὑποψίας ἐν σφίσιν αὐτοῖς ἐποιοῦντο τῇ ὑστεραίᾳ. ἐπεὶ δὲ ὁ λόγος περιφερόμενος ἐς Βελισάριον ἦλθεν, οὐ παρέργως ὁ στρατηγὸς τὸ πρᾶγμα ἤκουσεν, ἀλλ' ἄνδρας τε αὐτίκα τῶν ἐν τῷ στρατοπέδῳ δοκίμων ξὺν Διογένει τῷ δορυφόρῳ ἐς τὸν ὀχετὸν καθῆκε καὶ διερευνήσασθαι ἅπαντα ξὺν πολλῷ τάχει ἐκέλευσεν. οἱ δὲ τὰ λύχνα τῶν πολε-
B μίων καὶ τῶν ὁᾴδων ὅσα διερρύηκει πανταχῇ τοῦ ὀχετοῦ εὗρον, καὶ τὴν οἰκοδομίαν, ᾗ ὁ λίθος πρὸς τῶν Γότθων ἀφῄρητο, κατανενοηκότες Βελισαρίῳ ἀπήγγελλον. διὸ δὴ αὐτός τε τὸν ὀχετὸν ἐν μεγάλῃ φυλακῇ ἔσχε καὶ οἱ Γότθοι αἰσθόμενοι ταύτῃ δὴ τῆς πείρας ἀπέσχοντο.

H 225 Ἔπειτα δὲ καὶ ἐκ τοῦ ἐμφανοῦς ἔφοδον κατὰ τοῦ περιβόλου ἐμηχανῶντο οἱ βάρβαροι· τηρήσαντες οὖν τὸν τοῦ ἀρίστου καιρὸν κλίμακάς τε καὶ πῦρ ἐπαγόμενοι, ἥκιστα τῶν πολεμίων προσ-
C δεχομένων, ἐπὶ πυλίδα Πιγκιανὴν ἦεσαν, ἐλπίδι θαρροῦντες ἐξ ἐπιδρομῆς τὴν πόλιν αἱρήσειν, ἅτε οὐ πολλῶν στρατιωτῶν ἐνταῦθα λειφθέντων. ἔτυχε δὲ Ἰλδίγερ τηνικαῦτα ξὺν τοῖς ἑπομένοις φυλακὴν ἔχων· ἕκαστοι γὰρ ἐκ περιτροπῆς ἐς τὴν φρουρὰν

4. τὸν λίθον] Vulgo τόν τε λίθον. 5. ἀπήγγελλον] ἀπήγγελον L. 7. Πιγκιανὴν] πιγγιανὴν HL hic et infra. 15. ἀπήγγελλον] ἀπήγγελον L.

est, provide opposuerat. Parvo inde extracto lapide remeare decernunt Barbari, reversique ad Vitigin, monstrato lapide, quo res loco sit plane referunt. Tum ille de instituta molitione cum viris inter Gotthos primariis consulit. Postridie, inter portae Pincianae custodes mentione facta suspicionis, quae de lupo inciderat, et hinc perlato ad Belisarium rumore non supina aure rem audiit Magister militum: sed e vestigio homines in exercitu probatissimos cum Diogene Praetoriano degredi iubet in aquaeductum, et omnia scrutari celerrime. Illi hostium lucernas, et quidquid ex facibus defluxerat passim in canali inveniunt, et obice, ex quo lapidem Gotthi dempserant, perspecto, ad Belisarium renuntiant. Quamobrem acribus custodiis aquaeductum muniit: quod cum Gotthi intellexissent, incepto hoc abierunt.

Deinde apertam in muros vim meditati Barbari, capto prandii tempore praeter hostium opinionem, cum scalis et facibus ad portam Pincianam contendunt, spe nixi, fore ut primo impetu urbem caperent, quod non multi milites hic essent reliqui. Tunc Ildiger cum suis custodiam agens, (quod munus singulis per vices demandabatur) ut hostes vidit in-

ἐτετάχατο. ἐπεὶ οὖν εἶδε προσιόντας οὐκ ἐν τάξει τοὺς πολεμίους, ἀπήντησέ τε οὐ ξυντεταγμένοις ἐς παράταξιν, ἀλλὰ ξὺν πολλῇ ἀκοσμίᾳ ἰοῦσι, καὶ τοὺς κατ' αὐτὸν οὐδενὶ πόνῳ τρεψάμενος ἔκτεινε. κραυγῆς δὲ μεγάλης καὶ ταραχῆς ἀνὰ τὴν πόλιν, ὡς τὸ εἰκὸς, γεγενημένης Ῥωμαῖοί τε ὡς τάχιστα πανταχόσε τοῦ περιβόλου ξυνέρρεον καὶ οἱ βάρβαροι ἄπρακτοι ἐς τὰ στρατόπεδα οὐκ ἐς μακρὰν ἐχώρησαν. Οὐίτιγις δὲ αὖθις ἐς ἐπιβουλὴν τοῦ περιβόλου καθίστατο. καὶ ἦν γάρ τις αὐτῷ ἐπίμαχος μάλιστα μοῖρα, ᾗ τοῦ Τιβέριδος ἡ ὄχθη ἐστὶν, ἐπεὶ ταύτῃ οἱ πάλαι Ῥωμαῖοι θαρσοῦντες τοῦ ὕδατος τῷ ὀχυρώματι τὸ τεῖχος ἀπημελημένως ἐδείμαντο, βραχύ τε αὐτὸ καὶ πύργων ἔρημον παντάπασι D ποιησάμενοι ῥᾷον ἐνθένδε ἤλπιζε τὴν πόλιν αἱρήσειν. οὐδὲ γὰρ οὐδέ τι φυλακτήριον λόγου ἄξιον ἐνταῦθα τετύχηκεν εἶναι. δύο οὖν Ῥωμαίους ἀμφὶ τὸν Πέτρου τοῦ ἀποστόλου νεὼν ᾠκημένους χρήμασιν ἀναπείθει οἶνον ἀσκὸν ἔχοντας παρὰ τοὺς ἐκείνῃ φρουροὺς ἰέναι περὶ λύχνων ἁφὰς, καὶ αὐτοῖς τὸν οἶνον τρόπῳ ὅτῳ δὴ φιλοφροσύνης ἐνδεικνυμένους χαρίζεσθαι. εἶτα ξὺν αὐτοῖς V 72 πόρρω τῶν νυκτῶν καθημένους πιεῖν, ἑκάστῳ τε ἐς τὴν κύλικα ὑπνωτικὸν ἐμβαλεῖν φάρμακον, ὅπερ σφίσιν αὐτὸς ἐδεδώκει. ἀκάτους δὲ λάθρα ἐν τῇ ἑτέρᾳ ὄχθῃ ἐν παρασκευῇ ποιησάμενος εἶχεν, αἷς δὴ τῶν βαρβάρων τινὰς, ἐπειδὰν τάχιστα οἱ φύλα- P 410 κες ὕπνῳ ἔχοιντο, ξὺν κλίμαξιν ἐκ σημείου ἑνὸς τὸν ποταμὸν διαβαίνοντας τὴν ἐπίθεσιν τῷ περιβόλῳ ποιήσασθαι. τό τε

8. ἐπίμαχος P et Hoesch. in annot. ἐπιμαχώτατος HL. Sic p. 414 c. 415 a.

composite accedentes, occurrit ipsis, non instructa acie, sed promiscue ac turbate progredientibus. Nullo mox negotio adversos fundens, cladem efficit. Inde magnus, ut fit, oriri in urbe clamor ac tumultus: statim Romani undique ad muros confluere: nec multo post in sua castra Barbari re infecta reverti. Ad fraudem redit Vitigis, grassaturus in moenia: quorum sane partem, quae Tiberis ripam praetexit, expugnare facillime poterat. Illam enim Romani veteres, aquae munimento confisi, adeo negligenter aedificaverant, ut et valde humilis esset, et omnino turribus vacua. Hac demum eo facilius urbem se capturum sperabat, quo levius erat ibi praesidium. Ergo Romanos duos, qui ad Petri Apostoli aedem habitabant, pecunia inducit, ut cum utre vini pleno custodes illic positos primis tenebris adeant, ac vino donent cum omni benevolentiae significatione: deinde, adulta nocte, sedentes una perpotent, iniecto in cuiusque scyphum medicamine soporifero, quod ipse dedit. In ulteriori ripa scaphas clam paratas habuit; ut, simul ac somnus custodias complexus esset, primo dato signo, Barbarorum manus flumen transiret, ac scalis instructa muros invaderet. Totum etiam exercitum ad urbem vi pe-

στράτευμα ἐς τοῦτο ἡτοίμαζεν ὅλον, ὅπως ἅπασα κατὰ κράτος ἡ πόλις ἁλῴη. τούτων οὕτω ξυγκειμένων σφίσι, τοῖν ἀνδροῖν ἕτερος τοῖν Οὐιτίγιδι ἐς ταύτην δὴ παρεσκευασμένοιν τὴν ὑπουργίαν (οὐ γὰρ ἔδει Ῥωμαίους τούτῳ τῷ Γότθων στρατοπέδῳ ἁλῶναι) αὐτεπάγγελτος ἐλθὼν Βελισαρίῳ τε ἅπαντα φράζει καὶ τὸν ἕτερον ἐνδείκνυσιν. ὃς δὴ αἰκιζόμενος ἐς φῶς τε ἅπαντα ἤνεγκεν ὅσα δρᾶν ἔμελλε καὶ τὸ φάρμακον ἐπεδείκνυεν, ὅπερ Οὐιτιγις αὐτῷ ἐδεδώκει. καὶ αὐτὸν Βελισάριος τήν τε ῥῖνα καὶ τὰ ὦτα λωβησάμενος ἐς τῶν πολεμίων τὸ χαράκωμα ὄνῳ ὀχούμενον ἔπεμψε. καὶ κατιδόντες αὐτὸν οἱ βάρβαροι ἔγνωσαν ὡς ὁ θεὸς οὐκ ἐᾷ σφῶν τὰ βουλεύματα ὁδῷ ἰέναι· καὶ δι' αὐτὸ οὐκ ἄν ποτε ἡ πόλις σφίσιν ἁλώσιμος εἴη.

ι'. Ἐν ᾧ δὲ ταῦτα ἐγένετο, ἐν τούτῳ Βελισάριος γράψας πρὸς Ἰωάννην ἔργου ἐκέλευεν ἔχεσθαι. ὁ δὲ ξὺν τοῖς δισχιλίοις ἱππεῦσι τὴν Πικηνῶν χώρην περιὼν τὰ ἐν ποσὶν ἐληΐζετο πάντα, παῖδάς τε καὶ γυναῖκας τῶν πολεμίων ἐν ἀνδραπόδων ποιούμενος λόγῳ. Οὐλίθεόν τε, τὸν Οὐιτίγιδος θεῖον, ξὺν Γότθων στρατῷ ὑπαντιάσαντα μάχῃ νικήσας αὐτόν τε κτείνει καὶ πάντα σχεδὸν τὸν τῶν πολεμίων στρατόν. διὸ δὴ καὶ οὐδεὶς οἱ ἐτόλμα ἔτι ἐς χεῖρας ἰέναι. ἐπεὶ οὖν ἀφίκοντο ἐς Ἄὔξιμον πόλιν, Γότθων μὲν ἐνταῦθα φρουρὰν οὐκ ἀξιόχρεών τινα ἔμαθεν εἶναι, ἄλλως δὲ ἐχυρόν τε καὶ ἀνάλωτον κατενόησε τὸ χωρίον. καὶ ἀπ' αὐτοῦ προσεδρεύειν μὲν οὐδαμῇ ἤθελεν, ἀλλ' ἀπαλλαγεὶς ὅτι τά-

13. ἐγένετο L. ἐγένοντο P. 15. Πικηνῶν] Πικήνων P. πικιανῶν HL.

nitus occupandam expediit. His ita compositis, quoniam Deo fixum erat, vt Romanos iste Gotthorum exercitus non expugnaret, virorum, quos ad navandam coepto operam Vitigis adornaverat, alter sponte rem omnem enuntiavit Belisario, ac socium indicavit: qui tortus in lucem protulit quidquid erat facturus, et medicamentum, quod Vitigis dederat, prompsit. Hunc Belisarius, naso atque auribus truncis, ad castra hostium misit, asino vectum: quo viso, intellexere Barbari sua consilia, vetante Deo, non procedere, eamque ob causam potiri urbis se nunquam posse.

10. Dum haec aguntur, interea loci Belisarius Ioanni, ut rem aggrediatur, per literas imperat. Ille cum duobus equitum millibus agrum Picenum percurrens, obvia quaeque rapere, et hostium liberos uxoresque abstrahere coepit in servitutem. Ulitheum, Vitigis patruum, qui cum Gotthorum exercitu se offerebat, praelio victum interficit, et copias fere omnes hostium delet: quo factum est, ut nemo postmodum cum eo manus conserere ausus sit. Ubi ventum ad urbem Auximum, haud magno quidem Gotthorum praesidio teneri illam audiit, sed munitissimam vidit esse et inexpugnabilem. Quare abiecto obsidionis capessendae con-

χιστα πρόσω ἤλαυνε. ταὐτὸ δὲ τοῦτο καὶ Οὐρβῖνον ἀμφὶ πόλιν ἐποίει, ἕς τε Ἀρίμηνον Ῥωμαίων αὐτὸν ἐπαγομένων ἐσήλαυνεν, ἥπερ μιᾶς ἡμέρας ὁδῷ Ῥαβέννης διέχει. οἱ μὲν οὖν βάρβαροι, ὅσοι φρουρὰν ἐνταῦθα εἶχον, ὑποψίᾳ ἐς Ῥωμαίους τοὺς οἰκήτορας πολλῇ χρώμενοι, ἐπειδὴ προϊέναι τὸ στράτευμα τοῦτο ἐπύθοντο, ἀπεχώρησάν τε καὶ δρόμῳ ἰόντες ἐν Ῥαβέννῃ ἐγένοντο. οὕτω δὲ Ἰωάννης Ἀρίμηνον ἔσχε πολεμίων φρουρὰν ὄπισθεν ἔν τε Λύξιμῳ καὶ Οὐρβίνῳ ἀπολιπών, οὐχ ὅτι τῶν Βελισαρίου ἐντολῶν ἐς λήθην ἦλθεν, οὐδὲ θράσει ἀλογίστῳ ἐχόμενος, ἐπεὶ ξὺν P 411
τῷ δραστηρίῳ τὸ ξυνετὸν εἶχεν, ἀλλὰ λογισάμενος, ὅπερ ἐγένετο, ὡς ἦν Γότθοι πύθωνται τὸν Ῥωμαίων στρατὸν ἄγχιστα ἐπὶ Ῥαβέννης εἶναι, αὐτίκα μάλα τὴν ἐν Ῥώμῃ διαλύσουσι προσεδρείαν, ἀμφὶ τῷ χωρίῳ τούτῳ δείσαντες. καὶ ἔτυχέ γε τῆς ἀλη- H 226
θοῦς δόξης. ἐπειδὴ γὰρ Οὐίτιγις καὶ Γότθων στρατὸς Ἀρίμηνον ἔχεσθαι πρὸς αὐτοῦ ἤκουσαν, ἐς δέος μέγα ἀμφὶ Ῥαβέννῃ ἐμπεπτωκότες ἄλλο τε ὑπολογισάμενοι τῶν πάντων οὐδέν, εὐθυωρὸν τὴν ἀναχώρησιν ἐποιήσαντο, ὥς μοι αὐτίκα λελέξεται. καὶ μέγα κλέος ἐκ τοῦ ἔργου τούτου Ἰωάννης ἔσχε, διαβότος καὶ B
πρότερον ὤν. τολμητής τε γὰρ ἦν καὶ αὐτουργὸς ἐν τοῖς μάλιστα, ἕς τε τοὺς κινδύνους ἄοκνος, δίαιτάν τε σκληρὰν καὶ ταλαιπωρίαν τινὰ ἐς ἀεὶ εἶχε βαρβάρου ὁτουοῦν ἢ στρατιώτου οὐδὲν ἧσσον. ὁ μὲν Ἰωάννης τοιόσδε ἦν. Ματασοῦνθα δὲ, ἡ τοῦ

1. *Οὐρβῖνον*] *οὐρβῖνος* HL. 11. *τὸν Ῥ.*] *τῶν ῥ.* L. 14. *στρατὸς*] *τε στρατὸς* HL. 16. *εὐθυωρὸν*] Vulgo *εὐθύωρον*. Vid. ad vol. I. p. 254, 11. 22. *Ματασοῦνθα*] *Ματασούνθα* P. *μαλασούνθα* HL.

silio, quamprimum movens, porro perrexit. Eodem se modo gessit apud oppidum Urbinum, et Romanis deducentibus, Ariminum, Ravenna dissitum diei iter, contendit. Barbari, qui hic erant praesidiarii, cum Romanos loci incolas suspectiores haberent, huius exercitus adventu cognito, Ravennam celeri cursu demigrarunt. Itaque Ioannes Ariminum obtinuit, relictis a tergo Auximi et Urbini praesidiis; non quod ipsum vel oblivio mandatorum Belisarii, vel audacia inconsiderata cepisset; nam in eo coniuncta erat strenuitas cum prudentia: sed quia reputabat, quod contigit, simul ac Romanum exercitum Ravennae proximum esse Gotthi cognoscerent, eos metu, ne quid illa urbs pateretur, ex obsidione Romae retractum iri. Neque eum fefellit opinio. Nam ubi captum ab ipso Ariminum Vitigis Gotthorumque exercitus acceperunt, Ravennae timentes plurimum, nullius rei praeterea habita ratione, profectionem, de qua mox dicam, ne punctum quidem temporis distulerunt. Hinc Ioanni ad gloriam, qua iam ante egregie florebat, magna accessio facta est. Animo vir maximo, et ad pericula subeunda promptissimo praeditus, per se res obibat. Assidua victus aridi et laborum tolerantia nulli Barbaro vel militi cedebat. Atque is quidem erat Ioannes. Matasuntha vero Vitigis

V 73 Οὐτίγιδος γυνὴ, δεινῶς τῷ ἀνδρὶ ἀχθομένη, ὅτι δή οἱ βίᾳ τὸ ἐξ ἀρχῆς ἐς κοίτην ἦλθεν, ἐπειδὴ τὸν Ἰωάννην ἐς Ἀρίμηνον ἥκειν ἐπύθετο, περιχαρής τε ἀτεχνῶς γέγονε καὶ πέμψασα παρ' αὐτὸν λάθρα γάμου τε καὶ προδοσίας πέρι ἐς λόγους ἦλθε.

Καὶ οἱ μὲν πέμποντες ἀεὶ κρύφα τῶν ἄλλων ταῦτα ἔπρασ- 5
C σον. Γότθοι δὲ ἐπεὶ τά τε ἀμφὶ Ἀρίμηνον ἔμαθον καὶ ἅμα ξύμπαντα τὰ ἀναγκαῖα σφᾶς ἐπελέλοιπει, ὅ τε τῶν τριῶν μηνῶν χρόνος ἐξῆκεν ἤδη, τὴν ἀναχώρησιν ἐποιοῦντο, καίπερ οὔπω τι τῶν πρέσβεων ἕνεκα πεπυσμένοι. τὸ μὲν οὖν ἔτος ἀμφὶ τροπὰς ἐαρινὰς ἦν, τῇ δὲ πολιορκίᾳ ἐνιαυτός τε ἐτέτριπτο καὶ πρὸς αὐτῷ 10
ἡμέραι ἐννέα, ὅτε οἱ Γότθοι ἅπαντα σφῶν τὰ χαρακώματα καύσαντες, ἅμα ἡμέρᾳ ὁδοῦ εἴχοντο. Ῥωμαῖοι δὲ φεύγοντας ὁρῶντες τοὺς ἐναντίους ἐν ἀπόρῳ εἶχον ἢ τὸ παρὸν θήσονται. τῶν τε γὰρ ἱππέων τὸ πλῆθος οὐ παρεῖναι τηνικαῦτα ξυνέβαινεν, ἄλ-
D λων ἄλλῃ πη ἐσταλμένων, ὥσπερ μοι ἔμπροσθεν εἴρηται, αὐτοί 15
τε ἀξιόμαχοι πρὸς τοσοῦτον πλῆθος πολεμίων οὐκ ᾤοντο εἶναι. ἅπαντας μέντοι πεζούς τε καὶ ἱππέας Βελισάριος ὥπλισε. καὶ ἐπεὶ τῶν πολεμίων ὑπὲρ ἥμισυ διαβάντας τὴν γέφυραν εἶδεν, ἐξῆγε διὰ Πιγκιανῆς πύλης τὸ στράτευμα, ἥ τε μάχη ἐκ χειρὸς γέγονε τῶν προτέρων οὐδεμιᾶς ἧσσον. καὶ κατ' ἀρχὰς μὲν καρ- 20
τερῶς τῶν βαρβάρων τοὺς πολεμίους ὑφισταμένων, πολλοὶ ἑκατέρων ἐν τῇ πρώτῃ ξυμβολῇ ἔπεσον· ἔπειτα δὲ οἱ Γότθοι τραπό-

6. Γότθοι δὲ] γότθοι τε HL. 9. τὸ — ἔτος] τοῦ — ἔτους HL: illud Hm. 12. ὁδοῦ L corr. Vulgo ὁδῷ.

uxor, cum graviter marito esset offensa, quod principio per vim ei iuncta tori consortio fuisset, ut Ioannem Ariminum venisse resciit, gaudio cumulata, per occultum interruntium de nuptiis et proditione colloqui cum eo coepit.

De his illi clancularierorum nuntiorum opera insistebant inter se agere, cum Gotthi, auditis quae Arimini contigissent, accedente summa annonae penuria ac trimestrium induciarum exitu, abscessere: etsi de Oratoribus nihildum acceperant. Iam annus circa vernum aequinoctium se vertebat, in obsidione contritus totus cum diebus praeterea novem; quando Gotthi, castris suis omnibus incensis, prima luce, se in viam dederunt. Romani, fuga hostium animadversa, quid consilii pro re nata caperent nesciebant. Tunc enim equitatus pars maxima aberat, aliis alio, ut dixi supra, dimissis: neque ipsi viribus tantae hostium multitudini se pares putabant. Nihilominus Belisarius peditibus cunctis atque equitibus arma imperat; utque hostium plus dimidiam partem transisse pontem vidit, porta Pinciana educit copias: nec minus acriter conferuntur manus, quam in quolibet superiorum certaminum. Principio quidem Barbaris hostilem impetum fortiter sustinentibus, utrinque multi primo congressu ceciderunt. Deinde versi in fugam Gotthi, gravem insignemque cladem

μενοι μέγα τε καὶ ὑπερφυὲς σφίσιν αὐτοῖς τὸ πάθος ἐποίουν. αὐτὸς γὰρ ἕκαστος τὴν γέφυραν διαβαίνειν ἠπείγετο πρῶτος. ἀφ' οὗ δὴ ἐς στενοχωρίαν πολλὴν ἀφικόμενοι τὰ χαλεπώτατα ἔπασχον. P 412 πρός τε γὰρ σφῶν αὐτῶν καὶ τῶν πολεμίων ἐκτείνοντο. πολλοὶ δὲ τῆς γεφύρας ἐξέπιπτον ἐφ' ἑκάτερα ἐς τὸν Τίβεριν καὶ αὐτοῖς ὅπλοις καταδυόμενοι ἔθνησκον. οὕτω δὲ τοὺς πλείστους ἀποβαλόντες οἱ λοιποὶ τοῖς πρότερον διαβᾶσι ξυνέμιξαν. Λογγῖνος δὲ Ἴσαυρος καὶ Μουνδίλας, οἱ Βελισαρίου δορυφόροι, διαφερόντως ἐν ταύτῃ τῇ μάχῃ ἠρίστευσαν. ἀλλὰ Μουνδίλας μὲν τέτταρσι βαρβάροις καθ' ἕκαστον ἐς χεῖρας ἐλθὼν ἔκτεινέ τε ἅπαντας καὶ αὐτὸς ἐσώθη. Λογγῖνος δὲ τῆς τῶν πολεμίων τροπῆς αἰτιώτατος γεγονὼς αὐτοῦ ἔπεσε πολὺν αὐτοῦ πόθον τῶν Ῥωμαίων στρατοπέδῳ ἀπολιπών.

ια'. Οὐίτιγις μὲν οὖν τῷ καταλοίπῳ ἐπὶ Ῥαβέννης ἰὼν B τῶν χωρίων τὰ ὀχυρώματα πλήθει φρουρῶν ἐκρατύνατο, ἐν Κλουσίῳ μὲν τῇ Τούσκων πόλει χιλίους τε ἄνδρας καὶ ἄρχοντα Γιβίμερα ἀπολιπών, ἔν τε Οὐρβιβεντῷ τοσούτους, οἷς δὴ ἄρχοντα Ἀλβίλαν ἄνδρα Γότθον ἐπέστησε. καὶ Οὐλιγισαλον ἐν τῇ Τουδέρᾳ ξὺν τετρακοσίοις κατέλιπεν. ἐν δὲ δὴ Πικηνῶν τῇ χώρᾳ τετρακοσίους μὲν ἐς Πίτραν τὸ φρούριον εἶασεν, οἳ καὶ πρότερον ταύτῃ ᾤκηντο, ἐν Ἀὐξίμῳ δὲ, ἣ πασῶν μεγίστη τῶν ἐκείνῃ πόλεών ἐστι, Γότθους τε ἀριστίνδην συνειλεγμένους τετρακισχιλίους C

4. πρός τε L. Vulgo πρός γε. 9. τέτταρσι] τέτρασι L. 16. „Τούσκων] Ita legendum, non τούτων." Malt. τούτων HL. 19. Πικηνῶν Hm. Πικήνων P. πικηνῶν H. ibid. τῇ om. P, habent HL. 22. ἀριστίνδην L. ἀριστείνδην HP.

sibi ipsi importavere. Cum enim quisque pontem transgredi primus contenderet, iniquissimo disclusi spatio, acerbissimam capiebant calamitatem. Quippe ferro interibant, cum hostili, tum suo: e ponte hinc et inde multi prolabebantur in Tiberim, et cum armis hausti fluctibus extinguebantur. Ita amissis quamplurimis, caeteri se illis admiscuere, qui iam ante transierant. In hoc praelio Longinus Isaurus et Mundilas, Belisarii Protectores, rem praeclarissime gesserunt; ita tamen ut Mundilas interfectis singulari certamine Barbaris quatuor, sospes evaserit, Longinus vero, in cuius potissimum virtute causa fugae hostium constitit, ibi occubuerit, Romano exercitui magnum sui desiderium relinquens.

11. Vitigis cum exercitus reliquiis Ravennam petens, loca munitionibus valida firmavit praesidiis. Clusii, quae Tusciae urbs est, viros mille et Gibimerem Ducem reliquit: Urbe veteri totidem; quibus Albilan natione Gotthum praefecit: Tuderti Uligisalum cum cd.. In Piceno, stationarios cd. qui Petram castellum habebant, non amovit. Auximi, quae est omnium regionis illius urbium maxima, Gotthorum quatuor millia,

κατέλιπε καὶ ἄρχοντα ἐς ἄγαν δραστήριον Οὐίσανδον ὄνομα, ξύν τε Μόρρᾳ δισχιλίους ἐν Οὐρβίνῳ τῇ πόλει. ἔστι δὲ καὶ ἄλλα φρούρια δύο, Καισηνά τε καὶ Μοντεφέρετρον. ὧν δὴ ἑκατέρῳ φρουρὰν οὐχ ἧσσον ἢ κατὰ πεντακοσίους ἀνδρῶν κατεστήσατο. αὐτὸς δὲ τῷ ἄλλῳ στρατῷ εὐθὺ Ἀριμήνου ὡς πολιορκήσων ἐχώρει. ἐτύγχανε δὲ Βελισάριος, ἐπειδὴ τάχιστα Γότθοι τὴν πολιορκίαν διέλυσαν, Ἰλδίγερά τε καὶ Μαρτῖνον ξὺν ἱππεῦσι χιλίοις πέμψας, ἐφ' ᾧ δι' ἑτέρας ὁδοῦ θᾶσσον ἰόντες φθάσωσι τοὺς πολεμίους ἐς Ἀρίμηνον ἀφικόμενοι, καὶ σφίσιν ἐπέστελλεν Ἰωάννην μὲν καὶ τοὺς ξὺν αὐτῷ ἅπαντας ἐνθένδε ἐξαναστήσειν ὡς τάχιστα, πολλοὺς δὲ ἀντ' αὐτῶν ἱκανοὺς μάλιστα ἐς τῆς πόλεως τὴν φυλακὴν καταστήσασθαι, ἐκ φρουρίου ἀφελομένους, ὃ δὴ πρὸς κόλπῳ τῷ Ἰονίῳ ἐστὶν, Ἀγκὼν ὄνομα, δυοῖν ἡμέραιν ὁδὸν Ἀριμήνου διέχον. ἤδη γὰρ αὐτὸ οὐ πολλῷ πρότερον κατειλήφει, Κώνωνα ξύν τε Ἰσαύροις καὶ Θρᾳκῶν στρατεύματι οὐκ ὀλίγῳ πέμψας. ἤλπιζε γὰρ, ἢν πεζοί τε καὶ μόνοι ἀρχόντων οὐκ ἀξιολόγων σφίσι παρόντων Ἀρίμηνον ἔχωσιν, οὔποτε αὐτοῖς ἐς πολιορκίαν Γότθων τὴν δύναμιν καταστήσεσθαι, ἀλλ' ὑπεριδόντας ἐπὶ Ῥαβέννης αὐτίκα ἰέναι, ἤν τε Ἀρίμηνον πολιορκεῖν ἐθελήσωσι, τοῖς πεζοῖς τὰ ἐπιτήδεια ἐς πλείω τινὰ χρόνον ἀρκέσειν· καὶ ὡς ἱππεῖς δισχίλιοι ἔξωθεν ξὺν τῷ ἄλλῳ στρατῷ ἰόντες πολλά τε κακὰ, ὡς τὸ εἰκὸς, τοὺς πολεμίους ἐργάσονται καὶ ῥᾷον

1. Οὐίσανδον HL. Οὐίσανδρον P. 2. Μόρρᾳ] τῷ μορῷ HL. 3. Καισηνά τε καὶ Μοντεφέρετρον P cum Vat. καὶ σινά τε καὶ μόντης φερόντης HL. 7. Ἰλδίγερα] Ἰλδίγερ L. 22. ἐργάσονται] ἐργάζονται L.

gentis florem, locavit, ac Visandrum, strenuissimum Ducem: Urbini, duo millia cum Morra. Castella sunt praeterea duo, Caesena ac Monsferetrus. In utroque praesidiarios haud minus D. constituit, et cum caeteris copiis Ariminum recta contendit eo animo, ut circumsederet. At Belisarius, statim post solutam a Gotthis obsidionem, Ildigerem ac Martinum miserat cum equitibus mille; ut alia via, maioribus itineribus, hostium in urbem Ariminum adventum praecurrerent. Iisdem praeceperat, ut Ioannem eiusque turmas omnes inde amoverent quamprimum, et in illorum vicem complures urbi custodiendae idoneos substituerent, deductos e castello, cui nomen Anconae, ad sinum Ionium posito, dissitoque bidui ab Arimino. Id paulo iam ante ceperat, illuc misso, cum Isaurorum ac Thracum copiis non paucis, Conone. Sperabat autem fore ut, si pedites tantum et Duces haud magni nominis Ariminum tenerent, ad eius obsidionem nunquam descenderent superbae Gotthorum vires, sed urbe per contemptum praeterita, Ravennam pergere maturarent: sin Ariminum obsidere vellent, diutius annonam pedibus suppetituram videbat, ac bis mille equites foris cum reliquis copiis circumvolando, hostem procul du-

ἐς τῆς προσεδρείας αὐτοὺς τὴν διάλυσιν ξυνελάσουσι. τοιαύτῃ μὲν γνώμῃ Βελισάριος τοῖς ἀμφὶ Μαρτῖνόν τε καὶ Ἰλδίγερα ταῦτα ἐπήγγελλεν. οἱ δὲ διὰ Φλαμινίας ὁδοῦ πορευόμενοι λίαν τε τοὺς βαρβάρους προτερήσαντες ἦεσαν. ἅτε γὰρ ἐν πολλῷ ὁμίλῳ οἱ Γότθοι σχολαίτεροι ἐπορεύοντο, καὶ περιόδοις ἠναγκάζοντο μακραῖς τισι τῶν τε ἀναγκαίων τῇ ἀπορίᾳ καὶ τῶν ἐν Φλαμινίᾳ ὁδῷ ὀχυρωμάτων ἥκιστα ἐθέλοντες ἄγχιστά πη ἴέναι, ἐπεὶ αὐτῶν οἱ πολέμιοι, ὥσπερ μοι ἔμπροσθεν δεδήλωται, Ναρνίαν τε καὶ Σπολήτιον καὶ Περυσίαν εἶχον.

Ῥωμαίων δὲ τὸ στράτευμα, ἐπειδὴ τῇ Πέτρᾳ ἐνέτυχον, ὁδοῦ ποιούμενοι πάρεργον, ἀπεπειράσαντο τοῦ ταύτῃ φρουρίου. τοῦτο δὲ ὀχύρωμα οὐκ ἄνθρωποι ἐτεκτήναντο, ἀλλὰ τοῦ χωρίου ἡ φύσις ἐξεῦρεν· ὁδὸς γὰρ ἐς ἄγαν κρημνώδης. ταύτης δὲ τῆς ὁδοῦ ἐν δεξιᾷ μὲν ποταμός τις οὐδενὶ ἰσβατὸς ὀξύτητι τοῦ ῥοῦ κάτεισιν, ἐν ἀριστερᾷ δὲ οὐ πολλῷ ἄποθεν πέτρα ἀνέχει ἀπότομός τε καὶ ὕψους ἐς τόσον διήκουσα, ὥστε τοῖς κάτω οὖσι φαινόμενοι ἄνθρωποι, οἳ ἐν τῇ ἄκρᾳ, ἂν οὕτω τύχοι, ἑστήκασιν, ὄρνισι τοῖς σμικροτάτοις τοῦ μεγέθους πέρι εἰκάζονται. προϊόντι δὲ διέξοδος οὐδεμία τὸ παλαιὸν ἦν. λήγουσα γὰρ ἡ πέτρα ἐς αὐτόν που μάλιστα τοῦ ποταμοῦ τὸν ῥοῦν διήκει, διάβασιν τοῖς ταύτῃ οὖσιν οὐδεμίαν παρεχομένη. διώρυχα τοίνυν ἐνταῦθα οἱ πάλαι ἄνθρωποι ἐργασάμενοι, πυλίδα τῷ χωρίῳ ταύτῃ πεποιηνται. φράξαντες δὲ καὶ τῆς ἑτέρας εἰσόδου τὸ πλεῖστον, πλήν γε

3. ἐπήγγελλεν] Vulgo ἐπήγγελεν. *ibid.* Φλαμινίας] φλαμηνίας HL hic et infra. 9. Σπολήτιον] σπολίτιον HL. *ibid.* Περυσίαν] περισίαν HL. 15. ἄποθεν] ἄπωθεν L corr. 23. τῆς ἑτέρας] τῆς om. L.

bio multis affecturos incommodis, et ad solvendam obsidionem facilius compulsurus. Hac mente Belisarius Ildigeri et Martino ea, quae dixi, mandata dederat. Illi via properabant Flaminia, longo Barbaros intervallo praegressi. Quippe Gotthos suus ipsorum ingens numerus tardabat, et longius circumire cogebat cum cibariorum penuria, tum consilium refugiendi munita loca viae Flaminiae, cum Narniam, Spoletium ac Perusiam, de quibus actum supra, in potestate hostium esse scirent.

Romanae vero copiae castellum Petrae, cum in illud incidissent, tentarunt obiter. Est haec munitio non hominum opus, sed naturae. Etenim via admodum praeceps, a dextra alluitur fluvio ita rapido, ut eum nemo transire queat; a laeva vicinam habent rupem, praeruptam editamque adeo, ut si qui forte in vertice steterint, iis, qui ab imo suspiciunt, non excedere videantur minutissimarum avium magnitudinem. Progredienti nullus olim patebat transitus, quoniam extrema rupes ad ipsum pertingebat fluminis alveum, eo deductis impervia. Quare veteres, ea ibi perfossa, exiguam portam moliti sunt. Tum ab ipsis obstructa parte

δὴ ὅσον πυλίδα κἀνταῦθα λελεῖφθαι, φρούριόν τε αὐτοφυὲς ἀπειργάσαντο καὶ πέτραν αὐτὸ λόγῳ τῷ εἰκότι ἐκάλεσαν. οἱ οὖν ἀμφὶ Μαρτῖνόν τε καὶ Ἴλδίγερα πρῶτα μὲν ἐς τῶν πυλίδων τὴν
D ἑτέραν μαχόμενοί τε καὶ πολλὰ βάλλοντες οὐδὲν ἤνυτον, καίπερ ἥκιστα σφᾶς ἀμυνομένων τῶν ταύτῃ βαρβάρων, ἔπειτα δὲ διὰ τοῦ κρημνώδους κατόπισθεν τὴν ἄνοδον βιασάμενοι κατὰ κορυφὴν λίθοις ἔβαλλον ἐνθένδε τοὺς Γότθους. οἱ δὲ εἰς τὰς οἰκίας δρόμῳ τε καὶ θορύβῳ πολλῷ εἰσελθόντες ἡσύχαζον. καὶ τότε Ῥωμαῖοι, ἐπεὶ τῶν πολεμίων οὐδενὸς ἐπιτυγχάνειν οἷοί τε ἦσαν ταῖς τῶν λίθων βολαῖς, ἐπενόουν τάδε. τμήματα μεγάλα ἐκ τοῦ σκοπέλου ποιούμενοι πολλοί θ' ἅμα ὠθοῦντες αὐτὰ ἐπὶ τὰς οἰκίας σταθμώμενοι ἐρρίπτουν. τὰ δὲ ὅπη ἂν τῆς οἰκοδομίας καὶ κατὰ βραχὺ προσπίπτοντα ψαύοι, κατέσειέ τε ἱκανῶς ἅπαντα καὶ τοὺς βαρβάρους ἐς μέγα τι δέος καθίστη. διὸ δὴ χεῖ-
P 414 ράς τε οἱ Γότθοι τοῖς ἔτι ἀμφὶ τὴν πυλίδα οὖσιν ὤρεγον καὶ ξὺν τῷ φρουρίῳ σφᾶς αὐτοὺς ὁμολογίᾳ παρέδοσαν, ἐφ' ᾧ κακῶν ἀπαθεῖς μείνωσι, βασιλέως τε δοῦλοι καὶ Βελισαρίου κατήκοοι ὄντες. καὶ αὐτῶν Ἴλδίγερ τε καὶ Μαρτῖνος τοὺς μὲν πλείστους ἀναστήσαντες ἐπὶ τῇ ἴσῃ καὶ ὁμοίᾳ ξὺν αὐτοῖς ἦγον, ὀλίγους δέ τινας ξὺν τοῖς παισί τε καὶ γυναιξὶν αὐτοῦ εἴασαν. ἐλίποντο δὲ τινα καὶ Ῥωμαίων φρουράν. ἐνθένδε τε ἐς Ἀγκῶνα ἐλθόντες καὶ πολλοὺς ἀπαγαγόμενοι τῶν ἐκεῖ πεζῶν ἐς Ἀρίμηνον τριταῖοι ἀφίκοντο, τήν τε Βελισαρίου γνώμην ἀπήγγελλον. Ἰωάννης δὲ οὔτε

23. ἀπήγγελλον] ἀπήγγελον L.

maxima alterius aditus, ac parva solum porta relicta, castellum nativum extitit: quod convenienti vocabulo Petram appellavere. Primum igitur Martinus et Ildiger portam alteram oppugnantes, telorum crebritate nihil profecerunt; quamvis qui illic erant Barbari non resisterent. Deinde per praeceps rupis tergum enisi, cum a culmine lapidibus peterent Gothos, hi cursu trepido ingressi tecta, nihil movebant. Tunc Romanis, neminem iactu lapidum contingi posse videntibus, in mentem venit, immania rupis fragmenta multarum impulsu manuum in subiectas aedes contorta devolvere. Illa, quamcunque aedificii partem tantillum ferirent, omnia gravi motu, Barbaros metu concutiebant. Quocirca Gotthi illis, qui adhuc ad portam stabant, tendentes manus, deditionem fecerunt, et cum castello se permiserunt, accepta incolumitatis fide, modo servirent Imperatori, et Belisario obtemperarent. Plerosque Ildiger ac Martinus secum abduxerunt, illos eodem, quo suos, numero ac loco habentes: paucos cum liberis et uxoribus, Romanoque praesidio reliquere. Inde Anconam progressi, parte magna peditum, qui ibi erant, assumpta, die tertio Ariminum perveniunt ac Belisarii mentem explicant. At sequi ipsos no-

λίαν ἐχώρησαν, ἐνταῦθα ἱδρύσαντο. ἀλλ' ἐπεὶ τῷ λιμῷ ἐπιέζοντο, ἅτε ἐν χωρίῳ ἐρήμῳ ἐνθένδε οὐ πολλῷ ὕστερον ἐξαναστάντες, ἄγχιστά που τῆς Γηπαίδων χώρας ἀφίκοντο. καὶ αὐτοὺς Γήπαιδες τὰ μὲν πρῶτα ἱκέτας γενομένους ἐνοικίζεσθαί τε καὶ προσοίκους σφίσι ξυνεχώρουν εἶναι. ἔπειτα δὲ ἤρξαντο ἐξ αἰτίας οὐδεμιᾶς ἀνόσια ἐς αὐτοὺς ἔργα ἐνδεικνυσθαι. γυναῖκάς τε γὰρ ἐβιάζοντο καὶ βοῦς τε καὶ ἄλλα χρήματα ἥρπαζον, καὶ ἀδικίας οὐδ' ὁτιοῦν ὑπελείποντο, καὶ τελευτῶντες ἀδίκων χειρῶν ἐς αὐτοὺς ἦρχον. ἅπερ Ἐρουλοι φέρειν τὸ λοιπὸν οὐχ οἷοί τε ὄντες Ἴστρον τε ποταμὸν διαβαίνουσι καὶ τοῖς ἐκείνῃ Ῥωμαίοις προσοικεῖν ἔγνωσαν, Ἀναστασίου τὴν αὐτοκράτορα ἀρχὴν ἔχοντος. ὅσπερ αὐτοὺς πολλῇ φιλοφροσύνῃ δεξάμενος ἱδρύεσθαι αὐτοῦ εἴασε, χρόνῳ δὲ οὐ πολλῷ ὕστερον προσκεκρούκασιν αὐτῷ οἱ βάρβαροι οὗτοι, ἀνόσια ἔργα ἐργασάμενοι τοὺς ταύτῃ Ῥωμαίους. διὸ δὴ στράτευμα ἐπ' αὐτοὺς ἔπεμψε. νικήσαντες δὲ τῇ μάχῃ Ῥωμαῖοι πλείστους μὲν ἔκτειναν, ἐν ἐξουσίᾳ δὲ πολλῇ ξύμπαντας διαφθεῖραι γεγόνασιν. ἀλλ' εἰς ἱκετείαν τῶν στρατηγῶν οἱ κατάλοιποι αὐτῶν γεγονότες ἐδέοντο διασώσασθαί τε αὐτοὺς καὶ ξυμμάχους τε καὶ βασιλέως ὑπηρέτας τὸ λοιπὸν ἔχειν. ταῦτά τε μαθόντα τὸν Ἀναστάσιον ἥρεσκε, καὶ ἀπ' αὐτοῦ λειφθῆναι μέν τισιν Ἐρούλων ξυνέβη, οὐ μέντοι οὔτε ξύμμαχοι Ῥωμαίοις γεγένηνται οὔτε τι εἰργάσαντο ἐς αὐτοὺς ἀγαθόν.

12. ἱδρύεσθαι] ἱδρύσθαι HmPm. ἵδρυσθαι L. 14. τοὺς — Ῥωμαίους] τοῖς — ῥωμαίοις L a pr. m. 21. οὔτε — οὔτε] Vulgo οὐδὲ — οὐδέ.

constitere. Sed cum inculta solitudo esset, paulo post exacti illinc stimulis famis, ad Gepaedum fines accedunt. Ac primum quidem Gepaedes illis supplicibus permiserunt, ut cum vicini sui essent, tum inquilini. Postea vero ab re vexare ipsos importunissime coeperunt. Nam et feminis vim afferebant et boves facultatesque caeteras praedabantur; nec sibi quidquam reliqui ad iniquitatem faciebant, eo demum provecti, ut immerentibus bellum intulerint. Impatientia abrepti Eruli Istrum amnem traiiciunt, et Romanorum, in illis partibus degentium, vicinitatem ambiant, Anastasio Imperatore. A quo benignissime accepti, ipsius permissu ibi sedes fixerunt. Aliquanto post, offensus idem sceleribus, quae in Romanos accolas Barbari illi perpetrabant, adversus eos exercitum misit. Acie victores Romani partem maximam interfecerunt, potueruntque ad internecionem cedere: verum qui supererant, supplices fuere Ducibus, ut sibi in posterum vivere liceret in Romanorum societate, et fidam navare operam Imperatori. Haec sibi renuntiata probante Anastasio, data salus est Erulorum reliquiis. Nec tamen socii Romanorum fuere, neque ipsos ulle officio remunerarunt.

χθεὶς ἐπενόει τάδε. τοὺς μὲν ἄλλους ἐν τοῖς φυλακτηρίοις ἀπολιπὼν, αὐτὸς δὲ ξὺν τοῖς Ἰσαύροις δικέλλας τε καὶ ἄλλ' ἄττα
P 415 τοιαῦτα ὄργανα φέρουσιν, ἀωρὶ τῶν νυκτῶν, οὐδενὶ τῶν πάντων προειρημένον, ἔξω τοῦ περιβόλου γενόμενος ἐκέλευε σιωπῇ τὴν τάφρον ὀρύσσειν. οἱ δὲ κατὰ ταῦτα ἐποίουν. καὶ τὸν χοῦν, ὅνπερ ἐνθάδε ἀνηροῦντο, ἐπὶ θάτερα τῆς τάφρου ἐς τὰ πρὸς τῷ τείχει ἐς ἀεὶ ἐτίθεσαν, ὃς δὴ αὐτοῖς ἐνταῦθα ἀντὶ τοίχου ἐγένετο. λαθόντες δὲ ἐπὶ πλεῖστον τοὺς πολεμίους καθεύδοντας βαθείάν τε καὶ εὖρους ἱκανῶς ἔχουσαν τάφρον δι' ὀλίγου πεποιηνται, οὗ δὴ μάλιστα ἐπιμαχώτατός τε ὁ περίβολος ἦν καὶ προσ-
βάλλειν ξὺν τῇ μηχανῇ οἱ βάρβαροι ἔμελλον. οἱ δὲ πολέμιοι
B πόρρω πη τῶν νυκτῶν αἰσθόμενοι τοῦ ποιουμένου ἐπὶ τοὺς ὀρύσσοντας ἐβοήθουν δρόμῳ, καὶ Ἰωάννης ξὺν τοῖς Ἰσαύροις, ἐπεὶ οἱ τὰ ἀμφὶ τῇ τάφρῳ ὡς ἄριστα εἶχεν, ἐντὸς τοῦ περιβόλου ἐγένετο. Οὐίτιγις δὲ ἅμα ἡμέρᾳ τά τε πεπραγμένα κατανοήσας καὶ ὑπεραλγήσας τοῖς ξυμπεσοῦσι διεχρήσατο μὲν τῶν φυλάκων τινὰς, οὐδὲν δὲ ἧσσον ἐπάγειν τὴν μηχανὴν ἐν σπουδῇ ἔχων ἐκέλευε φακέλων πλῆθος τοὺς Γότθους ἐν τῇ τάφρῳ κατὰ τάχος ῥιπτεῖν, οὕτω τε τὸν πύργον ἐνταῦθα ἐφέλκοντας ἄγειν. καὶ οἱ
μὲν ταῦτα, ἥπερ Οὐίτιγις ἐπέστελλεν, ἔπρασσον προθυμίᾳ τῇ
C πάσῃ, καίπερ τῶν ἐναντίων καρτερώτατα ἐκ τοῦ τείχους ἀμυνομένων. οἱ δὲ φάκελοι, ἐμπεσόντος σφίσι τοῦ πύργου, βαρυνόμενοι, ὡς τὸ εἰκὸς, ὑπεχώρουν κάτω. διὸ δὴ οἱ βάρβαροι πρόσω ἰέναι ξὺν τῇ μηχανῇ οὐδαμῇ εἶχον, ἐπεὶ ἅπαντες σφίσε

20. ἐπέστελλεν L corr. ἔστελλεν P.

Caeteris munimenta tenere iussis, ipse cum Isauris, ligones aliaque eiusmodi instrumenta ferentibus, consilii nemine conscio, nocte intempesta urbe egressus, imperat ut fossam deprimant sine strepitu. Parent illi, et quidem ita, ut quidquid terrae egeritur, ad fossae latus muro proximum aggerant: id vero parietis vicem habuit. Dum hostem bene latent sopore pressum, fossam iustae altitudinis ac latitudinis brevi tempore faciunt, maxime ubi murus expugnari facillime poterat, et Barbari cum machina impressionem daturi erant. Provecta longius nocte, hostes, re cognita, in fossores cepere impetum: Ioannes cum Isauris in urbem se recepit, cum fossae optime providisset. Ubi illuxit, considerans acta Vitigis, atque hinc dolore incensus, quosdam e custodibus morte affecit, neque ab admovenda machina remittens animum, edixit Gotthis, ut sine mora quamplurimis in fossam iactis lignorum fascibus, turrim illac trahendo agerent. Haec illi, uti Vitigis iubebat, omni exequuntur studio, quamvis hostibus e muro validissime repugnantibus. At fascium strues, turris incumbentis pondere degravata, ut fieri necesse erat, subsedit. Tum Barbari acclivitate, quae multum creverat, ubi terram, ut dictum

ἐξειργασμένου μετέμελεν ἤδη. ἔφασκον γὰρ ἄναρχοί τε καὶ ἀστρατήγητοι βιοτεύειν οὐχ οἷοί τε εἶναι· πολλὰ γοῦν σφίσι βουλευσαμένοις ἄμεινον τῷ παντὶ ἔδοξεν εἶναι τῶν τινα γένους τοῦ βασιλείου μεταπέμψασθαι ἐκ Θούλης τῆς νήσου. ὅ τι δὲ τοῦτ' C
ἔστιν αὐτίκα δηλώσω.

ιε'. Ἥνίκα Ἔρουλοι Λαγγοβαρδῶν ἡσσηθέντες τῇ μάχῃ D
ἐξ ἠθῶν τῶν πατρίων ἔστησαν, οἱ μὲν αὐτῶν, ὥσπερ μοι ἔμπροσθεν δεδιήγηται, ᾠκήσαντο ἐς τὰ ἐν Ἰλλυριοῖς χωρία, οἱ δὲ δὴ ἄλλοι Ἴστρον ποταμὸν διαβαίνειν οὐδαμῇ ἔγνωσαν, ἀλλ' ἐς
αὐτάς που τὰς ἐσχατιὰς τῆς οἰκουμένης ἱδρύσαντο· οὕτω γοῦν πολλῶν ἐκ τοῦ βασιλείου αἵματος ἡγουμένων σφίσιν ἥμειψαν μὲν τὰ Σκλαβηνῶν ἔθνη ἐφεξῆς ἅπαντα, ἔρημον δὲ χώραν διαβάντες ἐνθένδε πολλὴν ἐς τοὺς Οὐάρνους καλουμένους ἐχώρησαν. μεθ' οὓς δὴ καὶ Δανῶν τὰ ἔθνη παρέδραμον οὐ βιαζομένων σφᾶς τῶν
τῇδε βαρβάρων. ἐνθένδε τε ἐς ὠκεανὸν ἀφικόμενοι ἐναυτίλλοντο, Θούλῃ τε προσχόντες τῇ νήσῳ αὐτοῦ ἔμειναν. ἔστι δὲ ἡ Θούλη μεγίστη ἐς ἄγαν. Βρεττανίας γὰρ αὐτὴν πλέον ἢ δεκαπλασίαν ξυμβαίνει εἶναι. κεῖται δὲ αὐτῆς πολλῷ ἄποθεν πρὸς H 233
βορρᾶν ἄνεμον. ἐν ταύτῃ τῇ νήσῳ γῇ μὲν ἔρημος ἐκ τοῦ ἐπὶ P 423
πλεῖστον τυγχάνει οὖσα, ἐν χώρᾳ δὲ τῇ οἰκουμένῃ τριακαίδεκα ἔθνη πολυανθρωπότατα ἵδρυται· βασιλεῖς τέ εἰσι κατὰ ἔθνος ἕκαστον. ἐνταῦθα γίνεται ἀνὰ πᾶν ἔτος θαυμάσιον. ὁ γὰρ ἥλιος ἀμφὶ θερινὰς μὲν τροπὰς μάλιστα ἐς ἡμέρας τεσσαράκοντα οὐ- V 81

10. ἱδρύσαντο] ἱδρύσασθαι HL. 14. Δανῶν] Δακῶν Pers.
20. τριακαίδεκα] τρία καὶ δέκα P.

poenitentia negantium posse fieri, ut sine Rege ac Duce viverent. Re saepius in medium vocata, placuit omnibus sententia, quae potior visa est, aliquem, genere natum regio, accersendum esse ex insula Thule: quod quid rei sit, statim edam.

15. Cum Eruli, acie victi a Langobardis, migrassent e patria; pars, uti supra narravi, in Illyrico consederunt: caeteri Istrum fluvium soluerunt traiicere; sed in extremis Orbis partibus fixere sedes. Hos ducentibus multis, qui regio sanguine creti erant, cuncti Sclavenorum populi per fines suos transmisere. Inde vastam solitudinem permensi, ad Varnos veniunt: postea transcurrunt Danos; nusquam in ipsos vim suspicientibus illis Barbaris. Exin ad Oceanum progressi, navigant; in Thulen insulam appellunt, ibique manent. Est autem Thule amplissima: quippe Britannia maior decuplo; a qua plurimum distat, ad Aquilonem sita. Vacat pars huius insulae maxima: quae vero colitur, gentes habet XIII. multitudine abundantes, sub totidem Regibus. Quotannis res hic mira contingit. Sol enim circa solstitium aestivum per dies XL. non occidit: sed toto illo tempore supra terram conspicitur. Rursus post men-

κῶεν. οἷς δὲ τὸ φιλόψυχον ἐμπέφυκε μᾶλλον, τούτοις δὲ τὸ εὐτόλμοις μάλιστα εἶναι ξυνοίσει, ἐπεὶ ἅπαντες ἐκ τοῦ ἐπὶ πλεῖστον, οἷς τὰ πράγματα ἐπὶ ξυροῦ ἀκμῆς, ὥσπερ ἡμῖν τανῦν, ἵστανται, μόνῳ ἂν τῷ τῶν κινδύνων ὑπερφρονεῖν διασώζοιντο." τοσαῦτα μὲν Ἰωάννης εἰπὼν ἐξῆγεν ἐπὶ τοὺς πολεμίους τὸ στράτευμα, ὀλίγους τινὰς ἐς τὰς ἐπάλξεις ἀπολιπών. ἀνδρείως δὲ αὐτοὺς ὑφισταμένων τῶν πολεμίων γέγονε καρτερὰ ἐς ἄγαν ἡ μάχη.
H 229 καὶ τὸν μὲν πύργον μόλις τε καὶ ὀψὲ τῆς ἡμέρας ἐς τὸ σφέτερον οἱ βάρβαροι στρατόπεδον ἐνεγκεῖν ἴσχυσαν. τοσούτους μέντοι τὸ πλῆθος ἀπέβαλλον τῶν ἐν σφίσι μαχίμων, ὥστε οὐκέτι τειχομα-
B χεῖν τὸ λοιπὸν ἔγνωσαν, ἀλλ' ἀπογνόντες ἡσυχῇ ἔμενον, λιμῷ πιεζομένους προσχωρήσειν αὐτοῖς τοὺς πολεμίους καραδοκοῦντες. λίαν γὰρ αὐτοὺς ἅπαντα ἤδη τὰ ἐπιτήδεια ἐπελελοίπει, ἐπεὶ οὐχ εὗρον ὅθεν αὐτὰ διαρκῶς ἐσκομίσονται.

Ταῦτα μὲν οὖν ἐγένετο τῇδε. Βελισάριος δὲ τοῖς ἐκ Με- 1
διολάνου ἥκουσι χιλίους ἔπεμψεν Ἰσαύρους τε καὶ Θρᾷκας. ἡγεῖτο δὲ τῶν Ἰσαύρων Ἔννης, τῶν δὲ Θρακῶν Παῦλος, Μουνδίλας τε ἅπασιν ἐφειστήκει, καὶ αὐτὸς ἦρχεν ὀλίγους τινὰς τῶν Βελισαρίου ὑπασπιστῶν ἔχων. ξυνῆν δὲ αὐτοῖς καὶ Φιδέλιος, ὃς ἐγεγόνει τῆς αὐλῆς ἔπαρχος. ἐκ Μεδιολάνου γὰρ ὁρμώμενος 2
C ἐπιτηδείως τούτῳ ἔδοξε τῷ στρατῷ ἕπεσθαι, ἅτε δύναμίν τινα ἐν Λιγούροις ἔχων. πλεύσαντες οὖν ἐκ τοῦ Ῥωμαίων λιμένος

1. δὲ] δὴ Pm. 14. ἐσκομίσονται] ἐσκομίσωνται L corr. 15. Μεδιολάνου] μεδιολάνων L. 21. ἐπιτηδείως] ἐπιτήδειος HL.

bus vero vitae amor altius insidet, his certe generositas maxime proderit. Quorum enim res, ut nostrae modo, in summo periculo, et, quemadmodum dici solet, in acie novaculae sitae sunt, illis plerumque una salus discrimina animose contemnere. Haec locutus Ioannes, in hostes educit copias, paucis ad murorum pinnas relictis. Pugnatur acerrime, eorum impetum viriliter sustinentibus Barbaris: qui vix tandem vesperi in sua castra turrim revexerunt, egregiis pugnatoribus tot amissis, ut moenia nunquam amplius oppugnare decreverint, at sese continuerint metu, cum avida coniuncto spe, fore ut hostem fames ad deditionem compelleret, iam summa laborantem commeatus inopia, propterea quod reperiri non potuisset unde quantum satis esset inveheretur.

Eo loci res ibi erant: dum Belisarius viros mille, partim Isauros, partim Thraces, cum Legatis, qui Mediolano venerant, mittit. Isaurorum dux erat Ennes, Thracum Paulus: imperabat omnibus Mundilas, secum paucos Belisarii Scutarios ducens. Adiunxerat se illis Fidelius, Praefectus praetorio. Cum enim esset Mediolano oriundus, et apud Ligures auctoritate valeret, huic exercitui comes idoneus videbatur. Ex portu

Γενούᾳ προσέσχον, ἥ Τουσκίας μέν ἐστιν ἐσχάτη, παράπλου δὲ καλῶς Γάλλων τε καὶ Ἱσπανῶν κεῖται. ἔνθα δὴ τάς τε ναῦς ἀπολιπόντες καὶ ὁδῷ πορευόμενοι πρόσω ἐχώρουν, τοὺς λέμβους τῶν νηῶν ἐν ταῖς ἁμάξαις ἐνθέμενοι, ὅπως ἂν Πάδον τὸν ποταμὸν διαβαίνουσι μηδὲν σφίσιν ἐμπόδιον εἴη. οὕτω γοῦν τοῦ ποταμοῦ τὴν διάβασιν ἐποιήσαντο. ἐπεὶ δὲ τὸν Πάδον διαβάντες ἐς Τικηνὸν πόλιν ἀφίκοντο, οἱ Γότθοι αὐτοῖς ἁπαντήσαντες ἐς χεῖρας ἦλθον. ἦσαν δὲ πολλοί τε καὶ ἄριστοι, ἐπεὶ τῶν χρημάτων τὰ τιμιώτατα βάρβαροι ἅπαντες, οἳ ταύτῃ ᾤκηντο, ἐν D *Τικηνῷ καταθέμενοι, ἅτε ἐν χωρίῳ ὀχύρωμα ἰσχυρὸν ἔχοντι, φρουρὰν ἐνταῦθα λόγου ἀξίαν ἐλίποντο. μάχης οὖν καρτερᾶς γενομένης ἐνίκων Ῥωμαῖοι, καὶ τοὺς ἐναντίους τρεψάμενοι διέφθειράν τε συχνοὺς καὶ τὴν πόλιν ἐν τῇ διώξει ἐλεῖν παρ' ὀλίγον ἦλθον. μόλις γὰρ ἐπιθεῖναι τὰς πύλας οἱ βάρβαροι ἴσχυσαν, ἐγκειμένων σφίσι τῶν πολεμίων. Ῥωμαίων δὲ ὀπίσω ἀπελαυνόντων Φιδέλιος εὐξόμενος ἔς τινα τῶν ἐκείνῃ νεῶν ὕστατος ἔμεινε. τύχῃ δέ τινι ὀκλάσαντός οἱ τοῦ ἵππου ἔπεσε. καὶ αὐτὸν κατιδόντες οἱ Γότθοι, ἐπεὶ τοῦ περιβόλου ἄγχιστα ἐπεπτώκει, ἐπεξ-* P 417 *ελθόντες ἔκτεινάν τε καὶ ἔλαθόν γε τοὺς πολεμίους. οὗ δὴ ὕστερον Μουνδίλας τε καὶ Ῥωμαῖοι αἰσθόμενοι ἠσχάλλον. ἔνθεν τε*

1. *Γενούᾳ* P cum Vat. *Ιαννούᾳ* HL. *ibid. παράπλου* P cum Vat. *περί που* HL. 2. *καλῶς* Maltretus. *καλῶν* Vat. *τὰς ἀρχὰς τῆς* HL. 4. *Πάδον*] *πάνδον* HL: illud Hm. 7. „ *Τικηνὸν*] Ita legit vetus interpres, ita Leonardus Aretinus excepit.“ Malt. *πικηνῶν* HL. Et simliter infra quoque. 11. *ἐλίποντο*] Vulgo *ἐλείποντο*. 15. *ἀπελαυνόντων*] *ἀπηλαυνόντων* L. 16. *νεῶν* P. *νεῶν* HL. *ναῶν* Reg.

Romano profecti navibus, Genuam appulerunt; quae urbs, extrema Tusciae, in Galliam atque Hispaniam navigantibus situ favet peropportuno. Relictis ibi navibus, terra viam procedunt, cum earum lembis in plaustra impositis, ne quid traiectum Padi amnis moretur; atque in flumen transmittunt. Pado transito, ad urbem Ticinum progressis, facti obviam Gotthi certamen inferunt, et numero pollentes et animis. Cum enim Barbari omnes, quicunque regionem illam colebant, opes pretiosissimas Ticini deposuissent, quod locus esset munitissimus, praesidium ibi firmum reliquerant. Commissa acri pugna, superiores Romani dantem terga hostem magna clade afficiunt, atque urbem tantum non capiunt, instando Barbaris: qui sane ab hoste pressi vix portas claudendi spatium habuerunt. Romanis retro commeantibus, illic Fidelius quodam in templo precandi causa postremus substitit. Eum deinde equus excussit, duplicato forte poplite succidens. Quo viso Gotthi, quoniam proxime muros prolapsus fuerat, egressi, ipsum interfecerunt, Romanis minime advertentibus. Casum hunc postea cognitum Mundilas et Romani graviter

ἐς Μεδιόλανον πόλιν ἀφίκοντο καὶ αὐτὴν ἀμαχητὶ ξὺν Λιγουρίᾳ τῇ ἄλλῃ ἔσχον. ἅπερ ἐπειδὴ Οὐίτιγις ἔμαθε, στράτευμά τε πολὺ κατὰ τάχος καὶ Οὐραΐαν ἄρχοντα, τὸν αὐτοῦ ἀδελφιδοῦν, ἔπεμψε. καὶ Θευδίβερτος δέ οἱ, ὁ Φράγγων ἀρχηγός, ἄνδρας μυρίους δεηθέντι ἐς ξυμμαχίαν ἀπέστειλεν, οὐ Φράγγων αὐτῶν, ἀλλὰ Βουργουνζιώνων, τοῦ μὴ δοκεῖν ἀδικεῖν τὰ βασιλέως πράγματα. οἱ γὰρ Βουργουνζίωνες ἑθελούσιοί τε καὶ αὐτονόμῳ γνώμῃ, οὐ Θευδιβέρτῳ κελεύοντι ἐπακούοντες δῆθεν τῷ λόγῳ ἐστέλλοντο. οἷς δὴ οἱ Γότθοι ἀναμιχθέντες ἔς τε Μεδιόλανον Ῥωμαίων ἥκιστα προσδεχομένων ἀφίκοντο καὶ ἐνστρατοπεδευσάμενοι ἐπολιόρκουν. ταύτῃ γοῦν οὐδέ τι ἐσκομίσασθαι τῶν ἐπιτηδείων Ῥωμαῖοι ἔσχον, ἀλλ' εὐθὺς ἤχθοντο τῶν ἀναγκαίων τῇ ἀπορίᾳ. οὐ μὴν οὐδὲ τοῦ περιβόλου τὴν φυλακὴν οἱ στρατιῶται εἶχον, ἐπεὶ ὁ Μουνδίλας πόλεις τε καταλαβὼν ἔτυχεν, ὅσαι Μεδιολάνου ἄγχιστα οὖσαι ὀχυρώματα εἶχον, Βέργομόν τε καὶ Κῶμον καὶ Νοβάριν καὶ ἄλλ' ἄττα πολίσματα, καὶ φρουρὰς πανταχόθι λόγου ἀξίας καταστησάμενος, αὐτὸς δὲ τριακοσίους μάλιστα ἔχων ἐν Μεδιολάνῳ ἔμεινε, καὶ ξὺν αὐτῷ Ἔννης τε καὶ Παῦλος. ὥστε ἀνάγκη οἱ τῆς πόλεως οἰκήτορες ἐκ περιτροπῆς ἀεὶ τὴν φυλακὴν εἶχον. τὰ μὲν οὖν ἐν Λιγούροις ἐφέρετο τῇδε καὶ ὁ χειμὼν ἔληγε, καὶ τρίτον ἔτος ἐτελεύτα τῷ πολέμῳ τῷδε, ὃν Προκόπιος ξυνέγραψε.

ιγ'. Βελισάριος δὲ ἀμφὶ θερινὰς τροπὰς ἐπί τε Οὐίτιγιν καὶ τὸ Γότθων στρατόπεδον ἦει, ὀλίγους μέν τινας φρουρᾶς ἕνε-

6. Βουργουνζιώνων] βουργουζιώνων L. 7. Βουργουνζίωνες] Vulgo Βουργουνζίονες. 15. Βέργομον Pm. Πέργαμον P.

ferentes, inde Mediolanum perveniunt, et citra paguam cum reliqua Liguria obtinent. De his certior factus Vitigis, magnum exercitum confestim mittit, Uraia duce, sororis suae filio. A Theodeberto Francorum Rege decem millia auxiliariorum impetraverat, Burgundionum utique non Francorum; ne videretur Augusti rebus iniuriam facere Theodebertus. Neque enim huius mandato, sed sponte et voluntate sua se profectos simulabant Burgundiones: quibuscum sociatis viribus Gotthi, praeter Romanorum opinionem, Mediolanum adveniunt, castrisque positis obsident. Itaque nullum nacti spatium Romani providendae annonae, statim eius penuria laborarunt. Nec muros miles custodiebat: quoniam Mundilas urbes Mediolano vicinas, quae operibus munitae erant, Bergomum, Comum, Novariam, et alia quaedam oppida occupaverat, ac firmis ubique constitutis praesidiis, ipse retentis ad summum trecentis Mediolani restiterat; et cum eo Ennes ac Paulus: ita ut civibus necesse esset assiduam per vices custodiam agitare. Hic erat rerum status in Liguria. Cum hieme annus exiit tertius belli huius, quod Procopius literis mandavit.

13. Circiter aestivum Solstitium Belisarius adversus Vitigim Gothorumque exercitum profectus est, omnes secum ducens, praeterquam

καὶ ἐν Ῥώμῃ ἀπολιπὼν, τοὺς δὲ ἄλλους ξὺν αὐτῷ ἅπαντας ἐπαγόμενος. πέμψας τέ τινας ἐς Τουδέραν τε καὶ Κλούσιον χαρακώματα ἐπήγγειλε ποιεῖσθαι, οἷς δὴ ἔψεσθαί τε ἔμελλε καὶ ξυμπολιορκήσειν τοὺς τῇδε βαρβάρους. οἱ δὲ, ἐπεὶ προσιόντα τὸν στρατὸν ἔμαθον, οὐχ ὑποστάντες τὸν κίνδυνον πρέσβεις τε παρὰ Βελισάριον ἔπεμψαν καὶ παραδώσειν ὁμολογίᾳ σφᾶς τε αὐτοὺς καὶ πόλιν ἑκατέραν ὑπέσχοντο, ἐφ' ᾧ κακῶν ἀπαθεῖς μείνωσι. παραγενομένῳ τέ οἱ ἐπιτελῆ τὴν ὑπόσχεσιν ἐποιήσαντο. ὁ δὲ Γότθους μὲν ἅπαντας ἐνθένδε ἀναστήσας ἐπὶ Σικελίας τε καὶ Νεαπόλεως ἔπεμψεν, ἐν δὲ Κλουσίῳ καὶ Τουδέρᾳ φρουρὰν καταστησάμενος πρόσω ἦγε τὸ στράτευμα. ἐν τούτῳ δὲ Οὐϊτιγις στρατιὰν ἄλλην καὶ ἄρχοντα Οὐάκιμον ἐς Ἄξιμον πέμψας τοῖς ἐκείνῃ Γότθοις ἐκέλευεν ἀναμίγνυσθαι, καὶ ξὺν αὐτοῖς ἐπὶ τοὺς ἐν Ἀγκῶνι πολεμίους ἰόντας ἀποπειράσασθαι τοῦ ταύτῃ φρουρίου. ὁ δὲ Ἀγκὼν οὗτος πέτρα τίς ἐστιν ἐγγώνιος, ἀφ' οὗ καὶ τὴν προσηγορίαν εἴληφε ταύτην· ἀγκῶνι γὰρ ἐπὶ πλεῖστον ἐμφερής ἐστιν. ἀπέχει δὲ σταδίους ὀγδοήκοντα πόλεως μάλιστα Ἀξίμου, ἧς δή ἐστιν ἐπίνειον. καὶ τὸ μὲν τοῦ φρουρίου ὀχύρωμα ἐπὶ Πέτρας τῆς ἐγγωνίου ἐν ἀσφαλεῖ κεῖται, τὰ δὲ ἐκτὸς ἅπαντα οἰκοδομήματα, καίπερ ὄντα πολλὰ, ἐκ παλαιοῦ ἀτείχιστα ἦν. Κώνων δὲ, ὃς τῇ τοῦ χωρίου φυλακῇ ἐφειστήκει, ἐπειδὴ τάχιστα τοὺς ἀμφὶ τὸν Οὐάκιμον ἤκουσεν ἐπιέναι τε καὶ ἤδη που οὐκ ἄποθεν εἶναι, ἐπίδειξιν πεποιῆται ἀλογίστου γνώμης. περὶ φαῦ-

H 230
P 418
B

2. Τουδέραν] γουδέραν HL.

paucos, quibus Romae custodiam credidit. Missis Tudertum et Clusium cohortibus aliquot, quas secuturus, et una Barbaros illic positos obsessura erat, iniunxit ut castra facerent. At illi, exercitus accessu cognito, ante tubam atque certamen caduceatores destinarunt ad Belisarium, receperuntque, modo vitae caveretur, se urbem utramque secum dedituros. Simul affuit, effecerunt promissum. Tum ipse Gotthos inde omnes in Siciliam ac Neapolim migrare iussit, et Clusii Tudertique locato praesidio, porro copias duxit. Interea Vitigis alteri misso Auximum exercitui, duce Vacimo, imperavit, ut Gotthis, qui ibi essent, adiungerent sese, et cum iis adversus hostes, qui Anconam habebant, profecti, eius loci castellum adorirentur. Est autem Ancona haec angulata rupes, et inflexo cubito quam simillima: unde nomen accepit. Stadiis summum LXXX. distat ab urbe Auximo, cuius navale est. Ac munimentum quidem castelli, in saxo stans, firmitatem habet ac tutum est: circumiecta vero foris aedificia, quamvis plurima sint, iam inde olim caruerunt murorum septo. Cum primum venire Vacimum, nec iam procul abesse audiit praesidii Praefectus Conon, magnum inconsiderantiae specimen dedit. Parum enim

λον γὰρ ἡγησάμενος τό τε φρούριον καὶ τοὺς τοῦ φρουρίου οἰκήτορας ξὺν τοῖς στρατιώταις κακῶν ἀπαθεῖς διασώσασθαι, τὸ μὲν ὀχύρωμα εἴασε παντάπασι στρατιωτῶν ἔρημον, ἅπαντας δὲ ἀπαγαγὼν ὅσον ἀπὸ σταδίων πέντε ἐς παράταξιν διεκόσμησεν, οὐ βαθεῖάν τινα τὴν φάλαγγα ποιησάμενος, ἀλλ' ὥστε τὴν ὑπώρειαν ὅλην ὥσπερ ἐς κυνηγέσιον περιβαλέσθαι. οἵπερ ἐπειδὴ τοὺς C πολεμίους πλήθει πολλῷ ὑπεραίροντας εἶδον, στρέψαντες τὰ νῶτα ἐπὶ τὸ φρούριον εὐθὺς ἔφυγον. ἐπιδιώξαντες δὲ οἱ βάρβαροι πλείστους μὲν αὐτῶν, ὅσοι οὐκ ἔφθασαν ἐντὸς τοῦ περιβόλου γενέσθαι, αὐτοῦ ἔκτειναν, κλίμακας δὲ τῷ τείχει ἐρείσαντες, τῆς ἀνόδου ἀπεπειράσαντο. τινὲς δὲ τὰς ἐκτὸς τοῦ φρουρίου οἰκίας ἔκαιον. Ῥωμαῖοι δὲ, οἳ καὶ πρότερον τὸ φρούριον ᾤκουν, τοῖς παροῦσιν ἐκπεπληγμένοι, προανακλίναντες τὴν πυλίδα, κόσμῳ οὐδενὶ φεύγοντας τοὺς στρατιώτας ἐδέχοντο. ἐπεὶ δὲ τοὺς βαρβάρους ἄγχιστα ἐγκειμένους τοῖς φεύγουσιν εἶδον, D ὅπως μὴ ξυνεισβάλλωσι δείσαντες, τὰς μὲν πυλίδας κατὰ τάχος V 78 ἐπέθεντο, ἐκ δὲ τῶν ἐπάλξεων βρόχους καθέντες, ἄλλους τέ τινας καὶ Κώνωνα αὐτὸν ἀνενεγκόντες διεσώσαντο. ταῖς μέντοι κλίμαξιν ἀνιόντες οἱ βάρβαροι παρ' ὀλίγον ἦλθον τὸ φρούριον κατὰ κράτος ἑλεῖν, εἰ μὴ ἄνδρες δύο, ἔργα θαυμάσια ἐνδεικνύμενοι, ἤδη αὐτοὺς ἐπὶ ταῖς ἐπάλξεσι γενομένους ἀρετῇ ὥσαντο, ὧν ὁ μὲν Βελισαρίου δορυφόρος ἦν ἐκ Θράικης, Οὐλιμοῦν τοὔνομα, ὁ δὲ Βαλεριανοῦ, Βουλγουδοῦ, Μασσαγέτης γένος. τούτω γὰρ τὼ ἄνδρε τύχῃ μέν τινι καταπεπλευκότε ὀλίγῳ πρότε-

21. ἐπὶ om. HL. λείπει ἴσως ἐπί Hm.

facturum se ratus, si castellum eiusque incolas cum militibus servaret incolumes, munitionem reliquit militibus plane vacuam: et cum omnes abduxisset stadiis quinque, instruxit aciem, non alta fronte, sed ita, ut totum montis pedem, quasi indagine venaretur, ambiret. Illi, viso hostium multo maiori numero, statim terga vertere, seque ad castellum fuga recipere. Instare Barbari: nondum munimentum ingressos mactare passim: alii scalis ad murum applicitis ascensum tentare: quidam domos, quae extra castellum erant, incendere. Romani, veteres castelli incolae, oblata rerum imagine attoniti, patefacta iam ante portula milites in fugam consternatos accipiebant. Verum ubi Barbaros in terga fugientium haerentes viderunt, veriti ne una irrumperent, occluserunt confestim fores, demissisque e pinnis funibus, cum nonnullos alios, tum Cononem ipsum sustollentes, servarunt. Nihil propius factum est, quam ut subeuntes per scalas Barbari castello vi potirentur: cepissentque, nisi cum iam pinnas tenerent, a viris repulsi duobus essent, qui mira tunc perpetrarunt. Horum alter fuit Ulimun, natione Thrax, alter Bulgudu Massageta: ille Belisarii stipator, hic Valeriani. Ambo casu quodam Anconam paulo ante navigio delati fuerant: in hoc autem certa-

ρον ἐς τὸν Ἀγκῶνα ἐτυχέτην. ἐν δὲ τῷ πόνῳ τούτῳ τοὺς ἀνιόντας τοῖς ξίφεσιν ἀμυνόμενοι τὸ μὲν φρούριον παρὰ δόξαν ἔσωσαν, αὐτοὶ δὲ ἡμιθνῆτες καὶ τὸ σῶμα κρεουργηθέντες ὅλον ἐνθένδε ἀπεκομίσθησαν. τότε Βελισαρίῳ Ναρσῆς ξὺν πολλῇ στρατιᾷ ἐκ Βυζαντίου ἥκειν καὶ ἐν Πικηνοῖς εἶναι ἠγγέλλετο. ὁ δὲ P 419
Ναρσῆς οὗτος εὐνοῦχος μὲν ἦν καὶ τῶν βασιλικῶν χρημάτων ταμίας, ἄλλως δὲ ὀξὺς καὶ μᾶλλον ἢ κατ' εὐνοῦχον δραστήριος. στρατιῶται δὲ αὐτῷ πεντακισχίλιοι εἵποντο, ὧν ἄλλοι τε κατὰ ξυμμορίας ἡγοῦντο καὶ Ἰουστῖνος ὁ τῶν Ἰλλυριῶν στρατηγὸς καὶ Ναρσῆς ἕτερος, ἐξ Ἀρμενίων τῶν Πέρσαις κατηκόων αὐτόμολος ἐς τὰ Ῥωμαίων ἤθη πρότερον ξὺν Ἀρατίῳ τἀδελφῷ ἥκων, ὃς ὀλίγῳ ἔμπροσθεν ξὺν ἑτέρῳ στρατῷ παρὰ Βελισάριον ἰὼν ἔτυχεν. εἵποντο δέ οἱ καὶ τοῦ Ἐρούλων ἔθνους δισχίλιοι μάλιστα, ὧν Οὐϊσανδός τε καὶ Ἀλουὴθ καὶ Φανόθεος ἦρχον.

ιδ'. Οἵτινες δὲ ἀνθρώπων εἰσὶν Ἔρουλοι καὶ ὅθεν Ῥωμαίοις ἐς ξυμμαχίαν κατέστησαν ἐρῶν ἔρχομαι. ὑπὲρ Ἴστρον ποταμὸν ἐκ παλαιοῦ ᾤκουν πολύν τινα νομίζοντες θεῶν ὅμιλον, οἷς δὴ καὶ ἀνθρώπων θυσίαις ἱλάσκεσθαι ὅσιον αὐτοῖς ἐδόκει εἶναι. νόμοις δὲ πολλοῖς οὐ κατὰ ταὐτὰ τοῖς ἄλλοις ἀνθρώποις ἐχρῶντο. οὔτε γὰρ γηράσκουσιν οὔτε νοσοῦσιν αὐτοῖς βιοτεύειν ἐξῆν, ἀλλ' ἐπειδάν τις αὐτῶν ἢ γήρᾳ ἢ νόσῳ ἁλῷη, ἐπάναγκές οἱ ἐγίνετο τοὺς ξυγγενεῖς αἰτεῖσθαι ὅτι τάχιστα ἐξ ἀνθρώπων αὐτὸν ἀφανίζειν. οἱ δὲ ξύλα πολλὰ ἐς μέγα τι ὕψος ξυννήσαντες, C

9. ξυμμορίας] ξυμμαχίας Reg. 13. τοῦ Ἐρούλων] τῶν Ἐρούλων L.

mine, castellum quidem praeter opinionem servarunt, propulsando gladiis Barbaros, qui ascendebant; at inde semianimes, concisо penitus corpore, redierunt. Tunc temporis nuntiatum est Belisario Narsetem venisse Byzantio cum multis copiis, et apud Picentes esse. Erat hic Narses Eunuchus Imperatoriae, animo vir acerrimo, et supra spadonis naturam strenuo. Eum sequebantur militum quina millia, in catervas contributa sub aliis Ducibus, in primis Iustino Magistro militum per Illyricum, et altero Narsete Persarmeno, olim transfuga ad Romanos cum Aratio fratre, qui non ita pridem cum aliis copiis ad Belisarium venerat. Eidem se adiunxerant Eruli, ad duo summum millia: quibus Visandus, Aluеth, ac Phanotheus praeerant.

14. Iam vero, quodnam hominum genus Eruli sint, atque unde in Romanorum societatem se contulerint, explicabo. Trans fluvium Istrum olim habitabant, cultui dediti multorum numinum, quae humanis placare hostiis fas habebant. Institutis plurimum differebant a caeteris nationibus. Nam nec senibus, nec aegrotis fas erat vitam producere: at si quem senium occupasset vel morbus, rogare is cogebatur propinquos, darent operam, ut quamprimum ex vivorum numero exturbaretur. Illi,

καθίσαντές τε τὸν ἄνθρωπον ἐν τῇ τῶν ξύλων ὑπερβολῇ, τῶν τινα Ἐρούλων, ἀλλότριον μέντοι, σὺν ξιφιδίῳ παρ' αὐτὸν ἔπεμπον. ξυγγενῆ γὰρ αὐτῷ τὸν φονέα εἶναι οὐ θέμις. ἐπειδὰν δὲ
H 231 αὐτοῖς ὁ τοῦ ξυγγενοῦς φονεὺς ἐπανῇει, ξύμπαντα ἔκαιον αὐτίκα τὰ ξύλα, ἐκ τῶν ἐσχάτων ἀρξάμενοι. παυσαμένης τε αὐτοῖς τῆς φλογὸς ξυλλέξαντες τὰ ὀστᾶ τὸ παραυτίκα τῇ γῇ ἔκρυπτον. Ἐρούλου δὲ ἀνδρὸς τελευτήσαντος ἐπάναγκες τῇ γυναικὶ ἀρετῆς
D μεταποιουμένῃ καὶ κλέος αὐτῇ ἐθελούσῃ λείπεσθαι βρόχον ἀναψαμένῃ παρὰ τὸν τοῦ ἀνδρὸς τάφον οὐκ εἰς μακρὸν θνήσκειν. οὐ ποιούσῃ τε ταῦτα περιειστήκει τὸ λοιπὸν ἀδόξῳ τε εἶναι καὶ τοῖς τοῦ ἀνδρὸς ξυγγενέσι προσκεκρουκέναι. τοιούτους μὲν ἐχρῶντο Ἔρουλοι τὸ παλαιὸν νόμοις.

P 420 Προϊόντος δὲ χρόνου δυνάμει τε καὶ πολυανθρωπίᾳ τῶν περιοίκων βαρβάρων ἁπάντων καθυπέρτεροι γεγενημένοι, ἐπιόντες τε, ὡς τὸ εἰκὸς, ἑκάστους ἐνίκων καὶ βιαζόμενοι ἐληΐζοντο. καὶ τελευτῶντες Λογγιβάρδας τε Χριστιανοὺς ὄντας καὶ ἄλλ' ἄττα ἔθνη ὑπήκοα σφίσιν ἐς ἐπαγωγὴν φόρου πεποίηνται, οὐκ εἰθισμένον τὸ πρᾶγμα τοῦτο τοῖς ἐκείνῃ βαρβάροις, ὑπὸ δὲ φιλοχρηματίας καὶ ἀλαζονείας ἐνταῦθα ἠγμένοι. ἡνίκα μέντοι Ἀναστάδιος Ῥωμαίων τὴν βασιλείαν παρέλαβεν, οὐκ ἔχοντες Ἔρου-
V 79 λοι ἐφ' οὑστινας ἀνθρώπων τὸ λοιπὸν ἔλθοιεν, καταθέμενοι τὰ ὅπλα, ἡσυχῇ ἔμενον, χρόνος τε αὐτοῖς ἐνιαυτῶν τριῶν ἐν ταύτῃ
B δὴ τῇ εἰρήνῃ ἐτρίβη. καὶ αὐτοὶ ἐς ἄγαν ἀχθόμενοι Ῥοδοῦλφον

8. αὐτῇ] αὐτῇ L.

pyra constructa ingenti, collocabant hominem in fastigio, et ad ipsum mittebant Erulum aliquem, instructum sica, non tamen ei coniunctum genere: nefas enim ducebant a consanguineo caedem fieri. Reverso, qui illorum propinquum interfecerat, protinus ligna omnia, facibus imo subiectis rogo, urebant. Postquam flamma resederat, legebant ossa, ac statim terrae infodiebant. Ubi vir quispiam Erulus fato concesserat, ut virtutem probaret uxor, ac relinqueret superstitem sibi gloriam, necesse habebat vitam paulo post ad mariti tumulum finire laqueo: ni faceret, in aeternum dedecus, et propinquorum mariti offensionem incurrebat. His quondam utebantur legibus Eruli.

Procedente tempore, cum et numero et viribus supra finitimos omnes Barbaros crevissent, adorti singulos, pronam habebant victoriam, et in eorum fortunas grassabantur. Demum Langobardos, iam tum Christianos, et quasdam alias gentes sibi vectigales fecerunt, contra Barbarorum in illis partibus degentium morem, ad id cupiditate arrogantiaque inducti. Susceptis ab Anastasio Romani habenis Imperii, non habentes Eruli quos deinceps invaderent, armis depositis quievere, ac triennio pax illa stetit: quam graviter pertaesi, Rodulfo Regi suo impudenter maledice-

ἀνέδην σφῶν τὸν ἡγεμόνα ἐκάκιζον, φοιτῶντές τε ἀεὶ παρ' αὐτὸν μαλθακόν τε καὶ γυναικώδη ἐκάλουν, ἄλλοις τέ τισιν αὐτὸν ἐρεσχελοῦντες ὀνόμασι, κόσμῳ οὐδενὶ ἐλοιδοροῦντο. Ῥοδοῦλφός τε τὴν ὕβριν ὡς ἥκιστα φέρων ἐπὶ Λογγιβάρδας οὐδὲν ἀδικοῦντας ἐστράτευσεν, οὔτε τινὰ σφίσιν ἁμαρτάδα ἐπενεγκὼν οὔτε λύσιν τινὰ τῶν ξυγκειμένων σκεψάμενος, ἀλλὰ πόλεμον ἐπιφέρων αἰτίαν οὐκ ἔχοντα. ὅπερ ἐπειδὴ Λογγιβάρδαι ἀκοῇ ἔλαβον, πέμψαντες παρὰ τὸν Ῥοδοῦλφον ἀνεπυνθάνοντο καὶ τὴν αἰτίαν ἠξίουν εἰπεῖν, ἧς δὴ ἕνεκα Ἐρουλοι ἐν ὅπλοις ἐπ' αὐτοὺς ἴέναι C
κοινολογοῦνται. εἰ μέν τι ἀπεστερήκασι τῆς εἰσφορᾶς, ἀλλ' αὐτίκα μάλα ξὺν μεγάλῳ αὐτὸ ἀποτίσειν· εἰ δὲ μέμφονται μέτριον σφίσι τετάχθαι τὸν φόρον, ἀλλὰ μείζω ποιήσειν αὐτὸν, οὐ μήποτε Λογγιβάρδαι ὀκνηροὶ ἔσονται. ταῦτα μὲν, τοὺς πρέσβεις προτεινομένους ξὺν ἀπειλῇ ὁ Ῥοδοῦλφος ἀποπεμψάμενος πρόσω ἤλαυνεν. οἱ δὲ καὶ αὖθις πρέσβεις ἑτέρους παρ' αὐτὸν στείλαντες περὶ αὐτῶν πολλὰ λιπαροῦντες ἱκέτευον. οὕτω δὲ καὶ τῶν δευτέρων ἀπαλλαγέντων τρίτοι πρέσβεις παρ' αὐτὸν ἥκοντες ἐπεῖπον Ἐρούλους πόλεμον ἀπροφάσιστον μηδαμῶς σφίσιν ἐπενεγκεῖν. ἦν γὰρ ἐκεῖνοι γνώμῃ τοιαύτῃ ἐπ' αὐτοὺς ἴωσι, καὶ αὐτοὶ D
οὐχ ἑκούσιοι, ἀλλ' ὡς μάλιστα ἠναγκασμένοι, ἀντιτάξονται τοῖς ἐκείνοις, μαρτυράμενοι τὸν θεὸν, οὗπερ τῆς ῥοπῆς καὶ βραχεῖά τις τὸ παράπαν ἰκμὰς πάσῃ τῇ ἀνθρώπων δυνάμει ἀντίξους

5. *οὔτε — οὔτε*] Vulgo *οὐδέ — οὐδὲ*. 13. *ἔσονται*] *γενήσονται* Reg. 16. *αὐτῶν*] *τῶν* H. *τῶν αὐτῶν* Hoeschel. 21. *οὗπερ* Hugo Grotius. *οὗ ὑπὲρ* P. *ὡς ὑπὲρ* H. „*ᾧ ὑπὲρ* ms.“ Hoeschel.

bant, ipsumque aditantes, mollem et effeminatum vocabant, aliisque id genus convitiis per summum dedecus os eius verberabant. Permotus contumelia Rodulfus, in Langobardos plane insontes expeditionem suscipit, nullius delicti postulans, nec violatas pactiones praetexens; sed bellum inferens ex animi mera libidine. Quo Langobardi audito, mittunt qui ex ipso Rodulfo scitentur supplices causam movendi contra se belli, de quo Eruli consilia ac sermones conferrent. Si qua sint fraudati vectigalium parte, spondent se illico repensuros cum magno foenore: si levius esse tributum querantur, haud grave Langobardis fore maius pacisci. Proponentes haec Legatos Rodulfus remittit minitabundus, ac porro pergit. Ab eadem gente mittitur altera cum iisdem precibus enixis legatio: qua similiter repulsa, gerentes ad ipsum tertiam, denuntiant, committendum non esse Erulis, ut arma de nihilo in se intendant: se enim tali invadentibus animo opposituros aciem, non sua voluntate, sed summa necessitate adductos, ac testatos Deum, cuius ad nutum vel modicus vapor omnibus humanis viribus retundendis par omnino futurus sit. Convenien-

ἔσται· αὐτόν τε εἰκὸς ταῖς τοῦ πολέμου αἰτίαις ἡγμένον ἀμφοτέροις πρυτανεῦσαι τῆς μάχης τὸ πέρας. οἱ μὲν ταῦτα εἶπον, δεδίσσεσθαι ταύτῃ τοὺς ἐπιόντας οἰόμενοι. Ἔρουλοι δὲ, ὑποστειλάμενοι τῶν πάντων οὐδέν, Λογγοβάρδαις ἔγνωσαν ἐς χεῖρας ἰέναι. ἡνίκα δὲ ἀμφότεροι ἄγχιστά πη ἀλλήλων ἐγένοντο, τὸν μὲν ὕπερθεν Λογγοβαρδῶν ἀέρα ξυνέβαινε μελαίνῃ τινὶ νεφέλῃ καὶ ἐς ἄγαν παχείᾳ καλύπτεσθαι, ὑπὲρ δὲ τοὺς Ἐρούλους αἰθρίαν ὑπερφυῶς εἶναι. οἷς δὴ τεκμηριούμενος εἴκασεν ἄν τις ἐπὶ τῷ σφῶν πονηρῷ ἐς τὴν ξυμβολὴν Ἐρούλους ἰέναι. οὐ γάρ τι τούτου πικρότερον βαρβάροις τέρας εἰς μάχην καθισταμένοις οἷόν τε
P 421 εἶναι. οὐ μέντοι οὐδὲ τούτῳ Ἔρουλοι προσεῖχον τὸν νοῦν, ἀλλὰ παντάπασιν ἀφροντιστήσαντες πολλῷ τῷ καταφρονήματι ἐπὶ τοὺς πολεμίους ἐχώρουν, πλήθει ὁμίλου τὸ τοῦ πολέμου σταθμώμενοι πέρας. ἐπεὶ δὲ ἡ μάχη ἐν χερσὶ γέγονε, θνήσκουσι μὲν τῶν Ἐρούλων πολλοὶ, θνήσκει δὲ καὶ Ῥοδοῦλφος αὐτὸς, οἵ τε ἄλλοι πάντες φεύγουσιν ἀνὰ κράτος, οὐδεμιᾶς ἀλκῆς μεμνημένοι. καὶ τῶν πολεμίων σφίσιν ἐπισπομένων οἱ μὲν πλεῖστοι αὐτοῦ ἔπεσον, ὀλίγοι δέ τινες διεσώθησαν.

Διὸ δὴ ἐνδιατρίβειν ἤθεσι τοῖς πατρῴοις οὐκέτι εἶχον, ἀλλ' ἐνθένδε ὅτι τάχιστα ἐξαναστάντες ἐπιπροσθεν ἀεὶ ἐχώρουν, τὴν
H 232 γῆν ξύμπασαν, ἣ ἐκτὸς Ἴστρου ποταμοῦ ἐστι, ξύν τε παισὶ καὶ
B γυναιξὶ περιιόντες. ἐπεὶ δὲ ἀφίκοντο ἐς χώραν, ἧ δὴ Ῥογοὶ τὸ παλαιὸν ᾤκηντο, οἳ τῷ Γύτθων στρατῷ ἀναμιχθέντες ἐς Ἰτα-

7. καὶ ἐς] καὶ om. HL. 9. πονηρῷ] πονήρῳ P. 21. ἐκτὸς] ἐντὸς HL.

tissimum autem esse, ipsum, belli causis permotum, utrique genti pugnae exitum pro imperio constituere. Haec illi; quibus aggressores territum iri existimabant. At nihil prorsus veriti Eruli, consilium urgent confligendi cum Langobardis. Ut in propinquo stetere acies, caeli partem, quae Langobardis imminebat, nubes atra densissimaque obduxit: supra Erulos maxime sudum erat. Unde quis coniecisset Erulos in praelium sibi exitiabile vadere: nec tristius eo portentum offerri posse Barbaris, certamini se offerentibus. Sed neque huc mentem advertentes Eruli, cum summa securitate ac superbissimo contemptu hostem petunt, de eventu belli augurantes ex armatorum multitudine. Ubi ad manus ventum est, magna fit Erulorum caedes, eaque Rodulfus ipse involvitur: caeteri omnes consternantur in fugam, virtutis immemores: insequentibus hostibus, plerique ibidem oppetunt: pauci admodum elabuntur.

Quo factum ut in patria amplius manere nequiverint, sed illa quamprimum egressi, iter porro continuarint, cum liberis ex uxoribus peragrando oras omnes, Istro fluvio ulteriores. Regionem ingressi, habitatam olim a Rugis, qui in Italiam cum Gotthorum exercitu concesserant, ibi

λίαν ἐχώρησαν, ἐνταῦθα ἱδρύσαντο. ἀλλ' ἐπεὶ τῷ λιμῷ ἐπιέζοντο, ἅτε ἐν χωρίῳ ἐρήμῳ ἐνθένδε οὐ πολλῷ ὕστερον ἐξαναστάντες, ἄγχιστά που τῆς Γηπαίδων χώρας ἀφίκοντο. καὶ αὐτοὺς Γήπαιδες τὰ μὲν πρῶτα ἱκέτας γενομένους ἐνοικίζεσθαί τε καὶ προσοίκους σφίσι ξυνεχώρουν εἶναι. ἔπειτα δὲ ἤρξαντο ἐξ αἰτίας οὐδεμιᾶς ἀνόσια ἐς αὐτοὺς ἔργα ἐνδείκνυσθαι. γυναῖκάς τε γὰρ ἐβιάζοντο καὶ βοῦς τε καὶ ἄλλα χρήματα ἥρπαζον, καὶ ἀδικίας οὐδ' ὁτιοῦν ὑπελείποντο, καὶ τελευτῶντες ἀδίκων χειρῶν ἐς αὐτοὺς ἦρχον. ἅπερ Ἐρουλοι φέρειν τὸ λοιπὸν οὐχ οἷοί τε ὄντες Ἴστρον τε ποταμὸν διαβαίνουσι καὶ τοῖς ἐκείνῃ Ῥωμαίοις προσοικεῖν ἔγνωσαν, Ἀναστασίου τὴν αὐτοκράτορα ἀρχὴν ἔχοντος. ὅσπερ αὐτοὺς πολλῇ φιλοφροσύνῃ δεξάμενος ἱδρύεσθαι αὐτοῦ εἴασε, χρόνῳ δὲ οὐ πολλῷ ὕστερον προσκεκρούκασιν αὐτῷ οἱ βάρβαροι οὗτοι, ἀνόσια ἔργα ἐργασάμενοι τοὺς ταύτῃ Ῥωμαίους. διὸ δὴ στράτευμα ἐπ' αὐτοὺς ἔπεμψε. νικήσαντες δὲ τῇ μάχῃ Ῥωμαῖοι πλείστους μὲν ἔκτειναν, ἐν ἐξουσίᾳ δὲ πολλῇ ξύμπαντας διαφθεῖραι γεγόνασιν. ἀλλ' εἰς ἱκετείαν τῶν στρατηγῶν οἱ κατάλοιποι αὐτῶν γεγονότες ἐδέοντο διασώσασθαί τε αὐτοὺς καὶ ξυμμάχους τε καὶ βασιλέως ὑπηρέτας τὸ λοιπὸν ἔχειν. ταῦτά τε μαθόντα τὸν Ἀναστάσιον ἥρεσκε, καὶ ἀπ' αὐτοῦ λειφθῆναι μέν τισιν Ἐρούλων ξυνέβη, οὐ μέντοι οὔτε ξύμμαχοι Ῥωμαίοις γεγένηνται οὔτε τι εἰργάσαντο ἐς αὐτοὺς ἀγαθόν.

C

V 80

D

12. ἱδρύσθαι] ἱδρύσθαι HmPm. ἵδρυσθαι L. 14. τοὺς — Ῥωμαίους] τοῖς — ῥωμαίοις L a pr. m. 21. οὔτε — οὔτε] Vulgo οὐδὲ — οὐδέ.

constitere. Sed cum inculta solitudo esset, paulo post exacti illinc stimulis famis, ad Gepaedum fines accedunt. Ac primum quidem Gepaedes illis supplicibus permiserunt, ut cum vicini sui essent, tum inquilini. Postea vero ab re vexare ipsos importunissime coeperunt. Nam et feminis vim afferebant et boves facultatesque caeteras praedabantur; nec sibi quidquam reliqui ad iniquitatem faciebant, eo demum provecti, ut immerentibus bellum intulerint. Impatientia abrepti Eruli Istrum amnem traiiciunt, et Romanorum, in illis partibus degentium, vicinitatem ambiunt, Anastasio Imperatore. A quo benignissime accepti, ipsius permissu ibi sedes fixerunt. Aliquanto post, offensus idem sceleribus, quae in Romanos accolas Barbari illi perpetrabant, adversus eos exercitum misit. Acie victores Romani partem maximam interfecerunt, potueruntque ad internecionem cedere: verum qui supererant, supplices fuere Ducibus, ut sibi in posterum vivere liceret in Romanorum societate, et fidam navare operam Imperatori. Haec sibi renuntiata probante Anastasio, data salus est Erulorum reliquiis. Nec tamen socii Romanorum fuere, neque ipsos ullo officio remunerarunt.

Ἐπεὶ δὲ Ἰουστινιανὸς τὴν βασιλείαν παρέλαβε, χώρᾳ τε ἀγαθῇ καὶ ἄλλοις χρήμασιν αὐτοὺς δωρησάμενος, ἑταιρείαν λέγεσθαί τε παντελῶς ἴσχυσε καὶ Χριστιανοὺς γενέσθαι ἅπαντας ἔπεισε. διόπερ τὴν δίαιταν ἐπὶ τὸ ἡμερώτερον μεταβαλόντες τοῖς Χριστιανῶν νόμοις ἐπὶ πλεῖστον προσχωρεῖν ἔγνωσαν, καὶ Ῥωμαίοις κατὰ τὸ ξυμμαχικὸν τὰ πολλὰ ἐπὶ τοὺς πολεμίους ξυντάσ-
P 422 σονται. ἔτι μέντοι αὐτοῖς εἰσιν ἄπιστοι καὶ πλεονεξίᾳ ἐχόμενοι, βιάζεσθαι τοὺς πέλας ἐν σπουδῇ ἔχουσιν, οὐ φέροντος αὐτοῖς αἰσχύνην τοῦ ἔργου. καὶ μίξεις οὐχ ὁσίας τελοῦσιν, ἄλλας τε καὶ ἀνδρῶν καὶ ὄνων, καί εἰσι πονηρότατοι ἀνθρώπων ἁπάντων καὶ κακοὶ κακῶς ἀπολούμενοι. ὕστερον δὲ ὀλίγοι μέν τινες ἔνσπονδοι Ῥωμαίοις διέμειναν, ὥσπερ μοι ἐν τοῖς ἔμπροσθεν λόγοις γέγραπται· οἱ δὲ λοιποὶ ἅπαντες ἀπέστησαν ἐξ αἰτίας τοιᾶσδε. Ἔρουλοι τὸ τοῦ τρόπου τε θηριῶδες καὶ μανιῶδες ἐνδειξάμενοι ἐς τὸν αὐτῶν ῥῆγα (ἦν δὲ οὗτος ἀνὴρ Ὀχὼν ὄνομα) ἐξαπιναίως τὸν ἄνθρωπον ἀπ᾽ οὐδεμιᾶς αἰτίας ἔκτειναν, ἄλλο
B οὐδὲν ἐπενεγκόντες ἢ ὅτι ἀβασίλευτοι τὸ λοιπὸν βούλονται εἶναι. καίτοι καὶ πρότερον ὄνομα μὲν αὐτοῖς ὁ βασιλεὺς εἶχεν, ἰδιώτου δὲ ὁτουοῦν οὐδέν τι σχεδὸν ἐφέρετο πλέον. ἀλλὰ καὶ ξυγκαθῆσθαι αὐτῷ ἅπαντες καὶ ξύσσιτοι εἶναι ἠξίουν, καὶ ἀνέδην ὅστις βούλοιτο ἐς αὐτὸν ὕβριζεν. ἀξυνετώτεροι γὰρ ἢ ἀσταθμητότεροι Ἐρούλων εἰσὶν ἀνθρώπων οὐδέ τινες. τοῦ δὲ κακοῦ σφίσιν

2. ἑταιρείαν L. ἑταιρίαν P. εἰς ἑταιρίαν Pm. 10. ὄνων Vat. ζώων P. 13. γέγραπται] γεγράφεται HL. 19. ξυγκαθῆσθαι L corr. ξυγκαθεῖσθαι P. 20. ἀνέδην] ἀναίδην L.

Postquam Imperium Iustinianus suscepit, illos agro donatos perbono, atque auctos largitione, ut et sociis Romanorum, et Christianis vellent omnes ascribi perpulit. Itaque ad mitius vitae genus traducti, praeclara quidem formula Christianam legem amplexi sunt, et sociali iure Romanas saepe sequuntur acies: eos tamen adhuc experimur infidos, atque in vicinos grassantur adeo proiecta cupiditate, ut nullum pudorem capiant ex facinore. Nefandos sectantur coitus, etiam virorum ac pecudum. Improbissimi sunt mortalium omnium, et mali male perdendi. Postmodum pauci in Rom. societate manserunt, quemadmodum in superioribus libris commemoravi, ab illa caeteri omnes discesserunt istam ob causam. Eruli in Regem suum, cui nomen Ochon, ferini ac furialis ingenii virus ita exernerunt, ut ipsum, nihil male meritum, ex improviso occiderint, hoc unum causati, se in posterum nulli Regi subesse velle. Quanquam antea Rex nomine tenus, nihil fere amplius, quam privatus quivis, habebat: cum nemo non consessor et conviva illius esset, et contumelias, quicunque vellet, in ipsum iaceret impudenter: nulla quippe est hominum natio, quae vecordia ac levitate Erulos superet. Admissum scelus subsecuta est

ἐξειργασμένου μετέμελεν ἤδη. ἔφασκον γὰρ ἄναρχοί τε καὶ
ἀστρατήγητοι βιοτεύειν οὐχ οἷοί τε εἶναι· πολλὰ γοῦν σφίσι βου-
λευσαμένοις ἄμεινον τῷ παντὶ ἔδοξεν εἶναι τῶν τινα γένους τοῦ
βασιλείου μεταπέμψασθαι ἐκ Θούλης τῆς νήσου. ὅ τι δὲ τοῦτ' C
ἔστιν αὐτίκα δηλώσω.

ιε'. Ἥνίκα Ἔρουλοι Λαγγοβαρδῶν ἡσσηθέντες τῇ μάχῃ D
ἐξ ἠθῶν τῶν πατρίων ἔστησαν, οἱ μὲν αὐτῶν, ὥσπερ μοι ἔμ-
προσθεν δεδιήγηται, ᾠκήσαντο ἐς τὰ ἐν Ἰλλυριοῖς χωρία, οἱ δὲ
δὴ ἄλλοι Ἴστρον ποταμὸν διαβαίνειν οὐδαμῇ ἔγνωσαν, ἀλλ' ἐς
αὐτάς που τὰς ἐσχατιὰς τῆς οἰκουμένης ἱδρύσαντο· οὕτω γοῦν
πολλῶν ἐκ τοῦ βασιλείου αἵματος ἡγουμένων σφίσιν ἤμειψαν μὲν
τὰ Σκλαβηνῶν ἔθνη ἐφεξῆς ἅπαντα, ἔρημον δὲ χώραν διαβάντες
ἐνθένδε πολλὴν ἐς τοὺς Οὐάρνους καλουμένους ἐχώρησαν. μεθ'
οὓς δὴ καὶ Δανῶν τὰ ἔθνη παρέδραμον οὐ βιαζομένων σφᾶς τῶν
τῇδε βαρβάρων. ἐνθένδε τε ἐς ὠκεανὸν ἀφικόμενοι ἐναυτίλλοντο, Θούλῃ τε προσχόντες τῇ νήσῳ αὐτοῦ ἔμειναν. ἔστι δὲ ἡ
Θούλη μεγίστη ἐς ἄγαν. Βρεττανίας γὰρ αὐτὴν πλέον ἢ δεκα-
πλασίαν ξυμβαίνει εἶναι. κεῖται δὲ αὐτῆς πολλῷ ἄποθεν πρὸς H 233
βορρᾶν ἄνεμον. ἐν ταύτῃ τῇ νήσῳ γῇ μὲν ἔρημος ἐκ τοῦ ἐπὶ P 423
πλεῖστον τυγχάνει οὖσα, ἐν χώρᾳ δὲ τῇ οἰκουμένῃ τριακαίδεκα
ἔθνη πολυανθρωπότατα ἵδρυται· βασιλεῖς τέ εἰσι κατὰ ἔθνος
ἕκαστον. ἐνταῦθα γίνεται ἀνὰ πᾶν ἔτος θαυμάσιον. ὁ γὰρ ἥλιος
ἀμφὶ θερινὰς μὲν τροπὰς μάλιστα ἐς ἡμέρας τεσσαράκοντα οὐ- V 81

10. ἱδρύσαντο] ἱδρύσασθαι HL. 14. Δανῶν] Δακῶν Pers.
20. τριακαίδεκα] τρία καὶ δέκα P.

poenitentia negantium posse fieri, ut sine Rege ac Duce viverent. Re saepius in medium vocata, placuit omnibus sententia, quae potior visa est, aliquem, genere natum regio, accersendum esse ex insula Thule: quod quid rei sit, statim edam.

15. Cum Eruli, acie victi a Langobardis, migrassent e patria; pars, uti supra narravi, in Illyrico consederunt: caeteri Istrum fluvium soluerunt traiicere; sed in extremis Orbis partibus fixere sedes. Hos ducentibus multis, qui regio sanguine creti erant, cuncti Sclavenorum populi per fines suos transmisere. Inde vastam solitudinem permensi, ad Varnos veniunt: postea transcurrunt Danos; nusquam in ipsos vim suspicientibus illis Barbaris. Exin ad Oceanum progressi, navigant; in Thulen insulam appellunt, ibique manent. Est autem Thule amplissima: quippe Britannia maior decuplo; a qua plurimum distat, ad Aquilonem sita. Vacat pars huius insulae maxima: quae vero colitur, gentes habet XIII. multitudine abundantes, sub totidem Regibus. Quotannis res hic mira contingit. Sol enim circa solstitium aestivum per dies XL. non occidit: sed toto illo tempore supra terram conspicitur. Rursus post men-

δαμῆ δύει, ἀλλὰ διηνεκῶς ἐς πάντα τοῦτον τὸν χρόνον ὑπὲρ γῆς φαίνεται. μησὶ δὲ οὐχ ἧσσον ἢ ἓξ ὕστερον ἀμφὶ τὰς χειμερινὰς τροπὰς ἥλιος μὲν ἐς ἡμέρας τεσσαράκοντα τῆς νήσου ταύτης οὐδαμῆ φαίνεται, νὺξ δὲ αὐτῆς ἀπέραντος κατακέχυται· κατήφειά τε ἀπ' αὐτοῦ ἔχει πάντα τοῦτον τὸν χρόνον τοὺς τῇδε ἀν-
B θρώπους, ἐπεὶ ἀλλήλοις ἐπιμίγνυσθαι μεταξὺ οὐδεμιᾷ μηχανῇ ἔχουσιν. ἐμοὶ μὲν οὖν ἐς ταύτην ἰέναι τὴν νῆσον τῶν τε εἰρημένων αὐτόπτῃ γενέσθαι, καίπερ γλιχομένῳ, τρόπῳ οὐδενὶ ξυνηνέχθη. τῶν μέντοι ἐς ἡμᾶς ἐνθένδε ἀφικομένων ἐπυνθανόμην ὅπη ποτὲ οἷοί τε * * ἀνίσχοντος εἴτε δύοντος τοῖς καθήκουσι χρό-
C νοις ἐνταῦθα ἡλίου. οἵπερ ἐμοὶ λόγον ἀληθῆ τε καὶ πιστὸν ἔφρασαν. τὸν γὰρ ἥλιόν φασι τεσσαράκοντα ἡμέρας ἐκείνας οὐ δύειν μέν, ὥσπερ εἴρηται, φῶς δὲ τοῖς ταύτῃ ἀνθρώποις φαίνεσθαι πῃ μὲν πρὸς ἕω, πῃ δὲ πρὸς ἑσπέραν. ἐπειδὰν οὖν ἐπανιὼν αὖθις ἀμφὶ τὸν ὁρίζοντά τε γινόμενος ἐς τὸν αὐτὸν ἀφίκηται χῶρον, οὗπερ αὐτὸν ἀνίσχοντα τὰ πρῶτα ἑώρων, ἡμέραν οὕτω
C καὶ νύκτα μίαν παρῳχηκέναι διαριθμοῦνται. καὶ ἥνίκα μέντοι ὁ τῶν νυκτῶν χρόνος ἀφίκηται, τῆς γε σελήνης τῷ ὁρᾶσθαι ἀεὶ τοῖς δρόμοις τεκμηριούμενοι τὸ τῶν ἡμερῶν λογίζονται μέτρον. ὁπηνίκα δὲ πέντε καὶ τριάκοντα ἡμερῶν χρόνος τῇ μακρᾷ ταύτῃ διαδράμοι νυκτί, στέλλονταί τινες ἐς τῶν ὀρῶν τὰς ὑπερβολὰς, εἰθισμένον αὐτοῖς τοῦτό γε, τόν τε δὴ ἥλιον ἀμηγέπη ἐνθένδε ὁρῶντες ἀπαγγέλλουσι τοῖς κάτω ἀνθρώποις, ὅτι δὴ πέντε ἡμε-

10. οἷοί τε Vat. Vulgo εἴη τε. Lacunam indicavit Maltretus. 13. φαίνεσθαι Vat. ἐνιέναι P. 22. τε] γε P. 23. δὴ HL. διὰ P et Scaliger.

ses haud minus sex, circiter brumale solstitium, haec insula dies XL. Solis aspectu caret, ac nocte perpetua circumfunditur. Quod omne spatium in moerore traducunt incolae, erepta commercii et quotidianae consuetudinis copia. Equidem mihi, quamvis maxime cupienti, nullo pacto contigit, ut in eam deferret insulam, et ab aliis relata meis ipse oculis acciperem. Ex iis autem, qui ad nos inde venerunt, ita quaesivi: *Quae vestra est ratio circa status exortus Solis atque occasus, qui diem definiunt?* Illi vere ac fideliter respondentes mihi dixere, per dies quidem illos ut dictum est, XL. non occidere Solem; at incolis lucem immittere, modo Orientem versus, modo in Occidentem. Cum autem Sol flexo cursu inclinans ad horizontem, eo rediit, unde primum surgens apparuit, diei noctisque unius elapsum spatium numerant. Ubi noctium continuarum tempus advenit, intente observatis Lunae cursibus, dierum numerum subducunt. Postquam dies XXXV. longa nox illa tenuit, mos est, ut quidam culmina montium ascendant, et viso inde utcunque Sole, morantibus infra significent, intra dies quinque Solem ipsos collustraturum. Faustum

ρῶν ἥλιος αὐτοὺς καταλάμψοι. οἱ δὲ πανδημεὶ πανηγυρίζουσιν εὐαγγέλια καὶ ταῦτα ἐν σκότῳ. αὕτη τε Θουλίταις ἡ μεγίστη τῶν ἑορτῶν ἐστι. δοκοῦσι γάρ μοι περιδεεῖς ἀεὶ γίνεσθαι οἱ νησιῶται οὗτοι, καίπερ ταὐτὸ ξυμβαῖνον σφίσιν ἀνὰ πᾶν ἔτος, μή D ποτε αὐτοὺς ἐπιλείποι τὸ παράπαν ὁ ἥλιος.

Τῶν δὲ ἱδρυμένων ἐν Θούλῃ βαρβάρων ἓν μόνον ἔθνος, οἱ Σκριθίφινοι ἐπικαλοῦνται, θηριώδη τινὰ βιοτὴν ἔχουσιν. οὔτε γὰρ ἱμάτια ἐνδιδύσκονται οὔτε ὑποδεδεμένοι βαδίζουσιν οὔτε οἶνον πίνουσιν οὔτε τι ἐδώδιμον ἐκ τῆς γῆς ἔχουσιν. οὔτε γὰρ αὐτοὶ γῆν γεωργοῦσιν οὔτε τι αὐτοῖς αἱ γυναῖκες ἐργάζονται, ἀλλὰ ἄνδρες ἀεὶ ξὺν ταῖς γυναιξὶ τὴν θήραν μόνην ἐπιτηδεύουσι. θηρίων τε γὰρ καὶ ἄλλων ζῴων μέγα τι χρῆμα αἵ τε ὕλαι αὐτοῖς φέρουσι, μεγάλαι ὑπερφυῶς οὖσαι, καὶ τὰ ὄρη, ἃ ταύτῃ ἀνέχει. καὶ κρέασι μὲν θηρίων ἀεὶ τῶν ἁλισκομένων σιτίζονται, τὰ δέρ- P 424 ματα δὲ ἀμφιέννυνται, ἐπεί τε αὐτοῖς οὔτε λίνον οὔτε ὅτῳ ῥάπτοιεν ἔνεστιν, οἱ δὲ τῶν θηρίων τοῖς νεύροις τὰ δέρματα ἐς ἄλληλα ταῦτα ξυνδέοντες οὕτω δὴ ἐς σῶμα ὅλον ἀμπίσχονται. οὐ μὴν οὐδὲ τὰ βρέφη αὐτοῖς κατὰ ταὐτὰ τιθηνοῦνται τοῖς ἄλλοις ἀνθρώποις. οὐ γὰρ σιτίζονται Σκριθιφίνων παιδία γυναικῶν γάλακτι οὐδὲ μητέρων ἅπτονται τιτθοῦ, ἀλλὰ ζῴων τῶν ἁλισκομένων τοῖς μυελοῖς ἐκτρέφονται μόνοις. ἐπειδὰν οὖν γυνὴ τάχιστα τέκοι, δέρματι τὸ βρέφος ἐμβαλλομένη κρεμᾷ μὲν εὐθὺς

7. *Σκριθίφινοι*] *σηριθίφικοι* L. Vera scriptura *Σκριθίφιννοι*: vid. Kanngiess. p. 237. 8. *οὔτε ὑπ.*] Vulgo *οὐδὲ ὑπ.* 19. *Σκριθιφίνων*] *σκριτιφίκων* Reg. *σκρηθιφίνων* L.

illi nuntium festo publico celebrant, idque in tenebris: quod quidem apud Thulitas festorum est omnium maximum. Enimvero quamvis illis, qui hanc insulam colunt, idem quotannis accidat, mihi tamen videntur vehementer timere ne Sol ipsos aeternum deserat.

Inter Barbaros, qui Thulen habent, una admodum natio (Scrithifinos appellant) ferinum vitae genus sectatur. Nam nec induti sunt vestibus, nec calceati incedunt, nec vinum bibunt, nec vescum quidquam e terra legunt: quoniam nec ipsi agriculturae, nec feminae lanificio dant operam, sed viri cum uxoribus in venatione toti sunt. Vim certe magnam ferarum aliarumque animantium illis sufficiunt montes ac silvae, quae ibi latissime patent. Ac ferarum quidem captarum carnibus vescuntur usque, pellibus vero sese induunt, nec linum habentes, nec quidquam suendo idoneum. Quare ferarum nervis pelles committunt, iisque totum inducunt corpus. Quin etiam nec suos foetus caeterarum ritu gentium nutricantur. Neque enim mulierum lacte aluntur Scrithifinorum infantes, nec maternam contingunt mammam: medullis tantummodo ferarum, quae captae sunt, educuntur. Itaque simul ac femina enixa est foetum pelle involutum suspendit ex arbore, et medulla ori eius inserta, e vestigio

ἐπὶ δένδρου τινὸς, μυελὸν δέ οἱ ἐπὶ τοῦ στόματος ἐνθεμένη εὖθὺς στέλλεται ἐπὶ θήραν. ἐπὶ κοινοῦ γὰρ τοῖς ἀνδράσι τὸ ἐπιτήδευμα μετίασι τοῦτο. τούτοις μὲν οὖν δὴ τοῖς βαρβάροις τὰ ἐς τὴν δίαιταν ταύτῃ πη ἔχει. οἱ μέντοι ἄλλοι Θουλῖται ὡς εἰπεῖν ἅπαντες οὐδέν τι μέγα διαλλάσσουσι τῶν ἄλλων ἀνθρώπων, θεοὺς μέντοι καὶ δαίμονας πολλοὺς σέβουσιν, οὐρανίους τε καὶ ἀερίους ἐγγείους τε καὶ θαλασσίους, καὶ ἄλλ' ἄττα δαιμόνια ἐν ὕδασι πηγῶν τε καὶ ποταμῶν εἶναι λεγόμενα. θύουσι δὲ ἐνδελεχέστατα ἱερεῖα πάντα καὶ ἐναγίζουσι. τῶν δὲ ἱερείων σφίσι τὸ κάλλιστον ἄνθρωπός ἐστιν ὅνπερ ἂν δοριάλωτον ποιήσαιντο πρῶτον. τοῦτον γὰρ τῷ Ἄρει θύουσιν, ἐπεὶ θεὸν αὐτὸν νομίζουσι μέγιστον εἶναι. ἱερῶνται δὲ τὸν αἰχμάλωτον οὐ θύοντες μόνον, ἀλλὰ καὶ ἀπὸ ξύλου κρεμῶντες, ἢ ἐς τὰς ἀκάνθας ῥιπτοῦντες, ταῖς ἄλλαις τε κτείναντες θανάτου ἰδέαις οἰκτίσταις. οὕτω μὲν Θουλῖται βιοῦσιν. ὧν ἔθνος ἓν πολυάνθρωπον οἱ Γαυτοί εἰσι, παρ' οὓς δὴ Ἐρούλων τότε οἱ ἐπηλύται ἱδρύσαντο.

Νῦν δὲ Ἐρουλοι, οἳ δὴ παρὰ Ῥωμαίοις ᾠκηνται, φόνου σφίσι τοῦ βασιλέως ἐξειργασμένου ἔπεμψαν τῶν λογίμων τινὰς ἐς Θούλην τὴν νῆσον, τοὺς διερευνησομένους τε καὶ κομιοῦντας, ἤν τινα ἐνταῦθα εὑρεῖν αἵματος τοῦ βασιλείου οἷοί τε ὦσιν. ἐπεί τε οἱ ἄνδρες οὗτοι ἐν τῇ νήσῳ ἐγένοντο, πολλοὺς μὲν ἐνταῦθα γένους τοῦ βασιλείου εὗρον, ἕνα μέντοι ἀπολέξαντες, ὅσπερ αὐτοῖς μάλιστα ἤρεσκεν, ὀπίσω ἀναστρέφοντες ξὺν αὐτῷ ἧισαν.

10. δοριάλωτον] δορυάλωτον P. 12. ἱερῶνται] fs. ἱερεῦνται Hm. 14. οἰκτίσταις P ex Vat. addidit.

venatum it: siquidem hoc studium feminis cum viris commune est. Atque haec est Barbarorum illorum vivendi ratio. Thulitae reliqui fere omnes ab aliis nationibus parum discrepant. Complures Deos ac Genios colunt, partim caelestes, partim aërios, alios terrestres, quosdam marinos, et alia quaedam minora numina, quae in aquis fontium fluminumque versari perhibent. Operantur sacris assiduissime, et victimis cuiusquemodi litant: quarum praestantissimam esse iudicant hominem, quem primum bello ceperint. Hunc Marti, quem deorum maximum ducunt, immolant. Sic autem sacrificant, ut captivum non mactent caede simplici, sed e ligno suspendant, vel proiiciant in spinas, et quovis alio mortis genere miserando conficiant. His Thulitae moribus vivunt: quorum e numero sunt Gauti, gens foecunda: quae sedes Erulis tunc advenis praebuit.

Iam vero Eruli, qui apud Romanos habitabant, Regis sui patrata caede, quosdam ex optimatibus in Thulen insulam destinarunt, qui perquirerent, ac si quem nacti ibi essent regii sanguinis virum, ducerent. Illi in insulam pervecti, multos e regia propinquitate illic inveniunt, delectoque uno, qui ipsis maxime placebat, cum eo renavigant. Verum is

ὃς δὴ ἐπειδὴ ἐν Δανοῖς ἐγένετο, τελευτᾷ νόσῳ. διὸ δὴ αὖθις οἱ ἄνδρες οὗτοι ἐν τῇ νήσῳ γενόμενοι ἕτερον ἐπήγαγον Τοδάσιον ὄνομα. ᾧ δὴ ὅ τε ἀδελφὸς Ἄορδος εἵπετο καὶ τῶν ἐν Θούλῃ Ἐρούλων νεανίαι διακόσιοι. χρόνου δὲ αὐτοῖς ἐν τῇ πορείᾳ ταύτῃ τριβέντος συχνοῦ Ἐρούλοις τοῖς ἀμφὶ Σιγγηδόνα ἔννοια γέγονεν ὡς οὐ τὰ ξύμφορα σφίσιν αὐτοῖς ποιοῖεν ἐκ Θούλης ἀρχηγὸν ἐπαγόμενοι Ἰουστινιανοῦ βασιλέως οὔ τι ἐθελουσίου. πέμψαντες οὖν ἐν Βυζαντίῳ βασιλέως ἐδέοντο ἄρχοντα σφίσι πέμψαι, ὃν ἂν P 425
αὐτῷ βουλομένῳ εἴη. ὁ δὲ αὐτοῖς τῶν τινα Ἐρούλων ἐκ παλαιοῦ διατριβὴν ἐνταῦθα ἔχοντα εὐθὺς ἔπεμψε, Σουαρτούαν ὄνομα. ὅνπερ Ἐρουλοι εἶδον μὲν τὰ πρῶτα καὶ προσεκύνησαν ἄσμενοι ἐπιστέλλοντί τε τὰ εἰωθότα ἐπήκουον, ἡμέραις δὲ οὐ πολλῷ ὕστερον ἧκέ τις ἀγγέλλων τοὺς ἐκ Θούλης νήσου ἄγχιστά που εἶναι. καὶ Σουαρτούας μὲν τοὺς ἀπολέσαντας αὐτοὺς ὑπαντιάζειν ἐκέλευεν, Ἐρουλοι δὲ τὸ βούλευμα ἐπαινέσαντες εὐθὺς εἵποντο. ἐπεὶ δὲ ἡμέρας ὁδῷ ἀλλήλων διεῖχον, νύκτωρ μὲν αὐτὸν ἀφέντες ἅπαντες ἐς τοὺς ἐπηλύτας αὐτόμολοι ἦλθον, αὐτὸς δὲ μόνος ἐς Βυζάντιον ἀποδρὰς ᾤχετο. καὶ βασιλεὺς μὲν πάσῃ B
δυνάμει κατάγειν ἐς τὴν ἀρχὴν αὐτὸν ἐν σπουδῇ ἐποιεῖτο, Ἐρουλοι δὲ δόναμιν τὴν τῶν Ῥωμαίων δειμαίνοντες Γήπαισι προσχωρεῖν ἔγνωσαν. αὕτη μὲν Ἐρούλοις αἰτία τῆς ἀποστάσεως γέγονε.

1. *ἐπειδὴ*] *ἐπειδὰν* P. *ibid.* *ἐν δανοῖς* Vat. Vulgo *ἐγγύς*.
2. *Τοδάσιον*] *Δάτιον* Vat. 5. *Σιγγηδόνα*] *Σιγιδῶνα* P.
7. *οὔ τι*] *οὔ τοι* P.

extremae iam vitae proximus, morbo obiit. Quamobrem reversi iidem in insulam, alterum, quem Todasium nominabant, secum duxere. Huic Aordus frater lectique ex Erulis, qui in Thule degebant, adolescentes cc. comites se addiderant. Dum autem in hac profectione multum temporis ponunt, interea Erulis circa Singidonem agitantibus in mentem incidit cogitatio, se male rebus suis consulere, asciscendo sibi ex Thule Principem, praeter Iustiniani Imp. assensum. Ergo missa Byzantium legatione, ab Imperatore petunt, ut Regem ad se mittat, quemcunque volet. Statim ille Suartuam Erulum destinat, a multo iam tempore Byzantii commorantem: quem quidem Eruli principio viderunt lubentes, adoraruntque, et consueta iubenti morem gesserunt. At paucis post diebus nuntius venit, profectos ex Thule insula appropinquare. Mox Suartuas obviam ire iussit, qui illos perderent. Eruli, probato consilio, sine mora secuti sunt. Ubi demum inter utrosque diei iter interfuit, a Suartua digressi omnes de nocte, ad advenas transfugerunt. Ille solus fugiens, Byzantium rediit: quem cum Imperator in regnum omni ope restituere moliretur, Eruli, Romanam veriti potentiam, ad Gaepaedes desciverunt. Atque hanc Erulorum defectio causam habuit.

C ις'. Βελισάριος δὲ καὶ Ναρσῆς ξὺν ἀμφοτέροις στρατεύμασιν ἀλλήλοις ἀνεμίγνυντο ἀμφὶ πόλιν Φίρμον, ἣ κεῖται μὲν περὶ τὴν ἠόνα τοῦ Ἰονίου κόλπου, ἀπέχει δὲ Αὐξίμου πόλεως ἡμέρας ὁδόν. ἐνταῦθα ξὺν πᾶσι τοῖς τοῦ στρατοῦ ἄρχουσιν ἐν βουλῇ ἐποιοῦντο, ὅπῃ ποτὲ σφίσι πρότερον ἐπὶ τοὺς πολεμίους ἰοῦσι μᾶλλον ξυνοίσει. ἦν τε γὰρ ἐπὶ τοὺς Ἀρίμηνον πολιορκοῦντας χωρήσειαν, τοὺς ἐν Αὐξίμῳ ὑπώπτευον μὴ κατὰ νώτου ἰόντες σφῶς τε καὶ Ῥωμαίους τοὺς ταύτῃ ᾠκημένους τὰ ἀνήκεστα, ὡς τὸ εἰκὸς, δράσωσι, καὶ ἀμφὶ τοῖς πολιορκουμένοις ἐδείμαινον μὴ τῇ ἀπορίᾳ τῶν ἀναγκαίων δεινόν τι πάθωσιν. οἱ μὲν οὖν πλεῖστοι Ἰωάννῃ χαλεπῶς ἔχοντες ἐποιοῦντο τοὺς λόγους. ἐπεκάλουν γάρ οἱ ὅτι θράσει τε ἀλογίστῳ καὶ χρημάτων πολλῶν ἔρωτι ἐς τοσοῦτον κινδύνου ἀφίκοιτο, καὶ οὐκ ἐν τάξει οὐδὲ ᾗ Βελισάριος ἐξηγεῖτο ἐῴη τὰ τοῦ πολέμου περαίνεσθαι. Ναρσῆς δὲ (καὶ γάρ οἱ φίλτατος ἦν ἀνθρώπων ἁπάντων) δείσας μὴ Βελισάριος πρὸς τὰ τοῖς ἄρχουσιν εἰρημένα ἐνδοὺς ἐν δευτέρῳ τὰ ἐν Ἀριμήνῳ πράγματα θῆται ἔλεξε τοιάδε „Οὐκ ἐν τοῖς εἰωθόσι διαλογίζεσθε, ἄνδρες ἄρχοντες, οὐδὲ ὑπὲρ ὧν ἄν τις εἰκότως ἀμφαγνοήσειε τὴν βουλὴν ἔχετε, ἀλλ' ἐν οἷς πάρεστι καὶ τοῖς ἐς πολέμου πεῖραν οὐδεμίαν ἐλθοῦσι τὴν αἵρεσιν αὐτοσχεδιάζουσι τὰ κρείσσω ξυμβῆναι. εἰ μὲν γὰρ ὅ τε κίνδυνος ἐν ἴσῳ δοκεῖ καὶ βλάβος ἑκατέρωθεν τοῖς γε ἀποτυχοῦσιν ἀντίπαλον, βουλεύεσθαί τε ἱκανῶς ἄξιον καὶ λογισμῶν ἐπὶ πλεῖστον ποιοῦσιν οὕτω ποιεῖ-

8. ἰόντες] ἰόντας HL. 18. διαλογίζεσθε] διαλογίζεσθαι L.

16. Belisarius et Narses iunctis copiis ad urbem Firmum, quae littori sinus Ionii vicina, diei iter distat ab urbe Auximo, ibidem coacto Ducum omnium exercitus consilio, deliberarunt, qua parte hostem petere satius esset. Si ad eos, qui Ariminum obsidebant, contenderent, Auximi praesidiarios a tergo subituros putabant, seque et Romanos, regionis illius incolas, ab ipsis proculdubio gravissima accepturos incommoda. Rursus timebant, ne obsessos rei cibariae penuria in magnam aliquam calamitatem coniiceret. Disserebant plerique indignabundi in Ioannem: quem caeca audacia et amore pecuniae ingentis ductum, in tantum discrimen se commisisse, neque ordine et praescripta a Belisario via bellum progredi sinere crimininabantur. Narses vero, illi mortalium omnium amicissimus, cum vereretur, ne rem Ariminensem Belisarius postponeret, orationibus Ducum permotus, hanc ipse habuit. *Non disceptatis, o Duces, quae in disceptationem vocari solent: nec de re consulitis, cuiquam merito dubia, sed in qua quod factu optimum est, suo ipsi sensu facile eligant vel rei bellicae plane rudes. Si aequale hinc inde periculum se offerret, et spei frustrationem par utrinque damnum consequeretur, diligenter deliberandum esset, atque in re praesenti diiudicandam, multa adhibita consi-*

σθαι τὴν ὑπὲρ τῶν παρόντων διάγνωσιν. ἡμεῖς δὲ εἰ μὲν τὴν ἐς V 83
Ἄξιμον προσβολὴν ἐς ἄλλον τινὰ χρόνον ἀποθέσθαι βουλοίμεθα, τὴν ζημίαν ἐν τοῖς ἀναγκαίοις οὐδαμῶς ἔχομεν· τί γὰρ ἂν μεταξὺ τὸ διαλλάσσον εἴη; ἐν Ἀριμήνῳ δὲ, ὡς τὸ εἰκὸς, σφαλέντες, εἰ μὴ λίαν πικρὸν εἰπεῖν ᾖ, τὴν Ῥωμαίων ἰσχὺν καταλύσομεν. εἰ μὲν Ἰωάννης ἐς τὰς σὰς ἐντολὰς ὕβρισεν, ἄριστε Βελισάριε, πλήν γε τὴν δίκην ἔχεις παρ' ἐκείνου λαβών, ἐπεί σοι πάρεστι σώζειν τε τὸν ἐπταικότα καὶ τοῖς πολεμίοις προΐεσθαι. σκόπει δὲ μὴ τὰς ποινὰς ὧν Ἰωάννης ἀγνοήσας ἥμαρτε παρὰ βα- B
σιλέως τε καὶ ἡμῶν λάβῃς. εἰ γὰρ νῦν Ἀρίμηνον ἐξέλωσι Γότθοι, στρατηγόν τε αὐτοῖς Ῥωμαίων δραστήριον καὶ στράτευμα H 235
ὅλον καὶ πόλιν κατήκοον βασιλεῖ δοριάλωτον πεποιῆσθαι ξυμβήσεται. καὶ οὐκ ἄχρι τούτου στήσεται τὸ δεινὸν, ἀλλὰ καὶ ξυμπασαν καταστῆσαι τὴν τοῦ πολέμου δυνήσεται τύχην. οὕτωσὶ γὰρ λογίζου περὶ τῶν πολεμίων, ὡς πλήθει μὲν στρατιωτῶν ἔτι καὶ νῦν ἡμῶν παρὰ πολὺ προέχουσιν, ἐς ἀνανδρίαν δὲ οἷς πολλάκις ἐσφάλησαν ἐκπεπτώκασιν. εἰκότως· τὸ γὰρ τῆς τύχης ἐναντίωμα πᾶσαν αὐτῶν τὴν παρρησίαν ἀφεῖλετο. ἢν τοίνυν ἐν τῷ παρόντι εὐημερήσωσι, τό τε φρόνημα οὐκ ἐς μακρὰν ἀπολήψονται καὶ τὸ λοιπὸν οὐκ ἐξ ἀντιπάλου μόνον ἡμῖν τῆς τόλμης, ἀλλὰ C
καὶ πολλῷ μειζόνως τὸν πόλεμον τόνδε διοίσουσι. φιλοῦσι γὰρ οἱ τῶν δυσκόλων ἀπαλλασσόμενοι τῶν οὔπω δεδυστυχηκότων ἀμείνους ἀεὶ τὰς γνώμας εἶναι." Ναρσῆς μὲν τοσαῦτα εἶπε.

4. τὸ διαλλάσσον HL. τὸ om. P. 12. δοριάλωτον] δορυάλωτον P. 14. οὑτωσί] οὕτω καὶ L. 16. οἷς] οἳ Scaliger.

deratione. At si Auximi oppugnandi consilium in tempus aliud reiicere placeat, haud gravem iacturam faciemus: quaenam enim mutatio interveniet? Sin Arimini res male vertere sinamus, nostra fiet culpa (absit verbo acerbitas) ut Romanorum vires atque animi concidant. Porro Ioannes, si contra honorem venit mandatis debitum tuis, optime Belisari, nunc certe tibi poenas persolvit, sub tuum arbitrium ita redactus, ut lapsum vel servare possis, vel hosti permittere. Tu vero vide, ne quae deliquit Ioannes per imprudentiam, in nos atque Augustum vindices. Etenim si iam Gothi Ariminum expugnabunt, nos Romanum Ducem strenuum, copiasque omnes, et Imperatori subditam civitatem in servitutem redigent. Neque hic malum desinet: sed belli quoque fortunam convertet penitus. Tecum enim perpende, militum quidem numero hostes adhuc nobis longe praestare, eorum vero animos crebris belli offensionibus esse fractos, et quidem merito; adversa fortuna omnem illis confidentiam adimente. Quare si rem prospere modo gerant, statim animos recipient, nec pari solum, sed multo etiam maiori audendi vi bellum inferent. Nam qui ex difficultatibus emerserunt, animosiores esse solent quam qui nondum in acerbos casus demissi sunt. Hactenus Narses.

Στρατιώτης δέ τις ἐξ Ἀριμήνου λαθὼν τοὺς βαρβάρους ἔς τε τὸ στρατόπεδον ἦλθε καὶ Βελισαρίῳ γράμματα ἔδειξεν, ἃ πρὸς αὐτὸν Ἰωάννης ἔγραψεν. ἐδήλου δὲ ἡ γραφὴ τάδε „Ἅπαντα ἡμᾶς τὰ ἐπιτήδεια χρόνου πολλοῦ ἐπιλελοιπέναι καὶ τὸ λοιπὸν μήτε πρὸς τὸν δῆμον ἀντέχειν ἡμᾶς ἴσθι μήτε τοὺς ἐπιόντας ἀμύνεσθαι οἵους τε εἶναι, ἀλλ' ἑπτὰ ἡμερῶν ἀκουσίους ἡμᾶς τε αὐτοὺς καὶ πόλιν τήνδε τοῖς πολεμίοις ἐγχειριεῖν· περαιτέρω γὰρ βιάζεσθαι τὴν παροῦσαν ἀνάγκην ἥκιστα ἔχομεν, ἥνπερ ἀπολογεῖσθαι ὑπὲρ ἡμῶν, ἤν τι οὐκ εὐπρεπὲς δράσωμεν, ἀξιόχρεων οἶμαι." Ἰωάννης μὲν ἔγραψεν ὧδε. Βελισάριος δὲ διηπορεῖτό τε καὶ ἐς ἀμηχανίαν ἐπὶ πλεῖστον ἐξέπιπτε. περί τε γὰρ τοῖς πολιορκουμένοις ἐδείμαινε καὶ τοὺς ἐν Αὐξίμῳ πολεμίους ὑπώπτευε δηώσειν μὲν ἀδεέστερον ἅπαντα περιιόντας τὰ ἐκείνῃ χωρία, σφῶν δὲ κατόπισθεν τὸ στρατόπεδον ἐνεδρεύσοντας, ἄλλως τε καὶ ἡνίκα ἂν τοῖς ἐναντίοις προσμίξειαν, πολλά τε κακὰ καὶ ἀνήκεστα, ὡς τὸ εἰκός, διεργάσεσθαι. ἔπειτα μέντοι ἐποίει τάδε. Ἀράτιον μὲν ξὺν χιλίοις ἀνδράσιν αὐτοῦ ἔλιπεν, ἐφ' ᾧ πρὸς τῇ θαλάσσῃ στρατόπεδον ποιήσονται, πόλεως Αὐξίμου σταδίους διακοσίους ἀπέχον. οὓς δὴ ἐκέλευε μήτε πη ἐξανισταμένους ἐνθένδε ἶέναι μήτε διαμάχεσθαι τοῖς πολεμίοις, πλήν γε δὴ ὅσα ἐκ τοῦ στρατοπέδου ἀμυνομένους, ἣν ἐκεῖνοί ποτε ἐπ' αὐτοὺς ἴωσι. ταύτῃ γὰρ τοὺς βαρβάρους μάλιστα ἤλπιζεν ἄγχιστά που στρατοπεδευομένων Ῥωμαίων ἔν τε Αὐξίμῳ ἡσυχῇ μενεῖν καὶ οὔποτε

5. μήτε — μήτε] Vulgo μηδὲ — μηδὲ. 23. μενεῖν] Vulgo μένειν.

Tum miles quidam Arimino, clam Barbaris, venit in castra, ac Belisario literas protulit, quas ad ipsum Ioannes in hanc rationem scripserat. *Scias velim nos iamdudum carere cibariis, neque amplius obniti posse populo, neque hostilem vim propulsare: sed intra dies* VII. *cum hac civitate, invitos licet, in deditionem venturos. Neque enim diutius resistere possumus instanti necessitati: quam satis nobis patrocinaturam existimo, si quid egerimus decoro minime consentaneum.* Haec erat Ioannis epistola. Pendebat animi Belisarius, nec levi aestuabat dubitatione. Hinc enim obsessis timebat: illinc suspicabatur fore ut hostium, qui erant Auximi, liberis quoquoversum excursionibus omnia vastarentur; neu suae copiae, eorum insidiis a tergo appetitae, praesertim cum ad hostes se admoviassent, multa et gravia damna, ut vero simile videbatur, acciperent. Rem tamen postmodum ita disposuit. Aratium ibi reliquit cum viris mille, eo consilio, ut castra ad mare ponerent, quae ab urbe Auximo CC. abessent stadiis: vetuitque inde movere et cum hostibus congredi, nisi ut illos, si quando facerent impetum, a castris prohiberent. Quo factum iri maxime sperabat, ut cum Romanos castra in proximo habere scirent Barbari, Auximi tenerent sese, nec Romanum exercitum a tergo infesti premerent.

κακουργήσοντας σφίσιν ἔψεσθαι. στρατιὰν δὲ ἀξιολογωτάτην ξὺν ναυσὶν ἔπεμψεν, ἧς Ἡρωδιανός τε καὶ Οὐλιάρης καὶ Ναρσῆς Ἀρατίου ἀδελφὸς ἦρχον. αὐτοκράτωρ δὲ τῷ στόλῳ Ἰλδίγερ ἐφειστήκει, ὃν δὴ εὐθὺ Ἀριμήνου Βελισάριος ἐκέλευε πλεῖν, φυλασσομένους μὴ μακρὰν ἀπολελειμμένου τοῦ πεζοῦ στρατοῦ καταίρειν ἐς τὴν ἐκείνῃ ἀκτὴν ἐγχειρήσωσιν. ὁδῷ γὰρ αὐτοὺς πορεύεσθαι τῆς ἠόνος οὐ πολλῷ ἄποθεν. καὶ στρατιὰν μὲν ἄλλην, B ἧς Μαρτῖνος ἦρχε, ταῖς ναυσὶ ταύταις παρακολουθοῦντας κατὰ τὴν παραλίαν ἐκέλευεν ἰέναι, ἐντειλάμενος, ἐπειδὰν τῶν πολεμίων ἄγχιστα ἴκωνται, πυρὰ πλείονα καὶ οὐ κατὰ λόγον τοῦ στρατοῦ καίειν, δόκησίν τε πλήθους πολλῷ πλείονος τοῖς ἐναντίοις παρέχεσθαι. αὐτὸς δὲ ἄλλην ὁδὸν τῆς ἠόνος ἀπωτάτω οὖσαν ξύν τε Ναρσῇ καὶ τῷ ἄλλῳ στρατῷ διὰ πόλεως Οὐρβισαλίας ἦει, ἣν δὴ ἐν τοῖς ἔμπροσθεν χρόνοις οὕτως Ἀλάριχος καθεῖλεν ὥστε ἄλλο γε αὐτῇ οὐδ' ὁτιοῦν ἀπολέλειπται τοῦ προτέρου κόσμου, ὅτι μὴ πύλης μιᾶς καὶ τῆς κατασκευῆς τοῦ ἐδάφους λείψανόν τι βραχύ.

ιζ'. Ἐνταῦθά μοι ἰδεῖν θέαμα ξυνηνέχθη τοιόνδε. ἡνίκα C V 84 ὁ ξὺν τῷ Ἰωάννῃ στρατὸς ἐς Πικηνοὺς ἦλθε, γέγονεν, ὡς τὸ εἰκός, ταραχή τις πολλὴ τοῖς ταύτῃ ἀνθρώποις. τῶν τε γυναικῶν αἱ μὲν ἔφευγον ἐξαναίλως ὅπη αὐτῶν ἑκάστῃ δυνατὰ ἐγεγόνει, αἱ δὲ καταλαμβανόμεναι ἤγοντο κόσμῳ οὐδενὶ πρὸς τῶν ἐντυχόντων. ἐν τούτῳ οὖν τῷ χωρίῳ μία τις γυνὴ ἀρτίως τεκοῦσα καὶ

6. ἐγχειρήσωσιν L. ἐγχειρίσωσιν P. 13. Οὐρβισαλίας] οὐρκισαλίας HL. 19. Πικηνοὺς] Πικήνους P. et Scaliger. πιγκηνοὺς H. πιγγηάνους L.

Cum navibus validissima misit agmina, ducibus Herodiano, Uliare, et Narsete fratre Aratii. Classi praeerat Ildiger: cui mandavit, recta Ariminum navigaret, dando operam, ne tentaretur appulsus ad oram illam, si remotior esset pedestris exercitus. Nam iter eos facere voluit non procul a littore. Alia item caterva, ducente Martino, maris oram legebat, classem assectans, et iussa a Belisario, cum proxime hostes ventum esset, plures, quam pro modo numeroque exercitus, ignes accendere, et hostibus longe maioris multitudinis praebere speciem. Diversam ipse viam longissime a littore cum Narsete caeterisque copiis ingressus Urbesalvia transiit: quam olim Alaricus ita evertit, ut pristini decoris nihil ei supersit, praeter unam admodum portam, et paucas structurae pavimenti reliquias.

17. Hic mihi contigit ut quod subiiciam cernerem. Quo tempore Ioannis exercitus in Picenum venit, incolas terror, ut fit, turbavit plurimum. Tunc feminae partim fuga praecipiti, qua cuique licuit, evasere; partim ab obviis comprehensae, et indignis modis abductae sunt. Eo loci mulier quaedam, a puerperio recens, filiolum in cunabulis reliquit,

τὸ παιδίον ἀπολιποῦσα ἐν τοῖς σπαργάνοις ἐπὶ γῆς κείμενον καὶ εἴτε φυγοῦσα εἴτε ὑφ' ὁτουοῦν καταληφθεῖσα, ἐνταῦθα ἐπανήκειν οὐκέτι ἔσχεν· ἠφανίσθαι γὰρ αὐτῇ δηλονότι ἢ ἐξ ἀνθρώπων
D ἢ ἐξ Ἰταλίας ξυνέπεσε. τὸ μὲν οὖν παιδίον ἐν ταύτῃ δὴ τῇ ἐρη-
H 236 μίᾳ γεγονὸς ἔκλαιεν. αἶξ δὲ αὐτὸ μία ἰδοῦσα ᾠκτίζετό τε καὶ πλησίον ἀφικομένη (ἔναγχος γὰρ τεκοῦσα καὶ αὐτὴ ἔτυχε) τὸν τιτθὸν ἐδίδου καὶ τὸ παιδίον ξὺν ἐπιμελείᾳ ἐφύλασσε, μὴ κύων ἢ τι θηρίον αὐτὸ λυμάνηται. χρόνου τε τῇ ταραχῇ τριβέντος συχνοῦ τούτου δὴ τοῦ τιτθοῦ ἐπὶ πλεῖστον μεταλαχεῖν τὸ παιδίον
P 428 ξυνέβη. γνωσθὲν δὲ τοῖς Πικηνοῖς ὕστερον ὅτι δὴ ὁ βασιλέως στρατὸς ἐπὶ Γότθων μὲν τῷ πονηρῷ ἐνταῦθα ἥκοι, Ῥωμαῖοι δὲ οὐ πείσονται οὐδὲν πρὸς αὐτοῦ ἄχαρι, ἐπανῆλθον εὐθὺς οἴκαδε ἅπαντες. ἔν τε Οὐρβισαλίᾳ ξὺν τοῖς ἀνδράσιν αἱ γυναῖκες γενόμεναι, ὅσαι γένος Ῥωμαῖαι ἦσαν, ἐπειδὴ τὸ παιδίον τοῖς σπαργάνοις περιὸν εἶδον, τὸ γεγονὸς ξυμβάλλειν οὐδαμῇ ἔχουσαι ἐν θαύματι μεγάλῳ ὅτι δὴ βιᾷ πεποίηνται. καὶ τὸν τιτθὸν ἑκάστη ἐδίδου, αἳ δὴ πρὸς τοῦτο ἐπιτηδείως ἔχουσαι ἔτυχον. ἀλλ' οὔτε τὸ παιδίον ἀνθρώπειον γάλα ἔτι προσίετο καὶ ἡ αἶξ αὐτοῦ
B μεθίεσθαι ἥκιστα ἤθελεν, ἀλλὰ μηκωμένη ἀμφὶ τὸ παιδίον ἐνδελεχέστατα, δεινὰ τοῖς παροῦσιν ἐδόκει ποιεῖσθαι, ὅτι τῷ παιδίῳ ἄγχιστα αἱ γυναῖκες ἰοῦσαι οὕτω δὴ αὐτῷ ἐνοχλοῖεν, τό τε ξύμπαν εἰπεῖν μεταποιεῖσθαι ὡς οἰκείου τοῦ βρέφους ἠξίου. καὶ

8. λυμάνηται P. λυμανῆται HL. 10. Πικηνοῖς] Πικήνοις P. πικηνοῖς HL. 11. πονηρῷ] Vulgo πονήφ. 14. τοῖς σπαργάνοις] ἐν τοῖς σπαργάνοις Maltretus. 15. περιὸν Maltretus. Vulgo περιιὸν. 19. μηκωμένη] μυκωμένη L.

lacentem humi, neque illuc reverti potuit, seu fuga longius provecta, seu violentas passa manus raptoris cuiuspiam: nam vel ex vita, vel certe ex Italia migravit. Cum ita derelictus infans vagiret, enixa recens capra, eum ut vidit, miserata est. Accedit: mammam praebet: asservat, sedulo cavens, ne canis vel fera quaepiam noceat. Et quoniam in eo tumultu trepido multum temporis abiit, diu infans copiam habuit eiusce mammae. Deinde cum Picentes intellexissent, eo venire Imperatoris exercitum, ut Gotthos, Romanis plane intactis, perderet, domum omnes redierunt. Itaque Urbemsalviam reversae cum viris feminae, quae genere Romanae erant, ubi superstitem in cunis pusionem viderunt, nullam habentes viam, qua rei causam deprehenderent, adhuc vitae plenum demirabantur. Tum illi mammam certatim admovere quaecunque lactare poterant. At ipse lac humanum iam respuebat, et capra vetabat admittere, assiduo circa eum balatu significans astantibus, se aegre ferre, quod pusioni molestae essent mulieres, quae illi propius accedebant. Uno verbo absolvam: volebat eum, non secus ac foetum suum, curare. Quocirca desierunt tur-

ἀπ' αὐτοῦ αἵ τε γυναῖκες τὸ παιδίον οὐκέτι ἠνώχλουν καὶ ἡ αἴξ ἀδεέστερον ἔτρεφέ τε καὶ τὰ ἄλλα ἐπιμελομένη ἐφύλαττε. διὸ δὴ Αἴγισθον οἱ ἐπιχώριοι τοῦτο δὴ τὸ παιδίον ἐκάλουν. καὶ ἥνικα μοι ἐπιδημεῖν ἐνταῦθα ξυνέβη, ἐπίδειξιν τοῦ παραλόγου ποιούμενοι παρά τε τὸ παιδίον ἦγον καὶ αὐτὸ ἐξεπίτηδες, ἵνα βοᾷ, ἐλύπουν. καὶ τὸ μὲν τοῖς λυποῦσιν ἀχθόμενον ἔκλαεν, ἀκούσασα δὲ ἡ αἴξ (διεστήκει γὰρ αὐτοῦ ὅσον λίθου βολήν) δρόμῳ τε καὶ μεκηθμῷ ἐχομένη πολλῷ παρ' αὐτὸ ἦει, ὑπερθέν τε αὐτοῦ ἑλθοῦσα ἔστη, ὡς μή τις αὐτὸ λυπεῖν τὸ λοιπὸν δύνηται. C
τὰ μὲν οὖν ἀμφὶ τῷ Αἰγίσθῳ τούτῳ τοιαῦτά ἐστι.

Βελισάριος δὲ διὰ τῶν ταύτῃ ὀρῶν ἐχώρει. πλήθει γὰρ παρὰ πολὺ ἐλασσούμενος τῶν ἐναντίων οὐκ ἤθελεν αὐτοῖς ἐκ τοῦ εὐθέος ἐς χεῖρας ἰέναι, ἐπεὶ καὶ θανατῶντας τοῖς ξυμπεσοῦσι τοὺς βαρβάρους ἑώρα. ᾤετο δὲ αὐτούς, ἐπειδὰν τάχιστα πύθωνται παντα- D
ταχόθεν σφίσι πολεμίων ἐπιέναι στρατὸν, ἀλκῆς ἂν οὐδεμιᾶς μνησθῆναι, ἀλλ' αὐτίκα δὴ μάλα ἐς φυγὴν τρέψεσθαι. καὶ ἔτυχέ γε τῆς ἀληθοῦς δόξης, οὐκ ἔξω τοῦ ἐσομένου ὑποτοπήσας. ἐπειδὴ γὰρ ἐν τοῖς ὄρεσιν ἐγένοντο, ἅπερ ἀπὸ Ἀριμήνου ἀπέχει
D ἡμέρας ὁδὸν, Γότθοις τισὶν ὀλίγοις κατά τινα χρείαν ὁδῷ πορευομένοις ἐνέτυχον. οἳ δὴ ἐκ τοῦ ἀπροσδοκήτου πολεμίων περιπεπτωκότες στρατῷ ἐκταπέσθαι τῆς ὁδοῦ οὐδαμῇ ἰσχυσαν, ἕως παρὰ τῶν ἔμπροσθεν ἰόντων βαλλόμενοι οἱ μὲν αὐτοῦ ἔπεσον, οἱ δὲ τραυματίαι γεγενημένοι τοὺς ἐκείνῃ σκοπέλους ἀνα-

8. μεκηθμῷ] μυκηθμῷ L. *ibid.* αὐτὸ] αὐτῷ L a pr. m. *ibid.* ἦει Reg. Vulgo ἤκει.

bare infantem feminae, et capra liberius nutriit, atque omni cura custodiit: quae causa fuit, cur eum indigenae Aegisthum appellaverint. Me vero, cum ibi essem, ad infantem duxerunt per ostentationem rei opinione maioris, ac de industria illum fatigarunt, ut vagitum elicerent. Ille molestos interpellatores non ferens, plorare coepit. Quo capra audito (nam iactu lapidis tantum aberat) graviter balans accurrit, supraque ipsum astitit, ne quis ei negotium ultra facesseret. Haec habui, quae de Aegistho hoc memoriae proderem.

Belisarius vero per huius regionis montes iter faciebat, quod hostes aperte aggredi nollet, numero longe illis inferior. Praeterea, cum Barbaros metu, quem ex praeteritis casibus ceperant, exanimatos videret, non dubitabat, quin ut primum audirent imminere sibi undique hostium copias, virtutis penitus obliti, in fugam se conferrent. Ac vere iudicavit, certa futuri coniectura ductus. Postquam enim ad montes, diei iter ab Arimino dissitos, perventum est, in exiguum inciderunt Gotthorum agmen, rei cuiuspiam necessariae causa iter agentium: qui necopinato in hostilem exercitum delapsi, de via non deflexerunt, donec praeeuntium telis alii ibi ceciderunt, alii vulnerati, ad vicina saxa cursu furtim

δραμόντες ἐπί τινας διέλαθον. ὅθεν σκοπούμενοι τὸν Ῥωμαίων στρατὸν ἐς πάσας δυσχωρίας ξυρρέοντας, πολλῷ πλείονας τοῦ ἀληθοῦς μέτρου ὑπετόπαζον εἶναι. ἔνθα δὴ καὶ τὰ Βελισαρίου
V 85 σημεῖα ἰδόντες, αὐτὸν ἐξηγεῖσθαι ταύτῃ τῇ στρατιᾷ ἔγνωσαν.
P 429 νύξ τε ἐπέβαλε, καὶ αὐτοῦ μὲν Ῥωμαῖοι ηὐλίσαντο, τῶν δὲ Γότθων οἱ τραυματίαι λάθρα ἐπὶ τὸ τοῦ Οὐιτίγιδος στρατόπεδον ἦσαν. οὗ δὴ ἀμφὶ μέσην ἡμέραν γενόμενοι τάς τε πληγὰς ἐπεδείκνυον καὶ Βελισάριον σφίσι ξὺν στρατῷ κρείσσονι ἢ ἀριθμεῖσθαι ὅσον οὔπω παρέσεσθαι ἰσχυρίζοντο. οἱ δὲ παρεσκευάζοντο μὲν ὡς ἐς μάχην πρὸς βορρᾶν ἄνεμον Ἀριμήνου πόλεως τετραμμένοι· (ταύτῃ γὰρ ᾤοντο τοὺς πολεμίους ἀφίξεσθαι) ἀεί τε ἐς τοῦ ὄρους τὰ ἄκρα ἔβλεπον ὅπαντες. ἐπεὶ δὲ, νυκτὸς σφίσιν ἐπιγενομένης, καταθέμενοι τὰ ὅπλα ἡσύχαζον, πυρὰ πολλὰ ἐς τὰ πρὸς
B ἕω τῆς πόλεως ὅσον ἀπὸ σταδίων ἑξήκοντα εἶδον, ἅπερ τὸ ξὺν Μαρτίνῳ στράτευμα ἔκαιεν, ἐς δέος τε ἀμήχανον ἦλθον. κυκλωθήσεσθαι γὰρ πρὸς τῶν πολεμίων ἅμα ἡμέρᾳ ὑπώπτευον. ταύτην μὲν οὖν τὴν νύκτα ξὺν δέει τοιούτῳ ηὐλίσαντο. τῇ δὲ ἐπιγενομένῃ ἡμέρᾳ ἅμα ἡλίῳ ἀνίσχοντι στόλον νηῶν ἐπὶ σφᾶς ἰόντα ὁρῶσιν ἐξαίσιον οἷον. ἔς τε ἀφασίαν ἐμπεπτωκότες εἰς φυγὴν ὥρμηντο. συσκευαζόμενοί τε κατὰ τάχος τοσούτῳ θορύβῳ τε καὶ κραυγῇ εἴχοντο ὥστε οὔτε τῶν παραγγελλομένων κατήκουον οὔτε ἄλλο τι ἐν νῷ ἐποιοῦντο ἢ ὅπως ἂν αὐτὸς ἕκαστος
C πρῶτός τε ἀπαλλάσσοιτο τοῦ στρατοπέδου καὶ Ῥαβέννης τοῦ πε-

13. πολλὰ add. L. 15. τε Hl. τι P. 21. οὔτε — οὔτε] Vulgo οὐδὲ — οὐδὲ.

se receperunt: unde contemplantes Romanum exercitum ad omnes viarum angustias confluentem, maiorem multo, quam reipsa esset, indicarunt; ac visis Belisarii vexillis, eas ab ipso duci copias intellexerunt. Noctem mox consecutam Romani traduxerunt eodem loci: Gotthi saucii iter clam intenderunt ad castra Vitigis: quae cum sub meridiem attigissent, ostensis vulneribus, affirmarunt iam iam affore Belisarium cum exercitu innumerabili. Mox illi ad pugnam se compararunt, ad latus Aquilonare urbis Arimini: qua parte venturum hostem putabant, et ea re in montis cacumina semper oculos cuncti intendebant. Post, oborta nocte, armis depositis quiescentes, cum ignes a Martini copiis accensos, sexaginta procul stadiis, qua spectat urbs Orientem, vidissent, in metum gravissimum adducti sunt. Rebantur enim se ab hostibus circumclusum iri, simul ut illuxisset. Quare noctem illam terrore eiusmodi inquietam egerunt. Postridie, primo sole, classem adversus se tendere ingentem cernunt. Tum obstupefacti in fugam ruere. Raptim convasantium tantus erat tumultus et clamor, ut nec mandata exaudirent, neque aliud cogitarent, nisi quo quisque pacto primus castris excederet, Ravennamque in-

ριβύλου ἐντὸς γένοιτο. καὶ εἰ μέν τι ἰσχύος ἢ θάρσους περιεῖναι H 237
τοῖς πολιορκουμένοις τετύχηκε, πλείστους τε ἂν τῶν πολεμίων
ἐπεξελθόντες αὐτοῦ ἔκτειναν καὶ ξύμπας ἐνταῦθα ἂν ὁ πόλεμος
ἐτελεύτησε. νῦν δὲ τοῦτο ἐκώλυσεν ὀρρωδία τε σφίσι μεγάλη
τοῖς φθάσασιν ἐπιγενομένη καὶ ἀσθένεια τῶν ἀναγκαίων τῇ ἀπο-
ρίᾳ πολλῇ ξυμπεσοῦσα. οἱ μὲν οὖν βάρβαροι θορύβου ὑπερβολῇ
αὐτοῦ λειπόμενοι τῶν χρημάτων τινὰ ὁρόμῳ πολλῷ τὴν ἐπὶ Ῥά-
βενναν ἔθεον.

ιη'. Πρῶτοι δὲ Ῥωμαίων Ἱλδίγερ τε καὶ οἱ ξὺν αὐτῷ ἀφι- D
κόμενοι ἐς τὸ τῶν πολεμίων χαράκωμα τῶν Γότθων ὅσοι νόσοις
τισὶν ἐχόμενοι αὐτοῦ ἔμειναν ἐν ἀνδραπόδων ἐποιήσαντο λόγῳ,
καὶ χρήματα συνέλεξαν ὅσα φεύγοντες Γότθοι ἐλίποντο. Βελι-
σάριος δὲ παντὶ στρατῷ ἦλθεν ἐς μέσην ἡμέραν. καὶ ἐπεὶ ὠχριῶν-
τάς τε καὶ δεινὸν αὐχμῶντας Ἰωάννην τε καὶ τοὺς σὺν αὐτῷ εἶδε,
τοῦ θράσους ὑπαινιττόμενος τὸ ἀλόγιστον χάριτας αὐτὸν ἔφασκεν
Ἱλδίγερι ὀφείλειν. ὁ δὲ οὐκ Ἱλδίγερι, ἀλλὰ Ναρσῇ τῷ βασιλέως
ταμίᾳ, ὁμολογεῖν ἔφη, παραδηλῶν, οἶμαι, Βελισάριον οὐ σφό- P 430
δρα ἐθελούσιον, ἀλλὰ Ναρσῇ ἀναπεισθέντα σφίσιν ἀμῦναι. καὶ
τὸ λοιπὸν ἄμφω ὑποψίᾳ πολλῇ ἐς ἀλλήλους ἐχρῶντο. διὸ δὴ
οὐδὲ Ναρσῆν εἴων οἱ ἐπιτήδειοι ξὺν Βελισαρίῳ στρατεύεσθαι,
ἀλλ' ἀνέπειθον, ὅσον αἰσχρὸν εἴη τῷ τῶν ἀπορρήτων βασιλεῖ
κοινωνοῦντι μὴ οὐχὶ αὐτοκράτορα τοῦ στρατοῦ εἶναι, ἀλλὰ στρα-
τηγῷ ἀνδρὶ ὑπακούειν. οὐ γάρ ποτε Βελισάριον ἐπὶ τῇ ἴσῃ ἐχόν-

12. ἐλίποντο] Vulgo ἐλείποντο. 16. Ἱλδίγερι] Ἰλδιγέρι L. Conf. var. lect. vol. I. p. 261, 17.

grederetur. Ac si quid virium vel animi obsessis superfuisset, eruptione facta, cladem hostibus maximam, adeoque ipsi bello finem attulissent. Iam vero ne id facerent, cum pavor praeteritis incussus obstitit, tum virium imbecillitas, quam summa penuria cibariorum invexerat. Porro Barbari, opum parte ob nimiam perturbationem ibi relicta, effuso cursu Ravennam properarunt.

18. Cum Ildiger, et qui cum ipso erant, hostium castra primi Romanorum attigissent, Gotthos omnes, qui ibi morbo retinebantur, servituti addicunt, et quidquid opum a fugientibus relictum fuerat, colligunt. Meridie Belisarius cum universo exercitu advenit: atque ubi Ioannem eiusque comites pallidos, et squalore obsitos vidit, inconsultam hominis audaciam subnotans, ipsum Ildigeri gratiam debere dixit. Negavit ille habere se Ildigeri gratiam, sed Narseti, aerarii Imperatoris praefecto: quibus verbis, opinor, innuebat, venisse suppetias Belisarium Narsetis suasu, non sua sponte. Exinde ambo suspecti invicem fuere. Quapropter Narseti, ne in gerendo bello sequeretur Belisarium, amici instabant, ostendebantque turpissimum esse, eum, qui ab arcanis esse Imperatori, non habere belli imperium, at supremo Duci parere: nunquam ipsum a Belisario sponte factum iri consortem summae potestatis in copias. Si

τα εἶναι τῇ στρατιᾷ ξὺν αὐτῷ ἄρξειν ἀπεφαίνοντο, βουλομένῳ δέ οἱ κατ' αὐτὸν τῷ τῶν Ῥωμαίων στρατῷ ἐξηγεῖσθαι, πλείους
B τε στρατιώτας καὶ πολλῷ ἀμείνους τοὺς ἄρχοντας ἕψεσθαι. τοὺς τε γὰρ Ἐρούλους καὶ τοὺς δορυφόρους τε καὶ ὑπασπιστὰς αὐτοῦ, καὶ ὧν Ἰουστῖνός τε καὶ αὐτὸς Ἰωάννης ἦρχον, ξὺν τοῖς Ἀρατίῳ τε καὶ Ναρσῇ ἑπομένοις οὐχ ἧσσον ἢ μυρίους ἔφασκον εἶναι, ἀνδρείους τε ὄντας καὶ διαφερόντως ἀγαθοὺς τὰ πολέμια. βούλεσθαί τε τὴν Ἰταλίας ἐπικράτησιν οὐ Βελισαρίῳ λογίζεσθαι μόνον, ἀλλὰ τὸ μέρος καὶ Ναρσῆν φέρεσθαι. τὴν γὰρ βασιλέως αὐτὸν οἴεσθαι ὁμιλίαν ἀπολιπεῖν, οὐκ ἐφ' ᾧ κινδύνοις ἰδίοις τὴν Βελι-
V 86 σαρίου δόξαν κρατύνηται, ἀλλ' ἐφ' ᾧ ἔργα ξυνέσεώς τε καὶ ἀνδρείας ἐπιδειξάμενος διαβόητος ἀνθρώποις ἅπασιν, ὡς τὸ εἰκὸς, εἴη. καίτοι οὐδὲ Βελισάριον ἔφασκον δυνήσεσθαί τι ἄνευ γε αὐτοῦ τὸ λοιπὸν δρᾶσαι. στρατιᾶς γὰρ ἧς ἐκεῖνος ἄρχοι τὸ πλεῖ-
C στον ἤδη ἔν τε φρουρίοις καὶ πόλεσιν ἀπολελεῖφθαι, ἅσπερ αὐτὸς εἶλε, καὶ κατέλεγον ἀπὸ Σικελίας ἀρξάμενοι ἄχρι ἐς Πικηνοὺς ἑξῆς ἅπαντα.

Ναρσῆς τε ἐπεὶ ταῦτα ἤκουσεν, ἥσθη ἐς ἄγαν τῇ ὑποθήκῃ καὶ οὔτε κατέχειν τὴν διάνοιαν οὔτε μένειν ἐν τοῖς καθεστῶσιν ἔτε ἠδύνατο. πολλάκις οὖν Βελισαρίου ἄλλου του ἔργου ἔχεσθαι ἀξιοῦντος ἐς σκήψεις τινὰς ἄλλοτε ἄλλας ἀναχωρῶν τὴν παρακέλευσιν ἀπεκρούετο. ὧν δὴ αἰσθόμενος Βελισάριος ξυγκαλέσας τοὺς ἄρχοντας ἅπαντας ἔλεξε τοιάδε „Οὐ ταὐτὰ ὑμῖν, ἄνδρες

13. δυνήσεσθαι L. δυνήσασθαι HP. 16. Πικηνούς] Πικήνους P. πικηνούς HL. 19. οὔτε — οὔτε] οὐδὲ — οὐδὲ P.

Romanum exercitum ductare seorsum vellet, secum et plures milites et multo meliores Duces habiturum: quippe Erulos, ipsiusque satellitium, et Iustini, Ioannis, Aratii ac Narsetis turmas, numerum conflare minimum decem millium virorum, animo et bellica virtute praestantium; qui Italiae devictae laudem non uni Belisario tributam cuperent, sed cum Narsete communicatam: nec enim illis videri ipsum a familiari digressum Augusti consuetudine, ut suo periculo Belisarii gloriam stabiliret, verum ut rebus sapienter ac fortiter gestis, praeclaram ubique famam iure colligeret. Addebant, nihil in posterum sine ipso valiturum efficere Belisarium: utpote qui maximam copiarum suarum partem iam reliquisset in urbibus a se captis: quas omnes ordine ab ipsa usque Sicilia ad Picenum enumerabant.

Hac Narses audita suasione incredibiliter delectatus, nec animum cohibere, nec suis se finibus tenere amplius poterat. Saepe igitur Belisario rem aliam quampiam volente aggredi, in praetextus modo hos, modo illos divertens, hortamenta illius eludebat. Haec videns Belisarius, cunctis Ducibus convocatis, ita disseruit. *Aliter ac vos, Duces, de hac bello*

ἔρχοντες, περὶ τοῦδε τοῦ πολέμου δοκῶ μοι γιγνώσκειν. ὑμᾶς
γὰρ ὁρῶ τῶν πολεμίων, ἅτε παντάπασιν ἠσσημένων, ὑπερφρο-
νοῦντας. ἐγὼ δὲ ταύτην ὑμῶν τὴν παρρησίαν ἐς προὔπτον ἡμῖν
ἐμπεσεῖσθαι κίνδυνον οἶμαι, ἐπεὶ τοὺς μὲν βαρβάρους οὔτε ἀν- D
ανδρίᾳ τινὶ οὔτε ὀλιγανθρωπίᾳ ἡσσῆσθαι ἡμῶν, προνοίᾳ δὲ μόνῃ
καὶ βουλῇ καταστρατηγηθέντας ἐς φυγὴν ἐνθένδε τετράφθαι οἶδα.
δέδοικα δὲ μὴ ταῦτα ὑμεῖς τῇ οὐκ ἀληθεῖ δόξῃ σφαλλόμενοι τὰ
ἀνήκεστα ὑμᾶς τε αὐτοὺς καὶ τὰ Ῥωμαίων πράγματα δράσητε.
ῥᾷον γὰρ οἱ νενικηκέναι δοκοῦντες τοῖς πεπραγμένοις ἐπαιρόμενοι
διαφθείρονται ἢ οἱ παρὰ δόξαν μὲν ἐπταικότες, δέει δὲ τὸ λοιπὸν P 431
καὶ φροντίδι πολλῇ ἐς τοὺς ἐναντίους ἐχόμενοι. ῥᾳθυμία μὲν
γὰρ τῶν εὖ καθεστώτων τινὰς ἔφθειρε, πόνος δὲ ξὺν μερίμνῃ
τῶν δεδυστυχηκότων πολλοὺς ὤνησεν. ἐπεὶ τῶν μὲν ὀλιγωρίᾳ
εἰκόντων ἡ δύναμις ὡς τὰ πολλὰ ἐλασσοῦσθαι φιλεῖ, μελέτη δὲ
ἰσχὺν ἐντεθέναι ἱκανῶς πέφυκεν. οὐκοῦν ἐνθυμεῖσθω ὑμῶν ἕκα-
στος ὡς ἐν Ῥαβέννῃ μὲν Οὐίτιγις τέ ἐστι καὶ Γότθων μυριάδες
πολλαί, Οὐραΐας δὲ Μεδιόλανόν τε πολιορκεῖ καὶ περιβέβληται
Λιγουρίαν ὅλην, Αὔξιμος δὲ ἤδη στρατιᾶς πλήρης πολλῆς τε
καὶ λόγου ἀξίας, ἄλλα τε χωρία πολλὰ πρὸς ἀξιομάχων ἡμῶν
φρουρεῖται βαρβάρων μέχρι ἐς Οὐρβίβεντον, ἢ Ῥώμης ἐν γειτό- H 238
νων τυγχάνει οὖσα. ὥστε νῦν μᾶλλον ἡμῖν ἢ πρότερον ἐν κιν-
δύνῳ τὰ πράγματα κεῖται, ἐς κύκλωσίν τινα τῶν πολεμίων ἐμ-
πεπτωκόσιν. ἐῶ γὰρ λέγειν ὡς καὶ Φράγγους αὐτοὺς ἐν Λιγου-

3. ἡμῖν] ἡμᾶς H et L a pr. m. 7. σφαλλόμενοι] Vulgo σφαλόμενοι. 20. Οὐρβίβεντον] οὐρβίβαντον HL.

sentire mihi videor. Hostem enim, tanquam si perdomitus esset, sic a vobis contemni animadverto. Ego vero censeo nos vestra hac confidentia in apertum periculum demissum iri: siquidem perspectum habeo Barbaros nec per ignaviam, nec propter paucitatem vobis cessisse, at consilio solum et providentia in fraudem fugamque actos hinc abiisse. Vereor autem ne hac in parte errore ducti, Romanam rem vobiscum male perdatis. Nam qui videntur adepti victoriam, rebus gestis elati, profligantur facilius quam qui inopinato lapsi, postmodum ab hostibus circumspectissime sibi metuunt. Optimo quidam loco fuerunt, qui exciderunt segnitie: rursus infelices multes labor sollicitus erexit. Quos enim corrumpit negligentia, eorum potentia plerumque sublabitur: diligens vero exercitatio vires atque opes afferre solet. Secum igitur quisque vestrum reputet, Ravennae esse Vitigin ac multas Gotthorum myriadas: Uraïam, omni Liguria potitum, Mediolanum obsidere: Auximum abundare iam copiis validissimis: et iis Barbarorum praesidiis, quae nobis possint obsistere, multa alia teneri loca ad Urbem usque Veterem, Romae vicinam. Itaque, cum hostium quadam veluti corona cingamur, in maiori quam ante periculo res modo versantur nostrae. Praetereo quod fama fert, arma Francos ipsos in Liguria so-

ρίᾳ ξυντετάχθαι φασὶν, ὅπερ οὐκ ἔξω δέους μεγάλου ἐς μνήμην
ἰέναι πᾶσι Ῥωμαίοις ἱκανῶς ἄξιον. φημὶ τοίνυν ἴγωγε δεῖν μοῖ-
B ραν μὲν τοῦ στρατοῦ ἐς Λιγουρίαν καὶ Μεδιόλανα στέλλεσθαι,
τοὺς δὲ λοιποὺς ἐν τῷ παραυτίκα ἐπί τε Αὔξιμον καὶ τοὺς ἐκείνῃ
πολεμίους χωρεῖν, ὅσα ἂν ὁ θεὸς διδοῖ πράξοντας· ἔπειτα δὲ καὶ
τἄλλα τοῦ πολέμου ἔργα διαχειρίζειν ὅπῃ ἂν ἄριστά τε δοκῇ καὶ
βέλτιστα εἶναι." Βελισάριος μὲν τοσαῦτα εἶπε. Ναρσῆς δὲ ἀμεί-
βεται ὧδε „Τὰ μὲν ἄλλα, ὦ στρατηγέ, μὴ οὐχὶ ξὺν ἀληθείᾳ
σοι πάντα εἰρῆσθαι οὐδεὶς ἂν ἀντείποι. πάντα δὲ τοντονὶ τὸν
βασιλέως στρατὸν ἐς Μεδιόλανόν τε καὶ Αὔξιμον ἀποκεκρίσθαι
μόνον ἀξύμφορον οἶμαι παντελῶς εἶναι. ἀλλὰ σὲ μὲν ἐπὶ ταῦτα
Ῥωμαίων ἐξηγεῖσθαι οἷς αὐτὸς βούλοιο σὺδὲν ἀπεικὸς, ἡμεῖς δὲ
βασιλεῖ τε τὴν Λιμιλίων ἐπικτησόμεθα χώραν, ἣν μάλιστα Γότ-
C θους προσποιεῖσθαί φασι, καὶ Ῥάβενναν ξυναράξομεν οὕτως
ὥστε τοὺς καθ' ὑμᾶς αὐτοὺς πολεμίους ὅ τι βούλεσθε διεργάσα-
σθαι, πάσης ἀποκεκλεισμένους τῆς τῶν ἀμυνόντων ἐλπίδος. ἦν
γὰρ ξὺν ὑμῖν ἐν Αὐξίμῳ προσεδρεύειν ἑλοίμεθα, δέδοικα μὴ τῶν
ἐκ Ῥαβέννης ἐπιόντων βαρβάρων περιέσται ἡμῖν ἀμφιβόλοις τε
γεγενῆσθαι καὶ πρὸς τῶν πολεμίων τῶν ἀναγκαίων ἀπολελειμμέ-
νοις αὐτοῦ διεφθάρθαι." καὶ Ναρσῆς μὲν τοσαῦτα ἔλεξε. Βε-
λισάριος δὲ δείσας μὴ ἐς πολλὰ Ῥωμαίων ἰόντων καταρρεῖν τε τὰ
βασιλέως ξυμβαίη πράγματα καὶ τῇ ἐντεῦθεν ἀκοσμίᾳ ξυγχεῖσθαι,
γράμματα βασιλέως Ἰουστινιανοῦ ἔδειξεν, ἃ πρὸς τοὺς στρατο-

6. διαχειρίζειν] διαχωρίζειν L. 14. ξυναράξομεν] ξυναράξαι-
μεν H. 15. ὑμᾶς] ἡμᾶς HL. 17 ὑμῖν] ἡμῖν L.

siasse cum Gothis: cuius rei cogitatione Romani omnes percelli et graviter terreri debent. Quamobrem aio partem exercitus in Liguriam et Mediolanum mitti oportere, dum reliqui Auximum hostemque ibi positum petent, facturi quidquid Deus annuerit: deinde coeptis aliis bellicis admovendam esse manum, prout optimum factu commodissimumque videbitur. Haec locuto Belisario Narses ita respondit. *Caetera quidem, quae dixisti, Magister militum, omnino vera esse nemo negaverit. At censeo non esse pretium operae, Caesareum hunc omnem exercitum in duas tantum urbes, Auximum et Mediolanum, intendere. Tu certe quos voles Romanos eo duce: nihil vetat. Nos vero provinciam Aemiliam, de qua maxime laborare dicuntur Gothi, recuperabimus Imperatori, et Ravennam adeo infestabimus, ut quidquid libuerit, in hostes patraturi sitis vobis oppositos, illis auxilii spe intercluso. At si Auximum obsidere vobiscum placeat, vereor ne effusi Ravenna Barbari nos eo redigant, ut hinc inde oppugnemur, et ab hostibus commeatu prohibiti, illic pereamus.* Haec Narses. Veritus autem Belisarius ne distracto Rom. exercitu res Imperatoris dilaberentur, miscerenturque inde nata ordinis perturbatione, literas protulit, quas Iustinianus Aug. ad Duces exercitus scripserat in hanc sententiam.

πέδου ἄρχοντας ἔγραψεν. ἐδήλου δὲ ἡ γραφὴ τάδε ,, Ναρσῆν τὸν ἡμέτερον ταμίαν οὐκ ἐφ' ᾧ ἄρξαι τοῦ στρατοπέδου ἐς Ἰταλίαν ἐπέμψαμεν. μόνον γὰρ Βελισάριον παντὶ τῷ στρατῷ ἐξηγεῖσθαι βουλόμεθα, ὅπη ἂν αὐτῷ δοκῇ ὡς ἄριστα ἔχειν, αὐτῷ τε ὑμᾶς ἕπεσθαι ἅπαντας ἐπὶ τῷ ξυμφέροντι τῇ ἡμετέρᾳ πολιτείᾳ προσήκει." τὰ μὲν οὖν βασιλέως γράμματα ὧδέ πη εἶχε. Ναρσῆς δὲ τῆς ἐπιστολῆς τοῦ ἀκροτελευτίου λαβόμενος ἀπ' ἐναντίας Βελισάριον ἰσχυρίζετο ἐν τῷ παρόντι τοῦ τῆς πολιτείας ξυμφόρου βουλεύεσθαι· διὸ δὴ σφίσιν οὐκ ἀναγκαῖον εἶναι αὐτῷ ἕπεσθαι. D

ιϑ'. Ταῦτα ἀκούσας Βελισάριος Περάνιον μὲν ἐς Οὐρβίβεντον ξὺν πολλῇ στρατιᾷ, ἐφ' ᾧ πολιορκήσουσιν αὐτὴν, ἔπεμψεν, αὐτὸς δὲ ἐπὶ Οὐρβῖνον τὸ στράτευμα ἐπῆγε, πόλιν τε ἐχυρὰν καὶ Γότθων φρουρὰν διαρκῆ ἔχουσαν, (ἀπέχει δὲ αὕτη Ἀριμήνου πόλεως ἡμέρας ὁδὸν εὐζώνῳ ἀνδρὶ) καὶ οἱ τῆς στρατιᾶς ἐξηγουμένῳ Ναρσῆς τε καὶ Ἰωάννης καὶ ἄλλοι ξύμπαντες εἵποντο. τῆς τε πόλεως ἀγχοῦ ἐλθόντες παρὰ τοῦ λόφου τὸν πρόποδα ἐστρατοπέδευσαν δίχα. οὐ γάρ πη ἀλλήλοις ξυνετετάχατο, ἀλλ' οἱ μὲν Βελισαρίου ἀμφὶ τὰ πρὸς ἕω τῆς πόλεως εἶχον, οἱ δὲ ἀμφὶ Ναρσῆν τὰ πρὸς ἑσπέραν. κεῖται δὲ Οὐρβῖνος ἐπὶ λόφου περιφεροῦς τε καὶ ὑψηλοῦ λίαν. οὐ μέντοι ὁ λόφος οὔτε κρημνώδης οὔτε παντάπασιν ἀπόρευτός ἐστι, μόνον δὲ δύσοδος τῷ ἀνάντης ἐς ἄγαν εἶναι, ἄλλως τε καὶ τῷ τῆς πόλεως ἀγχοτάτω εἶναι. μίαν δὲ εἴσοδον ἐν τῷ ὁμαλεῖ ἔχει πρὸς βορρᾶν ἄνε- P 432 V 87 B

4. δοκῇ L. δοκεῖ P. 23. εἶναι P et Scaliger. ὄντι HL.

Narsetem aerarii nostri Praefectum non misimus in Italiam, ut imperet exercitui. Volumus enim ut copias unus omnes Belisarius moderetur ac ducat, prout convenientissimum iudicabit. Eum sequi debetis omnes, imperii nostri rationibus servientes. Haec erat Imperatoris epistola: cuius extrema verba aucupans Narses, Belisarium imperii rationibus adversari in praesens, et ea re non imponi sibi necessitatem ipsum sequendi asseverabat.

19. Belisarius, his auditis, Peranium cum multis copiis Urbemveterem eo consilio mittit, ut oppidum illud obsideat. Ipse exercitum ducit Urbinum: quae urbs munita ac iusto Gotthorum praesidio instructa erat: hinc autem expedito viatori iter est diei ad Urbem Ariminum. Ducentem copias Belisarium Narses, Ioannes, caeterique omnes secuti sunt. Urbi iam proximi, ad imum collem castra locarunt gemina. Neque enim vires iunxere: sed Belisarius qua urbs ad orientem Solem spectat, Narses ad occidentem consedit. Situm est Urbinum in rotundo editoque admodum colle: qui nec praecipitiis deruptus, neque invius omnino est, at difficilis ob summam acclivitatem, praesertim sub ipsa urbe: ad quam unus est in plano aditus a Septentrione. Ita quidem, ut

μον. Ῥωμαῖοι μὲν οὖν ἐς τὴν πολιορκίαν ἐτετάχατο ὧδε. Βελισάριος δὲ ῥᾷον σφίσι προσχωρήσειν ὁμολογίᾳ τοὺς βαρβάρους οἰόμενος, ἅτε κατωρρωδηκότας τὸν κίνδυνον, πρέσβεις τε παρ' C αὐτοὺς ἔπεμψε καὶ πολλὰ ὑποσχόμενος αὐτοῖς τἀγαθὰ ἔσεσθαι βασιλέως κατηκόους γενέσθαι παρῄνει. οἱ μὲν οὖν πρέσβεις τῶν πυλῶν ἀγχοῦ γενόμενοι (οὐ γὰρ τῇ πόλει σφᾶς ἐδέξαντο οἱ πολέμιοι) πολλά τε καὶ λίαν ἐπαγωγὰ εἶπον, οἱ δὲ Γότθοι χωρίου τε ἰσχύϊ θαρσοῦντες καὶ τῶν ἐπιτηδείων τῇ ἀφθονίᾳ τοὺς μὲν λόγους ἥκιστα ἐνεδέχοντο, κατὰ τάχος δὲ Ῥωμαίους ἐνθένδε ἐκέλευον ἀπαλλάσσεσθαι. Βελισάριος δὲ ταῦτα ἀκούσας ῥάβδους παχείας τῷ στρατῷ ξυλλέγειν ἐπήγγελλε, σκοάν τε ἀπ' αὐτῶν ποιεῖσθαι μακράν. ἧς δὴ ἐντὸς κρυπτόμενοι ἔμελλόν τε τῶν πυλῶν ξὺν αὐτῇ ἀγχοτάτω ἰέναι, ᾗ μάλιστα ὁ χῶρος ὁμαλός ἐστι, D καὶ τῇ ἐς τὸ τεῖχος ἐπιβουλῇ χρῆσθαι. καὶ οἱ μὲν κατὰ ταῦτα ἐποίουν.

H 239 Ναρσῆ δὲ ξυγγενόμενοι τῶν ἐπιτηδείων τινὲς, ἀπέρατά τε ποιεῖν Βελισάριον καὶ τὰ ἀμήχανα ἐπινοεῖν ἔφασκον. ἤδη γὰρ Ἰωάννην τοῦ χωρίου ἀποπειρασάμενον, καὶ ταῦτα ὀλίγων τινῶν τηνικαῦτα φρουρὰν ἔχοντος, ἀνάλωτον αὐτὸ αἰσθέσθαι παντάπασιν εἶναι (καὶ ἦν δὲ οὕτως), ἀλλ' αὐτὸν χρῆναι βασιλεῖ ἀνασώσασθαι τὰ ἐπὶ Αἰμιλίας χωρία. ταύτης ὁ Ναρσῆς τῆς ὑπο-P 433 θέσεως ἀναμνησθεὶς νύκτωρ τὴν προσεδρείαν διέλυσε, καίπερ Βελισαρίου πολλὰ λιπαροῦντος μένειν τε αὐτοῦ καὶ Οὐρβῖνον πό-

16. ἀπέρατα] ἀπέραντα L. 19. αὐτὸ] αὐτὸς L. *ibid.* αἰσθέσθαι P cum Pers. ἔσεσθαι HL.

dixi, ad obsidionem Romani se ordinarunt: Belisarius vero Barbaros ratus in deditionem facilius venturos prae ingenti metu discriminis, mittit qui liberalibus promissis eos invitent, atque hortentur, ut subdant sese Imperatori. Oratores quidem pro porta (neque enim hostis in urbem ipsos admisit) dixere multa valde apposite ad eblandiendum. Verum Gotthi valido loci positu, et annonae provisae copia confisi, dicta repudiarunt, ac Romanos inde sine mora facessere iusserunt. Quae cum audisset Belisarius, militibus imperavit, ut virgis crassioribus collectis, longam ex eis porticum texerent; in qua latentes, ad portam cum eadem succederent, qua planior locus erat, et murum ex occulto aggrederentur. Illi morem gesserunt.

Cum Narsete collocuti quidam ex ipsius familiaribus, affirmaverant Belisarii consilium infiniti laboris esse, et inexplicabile: Ioannem enim tentato iam ante loco, idque cum exiguum haberet praesidium, omnino inexpugnabilem deprehendisse (et vero sic res erat) debere ipsum efficere, ut Aemilia in ditionem Imperatoris rediret. Haec Narses sibi proposita memoria repetens, noctu obsidionem solvit; quamvis enixe obsecraret Belisarius, ut maneret ibi, ac secum Urbinum caperet. Illis cum

λιν σφίσι ξυνελεῖν. οὗτοι μὲν ἐς Ἀρίμηνον κατὰ τάχος ξὺν τῷ ἄλλῳ στρατῷ ἵκοντο. Μορρᾶς δὲ καὶ οἱ βάρβαροι ἐπεὶ κατὰ ἥμισυ τοὺς πολεμίους ἀναχωρήσαντας ἅμα ἡμέρᾳ εἶδον, ἐτώθαζον ἀπὸ τοῦ περιβόλου τοὺς μεμενηκότας ἐρεσχελοῦντες. Βελισάριος δὲ τῇ λειπομένῃ στρατιᾷ τειχομαχεῖν ἤθελε. καὶ οἱ ταῦτα βουλευομένῳ εὐτύχημα γενέσθαι ξυνηνέχθη θαυμάσιον οἷον. μία τις ἦν ἐν Οὐρβίνῳ πηγή, ἐξ ἧς δὴ πάντες οἱ ταύτῃ οἰκοῦντες ὑδρεύοντο. αὕτη κατὰ βραχὺ ἀπὸ ταὐτομάτου ἀποξηρανθεῖσα ὑπέλιγεν. ἔν τε ἡμέρᾳσι τρισὶν οὕτως αὐτὴν τὸ ὕδωρ ἀπέλιπεν ὥστε ξὺν τῷ πηλῷ ἐνθένδε αὐτὸ οἱ βάρβαροι ἀρύομενοι ἔπινον. διὸ δὴ Ῥωμαίοις προσχωρεῖν ἔγνωσαν. Βελισάριος δὲ ταῦτα μὲν οὐδαμῇ πεπονσμένος ἤθελεν ἀποπειρᾶσθαι τοῦ περιβόλου. καὶ τὸ μὲν ἄλλο στράτευμα ἐξοπλίσας κύκλῳ ἀμφὶ τὸν λόφον ἅπαντα ἔστησε, τινὰς δὲ ἐκέλευσεν ἐν τῷ ὁμαλῷ τὴν ἀπὸ τῶν ῥάβδων ἐπάγειν στοάν. οὕτω γὰρ καλεῖν τὴν μηχανὴν νενομίκασι ταύτην. οἱ δὲ αὐτῆς ἐντὸς ὑποδύντες ἐβάδιζόν τε καὶ τὴν στοὰν ἐφεῖλκον τοὺς πολεμίους λανθάνοντες. οἱ μὲν οὖν βάρβαροι χεῖρας τὰς δεξιὰς ἀπὸ τῶν ἐπάλξεων προτεινόμενοι ἐδέοντο τῆς εἰρήνης τυχεῖν. Ῥωμαῖοι δὲ οὐκ εἰδότες τι τῶν ἀμφὶ τῇ πηγῇ ξυμπεπτωκότων τόν τε πόλεμον αὐτοὺς καὶ τὴν μηχανὴν δεδιέναι ὑπώπτευον. ἀμφότεροι γοῦν τῆς μάχης ἄσμενοι ἀπέσχοντο. καὶ Γότθοι Βελισαρίῳ σφᾶς τε αὐτοὺς καὶ τὴν πόλιν ὁμολογίᾳ παρέδοσαν, ἐφ' ᾧ κακῶν ἀπαθεῖς μείνωσι, βασιλέως κατήκοοι ξὺν τῷ Ῥωμαίων στρατῷ ἐπὶ τῇ ἴσῃ καὶ τῇ ὁμοίᾳ γεγενημένοι. Νάρ-

B V 88 C

20. μηχανὴν P et Scaliger. μάχην HL.

reliquo exercitu celeriter Ariminum profectis, prima luce Morrhas et Barbari dimidiam hostium abscessisse partem videntes, a moenibus dicteria ac ridicula in eos, qui remanserant, iaciebant. Volebat tamen Belisarius muros oppugnare cum residuis copiis. Id animo agitanti secunda fortuna admirabilem casum attulit. Unicus erat Urbini fons, ex quo incolae omnes hauriebant. Sponte is arescens, manare paulatim desiit, ipsumque ita defecit aqua intra tres dies, ut inde cum coeno haustam Barbari biberent: quamobrem statuerunt dedere se Romanis. Horum plane inscio Belisario placuit murum aggredi. Ergo plerosque armatos circa totum collem disponit: nonnullis praecipit, ut ex virgis confectam porticum (sic enim machinam vocare solent) per planum agant. Mox illi subire intro, atque incedendo sic porticum trahere, ut hostem lateant. Tum e pinnis Barbari protentis dexteris pacem poscere. Romani, quid fonti accidisset penitus ignari, illos dimicatione et machina terreri arbitrabantur. Utrisque certe pugna abstinere iucundum fuit. Gotthi Belisario ea lege se permiserunt ut retenta incolumitate, in ditionem Imperatoris et militiam Romanam iure caeteris communi et aequali conditione transirent. Nar-

σῆς δὲ ταῦτα ἀκούσας ἐν θαύματί τε καὶ ξυμφορᾷ τὸ πρᾶγμα ἐποιεῖτο. καὶ αὐτὸς μὲν ἐν Ἀριμίνῳ ἔτι ἡσύχαζεν, Ἰωάννην δὲ
D τῷ παντὶ στρατῷ ἐπὶ Καισήνην ἐξηγεῖσθαι ἐκέλευεν. οἱ δὲ κλίμακας φέροντες ἦσαν. ἐπεὶ δὲ ἄγχιστα τοῦ φρουρίου ἐγένοντο, προσέβαλλόν τε καὶ τοῦ περιβόλου ἀπεπειρῶντο. καρτερῶς δὲ τῶν βαρβάρων ἀμυνομένων ἄλλοι τε πολλοὶ αὐτοῦ ἔπεσον καὶ Φανόθεος ὁ τῶν Ἐρούλων ἡγούμενος. Ἰωάννης δὲ Καισήνης τότε τοῦ φρουρίου ἀποτυχὼν αὐτοῦ μὲν ἀποπειρᾶσθαι οὐκέτι ἠξίου, ἐπεὶ οἱ ἀνάλωτον ἔδοξεν εἶναι, ξὺν τε Ἰουστίνῳ καὶ τῷ ἄλλῳ στρατῷ πρόσω ἤλαυνε. καὶ πόλιν μὲν ἀρχαίαν ἐκ τοῦ αἰφνιδίου κατέλαβεν, ἣ Φοροκορνήλιος ὠνόμασται, τῶν δὲ βαρβάρων οἱ ἀεί τε ὑποχωρούντων καὶ οὐδαμῇ ἐς χεῖρας ἰόντων, ξύμπασαν βασιλεῖ τὴν Αἰμιλίαν ἀνεσώσατο. ταῦτα μὲν οὖν ἐφέρετο τῇδε.

P 434 κ'. Βελισάριος δὲ, ἐπεὶ Οὐρβῖνον ἀμφὶ τροπὰς τὰς χειμερινὰς εἶλεν, ἐς μὲν Ἄὔξιμον ἐν τῷ παραυτίκα ἰέναι ἀξύμφορον ᾤετο εἶναι· χρόνον γὰρ σφίσι τετρίψεσθαι πολὺν ἐν τῇ ἐς αὐτὸν προσεδρείᾳ ὑπώπτευεν. βίᾳ τε γὰρ τὸ χωρίον ἑλεῖν ἐρύματος ἰσχύϊ ἀδύνατον ἦν, καὶ οἱ βάρβαροι πολλοί τε καὶ ἄριστοι ἐνταῦθα, ὥσπερ μοι προδεδήλωται, φυλακὴν ἔχοντες, πολλήν τινα λησάμενοι χώραν μέγα τι τῶν ἐπιτηδείων χρῆμα ἐσηνέγκαντο σφίσιν. Ἀράτιον δὲ ξὺν πολλῇ στρατιᾷ ἐν Φίρμῳ διαχειμάζειν ἐκέλευε καὶ φυλάσσειν ὅπως τὸ λοιπὸν μὴ κατ' ἐξουσίαν οἱ
B βάρβαροι τὰς ἐπιδρομὰς ἐνθένδε ποιούμενοι ἀδειέστερον τὰ ἐκείνῃ

3. *Καισήνην*] *κυσίνην* HL. Et infra *κυσίνης*. 11. *Φοροκορνήλιος*] *φοροκόρνητις* HL. Recte Pers. 13. *Αἰμιλίαν*] *αἰμιλίαν* H. *αἰμυλίαν* L.

ses, his auditis, admiratione et dolore ingenti affectus, tenuit se Arimini, et Ioanni, ut cum omnibus copiis Caesenam peteret imperavit. Iliae scalis instructae ad castellum cum accessissent, muro impressione tentato, ac Barbaris valide propulsantibus, non paucos ibi amiserunt: in quibus fuit Erulorum Dux Phanotheus. Ioannes perdita semel ad Caesenae castellum opera, adoriri iterum noluit, quod inexpugnabile videretur. Inde cum Iustino reliquoque exercitu progressus, Forum Cornelii, urbem antiquam, occupavit ex improviso, ac retro usque cedentibus Barbaris, nec manus usquam conserentibus, universam Aemiliam in ius ac potestatem Imperatoris redegit. Ita res ibi cessit.

20. Urbino circiter brumale solstitium potitus Belisarius, non expedire duxit tunc Auximum petere, quod in eius obsidione plurimum temporis consumptum iri intelligeret. Neque enim capi vi locus poterat egregie munitus: et Barbari numero animoque pollentes, qui, uti supra memoravi, illic in praesidio locati fuerant, late facta populatione, sibi largos commeatus paraverant. Aratium Firmi multo cum milite hiemare iussit, et dare operam, ne amplius Barbari inde libere excurrentes, vi-

χωρία βιάζωνται· αὐτὸς μέντοι ἐπὶ Οὐρβίβεντον ἐπῆγε τὸ στράτευμα. Περάνιος γὰρ αὐτὸν ἐς τοῦτο ἐνῆγεν, ἐπεὶ τοὺς ταύτῃ Γότθους τῶν ἐπιτηδείων ὑποσπανίζειν ἠκηκόει πρὸς τῶν αὐτομόλων, ἤλπιζέ τε, ἢν πρὸς τῇ ἀπορίᾳ τῶν ἀναγκαίων καὶ Βελισάριον παντί που παρόντα τῷ στρατῷ ἴδωσι, ῥᾷον ἐνδώσειν· ὅπερ ἐγένετο. Βελισάριος γὰρ, ἐπειδὴ τάχιστα ἐς Οὐρβίβεντον ἀφίκετο, ἅπαντας μὲν στρατοπεδεύσασθαι ἐν χώρῳ ἐπιτηδείως κειμένῳ ἐκέλευεν, αὐτὸς δὲ κύκλῳ περιιὼν διεσκοπεῖτο εἴ πως αὐτὴν βιάζεσθαι οὐκ ἀδύνατα ᾖ. καὶ οἱ μηχανὴ μὲν οὐδεμία ἔδο- H 240
ξεν εἶναι ὥστε βίᾳ τινὶ τὸ χωρίον ἑλεῖν. λάθρα δὲ αὐτοῦ ἐξ ἐπι- C
βουλῆς οὐ παντάπασιν εὐδόκει ἀμήχανός οἱ ἡ ἐπικράτησις ἔσεσθαι. λόφος γάρ τις ἐκ κοίλης γῆς ἀνέχει μόνος, τὰ μὲν ὑπερθεν ὕπτιός τε καὶ ὁμαλὸς, τὰ δὲ κάτω κρημνώδης. ἀμφὶ δὲ τὸν λόφον ἰσομήκεις πέτραι κύκλωσιν αὐτοῦ ποιοῦσί τινα, οὐκ ἄγχιστά πη οὖσαι, ἀλλ' ὅσον βολὴν ἔχουσαι λίθου. ἐπὶ τούτου δὴ τοῦ λόφου οἱ πάλαι ἄνθρωποι τὴν πόλιν ἐδείμαντο, οὔτε τεῖχη περιβαλόντες οὔτ' ἄλλο τι ὀχύρωμα ποιησάμενοι, ἐπεὶ φύσει αὐτοῖς τὸ χωρίον ἀνάλωτον ἔδοξεν εἶναι. μία γὰρ ἐς αὐτὴν ἐκ τῶν D
πετρῶν εἴσοδος τυγχάνει οὖσα, ἧς φυλασσομένης τοῖς ταύτῃ ᾠκημένοις οὐδεμίαν ἑτέρωθι πολεμίων προσβολὴν δεδιέναι ξυμβαίνει. χωρὶς γὰρ τοῦ χωρίου, ἣ τὴν εἴσοδον ἡ φύσις εἰς τὴν πόλιν ἐτεκτήνατο, ὥσπερ ἐρρήθη, ποταμὸς ἀεὶ μέγας τε καὶ ἀπόρευτος τὰ μεταξὺ ἔχει τοῦ τε λόφου καὶ τῶν πετρῶν, ὧν ἄρτι

16. οὔτε — οὔτ'] οὐδὲ — οὐδ' P. 22. ἀεὶ] τε ἀεὶ P. ibid. τε καὶ] τε om. L.

ciniam impune opprimerent. Ipse ad Urbem veterem copias duxit, impulsu Peranii: qui a transfugis certior factus Gotthos ibi positos egere cibariis, sperabat fore ut, ad illam penuriam accedente conspectu Belisarii cum omnibus praesentis copiis, facilius sese dederent: quod utique factum est. Postquam enim Belisarius proxime Urbem veterem venit, omnes opportuno loco castra metari iussit: mox circumiens, qua via vis inferri posset consideravit. Ac nulla quidem ratio ad id occurrit, ut aperta vi locum caperet: occulta tamen molitione eo se potiturum non desperavit. Nam ex depresso in altitudinem solo quidam surgit seorsum tumulus: cuius pars superior molliter strata ac plana est, inferior, pendet in praeceps. Tumulum hunc ambiunt rupes pari altitudine, non ita prope, sed ad lapidis iactum. In eius vertice veteres urbem condiderunt, moenibus et quovis alio munimento nudam, quoniam locum natura inexpugnabilem iudicabant. Siquidem unicus a rupibus eo aditus est: quo custodito, impetum aliunde nullum incolae metuunt. Excepto enim spatio, ubi in urbem aditum, de quo dictum est, natura struxit, quidquid inter tumulum ac rupes, quarum feci mentionem, interiacet, id magnus

ἐμνήσθην. διὸ δὴ καὶ βραχεῖάν τινα οἰκοδομίαν ἐν ταύτῃ τῇ
V 89 εἰσόδῳ πεποίηνται τὸ παλαιὸν Ῥωμαῖοι. καὶ πυλίς τις ἐνταῦθά
P 435 ἐστιν, ἣν Γότθοι ἐφύλασσον. τὰ μὲν οὖν ἀμφὶ Οὐρβιβέντῳ
ταύτῃ πη ἔχει. Βελισάριος δὲ τῷ παντὶ στρατῷ ἐς τὴν πολιορ-
κίαν καθίστατο, εἴ πως διὰ τοῦ ποταμοῦ κακουργήσοι, τινὰ ἐλ-
πίδα ἔχων καὶ λιμῷ παραστήσεσθαι τοὺς πολεμίους. οἱ δὲ βάρ-
βαροι τέως μὲν οὐ παντάπασι τῶν ἀναγκαίων ἐσπάνιζον, καίπερ
ἐνδεέστερον ἢ κατὰ τὴν χρείαν αὐτὰ ἔχοντες, ὅμως τῇ ταλαιπω-
ρίᾳ παρὰ δόξαν ἀντεῖχον ἥκιστα μὲν ἐς τροφῆς κόρον ἐρχόμενοι,
ὅσον δὲ μὴ λιμῷ ἀποθνήσκειν, χρώμενοι σιτίοις ἐς ἡμέραν ἑκά-
στην. ἐπεὶ δὲ ἅπαντα σφᾶς τὰ ἐπιτήδεια ἐπελελοίπει, θέρρεις
τε καὶ διφθέρας ὕδατι βρέχοντες πολύν τινα χρόνον εἶτα ἤσθιον·
B Ἄλβιλας γὰρ, ὃς αὐτῶν ἦρχεν, ἀνὴρ ἐν Γότθοις δόκιμος μάλι-
στα, ἐλπίσιν αὐτοὺς κεναῖς ἔβοσκεν.

Ἡνίκα τε αὖθις ἐπανιὼν ὁ χρόνος τὴν τοῦ θέρους ὥραν
ἤνεγκεν, ὁ σῖτος ἤδη ἐν τοῖς ληίοις αὐτόματος ἤκμαζεν, οὐχὶ
τοσοῦτος μέντοι, ὅσος τὸ πρότερον, ἀλλὰ πολλῷ ἥσσων. ἐπεὶ
γὰρ ἐν ταῖς αὔλαξιν οὐκ ἀρότροις οὐδὲ χερσὶν ἀνθρώπων ἐκέκρυ-
πτο, ἀλλ' ἐπιπολῆς κείμενος ἔτυχε, μοῖραν αὐτοῦ τινα ὀλίγην ἡ
γῆ ἐνεγκεῖν ἴσχυσεν. οὐδενός τε αὐτὸν ἔτι ἀμήσαντος, πόρρω
ἀκμῆς ἐλθὼν αὖθις ἔπεσε καὶ οὐδὲν τὸ λοιπὸν ἐνθένδε ἐφύη.
ταὐτὸ δὲ τοῦτο καὶ ἐν τῇ Αἰμιλίᾳ ξυμπεπτωκὸς ἔτυχε. διὸ ἐλλεί-
C ποντες τὰ οἰκεῖα οἱ ταύτῃ ἄνθρωποι ἐς Πικηνοὺς ἦλθον, οὐκ ἄν

2. πυλίς] πόλις HL. πύλη Scaliger. 23. Πικήνους P. πικηνοὺς H.

atque impervius amnis obtinet. Quocirca olim Romani parva aliqua fabrica aditum illum occuparunt, ibique est porta: quam Gotthi custodiebant. Hactenus de situ Urbisveteris: cuius obsidionem Belisarius cum omni exercitu suscepit, spe inductus, fortasse fore ut dolus a fluvio bene procederet, vel certe hostes ad deditionem fames compelleret. Quandiu vero Barbari re cibaria non omnino caruerunt, licet illa necessitati parum sufficeret, eorum tamen tolerantia opinionem omnium vicit: cum alimentum non ad satietatem, sed quantum satis erat ne fame conficerentur, quotidie sumerent. Annona penitus defecti, pellibus ac membranis aqua diu maceratis se sustentarunt. Ipsos enim Praefectus Albilas, vir inter Gotthos clarissimus, spe vana alebat.

Recurrens annus aestatem cum advexisset, iam in agris frumentum sponte adolescebat, non tam densum quam antea, sed multo rarius. Nam quia non aratris nec hominum manibus fuerat in sulcis abditum, at in superficie iacuerat; exiguam eius partem proferre vix terra potuit. Adultum, non expectata falce, decidit, nec illi quidquam succrevit: quod ipsum accidit in Aemilia. Quamobrem incolae, relictis laribus, in Pice-

οἰόμενοι τὰ ἐκείνῃ χωρία διὰ τὸ ἐπιθαλάσσια εἶναι παντάπασι τῇ ἀπορίᾳ πιέζεσθαι. καὶ Τούσκων δὲ οὐδέν τι ἧσσον ἐξ αἰτίας τῆς αὐτῆς ὁ λιμὸς ἥψατο, ἀλλ' αὐτῶν ὅσοι ἐν τοῖς ὄρεσιν ᾤκηντο, τῶν δρυῶν τὰς βαλάνους ἀλοῦντες, ὥσπερ τὸν σῖτον, ἄρτους τε ἀπ' αὐτῶν ποιούμενοι ἤσθιον. καὶ νόσοις μὲν παντοδαπαῖς, ὡς τὸ εἰκὸς, οἱ πλεῖστοι ἡλίσκοντο, ἔνιοι δὲ καὶ περιγενόμενοι διεσώζοντο. ἐν Πικηνῷ μέντοι λέγονται Ῥωμαῖοι γεωργοὶ οὐχ ἧσσους ἢ πέντε μυριάδες λαῶν λιμῷ ἀπολωλέναι, καὶ πολλῷ ἔτι πλείους ἐκτὸς κόλπου τοῦ Ἰονίου. ὁποῖοι δὲ τὸ εἶδος ἐγένοντο καὶ ὅτῳ τρόπῳ ἔθνησκον αὐτὸς θεασάμενος ἐρῶν ἔρχομαι. ἰσχνοὶ μὲν καὶ ὠχροὶ ἐγένοντο πάντες, ἥ τε σὰρξ ἀποροῦσα τροφῆς κατά γε τὸν παλαιὸν λόγον ἑαυτῆς ἥπτετο, καὶ ἡ χολὴ τῷ περιόντι τὸ κράτος τῶν σωμάτων ἤδη ἔχουσα ὠχράν τινα εἰκασίαν ἐς ταῦτα ἠφίει. προϊόντος δὲ τοῦ κακοῦ, πᾶσά τε αὐτοὺς ἰκμὰς ἐπελελοίπει καὶ τὸ δέρμα λίαν ἀπεσκληκὸς βύρσῃ μάλιστα ἐμφερὲς ἦν, δόκησιν παρέχον ὡς ἄρα τοῖς ὀστέοις ἐμπεπηγὸς εἴη. τό τε πελιδνὸν ἐς τὸ μέλαν μεταβαλόντες δᾳδίοις τισὶν ἐς ἄγαν καυθεῖσιν ἐῴκεσαν. καὶ αὐτοῖς μὲν ἀεὶ τὰ πρόσωπα ἐξεθύμβει, ἀεὶ δὲ δεινῶς τι μανικὸν ἔβλεπον. ἔθνησκόν τε οἱ μὲν ἀπορίᾳ τροφῆς, οἱ δὲ λίαν αὐτῆς ἐς κόρον ἰόντες. ἐπειδὴ γὰρ σφίσιν ἀποσβεσθὲν ἅπαν τὸ θερμὸν ἔτυχεν, ὅπερ ἡ φύσις ἐντὸς ἔκαυσεν, P 436 εἴ τις ἐς κόρον αὐτοὺς, ἀλλὰ μὴ κατὰ βραχὺ θρέψειεν, ὥσπερ

2. *Τούσκων*] Vulgo *Τουσκῶν*. *ibid.* *τῆς αὐτῆς*] τῆς om. P, utrumque HL. 3. *λιμὸς*] *λοιμὸς* L. 7. *Πικήνῳ* P. *πικηνῷ* HL. 12. *ἥπτετο* Vat. Legebatur *ἐλείπετο*. 18. *ἐξεθύμβει*] *ἐκθαμβεῖν* HL.

sum migrarunt, inopiam rati non saevire illic extremam, quod maritima sit ea regio. Nec levius eamdem ob causam Tuscos vexavit fames: quorum quicunque in montibus habitabant, ex querna glande, frumenti instar commolita, facto pane, victum tolerabant. Hinc plerique (quod fieri necesse erat) morbis implicabantur omnis generis: nonnulli sospites evadebant. In agro Piceno non minus quinquaginta millia agricolarum Romanorum interiisse fame dicuntur, ac multo etiam plures ultra Sinum Ionium. Quanam autem essent specie, et quo modo morerentur, ego testis oculatus iam referam. Omnes macies occupabat et pallor. Nimirum caro, deficientibus alimoniis, se ipsa, ut veteri fertur adagio, esitabat absumebatque: et bilis redundans ac late iam dominans in corpore, illud colore palfido inficiebat. Invalescente malo, abibat sucous omnis, et cutis perarida coril speciem induebat omnino, ossibusque haerere videbatur. In nigrum verso colore lurido, taedis erant perustis similes. Vultu semper attonito, et furiosis horrendum in modum oculis contuebantur. Hos inedia, illos largius ingesti cibi vis necabat. Etenim nativo intestinorum calore extincto penitus, si quis ipsos ad satietatem, non

τὰ ἐπὶ καιροῦ τεχθέντα παιδία, οἵδε καταπέψαι τὰ σιτία οὐκέτι ἔχοντες, πολλῷ διεφθείροντο θᾶσσον. τινὲς δὲ τοῦ λιμοῦ ὑπερβιαζομένου ἀλλήλων ἐγεύσαντο. καὶ λέγονται γυναῖκες δύο ἐν ἀγρῷ τινι ὑπὲρ Ἀριμήνου πόλεως ἄνδρας ἑπτακαίδεκα ἐδηδοκέναι, ἅσπερ ἐν τῷ χωρίῳ μόνας περιεῖναι ξυνέπεσε. διὸ δὴ τοὺς ἐκείνῃ πορευομένους ξένους ἐς τὸ δωμάτιον καταλύειν, ὅπερ αὐταὶ ᾤκουν, ξυνέβαινεν· οὓς δὴ καθεύδοντας διαφθείρουσαι ἤσθιον.
H 241 B λέγουσιν οὖν τὸν ὀκτωκαιδέκατον ξένον ἐξ ὕπνου ἀναστάντα, ἡνίκα αὐτῷ ταῦτα τὰ γύναια ἐγχειρεῖν ἔμελλε, μαθεῖν τε παρ' αὐτῶν ἀναθηρῶντα τὸν πάντα λόγον καὶ ἄμφω κτεῖναι. τοῦτο μὲν δὴ οὕτω γεγενῆσθαί φασιν. οἱ δὲ πλεῖστοι τῇ τοῦ λιμοῦ ἀνάγκῃ ἐχόμενοι, εἴ πού τις τύχῃ πόα, πολλῇ μὲν σπουδῇ ἐπ' αὐτὴν ἦεσαν, ὀκλάσαντες δὲ ἀνέλκειν αὐτὴν ἐκ γῆς ἐπειρῶντο. εἶτα (οὐ γὰρ ἠδύναντο) ἐπεὶ πᾶσα αὐτοὺς ἰσχὺς ἐπελελοίπει, ὑπέρ τε τῆς πόας καὶ τῆς χειρὸς πίπτοντες ἔθνησκον. καὶ γῇ μὲν αὐτοὺς οὐδεὶς ἔκρυπτεν· οὐ γὰρ ἦν τις ὅτῳ καὶ ταφῆς λόγος γέ-
C V 90 νοιτο· ὄρνις μέντοι αὐτῶν οὐδεὶς ἥπτετο, οἷον πολλοὶ σιτίζεσθαι πεφύκασι νεκροῖς σώμασιν, ἐπεὶ οὐκ εἶχον οὐδὲν ὅτου ἐφεῖντο. σάρκας γὰρ ἁπάσας, ὥσπερ μοι ἔμπροσθεν εἴρηται, προδεδαπανῆσθαι τῷ λιμῷ ἤδη τετύχηκε. τὰ μὲν δὴ ἀμφὶ τῷ λιμῷ ταύτῃ πῃ ἔσχε.

D κα'. Βελισάριος ἐπειδὴ Οὐραΐαν τε καὶ τοὺς βαρβάρους Μεδιόλανον πολιορκεῖν ἤκουσε, Μαρτῖνόν τε καὶ Οὐλίαριν ξὺν

8. οὖν τὸν] τὸν om. L. 15. καὶ τῆς] τε καὶ τῆς P.

paulatim, ut infantes modo natos, cibaret; escam illi iam non valentes concoquere, multo citius extinguebantur. Nonnullos, ut mutua inter se carne vescerentur, fames perpulit; ac ferunt, in agro quodam ultra urbem Ariminum, viros XVII. a duabus comesos feminis, quae in vico solae restabant. Quippe hinc fiebat, ut illac habentes iter externi apud ipsas diverterent. Eae vero hos secundum quietem occisos vorabant. Tandem hospes decimus octavus, cum illi manus hae mulieres iam iam essent illaturae, evigilasse fertur, atque ubi rem omnem solerter indagando ab ipsis expressisset, utramque interfecisse. Hoc ita gestum fama est. Quamplurimi, adigente famis necessitate, in herbam, sicubi forte esset, magno ruebant impetu, nixioque impresso genu, conabantur eam humo avellere. Subinde autem, cum exhausti omnino viribus id nequirent efficere, in herbam atque manum procidentes, animam efflabant. Neque humo quisquam illos mandabat: siquidem nemo erat, qui rationem haberet sepulturae. Nulla tamen avium, quas cadavera solent pascere, eos morsu foedabat. Quippe quod appeterent nihil erat; carnibus, ut supra dixi, iam ante prorsus fame absumptis. Sed de fame hactenus.

21. Posteaquam Belisarius Mediolanum ab Uraia Barbarisque obsessum audiit, Martinum atque Uliarin eo misit cum multis copiis. Illi

πολλῷ στρατῷ ἐπ' αὐτοὺς ἔπεμψεν. οἱ δὲ ἀφικόμενοι ἐς ποταμὸν Πάδον, ὃς Μεδιολάνου ἀπέχει ἡμέρας ὁδὸν, ἐνστρατοπεδευσάμενοι αὐτοῦ ἔμενον. χρόνος τε σφίσι πολὺς ἐνταῦθα ἐτρίβη, ἀμφὶ τῇ διαβάσει τοῦ ποταμοῦ βουλὴν ἔχουσιν. ὅπερ ἐπεὶ Μουνδίλας ἤκουσε, τῶν τινα Ῥωμαίων, Παῦλον ὄνομα, παρ' αὐτοὺς ἔπεμψεν. ὃ δὲ λαθὼν μὲν τοὺς πολεμίους ἐς τοῦ Πάδου τὴν ὄχθην ἦλθεν. ὁλκάδος δὲ οὐδεμιᾶς ἐν τῷ παραυτίκα ἐπιτυχών, ἀπεδύσατό τε καὶ νηχόμενος ξὺν μεγάλῳ κινδύνῳ τὴν διάβασιν ἐποιήσατο. κομισθεὶς οὖν ἐς τὸ τῶν Ῥωμαίων στρατόπεδον καὶ παρὰ τοὺς ἡγουμένους ἥκων ἔλεξε τοιάδε ,,Μαρτῖνε καὶ P 437
Οὐλλαρι, οὐ δίκαια ποιεῖτε οὐδὲ δόξης τῆς ὑμῶν αὐτῶν ἄξια, λόγῳ μὲν ἐπὶ σωτηρίᾳ τῶν βασιλέως πραγμάτων ἥκοντες, ἔργῳ δὲ τὴν Γότθων δύναμιν αὔξοντες. Μεδιόλανος γὰρ ἥδε, πόλεων τῶν ἐν Ἰταλίᾳ πασῶν μάλιστα μεγέθει τε καὶ πολυανθρωπίᾳ καὶ τῇ ἄλλῃ εὐδαιμονίᾳ παρὰ πολὺ προὔχουσα, χωρὶς δὲ τούτων πρός τε Γερμανοὺς καὶ τοὺς ἄλλους βαρβάρους ἐπιτείχισμά τε οὖσα καὶ πάσης, ὡς εἰπεῖν, προβεβλημένη τῆς Ῥωμαίων ἀρχῆς, ἐς κίνδυνόν τινα ἐμπέπτωκε μέγαν, ξύν τε Μουνδίλᾳ καὶ τῷ βασιλέως στρατῷ, παρὰ μὲν τῶν πολεμίων ἐνοχλουμένη, παρὰ δὲ ὑμῶν ἀμελουμένη. ἡλίκα μὲν οὖν ἠδίκηται βασιλεὺς παρ' ὑμῶν B
ἐν τῷ παρόντι, λέγειν ἀφίημι. οὐ γάρ μοι πλείοσι λόγοις ὁ καιρὸς ἐνδίδωσι χρῆσθαι, ὀξείάν τινα τῇ πόλει τὴν ἐπικουρίαν ἐπιζητῶν, ἕως ἔτι λείπεταί τις ἐλπίς. ὑμᾶς δέ φημι χρῆναι αὐτίκα δὴ μάλα κινδυνεύουσι Μεδιολανίταις ἀμύνειν. ἦν γάρ τινι μελ-

17. προβεβλημένη L. Vulgo προβεβλημένης.

ad Padum fluvium, qui diei iter abest Mediolano, progressi, castris ibi positis constitere, et multum trivere temporis in habenda de fluminis transitu deliberatione. Qua de re certior factus Mundilas, Romanum quemdam, Paulum nomine, ad ipsos destinat: qui clam hostibus ad Padi ripam cum pervenisset, nullum nactus navigium, vestes exuit, et cum magno periculo tranavit amnem. Ubi castra Romana attigit, apud Duces oratione hac usus est. *Contra fas et honorem vestrum facitis, Martine et Uliari: qui huc profecti eo in speciem consilio, ut salvae res Imperatoris essent, potentiam Gotthicam re ipsa augetis. Aeribus enim hostium impressionibus et negligentia vestra in summum discrimen cum Mundila et Imperatoris copiis delapsum est Mediolanum, urbium Italiae fere omnium facile princeps amplitudine, frequentia, opibus: praeterquam quod adversus Germanos alioque Barbaros propugnaculum est, universo, ut ita dicam, Imperio Rom. praestructum. Quanta igitur iniuria affeceritis Imperatorem, omitto dicere. Neque enim pluribus verbis agere per tempus licet, quod urbi promptum auxilium flagitat, dum aliquid spei reliquum est. Vestrum esse aio Mediolanenses periculo quamprimum subtrahere.*

λήσει ἔν γε τῷ παρόντι ἐς ἡμᾶς χρῆσθαι συμβῇ, ἡμῖν μὲν τὰ πάντων πικρότατα πεπονθόσιν ἀπολωλέναι ξυμβήσεται, ὑμῖν δὲ τὸ τοῖς πολεμίοις τὴν βασιλέως προέσθαι δύναμιν. προδόται γὰρ, οἶμαι, καλεῖσθαί εἰσι δίκαιοι οὐχ οἳ ἂν τὰς πύλας τοῖς ἐναντίοις ἀνακλίνοιεν μόνον, ἀλλ' οὐδέν τι ἧσσον, εἰ μὴ καὶ μᾶλλον, οἳ ἂν πολιορκουμένοις παρὸν τοῖς φιλτάτοις ἀμύνειν, οἱ δὲ τὴν C ἀκίνδυνον ὄκνησιν πρὸ τῆς ἀγωνίας ἑλόμενοι, τὴν ἐκείνων, ὡς τὸ εἰκὸς, ἐπικράτησιν τοῖς πολεμίοις δεδώκασι." Παῦλος μὲν τοσαῦτα εἶπε. Μαρτῖνος δὲ καὶ Οὐλίαρις ἔψεσθαί οἱ αὐτίκα δὴ μάλα ἐπαγγειλάμενοι τὸν ἄνθρωπον ἀπεπέμψαντο. ὃς δὴ καὶ αὖθις τοὺς βαρβάρους λαθὼν ἐς Μεδιόλανον νύκτωρ εἰσῆλθε, τούς τε στρατιώτας καὶ Ῥωμαίους ἅπαντας ἐλπίσιν ἐπάρας ἔτι μᾶλλον ἐς τὴν βασιλέως πίστιν ἐπτέρωσεν. οὐδὲν δέ τι ἧσσον οἱ ἀμφὶ Μαρτῖνον ὄκνῳ ἐχόμενοι αὐτοῦ ἔμενον, χρόνος τε πολὺς ταύτῃ δὴ τῇ μελλήσει ἐτρίβετο. μετὰ δὲ Μαρτῖνος ἀπολύεσθαι τὴν αἰτίαν ἐθέλων Βελισαρίῳ ἔγραψε τάδε „Ἔπεμψας ὧδε τοῖς D ἐν Μεδιολάνῳ κινδυνεύουσιν ἐπαμυνοῦντας, καί γε πολλῇ σπουδῇ, ὥσπερ σὺ ἐκέλευες, ἄχρι ἐς Πάδον ποταμὸν ἥκομεν, ὃν διαβαίνειν ὁ στρατὸς δέδοικεν, ἐπεὶ δύναμίν τε Γότθων μεγάλην καὶ Βουργουνζιώνων πάμπολύ τι ξὺν αὐτοῖς πλῆθος ἐν Λιγούροις εἶναι ἀκούομεν, πρὸς οὕς γε ἡμεῖς διαμάχεσθαι μόνοι οὐχ οἷοί τε οἰόμεθα εἶναι. ἀλλὰ κέλευε Ἰωάννην τε καὶ Ἰουστῖνον ὡς τάχιστα (ἐν γειτόνων γὰρ ἡμῖν ἐν Αἰμιλίων τῇ χώρᾳ εἰσὶν)

9. δὲ] τε P.

Nam si nos aliquantulum differatis, nobis mors omnium crudelissima, vobis crimen inferetur proditarum hostibus virium Imperatoris. Merito enim, mea quidem sententia, proditores vocantur, non modo qui portas hostibus aperuerint, sed ii quoque, et quidem pari vel potiori etiam iure, qui cum possent viris amicissimis obsidione pressis suppetias ferre, in tuto residere maluerint, quam dimicare, ac proinde eos in hostium potestatem dimiserint. Haec Paulus: quem Martinus et Uliaris remisere, se mox ipsum secuturos polliciti. Ille hostem denuo latens, noctu Mediolanum ingreditur, spe omnes cum milites tum Romanos erigit, et ad praestandam Imperatori fidem acrius excitat. Nihilo tamen minus Martini copias segnities ibi tenuit, ac dum diem ex die ducunt, multum tempus inutiliter effluxit. Post, ut a se culpam amoliretur Martinus, haec ad Belisarium scripsit. *Nos huc misisti, obsessis Mediolani laturos opem. Summa, ut iusseras, celeritate ad fluvium Padum venimus: quem exercitus traiicere reformidat, allato nuntio, ingentes esse in Liguria Gothorum vires, et cum illis coniunctos maxime numero Burgundiones, quibuscum soli non posse congredi nobis videmur. Sed quando prope in Aemilia Ioannes et Iustinus absunt, utrique mandа ut cum suis in hoc Martis discrimine no-*

ὁμοῦ τοῖς ἑπομένοις κινδύνου ἡμῖν τοῦδε ξυνάρασθαι. κοινῇ γὰρ ἐνθένδε ἰόντες αὐτοί τε σῶοι εἶναι καὶ δρᾶν τι κακὸν δυνησόμεθα τοὺς πολεμίους." Μαρτίνου μὲν ἡ ἐπιστολὴ τοσαῦτα V 91
ἐδήλου. Βελισάριος δὲ, ἐπεὶ αὐτὴν ἀνελέξατο, Ἰωάννην τε καὶ Ἰουστῖνον ἐκέλευε ξὺν τοῖς ἀμφὶ Μαρτῖνον ἐς Μεδιόλανον κατὰ τάχος ἰέναι. οἱ δὲ πράξειν οὐδὲν ἔφασκον, εἴ τι μὴ Ναρσῆς ἐπιστέλλοι σφίσι. διὸ δὴ καὶ Ναρσῇ Βελισάριος ἔγραψε τάδε H 242
„Ἓν σῶμα εἶναι πᾶσαν τὴν βασιλέως στρατιὰν νόμιζε, ἣν δὴ P 438
ἢν μὴ γνώμην ἐνδείκνυσθαι μίαν ὥσπερ ἀνθρώπου τὰ μέλη ξυμβαίνει, ἀλλά τι ἀλλήλων χωρὶς ἐνεργεῖν βούλεσθαι, λελείψεται ἡμῖν τῶν δεόντων οὐδὲν διαπεπραγμένοις ἀπολωλέναι. οὐκοῦν Αἰμιλίαν μὲν ἔα, οὐδέν τι ὀχύρωμα ἔχουσαν οὐδέ τινα Ῥωμαίοις ἔν γε τῷ παρόντι καιρῷ ῥοπὴν φέρουσαν. σὺ δὲ Ἰωάννην τε καὶ Ἰουστῖνον κέλευε αὐτίκα δὴ μάλα εὐθὺ τῶν ἐν Μεδιολάνῳ πολεμίων ξὺν τοῖς ἀμφὶ Μαρτῖνον ἰέναι, ἐγγύς τε ὄντας καὶ πρὸς τῶν βαρβάρων τὴν ἐπικράτησιν ἱκανῶς ἔχοντας. ἐμοὶ γὰρ ἐνταῦθα στρατιᾶς πλῆθος, ὅπερ ἂν καὶ στέλλοιμι, οὐκ εἶναι ξυμβαίνει, ἄλλως τε δὲ καὶ στρατιώτας ἐς Μεδιόλανον ἐνθένδε ἰέναι ἀξύμφορον οἶομαι εἶναι. χρόνου τε γὰρ τετρίψεται πλῆθος, B
ὥστε ὀπίσω τοῦ δέοντος καιροῦ ἐς αὐτὴν ἥξουσι, καὶ τοῖς ἵπποις ἐπὶ τοῖς πολεμίοις χρῆσθαι διὰ μῆκος ὁδοῦ, ἧνίκα ἐς ἐκείνους ἀφίκωνται, οὐδαμῶς ἕξουσιν. ἢν δέ γε οἱ ξὺν Μαρτίνῳ καὶ Οὐλίαρι ἄνδρες οὗτοι ἐς Μεδιόλανον ἴωσι, κρατήσουσί τε, ὡς

8. ἢν δὴ ἢν P ex Vat. εἴπερ γοῦν HL. 9. ἐνδείκνυσθαι] ἐνδεδείκνυσθε HL. ibid. ἀνθρώπου] ἀνθρώποις HL. 10. βούλεσθαι] βούλεσθε HL. 22. ξὺν] ξύν γε P.

bis adsint. Iunctis enim copiis hinc profecti, cladem hosti dare poterimus salvi atque incolumes. Haec erat significatio epistolae Martini: qua lecta, Ioanni ac Iustino mandat Belisarius, ut cum Martino Mediolanum properent. Negant ambo id se facturos, nisi Narses imperet. Quare Belisarius in haec verba Narseti scribit. *Unum esse corpus existima omnes Imperatoris copias: quae si non ostendant concordiam, qualis est inter hominis membra, et distractae aliquid efficere velint, nihil eorum, quae agenda sunt executi, peribimus. Omissa igitur Aemilia, quae nec ullam habet munitionem, nec Romanis in praesenti momentum affert, sine mora Ioanni ac Iustino praecipe, ut recta adversus hostes Mediolano infestos proficisci maturent cum Martini copiis, quae illinc prope absunt, Barbaris vincendis idoneae. Hic enim quas mittam ipse non habeo. Accedit in primis quod, meo quidem iudicio, non conducit ire hinc milites Mediolanum. Quippe tantum temporis impendent, ut serius, quam oporteat, eo perventuri sint; postque adventum suum, equis viae longinquitate fessis uti contra hostes non poterunt. At si cum Martino atque Uliari Ioannes*

εἰκὸς, τῶν ταύτῃ βαρβάρων, καὶ τὴν Αἰμιλίαν καταλήψονται αὖθις, οὐδενὸς ἔτι ἀντιστατοῦντος." ταῦτα ἐπεὶ Ναρσῆς ἀπενεχθέντα εἶδε τὰ γράμματα, αὐτὸς μὲν Ἰωάννην τε καὶ Ἰουστῖνον ἐπέστελλεν ἐς Μεδιόλανον ξὺν τῷ ἄλλῳ στρατῷ ἰέναι. ὀλίγῳ δὲ ὕστερον Ἰωάννης μὲν ἐς τὴν παραλίαν ἐστάλη, ὅπως ἀκάτους ἐνθένδε κομίζοι, οὕτω τε διαβαίνειν τὸν ποταμὸν ὁ στρατὸς δύνηται. ἀλλὰ νόσος αὐτῷ ξυμβᾶσα τὰ πρασσόμενα διεκώλυσεν.

C Ἐν ᾧ δὲ οἵ τε ἀμφὶ Μαρτῖνον τῇ ἐς τὴν διάβασιν ὀκνήσει ἐχρῶντο καὶ οἱ ἀμφὶ τὸν Ἰωάννην τὰς Ναρσοῦ ἐντολὰς ἔμενον, ἐν τούτῳ χρόνου δαπανᾶσθαι πολύ τι χρῆμα τῇ πολιορκίᾳ τετύχηκεν. οἱ δὲ πολιορκούμενοι ἤδη ἐς ἄγαν τῷ λιμῷ πιεζόμενοι καὶ τοῦ κακοῦ ὑπερβιαζομένου κυνῶν τε καὶ μυῶν οἱ πλεῖστοι ἐγεύσαντο καὶ ζῴων ἄλλων ὅσα ἐς βρῶσιν ἀνθρώπου οὐ πρότερον ἦλθεν. οἱ μὲν οὖν βάρβαροι πρίσβεις παρὰ Μουνδίλαν πέμψαντες ἐνδοῦναι σφίσι τὴν πόλιν ἐκέλευον, ἐφ' ᾧ ἀπαθεῖς τε αὐτὸς καὶ οἱ στρατιῶται κακῶν μείνωσιν. ὁ δὲ ταῦτα ὡμολόγησε πράξειν, ἢν ἐκεῖνοι ὑπέρ τε αὐτῶν τὰ πιστὰ δώσουσι καὶ ὡς οὐδὲν ἄχαρι ἐς τῶν οἰκητόρων τινὰ δράσουσιν. ὡς δὲ οἱ πολέμιοι
D Μουνδίλᾳ τε καὶ τοῖς στρατιώταις τὰ πιστὰ ἔδοσαν, θυμῷ δὲ πολλῷ ἐς Λιγούρους ἐχόμενοι ἅπαντας ἀπολοῦντες ἔνδηλοι ἦσαν, ξυγκαλέσας Μουνδίλας τοὺς στρατιώτας ἅπαντας ἔλεξε τοιάδε „Εἴ τινες καὶ ἄλλοι πώποτε, παρὸν αἰσχρῶς βιῶναι, οἱ δὲ μᾶλλον εὐκλεῶς ἀποθανεῖν εἵλοντο σωτηρίας τῆς παραυτίκα τὴν εὐ-

et Iustinus Mediolanum petant, Barbaros, qui ibi sunt, procul dubio vincent, ac nemine iam obsistente, Aemiliam recipient. His Narses lectis literis, Ioannem ac Iustinum cum reliquo exercitu Mediolanum ire iussit. Nec multo post Ioannes ad oram maritimam sese contulit, ut sumptis inde scaphis copias fluvium transportaret. Sed morbus, qui tunc ipsum invasit, coeptis fuit impedimento.

Dum ad traiectum Martinus cunctatur, et Narsetis mandata Ioannes expectat, interea obsidione longius extracta, obsessi premente iam nimium fame sic vincebantur, ut plerique a canibus, muribus, aliisque animantibus, antea non receptis in cibum, dentes minime abstinerent. Barbari, missis ad Mundilam Oratoribus, hortantur ut dedat urbem, accepta conditione, ab ipso et militibus vim abfuturam. Id ille se facturum promittit, si incolumitatis fidem non modo ipse, verum etiam cives accipiant. Cum hostes fidem Mundilae ac militibus dedissent, neque obscurum esset eos Liguribus graviter offensos ad internecionem saevituros, Mundilas militibus omnibus convocatis haec dixit. *Si qui unquam, cum possent turpiter vivere, maluerunt honeste mori, clarum obitum praeoptantes*

πρεπῆ τοῦ βίου καταστροφὴν ἀλλαξάμενοι, τοιούτους δή τινας ἐν τῷ παρόντι βουλοίμην ἂν καὶ ὑμᾶς εἶναι καὶ μὴ τῷ φιλοψύχῳ τὸν μετὰ τῆς αἰσχύνης βίον διώκειν, καὶ ταῦτα ἀπο τῆς Βελισαρίου διδασκαλίας, ἧς ἐκ πασῶν μετασχοῦσιν ἡμῖν μὴ οὐχὶ γενναίοις τε καὶ λίαν εὐτόλμοις εἶναι οὐχ ὅσιον. τοῖς μὲν γὰρ εἰς φῶς ἥκουσι μία τις ἅπασι προέρχεται τύχη, τοῖς καθήκουσι τεθνήξεσθαι χρόνοις· τρόπῳ δὲ τῆς τελευτῆς ἄνθρωποι ἀλλήλων P 439 ὡς τὰ πολλὰ διαλλάσσουσι. διαφέρει δέ, ὅτι ἄνανδροι μὲν, ὡς τὸ εἰκὸς, ἅπαντες ὕβριν τε καὶ γέλωτα ὀφείλοντες τοῖς ἐχθροῖς πρότερον, εἶτα τοῖς ἄνωθεν διωρισμένοις καιροῖς οὐδὲν ἧσσον ἀναπιμπλῶσι τὴν πεπρωμένην. γενναίοις δὲ ἀνδράσι ξύν τε τῇ ἀρετῇ καὶ δόξης ἀγαθῆς περιουσίᾳ τοῦτο ξυμβαίνει πάσχειν. ἄνευ δὲ τούτων εἰ μὲν ἀνθρώπους τούσδε ξυνδιασώζειν ἡμῖν δουλεύουσι τοῖς βαρβάροις παρῆν, ἔφερεν ἂν τοῦτο γοῦν τινα τῆς αἰσχρᾶς ταύτης ἡμῖν σωτηρίας συγγνώμην. ἦν δέ γε Ῥωμαίους τοσούτους τὸ πλῆθος ἐπιδεῖν ἀνάγκη ταῖς τῶν πολεμίων διαφθειρομένους χερσὶν, ὅτου τις ἂν εἴποι τοῦτο θανάτου πικρότερον ἔσται. οὐ γὰρ ἄλλο οὐδὲν ἢ τοῖς βαρβάροις ξυγκατεργάζεσθαι τὸ B δεινὸν δόξαιμεν. ἕως οὖν ἔτι ἐσμὲν ἡμῶν αὐτῶν κύριοι, ἀρετῇ τὴν ἀνάγκην κομίσασθαι εὔδοξον ἑαυτοῦ κατὰ τὴν προσπεσοῦσαν διαθώμεθα τύχην. φημὶ δὲ χρῆναι ὡς ἄριστα ἐξοπλισαμένους ἡμᾶς ἅπαντας ἐπὶ τοὺς πολεμίους οὐ προσδεχομένους χωρεῖν.

6. προέρχεται] „Melius forte προσέρχεται, *impendet*.“ Malt. 20. κομίσασθαι] κοσμήσασθαι Maltretus. *ibid.* εὔδοξον] εὖ δόξαν Maltretus cum Scaligero. *ibid.* ἑαυτοῦ] ἑαυτοῖς L. ἑκάστῳ Maltretus.

praesenti vitae, tales velim ut modo sitis, nec vos ad retinendam cum decore animam lucis amor impellat; idque contra Belisarii disciplinam, qua assidue eruditi, non possumus sine culpa generositate animoque ad audendum promptissimo non valere. Omnibus, qui in lucem eduntur, communis praeit suo tempore moriendi necessitas. At mortis genere inter se homines plerumque differunt. In eo nempe discrimen est, quod ignavi omnes, postquam hostium contumelias ac ludibria merito passi sunt, constituta a Deo die, aeque ut caeteri, fatum implent: id vero subeunt viri fortes cum significatione virtutis gloriaque amplissima. Praeterea, si nostra apud Barbaros servitus nobiscum cives servare posset, venia daretur aliqua ignominiosae illi saluti nostrae. Verum si tot Romanos hostium manibus trucidatos videre necesse erit, quis neget quovis leti genere acerbius illud fore spectaculum? Nihil certe aliud, nisi tantam illam cum Barbaris stragem edere videbimur. Igitur quandiu iuris nostri sumus, quod nemo non recte sentit, ornandam esse virtute necessitatem, id iam oblatae nobis fortunae accommodemus. Itaque sic statuo, nos omnes armatos in hostem incautum debere vadere. Nam alterutrum nobis eveniet, ut

δυοῖν γὰρ ἡμῖν περιέσται θάτερον· ἢ τὴν τύχην ἐφ' ἡμῖν εἰργά-
V 92 σθαι τι ἢ κρεῖσσον ἐλπίδος τελευτῆς τετυχηκότας εὐδαίμονος εὐ-
κλεῶς μάλιστα τῶν παρόντων ἀπηλλάχθαι κακῶν." Μουνδίλας
μὲν τοσαῦτα εἶπε, τῶν δὲ στρατιωτῶν ὑποστῆναι τὸν κίνδυνον
C οὐδεὶς ἤθελεν, ἀλλ' ἐφ' οἷς παρεκάλουν οἱ πολέμιοι σφᾶς τε αὖ-
τοὺς καὶ τὴν πόλιν ἐνέδοσαν. καὶ αὐτοὺς μὲν οἱ βάρβαροι οὐδὲν
H 243 ἄχαρι ἐργασάμενοι ἐν φυλακῇ ξὺν Μουνδίλᾳ εἶχον, τὴν δὲ πόλιν
ἐς ἔδαφος καθεῖλον, ἄνδρας μὲν κτείναντες ἡβηδὸν ἅπαντας οὐχ
ἧσσον ἢ μυριάδας τριάκοντα, γυναῖκας δὲ ἐν ἀνδραπόδων ποιη-
σάμενοι λόγῳ, αἷς δὴ Βουργουνζίωνας δεδώρηνται χάριν αὐτοῖς
τῆς ξυμμαχίας ἐκτίνοντες. οὗ δὴ Ῥεπάρατον εὑρόντες τὸν τῆς
αὐλῆς ἔπαρχον, ἔκοψάν τε κατὰ βραχὺ καὶ αὐτοῦ τὰ κρέα τοῖς
κυσὶν ἔρριψαν. Κερβεντῖνον δὲ (καὶ γὰρ ἐντὸς ἐν Μεδιολάνοις
D ἔτυχε) διά τε Βενετίων καὶ τῶν ταύτῃ ἐθνῶν ξὺν τοῖς ἑπομένοις
ἐς Δαλματίαν κομίζεται. καὶ παρὰ βασιλέα ἐνθένδε ἦλθε, πά-
θος ἀγγέλλων μέγα τοῦτο, ὃ Ῥωμαίοις ξυνέπεσε γενέσθαι. καὶ
ἀπ' αὐτοῦ οἱ Γότθοι πόλεις τε ἄλλας ὁμολογίᾳ εἶλον, αἳ Ῥω-
μαίων ἔτυχον φρουρὰς ἔχουσαι, καὶ Λιγουρίας ὅλης αὖθις ἐκρά-
τησαν· Μαρτῖνος δὲ καὶ Οὐλίαρις ξὺν τῷ στρατῷ ἐπὶ Ῥώμης
ἀνέστρεφον.

P 440 κβ'. Ταῦτα μὲν δὴ ὧδέ πη ἔσχε. Βελισάριος δὲ οὔπω τι
πεπυσμένος τῶν ἐν Λιγουρίᾳ ξυμπεπτωκότων, ἐπειδὴ ὁ χειμὼν
ἐτελεύτα, ἤδη τῷ παντὶ στρατῷ ἐς τὴν Πικηνῶν ἦει. τά τε

15. ἦλθε om. L. 23. Πικήνων P. πιγκηνῶν HL.

aut fortuna a nobis faciat, aut mors supra spem beata his aerumnis gloriose nos expliceat. In hunc modum locuto Mundila, militum nemo periclitari voluit, sed accepta, quam hostes dederant, conditione, se atque urbem permiserunt. Atque ipsos quidem Barbari a vexatione intactos in custodia cum Mundila habuere: urbem autem solo aequarunt, viris omnibus, sine ulla aetatis discrimine, ad trecenta minimum millia, peremptis, et multatis libertate feminis: quas Burgundionibus donarunt, praestitum auxilium remunerantes. Cum Praefectum Praetorio Reparatum ibi offendissent, conciderunt in frusta eiusque carnes canibus proiecerunt. Cervantinus, qui et ipse Mediolani erat, per agrum Venetum ac vicinarum gentium oras in Dalmatiam cum suis profectus, inde ad Imperatorem se contulit, cladem hanc Romanorum ingentem nuntiaturus. Exin Gotthi caeteris urbibus, quae Romana praesidia habebant, deditione potiti, universam Liguriam recepere. Martinus et Uliaris Romam cum exercitu reversi sunt.

22. Ita quidem haec se habuerunt. Belisarius vero iguarus adhuc quid in Liguria accidisset, exacta iam hieme, agrum Picenum cum exercitu universo petere intendit. In itinere auditis, quae Mediolani con-

ἀμφὶ Μεδιόλανον τετυχηκότα ἐν ταύτῃ δὴ τῇ πορείᾳ μαθὼν ἐν μεγάλῳ ἐποιήσατο πένθει. καὶ Οὐλίαριν μὲν ἐς ὄψιν οἱ ἐλθεῖν οὐκέτι τὸ λοιπὸν εἴασεν, ἅπαντα δὲ τὰ ξυμπεσόντα βασιλεῖ ἔγραψε. βασιλεὺς δὲ τούτων μὲν ἕνεκα δεινόν τι εἰργάσατο οὐδέν, τὴν δὲ Βελισαρίου τε καὶ Ναρσοῦ διαφορὰν ἀκούσας, Ναρσῆν τε αὐτίκα μεταπεμψάμενος αὐτοκράτορα παντὸς τοῦ πολέμου Βελισάριον κατεστήσατο. ὧδε μὲν οὖν ἐς Βυζάντιον Ναρσῆς ἐπανῆκε, τῶν στρατιωτῶν ὀλίγους τινὰς ἄγων. Ἔρουλοι δὲ μένειν ἐν Ἰταλίᾳ Ναρσοῦ ἐνθένδε ἀναχωροῦντος οὐκέτι ἠξίουν, καίτοι Βελισαρίου πολλὰ ὑποσχομένου σφίσι πρός τε αὐτοῦ καὶ βασιλέως ἀγαθὰ μένουσιν ἔσεσθαι, ἀλλὰ ξυσκευασάμενοι ἅπαντες τὰ μὲν πρῶτα ἐπὶ Λιγουρίας ἐχώρησαν. οὓς δὴ ἐντυχόντες τῷ Οὐραΐα στρατῷ, ἀνδράποδά τε καὶ ἄλλα ζῶα ὅσα ἐπῆγον τοῖς πολεμίοις ἀπέδωσαν, καὶ χρήματα πολλὰ κεκομισμένοι ἀπώμοσαν, μήποτε Γότθοις ἀντιτάξασθαι ἢ ἐς χεῖρας ἰέναι. οὕτω τε εἰρηναίαν τὴν ἀναχώρησιν ποιησάμενοι ἐς τὰ ἐπὶ Βενετίας χωρία ἦλθον. ἐνταῦθα αὐτοῖς Βιταλίῳ ξυγγενομένοις τῶν ἐς βασιλέα Ἰουστινιανὸν ἡμαρτημένων μετέμελεν. ἀφοσιούμενοί τε τὸ ἔγκλημα Οὐίσανδον μὲν τῶν ἀρχόντων ἓνα ξὺν τοῖς ἑπομένοις αὐτοῦ εἴασαν, οἱ δὲ λοιποὶ ἐς Βυζάντιον ἀπεκομίσθησαν ἅπαντες, Ἀλουήθ τε ἡγουμένου σφίσι καὶ Φιλιμοὺθ, ὅσπερ Φανοθέου τετελευτηκότος ἐν σκηνῇ τὴν ἀρχὴν ἔσχεν.

21. *Φανοθέου*] Vulgo *Φανιθίου*. 22. *ἐν σκηνῇ*] „Forte *ἐν Καισήνῃ*, quia Phanitheus, cuius obitus hic memoratur, supra p. 433 d. occisus dicitur in oppugnatione Caesenae.“ Malt.

tigerant, magno affectus luctu, Uliarin ad conspectum suum admittere amplius noluit, et omnia ad Imperatorem perscripsit. Horum causa in neminem acerbe Imperator consuluit: sed cognito Belisarii ac Narsetis dissidio, Narsetem extemplo revocavit, bellumque uni Belisario dedit. Itaque Narses, paucis militibus comitatus, Byzantium rediit: neque Eruli, illo abeunte, in Italia manere voluerunt; quamvis, si subsisterent, multa in eos bona Belisarius cum a se, tum ab Augusto profectura polliceretur. Verum omnes collectis sarcinis, in Liguriam primum migrarunt: ubi, cum in Uraiae copias incidissent, mancipia, et quidquid pecoris abducebant, venundedere, multaque aucti pecunia, iurarunt se nunquam laturos arma in Gotthos, nec manus cum ipsis collaturos. Eo pacto cum pace digressi, in agrum venere Venetum: ubi cum Vitalio collocutos, admissi in Iustinianum Aug. peccati poenituit: idque detestati, Visando, e principibus suis uno, ibi relicto cum suis, Byzantium caeteri omnes reversi sunt, ducentibus Alueth ac Philemuth, qui, Phanotheo in tentorio mortuo, principatum obtinuit.

Οὐίτιγις δὲ καὶ οἱ ξὺν αὐτῷ Γότθοι Βελισάριον ἅμα ἤρι
D ἀρχομένῳ ἐπὶ σφᾶς τε καὶ Ῥάβενναν ἥξειν ἀκούοντες ἐν δείματι
μεγάλῳ καθίσταντο καὶ τὰ παρόντα σφίσιν ἐν βουλῇ ἐποιοῦντο,
καὶ αὐτοῖς πολλὰ βουλευσαμένοις (οὐ γὰρ ἀξιόμαχοι τοῖς πολε-
μίοις κατὰ μόνας ᾤοντο εἶναι) ἔδοξεν ἄλλων τινῶν βαρβάρων
ἐπικουρίαν ἐπάγεσθαι. Γερμανῶν μὲν οὖν τοῦ τε δολεροῦ καὶ
ἀπίστου ἤδη ἐν πείρᾳ γεγενημένοι ἀπέσχοντο, ἀγαπῶντες, ἢν μὴ
καὶ αὐτοὶ ξὺν Βελισαρίῳ ἐπὶ σφᾶς ἴωσιν, ἀλλ' ἀμφοτέροις ἐκπο-
P 441 δὼν στήσωνται. ἐς δὲ Λαγγοβάρδων τὸν ἄρχοντα Οὔακιν πρέ-
σβεις ἔπεμψαν, χρήματά τε μεγάλα προτεινόμενοι καὶ ἐς τὴν
ὁμαιχμίαν παρακαλοῦντες. οἳ δή, ἐπεὶ βασιλεῖ φίλον τε καὶ
V 93 ξύμμαχον τὸν Οὔακιν ἔγνωσαν εἶναι, ἄπρακτοι ἀνεχώρησαν.
Οὐίτιγις τοίνυν τοῖς παροῦσιν, ὡς τὸ εἰκός, ἀπορούμενος τῶν
πρεσβυτέρων ἀεὶ ξυνεκάλει πολλούς. παρ' ὧν δὴ συχνὰ ἐπυν-
θάνετο ὅ τί ποτε οἱ βουλευομένῳ τε καὶ πράσσοντι ἄμεινον τὰ
πράγματα ἕξει. γνῶμαι οὖν πολλαὶ πρὸς τῶν ἐς τὴν βουλὴν
ξυνιόντων ἐλέγοντο, αἱ μὲν ἐπιτηδείως τοῖς παροῦσιν οὐδαμῇ
ἔχουσαι, αἱ δέ τι καὶ λόγου ἄξιον φέρουσαι. ἐν αἷς καὶ τόδε
B ἐς τὸν λόγον ἦλθεν, ὡς οὐ πρότερόν ποτε Ῥωμαίων βασιλεὺς
τοῖς ἐν τῇ ἑσπερίᾳ βαρβάροις πολεμεῖν ἴσχυσε, πλήν γε δὴ ὅτι αἱ
σπονδαὶ ἐς Πέρσας γεγένηνται αὐτῷ τε καὶ τοῖς ἐν τῇ ἕῳ βασι-
λεῦσι. τούς τε γὰρ Βανδίλους καὶ Μαυρουσίους τηνικαῦτα ἀπο-
λωλέναι καὶ Γότθοις τὰ παρόντα ξυμπεπτωκέναι. ὥστε καὶ, ἢν

8. ἐκποδὼν] ἐκποδῶν P. 9. στήσωνται] στήσονται L. 20. ὅτι] ὅτε Pm.

At Vitigis, et qui ipsi aderant Gotthi, cum adversum se et Ravennam primo vere venturum Belisarium audilsset, gravi metu perterriti, de re praesenti consultare instituunt. Qua multum agitata, quoniam se solos hosti viribus impares sentiebant, constitutum est, ut aliorum auxilia Barbarorum accerserent, Germanis, quorum fraudes perfidiamque experti iam fuerant, praetermissis, eo contenti, ut in se arma non ferrent isti cum Belisario, ac neutri parti faverent. Tum ad Vacin Langobardorum Regem legatione missa, grandique oblata pecunia, ad societatem invitant. Ubi vero illum arcto amicitiae et foederis vinculo Imperatori coniunctum esse perspexerunt Legati, re infecta redierunt. Inscius proinde Vitigis quid ex re constitueret, seniorum coetus cogebat assidue, eosque rogitabat, quo tandem consilio, qua via res melius processurae essent. Inter eos, qui ad deliberandum conveniebant, magna erat sententiarum varietas: quarum aliae nihil appositum, aliae aliquid, quod ad rem faciebat plurimum, suggerebant. In his fuit haec observatio: Imperatorem Rom. nunquam ante Barbaris Occidentis inferre bellum potuisse, nisi post compositam cum Persis ab ipso et Orientis Regibus pacem: Tunc enim Vandalos ac Mauros periisse, et Gotthis incidisse quae

τις καὶ τῶν Ἰουστινιανῷ αὐτοκράτορι τὸν Μήδων βασιλέα ξυγκρούσῃ, οὐ μήποτε Ῥωμαῖοι, τούτου δὴ ἐκπεπολεμωμένου σφίσι τοῦ ἔθνους, πόλεμον ἄλλον διενεγκεῖν πρὸς οὐδένα ἀνθρώπων τὸ λοιπὸν ἔξουσι. ταῦτα Οὐίτιγί τε αὐτῷ ἤρεσε καὶ Γότθοις τοῖς ἄλλοις. ἔδοξεν οὖν πρέσβεις παρὰ τὸν Μήδων βασιλέα Χοσρόην στέλλεσθαι, οὐ Γότθους μέντοι, ὅπως μὴ κατάδηλοι αὐτόθεν γενόμενοι ξυγχέωσι τὰ πρασσόμενα, ἀλλὰ Ῥωμαίους, οἵπερ αὐτὸν Ἰουστινιανῷ βασιλεῖ πολέμιον καταστήσουσι. διὸ δὴ τῶν ἐν Λιγούροις ἱερέων δύο χρήμασι πολλοῖς ἐς ταύτην ἀναπείθουσι τὴν ὑπουργίαν. ὧν ἄτερος μέν, ὅσπερ ἀξιώτερος ἔδοξεν εἶναι, ἐπισκόπου δόκησίν τε καὶ ὄνομα περιβεβλημένος, οὐδὲν αὐτῷ προσῆκον, ἐς τὴν πρεσβείαν καθίστατο, ὁ δὲ ἕτερος αὐτῷ ὑπηρετῶν εἵπετο. γράμματά τε αὐτοῖς ἐγχειρίσας πρὸς Χοσρόην γεγραμμένα Οὐίτιγις ἔπεμψεν. οἷς δὴ Χοσρόης ἡγμένος ἀνήκεστα ἐν σπονδαῖς ἔργα Ῥωμαίοις εἰργάσατο, ἅπερ μοι ἐν τοῖς ἔμπροσθεν λόγοις ἐρρήθη. ταῦτα δὲ ἐπεὶ βασιλεὺς Ἰουστινιανὸς Χοσρόην τε καὶ Πέρσας βουλεύσασθαι ἤκουσε, καταλύειν μὲν τὸν ἐν τῇ ἑσπερίᾳ πόλεμον ὡς τάχιστα ἔγνω, Βελισάριον δὲ μεταπεμψάμενος ἐφ' ᾧ ἐπὶ Πέρσας στρατεύσειε. καὶ τοὺς μὲν Οὐιτιγίδος πρέσβεις (ἔτι γὰρ ὄντες ἐν Βυζαντίῳ ἐτύγχανον) αὐτίκα δὴ ἀπεπέμψατο, ἄνδρας παρ' αὐτοῦ ἐπὶ Ῥαβέννης σταλήσεσθαι ὑποσχόμενος, οἵπερ ἐς Γότθους τὰς σπονδὰς ᾐσονται, ὅπη ἂν ἑκατέροις ξυνοίσειν μέλλῃ. τούτους δὲ τοὺς πρέσβεις οὐ πρότε-

C H 244

D

5. παρὰ] περὶ H: illud Hm. 7. γενόμενοι L. γινόμενοι P. 23. μέλλῃ] Vulgo μέλλει.

iam paterentur. Itaque si quis Iustinianum Aug. et Medorum Regem inter se modo collideret, Romanis, rupto foedere ab ea gente, nullam fore cum alia quapiam natione gerendi deinceps belli facultatem. Quae cum Vitigis caeterique Gotthi probassent, Legatos ad Chosroem Medorum Regem destinare placuit, non Gotthos genere, ne sua ipsi forma proditi agnitique, coeptum turbarent, sed Romanos, qui ipsum Iustiniano Aug. infensum redderent. Quamobrem ad navandam huic rei operam multa induxere pecunia Sacerdotes Ligures duos: quorum alter, qui praestantior videbatur, Episcopum habitu ac nomine mentiens, Legati munus suscepit, altero tanquam ministro comitante. Utrumque Vitigis misit, cum literis ad Chosroem scriptis: quibus Chosroes permotus, servantes pacem Romanos summa illa affecit calamitate, quam in superioribus libris descripsi. Iustinianus vero Aug. intellecto Chosrois consilio, susceptum in Occidente bellum decrevit quamprimum componere, et Belisarium accire Byzantium, ut in Persas exercitum duceret. Ac Vitigis Legatos, qui adhuc erant Byzantii, remisit statim, pollicitus missurum se Ravennam viros, qui pacem cum Gotthis pangerent, utriusque gentis rationibus ac-

ρον μεθῆκε Βελισάριος τοῖς πολεμίοις ἕως καὶ αὐτοὶ τοὺς ἀμφὶ
Ἀθανάσιόν τε καὶ Πέτρον ἀφῆκαν. οὓς δὴ ἐς Βυζάντιον ἀφικο-
μένους γερῶν ὁ βασιλεὺς τῶν μεγίστων ἠξίωσεν, Ἀθανάσιον μὲν
P 442 ὕπαρχον τῶν ἐν Ἰταλιώταις Πραιτωρίων καταστησάμενος, Πέ-
τρῳ δὲ τὴν τοῦ μαγίστρου καλουμένην ἀρχὴν παρασχόμενος. καὶ
ὁ χειμὼν ἔληγε καὶ τέταρτον ἔτος ἐτελεύτα τῷ πολέμῳ τῷδε, ὃν
Προκόπιος ξυνέγραψε.

B κγ'. Βελισάριος δὲ Αὔξιμόν τε καὶ Φισούλαν ἐξελεῖν πρό-
τερον ἤθελε, οὕτω τε ἐπί τε Οὐίτιγιν καὶ Ῥάβενναν ἰέναι, οὐδε-
νὸς ἔτι τῶν πολεμίων οὐδὲν σφίσιν ἐμποδὼν ἱστασθαι δυναμένου,
οὐδὲ τὰ ὄπισθε κακουργεῖν ἔχοντος. Κυπριανὸν μὲν οὖν καὶ Ἰου-
στῖνον ξὺν τοῖς ἑπομένοις τε καὶ Ἰσαύρων τισὶν ἐς Φισούλαν ἔπεμ-
ψε, καὶ πεντακοσίους πεζοὺς ἐκ καταλόγου, οὗ Δημήτριος ἦρ-
χεν, οἳ δὴ τοὺς ἐκείνῃ βαρβάρους ἀμφὶ τὸ φρούριον στρατοπε-
δευσάμενοι ἐπολιόρκουν. Μαρτῖνον δὲ καὶ Ἰωάννην ξὺν τοῖς ἑπο-
μένοις καὶ στρατεύματι ἄλλῳ, οὗπερ Ἰωάννης ἡγεῖτο, ὃν καὶ
Φαγᾶν ἐκάλουν, ἀμφὶ Πάδον ποταμὸν ἔστελλεν. οὓς δὴ φρον-
C τίδα ἔχειν ἐκέλευεν ὅπως μὴ Οὐραΐας τε καὶ οἱ ξὺν αὐτῷ ἐκ Με-
V 94 διολάνου ἐπὶ σφᾶς ἴωσιν, ἢν δὲ τῶν πολεμίων τὴν ἔφοδον ἀπο-
κρούεσθαι οὐχ οἷοί τε ὦσιν, ὄπισθεν αὐτοὺς λάθρα ἐπισπομένους
κατὰ νώτου ἰέναι. καὶ οἱ μὲν πόλιν Λορθῶνα πρὸς τῷ ποταμῷ
ἀτείχιστον οὖσαν καταλαβόντες, αὐτοῦ τε ἐνστρατοπεδευσάμε-

18. μὴ] ἢν HL. *ibid.* Μεδιολάνου] μεδιολάνων HL. 19. ἢν δὲ — ὦσιν P add. ex Vat. om. H.

commodatam. Hos autem Legatos Belisarius non ante hostibus dimisit, quam ab ipsis Athanasius et Petrus dimissi sunt: quos Byzantium reduces praemiis ornavit amplissimis Imperator, Athanasium Praefecturae Praetorii Italiae, Petrum, Magistri, ut vocant, dignitate. Porro hiemis exitus quartum clausit annum istius belli, cuius historiam Procopius condidit.

23. Habebat in animo Belisarius Auximum ac Faesulas prius expugnare, itaque demum Vitigin petere et Ravennam, summotis hostibus, ut nemo obsistere, neque a tergo infestus venire posset. Quare Cyprianum et Iustinum misit cum ipsorum copiis et Isaurorum manu; pedites item quingentos ex eorum numero, quibus Demetrius praeerat. Hi castris circum castellum positis, Barbaros, qui illic erant, circumsederunt. Martinum quoque et Ioannem cum turmis, quae ipsos sequebantur, et cum aliis, quas Ioannes, cognomine Helluo, ductabat, ad Padum fluvium ire iussit, et curas in id intendere, ne ipse cum suis ab Uraia eiusque copiis Mediolano effusis peteretur: quod si hostium impetum prohibere non possent, eorum vestigiis insistentes clam a tergo subirent. Illi ad fluvium occupata urbe Dertona, quae moenibus carebat, ibi castrametati

νοι ἦμενον, αὐτὸς δὲ ἐς Ἄὔξιμον πόλιν χιλίους τε καὶ μυρίους ἔχων ἀφίκετο. Ἄὔξιμος δὲ αὕτη μὲν πρώτη τῶν ἐν Πικηνοῖς πόλεών ἐστιν, ἣν δὴ μητρόπολιν καλεῖν νενομίκασι τοῦ ἔθνους Ῥωμαῖοι. ἀπέχει δὲ ἀκτῆς μὲν κόλπου τοῦ Ἰονίου σταδίους τέσσαράς τε καὶ ὀγδοήκοντα μάλιστα, Ῥαβέννης δὲ πόλεως ὁδὸν τριῶν ἡμερῶν καὶ σταδίους ὀγδοήκοντα. κεῖται δὲ ἐπὶ λόφου τινὸς ὑψηλοῦ, εἴσοδον ἐν τῷ ὁμαλῷ οὐδαμῇ ἔχουσα, καὶ ἀπ' αὐ- D
τοῦ ἀπρόσοδος τοῖς πολεμίοις παντάπασιν οὖσα. ἐνταῦθα Γότθων εἴ τι δόκιμον ἦν, Οὐίτιγις ἐς τὴν φρουρὰν κατεστήσατο, τεκμαιρόμενος ὅτι Ῥωμαῖοι, εἰ μὴ ταύτην ἐξέλωσι πρότερον, ἐπὶ Ῥάβενναν οὔποτε στρατεύειν τολμήσωσιν. ἐπειδὴ δὲ ὁ Ῥωμαίων στρατὸς ἐς Ἄὔξιμον ἦλθεν, ἐκέλευε Βελισάριος παρὰ τοῦ λόφου τὰ ἔσχατα πάντας ἐνστρατοπεδεύεσθαι κύκλῳ. καὶ οἱ μὲν κατὰ ξυμμορίας γενόμενοι καλύβας ἄλλως ἄλλοι τοῦ χωρίου ἐπήγνυντο, κατιδόντες δὲ αὐτοὺς οἱ Γότθοι μακράν τε ἀπολελειμμένους ἀλλήλων καὶ σφίσιν αὐτοῖς ἐπιβοηθεῖν, ἅτε ἐν μεγάλῳ πεδίῳ, οὐκ εὐπετῶς ἔχοντας, ἐκ τοῦ αἰφνιδίου ἀμφὶ δείλην ὀψίαν χωροῦσιν ἐπὶ τοὺς πολεμίους, ἐς τὰ πρὸς P 443
ἕω τῇ πόλεως, ᾗ Βελισάριος στρατόπεδον ἔτι ποιούμενος ξύν τε δορυφόροις καὶ ὑπασπισταῖς τοῖς αὐτοῦ ἔτυχεν. οἱ δὲ ἀρύμενοι τὰ ὅπλα ἐκ τῶν παρόντων τοὺς ἐπιόντας ἠμύνοντο, ῥᾷστά τε αὐτοὺς ἀρετῇ ὠσάμενοι ἔτρεψαν, καὶ φεύγουσιν ἐπισπόμενοι κατὰ τοῦ λόφου ἐγίνοντο. ἔνθα οἱ βάρβαροι ἐπιστρο-

2. *Πικήνοις* P. *πικηνοῖς* HL. 6. „*σταδίους ὀγδοήκοντα*] *σταδίους ὀκτασίους* Scaliger: sed male.“ MALT.

constiterunt: ipse cum virorum XI. M. urbem Auximum attigit. Est Auximum urbium Piceni princeps, quam Romani Metropolin nationis vocare solent. At littore sinus Ionii stadiis ferme LXXXIV. distat; ab urbe Ravenna itinere tridui stadiisque LXXX. Excelso in colle sita nullum habet in plano aditum: quo fit ut hostibus omnino sit inaccessa. Hic militiae florem Gotthicae Vitigis in praesidio collocaverat, satis coniiciens Romanos, nisi prius hanc urbem caperent, nunquam ausuros infesto exercitu Ravennam tendere. Ut Auximum pervenerunt Romanae copiae, edixit omnibus Belisarius, ut imum collem castris cingerent. Quo in loco dum tabernacula alibi alii turmatim figunt, videntes Gotthi magnis illos inter se spatiis dirimi (quippe campus late patet) neque opem ferre invicem facile posse, erumpunt repente vesperi ab ea parte, qua ad ortum urbs spectat; ubi Belisarius castra adhuc metabatur, cum suis hastatis Protectoribus et Scutariis: qui sumptis armis, ut ex re licuit, impetum exceperunt, illosque propulsando facillime in fugam versos ad medium usque collem insecuti sunt. Hic Barbari, situ loci valido freti, presso

φέντες καὶ χωρίου ἰσχύϊ πιστεύοντες ἀντίοι τοῖς διώκουσιν ἔστησαν, συχνούς τε αὐτῶν, ἅτε κατὰ κορυφὴν βάλλοντες, ἔκτειναν, ἕως νὺξ ἐπιλαβοῦσα ἐκώλυσεν. οὕτω τε διαλυθέντες ἑκάτεροι τὴν νύκτα ἐκείνην ηὐλίσαντο. ἔτυχον δὲ τῇ προτεραίᾳ τοῦ ἔργου τούτου Γότθων τινὲς ὄρθρου βαθέος τροφῶν ξυγκομιδῆς
B ἕνεκα ἐς τὰ ἐκείνῃ σταλέντες χωρία. οἳ δὴ οὐδὲν ἀμφὶ τῶν πολεμίων τῇ παρουσίᾳ πυθόμενοι ἐς νύκτα ἐπανῆκον. ἄφνω δὲ τὰ Ῥωμαίων πυρὰ κατιδόντες ἐν θαύματί τε μεγάλῳ καὶ δέει ἐγένον-
H 245 το. καὶ αὐτῶν πολλοὶ μὲν τὸν κίνδυνον ὑποστῆναι τολμήσαντες καὶ λαθόντες τοὺς πολεμίους ἐς Αὔξιμον εἰσῆλθον. ὅσοι δὲ κατορρωδήσαντες ἐν τῷ παραυτίκα ἐς ὕλας τινὰς σφᾶς αὐτοὺς ἔκρυψαν, ἐφ' ᾧ ἐπὶ Ῥαβέννης χωρήσουσιν, οὗτοι δὴ οὐ πολλῷ ὕστερον ὑπὸ τοῖς ἐναντίοις γενόμενοι διεφθάρησαν. Βελισάριος δὲ κατιδὼν τὴν Αὔξιμον ἰσχυροτάτην ἐν τῷ ἀσφαλεῖ οὖσαν, παντελῶς τέ οἱ ἀμήχανα εἶναι προσβολὴν τῷ περιβόλῳ ποιήσασθαι,
C βίᾳ μὲν τὸ χωρίον ἑλεῖν οὐκ ἄν ποτε ᾤετο, πολιορκίᾳ δὲ ἀκριβεῖ ἔς τε ἀπορίαν τῶν ἀναγκαίων καταστήσεσθαι τοὺς πολεμίους ἐλπίδα εἶχε καὶ τῷ χρόνῳ ὑποχειρίους ποιήσασθαι. τοῦ δὲ περιβόλου οὐ μακρὰν ἄποθεν πόαν τινὰ πολλὴν ἡ γῆ ἀνιεῖσα ξυμβολῆς ἀφορμὴν ἐς ἡμέραν ἑκάστην Ῥωμαίοις τε καὶ Γότθοις ἔφερε. ταύτην γὰρ ἀποτεμνομένους ἀεὶ τῶν ἵππων ἕνεκα τοὺς ἐναντίους ὁρῶντες Ῥωμαῖοι ἔν τε τῷ λόφῳ ὁρόμῳ πολλῷ ἀνιόντες ἐγίνοντο καὶ τοῖς πολεμίοις ἐς χεῖρας ἰόντες ἔργα τε ἀρετῆς ἄξια ἐνδεικνύ-

12. οὗτοι δή] οὗτοι δὲ HL: illud Hm. 16. πολιορκίᾳ δὲ HmP. πολιορκίᾳ τε HL. 21. ἀποτεμνομένους Vat. ἀποτεμνομένην P. *ibid.* ἀεὶ] ἂν L.

gradu contra persequentes stetere: et quoniam tela mittebant desuper, multam caedem patrarunt, donec ipsos interventus noctis cohibuit. Quam noctem utrique egerunt, cum a se invicem digressi essent. Pridie quam sic pugnaretur, Gotthi nonnulli primo diluculo in vicinos agros, commeatus causa, profecti, deinde noctu, haud dum hostium adventu cognito, redierunt. Tum visis repente Romanorum ignibus, eos admiratio cepit ingens ac timor. Multi periculum adire ausi, hostem fefellere, furtimque Auximum ingressi sunt. Qui vero refugientes metu, se in silvas tunc abdiderunt, ut Ravennam concederent, illi non multo post in manus hostium delapsi, interierunt. Belisarius autem munimentis firmissimis tutum esse Auximum, nec se impressione muros tentare posse animadvertens, vi quidem se nunquam capturum urbem putabat, spes tamen erat fore ut arcta sedulaque obsidione hostes ad cibariorum penuriam, et tandem in suam potestatem redigeret. Haud procul a moenibus terra admodum herbida Romanis et Gotthis quotidianae segetem conflictionis praebebat. Cum enim hostes eo quotidie pabulatum ire Romani cernerent, in collem celeri cursu ascendebant, et collata cum illis manu, digna viris fortibus

μενοι, φέρεσθαι τὴν πόαν οὐδαμῆ εἴων, πολλούς τε ἀεὶ τῶν ἐναντίων ἐν τῷ χώρῳ τούτῳ διέφθειρον. οἱ δὲ βάρβαροι ἀρετῇ τῶν D
πολεμίων ἡσσώμενοι ἐπενόουν τάδε. τῶν ἁμαξῶν τοὺς τροχοὺς
ξὺν μόνοις τοῖς ἄξοσιν ἀφελόμενοι ἐν παρασκευῇ εἶχον, τέμνειν
5 τε τὴν πόαν ἀρξάμενοι, ἐπειδὴ ἀνιόντας ἤδη ἐς τοῦ λόφου τὰ
μέσα τοὺς Ῥωμαίους εἶδον, τοὺς τροχοὺς ἀφῆκαν κατὰ κορυφὴν
ἐπ' αὐτοὺς φέρεσθαι. τύχῃ δέ τινι τούτους ξυνέπεσε τοὺς τρο-
χοὺς ἄχρι ἐς τὸ ὁμαλὲς ἀνθρώπου οὐδενὸς ἁψαμένους ἐλθεῖν.
ταύτης τε τῆς πείρας ἀποτυχόντες οἱ βάρβαροι, τότε μὲν φεύ-
10 γοντες ἐντὸς τοῦ περιβόλου ἐγένοντο, ἔπειτα δὲ ἐποίουν τάδε.
τὰς φάραγγας, αἳ τοῦ περιβόλου εἰσὶν ἄγχιστα, ἐνέδραις τῶν ἐν
σφίσι δοκίμων ἀνδρῶν προλοχίσαντες ὀλίγοι τοῖς πολεμίοις ἀμφὶ
τὴν πόαν ἐφαίνοντο, ἡνίκα τε ἡ μάχη ἐν χερσὶ γένοιτο, ἐκπη- V 95
δῶντες ἐκ τῶν ἐνεδρῶν οἱ κρυπτόμενοι, πλήθει τε τοὺς ἐναντίους
15 παρὰ πολὺ ὑπεραίροντες καὶ αὐτοὺς τῷ μὴ προαισθέσθαι ἐκπλήσ- P 444
σοντες πλείστους μὲν ἔκτεινον, τοὺς δὲ λοιποὺς ἀεὶ ἐς φυγὴν
ἔτρεπον. Ῥωμαίων δὲ ὅσοι ἐν τοῖς στρατοπέδοις εἱστήκεσαν ἔβλε-
πον μὲν ἐκ τῶν ἐνεδρῶν ὑπεξανισταμένους τοὺς πολεμίους, κραυ-
γῇ δὲ πολλῇ τοὺς ἑταίρους ἀνακαλοῦντες οὐδὲν ἤνυον, ἐπεὶ οἱ
20 μαχόμενοι τῆς ἐκείνων βοῆς ἥκιστα ἤκουον, μήκει τε τοῦ λόφου
ἐπὶ πλεῖστον αὐτῶν διειργόμενοι καὶ τῶν βαρβάρων ἀεὶ ἐξεπίτη-
δες σφίσιν ἀντιπαταγούντων τοῖς ὅπλοις.

Βελισαρίῳ δὲ τοῖς παροῦσιν ἀπορουμένῳ Προκόπιος, ὃς
τάδε ξυνέγραψε, προσελθὼν εἶπεν „Οἱ ταῖς σάλπιγξιν, ὦ στρα- B

edentes facinora, non sinebant pabula asportare, ac multos diebus singulis ibi mactabant. Victi hostium virtute Barbari, ad artem hanc se converterunt. Rotas pararunt, plaustris detractas cum suis dumtaxat axibus. Aggressi secare herbam, ubi Romanos iam ad medium evasisse collem viderunt, dimissas in eos rotas devolverunt ex edito: sed casu quodam evenit ut illae, nemine tacto, in planitiem ruerint. Lapsi incepto Barbari, in urbem fuga se receperunt: haec deinde moliti sunt. Subiectas urbis moenibus valles lectissimo agmine occulte insederunt, ita ut hostibus pabulatores pauci se proderent. Simul ad manus ventum est, emicantes ex insidiis, qui latebant, cum adversarios longe numero superarent, et vi improvisa percellerent, caesis compluribus, caeteros in fugam verterunt. Romani, qui in castris substiterant, hostes viderant ex insidiis surgere: et quamvis magna vociferatione socios revocarent, frustra tamen erant: propterea quod qui pugnabant, eorum clamores minime exaudiebant, longo collis clivo disiuncti, nec cessantibus Barbaris de industria armis obstrepere.

Procopius, auctor huius Historiae, Belisarium adiit, et nescientem quid pro re nata constitueret, sic allocutus est. *Veteres exercituum Ro-*

τηγὲ, τὸ παλαιὸν ἐν τῷ Ῥωμαίων στρατῷ χρώμενοι νόμους τινὰς ἠπίσταντο δύο, ὧν ἕτερος μὲν ἐγκελευομένῳ τε ἐπὶ πλεῖστον ἐῴκει καὶ τοὺς στρατιώτας ἐς μάχην ὁρμῶντι, ὁ δὲ ἄλλος ἐπὶ τὸ στρατόπεδον ἀνεκάλει τοὺς μαχομένους, ἡνίκα ταῦτα ἐδόκει τῷ στρατηγῷ ὡς ἄριστα ἔχειν. ταύτῃ τε ἀεὶ οἱ μὲν στρατηγοὶ τὰ καθήκοντα τοῖς στρατιώταις ἐκέλευον, ἐκεῖνοι δὲ τὰ παραγγελλόμενα ἔργα ἐπιτελεῖν ἴσχυον. κραυγὴ γὰρ ἐν ταῖς ξυμβολαῖς σημῆναί τι σαφὲς οὐδαμῶς πέφυκε, πατάγου τε, ὡς τὸ εἰκὸς, πανταχόσε ἀντικτυποῦντος καὶ τοῦ δέους ἐκπλήσσοντος τὰς τῶν μαχομένων αἰσθήσεις. ἐπεὶ δὲ ταυτὸν ἀμαθία τε ἡ τοιαύτη τέχνη ἐξώλισθε καὶ μιᾷ σάλπιγγι ἄμφω δηλῶσαι ἀμήχανον, C αὐτὸς οὕτω τὸ λοιπὸν πολεῖ. σάλπιγξι μὲν ταῖς ἱππικαῖς ἐγκέλευε τοῖς στρατιώταις διαμάχεσθαι τοῖς πολεμίοις, ταῖς δὲ πεζικαῖς ἐπὶ τὴν ἀναχώρησιν ἀνακάλει τοὺς ἄνδρας. ἑκατέρου γὰρ αὐτοὺς τοῦ ἤχου μὴ οὐχὶ ξυνεῖναι ἀδύνατον, ἐπεὶ ὁ μὲν ἐκ βύρσης τε καὶ ξύλου ὑπεράγαν λεπτοῦ, ὁ δὲ ἐκ παχέος τινὸς χαλκοῦ πρόεισι." Προκόπιος μὲν τοσαῦτα εἶπε. Βελισάριος δὲ ἥσθη τῇ ὑποθήκῃ καὶ ἅπαν ξυγκαλέσας τὸ στράτευμα ἔλεξε τοιάδε „Προθυμίαν ἐς τόδε ξυμφέρειν τε οἶμαι καὶ πολλοῦ ἐπαίνου ἀξίαν εἶναι, μέχρις ἂν μετρία τις οὖσα οὐδὲν τοῖς ἔχουσι προσποιῆται βλάβος. τῷ γὰρ ὑπερβάλλοντι τὰ ἀγαθὰ πάντα πρὸς τὸ χεῖρον ἀεὶ τρέπεσθαι εἴωθεν. ὑμεῖς μὲν οὖν μὴ τῷ φιλονείκῳ τὸ λοιπὸν σφάλλεσθε· φεύγειν γὰρ δή που τὸν κακουργοῦντα οὐδεμία D αἰσχύνη. ἀλλ' ὁ μὲν ἐς κακὸν προὔπτον ἀνεπισκέπτως ἰὼν καὶ

20. προσποιῆται L corr. προσποιεῖται P.

manorum tubicines, Magister militum, duos callebant clangendi modos: quorum alter hortanti milites et ad pugnam cienti persimilis erat, alter pugnantes revocabat in castra, quando res poscere Duci videbatur. Quo fiebat ut quovis tempore militibus Duces officia mandarent commode, et illi imperata exequi possent. Nam in praeliis ad claram significationem nihil valet vocis contentio, armorum crepitu, ut fit, undique circumsonante, et dimicantium sensus distringente metu. Quoniam vero ars eiusmodi exolevit iam imperitia, neque una tuba dari signum utrumque potest; hanc posthac rationem tene. Tubis equestribus voca milites ad certamen, pedestribus cane receptui. Utrumque enim sonitum percipiant necesse est: cum hic ex corio lignoque tenuissimo, ille ex aere crassiori prodeat. Haec Procopius: cuius admonitu delectatus Belisarius, convocato omni exercitu, sic disseruit. *Animi promptitudinem eatenus convenire, et magnam laudem mereri iudico, quoad ita moderata sit, ut illis, in quibus viget, minime noceat. Quippe in deterius bona omnia nimietate mutari solent. Cavete igitur in posterum, ne ambitiosa contentione labantini. Neque enim pudendum est eo subducere malefice grassanti. Quin potius si quis*

σωθεὶς ἐνθένδε, ἂν οὕτω τύχῃ, ἄνοιαν ὀφλισκάνει· γενναῖος δὲ ὃς ἂν ἐν τοῖς ἀναγκαίοις ἀνδραγαθίζηται. οἱ μὲν οὖν βάρβαροι, ἐπεὶ ἐκ τοῦ εὐθέος ὑμῖν οὐχ οἷοί τέ εἰσι διαμάχεσθαι, προλοχίζοντες διαφθείρειν ὑμᾶς ἐγχειροῦσιν. ὑμῖν δὲ τοῦ διαφυγεῖν τὴν αὐτῶν ἐνέδραν τὸ τὸν κίνδυνον ὑποστῆναι μεμπτότερον." τοῦ Η 246
γὰρ ἐνδιδόναι ταῖς τῶν ἐχθρῶν γνώμαις οὐδὲν αἴσχιον. ἐμοὶ μὲν οὖν ὅπως μὴ προσπεσεῖσθε ταῖς τῶν πολεμίων ἐνέδραις μελήσει. ἔργον δ' ἂν ὑμέτερον εἴη, ἐπειδὰν σημήνω, ἐς τὴν ἀναχώρησιν κατὰ τάχος ἰέναι. αὕτη δὲ ὑμῖν ἡ δήλωσις ἐκ σάλπιγγος, ᾧ στρατιῶται, τῆς πεζικῆς ἔσται." Βελισάριος μὲν τοσαῦτα εἶπεν. οἱ δὲ στρατιῶται ἀμφὶ τὴν πόαν κατιδόντες τοὺς P 445
πολεμίους δρόμῳ ἐπ' αὐτοὺς ἦεσαν, τινάς τε αὐτῶν ἐν τῇ πρώτῃ ὁρμῇ ἔκτειναν. ἐν τοῖς ἕνα χρυσοφοροῦντα τῶν τις Μαυρουσίων ἰδὼν λαβόμενός τε τῶν ἐν τῇ κεφαλῇ τριχῶν, ὅπως ἀποδύῃ, νεκρὸν ἐφείλκε. Γότθος δέ τις αὐτὸν ἀκοντίῳ βαλὼν μυῶν τε, οἳ ὄπισθέν εἰσι τῶν κνημῶν ἑκατέρων, ἐπιτυχὼν, ἐνέρσει τοῦ ἀκοντίου ἄμφω τιὼ πόδε ξυνέδησεν. ἀλλ' οὐδέν τι ἧσσον Μαυρούσιος τῶν τριχῶν ἐχόμενος τὸν νεκρὸν εἵλκεν. ἐν τούτοις δὲ οἱ μὲν βάρβαροι τὰς ἐνέδρας ἐκίνουν, Βελισάριος δὲ ἀπὸ τοῦ στρατοπέδου ὁρῶν τὰ ποιούμενα, ταῖς σάλπιγξι τοὺς πεζοὺς, οἷς τὸ ἔργον τοῦτο ἐπέκειτο, ἠχεῖν κατὰ τάχος ἐκέλευεν. οἵ τε Ῥωμαῖοι αἰσθόμενοι κατὰ βραχὺ ἤδη ὑπεχώρουν, τὸν Μαυρούσιον

g

15. μυῶν τε, οἳ] μυῶν οἵ τε L, g a m. sec. μυῶνος Hm, quod ex Reg. affert Malt.

paratam aperte pestem temere adeat, licet forte evadat sospes, iure tamen temerarius dicitur: generosus vero, qui rem fortiter gerit, cum necessitas flagitat. Barbari quidem, quoniam recte nequeunt vobiscum certare, vos ex insidiis perdere conantur. Vestra autem culpa maior erit si ad periculum accedatis, quam si illorum vitetis insidias: siquidem turpius nihil est, quam hostium consiliis et voluntati servire. Ego certe ne in eorum insidias decidatis curabo: vestrum erit, vos recipere statim, ut a me signum acceperitis. Id vero vobis, milites, tuba pedestri dabitur. His a Belisario dictis, cum milites ab hostibus legi pabula vidissent, facta incursione, nonnullos primo impetu confecerunt. Ex his unum auro splendidum Mauros quidam conspicatus, ut cadaver exspoliaret, prehensa coma trahere coepit. Hunc iaculo Gotthus quidam appetiit, itaque traiecit post utramque tibiam extantes musculos, ut inserto iaculo pedes ambos nexuerit. Nihilominus Maurus retenta coma mortuum traxit. Interea consurgunt ex insidiis Barbari: quod a castris animadvertens Belisarius, confestim tuba iubet canere pedites, quorum id munus erat. Romani, signo audito, sensim

ξὺν τῷ ἀκοντίῳ ἀράμενοι. οἷς δὴ οἱ Γότθοι ἕπεσθαι οὐκέτι ἐτόλμων, ἀλλ' ἄπρακτοι ἀνεχώρησαν.

B V 96 κδ'. Προϊόντος δὲ τοῦ χρόνου καὶ τῆς ἀπορίας οἱ βάρβαροι τῶν ἐπιτηδείων ἐπὶ μέγα χωρούσης, ἀνενεγκεῖν ἐς Οὐίτιγιν ἐβουλεύοντο τὰ παρόντα σφίσι. καὶ ἐπεὶ αὐτῶν οὐδεὶς στέλλεσθαι ἐς ταύτην δὴ τὴν πρᾶξιν ἐτόλμα, (λήγειν γὰρ τοὺς πολιορκοῦντας οὐκ ἄν ποτε ᾤοντο) ἐπενόουν τάδε. ἀσέληνον νύκτα τηρήσαντες καὶ τοὺς ἄνδρας ἐν παρασκευῇ ποιησάμενοι, οὓς δὴ περὶ τὸν Οὐίτιγιν πέμπειν διενοοῦντο, γράμματά τε αὐτοῖς θέ-
C μενοι ἐν χερσὶν, ἐπειδὴ πόρρω ἦν τῶν νυκτῶν, ἐβόων ἅπαντες πολλαχῇ τοῦ περιβόλου ἐξαίσιον. εἴκασεν ἄν τις ἐς ταραχὴν αὐτοὺς καταστῆναι, λίαν τε σφίσιν ἐγκειμένων τῶν πολεμίων καὶ παρὰ δόξαν ἁλισκομένης τῆς πόλεως. οὐκ ἔχοντες δὲ παντάπασι Ῥωμαῖοι ξυμβαλεῖν τὸ γινόμενον, Βελισαρίου γνώμῃ ἐν τοῖς στρατοπέδοις ἡσυχῇ ἔμενον, ἔκ τε τῆς πόλεως ἐπιβουλήν τινα
D ὑποτοπάσαντες ἔσεσθαι καὶ στρατὸν ἐκ Ῥαβέννης ἐπιβεβοηθηκότα τοῖς πολεμίοις ἰέναι ἐπὶ σφᾶς. ἐκεῖνα δεδιότες ᾤοντο ἄμεινον σφίσιν εἶναι ἐν τῷ ἀσφαλεῖ ἡσυχάζουσι διασώζεσθαι ἢ ἐς προὔπτόν τινα κίνδυνον ἐν νυκτὶ ἀσελήνῳ χωρεῖν. οὕτω γοῦν οἱ βάρβαροι λαθόντες τοὺς πολεμίους ἐπὶ Ῥαβέννης τοὺς ἄνδρας ἔπεμψαν. οἳ οὐδενὸς πολεμίου ἀνδρὸς ἐς ὄψιν ἐλθόντες παρά τε Οὐί-
P 446 τιγιν τριταῖοι ἀφίκοντο καὶ τὰ γράμματα ἔδειξαν. ἐδήλου δὲ ἡ γραφὴ τάδε „Ἥκομεν ἡμᾶς, ὦ βασιλεῦ, ἐς τὴν ἐν Ἀὐξίμῳ φρου-

15. ἐπιβουλήν] ἐπιβολήν Pm et L a pr. m.

retro pedem tulere, Maurum portantes fixo cum iaculo. Nec iam illos insequi audentes Gotthi, re infecta redierunt.

24. Procedente tempore Barbari, cum re cibaria angustissime uterentur, consultarunt, quo pacto de rerum suarum statu certiorem Vitigin facerent. At quoniam Romani nunquam intermittere custodiam ipsis videbantur, et ea re nemo erat, qui provinciam illam suscipere auderet, hanc fraudem excogitarunt. Capta nocte illuni, et praesto esse iussis, quos ad Vitigin mittere cogitabant, cum literas ipsis dedissent, provecta iam nocte, ex diversis muri partibus clamorem omnes ingentem tollunt. Illos quispiam credidisset tumultum facere ac misceri, hostibus vehementer urgentibus, et urbe capta ex improviso. Rem plane coniectura assequi nescientes Romani, de Belisarii sententia continebant se castris, et hinc ex urbe in se impetum factum iri, inde ab exercitu, qui Ravenna subsidio veniret hostibus, peti se existimabant. Haec veriti, satius esse ducebant in tuto manere incolumes, quam nocte illuni in apertum periculum se conicere. Sic igitur Barbari, Romanis insciis, mittunt Ravennam tabellarios: qui ab hoste nusquam ullo conspecti, tertio post die pervenerunt ad Vitigin, ac literas protulerunt, in hanc sententiam scriptas. *Quando nos in praesidio Ausimi collocasti, o Rex, dixisti te nobis*

ρὰν καθίστης, τὰς κλεῖς ἔφησθα παρακαταθέσθαι ἡμῖν Ῥαβέννης τε αὐτῆς καὶ τῆς βασιλείας τῆς σῆς. διὸ δὴ ἐπήγγελλες ἡμῖν παντὶ σθένει φυλάσσεσθαι, ὅπως μὴ τὸ καθ' ἡμᾶς μέρος παραδῶμεν τοῖς πολεμίοις τὸ Γότθων κράτος, ἰσχυρίζου τε δεομένοις ἡμῖν παντὶ τῷ στρατῷ παρέσεσθαι αὐτεπάγγελτος. ἡμεῖς μὲν οὖν τῷ τε λιμῷ καὶ Βελισαρίῳ μαχόμενοι πιστοὶ φύλακες τῆς σῆς βασιλείας γεγόναμεν, σὺ δὲ οὐδ' ὁπωστιοῦν βοηθεῖν ἡμῖν ἔγνωκας. λογίζου τοίνυν μή ποτε Ἄὔξιμον ἑλόντες Ῥωμαῖοι καὶ τὰς κλεῖς ἀνελόμενοι, ὧν αὐτὸς ἐνταῦθα κειμένων ὑπερορᾷς, οὐδενὸς B τῶν σῶν ἀποκεκλεισμένοι τὸ λοιπὸν ὦσι." τὰ γράμματα μὲν τοσαῦτα ἐδήλου. ἐπεὶ δὲ αὐτὰ Οὐίτιγις ἀπενεχθέντα εἶδεν, ἐν μὲν τῷ παραυτίκα τοὺς ἄνδρας πάσῃ τῇ Γότθων στρατιᾷ βοηθήσειν Αὐξίμῳ ὑποσχόμενος ἀπεπέμψατο, μετὰ δὲ πολλὰ λογισάμενος ἡσυχίαν ἦγε. τούς τε γὰρ ἀμφὶ τὸν Ἰωάννην ὑπώπτευε μὴ κατὰ νώτου σφίσιν ἐπισπόμενοι ἐν ἀμφιβόλῳ ποιήσωνται καὶ πολλὴν οἰόμενος ξὺν Βελισαρίῳ μαχίμων ἀνδρῶν δύναμιν εἶναι ἐς ἀμήχανόν τι δέος ἐξέπιπτε. μάλιστα δὲ ἁπάντων ὁ λιμὸς αὐτὸν ξυνετάρασσεν, οὐκ ἔχοντα ὅθεν ἂν ἐπιτήδεια τῷ στρατοπέδῳ πορίζηται. οἱ μὲν γὰρ Ῥωμαῖοι, ἅτε θαλασσοκρατοῦντές τε καὶ C τὸ ἐν Ἀγκῶνι φρούριον ἔχοντες, τὰ ἀναγκαῖα πάντα ἔκ τε Σικελίας καὶ Καλαβρίας ἐνταῦθα κατατιθέμενοι ἐς καιρὸν ἐνθένδε εὐπετῶς ἔφερον. Γότθοις δὲ στρατεύουσιν ἐς τὴν Πικηνῶν χώραν πόρον οὐδένα τῶν ἐπιτηδείων ἐννοῶν ἔσεσθαι ἐς ἀμηχανίαν

2. ἐπήγγελλες] ἐπήγγελες L. 22. Πικήνων P. πικηνῶν HL.

claves cum Ravennae ipsius, tum regni tui committere. Quocirca nobis imperasti, ut ageremus pro virili parte custodiam, ne, quantum in nobis esset, hostibus ditionem Gotthicam traderemus. Tum quoque affirmasti, te nobis, si egeremus auxilio, cum omnibus copiis tam cito affore, ut nuntium adventus ipse tui primum afferres. Certe nos regni tui custodes fidos praebuimus, pugnando cum fame et Belisario: tu vero nobis nihildum opis attulisti. At vide ne capto Auximo, et eorum, quae hic reposita negligis, ablatis clavibus, res deinceps tuae Romanis omnino pateant. Haec significabant literae: quas sibi oblatas cum legisset Vitigis, e vestigio tabellarios remisit, suppetias Auximo cum omni exercitu se laturum pollicitus: verum postea, re multum perpensa, nihil movit. Nam et a Ioanne, in terga haerente, se interceptum iri suspicabatur; et magnis bellicosorum virorum copiis succinctum esse Belisarium autumans, pavebat. In primis ipsum sollicitum habebat fames, cum nesciret unde exercitui cibaria suppeditaret. Romani quidem, quia maris imperium et Anconae castellum tenebant, postquam omnia ad victum necessaria ex Sicilia Calabriaque advecta in eo castello reposuerant, hinc illa et opportune et facile comportabant. Gotthis autem in agro Piceno bellantibus nullam

καθίστατο. Οὐιτίγιδος μὲν οὖν τὴν ὑπόσχεσιν λαθόντες τοὺς πολεμίους ἐς Ἄξιμον ἤνεγκαν οἱ πρώην ἐς αὐτὸν ἐνθένδε στα-
H 247 λέντες καὶ βαρβάρους τοὺς ἐνταῦθα κεναῖς ἐλπίσιν ἐπτέρωσαν. Βελισάριος δὲ ταῦτα πρὸς τῶν αὐτομόλων ἀκούσας ἔτι μᾶλλον ἐς τὸ ἀκριβὲς φυλακὴν ἐκέλευε ποιεῖσθαι, ὅπως μή τις θεὶη καὶ αὖ-
D θις τοιοῦτο. ταῦτα μὲν οὖν ἐγένετο τῇδε.

Οἱ δὲ ἀμφὶ Κυπριανὸν καὶ Ἰουστῖνον Φισούλαν πολιορκοῦν-
V 97 τες τῷ μὲν περιβόλῳ προσβάλλειν ἢ ἄγχιστά που αὐτοῦ ἰέναι οὐ-δαμῇ εἶχον· δυσπρόσοδον γὰρ τοῦτο πανταχόθεν τὸ φρούριον ἦν· τῶν δὲ βαρβάρων σφίσι συχνὰ ἐπεξιόντων μάχῃ τε μᾶλλον διακρίνεσθαι πρὸς αὐτοὺς ἐθελόντων ἢ τῶν ἀναγκαίων τῇ ἀπορίᾳ πιέζεσθαι, ἀγχώμαλοι μὲν αἱ ξυμβολαὶ τὰ πρῶτα ἐγίνοντο, ἔπειτα δὲ πλέον ἤδη Ῥωμαῖοι ἔχοντες ἔς τε τὸ τεῖχος τοὺς πολεμίους κα-τέκλεισαν καὶ ἀσφαλῶς διεφύλασσον, ὥστε μηδένα πη ἐνθένδε ἰέναι. οἱ μὲν οὖν βάρβαροι τῶν τε ἀναγκαίων σπανίζοντες καὶ τοῖς παροῦσιν ἀπορούμενοι λαθόντες αὖθις τοὺς πολεμίους παρὰ τὸν Οὐίτιγιν ἔπεμπον, βοηθεῖν σφίσιν αὐτοῖς κατὰ τάχος δεόμε-
P 447 νοι, ὡς οὐκέτι πλείω τινὰ ἀνθέξουσι χρόνον. Οὐίτιγις δὲ Οὐρᾶταν ἐκέλευε ξὺν τῷ ἐν Λιγούροις στρατῷ ἐς Τικίνους ἰέναι· οὕτω γὰρ καὶ αὐτὸς ἰσχυρίζετο πάσῃ τῇ Γότθων δυνάμει τοῖς πολιορκουμένοις παρέσεσθαι. ὁ δὲ κατὰ ταῦτα ἐποίει καὶ ἅπαν κινήσας τὸ ξὺν αὐτῷ στράτευμα ἐς Τικίνους ἦει. Πάδον τε πο-ταμὸν διαβάντες ἐγγύς που τοῦ τῶν Ῥωμαίων στρατοπέδου ἦλ-

8. ἐπτέρωσαν] ἐπέρρωσαν Vat. 18. πλείω P et Scaliger. πλεῖον HL. 19. Τικίνους] πικηνοὺς HL hic et infra.

commeatuum fore copiam reputans, animo aestuabat. Ergo ab hostibus non deprehensi, promissum Vitigis Auximum referunt, qui missi prius ad illum fuerant, ibique obsessos Barbaros inani spe levant. Quae cum Belisarius a transfugis accepisset, intentius agitari custodiam iussit, ne quis fraudem eiusmodi iterum tentaret. Haec ibi acta.

Cyprianus vero et Iustinus Faesulas obsidentes, nec muros oppugnare, neque illis accedere poterant: quippe difficiles undique castrum hoc habebat aditus. Cumque in eos erumperent saepe Barbari, ac ferro mallent decernere, quam victus penuria premi, principio quidem Marte ancipiti variaque victoria pugnatum est: at deinde superiores Romani, in urbe hoste penitus concluso, ne quis inde exiret, diligenter cavebant. Barbari annona defecti, et in magnas adducti angustias, ad Vitigin, hoste nihil persentiscente, destinant qui promptum petant auxilium haud diutius restitutis. Uraiae mandat Vitigis, ut cum Liguriae copiis in agrum Ticinensem se conferat: atque ita factum iri asseverat, ut ipse obsessis adsit cum omnibus Gotthorum copiis. Ille dicto audiens, universum exercitum, quem secum habebat, Ticinum duxit. Transito Pado flumine, Romanis castris appropinquarunt, suaque ex adverso locarunt,

θον. οὗ δὴ καὶ αὐτοὶ στρατοπεδευσάμενοι ἀντεκάθηντο τοῖς πολεμίοις, ἀπέχοντες αὐτῶν μάλιστα ὅσον σταδίους ἑξήκοντα. χειρῶν δὲ οὐδέτεροι ἦρχον. τοῖς τε γὰρ Ῥωμαίοις ἔδοξεν ἀποχρῆν, εἰ τοῖς ἐναντίοις ἐμποδὼν στήσωνται, ὥστε μὴ ἐπὶ τοὺς πολιορκοῦντας πορεύεσθαι, καὶ οἱ βάρβαροι ἐνταῦθα ὤκνουν διαμάχεσθαι τοῖς πολεμίοις, λογιζόμενοι ὡς, ἢν ἐν ταύτῃ τῇ ξυμβολῇ ἀτυχήσωσιν, ἅπαντα Γότθων διαφθεροῦσι τὰ πράγματα. οὐ γὰρ ἔτι τοῖς ἀμφὶ τὸν Οὐίτιγιν ἐπιμιγνύμενοι ἀμύνειν τοῖς πολιορκουμένοις ξὺν αὐτῷ ἔξουσι. τοιαύτῃ μὲν γνώμῃ ἑκάτεροι ἡσυχίαν ἦγον.

κε'. Ἐν τούτῳ δὲ Φράγγοι κεκακῶσθαι τῷ πολέμῳ τούτῳ Γότθους τε καὶ Ῥωμαίους ἀκούσαντες καὶ δι' αὐτὸ ῥᾷστα ἂν οἰόμενοι Ἰταλίας τὰ πολλὰ σφίσιν αὐτοῖς προσποιήσασθαι, δεινὰ ἐποιοῦντο, εἰ πόλεμον μὲν ἕτεροι ἐς τοσόνδε χρόνου διαφέρουσι μῆκος περὶ χώρας ἀρχῆν, οὕτω δὴ αὐτοῖς ἐν γειτόνων οἴσης, αὐτοὶ δὲ ἡσυχῇ μένοντες ἀμφοτέροις ἐκποδὼν στήσονται. ὅρκων τοίνυν ἐν τῷ παραυτίκα καὶ ξυνθηκῶν ἐπιλεξαμένοι, ἅπερ αὐτοὶ ὀλίγῳ πρότερον πρός τε Ῥωμαίους καὶ Γότθους ἐπεποίηντο (ἔστι γὰρ ἔθνος τοῦτο τὰ ἐς πίστιν σφαλερώτατον ἀνθρώπων ἁπάντων) ἐς μυριάδας δέκα εὐθὺς ξυλλεγέντες, ἡγουμένου σφίσι Θευδιβέρτου, ἐς Ἰταλίαν ἐστράτευσαν, ἱππέας μὲν ὀλίγους τινὰς ἀμφὶ τὸν ἡγούμενον ἔχοντες, οἳ δὴ καὶ μόνοι δόρατα ἔφερον. οἱ λοιποὶ δὲ πεζοὶ ἅπαντες οὔτε τόξα οὔτε δόρατα ἔχοντες, ἀλλὰ ξίφος τε καὶ ἀσπίδα φέρων ἕκαστος καὶ πέλεκυν ἕνα. οὗ δὴ ὁ μὲν

23. οὔτε — οὔτε] οὐδὲ — οὐδὲ P.

stadiorum LX. solum spatio interiecto. Neutri initium pugnae fecerunt. Romanis enim satis esse videbatur, si impedirent quominus hostis ad obsessores contenderet: Barbaris grave erat ibi pugnare, animo cogitantibus, si illud praelium male cederet, se rem Gotthicam funditus eversuros; amissa videlicet facultate ferendi obsessis opem iunctis cum Vitige viribus. Haec utrosque consilia in castris continebant.

25. Interea Franci, cum Gotthorum ac Romanorum vires bello hoc imminutas audirent, et ea re magnam Italiae partem facillime se occupaturos crederent, aegre ferebant de dominatu sibi adeo vicinae regionis alios tamdiu armis contendere, dum ipsi otiosi nullam vim interponerent. Ergo ex memoria depositis tunc iuramentis, quibus fidem suam Romanis et Gotthis paulo ante obstrinxerant (est enim haec omnium maxime infida natio) coacti statim ad centum millia, Theodeberto duce, expeditionem in Italiam susceperunt. Regem stipabant equites pauci: qui soli hastas ferebant. Pedites erant caeteri omnes, non arcu, non hasta armati, sed ensem clypeumque gestabant singuli ac securim unam: cuius

σίδηρος ἀδρός τε καὶ ὀξὺς ἑκατέρωθι ἐς τὰ μάλιστα ἦν, ἡ λαβὴ δὲ ἐκ ξύλου βραχεῖα ἐς ἄγαν. τοῦτον δὴ τὸν πέλεκυν ῥίπτοντες ἀεὶ ἐκ σημείου ἑνὸς εἰώθασιν ἐν τῇ πρώτῃ ὁρμῇ τάς τε ἀσπίδας διαρρηγνύναι τῶν πολεμίων καὶ αὐτοὺς κτείνειν. οὕτω μὲν Φράγγοι τὰς Ἄλπεις ἀμείψαντες, αἳ Γάλλους τε καὶ Ἰταλοὺς διορί-
P 448 ζουσιν, ἐν Λιγούροις ἐγένοντο. Γότθοι δὲ αὐτῶν πρότερον τῇ ἀγνωμοσύνῃ ἀχθόμενοι, ὅτι δὴ χώραν τε πολλὴν καὶ χρήματα ὑποσχομένοις μεγάλα πολλάκις ὑπὲρ ξυμμαχίας προέσθαι, τρόπῳ δὴ οὐδενὶ τὴν ὑπόσχεσιν ἐπιτελῇ ποιήσασθαι ἤθελον. ἐπεὶ δὲ Θευδίβερτον παρεῖναι στρατῷ πολλῷ ἤκουσαν, ἔχαιρον ταῖς ἐλπίσιν ἐς τὰ μάλιστα ἐπαιρόμενοι καὶ τῶν πολεμίων ἀμαχητὶ περιέσεσθαι τὸ λοιπὸν ᾤοντο. οἱ δὲ Γερμανοὶ, ἕως μὲν ἐν Λιγούροις ἦσαν, οὐδὲν ἐς τοὺς Γότθους ἄχαρι ἔπρασσον, ὅπως σφίσι μηδεμία κωλύμη ἐς τοῦ Πάδου τὴν διάβασιν πρὸς αὐτῶν γένηται. ὡς δὲ ἵκοντο ἐς Τικίνων πόλιν, ἵνα δὴ γέφυραν ἐς τὸν ποταμὸν
V 98 B ἐτεκτήναντο οἱ πάλαι Ῥωμαῖοι, τά τε ἄλλα ὑπούργουν οἱ ταῦτα φυλάσσοντες καὶ τὸν Πάδον κατ' ἐξουσίαν διαβαίνειν εἴων. ἐπιλαβόμενοι δὲ τῆς γεφύρας οἱ Φράγγοι, παῖδάς τε καὶ γυναῖκας τῶν Γότθων, οὕσπερ ἐνταῦθα εὗρον, ἱερεύν τε καὶ αὐτῶν τὰ σώματα ἐς τὸν ποταμὸν ἀκροθίνια τοῦ πολέμου ἐρρίπτουν. οἱ βάρβαροι γὰρ οὗτοι, Χριστιανοὶ γεγονότες, τὰ πολλὰ τῆς παλαιᾶς δόξης φυλάσσουσι, θυσίαις τε χρώμενοι ἀνθρώπων καὶ

2. ἐκ ξύλου] τοῦ ξίφους HL. „Cluverius lib. I. Antiq. Germ. cap. 44. legendum censet τοῦ ξύλου." Malt. 9. ἐπεὶ δὲ] Vulgo ἐπειδὴ. 15. Τικίνων] πυγκηνῶν HL. 16. ταῦτα] ταύτῃ Pm.

ferrum valde crassum et utrinque acutissimum erat, e ligno manubrium admodum breve. Ut signum datum est, primo statim congressu, ea securi iacta, hostium scuta diffringere solent, eosque conficere. Itaque Franci, superatis Alpibus, quae Galliam ab Italia dividunt, Liguriam ingressi sunt. Horum pervicacia antea offensi Gotthi, quod ipsis et agros plurimos et ingentem pecuniam saepe polliciti, si modo secum, uti receperant, arma ipsi iungerent, nequaquam eos induxissent ut implerent promissum; iam, ubi Theodebertum magno cum exercitu adesse audierunt, exultarunt ingenti elati spe, et in posterum citra pugnam se hostium potituros putarunt. Quandiu in Liguria fuere Germani, Gotthis male nusquam fecere, ne ab illis Padi transitu prohiberentur. Cum autem urbem Ticinum attigissent, ubi Romani veteres ponte flumen iunxerunt, prolixae erga illos benignitati hoc demum qui ibi erant stationarii addiderunt, ut Padum libere transire sinerent. At Franci, ponte occupato, quos ibi invenere Gotthorum liberos et uxores immolarunt, eorumque corpora in fluvium, tanquam belli primitias, proiecerunt. Nam ita Christiani sunt isti Barbari, ut multos priscae superstitionis ritus obser-

ἄλλα οὐχ ὅσια ἱερεύοντες, ταύτῃ τε τὰς μαντείας ποιούμενοι. κατιδόντες δὲ Γότθοι τὰ ποιούμενα ἔς τε ἄμαχόν τι δέος κατέ- H 248
στησαν καὶ φυγῇ ἐχόμενοι ἐντὸς τοῦ περιβόλου ἐγένοντο. οἱ μὲν οὖν Γερμανοὶ Πάδον ποταμὸν διαβάντες ἐς τὸ τῶν Γότθων στρα- C
τόπεδον ἦλθον, οἱ δὲ Γότθοι κατ' ἀρχὰς μὲν ἄσμενοι ἐθεῶντο κατ' ὀλίγους αὐτοὺς ἐπὶ σφᾶς προσιόντας, ἐπὶ ξυμμαχίᾳ τῇ σφετέρᾳ τοὺς ἄνδρας ἥκειν οἰόμενοι. ἐπεὶ δὲ ὅμιλος Γερμανῶν πολὺς ἐπιρρεύσας ἔργου τε εἴχοντο καὶ τοὺς πελέκεις ἐσακοντίζοντες συχνοὺς ἤδη ἐσίνοντο, τρέψαντες τὰ νῶτα ἐς φυγὴν ὥρμηντο, καὶ διὰ τοῦ Ῥωμαίων στρατοπέδου ἰόντες τὴν ἐπὶ Ῥάβενναν ἔθεον. φεύγοντάς τε αὐτοὺς ἰδόντες Ῥωμαῖοι Βελισάριον ἐπιβεβοηθηκότα σφίσιν ᾤοντο ἐλεῖν τὸ τῶν πολεμίων στρατόπεδον, ἐνθένδε τε αὐτοὺς ἐξελάσαι μάχῃ νικήσαντα. ᾧ δὴ ξυμπίξαι βουλόμενοι ἅραντες τὰ ὅπλα κατὰ τάχος ἤεσαν. ἐντυχόντες δὲ καὶ D
παρὰ δόξαν πολεμίων στρατῷ οὔ τι ἐθελούσιοι ἐς χεῖρας ἦλθον, παρὰ πολύ τε ἡσσηθέντες τῇ μάχῃ ἐς μὲν τὸ στρατόπεδον ἀναστρέφειν οὐκέτι εἶχον, ἐπὶ Τουσκίαν δὲ ἅπαντες ἔφευγον. ἔν τε τῷ ἀσφαλεῖ ἤδη γενόμενοι ἅπαντα ἐς Βελισάριον τὰ ξυμπεσόντα σφίσιν ἀνήνεγκαν. Φράγγοι δὲ ἀμφοτέρους, ὡς ἐρρήθη, νενικηκότες, τά τε στρατόπεδα ἑκάτερα ἑλόντες παντάπασιν ἀνδρῶν ἔρημα, ἐν μὲν τῷ παραυτίκα τὰ ἐπιτήδεια ἐνταῦθα εὗρον, δι' ὀλίγου δὲ ἅπαντα διὰ πολυανθρωπίαν δαπανήσαντες, ἄλλο δὴ οὐδὲν ἐν χώρᾳ ἐρήμῳ ἀνθρώπων ὅτι μὴ βόας τε καὶ τοῦ Πάδου

9. τρέψαντες] στρέψαντες HL. 22. ἄλλο δὴ] ἄλλο δὲ H: illud Hm.

vent, humanas hostias aliaque impia sacrificia divinationibus adhibentes. Quo viso exterriti Gotthi, in urbem fuga se receperunt. Germani Padum amnem transgressi, ad Gotthorum castra contendunt. Eos primo manipulatim accedentes spectabant laetis oculis Gotthi, quippe cum in societatem venire sibi persuaderent. Deinde ut a Germanis magno numero confluentibus res gerl, et iactis securibus strages fieri coepta est, terga vertentes in fugam se coniecerunt, perque ipsa adeo Romanorum castra Ravennam petierunt citato cursu. Fugientes conspicati Romani, in animum inducunt, venientem sibi suppetias Belisarium, cepisse hostium castra, et praelio victos inde expulisse. Mox captis armis, dum ei se adiungere properant, in hostilem exercitum nec opinantes incidunt, et manus inviti conserunt. Acie funditus victi, haud potuerunt castra repetere, sed omnes in Tusciam fugerunt: ubi iam in tutum recepti, quid sibi accidisset, Belisario plane significarunt. Franci utrisque, ut dictum est, victis dissipatisque, et castris potiti vacuis, tum quidem ibi commeatus invenerunt: sed, cum ingens esset multitudo, cibariis omnibus brevi consumptis, nihil ad victum, praeter bubulam et aquam Padi, locus inco-

τὸ ὕδωρ προσφέρεσθαι εἶχον. ταῦτα τὰ κρέα τῇ τοῦ ὕδατος πε-
P 449 ριουσίᾳ καταπέψαι οὐχ οἷοί τε ὄντες γαστρός τε ῥύσει καὶ δυσεν-
τερίᾳ νόσῳ οἱ πλεῖστοι ἠλίσκοντο. ὧν δὴ ἀπαλλάσσεσθαι ἀπο-
ρίᾳ τῶν ἐπιτηδείων ὡς ἥκιστα ἴσχυον. φασὶ γοῦν τὸ τριτημόριον
τοῦ Φράγγων στρατοῦ τῷ τρόπῳ τούτῳ ἀπολωλέναι. διὸ δὴ
περαιτέρω ἰέναι οὐδαμῇ ἔχοντες αὐτοῦ ἔμενον.

Βελισάριος δὲ Φράγγων τε στρατὸν παρεῖναι ἀκούσας καὶ
τοὺς ἀμφὶ Μαρτῖνόν τε καὶ Ἰωάννην μάχῃ ἡσσηθέντας φυγεῖν ἐς
ἀμηχανίαν κατέστη, περί τε τῇ πάσῃ στρατιᾷ δείσας καὶ διαφε-
ρόντως περὶ τοῖς ἐν Φισούλῃ πολιορκοῦσιν, ἐπεὶ αὐτῶν μάλιστα
ἐγγυτέρω τούτους δὴ τοὺς βαρβάρους ἐπύθετο εἶναι. αὐτίκα
B γοῦν πρὸς Θευδίβερτον ἔγραψε τάδε „Ἄνδρα μὲν ἀρετῆς μετα-
ποιούμενον μὴ οὐχὶ ἀψευδεῖν, ἄλλως τε καὶ ἄρχοντα ἐθνῶν τοσού-
των τὸ πλῆθος, οἶμαι, ὦ γενναῖε Θευδίβερτε, οὐκ εὐπρεπὲς εἶ-
ναι. τὸ δὲ ὅρκους ἀδικοῦντα ἐν γράμμασι κειμένους περιορᾶν
τὰ ξυγκείμενα οὐδ' ἂν τοῖς τῶν ἀνθρώπων ἀτιμοτάτοις ἐπιτη-
δείως ἔχον. ἅπερ αὐτὸς ἔν γε τῷ παρόντι ἐξαμαρτάνων οἶσθα,
καίτοι ὁμολογήσας ἔναγχος πόλεμον ἡμῖν ἐπὶ Γότθους τόνδε ξυλ-
λήψεσθαι. νῦν δὲ οὐχ ὅσον ἀμφοτέροις ἐκποδὼν ἕστηκας, ἀλλὰ
καὶ ὅπλα οὕτως ἀνεπισκέπτως ἁράμενος ἐφ' ἡμᾶς ἥκεις. μὴ σύ
C γε, ὦ βέλτιστε, καὶ ταῦτα ἐς βασιλέα μέγαν ὑβρίζων, ὃν δή
που τὴν ὕβριν μὴ λίαν ἐν τοῖς μεγίστοις ἀμείψεσθαι οὐκ εἰκὸς
εἴη. κρεῖσσον δὲ τὰ οἰκεῖα ἀσφαλῶς αὐτόν τινα ἔχειν ἢ τῶν οὐ

2. δυσεντερίᾳ] δυσεντερίας Pm.

lis viduus praebebat. Aquae autem epotae vi sic stomachi vim extinguente ut carnem illam non conficeret, alvi profluvio et dysenteria correpti plurimi, non poterant ob cibi inopiam convalescere. Itaque exercitus Francorum tertia pars interilisse dicitur: qua de causa cum progredi nequirent, ibi constiterunt.

Ubi audiit Belisarius adesse Francorum exercitum, et Martinum ac Ioannem fusos acie fugatosque, aestuare coepit, et cum omni exercitui suo metuere, tum vero maxime illis, qui Faesulas obsidebant, utpote quibus propinquiores esse hos Barbaros compertum haberet. Confestim igitur haec scripsit Theodeberto. *Sic sentio, eximie Theodeberte, virum virtute praeditum eumque in primis, qui tot nationibus imperet, dedecere mendacium: pactorum autem contemptum cum iurisiurandi, quod literis testatum sit, violatione coniunctum, ne infimae quidem sortis hominibus convenire. Haec certe scis a te peccari: qui socia in Gothos arma non ita pridem nobis pollicitus, nunc a neutra stare parte haud satis habes, sed contra nos adeo inconsiderate armatus venis. Absit, o praeclarissime, ut indignum scelus in magnum admittas Imperatorem, qui in rebus maximis vicem reddere et iniuriam graviter ulcisci poterit. Porro sua quem-*

προσηκόντων μεταποιούμενον ἐς κίνδυνόν τινα ὑπὲρ τῶν ἀναγκαίων καθίστασθαι." ταύτην Θευδίβερτος τὴν ἐπιστολὴν ἀνελέξατο, τοῖς τε παροῦσιν ἀπορούμενος ἤδη καὶ πρὸς Γερμανῶν κακιζόμενος, ὅτι δὴ ἐξ οὐδεμιᾶς αἰτίας ἢ προφάσεως θνήσκοιεν ἐν χώρᾳ ἐρήμῳ, ἄρας τοῖς περιοῦσι τῶν Φράγγων ἐπ' οἴκου ξὺν τάχει πολλῷ ἀνεχώρησεν.

κς'. Οὕτω μὲν Θευδίβερτος στρατεύσας ἐς Ἰταλίαν τὴν ἔφοδον ἐποιήσατο. οἱ δὲ ἀμφὶ Μαρτῖνον καὶ Ἰωάννην ἀνέστρεψαν οὐδέν τι ἧσσον, ὅπως μή τινα οἱ πολέμιοι ἔφοδον ἐπὶ σφῶν τοὺς πολιορκοῦντας ποιήσωνται. Γότθοι δὲ οἱ ἐν Αὐξίμῳ, Φράγγων μὲν ἀφίξεως πέρι οὐδὲν πεπυσμένοι, ἀπειρηκότες δὲ πρὸς τὴν ἐκ Ῥαβέννης ἐλπίδα οὕτω μέλλουσαν, αὖθις μὲν Οὐίτιγιν διενοοῦντο μαρτύρασθαι, λαθεῖν δὲ τῶν ἐναντίων τὴν φυλακὴν οὐχ οἷοί τε ὄντες ἐπέθουν. μετὰ δὲ τῶν τινα Ῥωμαίων, Βεσσὸν γένος Βουρκέντιον ὄνομα, ὑπὸ Ναρσῇ τεταγμένον τῷ Ἀρμενίῳ, μόνον ἰδόντες ἐς μέσην ἡμέραν φυλακὴν ἔχοντα, ὡς μή τις ἐκ τῆς πόλεως ἐπὶ τὴν πόαν ληψόμενος ἴοι, ἔς τε λόγους αὐτῷ ξυνῆλθον ἐγγυτέρω ἥκοντες καὶ τὰ πιστὰ δόντες ὡς οὐδὲν ἐς αὐτὸν κακουργήσουσι ξυγγενέσθαι σφίσιν ἐκέλευον, ἔσεσθαί οἱ μεγάλα ἐπαγγειλάμενοι παρὰ σφῶν χρήματα. καὶ ἐπειδὴ ἐν τῷ αὐτῷ ἐγένοντο, ἐδέοντο τοῦ ἀνθρώπου ὅτι βάρβαροι ἐπιστολήν

D V 99

P 450

H 249

5. ἄρας τοῖς L a pr. m. Vulgo ἄρας σὺν τοῖς. Infra p. 521 c. ἄρας αὐτίκα παντὶ τῷ στρατῷ. 6. ἀνεχώρησεν L corr. ἀπεχώρησεν P. 13. μαρτύρασθαι L. μαρτύρεσθαι P. *ibid.* „φυλακὴν] Ita correxi cum scriptum viderem φυγήν." Malt. Ad φυλακὴν nihil diversitatis annotatum ex L. 15. Βεσσὸν] Βέσσον P. βίσον HL. 19. κακουργήσουσι] Vulgo κακουργήσωσι. 20. παρὰ Scaliger. Vulgo περὶ.

que tuto possidere praestat quam aliena usurpando, sua et quidem maxime necessaria in discrimen adducere. Theodebertus, hac perlecta epistola, incertus quid iam ageret, et a Germanis increpitus, quod sine causa ac praetextu in regione deserta tot mori sineret, cum Francis, qui supererant, movit, ac domum quam celerrime rediit.

26. Cum Theodebertus ita ut dixi suscepta in Italiam expeditione irrupisset, colligentes se ex fuga Martinus et Ioannes nihilo secius redierunt, ne in Romanos obsidionibus intentos hostis impetum faceret. Gotthi vero, qui erant Auximi, Francorum adventu nondum cognito, tam longa fessi expectatione vocati Ravenna auxilii, iterumque obtestari volentes Vitigin, cum hostium custodias non possent fallere, graviter moerebant. Deinde Burcentium (id nomen erat Romani militis, natione Bessi, qui sub Narsete Armenio merebat) sub meridiem conspicati solum agentem custodiam, et caventem ne quis ex urbe pabulatum veniret, accedunt propius ad colloquium, et fide data vim omnem ac fraudem abesse, ad congressum invitant, promissa ingenti pecunia. Postquam con-

τινα ἐς Ῥάβενναν διακομίσαι, τάξαντες μὲν οἱ ἐν τῷ παραυτίκα χρυσίον ῥητὸν, πλέον δὲ ὑποσχόμενοι δώσειν, ἐπειδὰν σφίσιν Οὐίτιγιδος γράμματα ἐπανήκοι φέρων. τοῖς δὲ χρήμασιν ὁ στρατιώ-
B της ἀναπεισθεὶς ὑπουργήσειν τε ὡμολόγησε ταῦτα καὶ ἐπιτελῆ ἐποίησε τὴν ὑπόσχεσιν. γράμματα γοῦν κατασεσημασμένα λαβὼν ἐς Ῥάβενναν κατὰ τάχος ἀφίκετο. καὶ Οὐίτιγιδι ἐς ὄψιν ἐλθὼν τὴν ἐπιστολὴν ἐνεχείρισεν. ἐδήλου δὲ ἡ γραφὴ τάδε „Ὅπη μὲν ἡμῖν τὰ παρόντα ἔχει σαφῶς εἴσεσθε, πυνθανόμενοι ὅστις ποτὲ ὁ τῆς ἐπιστολῆς παραπομπὸς εἴη. Γότθῳ γὰρ ἀνδρὶ ἔξω γενέσθαι τοῦ περιβόλου ἀμήχανά ἐστι. τῶν δὲ βρωμάτων ἡμῖν τὸ εὐπορώτατον ἡ παρὰ τὸ τεῖχος πόα τυγχάνει οὖσα, ἧς γε ἡμῖν οὐδὲ ὅσον ἅψασθαι τανῦν ἔξεστιν, ὅτι μὴ πολλοὺς ἀποβαλοῦσιν ἐν τῷ ὑπὲρ ταύτης ἀγῶνι. ταῦτα ἐς ὅ τι ἡμῖν τελευτήσει σέ τε χρὴ καὶ Γότθους τοὺς ἐν Ῥαβέννῃ λογίζεσθαι.“ ταῦτα ἐπεὶ ὁ Οὐίτιγις ἀνελέξατο, ἀμείβεται ὧδε „Ἀναπεπτωκέναι
C δὲ ἡμᾶς, ὦ φίλτατοι ἀνθρώπων ἁπάντων, οἰέσθω μηδείς, μηδὲ ἐς κακίας τοσόνδε ἥκειν ὥστε ῥᾳθυμίᾳ τὰ Γότθων καταπροέσθαι πράγματα. ἐμοὶ γὰρ ἔναγχος ἥ τε τῆς ἐξόδου παρασκευὴ ὡς ἔνι μάλιστα ἤσκητο καὶ Οὐραΐας παντὶ τῷ στρατῷ ἐκ Μεδιολάνου μετάπεμπτος ἦλθεν. ἀλλ' ἡ Φράγγων ἔφοδος παραδόξως ἐπεισπεσοῦσα πάντα ἡμῖν τὰ ἐν παρασκευῇ ἀνεχαίτισεν, ὧν ἔγωγε οὐκ ἂν τὴν αἰτίαν δικαίως φεροίμην. ὅσα γὰρ μείζω ἢ κατὰ ἀνθρώπου δύναμίν ἐστι καὶ τοῖς ἑπταικόσι τὸ ἀνεγκλήτοις εἶναι χαρίζεται, τῆς τύχης ἐφ' ἑαυτὴν ἐπισπωμένης ἀεὶ τὰ ἐκ

9. Γότθῳ] γότθων L. 15. ἀνελέξατο] ἀνεδέξατο L.

venere, hominem rogant, ut epistolam Ravennam perferat: auri summam praesentem pacti, maiorem daturos se pollicentur, ubi redierit cum epistola Vitigis. Inductus pecunia miles, operam spondet, ac munus promissi conficit. Itaque cum literis probe obsignatis Ravennam advolat: ubi ad Vitigis conspectum admissus, illas reddit: his autem fere verbis perscriptae erant. *Quo iam redacti simus, clare intelligetis, si ex isto quaeratis tabellario quis et cuius sit. Gotthorum enim nemo est, qui moenibus pedem efferre possit. Penus nostra amplissima sub muro est, nimirum herba, quam modo ne contingere quidem licet, nisi multa cum caede decertantium illius causa. Quo demum haec evasura sint, ad te et Gotthos, qui sunt Ravennae, videre attinet.* Haec Vitigis cum legisset, ita rescripsit. *Nemo vestrum existimet, mortalium omnium carissimi, nos animo concidisse, itaque obtorpuisse, ut rem Gotthicam inertia deseruerimus. Mihi nuper ad profectionem erant omnia paratissima: Uraiam cum omnibus copiis Mediolano acciveram. At inopinata Francorum irruptio apparatum nostrum omnem repressit: cuius rei causam sustinere non debeo. Quae enim vires humanas superant, infelici casu lapsis hoc saltem tribuunt, ut*

τῶν πεπραγμένων ἐγκλήματα. νῦν μέντοι (καὶ γὰρ Θευδίβερτον ἐκποδὼν ἡμῖν γεγενῆσθαι ἀκούομεν) καὶ οὐκ ἐς μακρὰν ὑμῖν, ἂν θεὸς θέλῃ, πάσῃ τῇ Γότθων στρατιᾷ παρεσόμεθα. D χρὴ δὲ ὑμᾶς τὰ παραπίπτοντα φέρειν ἀνδρείως τε καὶ τῇ ἀνάγκῃ ἐπιτηδείως, λογιζομένους μὲν τὴν ὑμετέραν ἀρετὴν, ἧς ἕνεκα ἐκ πάντων ἀπολέξας ὑμᾶς ἐν Ἀὐξίμῳ κατεστησάμην, αἰσχυνομένους δὲ τὴν δόξαν, ἣν Γότθοι ἅπαντες ἐφ' ὑμῖν ἔχοντες. Ῥαβέννης τε ὑμᾶς καὶ τῆς σφῶν αὐτῶν σωτηρίας προβέβληνται." τοσαῦτα γράψας Οὐίτιγις καὶ χρήμασι πολλοῖς τὸν ἄνθρωπον δωρησάμενος ἀπεπέμψατο. ὃς δὴ ἐς Ἀὔξιμον ἀφικόμενος, παρά τε τοὺς ἑταίρους αὐτοῦ ἦλθε καὶ ἀρρώστημα ὅτι δή οἱ ξυμβεβήκει σκεψάμενος, ἔς τε ἱερόν τι οὐκ ἄποθεν ὂν διὰ τοῦτο ἐσχολακέναι, κατέστη μὲν αὖθις ἐς τὴν φυλακὴν ἥπερ εἰώθει, λαθὼν δὲ ἅπαντας τοῖς πολεμίοις τὰ γράμματα ἔδωκεν, ἅπερ ἐς τὸ πλῆθος ἀνα- P 451 γνωσθέντα ἔτι μᾶλλον ἅπαντας, καίπερ τῷ λιμῷ πιεζομένους, ἐκτέρωσε. διὸ δὴ προσχωρεῖν Βελισαρίῳ πολλὰ τιθασεύοντι οὐδαμῇ ἤθελον. αὖθις δ' ὡς σφίσι στράτευμα ἐκ Ῥαβέννης οὐκ ἐξεληλυθός πη ἠγγέλλετο καὶ τῇ ἀπορίᾳ τῶν ἀναγκαίων ὑπερ- V 100 φυῶς ἤδη ἤχθοντο, Βουρκέντιον πάλιν πέμπουσι, τοῦτο ἐν γράμμασι δηλώσαντες μόνον, ὡς πέντε ἡμερῶν οὐκέτι τὸ λοιπὸν οἷοί τέ εἰσι τῷ λιμῷ μάχεσθαι. ὁ δὲ αὐτοῖς ἐπανῆκεν αὖθις, Οὐιτίγιδος ἐπιστολὴν ἔχων ταῖς ὁμοίαις ἐλπίσιν αὐτοὺς ἀναρτῶσαν.

12. ἐσχολακέναι] ἴσ. ἐσχολακὼς Hm. 14. ἐς] εἰς L. 16. ἐκτέρωσε] ἐκέρρωσε Vat. Eadem varietas p. 446 c. ibid. τιθασεύοντι L. τιθασσεύοντι P.

eximantur ex culpa, quam omnem Fortuna praestat ac sustinet. Nunc, quando Theodebertum abscessisse audimus, brevi, si Deus volet, cum omni Gothorum exercitu vobis aderimus. Caeterum adversa, quae incidunt, ferre vos decet fortiter et convenienter necessitati, illius vestrae virtutis memores; cuius ergo vos ex omnibus delectos locavi Auximi: et revereri opinionem debetis, quam de vobis adeo praeclaram habent Gothi universi, ut vos Ravennae et salutis suae propugnaculum esse voluerint. Simul hanc Vitigis epistolam exaravit, multa pecunia donatum remisit hominem: qui cum Auximum pervenisset, ad sodales reversus, et causatus se valetudinis gratia in vicino quodam templo moratum esse, ad consuetam stationem se retulit, et nemine conscio, hostibus literas reddidit: quarum publica lectio omnes, quamvis fame pressos, ita erexit, ut blandienti plurimum Belisario dedere se recusaverint. Cum autem nullas Ravenna eductas copias audirent, et summa iam cibariorum penuria conflictarentur, Burcentium iterum mittunt, ac per literas hoc unum significant, se ultra dies quinque non posse fami resistere. Ille cum Vitigis epistola rediit, quae simili spe eorum animos suspendebat.

B Ῥωμαῖοι δὲ οὐδέν τι ἧσσον ἀχθόμενοι, ὅτι δὴ ἐν χώρᾳ ἐρήμῳ μακρὰν οὕτω προσεδρείαν πεποίηνται, διηποροῦντο, οὐκ ἐνδιδόντας σφίσιν ἐν τοσούτοις κακοῖς τοὺς βαρβάρους ὁρῶντες. διὸ δὴ Βελισάριος ἐν σπουδῇ ἐποιεῖτο ζῶντά τινα τῶν ἐν τοῖς πολεμίοις δοκίμων λαβεῖν, ὅπως ἂν γνοίη ὅτου δὴ ἕνεκα τὰ δεινὰ καρτεροῦσιν οἱ βάρβαροι, καὶ οἱ ὁ Βαλεριανὸς τὸ τοιοῦτο ὑπουργήσειν εὐπετῶς ὡμολόγει. εἶναι γάρ τινας τῶν οἱ ἑπομένων ἐκ τοῦ Σκλαβηνῶν ἔθνους, οἳ κρύπτεσθαί τε ὑπὸ λίθῳ βραχεῖ, ἢ φυτῶν ἄλλῳ τῳ παρατυχόντι, εἰώθασι καὶ ἁναρπάζειν ἄνδρα πολέμιον. τοῦτό τε ἀεὶ παρὰ ποταμὸν Ἴστρον, ἔνθα δὴ ἵδρυνται, ἔς C τε Ῥωμαίους καὶ τοὺς ἄλλους βαρβάρους ἐνδείκνυνται. ἥσθη τῷ λόγῳ Βελισάριος καὶ τοῦ ἔργου ἐπιμελεῖσθαι κατὰ τάχος ἐκέλευε. Βαλεριανὸς οὖν ἀπολέξας τῶν Σκλαβηνῶν ἕνα σώματός τε μεγέθους πέρι εὖ ἥκοντα καὶ διαφερόντως δραστήριον, ἄνδρα ἑλεῖν πολέμιον ζῶντα ἐπέστελλε, χρήματά οἱ μεγάλα πρὸς Βελι- 15
σαρίου ἰσχυρισάμενος ἔσεσθαι. δράσειν δὲ τοῦτο αὐτὸς ἐν τῷ χωρίῳ εὐπετῶς ἔφασκεν, οὗπερ ἡ πόα τυγχάνει οὖσα. χρόνου
H 250 γὰρ πολλοῦ ταύτῃ τοὺς Γότθους ἀπορίᾳ τῶν ἀναγκαίων σιτίζεσθαι. ὁ μὲν οὖν Σκλαβηνὸς ὄρθρου βαθέος ἄγχιστα τοῦ περι- 20
βόλου γενόμενος, ἐν θάμνῳ τινὶ ἐγκαλυψάμενός τε καὶ τὸ σῶμα
D ἐς ὀλίγον ξυναγαγὼν ἀμφὶ τὴν πόαν ἐκρύπτετο. ἅμα δὲ ἡμέρᾳ Γότθος ἀνὴρ ἐνταῦθα ἥκων τὰς βοτάνας κατὰ τάχος ξυνέλεγεν, ἐκ μὲν τοῦ θάμνου ὑποτοπάζων οὐδὲν ἄχαρι, συχνὰ δὲ περισκο-

15. ἑλεῖν] ἔχειν HL.

Romani vero, haud levius ferentes tam longe extractam deserta in ora obsidionem, fluctuabant; praesertim cum Barbaros viderent ad deditionem non redigi tot aerumnis. Quamobrem dabat operam Belisarius, ut eorum, qui inter hostes praestabant, aliquem vivum caperet, ex quo causam cognosceret tantae in malis constantiae Barbarorum. Id se facile effecturum Valerianus recepit: cum in suorum haberet numero Sclavenos aliquot, qui sub angusto saxo aut virgulto quolibet obvio delitescere, et hostem quemlibet rapere consuevissent: hoc illos ad Istrum fluvium, ubi sunt gentis sedes, in alios Barbaros ac Romanos factitasse. Laetus auditis Belisarius, rem ocius accurari iubet. Itaque Valerianus uni ex omnibus Sclavenis delecto, mole corporis ac strenuitate insigni, grandem a Belisario pecuniam pollicitus, iniungit ut hostium aliquem vivum capiat. Id Barbarus facile in eo loco, qui herba vestitus erat, perfecturum se dixit: iamdiu enim esse cum Gotthi, cibariis absumptis, inde se alerent. Summo igitur mane Sclavenus ad murum accedit, et frutice tectus, contracto corpore ad herbam latet. Ut primum illuxit, vir quidam eo progressus, raptim herbas colligere coepit, nihil mali a frutice

πῶν ἐς τὸ τῶν πολεμίων στρατόπεδον, μή τις ἐς αὐτὸν ἐνθένδε ἴοι. καὶ οἱ ἐπιπεσὼν ὄπισθεν ὁ Σκλαβηνὸς ἐκ τοῦ αἰφνιδίου ἀνάρπαστον ἐποιήσατο, σφίγγων τε μέσον καρτερῶς χερσὶν ἀμφοτέραις τὸν ἄνθρωπον, ἔς τε τὸ στρατόπεδον ἤνεγκε φέρων καὶ Βαλεριανῷ ἐνεχείρισεν. ᾧ δὴ πυνθανομένῳ, ᾧ δήποτε Γότθοι πιστεύοντες, καίτοι μὴ τὸ ἰσχυρὸν ἔχοντες, ἥκιστα ἐθέλουσι προσχωρεῖν σφίσιν, ἀλλ' ἑκούσιοι τὰ δεινότατα ἐγκαρτεροῦσι, τὸν πάντα λόγον ἀμφὶ τῷ Βουρκεντίῳ ὁ βάρβαρος ἔφρασε καὶ αὐτόν οἱ ἐς ὄψιν ἥκοντα ἤλεγχεν. ὁ δὲ Βουρκέντιος, ἐπεὶ ἔκπυστος ἤδη γεγονὼς ἤσθετο, οὐδὲν τῶν γεγραμμένων ἀπέκρυψε. διὸ δὴ Βελισάριος μὲν τοῖς ἑταίροις αὐτὸν ὅ τι βούλοιντο παρέ- P 452
δωκε χρῆσθαι, οἱ δὲ αὐτὸν ζῶντα οὐκ ἐς μακρὰν ἔκαυσαν, θεωμένων τὰ ποιούμενα τῶν πολεμίων. Βουρκέντιος μὲν οὕτω τῆς φιλοχρηματίας ἀπέλαυσε.

κζ'. Βελισάριος δὲ οὐδέν τι ἧσσον ἀντέχοντας τῇ ταλαιπωρίᾳ τοὺς βαρβάρους ὁρῶν ἐς τοῦ ὕδατος καθίστασθαι τὴν B
ἐπιβουλὴν διενοεῖτο, ταύτῃ ῥᾷόν τε καὶ εὐπορώτερον αἱρήσειν τοὺς πολεμίους οἰόμενος. καὶ ἦν γάρ τις κρήνη Αὐξίμου πρὸς βορρᾶν ἄνεμον ἐν χώρῳ κρημνώδει, τοῦ περιβόλου ἀπέχουσα ὅσον λίθου βολήν, κατὰ βραχὺ μάλιστα τὸν ῥοῦν ἀφιεῖσα ἔς τινα δεξαμενὴν αὐτόθι ἔκπαλαι οὖσαν. ἥ τε δεξαμενὴ πλήρης γεγενημένη ἐκ ταύτης δὴ τῆς ὀλίγης ἐπιρροῆς παρείχετο πόνῳ οὐδενὶ τοῖς ἐν Αὐξίμῳ ὑδρεύεσθαι. ἔννοιά τε Βελισαρίῳ ἐγένετο ὡς, ἦν

9. ἤλεγχεν P ex Vat. ἤθελεν HL. 10. γεγραμμένων] πεπραγμένων Pm. 14. ἀπέλαυσε] ἀπήλαυσε P. 21. ἔκπαλαι] ἐκ παλαιοῦ Scaliger. Sic p. 457 b.

metuens, ac solum in castra hostium coniiciens saepius oculos, ne quis infestus illinc veniret. Repente Sclavenus a tergo irruens ipsum arripit, et valide ambabus manibus medium stringens, in castra aufert, traditque Valeriano: cui quaerenti, quid tantam spem Gotthis faceret, ut, quamvis accisis viribus, durissima constanter perpeti mallent, quam sese dedere? fraudem omnem Burcentii Barbarus enuntiavit, ipsumque ante oculos adductum convicit. Burcentius, ubi se manifesto teneri vidit, eorum celavit nihil, quae acta fuerant. Eum Belisarius permisit arbitrio commilitonum: hi verum vivum subinde combusserunt sub hostium oculis. Hunc denique Burcentius cupiditatis fructum cepit.

27. In calamitate perstare videns Barbaros Belisarius, illis aquam subducere meditabatur, hanc viam ratus ad capiendos hostes faciliorem esse et magis compendiariam. Qua Septentrionem Auximum spectat, fons quidam erat in praecipiti loco, iactu lapidis procul a moenibus, et vena admodum tenui illabebatur in veterem cryptam: cuius lacus, fluento illo impletus modico, iis, qui erant Auximi, haustus faciles dabat. Sic autem

μὴ τὸ ὕδωρ ἐνταῦθα ξυσταίη, οὐ μή ποτε οἷοί τε ὦσιν οἱ βάρβαροι πρὸς τῶν πολεμίων βαλλόμενοι ἐν χρόνῳ πολλῷ ἀπὸ τῆς
C ἐπιρροῆς τοὺς ἀμφορέας ἐμπλήσασθαι. διαφθεῖραι γοῦν ἐθέλων
V 101 τὴν δεξαμενὴν ἐπενόει τάδε. ἐξοπλίσας τὸ στράτευμα ὅλον, κύκλῳ τε αὖ τοῦ περιβόλου ὡς ἐς μάχην ταξάμενος, δόκησιν τοῖς ἐναντίοις παρείχετο ὡς τῷ τειχίσματι προσβαλεῖν αὐτίκα δὴ μάλα πανταχόθεν μέλλοι. διὸ δὴ κατωρρωδηκότες τὴν ἔφοδον οἱ Γότθοι ἐν ταῖς ἐπάλξεσιν ἡσυχῇ ἔμενον, ὡς ἐνθένδε ἀμυνούμενοι τοῖς πολεμίοις. ἐν τούτῳ δὲ Βελισάριος Ἰσαύρους πέντε τοὺς ἐς τὰς οἰκοδομίας ἐμπείρους ξύν τε πελέκεσι καὶ ἄλλῃς ὀργάνοις ἐς λίθων ἐκτομὰς ἐπιτηδείοις ἐς τὴν δεξαμενὴν ἀσπίδων πλήθει κρυπτομένους ἐσήγαγε, διαφθεῖραί τε καὶ διελεῖν τοὺς τοίχους πάσῃ δυνάμει κατὰ τάχος ἐκέλευεν. οἱ δὲ βάρβαροι τέως μὲν τοὺς ἄνδρας ὑπὸ τὸ τεῖχος ὑποπτεύοντες ἰέναι ἡσυχίαν ἦγον, ὅπως
D ἂν ὡς ἀγχοτάτω γενομένους εὐπετῶς βάλοιεν, ἐν νῷ τὸ ποιούμενον ἥκιστα ἔχοντες· ἐπεὶ δὲ τοὺς Ἰσαύρους ἐντὸς γενομένους τῆς δεξαμενῆς εἶδον, λίθους τε καὶ τοξεύματα πάντα ἐπ' αὐτοὺς ἔβαλλον. τότε δὴ οἱ μὲν ἄλλοι Ῥωμαίων ἅπαντες ὑπεχώρουν δρόμῳ, μόνοι δὲ οἱ πέντε Ἴσαυροι, ἐπεὶ ἐγένοντο ἐν τῷ ἀσφαλεῖ, ἔργου εἴχοντο. κύρτωμα γάρ τι ὑπὲρ τοῦ ὕδατος σκιᾶς ἕνεκα τοῖς πάλαι ἀνθρώποις τῇδε πεποίηται. οὗ δὴ ἐντὸς γεγενημένοι, ὡς ἥκιστα τῶν πολεμίων, καίπερ συχνὰ βαλλόντων, ἐφρόντιζον. διὸ δὴ οἱ Γότθοι ἐντὸς τοῦ περιβόλου μένειν οὐκέτι ἠνείχοντο,

8. ἀμυνούμενοι] Vulgo ἀμυνόμενοι. 20. τοῦ ὕδατος] τῆς δεξαμενῆς Suidas s. v. κύρτωμα.

statuebat Belisarius, si ibi aqua non colligeretur, eo redactum iri Barbaros, ut missilibus hostium impetiti multo tempore non possent implere amphoras manante latice. Itaque capto destruendi lacus consilio, rationem hanc iniit. Cum arma omnibus imperasset, ita muros corona ad pugnam instructa cinxit, ut hostibus opinionem praebuerit impressionis mox undique faciendae. Quam horrentes Gotthi, ad pinnas stabant, ut inde hostem propellerent. Interea Belisarius Isauros quinque, fabrilis artis peritos, cum securibus aliisque instrumentis ad lapides caedendos idoneis, in receptaculum aquae inducit, multis protectos clypeis, omnique ope et celeritate parietes rumpere ac diruere iubet. Tum quidem Barbari, illos rati muro succedere, se continebant, ut eos, cum proxime accessisset, facile telis figerent; nec dum fraudem deprehendebant. At ubi Isauros cryptam ingressos viderunt, lapides ac missilia omnis generis eo coniiciunt. Tum caeteri Romani omnes cursu retro pedem tulere: soli quinque Isauri coepto admovere manum, in tuto positi. Siquidem obumbrandi loci gratia, fornix quondam impositus aquae fuerat: quem illi ingressi densa hostium tela ridebant. Quare Gotthi non amplius potue-

ἀλλὰ ἀνοίξαντες τὴν ταύτῃ πυλίδα ἐπὶ τοὺς Ἰσαύρους ἅπαντες
θυμῷ τε πολλῷ καὶ θορύβῳ ἐχόμενοι ἤεσαν. καὶ οἱ Ῥωμαῖοι P 453
Βελισαρίου σφίσιν ἐγκελευομένου, σπουδῇ πολλῇ ὑπηντίαζον. γί-
νεται μὲν οὖν μάχη καρτερὰ ἐν χρόνῳ πολλῷ ὠθισμὸν ἔχουσα
καὶ φόνος ἑκατέρων πολύς. Ῥωμαίων δὲ μᾶλλον συχνοὶ ἔπιπτον.
ἄτε γὰρ οἱ βάρβαροι ὑπερθεν ἀμυνόμενοι πλείους ἔκτεινον ἢ αὐτοὶ
ἔθνησκον. ἐνδιδόναι μέντοι Ῥωμαῖοι οὐδαμῇ ἤθελον, παρόντα τε
καὶ κρανγῇ ἐγκελευόμενον Βελισάριον αἰσχυνόμενοι. τότε δὴ καὶ βέ-
λος τι ἐπὶ τὴν τοῦ στρατηγοῦ γαστέρα ἦει ξὺν ῥοίζῳ πολλῷ, πρός
του τῶν ἐναντίων, εἴτε τύχῃ τινὶ εἴτε προνοίᾳ ἐνταῦθα βληθέν.
ὅπερ Βελισάριος μὲν ὡς ἥκιστα εἶδεν. οὐδὲ γὰρ οὖν φυλάσσεσθαι
οὐδέ πη ἐκτρέπεσθαι ἴσχυσε. δορυφόρος δέ τις Οὐνίγατος ὄνομα B
παρ' αὐτὸν ἑστηκὼς κατενόησέ τε, οὐκ ἄποθεν ὢν τῆς Βελισα-
ρίου γαστρὸς, καὶ χεῖρα τὴν δεξιὰν προβαλλόμενος ἔσωσε μὲν τὸν H 251
στρατηγὸν ἐκ τοῦ παραδόξου, αὐτὸς δὲ πληγεὶς τῷ τοξεύματι
εὐθὺς μὲν περιώδυνος γεγονὼς ἀνεχώρησε. μετὰ δὲ τῶν νεύρων
οἱ ἀποκοπέντων οὐκέτι τὴν χεῖρα ἐνεργεῖν ἴσχυσεν, ἥ τε μάχη
πρωὶ ἀρξαμένη ἐς μέσην ἡμέραν ἀφίκετο. καὶ τῶν Ἀρμενίων ἄν-
δρες ἑπτὰ ὑπό τε Ναρσῇ καὶ Ἀρατίῳ τασσόμενοι ἔργα ἐπεδείξαν-
το ἀρετῆς ἄξια, ἔς τε τὴν δυσχωρίαν, ἣ μάλα ἀνάντης ἦν, καὶ
ἐν τῷ ὁμαλῷ περιθέοντες καὶ κτείνοντες τῶν πολεμίων τοὺς ἀεὶ C
σφίσιν ἀντιστατοῦντας, ἕως διωσάμενοι τοὺς ἐκείνῃ βαρβά-
ρους ἐτρέψαντο. οἵ τε ἄλλοι Ῥωμαῖοι ἐνδιδόντας ὁρῶντες ἤδη

9. ἦει] Vulgo ἴει. 22. τοὺς] τε τοὺς P.

runt tenere se murorum septo; sed porta, quae illic est, patefacta, omnes, gravi stimulante ira, in Isauros tumultuose se effuderunt. Hortante mox Belisario, Romani animosissime occurrere. Fervet pugna, et quidem diu, dum se invicem trudunt, cum magna utrinque caede: quae tamen Romanos afflixit gravius. Nam e superiori loco repugnantes Barbari maiorem cladem afferebant, quam ipsi acciperent. Romani tamen cedere nolebant, praesentem et clamore excitantem Belisarium reveriti. Quo tempore impulsa ab hoste quopiam sagitta, sive casu, sive consilio, recta in ventrem Magistri militum magno stridens impetu ferebatur. Ad eam non advertens Belisarius, nec cavere sibi, nec declinare poterat. Verum Protector quidam, cui nomen Unigato, haud procul ventre Belisarii stans, advertit, et praetenta dextera Magistrum militiae praeter opinionem servavit: ipse sagitta ictus, statim excessit praelio, doloris vi; nec manu in posterum uti potuit, quod eius nervi praecisi essent. Coepta mane pugna ad meridiem usque producta est: in qua Armenii septem, qui sub Narsete et Aratio stipendia faciebant, fortissime se gesserunt, in salebris loci maxime ardui aeque ut in plano decurrentes, atque hostibus, qui se obfirmarent, inferentes necem; donec oppositos sibi Barbaros terga dare coëgerunt. Romani caeteri, hostem videntes iam inclinari, instant: tum fu-

τοὺς πολεμίους ἐδίωκον καὶ ἡ τροπὴ λαμπρὰ ἐγεγόνει, οἵ τε βάρβαροι αὖθις ἐντὸς τοῦ περιβόλου ἐγένοντο. Ῥωμαῖοι μὲν οὖν τήν τε δεξαμενὴν διεφθάρθαι καὶ τοῖς Ἴσαύροις ἅπαν ἐπιτελεῖσθαι τὸ ἔργον ᾤοντο, οἱ δὲ οὐδὲ ὅσον χάλικα ἐνθένδε ἀφελέσθαι ἐς τὸ παντελὲς ἴσχυσαν. οἱ γὰρ πάλαι τεχνῖται, ἀρετῆς ἐς τὰ ἔργα ἐπιμελούμενοι μάλιστα, οὕτω δὴ καὶ ταύτην τὴν οἰκοδομίαν εἰργάσαντο, ὥστε μήτε χρόνῳ μήτε ἀνθρώπων ἐπιβουλῇ εἴκειν. D ἄπρακτοι γοῦν οἱ Ἴσαυροι, ἐπειδὴ Ῥωμαίους τοῦ χώρου κρατήσαντας εἶδον, ἐκ τῆς δεξαμενῆς ἀπαλλαγέντες ἐς τὸ στρατόπεδον ἀνεχώρησαν. διὸ δὴ Βελισάριος τῶν τε ζῴων τὰ νεκρὰ καὶ βοτάνας ἐς ἀνθρώπου φθορὰν ἱκανῶς πεφυκυίας ῥίπτειν ἐν τῷ ὕδατι τοὺς στρατιώτας ἐκέλευε καὶ λίθον κατακεκαυμένην ἐνδελεχέστατα (ἣν πάλαι μὲν τίτανον, ταννῦν δὲ ἄσβεστον καλεῖν νενομίκασιν) ἐμβάλλοντας ἐνταῦθα σβεννύειν. καὶ οἱ μὲν κατὰ ταῦτα ἐποίουν, οἱ δὲ βάρβαροι φρέατι ἐντὸς τοῦ περιβόλου, ὕδωρ τι βραχὺ ὡς μάλιστα ἔχοντι, ἐν τούτῳ δὴ τῷ χρόνῳ ἐλασσόνως ἢ κατὰ τὴν χρείαν ἐχρῶντο. καὶ τὸ λοιπὸν Βελισάριος οὔτε βίᾳ τὸ χωρίον ἐλεῖν οὔτε τινὰ ἐπιβουλὴν ἐπιδείξασθαι ὕδατος πέρι ἢ ἄλλου ὁτουοῦν ἐν σπουδῇ ἐποιεῖτο, μόνῳ τῷ λιμῷ περιέσεσθαι τῶν P 454 V 102 πολεμίων ἐλπίδα ἔχων. καὶ ἀπ᾽ αὐτοῦ τῆς φυλακῆς ἰσχυρότατα ἐπεμελεῖτο. οἵ τε Γότθοι καραδοκοῦντες ἔτι τὸν ἐκ Ῥαβέννης στρατὸν ἐν πολλῇ ἀπορίᾳ τῶν ἀναγκαίων ἡσύχαζον.

7. μήτε — μήτε] μηδὲ — μηδὲ P. 13. καλεῖν νενομίκασι] καλοῦσι Suidas s. v. τίτανον. 21. ἐπεμελεῖτο] ἐπιμελεῖτο L.

gientes aperte Barbari, in urbem se conliciunt. Romani iam ab Isauris dirutum fontis conceptaculum, et extremam incepto manum accessisse existimabant. At illi ne unum quidem silicem avellere quiverant. Artifices enim veteres, omnem artis suae vim operibus adhibere soliti, sic istud construxerant, ut nec temporis nec hominum iniuriis cederet. Isauri igitur, ut Romanos viderunt potiri campo, re infecta, egressi crypta, in castra redierunt. Quapropter militibus imperavit Belisarius, ut cadavera pecudum, herbasque homini nocentissimas in aquam iacerent, et summe combustum igne lapidem, qui quondam Calx, hodie Asbestus vulgo dicitur [quod ignea vis in eo non sit extincta] immitterent extinguerentque. Dictum ac factum. Interim Barbari puteo, qui intra muros erat aquae pauperrimus, parcius utebantur quam necessitas posceret. Neque ultra Belisarius vi urbem capere, vel aquae alliusve rei causa moliri quidquam tendebat, sperans fore ut sola fame domaret hostes; eamque ob causam in custodiam tota mente incumbebat. Gothi avida adhuc pendentes expectatione mittendi Ravenna exercitus, in summa rei cibariae angustia nihil movebatur.

Ἤδη δὲ οἱ ἐν Φισσύλῃ πολιορκούμενοι ὡς μάλιστα τῷ λιμῷ ἐπιέζοντο, φέρειν τε τὸ κακὸν οὐχ οἷοί τε ὄντες, ἀπειπόντες δὲ καὶ πρὸς τὴν ἐκ Ῥαβέννης ἐλπίδα, τοῖς ἐναντίοις προσχωρεῖν ἔγνωσαν. Κυπριανῷ τοίνυν καὶ Ἰουστίνῳ ἐς λόγους ἐλθόντες, τά τε πιστὰ ὑπὲρ τῶν σωμάτων λαβόντες, σφᾶς τε αὐτοὺς καὶ τὸ φρούριον ὁμολογίᾳ παρέδοσαν. καὶ αὐτοὺς οἱ ἀμφὶ Κυπριανὸν ξὺν τῷ Ῥωμαίων στρατῷ ἐπαγόμενοι, φρουράν τε αὐτάρκη ἐν Φισσύλῃ καταστησάμενοι, ἐς Ἄξιμον ἦλθον. Βελισάριος δὲ αὐτῶν τοὺς ἡγουμένους τοῖς ἐν Ἀξίμῳ βαρβάροις ἀεὶ ἐνδεικνύ- B μενος ἐκέλευε τῆς ἀπονοίας μεθίεσθαι, τὴν ἐκ Ῥαβέννης ἀποσεισαμένους ἐλπίδα, δι' ἧς ὄνησίς τις οὐ μή ποτε οὐδὲ αὐτοῖς ἔσται, ἀλλ' ἐπὶ πλεῖστον τῇ ταλαιπωρίᾳ κεκακωμένοι οὐδὲν ἧσσον ἐς ταὐτὸν τύχης τοῖς ἐν Φισσύλῃ ἀφίξονται. οἱ δὲ πολλὰ ἐν σφίσιν αὐτοῖς λογισάμενοι, ἐπειδὴ τῷ λιμῷ οὐκέτι ἀντεῖχον, τούς τε λόγους ἐνεδέχοντο καὶ παραδοῦναι τὴν πόλιν ἠξίουν, ἐφ' ᾧ αὐτοὶ ἀπαθεῖς κακῶν ξὺν τοῖς χρήμασιν ἐπὶ Ῥαβέννης πορεύσονται. δεὶ δὴ Βελισάριος τοῖς παροῦσι διηπορεῖτο, πολεμίους μὲν τοιούτους τε τὴν ἀρετὴν καὶ τοσούτους τὸ πλῆθος τοῖς ἐν Ῥαβέννῃ ἀναμίγνυσθαι ἀξύμφορον οἰόμενος, τοῦ δὲ καιροῦ ὑστερῆσαι ὡς C ἥκιστα ἤθελεν, ἀλλ' ἐπὶ Ῥάβεννάν τε καὶ Οὐίτιγιν, ἠωρημένων ἔτι τῶν πραγμάτων, ἰέναι. Φράγγοι γὰρ αὐτὸν ξυνετάραττον, Γότθοις ἐπικουρίαν ἀφίξεσθαι αὐτίκα δὴ μάλα ἐπίδοξοι ὄντες. ὧν δὴ προτερῆσαι τὴν παρουσίαν ἐν σπουδῇ ἔχων διαλύειν τὴν

19. τοῦ δὲ καιροῦ] τὸν δὲ καιρὸν HL.

Iam vero qui Faesulis obsidebantur, cum vehementissime fame pressi, illius saevitiam ferre minime possent, nec venturum Ravenna auxilium sperarent, hosti sese permittere decreverunt. Itaque cum Cypriano ac Iustino collocuti, accepta incolumitatis fide, se et castrum tradiderunt voluntaria deditione. Cyprianus, iusto Faesulis constituto praesidio, illos cum Rom. exercitu Auximum duxit. Quorum Duces Barbaris, Auximum habentibus, ostentans Belisarius, hortabatur ut insanire desinerent, spe, quam Ravenna obtulerat, abiecta penitus, utpote inutili; cum ipsos, aerumnis dieturnis confectos, eadem sors, quam praesidium Faesulanum subiisset, nihilo certius maneret. Illi, re inter se multum considerata, iam fame victi, aures dictis faciles dederunt, ac de urbe tradenda assensi sunt; sed ea lege ut salvi atque incolumes cum suis opibus Ravennam irent. Haesit hic Belisarius, sibi adversari intelligens tot ac tam fortium hostium cum illis, qui Ravennae erant, coniunctionem. Nolebat autem mora occasionem omittere, sed Ravennam ac Vitigin petere cogitabat rebus adhuc suspensis. Ipsum enim sollicitum habebant Franci, quos Gotthis propediem suppetias venturos erat opinio. Horum adven-

προσεδρείαν μή πω Αὐξίμου ἁλούσης οὐχ οἷός τε ἦν. οἵ τε στρατιῶται οὐκ εἰῶν ξυγχωρεῖν τοῖς βαρβάροις τὰ χρήματα, οὕτω μὲν πολλὰ τραύματα ἐνδεικνύμενοι, ἅπερ ἐνταῦθα πρὸς αὐτῶν δεξάμενοι ἔτυχον, πόνους δὲ πάντας ἀπαριθμοῦντες τοὺς ἐν ταύτῃ σφίσι τῇ πολιορκίᾳ ξυμπεπτωκότας, ὧν δὴ ἄθλα εἶναι τῶν ἡσσημένων τὰ λάφυρα ἰσχυρίζοντο. τέλος δὲ οἵ τε Ῥωμαῖοι, καιροῦ ὀξύτητι ἀναγκασθέντες, καὶ Γότθοι τῷ λιμῷ βιαζόμενοι ξυνίασιν ἀλλήλοις, ἐφ' ᾧ τῶν μὲν χρημάτων τὰ ἡμίσεια Ῥωμαῖοι ἐν σφίσιν αὐτοῖς διανέμωνται, τὰ δὲ λειπόμενα Γότθοι ἔχοντες βασιλέως κατήκοοι ὦσιν. ἑκάτεροι τοίνυν ὑπὲρ τούτων τὰ πιστὰ ἔδοσαν, Ῥωμαίων μὲν οἱ ἄρχοντες τὰ ξυγκείμενα κύρια εἶναι, Γότθοι δὲ τῶν χρημάτων οὐδ' ὁτιοῦν ἀποκρύπτεσθαι. οὕτω τε δὴ τὰ χρήματα πάντα ἐνείμαντο καὶ Ῥωμαῖοι μὲν Αὔξιμον ἔσχον, οἱ δὲ βάρβαροι τῷ βασιλέως στρατεύματι ἀνεμίγνυντο.

κη'. Ἐπεὶ δὲ Βελισάριος Αὔξιμον εἶλε, Ῥάβενναν πολιορκεῖν ἐν σπουδῇ ἐποιεῖτο καὶ ἅπαν τὸ στράτευμα ἐνταῦθα ἐπῆγε. Μάγνον τε πέμψας ξὺν πλήθει πολλῷ ἐπὶ Ῥαβέννης ἰέναι ἐκέλευε, Πάδου τε τοῦ ποταμοῦ τὴν ὄχθην ἀεὶ περιιόντα φυλακὴν ἔχειν, ὅπως δὴ μὴ τὸ λοιπὸν ἐνθένδε οἱ Γότθοι τὰ ἐπιτήδεια ἐσομίζωνται. καὶ Βιτάλιος δέ οἱ ξὺν στρατῷ ἐκ Δαλματίας ἀφικόμενος ὄχθην τοῦ ποταμοῦ τὴν ἑτέραν ἐφύλασσεν. ἐνταῦθα αὐτοῖς ξυνέβη τις τύχη, δήλωσιν ἄντικρυς ποιουμένη ὅτι δὴ αὐτὴ πρυτανεύσει ἀμφοτέροις τὰ πράγματα. συχνὰς γὰρ οἱ Γότθοι ἀκά-

3. τραύματα] πράγματα L.

tum praevertere cum maxime vellet, nondum capto Auximo, obsidionem solvere nequibat. Intercedebant etiam milites, ut ne Barbaris permitteret exportare pecunias. Vulnera, quae hic ab illis plurima acceperant, ostentantes, laboresque omnes enumerantes, quos in obsidione exantlaverant, eorum praemia esse affirmabant hostium devictorum spolia. Denique hinc Romanis, occasionis praecipiti lapsu; inde Gotthis fame compulsis, pacto convenit, ut Romani dimidiam pecuniarum partem inter se dividerent; Gotthi, altera retenta, in ius ac ditionem Imperatoris venirent. Haec data utrinque fide sancita sunt: ac Duces quidem Romani, mansura pacta; Gotthi, nihil pecuniae absconsuro se promiserunt. Itaque divisa omni pecunia, occuparunt Romani Auximum; Barbari Imperatoris copiis sese admiscuerunt.

28. Potitus Auximo Belisarius, Ravennam obsidere contendit, eoque omnes copias ducit. Praemisso illuc cum manu valida Magno iniungit ut Padi ripam continenter obeundo Gotthos ea parte commeatibus intercludat. Vitalius, qui ex Dalmatia cum copiis advenerat, alteram fluminis ripam insedit. Hic ipsis cum attulit Fortuna casum, quo manifeste probavit, se pro arbitrio de utriusque gentis rebus constituturam. Ac-

τους πρότερον ἐν Λιγούροις συλλέξαντες ἐς τὸν Πάδον καθῆκαν, B
ὥσπερ ἐμπλησάμενοι σίτου τε καὶ τῶν ἄλλων ἐπιτηδείων πλεῖν V 103
ἐπὶ Ῥαβέννης διενοοῦντο. οὕτω δὲ τοῦ ποταμοῦ τούτου ὕδωρ
ἐκείνῳ τῷ χρόνῳ ὑπέλιγγεν ὥστε αὐτῷ ναυτίλλεσθαι τὸ παράπαν
ἀδύνατα ἦν, ἕως ἐπλήθοντες Ῥωμαῖοι τὰς ἀκάτους ξὺν τοῖς φορ-
τίοις ἅπασιν εἷλον. ὃ τε ποταμὸς οὐ πολλῷ ὕστερον ἐς ῥοῦν
ἐπανιὼν τὸν καθήκοντα ναυσίπορος τὸ λοιπὸν ἐγεγόνει. τοῦτο
δὲ αὐτῷ ξυμβῆναι οὐ πώποτε πρότερον ἀκοῇ ἴσμεν. ἤδη τε οἱ
βάρβαροι τῶν ἐπιτηδείων ὑποσπανίζειν ἤρξαντο. οὔτε γὰρ διὰ C
κόλπου τι ἐσκομίζεσθαι τοῦ Ἰονίου εἶχον, θαλασσοκρατούντων
πανταχῇ τῶν πολεμίων, καὶ τοῦ ποταμοῦ ἀπεκέκλειντο. γνόν-
τες δὲ οἱ Φράγγων ἄρχοντες τὰ ποιούμενα προσποιεῖσθαί τε τὴν
Ἰταλίαν ἐθέλοντες, πρέσβεις παρὰ τὸν Οὐίτιγιν πέμπουσι, ξυμ-
μαχίας ὑπόσχεσιν προτεινόμενοι, ἐφ' ᾧ τῆς χώρας ξὺν αὐτῷ
ἄρξουσιν. ὅπερ Βελισάριος ὡς ἤκουσεν, πρέσβεις καὶ αὐτὸς ἀν-
τεροῦντας Γερμανοῖς ἔπεμψεν ἄλλους τε καὶ Θεοδόσιον τὸν τῇ
οἰκίᾳ τῇ αὐτοῦ ἐφιστῶτα.

Πρῶτοι μὲν οὖν οἱ Γερμανῶν πρέσβεις Οὐιτίγιδι ἐς ὄψιν D
ἐλθόντες ἔλεξαν τοιάδε „Ἔπεμψαν ἡμᾶς οἱ Γερμανῶν ἄρχοντες,
δυσχεραίνοντες μὲν ὅτι δὴ πρὸς Βελισαρίου πολιορκεῖσθαι ὑμᾶς
ἤκουσαν, τιμωρεῖν δὲ ὑμῖν τάχιστα κατὰ τὸ ξυμμαχικὸν ἐν σπου-
δῇ ἔχοντες. τὸ μὲν οὖν στρατόπεδον ἀνδρῶν μαχίμων οὐχ ἧσ-
σον ἢ ἐς μυριάδας πεντήκοντα ἤδη που τὰς Ἄλπεις ὑπερβεβηκέναι

tea Gothi magnam scapharum vim, quas contraxerant in Liguria, in Padum deduxerant; et cum eas frumento aliisque commeatibus implessent, Ravennam navigare consilium erat. Tunc autem fluvius ita decrevit, ut impar esset ferendis navibus, quasi Romanos expectaret: qui supervenientes, scaphas et omnia, quibus onustae erant, ceperunt. Paulo post ad convenientem sibi cursum rediens amnis, navigabilem sese praebuit: quod ipsi nunquam antea contigisse audivimus. Iam cibariorum penuria laborare coeperant Barbari, cum nec per sinum Ionium invehere quidquam possent, Romanis ubique mari dominantibus, nec flumen ipsis pateret. De his certiores facti Francorum Reges, quibus in animo erat Italiam adiungere ditioni suae, ad Vitigin legationem mittunt, pollicentes belli societatem, ea conditione, ut Italiae cum ipso imperent. Quod ubi audiit Belisarius, Legatos et ipse destinat Germanis contradictaros, Theodosium videlicet domus suae Praefectum, allosque.

Priores ad Vitigin intromissi Germanorum Legati orationem hanc habuerunt. *Huc nos miserunt Germanorum Principes, graviter ex eo soliciti, quod a Belisario obsideri vos audierunt, et nihil non agentes, ut vobis pro sociali officio quamprimum opitulentur. Iam certe non minus quingenta millia virorum fortium superasse Alpes credimus: de quibus hoc ia-*

οἰόμεθα, οὓς πελέκεσι τὴν Ῥωμαίων στρατιὰν ξύμπασαν ἐν τῇ
P 456 πρώτῃ ὁρμῇ καταχώσειν αὐχοῦμεν. ὑμᾶς δὲ οὐ τῶν δουλωσο-
μένων τῇ γνώμῃ ἕπεσθαι ἄξιον, ἀλλὰ τῶν ἐς κίνδυνον πολέμου
εὐνοίᾳ τῇ ἐς Γότθους καθισταμένων. ἄλλως τε, ἢν μὲν τὰ ὅπλα
ξὺν ἡμῖν ἕλοισθε, οὐδεμία λελείψεται Ῥωμαίοις ἐλπὶς ἀμφοτέ- 5
ροις τοῖς στρατεύμασιν ἐς χεῖρας ἰέναι, ἀλλ' αὐτόθεν πόνῳ οὐ-
δενὶ ἀναδησόμεθα τὸ τοῦ πολέμου κράτος. ἢν δέ γε ξὺν Ῥω-
μαίοις τετάξονται Γότθοι, οὐδ' ὡς τῷ τῶν Φράγγων ἔθνει ἀν-
θέξουσιν (οὐ γὰρ ἐξ ἀντιπάλου τῆς δυνάμεως ὁ ἀγὼν ἔσται),
B ἀλλὰ περιέσται ὑμῖν τὸ ξὺν τοῖς πάντων πολεμιωτάτοις ἡσσῆ- 10
σθαι. ἐς προὔπτον δὲ κακὸν ἰέναι, παρὸν κινδύνου ἐκτὸς σώζε-
σθαι, πολλὴ ἄνοια. ὅλως δὲ ἄπιστον πᾶσι βαρβάροις τὸ Ῥω-
μαίων καθέστηκε γένος, ἐπεὶ καὶ φύσει πολέμιόν ἐστιν. ἡμεῖς
μὲν οὖν ξυνάρξομέν τε βουλομένοις ὑμῖν Ἰταλίας ἀπάσης καὶ τὴν
χώραν διοικησόμεθα, ὅπῃ ἂν δοκῇ ὡς ἄριστα ἔχειν. σὲ δὲ καὶ 15
Γότθους ἐλέσθαι εἰκὸς ὅ τι ἂν ὑμῖν ξυνοίσειν μέλλῃ." Φράγγοι
μὲν τοσαῦτα εἶπον. παρελθόντες δὲ καὶ οἱ Βελισαρίου πρέσβεις
ἔλεξαν ὧδε ,,Ὡς μὲν οὐδὲν ἂν τῷ βασιλέως στρατῷ λυμανεῖται
τὸ τῶν Γερμανῶν πλῆθος, ὅπερ οὗτοι δεδίττεσθαι ὑμᾶς ἀξιοῦσι,
C τί ἂν τις ἐν ὑμῖν μακρολογοίη, οἷς γε διὰ μακρὰν ἐμπειρίαν ἅπα- 20
σαν ἐξεπίστασθαι τὴν τοῦ πολέμου ῥοπὴν ξυμβαίνει, καὶ ὡς ἥκι-
στα ἀρετὴ ἀνθρώπων ὁμίλῳ φιλεῖ ἐλασσοῦσθαι; ἐῶμεν γὰρ λέ-
γειν ὅτι καὶ πάντων μάλιστα βασιλεῖ πάρεστι πλήθει στρατιωτῶν

19. ὅπερ] ὥπερ L et Pm.

ciamus vere, primo illos congressu Romanum omnem exercitum securibus obruturos. Vos autem decet sententiam sequi, non eorum, qui vobis iugum servitutis imponent, sed qui in dimicationem veniunt, summo in Gothos adducti studio. Accedit in primis, quod si nobiscum arma coperitis, Romanis nulla spes reliqua futura est utrumque exercitum sustinendi, sed eos illico labore nullo debellabimus. Sin Gothi cum Romanis vires sociabunt, nec sic quidem Francorum genti resistent (iniquus enim congressus erit) at certo tandem cum natione vobis inimicissima profligabimini. Extremae autem dementiae est in exitium manifestum ruere, cum absque ullo belli discrimine offertur salus. Praeterea Romana gens plane infida est Barbaris, odio, a natura insito, intercedente. Caeterum universae Italiae vobiscum, si vultis, imperabimus, et regiminis formam, quae videbitur optima, sequemur. Iam tuum est et Gothorum amplecti quae vobis conducent. Haec Franci. Tum progressi Belisarii Oratores, haec fere locuti sunt. *Germanorum multitudinem, quam isti vobis ad terrorem ostentant, Imperatoris copiis nihil nocituram, quid attinet demonstrare pluribus apud vos, qui in quo situm omne belli momentum sit, neque hominum ingenti numero virtutem cedere, longa iam experientia didicistis. Omittimus quod nemo aeque, ut Imperator, hostem potest superare militum nu-*

περιεῖναι τῶν πολεμίων. τὸ δὲ δὴ τούτων πιστὸν, ᾧ χρῆσθαι αὐχοῦσιν ἐς πάντας βαρβάρους, μετά γε Θορίγγους καὶ τὸ Βουργουντζιώνων ἔθνος, καὶ ἐς τοὺς ξυμμάχους ὑμᾶς παρὰ τῶν ἀνδρῶν ἐπιδέδεικται. ὡς ἡμεῖς γε ἡδέως ἂν Φράγγους ἐροίμεθα τίνα ποτὲ μέλλοντες ὀμεῖσθαι θεὸν τὸ τῆς πίστεως ὑμῖν ἐχυρὸν ἰσχυρίζονται δώσειν. τὸν γὰρ ἤδη αὐτοῖς ὁμωμοσμένον ὅντινα τετιμήκασι τρόπον ἐπίστασθε ἀή που· οἵ γε παρ' ὑμῶν ἐπὶ ξυμμαχίᾳ κεκομισμένοι οὐχ ὅσον ὑμῖν τοῦ κινδύνου ξυνάρασθαι οὐδαμῶς ἔγνωσαν, ἀλλὰ καὶ ὅπλα οὕτως ἀναίδην καθ' ὑμῶν εἵλοντο, εἴ τις ἐν ὑμῖν τῶν πρὸς τῷ Πάδῳ ξυμπεπτωκότων διασώζεται λόγος. καὶ τί δεῖ τὰ φθάσαντα λέγοντας ἐλέγχειν τὸ τῶν Φράγγων ἀσέβημα, τῆς παρούσης αὐτῶν πρεσβείας οὐδὲν ἂν γένηται μιαρώτερον. ὥσπερ γὰρ τῶν σφίσιν ἐπιλελησμένοι ὡμολογημένων τε καὶ ταῖς ξυνθήκαις ὁμωμοσμένων κρείττω νῦν τῶν πάντων τὴν παρ' αὐτῶν βοήθειαν ἐσομένην ὑμῖν ἀξιοῦσιν. ἢν δὲ καὶ τούτου παρ' ὑμῶν τύχωσιν, ὥστε ξυνελθεῖν Γότθους τῷ Φράγγων στρατῷ, εἰς τί ποτε αὐτοῖς τελευτήσει τὸ τῶν χρημάτων ἀκόρεστον εἰκός γε λογίζεσθαι." V 104

Τοσαῦτα μὲν καὶ οἱ Βελισαρίου πρέσβεις ἔλεξαν. Οὐϊτιγις δὲ ξὺν Γότθων τοῖς ἀρίστοις πολλὰ κοινολογησάμενος τάς τε πρὸς βασιλέα ξυνθήκας εἵλετο καὶ ἀπράκτους ἀπεπέμψατο Φράγ-

1. ᾧ χρῆσθαι αὐχοῦσιν P ex Vat. καὶ ἡμῶν εἰδότων HL. 2. Βουργουντζιώνων] Βουγουντζιόνων P. 5. ἐχυρὸν Pm. Vulgo ἰσχυρὸν. 12. τῆς παρούσης αὐτῶν πρεσβείας] παρούσης αὐτῶν τῆς πρεσβείας, ἧς? 13. γένηται] Immo γένοιτο. 14. κρείττω νῦν τῶν πάντων τὴν HL. κοινωνεῖν τῶν πάντων διὰ τὴν P ex Maltreti coniectura.

mero. Fidem autem, quam isti Barbaris omnibus servare se gloriantur, post Thoringos et Burgundiones, in vos quoque socios suos quam certa sit, declaverunt. Libenter sane rogaverimus Francos, quo tandem iurato numine, certum fidei pignus vobis daturi sint? Si qua enim apud vos rerum fama adhuc manet, quae ad Padum contigerunt, scitis profecto, quo Deum modo, per quem iam proxime iuraverant, venerentur, qui a vobis in societatem assumpti, non modo recusarint arma vobis iungere, sed in vos etiam tam impudenter verterunt. Verum quid opus est praeterita repetere, ut Francorum impietas pateat, cum hac ipsa legatione scelestius nihil fieri queat? Perinde enim ac si penitus e memoria excidissent pacta, quae iureiurando firmarunt, iam volunt ut futurum auxilium remuneremini rerum omnium vestrarum communione. Si vero a vobis id consequantur, ut Gothi cum Francorum exercitu coeant, videre vestrum est, quo demum evasura sit eorum cupiditas inexplebilis.

Secundum hanc Legatorum Belisarii orationem, Vitigis, longa cum Gotthorum optimatibus habita consultatione, cum Imperatore pacisci maluit, et Francos inanes remisit. Ex eo die Romani et Gothi inter

P 457 γους. καὶ τὸ λοιπὸν Γότθοι μὲν καὶ Ῥωμαῖοι πρὸς ἀλλήλους ἐπεκηρυκεύοντο ἤδη, Βελισάριος δὲ οὐδέν τι ἧσσον ἐφύλασσε τὸ μὴ τοῖς βαρβάροις τὰ ἐπιτήδεια ἐσκομίζεσθαι. καὶ Βιτάλιον μὲν ἐς Βενετίους ἰόντα τὰ πλεῖστα ἐπαγαγέσθαι τῶν ἐκείνῃ χωρίων ἐκέλευεν, αὐτὸς δὲ Ἴλδίγερα ἐπιπέμψας τὸν Πάδον ἐφύλασσεν ἑκατέρωθεν, ὅπως τε οἱ βάρβαροι μᾶλλον ἀπορίᾳ τῶν ἀναγκαίων ἐνδώσουσι καὶ τὰς ξυνθήκας ποιήσωνται ἣ αὐτὸς βούλεται. καὶ ἐπεὶ σῖτον πολὺν ἐν δημοσίοις οἰκήμασιν ἔτι ἐντὸς Ῥαβέννης ἀποκεῖσθαι ἔγνω, τῶν τινα ταύτῃ ᾠκημένων ἀνέπεισε χρήμασι ταῦτα δὴ τὰ οἰκήματα ξὺν τῷ σίτῳ λάθρα ἐμπρῆσαι. φασὶ δὲ καὶ
B γνώμῃ Ματασούνθης, τῆς Οὐιτίγιδος γυναικὸς, ταῦτα ἀπολωλέναι. ἐπειδή τε ὁ σῖτος ἐκ τοῦ αἰφνιδίου ἐκέκαυτο, οἱ μέν τινες ἐξ ἐπιβουλῆς γεγενῆσθαι τὸ ἔργον ὑπετόπαζον, οἱ δὲ κεραυνῷ τὸν χῶρον βεβλῆσθαι ὑπώπτευον. ἑκάτερα δὲ λογιζόμενοι οἱ Γότθοι τε καὶ Οὐίτιγις ἐς ἀμηχανίαν ἔτι μᾶλλον ἐνέπιπτον, οὐδὲ σφίσιν αὐτοῖς πιστεύειν τὸ λοιπὸν ἔχοντες καὶ πρὸς τοῦ θεοῦ πολεμεῖσθαι οἰόμενοι. ταῦτα μὲν ταύτῃ ἐπράσσετο.

Ἐν δὲ Ἄλπεσιν, αἳ Γάλλους τε καὶ Λιγούρους διορίζουσιν, ὥσπερ Ἄλπεις Κουτίας καλοῦσι Ῥωμαῖοι, φρούρια συχνὰ ξυμβαίνει εἶναι. οὗ δὴ Γότθοι ἐκ παλαιοῦ πολλοί τε καὶ ἄριστοι,
C ξύν τε γυναιξὶ καὶ παισὶ τοῖς αὐτῶν ᾠκημένοι, φυλακὴν εἶχον,

4. *Βενετίους*] βενετίας L a m. sec. *ibid.* *τὰ πλεῖστα*] ὡς πλεῖστα Suidas s. v. *ἐπαγαγέσθαι*. 11. *Ματασούνθης*] ἀμαλασούνθης HL. 18. *Λιγούρους*] In *αἰλούρους* corruptum ap. Suidam s. v. Ἄλπεις. 19. *Κουτίας* Pm. Vulgo *Σκουτίας*. σ deletum in L a pr. m.

se Legatos de pace missitarunt, nihilo interea segnius invigilante Belisario, ne Barbari commeatus acciperent. Ac Vitalium quidem in agrum ire Venetum, et pleraque loca asciscere sibi iussit. Ipse misso in ripam ulteriorem Ildigere, utrinque Padum obsedit, ut Barbari, magis magisque remissis cibariorum inopia animis, ad eas conditiones, quas vellet, acciderent. Monitus vero magnum frumenti numerum Ravennae adhuc in horreis servari publicis, civium quemdam pecunia induxit, ut igni clam iniecto, horrea cum frumento corrumperet: quod de sententia quoque Matasunthae, uxoris Vitigis, factum perhibent. Repentinum illud frumenti incendium alii occulta fraude, alii ictu fulminis contigisse existimabant. Utraque suspicio Gotthos ac Vitigin in maiores redigebat angustias, cum nec sibi fidere iam ipsi possent, seque a Deo oppugnari crederent. Haec ibi gesta sunt.

In Alpibus vero, quae Gallos a Liguribus discludunt, et a Romanis Alpes Cottiae appellantur, multa sunt castella, quae Gotthi, magno numero, viri fortes, cum uxoribus ac liberis incolebant, ac praesidiis tenebant. Audiens Belisarius meditari illos deditionem, unum e suis, cui ne-

οὕσπερ ἐπεὶ οἱ βούλεσθαι Βελισάριος προσχωρεῖν ἤκουσε, τῶν οἱ ἑπομένων τινὰ, Θωμᾶν ὄνομα, ξὺν ὀλίγοις τισὶ παρ' αὐτοὺς ἔπεμψεν, ἐφ' ᾧ δόντες τὰ πιστὰ παραστήσονται ὁμολογίᾳ τοὺς ταύτῃ βαρβάρους. καὶ αὐτοὺς ἐς τὰς Ἄλπεις ἀφικομένους Σίσι-
5γις, ὃς τῶν ἐνταῦθα φυλακτηρίων ἦρχεν, ἐνὶ τῶν φρουρίων δεξάμενος, αὐτός τε προσεχώρησε καὶ τῶν ἄλλων ἑκάστους εἰς τοῦτο ἦγεν. ἐν τούτῳ δὲ Οὐραΐας τετρακισχιλίους Λιγούρους τε καὶ τῶν ἐν ταῖς Ἄλπεσι φρουρίων ἀπολεξάμενος, ἐπὶ Ῥάβενναν ὡς βοηθήσων κατὰ τάχος ἦει. οἵπερ ἐπειδὴ τὰ Σισίγιδι πεπρα-
10γμένα ἐπύθοντο, ἀμφὶ τοῖς οἰκείοις δεδιότες, ἐνταῦθα πρῶτον ἠξίουν ἰέναι. διὸ δὴ Οὐραΐας παντὶ τῷ στρατῷ ἐς τὰς Ἄλπεις D τὰς Κουτίας ἦλθε καὶ τὸν Σίσιγιν ξὺν τοῖς ἀμφὶ τὸν Θωμᾶν ἐπολιόρκει. ταῦτα Ἰωάννης τε, ὁ Βιταλιανοῦ ἀδελφιδοῦς, καὶ Μαρτῖνος πυθόμενοι (ἀγχοτάτω γὰρ Πάδου τοῦ ποταμοῦ ὄντες ἐτύγ-
15χανον) κατὰ τάχος ἐβοήθουν παντὶ τῷ στρατῷ καὶ τῶν ἐν ταῖς Ἄλπεσι φρουρίων τισὶν ἐξ ἐπιδρομῆς ἐπεισπεσόντες εἷλον, καὶ τοὺς ἐνταῦθα ᾠκημένους ἠνδραπόδισαν. ἐν τοῖς παῖδάς τε συχνοὺς καὶ γυναῖκας τῶν ὑπὸ τῷ Οὐραΐᾳ στρατευομένων ξυνέπεσειν εἶναι. πλεῖστοι γὰρ αὐτῶν ἐκ τούτων δὴ τῶν φρουρίων ὁρ-
20μώμενοι εἵποντο. οἵπερ, ἐπεὶ ἁλῶναι τὰ σφέτερα αὐτῶν ἔμα- P 458
θον, ἀποταξάμενοι τοῦ Γότθων στρατοπέδου ἐκ τοῦ αἰφνιδίου, τοῖς ἀμφὶ τῷ Ἰωάννῃ προσχωρεῖν ἔγνωσαν, καὶ ἀπ' αὐτοῦ Οὐραΐας οὔτε τι ἐνταῦθα ἀνύτειν οὔτε τοῖς ἐν Ῥαβέννῃ κινδυνεύουσι

11. ἰέναι] εἶναι L. 12. Κουτίας] Vulgo Σκουτίας. 23. ἀνύτειν] ἀνύττειν P.

men Thomae, eo misit cum paucis, ut fide data, regionis illius Barbaros in potestatem pactione susciperet. Cum ad Alpes pervenissent, Sisigis, qui illius tractus praesidiis imperabat, in quoddam e castellis, quae dixi, ipsos accepit, et cum se ipse dedidit, tum caeteros perpulit, ut idem facerent. Hoc interim spatio Uraias Ravennae succurrere properabat cum virorum quatuor millibus, quos e Liguria Alpiumque castellis delegerat. Hi, cognita Sisigis defectione, timentes suis relictis domi, eo primum sese conferre voluerunt. Quamobrem Uraias cum omni exercitu ad Alpes Cottias venit, et Sisigin ac Thomam obsidet. Cuius rei nuntio exciti, qui proxime Padum erant, Ioannes Vitaliani ex sorore nepos, atque Martinus, cum omnibus copiis subsidio currunt. Alpina castella aliquot cursim aggressi, primo impetu occupant, et captivos abducunt eorum incolas. Quo in numero multi erant illorum liberi et uxores, qui sub Uraia militabant, et quorum plerique ex eorum praesidiis castellorum deducti, ipsum sequebantur. Hi sua teneri capta simul ut audierunt, a Gotthorum exercitu desciverunt ad Ioannem. Quo factum ut Uraias neque ibi quidquam proficere, nec Gotthis Ravennae periclitantibus subvenire po-

Γότθοις βοηθεῖν ἴσχυσεν, ἀλλὰ ἄπρακτος ἐς Λιγουρίαν ξὺν ὀλίγοις ἐλθὼν ἡσυχῇ ἔμενε. καὶ Βελισάριος κατ' ἐξουσίαν Οὐίτιγίν
H 254 τε καὶ Γότθων τοὺς δοκίμους ἐν Ῥαβέννῃ καθεῖρξεν.
B
V 105 κθ'. Τότε δὴ καὶ πρέσβεις ἐκ βασιλέως ἀφίκοντο, Δομενῖκός τε καὶ Μαξιμῖνος, ἐκ βουλῆς ἄμφω, ἐφ' ᾧ τὴν εἰρήνην κατὰ τάδε ποιήσονται. Οὐίτιγιν μὲν πλούτου τὸ ἥμισυ τοῦ βασιλικοῦ φέρεσθαι, χώρας τε ἄρχειν ἣ ἐκτὸς Πάδου ποταμοῦ ἐστι· τῶν δὲ δὴ χρημάτων τὸ ἥμισυ βασιλέως εἶναι, καὶ αὐτῷ ὅσα ἐντὸς Πάδου ποταμοῦ ὑπήκοα ἐς ἀπαγωγὴν φόρου ποιήσασθαι. Βελισαρίῳ τε οἱ πρέσβεις τὰ βασιλέως γράμματα δείξαντες ἐς Ῥάβενναν ἐκομίσθησαν. μαθόντες δὲ Γότθοι καὶ Οὐίτιγις ἐφ'
C ᾧ ἥκοιεν, ἄσμενοι κατὰ ταὐτὰ ὡμολόγησαν σπονδὰς θήσεσθαι. ἅπερ ἀκούσας ὁ Βελισάριος ἤσχαλλεν, ἐν συμφορᾷ μεγάλῃ ποιούμενος, εἰ μή τις αὐτὸν ἐφῇ, παρὸν οὐδενὶ πόνῳ, τό τε κράτος τοῦ πολέμου παντὸς φέρεσθαι καὶ δορυάλωτον Οὐίτιγιν ἐς Βυζάντιον ἀγαγεῖν. ἐπειδή τε οἱ πρέσβεις ἐκ Ῥαβέννης πρὸς αὐτὸν ἦκον-το, γράμμασιν οἰκείοις ἐπιρρῶσαι τὰς ξυνθήκας ἥκιστα ἤθελεν. ὅπερ οἱ Γότθοι αἰσθόμενοι τότε δολερῶς τὴν εἰρήνην ὑφίσι Ῥωμαίους προτείνεσθαι ὑπετόπαζον, καὶ ὑποψία ἐς αὐτοὺς μεγάλη ἐχρῶντο, ἄντικρύς τε ἤδη ἔφασκον ἄνευ τῶν Βελισαρίου
D γραμμάτων τε καὶ ὅρκων οὔποτε ξυνθήκας πρὸς αὐτοὺς θήσεσθαι. ἀκούσας δὲ Βελισάριος λοιδορεῖσθαί οἱ τῶν ἀρχόντων τι-

8. αὐτῷ Pm. αὐτῶν P. 13. ἤσχαλλεν Suidas s. v. παρόν. Vulgo ἤσχαλεν. 15. δορυάλωτον] δορυάλωτον P.

tuerit: sed cum parva manu reversus in Liguriam re infecta, ibi subsederit. At Belisarius arbitratu suo Vitigin et Gotthicam nobilitatem, Ravennae arctius in dies premebat.

29. Tunc temporis affuere Imperatoris Legati, Domicus et Maximinus, Senatores ambo; his pacem facturi conditionibus: ut Vitigis, regiae gazae retenta parte dimidia, in Transpadanis oris regnaret: Imperator alteram gazae partem et ab omnibus Cispadanis annuum vectigal acciperet. Legati, communicatis cum Belisario Augusti literis, Ravennam ivere: quibus Gotthi ac Vitigis, cognito eorum adventus consilio, lubentissime promiserunt, pacem se ilsdem conditionibus pacturos. Quod ubi rescîit Belisarius, dolore exarsit, gravissime ferens, quod cum posset nullo negotio plenam adipisci victoriam et Byzantium Vitigin captivum deportare; neutrum sibi permitteretur. Postquam Ravenna ad ipsum Legati reversi sunt, pacta conventa suis confirmare literis noluit. Quo Gotthi cognito, in animum induxerunt, sibi a Romanis fraudulenter offerri pacem, deque illis pessime suspicari coeperunt. Quin etiam praecise negarunt se pactionem cum ipsis conflaturos, nisi illam Belisarius manu sua ac iureiurando sanciret. Admonitus Belisarius non deesse Duces qui eum

νὰς, ὡς δὴ ἐπιβουλεύων τοῖς βασιλέως πράγμασι τὸν πόλεμον καταλύειν οὐδαμῶς βούλοιτο, συγκαλέσας ἅπαντας, Δομνίκου τε καὶ Μαξιμίνου παρόντων, ἔλεξε τοιάδε „Τὴν μὲν τοῦ πολέμου τύχην ἐν τῷ ἀσφαλεῖ ὡς ἥκιστα ἑστάναι αὐτός τε οἶδα καὶ ὑμῶν ἕκαστον ταὐτά μοι γινώσκειν ὑπὲρ αὐτῆς οἶμαι. πολλοῖς τε ἐλπίδοξος, ὅτι δὴ ἐς αὐτοὺς ἀφῖξεται, οὖσα ἡ τῆς νίκης ἐλπὶς ἔσφηλε, καὶ τοῖς δεδυστυχηκέναι δοκοῦσι τῶν ἐχθρῶν ἤδη παρὰ P 459 δόξαν περιεῖναι ξυνέβη. διὸ δὴ χρῆναί φημι τοὺς ὑπὲρ τῆς εἰρήνης βουλευομένους οὐ τὴν ἀγαθὴν ἐλπίδα προβάλλεσθαι μόνον, ἐφ' ἑκάτερα δὲ τὴν ἀπόβασιν ἔσεσθαι σφίσιν ἐν νῷ ἔχοντας, οὕτω τὴν αἵρεσιν ποιεῖσθαι τῆς γνώμης. τούτων δὲ τοιούτων ὄντων, ὑμᾶς τε τοὺς ξυνάρχοντας καὶ τοίσδε τοὺς βασιλέως πρέσβεις ξυναγαγεῖν ἔδοξεν ἐμοιγε, ὅπως ἐν τῷ παρόντι κατ' ἐξουσίαν ἑλόμενοι ὅ τι ἂν βασιλεῖ ξυνοίσειν δοκῇ, μή τινα ὀπίσω τῶν πραγμάτων κατ' ἐμοῦ ποιήσησθε μέμψιν. τῶν γὰρ ἀτοπωτάτων ἂν εἴη σιωπᾶν μὲν ἕως ἔξεστιν ἑλέσθαι τὰ κρείσσω, σκοπου- B μένοις δὲ τὴν ἀπὸ τῆς τύχης ἀπόβασιν τὰς αἰτίας ποιεῖσθαι. ὅσα μὲν οὖν ἐς τὴν τοῦ πολέμου διάλυσιν βασιλεῖ τε δέδοκται καὶ Οὐιτιγιδι βουλομένῳ ἐστὶν, ἐπίστασθε δή που. εἰ δὲ καὶ ὑμῖν ξύμφορα ταῦτα εἶναι δοκεῖ, λεγέτω παρελθὼν ἕκαστος. εἰ μέντοι πᾶσάν τε Ἰταλίαν οἴεσθε Ῥωμαίοις ἀνασώσασθαι οἷοί τε εἶναι καὶ τῶν πολεμίων τὴν ἐπικράτησιν ποήσασθαι, οὐδὲν κωλύσει μηδὲν ὑποστειλαμένους εἰπεῖν." ταῦτα ἐπεὶ Βελισάριος εἶπεν,

1. τοῖς om. L.

convitio dicerent, ideo bellum nolle ipsum componere, quod in res Imperatoris aliquid strueret; convocatis omnibus, Domnico etiam ac Maximino praesentibus, sic verba fecit. *Instabilem esse scio fortunam belli, idque mihi quemque vestrum assentiri existimo. Ac multos quidem fefellit obiecta animo consequendae spes victoriae. Qui vero calamitate videbantur eversi funditus, superiores hostibus evaserunt. Quare eorum, qui de pace deliberant, partes esse aio, non ostentare solum spem bonam, sed in eligenda sententia cogitare ancipitem ac varium exitum. Quae cum ita sint, hunc vos Collegas meos, hosque Imperatoris Legatos cogendos censui, ut libere in praesentia capto consilio, quod Imperatori expedire videbitur, in me postmodum rei culpam non transferatis. Hominum enim absurdissimorum est, silere quandiu est potiora deligere, deinde autem, considerato exitu infelici, habere querimoniam. Quae sit Imperatoris de pace sententia, quod votum Vitigis, non ignoratis. Ea vero si vobis e re esse publica videntur, dicat quisque palam quod sentit. Rursus, si Italiam universam ad ditionem Romanam revocari, debellarique hostem a vobis posse iudicatis, nihil vetabit audacter eloqui.* His dictis a Belisario,

ἅπαντες ἄντικρυς ἀπεφήναντο τὰ βασιλέως βουλεύματα βέλτιστα εἶναι, καὶ οὐδὲν αὐτοὺς οἵους τε ἔσεσθαι περαιτέρω τοὺς πολεμίους ἐργάζεσθαι. Βελισάριος δὲ ἡσθεὶς τῶν ἀρχόντων τῇ γνώμῃ γράμμασιν αὐτὴν ἠξίου δηλῶσαι, ὡς μή ποτε αὐτὴν ἀρνηC θεῖεν. οἱ δὲ καὶ γράψαντες ἐν βιβλιδίῳ ἐδήλουν οὐχ οἷοί τε εἶναι περιέσεσθαι τῷ πολέμῳ τῶν ἐναντίων.

Ταῦτα μὲν οὖν ἐν τῷ Ῥωμαίων στρατοπέδῳ ἐγίνετο. Γότθοι δὲ τῷ λιμῷ πιεζόμενοι οὐκέτι τε ἀντέχειν τῇ ταλαιπωρίᾳ δυνάμενοι Οὐϊτίγιδος μὲν τῇ ἀρχῇ ἤχθοντο, ἅτε ὡς μάλιστα δεδυστυχηκότος, βασιλεῖ δὲ προσχωρεῖν ὤκνουν, δεδιότες ἄλλο μὲν V 106 οὐδέν, ὅπως δὲ μὴ δοῦλοι βασιλέως γενόμενοι ἔκ τε Ἰταλίας ἀνίστασθαι ἀναγκάζοιντο καὶ ἐς Βυζάντιον ἰόντες ἐνταῦθα ἱδρύσασθαι. ἐν σφίσιν οὖν αὐτοῖς βουλευσάμενοι, εἴ τι ἐν Γότθοις καθαρὸν ἦν, βασιλέα τῆς ἑσπερίας Βελισάριον ἀνεπείθη ἔγνωσαν. D πέμψαντες δὲ παρ' αὐτὸν λάθρα ἐδέοντο ἐς τὴν βασιλείαν καθίστασθαι· ταύτῃ γὰρ αὐτῷ ἄσμενοι ἕψεσθαι ἰσχυρίζοντο. Βελισάριος δὲ καταστῆναι μὲν εἰς τὴν ἀρχὴν οὐχ ἑκόντος βασιλέως ἥκιστα ἤθελε. τῷ τε γὰρ τοῦ τυράννου ὀνόματι ὑπερφυῶς ἤχθετο καὶ ὅρκοις δεινοτάτοις πρὸς βασιλέως καταληφθεὶς πρότερον ἔτυχε, μήποτε αὐτοῦ περιόντος νεωτεριεῖν· ὅπως δὲ τὰ παρόντα ἄριστα διοικεῖσθαι, ἀσμένως ἔδοξε τοὺς τῶν βαρβάρων λόγους ἐνδέχεσθαι. ὧν δὴ καὶ αἰσθόμενους ὁ Οὐϊτιγις ἔδεισέ τε καὶ

1. βέλτιστα] τὰ βέλτιστα L. 12. ἱδρύσασθαι] ἱδρύσεσθαι L. 20. διοικεῖσθαι Reg. et Hm. διοικήσεσθαι L. διοικήσασθαι P.

aperte omnes pronuntiarunt, optima esse Imperatoris consilia, nec se in hostes moliri quidquam amplius posse. Laetus ea Ducum sententia Belisarius, petit ut eam testentur scripto, ne postea negent. Illi se bello vincendis hostibus impares esse tabella declararunt.

Dum haec in Romanorum castris aguntur, interea Gotthi fame pressi fractique aerumnis, Vitigis, utpote infelicissimi, dominatum graviter ferebant; se tamen Imperatori permittere dubitabant, hoc unum veriti, ne postquam in potestatem eius venissent, ex Italia migrare, et Byzantium deportati, ibi manere cogerentur. Quicunque igitur inter Gotthos prudentia et auctoritate pollebant, de communi sententia constituerunt Imperium Occidentis decernere Belisario. Ad id submittunt, qui ipsum rogent, ut capessat Imperium: id si fecerit, libenter se ipsi accessuros affirmant. Sed ab eo longe aberat Belisarius, ut Imperium susciperet, invito Imperatore. Nam et a Tyranni nomine summopere abhorrebat, et antea Augusto sanctissime iuraverat, res novas nunquam se moliturum, eo superstite. Ut vero re nata scite uteretur, simulavit se auribus facile admittere quae proponerent Barbari. Haec ubi Vitigis intellexit, quam-

Γότθοις ὡς βέλτιστα βουλεύεσθαι εἰπὼν Βελισαρίῳ καὶ αὐτὸς λάθρα παρῆνει ἐς τὴν βασιλείαν ἰέναι· οὐδένα γὰρ οἱ ἐμποδὼν στήσεσθαι. καὶ τότε δὴ Βελισάριος αὖθις τούς τε βασιλέως πρέσβεις καὶ πάντας ξυγκαλέσας τοὺς ἄρχοντας ἠρώτα, εἰ αὐτοῖς P 460
λόγου πολλοῦ ἄξιον εἶναι δοκεῖ Γότθους ἅπαντας ξὺν Οὐϊτίγιδι δοριαλώτους ποιήσασθαι, καὶ χρήματα πάντα μὲν λήσασθαι, H 255
Ἰταλίαν δὲ Ῥωμαίοις ξύμπασαν ἀνασώσασθαι. οἱ δὲ ὑψηλόν τε καὶ ὑπέρογκον τοῦτο Ῥωμαίοις εὐτύχημα ἔφασκον ἔσεσθαι, καὶ πράσσειν αὐτὸν ὅπη ἂν δύνηταί τι ὡς τάχιστα ἠξίουν. αὐτίκα γοῦν παρά τε Οὐίτιγιν καὶ Γότθων τοὺς δοκίμους Βελισάριος τῶν ἐπιτηδείων τινὰς ἔπεμψε, κελεύων ἐπιτελῆ ποιήσειν ὅσα ὑπέσχοντο. οὐδὲ γὰρ αὐτοὺς ἐς ἄλλον τινὰ χρόνον τὴν πρᾶξιν ἀποτίθεσθαι ὃ λιμὸς ξυνεχώρει, ἀλλ' ἔτι μᾶλλον ἐγκείμενος ἐς ταύτην ἐνῆγε. διὸ καὶ πρέσβεις ἐς τὸ Ῥωμαίων στρατόπεδον στέλ- B
λουσιν αὖθις, ἄλλο μέν τι οὐδὲν ἐς τὸ πλῆθος ἐροῦντας, ἐν παραβύστῳ δὲ πρὸς Βελισαρίου τὰ πιστὰ ληψομένους, ὡς ἄχαρί τε αὐτῶν ἐργάσεται εἰς οὐδένα καὶ βασιλεὺς τὸ λοιπὸν Ἰταλιωτῶν τε αὐτὸς καὶ Γότθων εἴη, οὕτω τε ξὺν αὐτῷ καὶ τῷ Ῥωμαίων στρατῷ ἐς Ῥάβενναν ἥξοντας. Βελισάριος δὲ τὰ μὲν ἄλλα ὤμοσεν ἅπαντα, καθάπερ οἱ πρέσβεις ἠξίουν, ὑπὲρ δὲ τῆς βασιλείας αὐτῷ Οὐϊτίγιδι καὶ Γότθων τοῖς ἄρχουσιν ὀμεῖσθαι ἔφη. καὶ αὐτὸν οἱ πρέσβεις οὐκ ἄν ποτε ἀποσείεσθαι τὴν βασιλείαν ὀλόμενοι, ἀλλ' ἐφίεσθαι αὐτῆς πάντων μάλιστα, αὐτίκα δὴ μάλα ἐς

1. βουλεύεσθαι L. βουλεύεσθε HP. 5. Οὐϊτίγιδι δοριαλώτους] Οὐϊτιγι δορυαλώτους P. 17. ἐργάσεται] Vulgo ἐργάσηται.

vis timeret, Gotthorum tamen laudato consilio, clam et ipse Belisario institit, ut invaderet Imperium, asserens neminem obstiturum. Tum Belisarius, convocatis iterum Imperatoris Legatis cunctisque Ducibus, ex ipsis quaesiit, nonne magnum ac valde memorabile esset, Gotthos omnes ipsumque Vitigin bello capere, opibus omnibus potiri, ac totam Italiam Romanis recuperare? Illi ad Romanam felicitatem cumulum eo facto insignem ingentemque accessurum fatentur, et rogant ut quamprimum rem, si qua possit via, expediat. Ergo mox Belisarius quosdam e familiaribus suis ad Vitigin et Gotthorum Proceres destinat, mandatque ut promissa efficiant. Cum autem fames rem in aliud differri tempus non sineret, sed ingravescens ad id stimularet; Legatos ad Rom. castra iterum mittunt, iussos nihil multitudini aperire, sed remotis arbitris fidem accipere a Belisario, eum nihil mali ipsorum cuiquam irrogaturum, et Italorum Gotthorumque in posterum futurum Regem: his ita compositis, Ravennam cum ipso ac Romano exercitu venire. Caetera Belisarius omnino ita, ut Legati postulabant, se praestiturum iuravit: quod ad regnum attinebat, se Vitigi ipsi et Gotthorum Proceribus iusiurandum daturum dixit. Hic Oratores ipsum rati nunquam repudiaturum imperium, at id maxime

C Ῥάβενναν ξὺν αὐτοῖς ἐκέλευον ἰέναι. καὶ τότε δὴ Βελισάριος Βέσσαν τε καὶ Ἰωάννην καὶ Ναρσῆν καὶ Ἀράτιον (τούτους γὰρ οἱ ὡς μάλιστα δύσνους εἶναι ὑπώπτευεν) ἄλλον ἀλλαχόσε ξὺν τοῖς ἑπομένοις ἐκέλευεν ἰέναι, τά τε ὀναγκαῖα σφίσι πορίζεσθαι· αὐτῷ γὰρ οὐκέτι ἔφασκε δυνατὰ εἶναι ἐς τοῦτο δὴ τὸ χωρίον παντὶ τῷ στρατῷ τὰ ἐπιτήδεια ἐσκομίζεσθαι. καὶ οἱ μὲν κατὰ ταῦτα ἐποίουν, ξὺν Ἀθανασίῳ τῷ τῶν πραιτωρίων ὑπάρχῳ, ἄρτι ἥκοντι ἐκ Βυζαντίου, αὐτὸς δὲ τῷ ἄλλῳ στρατεύματι ξὺν D Γότθων τοῖς πρέσβεσιν ἐς Ῥάβενναν ἦει. καὶ νηῶν στόλον ἐμπλησάμενος σίτου καὶ τῶν ἄλλων ἐπιτηδείων ἐκέλευε κατὰ τάχος ἐς Κλάσσες τὸν λιμένα ἐσπλεῖν. οὕτω γὰρ Ῥωμαῖοι τὸ Ῥαβέννης προάστειον καλοῦσιν, οὗ ὁ λιμήν ἐστιν. ἐμοὶ δὲ τότε διασκοπουμένῳ τὴν ἐς Ῥάβενναν εἴσοδον τοῦ Ῥωμαίων στρατοῦ ἔννοιά τις ἐγένετο, ἀνθρώπων μὲν ἢ ἀνδρείᾳ ἢ πλήθει ἢ τῇ ἄλλῃ ἀρετῇ ὡς ἥκιστα περαίνεσθαι τὰ πρασσόμενα, εἶναι δέ τι δαιμόνιον, ὅπερ αὐτῶν ἀεὶ στρέφον τὰς διανοίας ἐνταῦθα ἄγει οὗ δὴ κωλύμη τοῖς περαιουμένοις οὐδεμία ἔσται. τῶν γὰρ ἐναντίων οἱ Γότθοι πλήθει καὶ δυνάμει παρὰ πολὺ ὑπεραίροντες καὶ οὔτε μάχῃ διακριθέντες, ἀφ' οὗ ἐν Ῥαβέννῃ ἐγένοντο, οὔτε ἄλλῳ ὁτῳοῦν δεδουλωμένοι τὸ φρόνημα, δοριάλωτοί τε πρὸς τῶν P. 461 ἑλασσόνων ἐγένοντο καὶ τὸ τῆς δουλείας ὄνομα ἐν ὕβρει οὐδεμιᾷ

11. „ἐς Κλάσσες] Ita correxi beneficio Vaticani, quod in aliis exemplaribus sic scriptum est, ἑσκλας ἐς, et ἑσχλας.“ Malt. ἑσκλας ἐς H. ἑς κλας ἐς L. 20. δοριάλωτοι] δορυάλωτοι P. 21. καὶ τὸ — ἦγον om. L.

omnium concupiscere, hortantur ut secum e vestigio Ravennam intret. Tum Bellsarius Bessam, Ioannem, Narsetem et Aratium, quos sibi infensissimos putabat, alium alio cum turmis, quibus praeerant, dimittit ac sibi quemque commeatus providere iubet, negans efficere se posse, ut eo loci copiis omnibus res cibaria diutius suppetat. Hi dicto audientes, abiere cum Athanasio Praefecto Praetorii, qui Byzantio recens advenerat. Ipse cum reliquo exercitu et Gotthorum Legatis Ravennam petiit, et classem frumento aliisque rebus ad victum commodis onustam celeriter navigare iussit ad portum Classes. Ita Romani vocant Ravennae suburbia, ubi portus est. Mihi vero tunc temporis Romanum exercitum Ravennam ingredientem spectanti insidebat haec cogitatio, non generositate hominum, non multitudine, non animi vi procedere perficique inocpta: sed Numen esse, quod eorum mentes sic flectat, ut eo semper inducat, ubi nullus erit eventis obex. Cum enim Gotthi et numero et viribus longe essent hostibus superiores, neque armis decrevissent, ex quo Ravennam intraverant, nihilque appareret quod terrore distringeret eorum animos, ingum acceperunt a paucioribus, nec servitutis nomini infamiam

ἦγον. αἱ δὲ γυναῖκες (ἐτύγχανον γὰρ πρὸς τῶν ἀνδρῶν ἀκηκουῖαι μεγάλους τε τὰ σώματα καὶ ἀριθμῷ κρείσσους τοὺς πολεμίους εἶναι) τὰ πρόσωπα τῶν ἀνδρῶν πᾶσαι ἀπέπτυον, ἐπειδὴ ἅπαντας ἐπὶ τῆς πόλεως καθημένους εἶδον, καὶ ταῖς χερσὶν ἐν- V 107
δεικνύμεναι τοὺς νενικηκότας τὴν ἀνανδρίαν ὠνείδιζον. Βελισάριος δὲ Οὐίτιγιν μὲν οὐ ξὺν ἀτιμίᾳ ἐν φυλακῇ εἶχε, τῶν δὲ βαρβάρων ὅσοι ἐντὸς Πάδου ποταμοῦ ᾤκηντο, ἐς ἀγροὺς τοὺς σφετέρους ἰόντας, ἐκέλευεν αὐτῶν κατ' ἐξουσίαν ἐπιμελεῖσθαι. πο- B
λέμιον γάρ οἱ οὐδὲν ἐνταῦθα ὑπώπτευεν ἔσεσθαι, οὐδὲ Γότθους ποτὲ ταύτῃ ξυστήσεσθαι, ἐπεὶ πολλοὺς πρότερον τοῦ Ῥωμαίων στρατοῦ ἐς τὰ ἐκείνῃ χωρία καταστησάμενος ἔτυχεν. οἱ δὲ κατὰ τάχος ἄσμενοι ἥεσαν. οὕτω τε Ῥωμαῖοι ἐν τῷ ἀσφαλεῖ ἤδη ἐγίνοντο. οὐ γὰρ ἔτι Γότθων ἔν γε Ῥαβέννῃ πλήθει ἠσσῶντο. μετὰ δὲ τὰ ἐν παλατίῳ χρήματα ἔλαβεν, ἅπερ διακομίζειν βασιλεῖ ἔμελλε. Γότθων γὰρ οὐδένα οὔτε αὐτὸς ἐλήισατο οὔτε ἄλλῳ τῳ C
ληίσασθαι ξυνεχώρησεν, ἀλλ' αὐτῶν ἕκαστος τὴν οὐσίαν κατὰ τὰ ξυγκείμενα διεσώσατο. ἐπεὶ δὲ τῶν βαρβάρων ὅσοι ἐς τῶν χωρίων τὰ ἐχυρώτατα φυλακὴν εἶχον Ῥάβεννάν τε καὶ Οὐίτιγιν πρὸς Ῥωμαίων ἔχεσθαι ἤκουσαν, πρέσβεις παρὰ Βελισάριον ἔπεμπον, σφᾶς τε αὐτοὺς ὁμολογίᾳ παραδιδόναι καὶ ἅπερ ἐφύλασσον ἀξιοῦντες. καὶ ὃς, ἅπασι τὰ πιστὰ προθυμότατα παρασχόμενος, Ταρβίσιόν τε καὶ εἴ τι ἄλλο ἐν Βενετίαις ὀχύρωμα πα-

1. ἀκηκουῖαι (ἀκηκοέναι H) — τῶν ἀνδρῶν om. L. 5. ἀνανδρίαν] ἀνδρείαν HL: sed illud Hm. 15. οὔτε — οὔτε] Vulgo οὐδὲ — οὐδὲ. 22. Ταρβίσιον H. Θαρβίσιον P. ibid. εἴ τι om. HL. ibid. ἐν om. H.

incesse ullam duxerunt. Certe feminae, quae a maritis audierant Romanos mole corporis valere, et hostibus praestare numero, cunctae consputabant virorum ora, quos omnes in urbe sedere viderant, et victores monstrantes manibus ignaviam exprobrabant. Vitigin Belisarius in custodia habuit honesta ac liberali, et Barbaros, qui cis Padum fluvium habitabant, suos agros invisere et ad arbitrium colere iussit. Inde enim nihil hostile suspicabatur, neque ibi Gothos unquam coituros putabat; quod tractum illum non exigua parte Romani exercitus ante insedisset. Statim illi lubentibus animis vere: itaque Romani iam fuere in tuto; ut qui numero Gothis in urbe non cederent. Deinde opes Palatii cepit, Imperatori portandas. Gothorum neminem nec spoliavit ipse, neque a quoquam spoliari passus est: sed eorum quisque fortunas suas ex pacto et conventu servavit. Postquam Barbaris, qui in locis munitissimis praesidium agitabant, fama nuntiavit, Ravennam et Vitigin in potestate Romanorum esse, Legatos miserunt ad Belisarium, ut se, et quae obtinebant loca, ipsi dederent. Ille omnibus animo propensissimo data fide, Tarvisium et alia quaeque sibi subdidit Venetorum munimenta. Caeso-

ρεστήσατο. Καισήνη γὰρ ἐν Αἰμιλίᾳ μόνη ἐλέλειπτο, ἣν δὴ
D πρότερον ξὺν Ῥαβέννῃ παραστησάμενος ἔτυχε. καὶ Γότθοι μὲν
ἅπαντες, ὅσοι τούτων δὴ τῶν χωρίων ἦρχον, ἐπειδὴ τάχιστα τὰ
πιστὰ ἔλαβε, παρὰ Βελισάριον ἥκοντες αὐτοῦ ἔμενον· Ἱλδί-
βαδος δὲ, ἀνὴρ δόκιμος, ὅσπερ φρουρᾶς τῆς ἐν Βερώνῃ ἦρχε,
πρέσβεις μὲν ἐς Βελισάριον ἐφ' οἷσπερ οἱ ἄλλοι καὶ αὐτὸς ἔπεμ-
ψεν, ἐπεὶ καὶ τοὺς παῖδας τοὺς αὐτοῦ ἐν Ῥαβέννῃ εὑρὼν Βελι-
σάριος ἔσχεν, οὐ μὴν οὔτε ἐς Ῥάβενναν ἦλθεν οὔτε Βελισαρίῳ
ὑποχείριος γέγονε. τύχη γάρ τις αὐτῷ ξυνέβη, ἣν δὴ ἐγὼ αὐτίκα
δηλώσω.

P 462 H 256 λ'. Τινὲς τοῦ Ῥωμαίων στρατοῦ ἄρχοντες διέβαλλον αὐ-
τὸν βασιλεῖ, τυραννίδα οὐδαμόθεν αὐτῷ προσήκουσαν ἐπενεγ-
κόντες. βασιλεὺς δὲ οὐχ ὅσον ταῖς διαβολαῖς ταύταις ἀναπει-
σθεὶς, ἀλλ' ὅτι οἱ ὁ Μηδικὸς πόλεμος ἐνέκειτο ἤδη, Βελισάριον
μὲν ὡς τάχιστα μετεπέμψατο, ὅπως ἐπὶ Πέρσας στρατεύσειεν·
ἐπιμελεῖσθαι δὲ Ἰταλίας Βέσσαν τε καὶ Ἰωάννην ξὺν τοῖς ἄλλοις
ἐκέλευε, καὶ Κωνσταντιανὸν ἐς Ῥάβενναν ἐκ Δαλματίας ἐπίστελ-
B λεν ἰέναι. Γότθοι δὲ, οἳ Πάδου ποταμοῦ καὶ Ῥαβέννης ἐκτὸς
ἵδρυντο, ἀκούσαντες ὡς Βελισάριον βασιλεὺς μεταπέμψοιτο,
τὰ μὲν πρῶτα ἐν ἀλογίᾳ τὸ πρᾶγμα εἶχον, οὐκ ἄν ποτε οἰόμενοι
Βελισάριον τῆς ἐς Ἰουστινιανὸν πίστεως περὶ ἐλάσσονος τὴν Ἰτα-
λίας βασιλείαν ποιήσασθαι ἄν. ἐπεὶ δὲ αὐτοῦ πολλὴν τῆς ἀφό-
δου τὴν παρασκευὴν ἐπύθοντο εἶναι, ξυμφρονήσαντες, εἴ τι αὐ-

1. *Καισήνη*] καισίνη HL. 5. *Βερώνῃ*] Vulgo *Βερόνῃ*. 8. *οὔτε — οὔτε*] Vulgo *οὐδὲ — οὐδὲ*.

nam, quae in Aemilia restabat sola, prius, eodem nimirum tempore, quo Ravennam, subegerat. Ac Gotthi quidem omnes horum locorum Praefecti, statim post acceptam fidem, contulere se ad Belisarium, et cum eo mansere. Ildibadus vero, vir primarius, qui praesidio Veronensi praeerat, cum eadem qua caeteri ratione ad Belisarium Legatos ideo misisset, quia Belisarius ipsius filios, quos Ravennae invenerat, retinebat, Ravennam ipse non petiit, neque in Belisarii potestatem venit. Nam ei casus quidam incidit, de quo mox dicam.

30. Quidam exercitus Romani Duces occupari tyrannidem a Belisario, insigni mendacio criminati sunt apud Imperatorem. Hic vero, non eorum calumniis, sed urgente iam bello Persico impulsus, Belisarium quamprimum revocavit, ut in Persas exercitum duceret. Italiae curam Bessae, Ioanni, aliisque mandavit: Constantiano praecepit, ut Ravennam conferret se ex Dalmatia. Tum Gotthi, qui trans Padum fluv. et Ravennam habitabant, allato nuntio, revocari ab Augusto Belisarium, primo quidem id pro levissimo habuerunt, cum rati regnum Italiae nunquam posthabiturum promissae Augusto fidei. At ubi constitit, ipsum magno studio profectionem parare, quicunque in illis partibus adhuc restabant

τῶν καθαρὸν ἐνταῦθα ἔτι ἐλέλειπτο, ἐς Τίκινον παρὰ Οὐραΐαν τὸν Οὐϊτίγιδος ἀδελφιδοῦν ἦλθον, πολλά τε πρότερον ξὺν αὐτῷ κλαύσαντες ἔλεξαν τοιάδε „Οὐκ ἄλλος οὐδεὶς τῷ Γότθων γένει αἰτιώτατος τῶν παρόντων κακῶν ἢ σὺ γέγονας. ἡμεῖς γὰρ τὸν C θεῖον τὸν σὸν, οὕτως ἄνανδρόν τε καὶ ἀτυχῆ ἐξηγούμενον, πάλαι ἂν τῆς ἀρχῆς παρελύσαμεν, ὥσπερ καὶ Θευδάτον τὸν Θευδερίχου ἀδελφιδοῦν, εἰ μή σου τὸ δοκοῦν ὀραστήριον αἰσχυνόμενοι Οὐϊτίγιδι μὲν τὸ τῆς βασιλείας ὄνομα ξυγχωρεῖν ἔγνωμεν, ἔργῳ δὲ σοὶ μόνῳ παραδιδόναι τὴν Γότθων ἀρχήν. ἀλλὰ περιέστηκεν ἡ τότε δοκοῦσα ἡμῶν εὐγνωμοσύνη, νῦν ἄνοιά τε φαινομένη καὶ τῶνδε ἡμῖν τῶν ξυμφορῶν αἰτία. Γότθων γὰρ, ὥσπερ V 108 οἶσθα, ὦ φίλε Οὐραΐα, τεθνάναι μὲν ἐν τῷ πολέμῳ πλείστους τε καὶ ἀρίστους ξυμβαίνει, τῶν τε περιόντων, εἴ τι μὲν ἄριστον ἀπολέλειπται, ξύν τε Οὐϊτίγιδι καὶ χρήμασι πᾶσι Βελισάριος ἄγων D οἰχήσεται. ταὐτὸ δὲ τοῦτο μὴ οὐχὶ καὶ ὑμᾶς ὀλίγῳ ὕστερον πείσεσθαι, ὀλίγους τε καὶ λίαν οἰκτροὺς καθεστῶτας, οὐδεὶς ἂν ἀντείποι. τοιούτων τοίνυν περιεστηκότων δεινῶν, τὸ ξὺν εὐλαβείᾳ τεθνάναι μᾶλλον ξυνοίσει ἢ παῖδάς τε καὶ γυναῖκας πρὸς τῶν πολεμίων ἐς τῆς γῆς τὰς ἐσχατιὰς ἀγομένους ἰδεῖν. πράξομεν δέ τι, ὡς τὸ εἰκὸς, ἀρετῆς ἄξιον, ἦν γέ σε τῶν ἔργων ἀρχηγὸν ἕξομεν.“ Γότθοι μὲν τοσαῦτα εἶπον. Οὐραΐας δὲ ἀμεί-

1. *Τίκινον*] πιγκηνὸν HL. 5. *ἀτυχῆ* P. ἄτυχος HL. *lo. ἀτυχῆ* Hm. 7. *σου*] σε HL. 12. *οἶσθα* Scaliger. Legebatur *ἴσθα*. *ibid. τεθνάναι*] *τεθνᾶναι* L hic et infra. 16. *οἰκτροὺς* P ex Maltreti coniectura. Libri *ἐχθρούς*. 17. *ἀντείποι*] Vulgo *ἀντείπῃ*. Conf. p. 168, 12. *ibid. εὐλαβείᾳ*] *εὐλαβίᾳ* L.

praestantes gentis illius viri, uno consensu in urbem Ticinum Uraiam ex sorore nepotem Vitigis conveniunt, ac diu mistis cum ipso lacrimis, ita alloquuntur. *Calamitatis, qua modo premitur Gotthorum natio, nemo, praeter te, praecipua causa extitit. Nos enim avunculum tuum, inertem adeo et infelicem Principem, iamdiu regno, ut Theodatum sororis Theoderici filium, detrusissemus, nisi illum, quem prodis, strenuum animum reveriti, statuissemus, relicto Vitigi Regis nomine, potestatem ipsam in te unum transferre. Sed quae tunc videbatur esse benignitas, nunc eo recidit, ut pateat insaniam fuisse, exitiique nostri originem. Gotthorum enim, ut ipse scis, dilecte Uraia, plurimos eosque fortissimos vis Martis sustulit: ac si qui inter gentis reliquias egregii bellatores supersunt, eos cum Vitige et cunctis opibus hinc Belisarius avehet. Ac nemo est qui neget brevi tempus affore, quo ad exiguum numerum magnamque miseriam redacti, idem patiamur. Cum igitur eiusmodi mala nos circumveniant, honeste mori praestat quam liberos et uxores ab hostibus in extremum Orbem abductos cernere. Porro, si te coeptorum Ducem habebimus, procul dubio patrabimus aliquid viris fortibus dignum.* Haec Gotthi: quibus

P 463 βεται ὧδε ,,Ὡς μὲν δεῖ ἐν τοῖς παροῦσι δεινοῖς πρὸ τῆς δουλείας ἡμᾶς τὸν κίνδυνον αἱρεῖσθαι, ταῦτά με ὑμῖν γινώσκειν ξυμβαίνει. ἐς Γότθων δέ με τὴν βασιλείαν καθίστασθαι πυντάπασιν οἶμαι ἀξύμφορον εἶναι· πρῶτα μέν, ὅτι Οὐιτίγιδος ἀδελφιδοῦς ὤν, ἀνδρὸς οὕτως ἠτυχηκότος, εὐκαταφρόνητος ἂν τοῖς πολε- 5
μίοις εἶναι δοκοίην, ἐπεὶ ἐς τοὺς ξυγγενέας ἀεὶ τὰς τύχας παραπέμπεσθαι οἴονται ἄνθρωποι. ἔπειτα δὲ οὐδὲ ὅσια ποιεῖν δόξαιμι, ἐπιβατεύων τῆς τοῦ θείου ἀρχῆς, καὶ ἀπ' αὐτοῦ μοι ἀχθομένους ὑμῶν τοὺς πλείστους, ὡς τὸ εἰκὸς, ἔξω. ἐγὼ δέ 10
B φημι χρῆναι Γότθων ἄρχοντα ἐς κίνδυνον τόνδε Ἰλδίβαδον καθίστασθαι, ἄνδρα ἐς ἄκρον ἀρετῆς ἥκοντα καὶ διαφερόντως δραστήριον. ᾧ δὴ καὶ Θεῦδιν θεῖόν τε ὄντα τὸν τῶν Οὐισιγότθων ἡγούμενον ξυνάρασθαι τοῦ πολέμου διὰ τὸ ξυγγενὲς οὐδὲν ἀπεικός. διὸ δὴ καὶ τὸν ἀγῶνα ξὺν ἐλπίδι ἀμείνονι πρὸς τοὺς ἐναντίους διοίσομεν." 15

Τοσαῦτα καὶ Οὐραΐας εἰπὼν τὰ ξύμφορα Γότθοις ἅπασι λέγειν ἔδοξε. καὶ αὐτοῖς Ἰλδίβαδος ἐκ Βερώνης αὐτίκα μετάπεμπτος ἦλθεν. ᾧ δὴ τὴν πορφύραν περιβαλόντες, βασιλέα τε ἀνεῖπον καὶ σφίσιν εὖ θέσθαι τὰ παρόντα ἐδέοντο. ὧδε μὲν ἐς τὴν ἀρχὴν Ἰλδίβαδος κατέστη. ὀλίγῳ δὲ ὕστερον Γότθους ἅπαν- 20
C τας ξυγκαλέσας ἔλεξε τοιάδε ,,Ἅπαντας ὑμᾶς, ἄνδρες ξυστρατιῶται, πολλῶν ξενεπίσταμαι εἶναι πολέμων ἐμπείρους, ὥστε

6. δοκοίην] δοκοίη L. 17. Βερώνης] βερώνης H. ῥαβέννης L. *Verona* Pers. 22. εἶναι add. L.

Uraias ita respondit: *Equidem vobis illud assentior, in hac calamitate nobis aleam belli subeundam potius esse quam servitutem. Quod autem me Gotthorum Regem creare vultis, id a communi utilitate omnino alienum iudico. Nam primo, cum ex sorore sim nepos Vitigis, viri, qui rem adeo infeliciter gessit, hostibus essem despicatissimus: siquidem vulgaris opinio est, ad propinquos infortunia propagari. Deinde, si regnum occuparem avunculi, viderer scelus admittere; quod a me plerosque vestrum merito alienaret. Ego vero sic statuo, Gotthorum Regem in extremum istud discrimen deligendum esse Ildibadum, summa virum fortitudine et navitate singulari: qui, ut apparet, in belli societatem Theudin avunculum, Visigotthorum Regem, propinquitatis vinculo pertrahet. Itaque meliori sum spe hostem armis petemus.*

Hac oratione Uraiam ea suasisse, quae maxime expedirent, Gotthi omnes censuerunt. Protinus Verona accitus Ildibadus affuit: quem cum induissent purpura, Regem salutarunt, rogaruntque ut praesenti rerum suarum statui consuleret. Ita Rex factus Ildibadus, paulo post convocatis Gotthis omnibus, hoc fere modo disseruit. *Quotquot hic adestis, Commilitones, longo rei bellicae usu peritos esse scio. Proinde in arma*

οὔποτε εἰκότως εἰς τὸ πολεμεῖν ἐκ τοῦ εὐθέος χωρήσομεν. ἐμπειρία γὰρ λογισμὸν φέρουσα θρασύνεσθαι ἥκιστα εἴωθεν. ἄξιον δὲ ἀναμνησθέντας πάντας ἡμᾶς τῶν προτέρων ξυμπεπτωκότων, οὕτω ταχὺν ὑπὲρ τῶν παρόντων βουλεύσασθαι. λήθη γὰρ πολλοῖς τισιν ἐπιγενομένη τῶν ἤδη φθασάντων ἐπῆρε μὲν αὐτῶν οὐκ ἐν δέοντι ὑπὸ ἀμαθίας τὰς γνώμας, ἐν δὲ τοῖς μεγίστοις ἱκανῶς ἔσφηλεν. Οὐίτιγις τοίνυν οὐκ ἀκόντων γε οὐδὲ ἀντιτεινόντων ὑμῶν ἐς τῶν πολεμίων αὑτὸν καθῆκε τὰς χεῖρας, ἀλλ' ἀπειπόντες τότε πρὸς τὰ τῆς τύχης ἐναντιώματα ξυμφορώτατον ἡμῖν αὐτοῖς ἡγήσασθε εἶναι Βελισαρίῳ οἴκοι καθήμενοι ἐπακούειν μᾶλλον ἢ τοῖς σώμασι διακινδυνεύειν. ἀπαίρειν τε νῦν μέντοι αὐτὸν ἀκηκοότες καὶ ἐς Βυζάντιον στέλλεσθαι, νεωτέροις πράγμασιν ἐγχειρεῖν ἔγνωτε. καίτοι ἐχρῆν ἐκλογίζεσθαι ὑμῶν ἕκαστον οὐχ ἅπαντα τοῖς ἀνθρώποις ᾗ δοκεῖ γίνεσθαι, ἀλλὰ τῶν δεδογμένων παρὰ δόξαν πολλάκις ἡ τῶν πραγμάτων ἀπόβασις ἀπ' ἐναντίας ἐχώρησε. τύχη γὰρ καὶ μετάμελος τὰ πολλὰ κατορθοῦν ἐκ τοῦ ἀπροσδοκήτου πεφύκασιν. ὅπερ καὶ νῦν Βελισαρίῳ ξυμβήσεσθαι οὐδὲν ἀπεικός. ἄμεινον τοίνυν πυθέσθαι μὲν αὐτοῦ πρότερον, πειρᾶσθαι δὲ ἀντικαθιστάναι τὸν ἄνθρωπον ἐπὶ τὰ πρώην ξυγκείμενα, οὕτω τε ὑμᾶς ἐπὶ τῶν πράξεων τὰ δεύτερα ἰέναι." ταῦτα δὲ Ἰλδίβαδος εἰπὼν εὖ τε βεβουλεῦσθαι Γότθοις ἔδοξε καὶ D H. 257

1. „ἐμπειρία γὰρ λογισμὸν φέρουσα —] Imitatio verborum Thucydidis lib. 2. ὅτι ἡ μὲν ἀμαθία θράσος, ὁ δὲ λογισμὸς ὄκνον φέρει. Greg. Nat. etiam θράσος ἀμαθίας ἔκγονον dicit, et Lucian, epist. ad Nigrin. ὅτι ἡ ἀμαθία μὲν θρασεῖς, ὀκνηροὺς δὲ τὸ λελογισμένον ἀπεργάζεται." Horschel. 14. γίνεσθαι] γίνεται HL. Quo servato Hoeschelius ὅτι οὐχ — scribebat.

non feremur praecipites. Cum enim peritia mentem secum et consilium afferat, audaciam temerariam fugit. Debetis autem omnes, proposita vobis memoria priorum casuum, iam de instantibus deliberare. Multorum enim animos praeteritorum oblivio, cum minime oportebat, temere extulit, et in rebus maximi momenti vehementer fefellit. Ergo Vitigis se in manus hostium demisit, neque invitis vobis, nec renitentibus: sed animis tunc adversa debilitatis fortuna, utilius longe nobis fore duxistis, domi residere Belisario dare manus, quam corpora in praelii discrimen committere. Iam vero, cum auditis illum discedere et Byzantium proficisci, rebus novis studetis. At quemque vestrum reputare secum oportet, homines non omnia facere quae destinarunt: verum saepe fit praeter opinionem, ut consiliis contrarii sint rerum exitus. Fortuna enim ac poenitentia meliora suadere et improviso efficere solent: quod in praesenti accidere Belisario nihil vetat. Quare satius est cum ipso prius agere, et dare operam ut ad pristinam pactionem se referat: tum demum ad ea progredi quae secundo loco agenda sunt. Haec effato Ildibado, sententiam eius proba-

P 464 πρέσβεις ἐς Ῥάβενναν κατὰ τάχος ἔπεμψαν. οἳ δὴ Βελισαρίῳ ἐς ὄψιν ἐλθόντες τῶν τε ξυγκειμένων σφίσιν ὑπέμνησαν καὶ ἅτε διαλύτην τῶν ὡμολογημένων ἐκάκιζον, αὐθαίρετον μὲν ἀποκαλοῦντες ἀνδράποδον, ὀνειδίζοντες δέ, ὅτι δὴ οὐκ ἐρυθριᾷ πρὸ τῆς βασιλείας τὴν δουλείαν αἱρούμενος, ἄλλα τε τοιαῦτα πολλὰ λέγοντες ἐπὶ τὴν ἀρχὴν παρεκάλουν. οὕτω γὰρ καὶ Ἰλδίβαδον ἐθελούσιον ἀφίξεσθαι ἰσχυρίζοντο, τήν τε πορφυρίδα καταθησόμενον ἐς τοὺς αὐτοῦ πόδας καὶ βασιλέα Βελισάριον Γότθων τε
V 109 καὶ Ἰταλιωτῶν προσκυνήσοντα. οἱ μὲν πρέσβεις ταῦτα ἔλεγον, οἰόμενοι τὸν ἄνδρα τὸ τῆς βασιλείας ὄνομα καταδέχεσθαι οὐδὲν
B μελλήσεσθαι αὐτίκα δὴ μάλα. ὁ δὲ οὐ προσδοκωμένοις αὐτοῖς ἄντικρυς ἀπεῖπεν, ὡς οὐκ ἄν ποτε ζῶντος Ἰουστινιανοῦ βασιλέως Βελισάριος ἐπιβατεύοι τοῦ τῆς βασιλείας ὀνόματος. καὶ οἱ μὲν ταῦτα ἀκούσαντες ἀπηλλάσσοντό τε ὡς τάχιστα καὶ Ἰλδιβάδῳ τὸν πάντα λόγον ἀπήγγελλον. Βελισάριος δὲ τὴν ἐπὶ τὸ Βυζάντιον ἦει καὶ ὁ χειμὼν ἔληγε, καὶ τὸ πέμπτον ἔτος ἐτελεύτα τῷ πολέμῳ τῷδε, ὃν Προκόπιος ξυνέγραψεν.

13. ἐπιβατεύοι] ἐπιβατεύειν H. Correctum ab Hoesch. in annot.
15. ἀπήγγελλον] ἀπήγγελον L.

runt Gothi, et Ravennam Legatos propere miserunt: qui ad Belisarium introducti, in memoriam redigunt conventa, et violatam promissi fidem obiiciunt: ac voluntarium appellantes mancipium, et exprobrantes quod regno servitutem praeferre non erubesceret, aliaque id genus multa auribus ingerentes, hortantur ne dignitatem supremam respuat: affirmant venturum ultro Ildibadum, positaque ad pedes purpura, Regem Gothorum atque Italiae agniturum adoratione Belisarium. Haec dicebant Legati, minime dubitantes, quin Belisarius nulla interposita mora Regis nomen acciperet. At ille praeter eorum expectationem negavit plane usurpaturum Belisarium Regis nomen, quandiu Iustinianus Aug. viveret. Quo audito, digressi statim Legati, rem omnem Ildibado renuntiarunt. Belisarius Byzantium profectus est, et cum hieme annus quintus exiit huius belli, quod Procopius scripsit.

ΠΡΟΚΟΠΙΟΥ ΚΑΙΣΑΡΕΩΣ

P 465
V 110
H 258

ΙΣΤΟΡΙΩΝ ΤΗΣ Β' ΤΕΤΡΑΔΟΣ Η Γ'.

ΙΣΤΟΡΙΩΝ — Η Β'.] ΤΗΣ ΔΕΥΤΕΡΑΣ ΤΕΤΡΑΔΟΣ ΤΩΝ ΚΑΤ' ΑΥΤΟΝ ΙΣΤΟΡΙΩΝ ΒΙΒΛ. Γ'. P.

PROCOPII CAESARIENSIS

HISTORIARUM TETRADIS II.

LIBER III.

ARGUMENTUM.

EX EDITIONE MALTRETI.

Belisarius Vitigim et Gothos captivos Byzantium deportat. Non donatur triumpho. Eius laudes amplissimae. Ildibadus, Gothorum Rex, gentis reliquias in Italia colligit. Rem Romanam evertit avaritia Alexandri Logothetae, cui cognomen Forficulae inditum, quod nummos raderet. Ildibadus Vitalium acie vincit. Offensae uxoris precibus permotus, Uraiam tollit e medio. Deinde ipse in convivio interficitur. (Cap. 1.) *Rugi, gens Gothica, Eraricum Regem creant. Caeteri Gothi Totilam ad regnum invitant. Eraricus, dum per Legatos cum Iustiniano agit, occiditur. Totilas regnum capessit.* (2.) *Coëunt in consilium Romani Duces, ab Iustiniano reprehensi. Veronam accedunt Constantianus et Alexander. Urbs capitur proditione; mox amittitur, Ducum culpa.* (3.) *Artabazis ad Romanos, Totilae ad Gothos oratio. Artabazis cum Viliari inter geminas acies singulare certamen, utrique infaustum. Romanorum clades ac fuga turpissima.* (4.) *Gothi Florentiam obsident. Romanorum adventu cognito, obsidionem solvunt. Pugna inita, rumore falso Romani consternantur in fugam.* (5.) *Totilas castella, urbes ac provincias multas recipit. Neapolin obsidet. Iustinianus in Italiam Maximinum Praefectum Praetorio cum classe, et Demetrium mittit. Demetrius Neapolitanis auxilium parat. Demetrius alter, dum illum Neapolin ducit, fugata a Gothis classe, linguae intemperantiam luit.* (6.) *Maximini cunctatio. Romana classis tempestate iactata, a Gothis male accipitur. Totilas Demetrium captum suadere iubet Neapolitanis ut sese dedant.*

Eosdem ipse ad deditionem hortatur, ac tandem potitur urbe. (7.) *Totilae singularis erga victos benignitas. Neapolis muros diruit. Unum e Praetorianis suis, qui virgini stuprum intulerat, morte afficit, habita ea de re oratione gravissima.* (8.) *Ducum ac militum Romanorum improbitas. Italorum calamitas. Totilae ad Senatum Rom. epist. Sacerdotes Ariani Roma ejecti. Hydruntini castelli obsidio.* (9.) *In Italiam missus iterum Belisarius cum paucis admodum copiis, Hydruntem servat opera Valentini. Totilas Belisarii exercitum callide explorat. Tibur capit.* (10.) *Ravennae Belisarius Gothos ac milites Romanos alloquitur. Vitalius in Aemilia rem gerit: describitur ab Illyriis. Obsessum a Totila Auximum auxilia accipit. Riciles stolide audax occumbit. Egressi Auximo, quos subsidio miserat Belisarius, in Gotthorum insidias decidunt. Pisaurum a Belisario munitum Totilas nequicquam tentat. Gotthi Firmum et Asculum obsident.* (11.) *Auxilia Belisarius ab Imperatore per literas petit. Ioannes Germani filiam uxorem ducit. Totilas Firmum, Asculum, Spoletium et Asisium capit: frustra Perusiam tentat.* (12.) *Totilas Romam obsidet. In urbe fames. Placentiam quoque Gotthi obsident. In summas redactus angustias Belisarius Ravenna Epidamnum se confert: quo Imperator copias mittit. Narses Eunuchus Erulos sibi adjungit. Ab his fusi fugatique Sclaveni.* (13.) *Digressio ad Childubium impostorem. Sclavenorum et Antarum mores. Narses imposturam deprehendit.* (14.) *Valentinus et Phocas Gotthos Ramam obsidentes lacessunt, Bessa intra urbis muros residente. Ex insidiis intereunt. Missae Romam a Vigilio Pontifice naves frumento onustae, in potestatem Gotthorum veniunt. Totilas Valentinum Episc. mendacii insimulatum, manibus truncari jubet.* (15.) *Vigilius P. Byzantium accitur. Placentini se Gotthis dedunt. Pelagii Diaconi in Romanos benignitas. Ad Totilam mittitur, inducias petiturus. Utriusque orationes.* (16.) *Civium Romanorum ad Duces oratio, dictante fame: cujus rabida vis describitur.* (17.) *Epidamni de profectione deliberatur. Belisarius suo Hydruntem adventu Gotthos fugat. Totilas Tiberim munit. Ioannes Calabriam recipit. Tullianus Brutios et Lucanos eidem conciliat. Recimundum praelio vincit Ioannes: quem Belisarius in portu Romano expectat.* (18.) *Belisarii, Romae obsessae succurrere volentis, apparatus, profectio, et cum hostibus pugna. Isaacis temeritas. Turbatus nuntio Belisarius, incepto absistit. Ipsius morbus. Isaacis interitus.* (19.) *Bessae avaritia et in Romano praesidio excitando negligentia. Isauri portae Asinariae custodes proditionem cudunt. Totilas Romam capit. In templo D. Petri a Pelagio placatur. Extrema Senatorum inopia. Totilae in Rusticianam ac feminas Romanas omnes benignitas.* (20.) *Gotthos ad justitiae cultum hortatur Totilas. Senatui Romano ingratum animum exprobrat. A Pelagio mitigatur. Ad Justinianum Legatos de pace mittit cum epistola. Hos ad Belisarium Imperator remittit.* (21.) *Tullianus in Lucania Gotthos fundit. Belisarius per litteras Totilam revocat ab excindendae Romae consilio. Totilas Romam penitus vacuam relinquit. Ioannes Hydruntem se recipit. Tullianus deseritur.* (22.) *Martianus Spoletium Romanis recuperat. Belisarius Romam visit. Ioannes Tarentum occupat ac munit. Totilas Acherontide potitus, Ravennam petit.* (23.) *Romam recipit munitque Belisarius. Totilam fortissime repellit. Gotthi Regi suo temeritatem exprobrant. Tibur concedunt.* (24.) *Totilas ad obsidionem Perusiae hortatur exercitum, et res a se male gestas excusat.* (25.) *Capuae Romani et Gotthi inopinato confligunt. Gotthorum fuga. Ioannes Romanas matronas recipit. Totilas in Lucania Ioannem aggressus noctu imparatum fugat. Gilacii Armenii interitus.* (26.) *Imperator copias in Italiam mittit. Veri Erulorum Ducis temeritas. Valerianus* ccc. *e suis ad Ioannem mittit. Belisarius Tarentum proficiscitur. Scylaci nomen unde ductum. Cynocephali et Lycocra-*

nitae cur sic appellati. (27.) *Belisarius Tarentum navigans, tempestate cogitur Crotonem appellere. Re ab ipsius copiis initio bene, dein pessime gesta, trepide in Siciliam cum Antonina uxore traiicit.* (28.) *Sclaveni Illyricum vastant. Terrae motus. Insolita Nili exundatio. Cetus, cui nomen Porphyrio, capitur. Totilas Ruscianum castellum obsidet.* (29.) *Imperator pedites mittit. Valerianus Belisarium convenit. Antonina Byzantium proficiscitur. Theodorae Aug. obitus. Praesidii Rusciani cum Totila compositio. Conon Romae a militibus interficitur. Belisarius et Ioannes coeunt, ut Rusciano suppetias ferant. A Gotthis repelluntur. Nova consilia ineunt. Totilas Ruscianum cast. capit. Eius saevitia in Chalazarem. Antonina ab Imperatore reditum impetrat Belisarii.* (30.) *Prima coniurationis in Iustinianum Aug. semina. Artabanes ex Africa redux, procus Prciectae neptis Imperatoris, repudiatam uxorem recipere cogitur. Prciectae cum Ioanne Pompeii filio nuptiis graviter offenditur. Germanus Iustiniani nepos, haeres a fratre Boraide institutus, turbatur a patruo.* (31.) *Arsaces ab Imperatore poena affectus, in eum cum Artabane conspirat. Consilium aperit Chanarangi, et Iustino Germani filio. Iustinus rem enuntiat patri: hic Marcello. Chanarangis verba ex occulto Leontius excipit, et Marcello refert; Marcellus Imperatori indicat. Coniuratis in carcerem traditis, patet molitio. Iudicium. Periclitanti Germano Marcellus egregie patrocinatur. Poena sontibus decreta.* (32.) *Barbari Occidentis Imperium occupant. Possessionem Galliae, qua Gotthi cesserant, Iustinianus Francis asserit. Inter Barbaros soli Francorum Reges nummos aureos cum effigie sua cudunt. Gepaedum, Langobardorum Erulorumque res.* (33.) *Dissidio inter Gepaedes et Langobardos orto, utrique per Legatos Iustinianum in suas partes trahere conantur. Imperator auxilia Langobardis mittit. Barbari inter se pacem conficiunt.* (34.) *Indecorus Belisarii reditus ex Italia. Omen ipsius prosperitatis. Vigilius Papa Imperatorem ad recuperandam Italiam impellit. Iustinianus in controversiis de religione totus est. Res Langobardicae. Ilausi perfidia ac successus.* (35.) *Totilas Romam obsidet. Iustiniani oscitatio. Isauri Gotthis urbem produnt. Paulus cum suis in Adriani mole fortiter resistit. Totilas urbi captae parcit.* (36.) *Totilae Francorum Rex filiam dare uxorem renuit. Romam Totilas instaurat, ac regnum stabilit. Pacem negante Iustiniano, Centumcellas et castellum Rheginum obsidet. Tarentum et Ariminum capit. Iustinianus mutat consilium. Veri clades.* (37.) *Sclaveni Istrum Hebrumque traiiciunt: Romanas copias profligant: in Asbadem saeviunt: Toperum urbem expugnant. Ingens eorum crudelitas.* (38.) *Gotthi castellum Rheginum urgent et capiunt. Totilas Siciliam vastat. Imperator classi Liberium praeficit, deinde Artabanem. Dat bellum Germano. Germani animus et apparatus. Romanorum alacritas. Diogenes Centumcellas dedere renuit.* (39.) *Sclavenorum irruptio. Terret eos Germani nomen, victoris olim Antarum. Germani obitus et encomium. Imperator Ioannem et Iustinianum copiis praeficit. Liberius Syracusas appellit. Artabanes tempestate iactatur. Gotthi Sicilia excedunt, Spini suasu. Sclavenorum incursio. Romanorum clades, ac deinde victoria.* (40.)

α'. Οὕτω μὲν Βελισάριος, ἔτι τῶν πραγμάτων ἠωρημένων, ξύν τε Οὐιτίγιδι, καὶ Γότθων τοῖς δοκίμοις καὶ τοῖς Ἱλδιβάδου
P 466 παισὶ τὰ χρήματα πάντα ἐπαγόμενος ἐς Βυζάντιον ἦκε, καὶ οἳ Ἵλδιγέρ τε καὶ Βαλεριανὸς καὶ Μαρτῖνος ξὺν Ἡρωδιανῷ εἵποντο μόνοι. βασιλεὺς δὲ Ἰουστινιανὸς Οὐίτιγιν μὲν ξὺν τῇ γυναικὶ ἀσμένως εἶδε, καὶ τῶν βαρβάρων τὸν ὅμιλον κάλλους τε σώματος καὶ μεγέθους πέρι ἐθαύμασε. τὸν δὲ Θευδερίχου πλοῦτον ἀξιοθέατον ὄντα δεξάμενος ἐν παλατίῳ τοῖς μὲν ἐκ βουλῆς ἐν παραβύστῳ θέαμα προὔθηκεν, ἐπὶ τῷ ὄγκῳ τῶν πεπραγμένων φιλοτιμούμενος, οὔτε δὲ ἐς τὸν δῆμον ἐξήνεγκεν οὔτε τὸν θρίαμ-
B βον Βελισαρίῳ παρέσχετο, ὥσπερ ὅτε Γελίμερά τε καὶ Βανδίλους νενικηκὼς ἦλθε. πᾶσι μέντοι ἐν διηγήμασι Βελισάριος ἦν, νίκας τε δύο ἀναδησάμενος, οἵας οὔπω πρότερον ἀνθρώπων οὐδενὶ διαπεπρᾶχθαι ξυνέπεσε, καὶ βασιλεῖς μὲν ἀγαγὼν αἰχμαλώτους ἐς Βυζάντιον δύο, Γιζερίχου δὲ καὶ Θευδερίχου τό τε γένος καὶ τὰ χρήματα λάφυρον Ῥωμαίοις παρὰ δόξαν πεποιημένος, ὧν δὴ ἐπιφανέστερος ἔν γε βαρβάροις οὐδεὶς πώποτε γεγονὼς ἔτυχε, καὶ τὸν μὲν πλοῦτον ἐκ τῶν πολεμίων αὖθις ἐς τὴν πολιτείαν ἀποκομίσας, γῆς τε καὶ θαλάσσης τὴν ἡμίσειαν μάλιστα μοῖραν τῇ βασιλείᾳ ἐν χρόνῳ ὀλίγῳ ἀνασωσάμενος. ἦν τε Βυζαντίοις
C πρὸς ἡδονῆς Βελισάριον ἐπὶ τῆς ἀγορᾶς ἐς ἡμέραν ἑκάστην ἐκ τῆς

1. Ita Belisarius, rebus adhuc suspensis, Vitigim, Gotthorum proceres, Ildibadi liberos, regiasque opes omnes Byzantium deportavit, nemine Ducum ipsum comitante praeter Ildigerem, Valerianum, Martinum et Herodianum. Vitigim cum uxore laetis placidisque aspexit oculis Iustinianus Augustus, et Barbarorum agmen, corporis forma ac mole praestantium, miratus est. Postquam Theoderici gazam, spectatu sane dignam, in Palatium accepit, Senatui quidem contemplandam proposuit apud se, rerum gestarum magnitudine glorians: at neque illam exhibuit multitudini, nec triumphum Belisario decrevit, uti fecerat, cum ille ex Africa rediit, Gelimeris et Vandalorum victor. Nihilominus tamen in ore omnium vigebat Belisarius, duas adeptus victorias, quales nemo unquam antea retulisset: quippe qui captivos Reges duos advexisset Byzantium: praeter opinionem in Romanorum manus adduxisset progeniem ac thesauros Gizerici et Theoderici, quibus Regibus inter Barbaros nemo unquam fuit illustrior: receptas ex hostibus divitias Reip. restituisset: atque exiguo tempore dimidiam fere et terrae et maris partem Imperio recuperasset. Byzantii civibus iucundum quotidie praebebat spectaculum Belisarius, si-

οἰκίας προϊόντα ἰδεῖν, ἢ ἐς αὐτὴν ἐπανήκοντα, κόρον τε αὖτῶν τοῦ θεάματος τούτου οὐδεὶς ἔλαβε. πομπῇ γὰρ αὐτοῦ ἰσχυροτάτῃ ἡ πρόοδος ἐῴκει, ἐπεί οἱ Βανδίλων τε πλῆθος καὶ Γότθων τε καὶ Μαυρουσίων ἀεὶ εἵπετο. ἦν δὲ καὶ τὸ σῶμα καλός τε καὶ μέγας καὶ εὐπρόσωπος πάντων μάλιστα. οὕτω δὲ εὐπρόσοδόν τε καὶ πρᾷον παρεῖχεν ἑαυτὸν τοῖς ἐντυγχάνουσιν ὥστε ἀνθρώπῳ V 111 πένητί τε λίαν καὶ ἀδόξῳ ἐμφερὴς εἶναι. ἔρως δὲ αὐτοῦ τῆς ἀρχῆς πρός τε στρατιωτῶν ἀεὶ καὶ ἀγροίκων ἄμαχός τις ἐγένετο, ὅτι δὴ ἐς μὲν τοὺς στρατιώτας φιλοδωρότατος ἐγεγόνει ἀνθρώπων ἁπάντων, (τῶν τε γὰρ ἐν ξυμβολῇ ἠτυχηκότων χρήμασι D μεγάλοις παρεμυθεῖτο τὰ πρότερον τραύματα καὶ τοῖς εὐδοκιμήσασι ψέλιά τε καὶ στρεπτοὺς ἔχειν ἄθλα παρεῖχεν, ἵππου δὲ ἢ τόξου ἢ ἄλλου ὁτουοῦν στρατιώτῃ ἐν τῇ μάχῃ ἀπολωλότος ἕτερον ἀντ' αὐτοῦ πρὸς Βελισαρίου αὐτίκα ὑπῆρχεν) ἐς δὲ τοὺς ἀγροίκους, ὅτι δὴ τοσαύτῃ φειδοῖ τε καὶ προνοίᾳ ἐχρῆτο ὥστε βιασθῆναι μὲν αὐτῶν οὐδένα πώποτε στρατηγοῦντος Βελισαρίου τετύχηκε, πλουτεῖν δὲ παρὰ δόξαν ξυνέβαινε πᾶσιν οἷς ἂν αὐτὸς ἐπιδημοίη στρατιᾶς πλήθει. ἀπεδίδοντο γὰρ αὐτοῖς κατὰ γνώμην τὰ ὤνια πάντα. καὶ ἡνίκα μὲν ἀκμάζοι τὰ λήια, ἐς τὸ ἄκρι- P 467 βὲς διεφύλασσε μή τινι παριοῦσα ἡ ἵππος λυμήνηται. τῶν δὲ

2. αὐτοῦ om. L. 7. ἐμφερὴς Suidas s. v. Βελισάριος. Vulgo ἐμφερῆ. 8. ἀρχῆς] ἀρετῆς Scaliger. Frustra. 11. πρότερον om. Suidas. 12. ψέλια Suidas. Vulgo φέλλια. ibid. παρεῖχεν] παρείχετο Suidas. 13. στρατιώτῃ] στρατιώτου Suidas. ibid. ἕτερον] ἕτερος Suidas. 16. αὐτῶν οὐδένα] αὐτοὺς οὐδὲν Suidas. 20. παριοῦσα Maltretus cum Suida. Libri παροῦσα.

ve in forum prodiret domo, sive domum rediret; nec videndi satietas quemquam capiebat. Nam illius in publicum egressus pompae erat magnificentissimae similis, cum ingens Vandalorum, Gotthorum ac Maurorum caterva ipsum usque comitaretur. Decoro erat ac procero corpore, et oris dignitate omnes superabat. Obviis adeo facilem se et benignum praebebat, ut homo tenuissimae fortunae sortisque infimae esse videretur. Eius imperium milites et agricolae magno semper opere amarunt. Milites quidem, quod ipsum experirentur mortalium omnium munificentissimum. Nam qui in praelio male accepti fuerant, illis grandi pecunia vulnerum acerbitatem levabat: qui facinus praeclarum ediderant, his armillas et torques in praemium dabat. Si cui militi in certamine vel equus, vel arcus, vel aliud quidpiam periisset, continuo re simili Belisarius iacturam sarciebat. Amabant vero imperium eius agricolae, propterea quod ita illis parcebat consulebatque, ut eorum nemini vis unquam illata fuerit, ducente exercitus Belisario. Immo vero omnes, apud quos cum copiis versabatur, insperantes ditabat. Nam venalia quaelibet quo volebant pretio illis divendebant, et cum segetes adolescerent, sedulam dabat operam, ne transiens equitatus, noxam illis uspiam faceret. Pen-

ὡραίων ἐν τοῖς δένδροις ὄντων ἅψασθαι αὐτῶν οὐδενὶ τὸ παράπαν ἐξουσία ἐγίνετο. καὶ μὴν καὶ σωφροσύνης ὑπερφυῶς μετεποιεῖτο. οὐδὲ γὰρ οὖν οὐδὲ ἄλλης ὅτι μὴ τῆς γεγαμημένης γυναικὸς ἤπτετο. αἰχμαλώτους οὖν ἔκ τε Βανδίλων καὶ Γότθων
H 259 ἑλὼν τοσαύτας τε τὸ πλῆθος καὶ τοιαύτας τὰ πρόσωπα, οἵας οὐδεὶς τῶν ἀνθρώπων εἶδεν, οὔτε οἱ ἐς ὄψιν αὐτῶν τινα ἥκειν οὔτε ἄλλως ἐντυχεῖν εἴασεν. ἦν δὲ πρὸς τοῖς ἄλλοις ἅπασιν ἀγχίνους τε διαφερόντως καὶ ἐν τοῖς ἀπόροις ἐπινοῆσαι τὰ βέλτιστα
B ἱκανώτατος. ἐν μέντοι κινδύνοις πολέμου εὖψυχός τε ἦν ξὺν τῷ ἀσφαλεῖ καὶ ξὺν λογισμῷ εὐτολμότατος, ὀξύς τε καὶ μελλητὴς ἐν τῇ ἐπὶ τοὺς πολεμίους ἀεὶ ἐγχειρήσει, κατὰ τὴν χρείαν ἑκάτερον. ἄνευ δὲ τούτων ἐν μὲν τοῖς δεινοῖς εὐελπίν τε τὴν διάνοιαν καὶ ταραχῆς παρεῖχετο κρείσσω, εὐημερῶν δὲ οὔτε ἐπῆρτο οὔτε ἐτύφα· μεθύοντα γοῦν Βελισάριον οὐδεὶς ποτε εἶδεν. ὅσον μὲν οὖν χρόνον τοῦ Ῥωμαίων στρατοῦ ἔν τε Λιβύῃ καὶ Ἰταλίᾳ προΐστη,
C νικῶν τε διετέλει καὶ τὰ ἐν ποσὶν ἀεὶ κτώμενος. ἐπεὶ δὲ ἐς Βυζάντιον μετάπεμπτος ἦλθεν, ἔτι μᾶλλον ἢ πρότερον αὐτοῦ ἡ ἀρετὴ ἐπὶ πλεῖστον ἐγνώσθη. αὐτός τε γὰρ πάσῃ ἀρετῇ προὔχων καὶ πλούτου μὲν πολλοῦ ἐξουσίᾳ, δυνάμει δὲ ὑπασπιστῶν τε καὶ δορυφόρων τοὺς πώποτε στρατηγοὺς ὑπεραίρων, φοβερὸς, ὡς τὸ εἰκός, ἄρχουσί τε πᾶσι καὶ στρατιώταις ἐγένετο. ἀντιτείνειν τε γὰρ ἐπιτάττοντος, οἶμαι, ἐτόλμα οὐδεὶς, ἐπιτελῇ τε

1. ἅψασθαι] ἅψεσθαι L. 7. οὔτε ἄλλως] Vulgo οὐδὲ ἄλλως. 10. εὐτολμότατος] ἐντολμώτατος H.

dentes ab arboribus fructus nemini contingere licebat. Praeterea vir erat singulari praeditus continentia. Nullam enim feminam, praeter uxorem, attigit: et cum Vandalas Gotthasque bello cepisset mulieres tot numero, tamque oris specie praecellentes, ut nemo pares viderit, earum nullam in conspectum suum, nedum in congressum venire sivit. Cum in aliis rebus omnibus solertissimus erat, tum in dubiis viam inire optimam apprime callebat. Inter belli discrimina caute strenuus et prudenter animosissimus, ac si quid in hostem aggrederetur, promptus idem et cunctator, prout alterutro opus erat, solebat esse. Ad haec, in adversis rebus fidentem et imperturbatum animum ostendebat: in prosperis non efferebatur superbia, neque indulgebat genio. Certe vino madentem nemo unquam Belisarium vidit. Quandiu Romanis copiis in Africa Italiaque praefuerat, obvia quaeque occupaverat continenti victoria. Postquam Byzantium accitus rediit, multo clarius quam ante, quantum polleret, innotuit. Nam cum emineret virtutis cumulo, et Magistros militiae, quotquot unquam fuissent, non opibus modo, sed Praetorianorum etiam hastatorum ac Scutariorum numeroso praesidio superaret; Ducibus aeque omnibus ac militibus merito formidabilis erat. Ac, nisi fallor, si quis imperanti ipsi voluisset obsistere, non ausus esset. Mandata eius omnia

πράσσειν ὅσα ἐπιτάττοι οὐδαμοῦ ἀπηξίουν, τήν τε ἀρετὴν αἰσχυνόμενοι καὶ δεδιότες τὴν δύναμιν. ἑπτακισχιλίους γὰρ ἱππέας ἐκ τῆς οἰκίας παρείχετο· ὧν δὴ ἀπόβλητος μὲν οὐδεὶς ἐγεγόνει, αὐτῶν δὲ ἕκαστος πρῶτός τε ἐν τῇ παρατάξει ἑστάναι καὶ προκαλεῖσθαι τοὺς τῶν πολεμίων ἀρίστους ἠξίουν. Ῥωμαίων τε οἱ πρεσβύτεροι, ἡνίκα πρὸς Γότθων πολιορκούμενοι τὰ ποιούμενα ἐν ταῖς τοῦ πολέμου ξυμβολαῖς ἔβλεπον, ἐν θαύματι μεγάλῳ ποιούμενοι ἀνεφθέγγοντο ὡς οἰκία μία τὴν Θευδερίχου δύναμιν καταλύει. Βελισάριος μὲν οὖν τῷ τε ἀξιώματι καὶ τῇ γνώμῃ, ὥσπερ ἐρρήθη, δυνατὸς γεγονὼς τά τε ξυνοίσοντα τοῖς βασιλέως πράγμασιν ἐβουλεύετο καὶ τὰ δεδογμένα ἔπρασσεν ἀεὶ αὐτονόμῳ γνώμῃ. D

Οἱ δὲ ἄλλοι ἄρχοντες, ἴσοι μᾶλλον αὐτοὶ πρὸς ἀλλήλους ὄντες καὶ οὐδὲν ὅτι μὴ κέρδη οἰκεῖα ἐν νῷ ἔχοντες διαπράττεσθαι, τούς τε Ῥωμαίους ληΐζεσθαί τε καὶ τοῖς στρατιώταις ἐνδιδόναι τοὺς κατηκόους ἀδικεῖν ἤδη ἤρξαντο, καὶ οὐδὲ αὐτοῖς ἐφρόνουν τὰ δέοντα, ἔτι δὲ οὐδὲ τοὺς στρατιώτας τῶν παραγγελλομένων ἐπακούοντας εἶχον. διὸ δὴ πολλά τε αὐτοῖς ἡμαρτήθη καὶ τὰ πράγματα διεφθάρη Ῥωμαίοις ξύμπαντα ἐν χρόνῳ ὀλίγῳ. ἅπερ ἐγὼ ὅτῳ δὴ τρόπῳ ἐρῶν ἔρχομαι. P 468

Ἐπειδὴ Βελισάριον ἐκ Ῥαβέννης ἀναστάντα ὁδῷ ἰέναι Ἱλδίβαδος ἐπύθετο, τούς τε βαρβάρους ξυνῆγεν ἅμφ' αὐτὸν ἅπαντας καὶ τῶν Ῥωμαίων στρατιωτῶν ὅσοις νεώτερα πράγματα ἤρεσκε. καὶ τῆς μὲν ἀρχῆς ὡς μάλιστα ἐπεμελεῖτο, ἀνασώσασθαι V 112

4. αὐτῶν δὲ] Vulgo αὐτῶν τε.

omnes peragebant, ducti virtutis reverentia ac potentiae metu. Etenim ex suo septem educebat equitum millia: quorum nullus reiectaneus erat, at eorum quisque id ambiebat, ut staret primus in acie, et fortissimos hostium provocaret. Romani seniores, cum a Gothis obsessi, quae fierent in conflictibus bellicis, spectarent, demirantes dicebant, Theoderici potentiam everti domus unius vi. Itaque Belisarius et auctoritate et consilio, ut dictum est, pollens, quae e re erant Imperatoris decernebat animo, et quae proposuerat, suo semper arbitratu exequebatur.

Caeteri vero Duces, cum inter se pares essent, et omnia ad privatam utilitatem referrent, Romanos iam expilare, et militum iniuriis permittere coeperant. Ac nec sibi satis consulere sciebant, nec milites habebant dicto audientes. Quare ab illis saepe peccatum est, resque omnis Romana brevi tempore pessum abiit: quod uti factum sit, hic narrabo.

Ubi profectum Ravenna Belisarium, pelago provehi Ildíbadus comperit, ad se omnes collegit Barbaros, ac Romanos milites, quibus rerum placebat novitas. Firmandae dominationi curam adhibebat maximam, et

δὲ Γότθων τῷ γένει τὸ Ἰταλιωτῶν κράτος ἐν σπουδῇ ἐποιεῖτο. κατ' ἀρχὰς μὲν οὖν οὐ πλέον ἢ χίλιοι αὐτῷ εἵποντο καὶ πόλιν μίαν Τίκινον εἶχον, κατὰ βραχὺ δὲ προσεχώρησαν αὐτῷ ἅπαντες ὅσοι ἐν τῇ Λιγουρίᾳ καὶ Βενετίαις ἦσαν. ἦν δὲ Ἀλέξανδρός τις ἐν Βυζαντίῳ τοῖς δημοσίοις ἐφεστὼς λογισμοῖς· λογοθέτην ἑλληνίζοντες τὴν τιμὴν ταύτην καλοῦσι Ῥωμαῖοι. οὗτος ἀεὶ τοῖς στρατιώταις τὴν εἰς τὸ δημόσιον ἐπεκάλει ζημίαν. τοιούτων δὴ ἀδικημάτων αὐτοὺς δίκῃ ὑπάγων, αὐτὸς μὲν ἔνδοξος ἐξ ἀδόξων ταχὺ γέγονεν, ἐκ πενήτων ἀτεχνῶς πλούσιος, ἀλλὰ καὶ βασιλεῖ χρήματα μεγάλα, εἴπερ τις ἄλλος, ἐπράξατο, τοὺς δὲ στρατιώτας ὀλίγους τε καὶ πτωχοὺς εἶναι καὶ ὀκνηρῶς ἐς τοὺς κινδύνους ἔχειν αἰτιώτατος ἐγένετο ἀνθρώπων ἁπάντων. Βυζάντιοι δὲ αὐτὸν καὶ ψαλίδιον ἐπίκλησιν ἐκάλουν, ὅτι δὴ αὐτῷ ῥᾴδιον ἦν ἀποτεμνομένῳ κύκλῳ τὸ χρυσοῦν νόμισμα ἔλασσον μὲν αὐτὸ ἐς ὅσον βούλοιτο ἐξεργάζεσθαι, φυλάσσειν δὲ καὶ ὡς τὸ κυκλοτερὲς σχῆμα ἐφ' οὗπερ τὸ πρότερον ἦν. ψαλίδιον γὰρ τοῦτο καλοῦσι τὸ ὄργανον, ᾧ ταῦτά τις ἐργάζεται. τοῦτον βασιλεὺς τὸν Ἀλέξανδρον, ἐπειδὴ Βελισάριον μετεπέμψατο, ἐς Ἰταλίαν πέμπει. ὁ δὲ γεγονὼς ἐν Ῥαβέννῃ λογισμοὺς προὔθηκε λόγον οὐκ ἔχοντας. τοὺς μὲν γὰρ Ἰταλιώτας οὔτε τῶν βασιλέως ἁψαμένους χρημάτων οὔτε τινὰς αὐτῶν εἰς τὸ δημόσιον ὑπουργήσαντας ἐπὶ τὰς εὐθύνας ἐκάλει, τὴν ἐς Θευδέριχον καὶ τοὺς ἄλλους Γότθων

3. Τίκινον] πικηνῶν HL. 7. δὴ L. δὲ P. 8. αὐτὸς] καὶ αὐτὸς L. 20. οὔτε — οὔτε] Vulgo οὐδὲ — οὐδέ.

ad recuperandum Gotthis regnum Italiae studium omne conferebat. Principio non amplius mille eum sequebantur, unamque admodum urbem Ticinum habebant. Deinde, quicunque in Liguria et in agro erant Veneto, paulatim ad illum sese applicuerunt. Byzantii Alexander quidam erat Logotheta: quo Graeco vocabulo eum Romani designant, qui rationibus publicis praefectus est. Hic damni publico illati insimulare milites non cessabat: qua criminandi arte ex humili loco ad honorum gradus, atque ex egestate ad summas opes brevi pervenit. Ac si quis alius, is certe magnas paravit Imperatori pecunias, effecitque unus omnium maxime, ut ad paucos et mendicos redacti milites, nihil haberent animi ad subeunda belli discrimina. Ipsum Byzantii cognomento Forficulae idcirco affecerunt, quod nummum aureum tam dextere circumcideret, ut eo, quantum vellet, curtato, orbem vel sic servaret, quo erat antea circumscriptus. Forficulam enim vocant instrumentum illud quo quis id efficit. Alexandrum hunc Imperator, posteaquam revocavit Belisarium, in Italiam misit. Is vero Ravennam delatus, rationes falsas instituit. Nam ab Italis, qui nec pecuniam regiam contigerant, neque ullam aerario navarant operam, rationes repoposcit, admissi in Theodericum aliosque Gotthorum

ἄρχοντας ἀδικίαν ἐπικαλῶν, ἀναγκάζων τε ἀποτιννύναι, εἴ τι ἐκείνους ἐξαπατήσαντες, ὥσπερ αὐτὸς ἔφασκεν, ἐσύλησαν ἢ D ἐκέρδαναν. τῶν δὲ στρατιωτῶν τά τε τραύματα καὶ τοὺς κινδύνους τῇ τῶν λογισμῶν σμικρολογίᾳ παρὰ δόξαν ἠμείβετο. διὸ δὴ οἵ τε Ἰταλιῶται Ἰουστινιανῷ βασιλεῖ δύσνοι ἐγένοντο καὶ τῶν στρατιωτῶν οὐδεὶς ἔτι ἐς κίνδυνον πολέμου καθίστασθαι ἤθελεν, H 260 ἀλλ' ἐθελοκακοῦντες ἐπὶ μέγα χωρεῖν ἐποίουν ἀεὶ τοῖς πολεμίοις τὰ πράγματα. οἱ μὲν οὖν ἄλλοι ἄρχοντες διὰ ταῦτα ἡσυχῇ ἔμενον, Βιτάλιος δὲ μόνος (ἔτυχε γὰρ ἐν Βενετίοις ἄλλο τε πλῆθος στρατιᾶς ἔχων καὶ βαρβάρων Ἐρούλων πολύν τινα ὅμιλον) διὰ μάχης ἐλθεῖν Ἴλδιβάδῳ ἐτόλμησε, δείσας, ὅπερ ἐγένετο, μὴ ἐπὶ P 469 μέγα δυνάμεως χρόνῳ τῷ ὑστέρῳ αὐτὸν ἥκοντα οὐκέτι ἀναστέλλειν οἷοί τε ὦσι. μάχης δὲ καρτερᾶς ἀμφὶ Ταρβίσιον γενομένης Βιτάλιος παρὰ πολὺ ἡσσηθεὶς ἔφυγεν, ὀλίγους μέν τινας σώσας, τοὺς δὲ πολλοὺς αὐτοῦ ἀπολέσας. ἐν ταύτῃ τῇ μάχῃ Ἔρουλοί τε πολλοὶ πίπτουσι καὶ Οὐίσανδος ὁ τῶν Ἐρούλων ἀρχηγὸς θνήσκει. Θευδιμοῦνδος δὲ ὁ Μαυρικίου τοῦ Μούνδου υἱός, μειράκιον ὢν ἔτι, ἐς κίνδυνον μὲν θανάτου ἦλθεν, ὅμως δὲ ξὺν Βιταλίῳ διέφυγεν. Ἴλδιβάδου τε ὄνομα ἐκ τοῦ ἔργου τούτου παρά τε βασιλέα ἦλθε καὶ πάντας ἀνθρώπους.

Ὕστερον δὲ Οὐραΐαν Ἴλδιβάδῳ προσκεκρουκέναι ξυνέπεσεν B ἀπ' αἰτίας τοιᾶσδε. ἦν τῷ Οὐραΐᾳ γυνὴ πλούτῳ τε καὶ σώματος κάλλει τὰ πρωτεῖα φερομένη ἐν τούτοις δὴ τοῖς βαρβάροις

2. ἐξαπατήσαντες P cum Vat. ἐξαπαιτήσαντες HL. 13. *Ταρβίσιον*] Vulgo *Ταρβήσιον*.

Reges peculatus accersens, et cogens persolvere, quidquid per frandem, ut ipse dicebat, illis suppilatum, in rem suam convertissent. Vulnera militum aditaque pericula non aliter pensabat, quam cum ipsis, sua falsis expectatione, stipendiorum calculos ponendo sordide. Itaque a Iustiniano Aug. Italorum animos alienavit. Nec iam militum quisquam belli aleam subire volebat: sed hostium res plurimum promovebant ignavia voluntaria. Quocirca Duces nihil movebant, excepto Vitalio; qui cum in agro Veneto, praeter alias copias, multos secum haberet Erulos, ausus est cum Ildibado pugnare, veritus ne is postmodum, quod et contigit, magnas adeptus vires, non posset amplius reprimi. Acerrimo ad urbem Tarvisium facto praelio, Vitalius insigniter victus aufugit, servatis suorum paucis, pluribus amissis ibi. In hoc certamine lamulenta fuit Erulorum clades, qua involutus est ipsorum Princeps Visandus. Theudimundus, Mauricii, qui Mundum patrem habuit, filius, adhuc adolescentulus, in extremum discrimen venit: elapsus tamen est cum Vitalio. Ea victoria nomen Ildibadi Imperatori atque omnibus longe ac late notuit.

Deinde in Ildibadi offensionem Uraias ex hoc incurrit. Erat Uraiae coniux inter hos Barbaros cum divitiis, tum corporis forma omnium fa-

πασῶν μάλιστα. αὕτη ἐς τὸ βαλανεῖον κατῆλθέ ποτε, κόσμου τε περιβεβλημένη πολύ τι χρῆμα καὶ θεραπείαν ἐπαγομένη λόγου πολλοῦ ἀξίαν. τήν τε Ἰλδιβάδου γυναῖκα ἐν ἱματίοις λιτοῖς ἐνταῦθα ἰδοῦσα, ὡς ξυνοικοῦσαν βασιλεῖ οὔτε προσεκύνησεν, ἀλλὰ καὶ ἄλλως ὑπεριδοῦσα ἐς αὐτὴν ὕβρισεν. ἔτι γὰρ Ἰλδίβαδος πενίᾳ ξυνῆν ὡς ἥκιστα βασιλικοῖς ἐντυχὼν χρήμασι. περιαλγὴς δὲ
C γενομένη τῆς ὕβρεως τῇ ἀτοπίᾳ τοῦ Ἰλδιβάδου γυνὴ, παρά τε τὸν ἄνδρα δεδακρυμένη ἦλθε καὶ οἱ ἀμῦναι τὰ ἀνήκεστα πρὸς τῆς Οὐραΐου γυναικὸς παθούσῃ ἠξίου. διὸ δὴ τὰ μὲν πρῶτα Ἰλδίβαδος Οὐραΐαν ἐς τοὺς βαρβάρους διέβαλεν, ὡς δὴ ἐς τοὺς πολεμίους αὐτομολεῖν μέλλει, ὀλίγῳ δὲ ὕστερον δόλῳ ἔκτεινε καὶ ἀπ' αὐτοῦ ἐς τὸ τῶν Γότθων ἔχθος ἐνέπεσε. βουλομέναις γὰρ
V 113 αὐτοῖς ὡς ἥκιστα ἦν οὕτως ἀνεπισκέπτως Οὐραΐαν ἐξ ἀνθρώπων ἀφανισθῆναι. πολλοί τε ἤδη ἐν σφίσιν αὐτοῖς ξυνιστάμενοι Ἰλδιβάδῳ ἄτε ἀνόσια εἰργασμένῳ ἐλοιδοροῦντο. τίσασθαι μέντοι τούτου δὴ τοῦ φόνου αὐτὸν οὐδεὶς ἤθελεν. ἦν δέ τις ἐν αὐτοῖς Οὐίλας, Γήπαις μὲν γένος, ἐς δὲ τὸ τῶν βασιλέως δορυφόρων
D ἀξίωμα ἥκων. οὗτος ἀνὴρ, μνηστὴρ γυναικὸς γεγονὼς εὐπρεπῶς τὴν ὄψιν, ἐξαίσιόν τινα ἔρωτα ἦρα, ἑσταλμένου δὲ αὐτοῦ ἐπὶ τοὺς πολεμίους, ἐφ' ᾧ τινα ποιοίη ξὺν ἑτέροις τισὶν ἐπ' αὐτοὺς ἔφοδον, τὴν μνηστὴν ἑτέρῳ τῶν βαρβάρων τινὶ Ἰλδίβαδος, εἴτε ἀγνοίᾳ εἴτε τῷ ἄλλῳ ἠγμένος, ξυνῴκισεν. ὡς δὲ ταῦτα ἐκ τοῦ στρατοπέδου ἐπανήκων Οὐίλας ἤκουσε, θυμοειδὴς ὢν φύσει,

11. μέλλει] μέλλοι L corr. 12. ἐνέκεισε L. Vulgo ἐπέκεισε.

cile princeps. Aliquando ad balneum processit, mundo ornata splendidissimo, et ingenti famulantium agmine stipata. Ibi uxorem Ildibadi conspicata, vilibus indutam vestibus, non demisse, ut regiam coniugem, salutavit, at superbius despectam, affecit contumelia. Et vero res domi angusta adhuc erat Ildibado, utpote cui opes regiae non obtigerant. Indignitatem iniuriae non ferens uxor Ildibadi, dolore exarsit: mox virum adit lacrimans, rogatque ut sibi ab Uraiae coniuge indignissimis modis habitae ultor adsit. Quare Ildibadus Uraiam primo apud Barbaros criminatus transfugium ad hostes parare, paulo post dolo occidit. Hinc Gotthorum collegit odium, aegre ferentium, tam inconsiderate e medio sublatum Uraiam. Iamque inter se multi coitione facta admissum scelus exprobrabant Ildibado: nemo tamen caedis huius poenas ab ipso petere volebat. Erat in eorum numero Vilas, natione Gepaes, Protectoribus Regis ascriptus, et sponsus feminae formosae, cuius amore deperibat. Illo adversus hostes profecto, ut in eos cum aliis nonnullis incursionem aliquam faceret, sponsam Ildibadus cum alio quodam Barbaro, sive per imprudentiam, sive alia ex causa, matrimonio iunxit. Reversus e castris Vilas, ubi haec audiit, ut erat natura fervidus, factum in-

τὴν ἐκ τοῦ ἔργου ὕβριν οὐκ ἤνεγκεν, ἀλλὰ αὐτίκα κτεῖναι Ἰλδίβαδον ἔγνω, χαριεῖσθαι Γότθοις ἅπασι ταύτῃ οἰόμενος. καί ποτε αὐτὸν Γότθων ἑστιῶντα τηρήσας τοὺς ἀρίστους τῇ ἐπιβουλῇ ἐνεχείρησεν. ἀριστῶντα γὰρ τὸν βασιλέα πολλούς τε ἄλλους P 470
5 καὶ τοὺς δορυφόρους παρίστασθαι νόμος. ὁ μὲν οὖν τὴν χεῖρα ἐπιβαλὼν ἐς τὰ βρώματα ἐπὶ τῆς στιβάδος πρηνὴς ἔκειτο, Οὐίλας δὲ αὐτοῦ ἄφνω τῷ ξίφει τὸν τράχηλον παίει. ὥστε, τῶν βρωμάτων ἔτι ἐχομένων ἐν τοῖς τοῦ ἀνθρώπου δακτύλοις, ἡ κεφαλὴ εἰς τὴν τράπεζαν καταρραγεῖσα ἐξέπληξέ τε καὶ ἐς θάμβος
10 τι μέγα τοὺς παρόντας ἤνεγκεν ἅπαντας. αὕτη τίσις Ἰλδίβαδον περιῆλθε τοῦ Οὐραΐα φόνου. καὶ ὁ χειμὼν ἔληγε, καὶ τὸ ἕκτον ἔτος ἐτελεύτα τῷ πολέμῳ τῷδε, ὃν Προκόπιος ξυνέγραψεν.

β'. Ἐράριχος δὲ ἦν τις ἐν τῷ Γότθων στρατῷ Ῥογὸς μὲν B
γένος, δύναμιν δὲ περιβεβλημένος ἐν τούτοις δὴ τοῖς βαρβάροις
15 μεγάλην. οἱ δὲ Ῥογοὶ οὗτοι ἔθνος μέν εἰσι Γοτθικὸν, αὐτόνομοί τε τὸ παλαιὸν ἐβίων. Θευδερίχου δὲ αὐτοὺς τὸ κατ' ἀρχὰς προσεταιρισαμένου ξὺν ἄλλοις τισὶν ἔθνεσιν, ἔς τε τὸ γένος ἀπεκέκριντο καὶ ξὺν αὐτοῖς ἐς τοὺς πολεμίους ἅπαντα ἔπρασσον. γυναιξὶ μέντοι ὡς ἥκιστα ἐπιμιγνύμενοι ἀλλοτρίαις, ἀκραιφνέσι
20 παίδων διαδοχαῖς τὸ τοῦ ἔθνους ὄνομα ἐν σφίσιν αὐτοῖς διεσώσαντο. τοῦτον τὸν Ἐράριχον, ἐπεὶ ἐς ταραχὴν ἐπὶ τῷ Ἰλδιβάδου φόνῳ καθειστήκει τὰ πράγματα, βασιλέα ἐκ τοῦ αἰφνιδίου C

2. *Γότθοις ἅπασι*] γότθους ἅπαντας L a pr. m. 4. *ἀριστῶντα γὰρ τὸν βασιλέα*] *ἀριστῶντι γὰρ τῷ βασιλεῖ* Scaliger. 6. *ἐς*] *εἰς* L.

dignum minime tulit: sed statim cum animo constituit Ildibadum interimere, rem se facturum ratus Gotthis universis gratissimam. Cogitatum facinus aggressus est die quodam, quo apparebat Ildibado cum Gotthorum Proceribus epulanti. Ctenim prandenti Regi cum alii multi astare solent, tum Protectores. Ergo ille manu dapibus admota, toro pronus incumbebat, cum Vilas repente gladio cervicem eius percussit, ita ut cibum tenentibus adhuc digitis, demessum lapsumque in mensam caput, omnes, qui aderant, magno stupore defixerit. Sic demum Ildibadus Uraiae necem luit, hiemisque exitus annum sextum clausit istius belli, quod Procopius stilo prosecutus est.

2. Quidam erat in Gotthorum exercitu Erarícus, natione Rugus, inter hos Barbaros praepotens. Rugi autem, gens Gottbica, suis olim vivebant legibus. Aggregati vero cum nonnullis aliis populis ad Theodericum ipsius regni primordio, in unum corpus coaluerunt, atque ex eo rem bellicam in commune semper tractarunt. Vitatis tamen mulierum alienarum connubiis, nationis suae nomen pura subolis successione apud se conservarunt. Ildibadi nece turbatis rebus, Erarícum hunc Rugi declararunt subito Regem. Quod adeo non Gotthis placuit, ut plerosque

οἱ Ῥογοὶ ἀνεῖπον. ὅπερ τοῖς Γότθοις οὐδαμῶς ἤρεσκεν, ἀλλὰ καὶ εἰς πολλὴν οἱ πλεῖστοι ἀθυμίαν κατέστησαν, ἅτε τῶν ἐλπίδων σφίσι διεφθαρμένων, ἅσπερ ἐπὶ τῷ Ἰλδιβάδῳ τὰ πρότερα ἔσχον· ὃς δὴ τήν τε ἀρχὴν καὶ τὸ τῆς Ἰταλίας κράτος Γότθοις ἀνασώσα-
H 261 σθαι ἱκανὸς ἦν. Ἔραρίχος μέντοι οὐδὲν ὅ τι καὶ λόγου ἄξιον ἔδρασε· μῆνας γὰρ πέντε ἐπιβιοὺς ἐτελεύτησε τρόπῳ τοιῷδε. Τωτίλας ἦν τις, Ἰλδιβάδου ἀνεψιός, ἐπὶ πλεῖστον ξυνέσεως ἥκων καὶ τὸ δραστήριον ὡς μάλιστα ἔχων καὶ λόγου ἐν Γότθοις πολλοῦ ἄξιος. οὗτος ὁ Τωτίλας Γότθων μὲν τηνικαῦτα τῶν ἐν Ταρβι-
D σίῳ ἄρχων ἐτύγχανεν. ἐπεὶ δὲ ἐξ ἀνθρώπων ἀφανισθῆναι Ἰλδίβαδον οὗτος, ὥσπερ ἐρρήθη, ἐπύθετο, πέμψας πρὸς Κωνσταντιανὸν ἐς Ῥάβενναν, τὰ πιστὰ οἱ δοθῆναι ὑπὲρ τῆς σωτηρίας ᾐτεῖτο, ἐφ' ᾧ αὐτόν τε καὶ Γότθους, ὧν ἦρχε, ξὺν Ταρβισίῳ παραδώσει Ῥωμαίοις. ἅπερ Κωνσταντιανὸς ἀσμένως ἀκούσας ὤμοσεν ἅπαντα ὅσα Τωτίλας ᾔτησε, τακτή τε ἡμέρα εἰς τὸ ἔρ-
γον ἀμφοτέροις ξυνέκειτο, ἐν ᾗ ἔμελλε Τωτίλας τε καὶ Γότθοι οἱ ἐν Ταρβισίῳ φρουρὰν ἔχοντες δέξασθαί τε τῇ πόλει τινὰ τῶν
P 471 Κωνσταντιανῷ ἐπιτηδείων καὶ σφᾶς γε αὐτοὺς ξὺν αὐτῇ ἐγχειρίσαι.

Ἤδη δὲ οἱ Γότθοι τῇ Ἐραρίχου ἀρχῇ ἤχθοντο, οὐκ ἀξιόχρεων τὸν ἄνδρα ὁρῶντες τὸν πόλεμον πρὸς Ῥωμαίους διενεγκεῖν,
V 114 καὶ αὐτὸν ἐκ τοῦ ἐμφανοῦς οἱ πλεῖστοι ἐκάκιζον, ἅτε μεγάλων ἔργων ἐμπόδιον γεγονότα σφίσιν, ὅτι δὴ ἐκποδὼν Ἰλδίβαδον πε-

7. „Τωτίλας] τουτίλας Vat. constanter. τουτίλας Reg.“ Malt. 9. ταρβισίῳ Reg. Ταρβηείῳ P hic et bis deinceps. 23. ὅτι] ἐξ ὅτου Pm.

conlecerit in moerorem gravissimum; quasi iam nihil restaret spei, oblatae antea ab Ildibado; qui Gotthos in dominatum regnumque Italiae restituere poterat. Porro Erarico nihil egit memoria dignum: et cum in regno menses vixisset quinque, sic mortem obiit. Totilas quidam erat Ildibadi ex fratre nepos, quem eximia prudentia et navitas singularis Gotthis commendabant plurimum. Hic tunc temporis Gotthis, qui erant Tarvisii, praefectus, audita, de qua diximus, Ildibadi caede, Ravennam ad Constantianum misit, qui incolumitatis fidem sibi peterent, pollicenti se et Gotthos, quibus praeesset, in Romanorum ius ac potestatem cum urbe Tarvisio concessuros. Constantianus, his libenter auditis, postulata omnia Totilae rata habuit interposito iureiurando. Constituerunt inter se diem, qua Totilas et Gotthi, qui Tarvisium praesidio tenebant, quemdam ex amicis Constantiani in urbem acciperent, et cum ea se ipsi dederent.

Iam vero Gotthis grave erat imperium Erarici, quem bello cum Romanis gerendo videbant imparem: ac plurimi convitiis eius os verberabant, quod magnis ipsorum coeptis obstitisset, ab Ildibadi obitu. Deni-

ποιήκασι. τέλος δὲ ξυμφρονήσαντες πέμπουσι παρὰ Τωτίλαν ἐς Ταρβίσιον, ἐπὶ τὴν ἀρχὴν παρακαλοῦντες. πολὺν γὰρ ἤδη πόθον τῆς Ἰλδιβάδου ἀρχῆς ἐν αὐτοῖς ἔχοντες τὴν ἐλπίδα τῆς νίκης B ἐπὶ Τωτίλαν τὸν ἐκείνου ξυγγενῆ ἔτρεπον, εὐέλπιδες ἐπὶ τῷ ἀνθρώπῳ γενόμενοι τῷ βουλεύεσθαι ταῦτα. ὁ δὲ τοῖς παρ' αὐτὸν ἥκουσιν ἄντικρυς τὴν ἐς Ῥωμαίους ὁμολογίαν ἀποκαλύψας ἔφασκεν ὡς, ἢν Γότθοι Ἐράριχον τῆς κυρίας ἐντὸς κτείνουσιν, ξύμεταί τε αὐτοῖς καὶ πάντα ἐπιτελῆ ποιήσει ἧπερ αὐτοὶ βούλοιντο. ταῦτα ἐπεὶ οἱ βάρβαροι ἤκουσαν, ἐπιβουλῆς ἐς τὴν ἐκείνου κατάστροφὴν εἶχοντο. ταῦτα μὲν ἐν τῷ Γότθων στρατοπέδῳ ἐγίνοντο. ἐν τούτῳ δὲ ὁ Ῥωμαίων στρατὸς ἐν τῷ ἀσφαλεῖ τῆς τῶν C πολεμίων ἀπολαύοντες ἀσχολίας οὔτε ξυνίσταντο οὔτε τι δρᾶν ἐς τοὺς βαρβάρους διενοοῦντο. Ἐράριχος δὲ Γότθους ἅπαντας ξυγκαλέσας βουλὴν προὔθετο πρέσβεις πρὸς Ἰουστινιανὸν βασιλέα πέμψαι, δεησομένους ἐφ' ᾧ εἰρήνην πρὸς αὐτοὺς θήσεται, ἐφ' οἷσπερ Οὐϊτίγιδι τὰ πρότερα σπένδειν ἤθελεν· ὥστε τὰ ἐκτὸς Πάδου ποταμοῦ Γότθους ἔχοντας ἀπαλλάσσεσθαι Ἰταλίας τῆς ἄλλης. καὶ ἐπεὶ Γότθοι ταῦτα ἐπῄνεσαν, ἀπολέξας τινὰς τῶν οἱ ἐς τὰ μάλιστα ἐπιτηδείων, πρέσβεις ἔπεμψεν ἄλλους τε καὶ Καβαλλάριον ὄνομα. οἱ δὲ πρὸς βασιλέα ταῦτα δὴθεν τῷ λόγῳ D πράξειν ἔμελλον ἅπερ μοι ἔμπροσθεν εἴρηται, λάθρα δὲ αὐτοῖς ἄλλο μηδὲν πρὸς βασιλέα πράσσειν ἐπέστελλε, πλήν γε δὴ ὅπως χρήματά τε αὐτὸς πολλὰ λήψεται καὶ ἐς πατρικίους ἀνάγραπτος

11. ἐν τῷ Pm. καὶ τῷ P. 12. οὔτε τι] οὐδέ τι P. 20. τῷ λόγῳ] ἐν τῷ λόγῳ L.

que de communi sententia Tarvisium mittunt, qui Totilam ad regnum invitent. Iam enim Regis Ildibadi desiderio flagrantes, in consanguineum ipsius Totilam victoriae spem convertebant, ac fore sperabant ut illi idem animus esset. At ille pactione, quam cum Romanis fecerat, sine ullis ambagibus patefacta iis, qui ad se venerant, promisit, si Gotthi Eraricum occiderent citra diem cum Romanis condictum, se ipsis assensurum, factorumque omnia uti vellent. Quae cum Barbari audiissent, Erarico perniciem machinari coeperunt. Dum haec in Gotthorum castris aguntur, interea Romanae copiae, hostium negotio securum otium nactae, nec coibant, nec inibant consilium patrandi quidquam in Barbaros. Eraricus vero, convocatis Gotthis omnibus, ad eos retulit de mittendis ad Iustinianum Aug. Oratoribus, qui pacem eadem conditione peterent, qua antea Vitigi concedere voluisset: nimirum ut Gotthi, retenta Transpadana regione, reliqua Italia cederent. Postquam assensi sunt Gotthi, Caballarium ille aliosque nonnullos, ex intimis delectos, Legatos misit, in speciem quidem de iis, quae proxime dixi, cum Imperatore acturos, clam autem iussos hoc unum cum eo transigere, ut ipse multa donatus pecu-

εἴη ἐφ' ᾧ Ἰταλίαν παραδοὺς ξύμπασαν τὸ τῆς ἀρχῆς κατάθοιτο σχῆμα. οἱ μὲν οὖν πρέσβεις ἐπειδὴ ἐν Βυζαντίῳ ἐγένοντο, κατὰ ταὐτὰ ἔπρασσον. ἐν τούτῳ Γότθοι Ἐράριχον κτείνουσι δόλῳ. τελευτήσαντος δὲ αὐτοῦ κατὰ τὰ ξυγκείμενα σφίσι τὴν ἀρχὴν Τωτίλας λαμβάνει.

P 472 γ'. Ἐπεὶ δὲ Ἰουστινιανὸς βασιλεὺς ἔμαθε ταῦτα, τά τε ἀμφὶ Ἐραρίχῳ ξυνενεχθέντα καὶ ὅτι Γότθοι Τωτίλαν σφίσιν ἐς τὴν ἀρχὴν κατεστήσαντο, κακίζων τε καὶ ἐρεσχελῶν τοὺς ἐνταῦθα τοῖ στρατοῦ ἄρχοντας οὐκέτι ἀνίη. διὸ δὴ φυλακτήρια καταστησάμενοι ἐν πόλει ἑκάστῃ Ἰωάννης τε ὁ Βιταλιανοῦ ἀδελφιδοῦς καὶ Βέσσας καὶ Βιτάλιος καὶ οἱ ἄλλοι ξύμπαντες ἐς Ῥάβενναν ξυνελέγοντο, οὗ δὴ Κωνσταντιανὸς καὶ Ἀλέξανδρος, οὗ πρόσθεν ἐμνήσθην, διατριβὴν εἶχον. ἐπειδή τε ἅπαντες ξυνελέγησαν, ἔδοξε σφίσιν ἄμεινον εἶναι πρῶτον ἐπὶ Βερώνην, ἣ ἐν Βενετίαις ἐστί, στρατεύεσθαι, καὶ ἐπειδὰν αὐτήν τε καὶ Γότθους τοὺς ἐν-
B ταῦθα ἐξέλωσιν, οὕτω δὴ ἐπί τε Τωτίλαν καὶ Τικινοὺς ἰέναι. οὗτος μὲν οὖν ὁ Ῥωμαίων στρατὸς εἰς δισχιλίους τε καὶ μυρίους ξυνείλεκτο, ἄρχοντες δὲ αὐτῶν ἕνδεκα ἦσαν, ὧν οἱ πρῶτοι ἐτύγχανον Κωνσταντιανός τε καὶ Ἀλέξανδρος, οἳ καὶ εὐθὺ πόλεως Βερώνης ἐχώρουν. γενόμενοι δὲ αὐτῆς ἄγχιστα, ὅσον ἀπὸ στα-
δίων ἑξήκοντα, ἐστρατοπεδεύσαντο ἐν τῷ ταύτης πεδίῳ. τοῦτον γὰρ πανταχόσε τοῦ χωρίου πεδία ἱππήλατά ἐστι, διήκοντα ἐς Μάντουαν πόλιν, ἥπερ διέχει πόλεως Βερώνης ἡμέρας ὁδόν.

9. *ἀνίη* Scaliger. Libri *ἀνείη*. 11. *Βέσσας*] *Βέσας* P. 14. *Βερώνην*] *βερῶνα* HL. 16. *Τικινοὺς*] *πιγκηνοὺς* HL. 18. *ξυνείλεκτο*] Legebatur *ξυνείλετο*.

nia et ascriptus Patricíis, Italiam omnem traderet, regnique insignia abdicaret. Quae quidem Legati, ubi fuere Byzantii, confecerunt: at hoc interim spatio Eraricum ex insidiis Gotthi perimunt, eoque mortuo, Totilas ex compacto regnum obtinet.

3. Posteaquam quid Erarico accidisset, Regemque a Gotthis creatum Totilam resciit Iustinianus Aug. exercitus Duces, qui in illis erant partibus, incusare ignaviae, et urgere non destitit. Quare Ioannes, ex sorore nepos Vitaliani, Bessas, Vitalius, caeterique omnes, in singulis urbibus relictis praesidiis, convenerunt Ravennam: ubi Constantianus et Alexander, cuius mentionem supra feci, morabantur. Coacto consilio, satius visum est, ante omnia Veronam, agri Veneti urbem, infesto exercitu petere, eaque capta cum ipsius praesidio Gotthico, Totilam ac Ticinenses invadere. Exercitus hic XII. constabat millibus, sub Ducibus XI. quorum primi erant Constantianus et Alexander; qui ad Urbem Veronam recta contenderunt. Ubi propius ventum est, castra stadiis LX. procul metati sunt in eius planitie: circumiacent enim equitabiles campi: qui ad urbem usque Mantuam patent, diei iter Verona dissitam. Vir erat

ἦν δέ τις ἐν Βενετίοις ἀνὴρ λόγιμος, Μαρκιανὸς ὄνομα. ὅσπερ ἐν φρουρίῳ μὲν κατῴκητο πόλεως Βερώνης οὐ πολλῷ ἄποθεν, C
εὐνοϊκῶς δὲ βασιλεῖ ἐς τὰ μάλιστα ἔχων τὴν πόλιν παραδοῦναι H 262
τῷ Ῥωμαίων στρατῷ ἐν σπουδῇ ἐποιεῖτο. καὶ ἦν γάρ οἱ τῶν τις φυλάκων ἐκ παιδὸς γνώριμος. πέμψας τοιγαροῦν παρ' αὐτὸν τῶν οἱ ἐπιτηδείων τινὰς χρήμασιν ἀναπείθει τὸν ἄνθρωπον τῇ πόλει τὸ βασιλέως στράτευμα δέξασθαι. καὶ ἐπεὶ ταῦτα ὡμολό- V 115
γει ὁ τῶν πυλῶν φύλαξ, πέμπει τοὺς πρέσβεις αὐτὸ δὴ ξυμπράξαντας ὁ Μαρκιανὸς παρὰ τοὺς τοῦ Ῥωμαίων στρατοῦ ἄρχοντας, ἐφ' ᾧ τά τε ξυγκείμενα ἐξαγγείλωσι καὶ ξὺν αὐτοῖς ἐς τὴν πόλιν εἰσβάλλωσι νύκτωρ. ἔδοξε δὲ τοῖς ἄρχουσι ξύμφορον εἶναι προ- D
τερῆσαι μὲν αὐτῶν ἕνα ξὺν ὀλίγοις τισίν· ἦν δέ γε ὁ φύλαξ αὐτοῖς ἀνακλίνῃ τὰς πύλας, ἔχεσθαί τε αὐτῶν καὶ τῇ πόλει ξὺν τῷ ἀσφαλεῖ τὸν στρατὸν ἐσδέξασθαι. τῶν μὲν οὖν ἄλλων ὑποστῆναι τὸν κίνδυνον οὐδεὶς ἤθελεν, Ἀρταβάζης δὲ μόνος Ἀρμένιος μὲν γένος, διαφερόντως δὲ ἀγαθὸς τὰ πολέμια, ἐς τὴν πρᾶξιν οὔτι ἀκουσίως καθῆκεν αὐτόν. οὗτος ἀνὴρ Περσῶν μὲν ἦγεῖτο, οὓς Βελισάριος ἐς Βυζάντιον ἐκ τῆς Περσῶν γῆς ξὺν τῷ Βλι- P 473
σχάνῃ ὀλίγῳ ἔμπροσθεν ἐτύγχανε πέμψας, τὸ Σισαύριον ἐξελὼν φρούριον. τότε δὲ ἄνδρας ἑκατὸν ἐκ τοῦ παντὸς στρατοπέδου ἀπολεξάμενος ἀωρὶ τῶν νυκτῶν ἄγχιστα τοῦ περιβόλου ἐγίνετο. καὶ ἐπεὶ ὁ φύλαξ ἦπερ ξυνέκειτο ἀνεπέτασε σφίσι τὰς πύλας, οἱ μέν τινες ἐνταῦθα ἑστῶτες τὸ στράτευμα μετεπέμπον-

1. *βενετίοις* Reg. Vulgo *Βενέτοις*. *Ita.* *βενετίαις* Hm. 8. *τοὺς πρέσβεις αὐτὸ* Reg. et Lm. *τοὺς πρὸς αὐτὸ* H. *τοὺς αὐτῷ* P. 18. *Βλισχάνῃ*] *βλισχάμῃ* HL.

inter Venetos nobilis, Marcianus nomine: qui cum castellum incoleret Veronae vicinum, essetque Imperatoris studiosissimus, id sedulo agebat, ut in potestatem exercitus Romani veniret urbs. Et vero custodem quemdam a puero noverat: ad quem suorum nonnullos familiarium misit, inducturos pecunia, ut Imperatoris copias in urbem admitteret. Id cum portae custos facturum se recepisset, Marcianus eosdem, qui rem cum illo transegerant, ad exercitus Romani Duces destinavit, ut pactione enuntiata, cum ipsis urbem intrarent noctu. Visum est Ducibus expedire, cum paucis praemitti aliquem e suo numero; ut, si portam panderet custos, eam occuparent, et in urbem exercitum tuto acciperent. Nemo periculum adire voluit, praeter Artabazem, natione Armenium, virum bello praestantem, qui sponte se ausо obtulit. Erat hic Persarum Dux, quos Belisarius nuper Byzantium cum Blischane ex regno Persarum miserat, castello capto Sisauranensi. Tunc autem viris centum ex omni delectis exercitu, intempesta nocte ad muros accessit. Porta a custode, uti convenerat, aperta, quidam haud ingressi exercitum evocant: caeteri mu-

το, οἱ δὲ ἀναβάντες ἐπὶ τὸ τεῖχος τοὺς ταύτῃ φυλάσσοντας ἔκτει-
ναν ἀπροσδόκητοι ἐπιπεσόντες. ἐπεὶ δὲ Γότθοι ξύμπαντες ἤσθον-
το τοῦ κακοῦ, διὰ πυλῶν ἑτέρων φεύγοντες ᾤχοντο, ἄκρα δέ τις
ἐς ἄγαν ὑψηλὴ πρὸ τοῦ περιβόλου ἀνέχει, ὅθεν ἅπαντα κατα-
νοεῖν πάρεστι τὰ ἐν Βερώνῃ πρασσόμενα καὶ ἀπαριθμεῖσθαι
B τοὺς ταύτῃ ἀνθρώπους, καὶ μὴν καὶ τοῦ πεδίου ἐπὶ πλεῖστον
ὁρᾶν. ἐνταῦθα οἱ Γότθοι καταφυγόντες τὴν νύκτα ὅλην ἡσύχα-
ζον. ὁ δὲ Ῥωμαίων στρατὸς ἀπὸ σταδίων τεσσαράκοντα τῆς
πόλεως ἦκων οὐκέτι ἐπίροσθεν ἦει, τῶν ἐν τῇ πόλει χρημάτων
ἀλλήλοις ἀμφισβητούντων τῶν στρατηγῶν. οὕτω τε αὐτῶν ἀμφὶ
ταύτῃ διαμαχομένων τῇ λείᾳ ἡμέρα τε ἤδη διαφανῶς γέγονε καὶ
οἱ Γότθοι ἀπὸ τῆς ἄκρας ἐς τὸ ἀκριβὲς κατανενοηκότες τούς τε
ἀνὰ τὴν πόλιν πολεμίους καὶ ὅσῳ Βερώνης τὸ ἄλλο στράτευμα
διέχον εἱστήκει, δρόμῳ ἐπὶ τὴν πόλιν ἐχώρησαν δι' αὐτῶν τῶν
πυλῶν ὥνπερ ἀπαλλαγέντες πρότερον ἔτυχον. οὐδὲ γὰρ αὐτῶν
οἱ εἰσεληλυθότες ἔχεσθαι ἴσχυσαν. Ῥωμαῖοι μὲν οὖν ξυμφρονή-
C σαντες τοῦ περιβόλου ἀμφὶ τὰς ἐπάλξεις κατέφυγον, τῶν δὲ βαρ-
βάρων αὐτοῖς πλήθει πολλῷ ἐς χεῖρας ἰόντων οἵ τε ἄλλοι καὶ Ἀρ-
ταβάζης πάντων μάλιστα ἔργα θαυμαστὰ ἐνδειξάμενοι καρτερώ-
τατα τοὺς ἐπιόντας ἠμύνοντο. καὶ τότε δὴ οἱ τοῦ Ῥωμαίων στρα-
τοῦ ἄρχοντες τὰ ὑπὲρ τῶν ἐν Βερώνῃ χρήματα πρὸς ἀλλήλους
διοικησάμενοι παντὶ τῷ ἄλλῳ στρατῷ ἐπὶ τὴν πόλιν χωρεῖν ἔγνω-
σαν. ἀποκεκλεισμένας δὲ σφίσι τὰς πύλας εὑρόντες ἰσχυρότατά

9. τῶν ἐν] ἐπὶ τῶν ἐν Hoeschelius, rarioris constructionis ignarus.

rum ascendunt, et positos ibi vigiles, incautos opprimunt ac trucidant. Alia porta Gotthi omnes, cognito infortunio, evadunt. Surgit pro moenibus collis admodum celso vertice: unde quidquid in urbe fit deprehendere, et eorum, qui sunt intus, inire numerum, longe etiam ac late campi aequor prospicere licet. Cum eo Gotthi fuga evasissent, continuerunt se totam noctem. Romanus vero exercitus quadragesimo ab urbe stadio constitit, orta inter Duces de urbis opibus dividendis lite distentus. Dum sic de praeda altercantur, lucescit: et clara iam die Gotthi ex cacumine, quod insederant, numero hostium in urbe agentium plane cognito, quanto etiam spatio reliquae copiae Verona abessent, conspicati, cursu in urbem se inferunt eadem porta, qua prius excesserant: neque enim illam occupare potuerant qui erant noctu ingressi. Tum uno Romani animo se ad murorum pinnas recipiunt: ubi cum magna Barbarorum multitudine collatis manibus, omnes, in primis Artabazes, mira edentes facinora, impetum fortissime sustinebant. Iam Romani Duces, composita inter se lite de praeda Veronensi, cum caeteris copiis pergebant ad urbem: cuius portas cum offendissent clausas, et hostem validissime repu-

τε τοὺς πολεμίους ἀμυνομένους ὀπίσω κατὰ τάχος ἀπήλαυνον, καίπερ μαχομένους ἐντὸς τοῦ περιβόλου τοὺς ἑταίρους θεώμενοι καὶ δεομένους μὴ σφᾶς ἀπολιπεῖν, ἀλλ' αὐτοῦ μένειν, ἕως ἂν καταφυγόντες ἐς αὐτοὺς σώζοιντο. διὸ δὴ οἱ ἀμφὶ τὸν Ἀρταβά- D
ζην τῷ τε πλήθει βιαζόμενοι τῶν πολεμίων καὶ ἀπογνόντες τὴν ἀπὸ τῶν οἰκείων ἐπικουρίαν, ἀπὸ τοῦ τείχους ἔξω ἥλαντο ἅπαντες. οἷς μὲν καταπεσεῖν ἐφ' ὁμαλοῦ χωρίου ξυνέβη, οὗτοι δὴ ἀθῷοι ἐς τὸ Ῥωμαίων στρατόπεδον ἐκομίσθησαν, ἐν τοῖς καὶ Ἀρταβάζην τετύχηκεν εἶναι, ὅσοι δὲ ἐς δυσχωρίας κατέπεσον, αὐτοῦ ἅπαντες διεφθάρησαν. ἐπεὶ δὲ Ἀρταβάζης ἐς τὸ Ῥωμαίων στρατόπεδον ἦλθε, πολλά τε ὀνειδίσας καὶ λοιδορησάμενος ἅπασι ξὺν αὐτοῖς ἦει. τόν τε Ἠριδανὸν διαβάντες ἐν Φαβεντίᾳ πόλει ἐγένοντο, ἣ χώρας μὲν τῆς Αἰμιλίας ἐστί, σταδίους δὲ εἴκοσι καὶ ἑκατὸν Ῥαβέννης διέχει.

δ'. Τωτίλας δὲ τὰ ἐν Βερώνῃ ξυμπεσόντα μαθὼν Γότ- P 474
θων τε τῶν ἐκ Βερώνης πολλοὺς μετεπέμψατο, καὶ ἐπεὶ παρῆσαν V 116
παντὶ τῷ στρατῷ, εἰς πεντακισχιλίους ὄντι, ἐπὶ τοὺς ἐναντίους ἦει. ὃ δὴ μαθόντες οἱ τοῦ Ῥωμαίων στρατοῦ ἄρχοντες τὰ παρόντα σφίσιν ἐν βουλῇ ἐποιοῦντο. καὶ παρελθὼν Ἀρταβάζης ἔλεξε πρὸς αὐτοὺς τοιάδε „Μηδεὶς ὑμῶν, ἄνδρες ἄρχοντες, ὑπερφρονεῖν τῶν πολεμίων, ἅτε ἡμῶν τῷ πλήθει ἐλασσουμένων, τανῦν ἀξιούτω, μηδέ, ὅτι πρὸς τοὺς Βελισαρίῳ δεδουλωμένους ἀγωνίζεται, λογισμῷ ἀναπεπτωκότι ἐπ' αὐτοὺς ἴτω. πολλοὶ B

13. χώρας] χώρα Maltretus. Et sic L. 14. Ῥαβέννης om. L.

guantem, ilicet retro cesserunt, quamvis socios viderent in urbe confligentes, obsecrantesque ne se desererent, at tantisper subsisterent, dum reciperent se ad ipsos. Quamobrem qui erant cum Artabaze, numero hostium obruti, ac suorum desperantes auxilium, cuncti saltu de muro foras praecipites dedere sese. Qui in planum ciderunt, ad Romanum exercitum properarunt incolumes: ex quibus fuit Artabazes. Qui vero in salebras prolapsi sunt, ibidem omnes interierunt. Romanum Artabazes assecutus exercitum, una perrexit, omnes probris passim increpando. Eridano transito, pervenere Faventiam, quae urbs provinciae est Aemiliae, et Ravenna stadiis cxx. distat.

4. De his, quae Veronae contigerant, certior factus Totilas, Gothorum, qui in illa urbe erant, magnam partem accersit, atque ubi affuere, copias omnes, ad quina millia collectas, in hostem duxit. Quod cum accepissent exercitus Romani Duces, re praesenti in deliberationem vocata, Artabazes sententiam ita protulit. *Nemo vestrum, o Duces, spernendos hostes putet, tanquam nobis inferiores numero; neque ideo, quia cum gente a Belisario domita certamen est, remisso hos animo petat.*

H 263 γὰρ δόξῃ οὐκ ἀληθεῖ ἡπατημένοι σφᾶς αὐτοὺς ἔσφηλαν, καὶ καταφρόνημά τισιν οὐκ ἐν δέοντι ἐγγινόμενον τὴν ὑπάρχουσαν αὐτοῖς καταλῦσαι δύναμιν ἴσχυσεν, ἐπεὶ καὶ ἄλλως ἡ προλαβοῦσα κακοπραγία τούσδε τοὺς ἄνδρας ἐς εὐτυχίαν παρακαλεῖ. τίχη γὰρ εἰς ἀπόγνωσιν ἀγαθῶν ἐλπίδων ἐς εὐτολμίας ὑπερβολὴν περιίσταται. καὶ ταῦτα οὐχ ὑποψίᾳ ταυτῦν ἡγμένος ἐν ὑμῖν εἴρηκα, ἀλλ' οἷς διακινδυνεύσας πρὸς αὐτοὺς ἔναγχος ἐκμεμάθηκα τὴν τῶν ἀνδρῶν τόλμαν. καί μοι νομιζέτω μηδεὶς ξὺν ὀλίγοις τισὶν ἡσσηθέντα τῶν πολεμίων θαυμάσαι τὴν αὐτῶν δύναμιν. ἐπεὶ
C ἀνδρῶν ἀρετὴ καὶ πλήθει ὑπεραιρόντων καὶ τούτῳ ἐλασσουμένων τοῖς γε πρὸς αὐτοὺς διαμαχησαμένοις ἔνδηλος γίνεται. οἶμαι τοίνυν ἡμῖν μᾶλλον ξυνοίσειν τοῦ ποταμοῦ τηρήσασι τὴν διάβασιν τοῖς βαρβάροις, ἐπειδὰν ἐς ἥμισυ διαβαίνοιεν, ἐς χεῖρας ἰέναι ἢ πᾶσιν ἀθρόοις ἤδη γεγενημένοις. μηδενί τε ἄδοξος εἶναι ἡ τοιαύτη δεδόχθω νίκη. δόξαν τε γὰρ καὶ ἀδοξίαν ἡ τῶν πραγμάτων ἀπόβασις ὀνομάζειν φιλεῖ, καὶ τοὺς νενικηκότας εἰώθασιν ἐπαινεῖν ἄνθρωποι, οὐ διερευνώμενοι τῆς νίκης τὸν τρόπον." Ἀρταβάζης μὲν τοσαῦτα εἶπεν. οἱ δὲ δὴ ἄρχοντες τῷ διαμαχομένῳ τῆς γνώμης τῶν δεόντων οὐδὲν ἔπρασσον, ἀλλ' αὐτοῦ μένοντες τὸν καιρὸν ἔτριβον.
D Ἤδη δὲ ὁ τῶν Γότθων στρατὸς ἄγχιστα ἐγεγόνει, καὶ ἐπεὶ διαβαίνειν τὸν ποταμὸν ἔμελλον, ξυγκαλέσας Τωτίλας ἅπαντας τοιαῦτα παρεκελεύσατο „Αἱ μὲν ἄλλαι ξύμπασαι μάχαι, ὦ ἄν-

10. τούτῳ Lm. τούτων P.

Multi opinione falsa spem ipsi suam fefellerunt; nec defuere, qui praeposterо aliorum contemptu potentiam, quam adepti erant, everterint. Accedit in primis, quod cum viris res nobis est, quos pristina infelicitas ad successus invitat prosperos, summam pariente audaciam desperata fortuna. Atque haec ego iam vobis dico, non suspicione caeca inductus, sed in recenti conflictu probe expertus eorum animum. Nec quisquam existimet male me illorum vires mirari, qui me paucis succinctum vicerint. Virorum enim virtus, sive plures numero sint, sive pauciores, sat illis patet, quibuscum pugnant. Itaque satius fore censeo, positis ad fluvii traiectum custodibus, Barbaros, ubi dimidia pars ipsorum transierit, aggredi, quam omnes iam in unum coactos. Nec parum decora videatur cuiquam victoria eiuscemodi. Quod enim pulchrum vel turpe dicitur inceptum aliquod, id ab ipsius exitu petitur, et victores laudari solent, non disquirendo quo parta modo victoria fuerit. Ea quidem Artabazes suasit: at in contrarias sententias distracti Duces, nihil, quod e re esset, egerunt, ibique resides trivere tempus.

Iam vero Gotthorum exercitus appropinquabat: cumque ad traiectum fluminis ventum est, Totilas advocata concione, hac oratione suos accendit. *In aliis quidem praeliis, populares mei, proposita exercitibus*

ὄρες ξυγγενεῖς, ὁμοίαν τινὰ μάχην ἐκ τοῦ ἐπὶ πλεῖστον ἐπαγγελλόμεναι τοῖς στρατοπέδοις ἐς τὴν ἀγωνίαν ὁρμῶσιν, ἡμεῖς δὲ τοῖς πολεμίοις οὐκ ἐξ ἀντιπάλου τῆς τύχης, ἀλλὰ πολλῷ τῷ διαλλάσσοντι χρώμενοι ἐς τὸν ἀγῶνα καθιστάμεθα τόνδε. οἱ μὲν γὰρ ἡσσηθέντες, ἂν οὕτω τύχῃ, οὐκ εἰς μακρὰν ἀναμάχεσθαι πρὸς P 475
ἡμᾶς ἔξουσιν. ἔν τε γὰρ τοῖς ὀχυρώμασιν Ἰταλίας ἁπάσης πλῆθος αὐτοῖς στρατιωτῶν ἀπολέλειπται καὶ ἄλλο στράτευμα ἐκ Βυζαντίου αὐτίκα δὴ μάλα ἐπιβοηθήσειν οὐδὲν ἀπεικός. ἡμῶν δὲ ταὐτὸ τοῦτο παθόντων τὸ Γότθων ὄνομα μετὰ τῆς ἐλπίδος ἀπολωλέναι λελείψεται. ἐκ μυριάδων γὰρ εἴκοσιν ἐς πεντακισχιλίους ἡμᾶς ἀποκεκρίσθαι ξυμβέβηκε. τοσαῦτα ὑπειπὼν κἀκεῖνο ὑμᾶς ὑπομνῆσαι οὐκ ἄπο τρόπου οἶομαι εἶναι, ὡς ἡνίκα μὲν ξὺν Ἰλδιβάδῳ ὅπλα ἀνταίρειν βασιλεῖ ἔγνωτε, τὸ μὲν πλῆθος ὑμῖν οὐ πλεῖον ἢ ἐς χιλίους ξυμβιοῦν ἔτυχεν, ἡ δὲ χώρα περιίστατο ξύμπασα ἐς Τίκινον πόλιν. ἐπεὶ δὲ τῇ ξυμβολῇ γεγόνατε κρείσσους, ἐπίπροσθεν ὑμῖν τά τε τῆς στρατιᾶς καὶ τῆς χώρας κεχώρηκεν. ὥστε ἦν καὶ νῦν ἀνδραγαθίζεσθαι ἢ βουλομένοις ὑμῖν, προϊόντος, ὡς τὸ εἰκὸς, τοῦ πολέμου τὸ πάντως κρατήσειν τῶν ἐναντίων ἐλπίδα ἔχω. τοῖς γὰρ νενικηκόσιν ἀεὶ τὰ πλείοσί τε καὶ δυνατωτέροις γεγονέναι ξυμβαίνει. προθυμείσθω τοίνυν ὑμῶν ἕκαστος παντὶ σθένει τοῖς πολεμίοις ὁμόσε χωρεῖν τὴν μάχην ἐξεπιστάμενος τὴν νῦν οὐκ εὐδοκιμηκόσιν ἡμῖν ἀναμάχεσθαι πρὸς τοὺς ἐναντίους ἀμήχανον. ἄξιον δὲ ἡμᾶς μετὰ τῆς ἀγαθῆς ἐλπίδος τοῖς πολεμίοις ἐς χεῖρας ἰέναι, τῇ τῶν ἀνδρῶν ἀδικίᾳ θαρροῦν- B

15. Τίκινον] κικηνῶν HL. 16. τῆς χώρας L. Aberat τῆς.

plerumque Martis aequa conditio ad dimicandum impellit animos. Nos vero nequaquam pari cum hostibus conditione, at longe diversa, hoc certamen invadimus. Illi certe, si forte victi fuerint, brevi pugnam reparare poterunt, cum passim militum vim magnam reliquerint in Italiae munitionibus, et facile appareat alias copias Byzantio propediem subsidio venturas. Nobis autem si clades incidat, funditus et spem et nomen Gothicum tollet. Ecce enim ad quina millia ex ducentis millibus redacti sumus. Addo aliud, quod in memoriam reducere non alienum esse iudico. Quando in Imperatorem arma cum Ildibado tollere decrevistis, non amplius mille eratis convictu iuneti, omnisque vestra ditio unius urbis Ticini ambitu claudebatur. Sed vobis victoriam adeptis acie, exercitus et ditio creverunt. Itaque si rem fortiter iam etiam vultis gerere, spero, nec temere, fore ut procedente bello, omnino hostem debellemus. Victores enim in dies numero augentur ac viribus. Alacri igitur quisque animo totisque viribus invadat hostes, probe memor haud posse fieri ut bellum redintegremus, si semel hoc nobis praelium male cesserit. Porro convenit conferre manum spe fretos

τας. οὕτω γὰρ αὐτοῖς τὰ ἐς τοὺς κατηκόους βεβίωται ὥστε Ἰταλιώταις τανῦν τῆς τετολμημένης οὐ δέον αὐτοῖς ἐς Γότθους προ-
C δοσίας κολάσεως οὐδεμιᾶς ἑτέρας προσδεῖν· οὕτω ξυλλήβδην εἰ-
V 117 πεῖν ξύμπαντα αὐτοῖς τὰ κακὰ πρὸς τῶν ὑποδεχθέντων γενέσθαι ξυνέβη. τί δ' ἂν πολεμίων εὐαλωτότερον γένοιτο οἷς γε τὰ ἐκ τοῦ θεοῦ δῆτα πεπραγμένα οὐχ ὑγιῶς ἔχει; καὶ δὴ καὶ τὸ ἐξ ἡμῶν ἐς αὐτοὺς δέος ἐλπίδα ἂν ἡμῖν ἐς τὸν ἀγῶνα τίθεσθαι πρέποι. οὐ γὰρ ἐπ' ἄλλους τινὰς ἀνθρώπων χωροῦμεν ἢ ὅσοι ἔναγχος ἐν μέσῃ Βερώνῃ γενόμενοι μεθέντες τε οὐδενὶ λόγῳ, καίπερ διώκοντος τῶν πάντων αὐτοὺς οὐδενός, οὕτω δὴ αἰσχρῶς ἐς φυ-
D γὴν ὥρμηνται."

Τοσαῦτα ὁ Τωτίλας παρακελευσάμενος τῶν οἱ ἑπομένων τριακοσίους ἐκέλευεν, ὅσον ἀπὸ σταδίων εἴκοσι τὸν ποταμὸν διαβαίνοντας, κατόπισθεν τοῦ τῶν πολεμίων στρατοπέδου γενέσθαι, καὶ ἐπειδὰν ἡ μάχη ἐν χερσὶ γένηται, κατὰ νώτου αὐτῶν ἰόντας βάλλειν τε καὶ ἐνοχλεῖν δυνάμει τῇ πάσῃ, ὅπως ἐκεῖνοι ξυνταραχθέντες οὐδεμιᾶς ἀλκῆς μνήσωνται. αὐτὸς δὲ τῷ παντὶ ἄλλῳ στρατῷ αὐτίκα τὸν ποταμὸν διαβὰς εὐθὺ τῶν ἐναντίων ἐχώρει· οἱ δὲ Ῥωμαῖοι εὐθὺς ὑπηντίαζον. ἐπειδή τε ἀμφότεροι ὁδῷ ἰόν-
H 264 τες ἐγγυτέρω τε ἀλλήλων ἐγένοντο, Γότθος ἀνὴρ, Οὐιλίαρις ὄνομα, μέγας τε τὸ σῶμα καὶ τὸ εἶδος φοβερὸς ἅμα, ἔτι μέντοι δραστήριός τε καὶ ἀγαθὸς τὰ πολέμια, τὸν ἵππον ἐξελάσας πρὸ τοῦ ἄλλου στρατοῦ ἐν μεταιχμίῳ ἔστη, τεθωρακισμένος τε καὶ

2. αὐτοῖς] αὐτοὺς H: illud Hm. 4. ὑποδεχθέντων] ὑποστάντων L et Hm. 5. γε om. L. 20. Οὐιλίαρις P. οὐάλαρις Vat. οὐαλίαρις Reg. οὐαλιάριος H, infra cum P consentiens.

optima, quam ipsa hostium improbitas vobis offert. Nam ita cum subditis egerunt, ut Italis, Gotthos prodere male ausis, nullam amplius poenam irrogare necesse sit: adeo illis, ut summatim dicam, genus omne calamitatis per eos invectum est, quos amice susceperant. Quid vero expugnatu facilius illo hoste, cui Deus offensus minime favet? Spem etiam secundi praelii facere nobis debet incussus illis a nobis terror. Neque enim alios iam aggredimur, nisi illos ipsos, qui nuper temere relicto, quod occupaverant, Veronae gremio, nemine omnium persequente, turpiter fugerunt.

Ita suos hortatus Totilas, trecentis iniunxit, ut illinc ex stadiis procul xx. transito flumine, pone castra subirent hostium, et ubi ventum ad manus esset, a tergo illos telis pro virili parte impeterent, ut perturbatio omnem promendae virtutis cogitationem auferret. Ipse illico cum reliquis copiis traiecto amne, ad hostes recta contendit. E vestigio Romani obviam eunt: iamque in conspectu proximo utrique steterant, cum vir Gotthus, Viliaris nomine, mole corporis valens, visu terribilis, impiger ac bellicosus, admisso equo processit ante aciem, medioque in campo con-

κράνος ἐν τῇ κεφαλῇ ἔχων, καὶ Ῥωμαίους ἅπαντας προὐκαλεῖτο, εἴ τίς οἱ βούλοιτο ἐς χεῖρας ἰέναι. οἱ μὲν οὖν ἄλλοι κατωρρωδηκότες ἡσυχῇ ἔμενον, Ἀρταβάζης δὲ αὐτῷ ἐς ἀγῶνα κατέστη μόνος. ἄμφω τοίνυν τὼ ἵππω κατ' ἀλλήλων ἐλάσαντες, ἐπειδὴ P 476
ἄγχιστα ἵκοντο, τὰ δόρατα ὤθουν, Ἀρταβάζης δὲ προτερήσας ἔφθασε τὸν Οὐιλίαριν ἐς πλευρὰν τὴν δεξιὰν παίσας. ὁ δὲ βάρβαρος καιρίαν τυπεὶς ὕπτιος ἐς τὴν γῆν πεσεῖν ἔμελλεν, ἀλλά οἱ τὸ δόρυ ἐξόπισθεν ἐπὶ τὸ ἔδαφος ἐπὶ πέτρας τινὸς ἐρεισθὲν πεσεῖν αὐτὸν οὐδαμῇ εἴα. ὁ δὲ Ἀρταβάζης ἐνέκειτο ἔτι μᾶλλον τὸ δόρυ ἐς τὰ τοῦ ἀνδρὸς ὠθῶν ἔγκατα. οὔπω γὰρ αὐτὸν ἤδη ἁλῶναι καιρίᾳ πληγῇ ὑπετόπαζεν. οὕτω τε ξυνέβη Οὐιλιάριδος τὸ τοῦ δόρατος σιδήριον ὀρθόν τι σχεδὸν γεγενημένον τοῦ Ἀρταβάζου θώρακος ἅπτεσθαι, κατὰ βραχύ τε προϊὸν διελθεῖν μὲν τὸν θώρακα ὅλον, ὀλισθῆσαν δὲ τοῦ δέρματος ἀμφὶ τὸν Ἀρταβάζου B
αὐχένα ψαῦσαι. τύχῃ τέ τινι ἀρτηρίαν ἐνταῦθά πη οὖσαν ἐπιπροσθὲν ἰὼν ὁ σίδηρος τέμνει, καὶ ῥύσις αὐτίκα πολλοῦ αἵματος ἦν. αἴσθησις δὲ ὀδύνης οὐδεμία τῷ ἀνθρώπῳ ἐγίνετο, ἀλλ' αὐτὸς μὲν ἐς τὸ Ῥωμαίων στράτευμα τὸν ἵππον ἀπήλαυνεν, Οὐιλλαρις δὲ νεκρὸς αὐτοῦ ἔπεσε. καὶ Ἀρταβάζης δὲ, τοῦ αἵματος οὐκέτι λωφήσαντος, τριτῃ ὕστερον ἡμέρᾳ ἐξ ἀνθρώπων ἠφάνιστο, Ῥωμαίοις τε κατέσεισε τὴν πᾶσαν ἐλπίδα, ἐπεὶ καὶ τότε ἀπόμαχος ἐν τῇ ξυμβολῇ ταύτῃ γενόμενος οὐκ ἐπὶ μικροῖς τὰ πράγματα αὐτὸς ἔσφηλεν. ὁ μὲν γὰρ ἔξω βελῶν γεγονὼς τοῦ τραύ-

15. πη] Vulgo ποι.

stitit, lorica munitus et galea, atque e Romanis omnibus unum aliquem, quicunque vellet, in certamen poposcit. Huic unus obtulit sese Artabazes, caeteris gravi metu defixis. Ergo equis concurrunt adversis ambo: hisque admotis proxime, hastas contorquent. Promptior Artabazes dexterum Viliaris latus confodit. Barbarus, letali accepto vulnere, supinus in terram casurus erat: sed ipsius hasta, a tergo humi fulta ad petram, eum sustinuit a lapsu. Tum Artabazes magis ac magis conniti, ut hastam in viri viscera adigeret, illum letaliter nondum saucium ratus. Hic forte accidit, ut cuspis hastae Viliaridis, quae pene arrecta erat, loricam Artabazis contigerit, ac sensim progrediendo, per eamdem ascenderit lubrica, donec ad collum Artabazis illapsa, cutem perstrinxit. Casu quodam insinuans sese altius ferrum, illius partis arteriam rupit: unde multo statim sanguine sine ullo doloris sensu defluente, ad Rom. ille aciem se equo retulit: Viliaris autem exanimis ibi concidit. Artabazes, cum sistere non posset sanguinem, tertio post die efflavit animam, Romanorum spe penitus convulsa; quorum rebus haud parum nocuit, in eo certamine factus ad pugnandum inutilis. Nam illo extra teli iactum curante vul-

C ματος ἐπεμελεῖτο, τὰ δὲ στρατεύματα ξυνηνέχθη ἐς χεῖρας ἐλθεῖν. καρτερᾶς δὲ γενομένης τῆς ξυμβολῆς οἱ τριακόσιοι βάρβαροι κατόπισθεν τοῦ Ῥωμαίων στρατοῦ ὁδῷ ἰόντες ἐκ τοῦ αἰφνιδίου ἐφάνησαν, οὓς δὴ κατιδόντες Ῥωμαῖοι καὶ πολὺ πλῆθος εἶναι τῶν σφίσι μαχομένων οἰόμενοι ἔς τε ὀρρωδίαν ἔπεσον καὶ αὐτίκα δὴ ἐς φυγὴν ὥρμηντο, ὥσπερ ἑκάστῳ δυνατὰ γέγονε. φεύγοντάς τε οἱ βάρβαροι οὐδενὶ κόσμῳ Ῥωμαίους ἔκτεινον, καὶ πολλοὺς μὲν αὐτῶν ζωγρήσαντες ἐν φυλακῇ εἶχον, τὰ δὲ σημεῖα ξύμπαντα ἔλαβον, ὅπερ οὔπω πρότερον Ῥωμαίοις ξυνέπεσε. τῶν τε ἀρχόντων ὡς ἕκαστός πη ἐδύνατο ξὺν ὀλίγοις τισὶν ἔφευγε, καὶ τὰς πόλεις ὅπη ἔτυχον διασωθέντες ἐφύλασσον.

D ε'. Χρόνῳ τε Τωτίλας οὐ πολλῷ ὕστερον στράτευμα ἐπί τε Ἰουστῖνον καὶ Φλωρεντίαν ἔπεμψεν, οἷς δὴ ἄρχοντας Γότθων τοὺς μαχιμωτάτους ἐπέστησε, Βλέδαν καὶ Ῥουδορίχον καὶ Οὐλλίαριν. οἵπερ ἐπειδὴ ἐς Φλωρεντίαν ἦλθον, ἐγκαθεζόμενοι ἀμφὶ τὸ τεῖχος ἐς πολιορκίαν καθίσταντο. Ἰουστῖνος δὲ ξυνταραχθεὶς ἐπεὶ τῶν ἐπιτηδείων ἐσκομισάμενος οὐδὲν ἔτυχεν, ἔπεμψεν ἐς Ῥά-
P 477 βενναν πρὸς τοὺς τοῦ Ῥωμαίων στρατοῦ ἄρχοντας, βοηθεῖν σφίV 118 σι κατὰ τάχος δεόμενος. νύκτωρ τε ὁ σταλεὶς τοὺς πολεμίους λαθὼν ἐς Ῥάβεννάν τε ἀφίκετο καὶ τὰ παρόντα σφίσιν ἀπήγγειλε. διὸ δὴ στράτευμα Ῥωμαίων λόγου ἄξιον εὐθὺς ἐς Φλωρεντίαν ἦει, ὧν Βέσσας τε καὶ Κυπριανὸς καὶ Ἰωάννης ὁ Βιταλιανοῦ ἀδελφιδοῦς ἡγοῦντο. ὅπερ ἐπεὶ Γότθοι πρὸς τῶν κατασκόπων

14. *Οὐλλίαριν*] *οὐιλίαριν* HL.

nus, coortae sunt in praelium acies: quo fervente, trecenti Barbari, pone Romanum exercitum progressi, repente apparuerunt. Conspicati illos Romani, ac sibi rem esse rati cum maioribus copiis, exhorruerunt metu, ac fugae statim pro sua quisque parte se commendarunt. Foede fugientium stragem fecere Barbari: multos cepere vivos et in custodiam tradiderunt, signisque omnibus potiti sunt: quod certe nunquam Romanis acciderat. Ducum quisque, ut potuit, proripuit sese cum paucis: tum urbibus, quibus se commiserant, servandis dederunt operam.

5. Haud multo post, adversus Iustinum et urbem Florentiam Totilas exercitum misit, eique Duces praefecit Gotthorum bellicosissimos, Bledam, Rodericum, atque Uliarin. Qui cum pervenissent Florentiam, castris circum moenia positis, obsidionem capessunt. Iustinus eo turbatus, quod nullos commeatus sibi providisset, Ravennam mittit, qui promptum ab exercitus Romani Ducibus auxilium petat. Is qui profectus est, cum hostes noctis beneficio latuisset, Ravennam attigit, et quo res loco essent renuntiavit. Quapropter nulla interposita mora validus Romanorum exercitus Florentiam iter intendit, ducibus Bessa, Cypriano et Ioanne, qui ex sorore nepos erat Vitaliani. Id Gotthi simul ut ab exploratoribus

ἐπύθοντο, λύσαντες τὴν προσεδρείαν, ἀνεχώρησαν εἰς χωρίον Μουκέλλην ὄνομα, Φλωρεντίας διέχον ἡμέρας ὁδόν. ἐπεὶ δὲ ὁ Ῥωμαίων στρατὸς Ἰουστίνῳ ξυνέμιξεν, ὀλίγους μέν τινας τῶν αὐτῷ ἑπομένων ἐπὶ φυλακῇ τῆς πόλεως αὐτοῦ εἴασαν, αὐτοὶ δὲ τοὺς ἄλλους ἐπαγόμενοι ἐπὶ τοὺς πολεμίους ἐχώρουν. καὶ αὐτοῖς B ὁδῷ πορευομένοις ξυμφορώτατον ἔδοξεν εἶναι τῶν ἀρχόντων ἕνα παντὸς τοῦ στρατοῦ τὸν λογιμώτατον ἀπολεξαμένους πρόσω ἰέναι καὶ αὐτὸν ἐξ ἐπιδρομῆς τοῖς πολεμίοις ἀπροσδόκητον ἐς χεῖρας ἐλθεῖν, τὸ δὲ ἄλλο στράτευμα σχολῇ βαδίζον ἐνταῦθα ἰέναι. κλήρους τε ἐπὶ τούτοις ἐμβεβλημένοι τὴν τῆς τύχης ἐκαραδόκουν ἐς τοῦτο γνώμην. καὶ ὁ μὲν κλῆρος ἐκπεπήδηκεν ἐς Ἰωάννην, οὐκέτι δὲ βουλομένοις τοῖς ἄρχουσιν ἦν ἐπιτελεῖν τὰ ξυγκείμενα. διὸ δὴ ξὺν τοῖς ἑπομένοις Ἰωάννης ἠνάγκαστο ἐπίπροσθεν ἰὼν ἐπὶ τοὺς πολεμίους χωρεῖν. οἱ δὲ βάρβαροι τὴν τῶν ἐναντίων ἔφοδον γνόντες τὸ μὲν πεδίον, οὗ δὴ ἐνστρατοπεδευσάμενοι ἐτύγ- H 265 χανον, δέει πολλῷ ἀπολιπεῖν ἔγνωσαν, ἐς λόφον τινὰ δὲ μέγαν, C ὃς ταύτῃ ἀνέχει, ξὺν θορύβῳ ἀνέδραμον. ἐπεὶ δὲ οἱ ἀμφὶ τὸν Ἰωάννην ἐνταῦθα ἐγένοντο, ἀναδραμόντες καὶ αὐτοὶ ἐπὶ τοὺς πολεμίους ἔργου εἴχοντο. καρτερῶς τε τῶν βαρβάρων ἀμυνομένων ὠθισμός τε πολὺς γέγονε καὶ πολλοὶ ἑκατέρωθεν ἔργα ἐνδεικνύμενοι θαυμαστὰ ἔπιπτον. Ἰωάννου δὲ κραυγῇ τε καὶ ταραχῇ πολλῇ ἐπὶ τοὺς κατ' αὐτὸν πολεμίους ὁρμήσαντος ξυνέβη τῶν δορυφόρων τῶν αὐτοῦ ἕνα πρός του τῶν πολεμίων ἀκοντίῳ βλη-

2. *Μουκέλλην*] *μυκάλην* HL. 20. *ὠθισμός*] *ὀθησμός* HL: illud Hm.

accepere, soluta obsidione, recesserunt Mucellam usque: id loco nomen est, diei iter Florentia dissito. Postquam Romanae copiae Iustino se adiunxerunt, eorum, qui cum ipso erant, paucis ad urbis custodiam relictis, hostem petiere cum caeteris. In via id optimum factu visum est, ut e numero Ducum unus in omni exercitu spectatissimus deligeretur; qui cum suis praeiret, hostemque impetu improviso adoriretur, dum reliquae copiae lentius eo vaderent. Coniectis sortibus, expectabant fortunae iudicium, cum Ioanni sors obtigit: at iam conventis stare Duces renuebant. Tum Ioanni necesse fuit cum suis in hostes tendere. Barbari, Romanorum adventu cognito, campum, in quo castra locaverant, trepide linquunt, et cursu in vicinum collem, valde editum, tumultuose evadunt. Progressus illuc Ioannes, cursu et ipse rapido hostem petens, rem aggreditur. Repugnantibus viriliter Barbaris, alteros alteri trudebant acriter, et utrinque multi, mira patrantes facinora, cadebant. Dum vero Ioannes turbatius et cum magno clamore in agmen sibi adversum irruit, hostium quidam e Protectoribus eius unum iaculo forte percussum

θέντα πεσεῖν· ἀπ' αὐτοῦ τε Ῥωμαῖοι ἀποκρουσθέντες ὀπίσω ἐχώρουν. ἤδη δὲ καὶ ὁ λοιπὸς τῶν Ῥωμαίων στρατὸς ἐς τὸ πεδίον ἀφικόμενοι φάλαγγά τε ποιησάμενοι ἵσταντο. καὶ εἰ μὲν φυ-
D γόντας τοὺς ἀμφὶ τὸν Ἰωάννην ἐδέξαντο, ξὺν αὐτοῖς ἂν ὁμόσε τοῖς πολεμίοις χωρήσαντες ἐνίκησάν τε τῇ ξυμβολῇ καὶ σχεδόν τι ἅπαντας ἐλεῖν ἴσχυσαν. ἀλλὰ τύχῃ γέ τινι ξυνέβη ἐς τὸ Ῥωμαίων στρατόπεδον φήμην οὐκ ἀληθῆ περιφέρεσθαι, ὡς δὴ Ἰωάννης πρός του τῶν αὐτοῦ δορυφόρων ἐν τῷ ἔργῳ τούτῳ ἐξ ἀνθρώπων ἀφανισθείη. ἐπεί τε ὁ λόγος πρὸς τοὺς ἄρχοντας ἦλθε, μένειν ἐνταῦθα οὐκέτι ἠξίουν, ἀλλ' ἐς ὑπαγωγὴν αἰσχράν τινα ξύμπαν-
τες ἦισαν. οὐδὲ γὰρ ξυντεταγμένοι οὐδὲ κατὰ ξυμμορίας τινὰς, ἀλλ' αὐτὸς ἕκαστος ὡς πη ἐδύνατο ἐς φυγὴν ὥρμητο. καὶ πολλοὶ μὲν ἐν τῇ φυγῇ ταύτῃ ἀπώλοντο, ὅσοι μέντοι διεσώθησαν ἡμέρας πολλὰς οὐδαμῇ διωκόμενοι ἔφευγον. χρόνῳ τε ὕστερον
P 478 ὡς ἑκάστῳ ἔτυχεν ἐς ὀχυρώματά τινα ἐσελθόντες ἄλλο οὐδὲν ἀπήγγελλον τοῖς ἐντυγχάνουσιν ἢ ὅτι τεθνεὼς Ἰωάννης εἴη. καὶ ἀπ' αὐτοῦ οὔτε ξυνεμίγνυντο ἔτι ἀλλήλοις οὔτε ξυνίστασθαι τὸ λοιπὸν ἐπὶ τοὺς πολεμίους διενοοῦντο, ἀλλ' ἕκαστος τοῦ κατ' αὐτὸν περιβόλου ἐντὸς ἔμενε καὶ τὰ ἐς πολιορκίαν ἡτοίμαζε, δεδιὼς μὴ οἱ βάρβαροι ἐπ' αὐτὸν ἴωσι. Τωτίλας δὲ φιλοφροσύ-
νην ἐς τοὺς αἰχμαλώτους πολλὴν ἐνδεικνύμενος, προσποιεῖσθαί τε αὐτοὺς ἴσχυσε καὶ τὸ λοιπὸν ἐθελούσιοι ξὺν αὐτῷ οἱ πλεῖστοι ἐπὶ Ῥωμαίους ἐστράτευον. καὶ ὁ χειμὼν ἔληγε, καὶ ἕβδομον ἔτος ἐτελεύτα τῷ πολέμῳ τῷδε, ὃν Προκόπιος ξυνέγραψεν.

15. ἐσελθόντες] εἰσελθόντες L.

sternit, ac repulsi inde Romani pedem referunt. Iam caeterae in campo aderant Rom. copiae, acieque instructa stabant. Ac si Ioannis catervas in fugam versas recepissent, cum ipsis facto in hostes impetu, vicissent praelio, atque omnes fere cepissent. Sed casu quodam per Romanum exercitum dissipatus est falsus rumor, Ioannem manu Protectoris cuiusdam sui in eo conflictu interiisse. Quod ubi ad Ducum aures pervenit, diutius ibi nemo manere voluit: verum omnes inde se proripuerunt foedissime: quippe soluta penitus acie, non manipulatim, at singuli seorsum, prout potuere, cepere fugam: in qua periere non pauci. Qui vero salvi elapsi sunt, nemine instante, dies multos fugerunt. Deinde alias alii munitiones ingressi, ut cuique sors obtulit, nihil aliud obviis, nisi Ioannis obitum nuntiabant. Nec iam amplius communicabant inter se, neque illis animus erat sociare in hostem vires: sed muros quisque suos fovebat, seque ad obsidionem parabat, metuens ne a Barbaris peteretur. Totilas vero captivos prolixi animi significatione ita sibi devinxit, ut plerique postmodum in Romanos ei sponte militaverint. Exacta hieme, annus finitur septimus huius belli, quod Procopius monumentis mandavit.

ς'. Ἔπειτα δὲ ὁ Τωτίλας Καισήνην τε καὶ Πέτραν τὰ B
φρούρια εἷλεν. ὀλίγῳ τε ὕστερον ἐς Τουσκίαν ἀφίκετο, καὶ τῶν
ἐνταῦθα χωρίων ἀποπειρασάμενος, ἐπεί οἱ προσχωρεῖν οὐδεὶς
ἤθελε, Τίβεριν τὸν ποταμὸν διαβὰς, ἐς μὲν τὰ Ῥώμης ὅρια οὐ-
δαμῆ ἦλθεν, ἐς Καμπανοὺς δὲ καὶ Σαμνίτας αὐτίκα ἦκων Βενε- V 119
βεντὸν πόλιν ἐχυρὰν παρεστήσατο οὐδενὶ πόνῳ, καὶ αὐτῆς τὰ
τείχη ἐς ἔδαφος καθεῖλεν, ὅπως μὴ στράτευμα ἐκ Βυζαντίου
ἥκον ἔκ τε ὀχυροῦ ὁρμώμενον πράγματα Γότθοις παρέχειν δύνη-
ται. μετὰ δὲ Νεαπολίτας πολιορκεῖν ἔγνω, ἐπεὶ αὐτὸν δέχεσθαι C
τῇ πόλει, καίπερ ἐπαγωγὰ πολλὰ λέγοντα, ὡς ἥκιστα ἤθελον.
Κώνων γὰρ ἐνταῦθα ἐφύλασσε, Ῥωμαίων τε καὶ Ἰσαύρων χιλίους
ἔχων. καὶ αὐτὸς μὲν τῷ πλείονι τοῦ στρατοῦ ἐνστρατοπεδευσά-
μενος οὐ πολλῷ ἄποθεν τοῦ περιβόλου ἡσύχαζε, πέμψας δὲ τῆς
στρατιᾶς μοῖραν, Κύμην τε τὸ φρούριον καὶ ἄλλ' ἄττα ὀχυρώ-
ματα εἷλε, χρήματά τε ἐνθένδε περιβαλέσθαι μεγάλα ἴσχυσε.
καὶ γυναῖκας τῶν ἐκ βουλῆς ἐνταῦθα εὑρὼν οὔτε ὕβρισεν, ἀλλὰ
καὶ ξὺν πολλῇ φιλοφροσύνῃ ἐλευθέρας ἀφῆκε, μέγα τε ἀπ' αὐτοῦ D
ὄνομα ἐπί τε ξυνέσει καὶ φιλανθρωπίᾳ ἐς Ῥωμαίους ἅπαντας
ἔσχε. καὶ ἐπεί οἱ πολέμιον οὐδὲν ἀπηντίαζεν, ὀλίγους ἀεὶ τοῦ
στρατοῦ περιπέμπων ἔργα λόγου πολλοῦ ἄξια ἔπρασσε. Βρυτ-
τίους μὲν καὶ Λευκανοὺς παρεστήσατο, καὶ Ἀπουλίαν ξὺν Κα-
λαβρίᾳ ἔσχε, τούς τε δημοσίους φόρους αὐτὸς ἔπρασσε, καὶ τὰς
τῶν χρημάτων προσόδους ἀντὶ τῶν τὰ χωρία κεκτημένων ἐφέρετο, P 479

1. *Καισήνην*] *κισίναν* H. 20. *Βρυττίους*] Vulgo *Βριτίους*. Conf. ad p. 508 a.

6. Dein Totilas Caesenam ac Petram castella cepit. Aliquanto post in Tusciam sese contulit, ac tentatis regionis illius oppidis, cum ei permittere se nemo vellet, traiecto flumine Tiberi, Romae finibus abstinuit, et in Campaniam ac Samnium repente ingressus, Beneventum, urbem validam, nullo negotio in potestatem suam redegit, eiusque muros aequavit solo, ne advectae Byzantio copiae, factis e munito loco eruptionibus, Gotthos infestarent. Deinde Neapolitanos, ipsum, multa licet blandissime pollicentem, recusantes in urbem accipere a Cononе Romanorum et Isaurorum mille praesidio defensam, obsidere constituit. Atque ipse quidem haud procul moenibus castra metatus cum maiori parte exercitus mansit: missa vero altera ad Cumanum castellum et caeteras munitiones, iis potitus est, magnamque inde pecuniae vim collegit. Senatorum coniuges ibi nactus, nulla affecit contumelia: immo vero humanissime dimisit liberas. Quo facto magnam prudentiae et benignitatis famam apud Romanos omnes est consecutus. Cum autem nusquam hostes occurrerent, exigua agmina identidem circummittendo, res egit momenti maximi. Brutios, Lucanos, Apulos Calabrosque in ditionem suam subiunxit: vectigalia exegit publica, et pecuniarios proventus a locorum dominis in rem

καὶ τἆλλα καθίστη, ἅτε τῆς Ἰταλίας γεγονὼς κύριος. διὸ δὴ τῇ Ῥωμαίων στρατιᾷ χρόνοις τοῖς καθήκουσιν οὐ κομιζομένῃ τὰς ξυνειθισμένας ξυντάξεις χρήματα μεγάλα βασιλεὺς ὤφειλε. καὶ ἀπ᾽ αὐτοῦ οἱ μὲν Ἰταλιῶται τῶν τε προσηκόντων ἐκπεπτωκότες καὶ ἐς κινδύνου μέγεθος αὖθις ἐληλακότες ἐν πένθει μεγάλῳ ἐγί-
νοντο. οἱ δὲ στρατιῶται ἀπειθεστέρους αὐτοὺς τοῖς ἄρχουσιν ἔτι
H 266 μᾶλλον παρεῖχον, ἔν τε ταῖς πόλεσιν ἄσμενοι ἔμενον. Κωνσταντιανὸς μὲν οὖν Ῥάβενναν εἶχεν, Ἰωάννης δὲ Ῥώμην, Σπολίτιον δὲ Βέσσας, καὶ Ἰουστῖνος Φλωρεντίαν, Κυπριανὸς δὲ Περυσίαν, καὶ τῶν ἄλλων ἕκαστος ὅπη φυγών τε καὶ διασωθεὶς κατ᾽
ἀρχὰς ἔτυχε.

B Ταῦτα βασιλεὺς μαθών τε καὶ ἐν ξυμφορᾷ πεποιημένος τῶν Ἰταλίας πραιτωρίων ἔπαρχον Μαξιμῖνον ὡς τάχιστα κατεστήσατο, ἐφ᾽ ᾧ τοῖς τε ἄρχουσιν ἐς τὸν πόλεμον ἐπιστάτης εἴη καὶ τοῖς στρατιώταις τὰ ἐπιτήδεια κατὰ τὴν χρείαν πορίζηται. καὶ οἱ νεῶν ξυνέπεμψε στόλον, Θρᾳκῶν τε καὶ Ἀρμενίων στρατὸν ἐμπλησάμενος. ἡγεῖτο δὲ τῶν μὲν Θρᾳκῶν Ἡρωδιανός, τῶν δὲ Ἀρμενίων Φάζας Ἴβηρ, Περανίου ἀδελφιδοῦς· ξυνέπλεον δὲ αὐτοῖς καὶ Οὖννοι ὀλίγοι. Μαξιμῖνος μὲν οὖν ἄρας ἐκ Βυζαντίου
C παντὶ τῷ στόλῳ τῆς Ἑλλάδος ἐς τὴν Ἤπειρον ἦλθεν· ἔνθα δὴ τὸν καιρὸν κατατρίβων ἐκάθητο οὐδενὶ λόγῳ. ἦν γὰρ πολεμίων ἔργων οὐδαμῶς ἔμπειρος καὶ ἀπ᾽ αὐτοῦ δειλός τε καὶ μελλητὴς

4. τῶν τε] τε om. L. 7. ἄσμενοι] ἀσμένως L. 9. Βέσσας] βέσας L. 13. Μαξιμῖνον] μαξιμιανὸν L. 16. στρατὸν] στρατοῦ Pm. 20. παντὶ τῷ] τῷ om. L.

suam avertit, caeteraque constituit tanquam Italiae dominus. Ea de causa, cum stipendia consueta statis temporibus non procederent Romanis copiis, multam his pecuniam Imperator debebat. Hinc etiam graviter dolebant Itali: quippe qui et fortunis exturbati suis, et in periculum maximum relapsi essent. Milites magis quam antea refractarios exhibebant se Ducibus, et in urbibus libenter manebant. Ravennam tenebat Constantianus, Romam Ioannes, Spoletium Bessas, Iustinus Florentiam, Cyprianus Perusiam, et aliorum quisque eam urbem, cui iam initio, cum fugeret, se commiserat.

Quae ubi Imperator cognovit, ea calamitatis loco ducens, continuo Praefectum Praetorio Italiae Maximinum creavit, ut et Ducibus in bello praeesset, et militibus praeberet annonas, prout res posceret. Cum eo classem misit, Thracum et Armeniorum copiis plenam. Thracum dux erat Herodianus; Armeniorum Phazas, natione Iber et Peranii ex sorore nepos: una vehebatur modica Hunnorum manus. Ergo Maximinus, postquam Byzantio cum universa Graeciae classe solvisset, in Epirum appulit, ibique sine ulla causa consedit, tempus inutiliter terens. Nam rei bellicae plane rudis, et ea re meticulosus maxime erat atque cunctator.

ἐς τὰ μάλιστα. μετὰ δὲ καὶ Δημήτριον στρατηγὸν βασιλεὺς ἔπεμψεν, ὃς δὴ τὰ πρότερα ξύν γε Βελισαρίῳ ἐστράτευε καταλόγου πεζικοῦ ἄρχων. καταπλεύσας οὖν ὁ Δημήτριος ἐς Σικελίαν, ἐπεὶ Κώνωνά τε καὶ Νεαπολίτας πικρότατα πολιορκεῖσθαι τῶν ἐπιτηδείων παντάπασι σπανίζοντας ἤκουσε, βοηθεῖν μὲν κατὰ τάχος ἤθελεν, ἀδύνατος δὲ ὢν, ἐπεί οἱ στράτευμα βραχύ τε καὶ οὐκ ἀξιόλογον εἵπετο, ἐπενόει τοιάδε. ναῦς ὅτι πλείστας ἐκ Σικελίας ἁπάσης ἀγείρας σίτου τε αὐτὰς ἐμπλησάμενος καὶ τῶν ἄλλων ἐπιτηδείων ἔπλει, δόκησιν παρέχων τοῖς ἐναντίοις πάμπολύ τι στράτευμα ἐν ταῖς ναυσὶν εἶναι. καὶ ἔτυχέ γε τῆς τῶν πολεμίων ἐννοίας. μέγαν γὰρ σφίσιν ἐπιέναι στρατὸν ᾠοντο, τεκμαιρόμενοι ὅτι στόλου πολύ τι χρῆμα πλεῖν ἐκ Σικελίας ἐπύθοντο. καὶ εἰ μὲν κατ' ἀρχὰς εὐθὺ Νεαπόλεως ἰέναι Δημήτριος ἤθελεν, οἶμαι ἂν αὐτὸν ἐκπλῆξαί τε τοὺς πολεμίους καὶ τὴν πόλιν διασώσασθαι, οὐδενός οἱ ἀντιστατοῦντος. νῦν δὲ κατορρωδήσας τὸν κίνδυνον καταίρειν μὲν εἰς Νεάπολιν ἥκιστα ἔγνω, ἐς δὲ τοὺς V 120
Ῥώμης καταπλεύσας λιμένας, στρατιώτας ἐνθένδε ἀγείρειν ἐν P 480
σπουδῇ ἐποιεῖτο. οἱ δέ, ἅτε πρὸς τῶν βαρβάρων ἠσσημένοι τε ἤδη καὶ μέγα δέος ἔτι ἀπ' αὐτῶν ἔχοντες, ἕπεσθαι Δημητρίῳ ἐπὶ Τωτίλαν τε καὶ Γότθους οὐδαμῇ ἤθελον. διὸ δὴ μόνοις τοῖς ἐκ Βυζαντίου ξὺν αὐτῷ ἥκουσιν ἐς Νεάπολιν ἰέναι ἠνάγκαστο. ἦν δέ τις Δημήτριος ἕτερος, Κεφαληνὸς γένος, ναύτης μὲν τὸ πα-

9. πάμπολύ τι] Vulgo πάμπολύ τε. 13. ἰέναι addidi ex Vat. ibid. ἤθελε Vat. Vulgo ἤλθε. 16. ἐς L. εἰς P.

Magistrum quoque militum postea Imperator misit Demetrium, qui antea Belisarium in expeditionem secutus fuerat, cohortem peditum ducens. Hic Demetrius, cum in Siciliam applicuisset, et Cononem ac Neapolitanos arctissima obsidione, summaque cibariorum penuria premi audisset, confestim quidem suppetias afferre voluit: quoniam vero paucis, neque ullo fere habendis numero copiis stipatus, efficere id minime poterat, istud excogitavit. Contracto ex omni Sicilia magno navium numero, cum illis, frumento caeteraque annona onustis, navigavit, speciem hostibus praebens impositi in eas militis plurimi. Neque ab hostium sensu aberravit. Ingentem enim exercitum contra se tendere eo coniiciebant, quod classem maximam e Sicilia profectam audiverant. Ac si ipso statim initio Neapolin recta venisset Demetrius, hostes, mea quidem sententia, perculisset, atque urbem servasset, nemine repugnante. Iam vero territus periculo, Neapolin appellere noluit: sed navibus ad Romae portus applicitis, multum operae in cogendis inde militibus posuit. Illi iam a Barbaris victi, eosque adhuc reformidantes, recusarunt adversus Totilam et Gotthos vadere cum Demetrio. Unde huic necesse fuit cum iis tantum, quos Byzantio duxerat, ire Neapolin. Alter erat Demetrius, genere Cephalenus, olim nauta, rei maritimae et discriminum, quae in ea

λαιὸν καὶ τῶν κατὰ θάλασσαν ἔργων τε καὶ κινδύνων ἀκριβῶς
ἔμπειρος, πλεύσας δὲ ξὺν Βελισαρίῳ ἔς τε Λιβύην καὶ Ἰταλίαν
B ἐγένετο ἐς ταύτην δὴ τὴν ἐμπειρίαν εὐδόκιμος. καὶ ἀπ' αὐτοῦ
ἐπίτροπον βασιλεὺς αὐτὸν Νεαπόλεως κατεστήσατο. ἐπειδή τε
οἱ βάρβαροι τὸ χωρίον πολιορκεῖν ἤρξαντο, ἀσελγείᾳ πολλῇ ἐχό-
μενος ἐς Τωτίλαν συχνὰ ὕβριζεν, λίαν τε ἀθυρόγλωσσος ἐν τού-
τῳ τῷ πόνῳ ὁ ἀνὴρ ὤφθη. προϊόντος δὲ τοῦ κακοῦ καὶ τῆς
ἀπωλείας τοῖς πολιορκουμένοις ἐπὶ μέγα χωρούσης γνώμῃ Κώνω-
νος ἐς λέμβον τινὰ λάθρα ἐμβὰς ἐτόλμησε παρὰ τὸν στρατηγὸν
Δημήτριον ἰέναι μόνος. ἐκ δὲ τοῦ παραδόξου σωθείς τε καὶ ξυγ-
C γενόμενος τῷ Δημητρίῳ ἐθράσυνέ τε μάλιστα καὶ ἐς ταύτην δὴ
τὴν πρᾶξιν ἐνῆγε. Τωτίλας δὲ τὸν πάντα λόγον ἀμφὶ τῷ στόλῳ
τούτῳ ἀκούσας δρόμωνας μὲν πολλοὺς ἄριστα πλέοντας ἐν παρα-
σκευῇ εἶχεν, ἐπεὶ δὲ κατῆραν ἐς τὴν ἐκείνῃ ἀκτὴν οἱ πολέμιοι
Νεαπόλεως οὐ μακρὰν ἄποθεν, ἐκ τοῦ ἀπροσδοκήτου κατέπληξέ
τε καὶ ἐς φυγὴν ἅπαντας ἔτρεψε. καὶ αὐτῶν πολλοὺς μὲν ἔκτει-
νεν, ἐζώγρησε δὲ πλείστους, διέφυγον δὲ ὅσοι ἐς τῶν νεῶν τοὺς
λέμβους ἐσπηδῆσαι κατ' ἀρχὰς ἴσχυσαν, ἐν τοῖς καὶ Δημήτριος
D ὁ στρατηγὸς ἦν. τὰς γὰρ ναῦς ἁπάσας ξὺν αὐτοῖς φορτίοις, αὐ-
τοῖς ἀνδράσιν, οἱ βάρβαροι εἷλον. οὗ δὴ καὶ Δημήτριον τὸν
Νεαπόλεως ἐπίτροπον εἶρον. γλῶσσάν τε καὶ χεῖρας ἄμφω ἀπο-
τεμόντες οὐκ ἔκτειναν μὲν, οὕτω δὲ λωβησάμενοι ὅπη βούλοιτο

4. βασιλεὺς] βασιλέα H: illud Hm. 13. πολλοὺς] πολλὰ H et a pr. m. L: illud Hm et L corr. 16. ἐς] εἰς L.

occurrunt, valde expertus atque intelligens. Qua peritia adeo clarus evasit, quando in Africam atque Italiam navigavit cum Belisario, ut ipsum Neapolis Procuratorem Imperator creaverit. Urbe autem obsideri coepta a Barbaris, multas in Totilam contumelias petulantius iecit, ac nimium effraeni linguae permittere in tali discrimine visus est. Progrediente et obsessis instante gravius calamitate, de Cononis sententia conscenso clam lembo, ausus est Magistrum militiae Demetrium adire solus. Praeter opinionem elapsus incolumis, cum Demetrio sermonem contulit, animo ipsum iussit esse optimo, perpulitque ut cogitata perficeret. Totilas vero plane edoctus cuiusmodi haec classis esset, complures dromones celerrimos in expedito habuit. Simul hostes ad littus illud haud procul Neapoli appulere, de improviso invectus, omnes terrore perculit vertitque in fugam. Caesis multis, vivi in eius manus venere plurimi. Evaserunt, qui ipso statim initio insiluerunt in lembos navium: quo in numero fuit Demetrius Magister militum. Naves cunctas cepere Barbari, earumque onera ac viros: inter quos Demetrium Neapolis Procuratorem nacti, lingua ambabusque manibus ei praecisis, ita mutilato, vitam et ab-

ἀφῆκαν ἰέναι. ταύτην τε Τωτίλᾳ τὴν δίκην Δημήτριος γλώσσης ἀκολάστου ἔξέτισεν.

ζ'. Ὕστερον δὲ καὶ Μαξιμῖνος πάσαις ταῖς ναυσὶ Σικελίᾳ P 481 προσέσχεν. ἔς τε τὰς Συρακούσας ἀφικόμενος ἡσυχῇ ἔμενε, κατορρωδῶν τὰ πολέμια. ἃ δὴ μαθόντες οἱ τοῦ Ῥωμαίων στρατοῦ ἄρχοντες σπουδῇ πολλῇ ἐς αὐτὸν ἔπεμπον, βοηθεῖν κατὰ τάχος δεόμενοι οἵ τε ἄλλοι καὶ Κώνων ἐκ Νεαπόλεως ἰσχυρότατα πρὸς τῶν βαρβάρων πολιορκούμενος. ἤδη γὰρ ἅπαντα σφᾶς τὰ H 267 ἐπιτήδεια ἐπελελοίπει. ὁ δὲ τὸν καιρὸν ἅπαντα ἐν ταύτῃ δὴ κατατρίψας τῇ ὀρρωδίᾳ, ἐπειδὴ τάς τε βασιλέως ἀπειλὰς ἔδεισε καὶ B κακιζόμενος πρὸς τῶν ἄλλων ἀπεῖπεν, αὐτὸς μὲν οὐδέν τι ἧσσον αὐτοῦ ἔμεινε, τὸν δὲ στρατὸν ἅπαντα ξύν τε Ἡρωδιανῷ καὶ Δημητρίῳ καὶ Φάζᾳ ἐς Νεάπολιν ἔπεμψε, σφοδρότατα ἐγκειμένης ἤδη τῆς τοῦ χειμῶνος ὥρας. ἐπεὶ δὲ Νεαπόλεως ὁ Ῥωμαίων στόλος ἀγχοῦ ἐγένετο, κατέβαινε σκληρὸς ἄνεμος, ἐξαίσιόν τινα χειμῶνα ἐγείρων. καὶ ὁ μὲν Φάζας ἅπαντα ἐνεδίδου, ὁ δὲ κλύδων τὰς κώπας ἀνασπᾶν ἢ ἄλλο τι ἐνεργεῖν τοὺς ναύτας οὐκ εἴα. διά τε τῶν ῥοθίων τὸν κτύπον ἀλλήλων ἔτι κατακούειν οὐκ ἦν, ἀλλὰ ξύγχυσίς τε λαμπρῶς ἐκράτει καὶ τοῦ πνεύματος ἐπρυτάνευε C βία, ἥπερ αὐτοὺς ὡς ἥκιστα ἐθελουσίως ἐς τὴν ἀκτὴν ἤνεγκεν, οὗ δὴ ἐστρατοπεδεύοντο οἱ πολέμιοι. ἐπιβαίνοντες οὖν κατ' ἐξουσίαν οἱ βάρβαροι τοῖς σκάφεσι τῶν ἐναντίων, ἔκτεινόν τε καὶ V 121

17. ἀνασπᾶν ἢ] ἀνέσπα καὶ HmPm. 20. ἐς τὴν ἀκτὴν] ἐς γῆν L.

eundi, quocunque vellet, facultatem dederunt. Has demum linguae intemperantis poenas Demetrius Totilae persolvit.

7. Postea Maximinus cum omni classe applicuit in Siciliam, ac Syracusas pervectus, animo belli formidine occupato, ibi consedit. Qua de re certiores facti Romani Duces, ipsum per nuntios, ut venire auxilio maturet, enixe rogant: in primis Conon ex urbe Neapoli instat, a Barbaris obsidione pressus arctissima. Et vero obsessos cibaria iam omnino defecerant. At ille dum ita trepidat, opportunum tempus omne elabi passus, tandem, cum et minas Imperatoris timeret, nec ferre posset aliorum convitia, ipse quidem nihilo ibi minus restitit: omnes vero copias cum Herodiano, Demetrio et Phaza Neapolin misit, ingravescente iam hieme. Neapoli Romana classis appropinquaverat, cum ventus vehemens insurrexit, tempestatemque excitavit gravissimam. Certe Phazas prorsus cedebat, nec nautae remos adducere, aliudve quidpiam agere, procella victi, nec prae fluctuum immani fremitu exaudire se invicem poterant; sed aperte regnabat confusio, et venti vis imperabat: quae invitos ad littus impulit, ubi hostes castra posuerant. Quare Barbari in Romanorum naves ad arbitrium suggressi, nemine prohibente mactabant merge-

κατέδυνον οὐδενὸς σφίσιν ἀντιστατοῦντος. ἐζώγρησαν δὲ ἄλλους τε πολλοὺς καὶ Δημήτριον τὸν στρατηγόν. Ἡρωδιανὸς δὲ καὶ Φάζας ξὺν ὀλίγοις τισὶ διαφυγεῖν ἴσχυσαν, ἐπεὶ αὐτῶν αἱ νῆες οὐ λίαν που ἄγχιστα τοῦ τῶν πολεμίων στρατοπέδου ἦλθον. τὰ μὲν οὖν ἀμφὶ τὸν Ῥωμαίων στόλον ταύτῃ πη ἔσχε. Τωτίλας δὲ καλώδιον ἀναψάμενος ἐς τὸν Δημητρίου αὐχένα, ἕς τε τὸν Νεαπόλεως περίβολον εἶλκε καὶ παραινεῖν τοῖς πολιορκουμένοις ἐκέλευε μηκέτι ἀνονήτοις ἐλπίσι πιστεύοντας διαφθείρεσθαι, ἀλλὰ τὴν πόλιν ὅτι τάχιστα Γότθοις ἐνδιδόντας μεγάλων ἀπηλλάχθαι κακῶν. ἀδύνατον γὰρ βασιλεῖ τὸ λοιπὸν εἶναι ἄλλην σφίσιν ἐπικουρίαν ἰέναι, ἀλλ' ἐπὶ τῷ στόλῳ τούτῳ πᾶσαν αὐτοῖς τήν τε δύναμιν καὶ τὴν ἐλπίδα διολωλέναι. Δημήτριος μὲν τοσαῦτα εἶπεν, ὅσα Τωτίλας ἐκέλευεν. οἱ δὲ πολιορκούμενοι τῷ τε λιμῷ ἤδη καὶ τῇ ἄλλῃ ἀπορίᾳ ὑπερφυῶς πιεζόμενοι, ἐπεὶ τὸ πάθος Δημητρίου εἶδον καὶ τοὺς λόγους ἅπαντας ἤκουσαν, ἀπογνόντες ἐλπίδος ἁπάσης ἕς τε οἰμωγὰς καὶ ἀμηχανίαν ἐνέπιπτον, ἦν τε ἡ πόλις θορύβου πολλοῦ καὶ κωκυτοῦ ἔμπλεως.

Μετὰ δὲ καὶ Τωτίλας αὐτοὺς ξυγκαλέσας ἐς τὰς ἐπάλξεις ἔλεξε τοιάδε „Οὐδεμίαν αἰτίαν ἢ μέμψιν ἐς ὑμᾶς ἔχοντες, ἄνδρες Νεαπολῖται, τανῦν ἐς πολιορκίαν τήνδε κατέστημεν, ἀλλ' ὅπως ἐχθίστων ὑμᾶς ἀπαλλάξαντες δεσποτῶν οἷοί τε ὦμεν τάς τε χάριτας ὑμῶν ἑκάστῳ τιννύναι κατ' ἐξουσίαν, ὥνπερ ἡμᾶς δε-

3. „αὐτῶν αἱ νῆες οὐ λίαν] Vaticani ope emendavi, cum in editione Augustana nulla esset sententia." MALT. αὐτοὶ ἐς οὐλίαν HL. 5. τὸν Ῥωμαίων] τῶν ῥωμαίων L. 8. ἀνονήτοις] ἀνοήτοις L. 18. ξυγκαλέσας] συγκαλέσας L. 21. ὑμᾶς] ἡμᾶς HL. ibid. τάς τε] τε delendum.

bantque fluctibus quos volebant. Multos cepere vivos, atque in his Demetrium Magistrum mil. Herodiano Phazaeque evadere cum paucis licuit: quoniam ipsorum naves haud ita prope ad hostium castra accesserant. Haec Romanae classis fortuna fuit. Totilas autem Demetrii collo resti iniecta, illum traxit ad Neapolis muros, iussitque obsesses hortari, ne se ipsi perderent, spe freti insana, sed urbe Gothis quamprimum dedita, magnis aerumnis se expedirent: cum nihil amplius auxilii mittere posset Imperator, et vires suas omnes spemque in ea sitam classe ipsi amisissent. Haec Demetrius ex Totilae praescripto dixit. Obsessi, iam fame penuriaque pressi extrema, ubi infelicem Demetrii casum oculis, et orationem auribus acceperunt, spe omni deposita, lamentis se dedideruntiguari quo se verterent. Erat urbs tumultu ingenti ac luctu plena.

Post, Totilas quoque, ipsis ad murorum pinnas convocatis, sic verba fecit. *Iam vos, Neapolitani, non eo obsidere aggressi sumus, quo de vobis queramur aliquid: sed potius ut a vobis inimicissimae dominationis depulso iugo, unicuique vestrum libere ac plene persolvere possimus grates*

δρακότες ἐν τῷδε τῷ πολέμῳ τὰ χαλεπώτατα πρὸς τῶν πολεμίων πεπόνθατε. μόνους γὰρ Ἰταλιωτῶν ὑμᾶς ἁπάντων εὔνοιάν τε B τὴν μεγίστην ἐς Γότθων τὸ ἔθνος ἐπιδεδεῖχθαι καὶ ἀκουσίως μάλιστα ὑπὸ τοῖς ἐναντίοις γεγενῆσθαι ξυμβέβηκεν. ὥστε καὶ νῦν πολιορκεῖν ὑμᾶς ξὺν ἐκείνοις ἠναγκασμένοι τὸ πιστὸν ὑμῶν, ὡς τὸ εἰκὸς, αἰσχυνόμεθα, καίπερ οὐκ ἐπὶ τῷ πονηρῷ Νεαπολιτῶν τὴν προσεδρείαν ποιούμενοι. μὴ τοίνυν ἀχθόμενοι τοῖς ἐκ τῆς πολιορκίας δεινοῖς Γότθους οἴεσθε δεῖν δι' ὀργῆς ἔχειν. οἱ γὰρ τοὺς φίλους εὐεργετεῖν ἐπειγόμενοι οὐδεμίαν αἰτίαν εἰσὶν ἄξιοι πρὸς αὐτῶν φέρεσθαι, κἂν μὴ πρὸς ἡδονὴν ἀναγκάζωνται τὴν ἐς αὐτοὺς διαπράσσεσθαι χάριν. τῶν δὲ πολεμίων ὡς ἥκιστα ὑμῖν δέος εἰσίτω, μηδὲ τοῖς προλαβοῦσιν ἠγμένοι κρατήσειν αὐ- C τοὺς ἡμῶν οἴεσθε. τὰ γὰρ τοῦ βίου παράλογα τύχῃ τινὶ παρὰ δόξαν ἐλθόντα τῷ χρόνῳ αὖθις καταρρεῖν εἴωθεν. οὕτω τε ὑμῖν κατέστημεν ὥστε καὶ Κώνωνα καὶ πάντας στρατιώτας κακῶν ἀπαθεῖς ὅπη βούλοιντο ξυγχωροῦμεν ἰέναι, ἤν γε τὴν πόλιν ἐνδόντες ἡμῖν ἐνθένδε ἀπαλλάσσοιντο ὅτι τάχιστα, πάντα τὰ σφέτερα αὐτῶν ἔχοντες· καὶ ὑπὲρ τούτων ἡμᾶς καὶ τῆς Νεαπολιτῶν σωτηρίας ὀμεῖσθαι οὐδὲν κωλύσει." Τωτίλας μὲν τοσαῦτα εἶπεν, ἐπῄνεσαν δὲ οἵ τε Νεαπολῖται καὶ οἱ ξὺν τῷ Κώνωνι στρατιῶται ἅπαντες. πολλὴ γὰρ ἀνάγκη αὐτοὺς τοῦ λοιμοῦ ἐπιέζε.

6. πονηρῷ] Vulgo πονήρῳ. 10. κἂν μὴ πρὸς ἡδονὴν P ex Vat. εἰ κἂν διὰ τῶν μὴ προσηκόν HL, nisi quod L καὶ, εἰ ab sec. m. scripto. 18. ἔχοντες] ἔχοντας L. ibid. τῆς — σωτηρίας] τὴν — σωτηρίαν P.

pro illo studio, quo acerbissimam hostium importunitatem nostra causa bello hoc pertulistis. Nam inter Italos omnes vos soli in Gotthorum gentem benevolentiam singularem exhibuistis, et in ius potestatemque hostium venistis maxime inviti. Itaque iam coacti cum illis vos obsidere, fidem vestram, ut par est, reveremur; sic prorsus ut haec obsidio Neapolitanorum perniciem minime spectet. Quare si vobis gravia sunt obsidionis incommoda, ne Gotthis succensendum putetis. Etenim qui amicis benigne facere student, si efficere nequeunt ut gratia nihil ingrati habeat, non sunt digni reprehensione.] Neque animos vestros timor hostium subeat, nec vobis praeterita persuadeant illos ex nobis relaturos victoriam. Mirabiles enim eventus vitae, quos inopinata saepe attulit, dies ipsa retro sublapsos referre solet. Porro hanc vobis compositionem offerimus, ut Cononi cunctisque militibus per nos liceat recipere se incolumes, quocunque volent, si modo dedita nobis urbe quamprimum excedant. Nec nos quidquam tenebit, quominus haec illis, et salutem Neapolitanis, iureiurando adhibito, polliceamur. Orationem hanc Totilae Neapolitani, tum Conon militesque omnes probarunt, urgente illos plurimum famis necessitate. Fidei tamen

πίστιν μέντοι ἐς βασιλέα φυλάσσοντες καὶ βοήθειάν τινα ἔτι παρ-
D ἑσεσθαι σφίσι καραδοκοῦντες τριάκοντα ἡμερῶν ὡμολόγουν ἐν-
δώσειν τὴν πόλιν. Τωτίλας δὲ πᾶσαν αὐτοῖς ἀνασοβεῖν ἐλπίδα
ἐθέλων τριῶν μηνῶν ἔταξε χρόνον, ἐφ' ᾧ δὴ τὰ ὡμολογημένα
ποιήσωσι. πρότερον δὲ οὐ προσβολήν τινα κατὰ τοῦ περιβόλου 5
ποιήσεσθαι ἰσχυρίζετο, οὐδὲ ἄλλῃ τινὶ ἐπιβουλῇ ἐς αὐτοὺς χρῆ-
H 268 σθαι. ταῦτα μὲν οὖν οὕτως ἐδέδοκτο. οἱ δὲ πολιορκούμενοι οὐκ
ἀναμείναντες τὴν κυρίαν (λίαν γὰρ ἐβιάζοντο τῶν ἀναγκαίων τῇ
ἀπορίᾳ) ὀλίγῳ ὕστερον τῇ πόλει Τωτίλαν τε καὶ τοὺς βαρβάρους
ἐδέξαντο. καὶ ὁ χειμὼν ἔληγε, καὶ ὄγδοον ἔτος ἐτελεύτα τῷ πο- 10
λέμῳ τῷδε, ὃν Προκόπιος ξυνέγραψεν.

P 483 V 122 η'. Ἐπειδὴ δὲ Νεάπολιν Τωτίλας εἶλε, φιλανθρωπίαν ἐς
τοὺς ἡλωκότας ἐπεδείξατο οὔτε πολεμίῳ οὔτε βαρβάρῳ ἀνδρὶ
πρέπουσαν. τοὺς μὲν γὰρ Ῥωμαίους λιμῷ νενοσηκότας λαβὼν,
οἷς δὴ ὑπ' αὐτοῦ καὶ ἡ τοῦ σώματος ἰσχὺς ὀπίσω ἤδη ἐκεχωρή- 15
κει, δείσας μὴ βρώσεως ἐκ τοῦ αἰφνιδίου εἰς κόρον ἐλθόντες,
ὡς τὸ εἰκὸς, ἀποπνιγεῖεν, ἐπενόει τάδε. φυλακὰς ἔν τε τῷ λι-
μένι καὶ ταῖς πύλαις καταστησάμενος ἐκέλευε μηδένα πη ἐνθένδε
ἰέναι. αὐτὸς δὲ ἅπασι σμικρολογίᾳ τινὶ προμηθεῖ ἐνδεέστερον ἢ
κατὰ τὴν ἐπιθυμίαν τὰ σιτία παρείχετο, προσεπιβάλλων ἡμέρᾳ 20
B ἑκάστῃ τοσοῦτον τοῦ μέτρου ὅσον οὐ δοκεῖν αἴσθησιν τῶν ἐντι-
θεμένων ἐς ἀεὶ γίνεσθαι. οὕτω τε αὐτοῖς ἐπιρρώσας τὴν δύνα-

4. δὴ τὰ] δὴ τούτους τὰ L. δὴ [τούτοις] τὰ H. 5. ποιήσωσι] ποιεῖν ex Reg. affert Malt.: sed L ποιήσεσθαι a pr. m., ποιεῖν ab Scaligero. 15. δὴ ὑπ'] δὴ καὶ ὑπ' L. 19. ἅπασι L. ἅπασιν P. 21. δοκεῖν] δοκεῖ L.

Imperatori praestandae studio ducti, et venturum subsidium adhuc expectantes, spoponderunt, urbem se tradituros intra dies XXX. Tum Totilas ut spem ipsis omnem eriperet, tres menses implendae conventioni praestituit, confirmavitque se ante spatii illius exitum nullam in muros facturum impressionem, nihilque machinaturum. Ita quidem convenit. Verum obsessi, summa victus inopia coacti dictam diem non expectare, paulo post in urbem Totilam ac Barbaros acceperunt. Simul hiems, simul annus VIII. huius belli a Procopio scripti decessit.

8. Neapoli potitus Totilas, eam captis praestitit humanitatem, quae nec in hostem, nec in Barbarum cadat. Cum enim Romanos cepisset sic affectos inedia, ut iam corporibus vires abscessissent, veritus ne repente ingesto, ut fit, ad satietatem cibo praefocarentur, hoc consilium iniit. Custodiis ad portum et portas dispositis, edixit ne quis exiret. Ac cibos ipse provida parsimonia infra appetentiae modum praebebat omnibus, aliquid quotidie sic adiiciens, ut accessio sensum suffugere videretur. Ita demum confirmatis eorum viribus, portas pandit, et cuique

μιν καὶ τὰς πύλας ἀναπετάσας ἕκαστον ὅπη βούλοιτο ἀφῆκεν ἰέναι. Κώνωνα δὲ καὶ τοὺς ξὺν αὐτῷ στρατιώτας, ὅσους δὴ αὐτοῦ μένειν ἥκιστα ἤρεσκεν, ἐς ναῦς ἐμβιβάσας πλεῖν κατ' ἐξουσίαν ἐκέλευε. καὶ οἱ μὲν αἰσχύνην φέρειν σφίσιν οἰόμενοι τὴν ἐς Βυζάντιον ἀναχώρησιν, πλεῖν κατὰ τάχος ἐπὶ Ῥώμην διενοοῦντο. τοῦ δὲ ἀνέμου σφίσιν ἀντιστατοῦντος ἀπαίρειν ἐνθένδε οὐδαμῇ ἔχοντες διηποροῦντο, δεδιότες μή τι Τωτίλαν τῶν ὡμολογημένων ὀλιγωρεῖν διὰ τὸ κεκρατηκέναι ξυμβαίη, καὶ κακόν τι μέγα πρὸς αὐτοῦ λάβωσιν. ὥνπερ ἐπεὶ ὁ Τωτίλας ᾔσθετο, ξυγκαλέ- C σας ἅπαντας παρηγορεῖν τε ἤρξατο καὶ τὰ πιστὰ ἔτι μᾶλλον αὐτοῖς ἐπιρρώσας, θαρσεῖν μὲν ἤδη ἐκέλευε καὶ τῷ Γότθων στρατῷ φόβῳ οὐδενὶ ἀναμίγνυσθαι, τά τε ἐπιτήδεια ἐνθένδε ὠνεῖσθαι καὶ εἴ του ἄλλου δέοιντο, ἅτε παρὰ φίλων κομίζεσθαι. ἐπειδὴ δὲ τὸ πνεῦμα ἔτι σφίσιν ἀπ' ἐναντίας ἐφέρετο καὶ χρόνος ἐτρίβη συχνὸς, ἵππους τε καὶ ὑποζύγια παρασχόμενος, ἐφόδιά τε αὐτοῖς δωρησάμενος, ἐς Ῥώμην αὐτίκα ἐκέλευεν ὁδῷ ἰόντας πορεύεσθαι, πομπούς τινας τῶν ἐν Γότθοις δοκίμων σφίσι ξυμπέμψας. τὸ δὲ Νεαπόλεως τεῖχος καθελὼν ἐς ἔδαφος ἀνεχώρησεν, ὅπως αὐτὴν μὴ καταλαβόντες αὖθις Ῥωμαῖοι ἔκ τε ἐχυροῦ ὁρμώμενοι D πράγματα Γότθοις παράσχωσιν. ἐν πεδίῳ γὰρ μᾶλλον ἐκ τοῦ ἐνθένδε διακρίνεσθαι μάχῃ πρὸς αὐτοὺς ἤθελεν ἢ τέχναις τισὶ καὶ σοφίσμασι διαμάχεσθαι. μοῖραν μέντοι αὐτοῦ καθελὼν πολλὴν τὸ λοιπὸν εἴασεν.

4. φέρειν om. L. 13. τον L. νον P.

eundi, quo libitum esset, copiam fecit. Cononi eiusque militibus, quibus manere ibi non placuit, in naves impositis, cursum liberum dedit. Illi redire Byzantium pudore prohibiti, sine mora navigare Romam volebant. Cum autem inde solvere adversus ventus non sineret, angebantur metu, ne victoria Totilam ad spernendam promissi fidem adduceret, et ab ipso pessime haberentur. Id persentiens Totilas, omnes ad se convocatos solari coepit, et fide verbis gravioribus confirmata, bono iam esse animo iussit, et cum Gotthorum exercitu sine ullo metu versari: emere cibaria, ac sic quid praeterea opus haberent, ab ipsis, tanquam ab amicis accipere. Multo tempore elapso, et vento tamen adhuc reflante, equos illis ac iumenta praebet, largitur viaticum, et profectionem expedit Romam versus, additis e Gotthorum flore nonnullis, qui ipsos deducant. Ipse quoque discessit, postquam Neapolis muros aequavit solo: ne Romani recepta urbe, negotium Gothis facesserent, ex tuto impetum facientes. Siquidem aperto Marte cum illis in campo decernere malebat quam technis fallaciisque certare. Maximam murorum partem demolitus, quod supererat, intactum reliquit.

Ὑπὸ τοῦτον τὸν χρόνον Ῥωμαῖός τις αὐτῷ προσελθὼν,
Καλαβρὸς γένος, ἠτιᾶτο τῶν δορυφόρων τῶν αὐτοῦ τινα τὴν
P 484 παῖδα παρθένον οὖσαν οὔ τι ἑκουσίαν βιάσασθαι. καὶ ὃς τὸν
ἄνθρωπον οὐκ ἀπαρνηθέντα τὸ ἔγκλημα τίσασθαι τῆς ἁμαρτά-
δος ἐν σπουδῇ ἔχων ἐν δεσμωτηρίῳ καθεῖρξε. δείσαντες δὲ ἀμφ' 5
αὐτῷ τῶν βαρβάρων οἱ δοκιμώτατοι (δραστήριος γάρ τις ἀνὴρ
ἐτύγχανεν ὢν καὶ ἀγαθὸς τὰ πολέμια) ξυλλεγέντες εὐθὺς καὶ Τω-
τίλᾳ ἐς ὄψιν ἐλθόντες ἐδέοντο τῷ ἀνθρώπῳ τὴν αἰτίαν ἀφεῖναι.
ὁ δὲ πρᾴως τε καὶ ταραχῇ οὐδεμιᾷ τῶν λεγομένων τὴν μάθησιν
ποιησάμενος ἔλεξε τοιάδε „Οὐκ ἀπανθρωπίας ὑπερβολῇ εἴκων 10
οὐδὲ ξυγγενῶν ὑπερηδόμενος ξυμφοραῖς, ἀλλ' ὡς ἔνι μάλιστα
δεδιὼς μή τι Γότθοις ξυμβήσεται φλαῦρον, ἐς λόγους τούσδε, ὦ
B ξυστρατιῶται, καθίσταμαι. ἐγὼ μὲν οὖν τοῦτο οἶδα, ὡς τῶν
ἀνθρώπων ὁ πολὺς ὅμιλος τὰ τῶν πραγμάτων ὀνόματα μεταβάλ-
λουσιν ἐς πᾶν τοὐναντίον. φιλανθρωπίαν μὲν γὰρ καλεῖν τὴν 15
παρανομίαν εἰώθασιν, ἐξ ἧς διεφθάρθαι τε τὰ χρηστὰ πάντα
καὶ ξυντεταράχθαι ξυμβαίνει, σκαιὸν δὲ καὶ ἀτεχνῶς δύσκολον
τὸν ὃς ἂν τὰ νόμιμα περιστέλλειν ἐς τὸ ἀκριβὲς βούληται, ὅπως
δὴ τοῖς ὀνόμασι τούτοις παραπετάσμασιν ἐς τὴν ἀσέλγειαν χρώ-
μενοι ἀδεέστερον ἐξαμαρτάνειν τε ἱκανοὶ εἶεν καὶ τὴν μοχθηρίαν 20
ἐνδείκνυσθαι. ὑμῖν δὲ παραινῶ μὴ τῆς ὑμῶν αὐτῶν σωτηρίας
V 123 ἁμαρτώδα ἑνὸς ἀνδρὸς ἀνταλλάξασθαι, μηδὲ τοῦ μιάσματος

19. τούτοις HL. τούτοις ὡς P. 20. εἶεν] ἦεν HP. ἦσαν L. 22. ἀνταλλάξασθαι L a pr. m. ἀνταλλάξεσθαι P. ἀνταλλάξασθε L corr.

Sub idem tempus, Romanus quidam, genere Calaber, ipsum adiit, et a quodam ex eius Praetorianis stuprum filiae suae virgini, renitenti, illatum questus est. Hominem flagitium non diffitentem in carcerem inclusit Totilas, id sedulo agens, ut is culpam lueret. Cuius capiti metuentes Barbarorum spectatissimi (vir enim erat impiger ac bellicosus) statim facto agmine Totilam conveniunt, et reo precantur veniam. Eorum ille oratione benigne et sine ulla perturbatione audita, haec retulit. *In hanc orationem ingredior, Commilitones, non impotenti saevitiae motu, neque eo, quo me popularium meorum calamitas oblectet: sed qui maxime timeo, ne quid sinistri Gothis contingat. Equidem scio a plerisque inverti rerum nomina, et in contrarium omnino accipi. Quae enim est honestarum rerum corruptrix omnium ac perturbatrix licentia, eam appellare solent humanitatem: eum autem, qui legum auctoritatem optime tueri velit, difficilem ac summe morosum vocant; ut his nominibus, quasi velis quibusdam obtentis intemperantiae, liberius peccare possint, et improbitatem ostendere. Vos autem hortor, ne unius culpam iactura salutis vestrae redimatis, et cum sitis insontes, fiatis participes huius piaculi. Res enim*

τοῦδε αὐτοὶ τὸ μέρος οὐδὲν ἀδικοῦντες μεταλαχεῖν. τό τε ἐξαμαρτεῖν καὶ τὸ διακωλύειν τὴν ἐς τοὺς ἐξημαρτηκότας τιμωρίαν, οἶμαι, ἐν ἴσῳ ἐστί. βούλομαι τοίνυν οὕτωσὶ σκοπουμένους ὑμᾶς C ποιήσασθαι τὴν ὑπὲρ τῶν παρόντων διάγνωσιν, ὡς νῦν αἵρεσις ὑμῖν δυοῖν πρόκειται, ἢ τὸν ἄνδρα τοῦτον ὧν ἠδίκηκε μὴ δοῦναι τὴν δίκην, ἢ τὸ τῶν Γότθων γένος σεσῶσθαί τε καὶ τὸ τοῦ πολέμου κεκτῆσθαι κράτος. σκέψασθε γὰρ ὅσον ἦν ἡμῖν κατ' ἀρχὰς τοῦδε τοῦ πολέμου στρατιωτῶν μὲν πλῆθος, δόξῃ τε καὶ τῇ H 269 ἐς τοὺς κινδύνους ἐμπειρίᾳ λαμπρὸν, χρήματα δὲ ξυνελόντα εἰπεῖν ἀριθμοῦ κρείσσω, ἵππων δὲ καὶ ὅπλων περιουσίας ὑπερβολή τις, καὶ πάντα ὅσα ἔν γε Ἰταλιώταις ὀχυρώματα ὄντα τυγχάνει. καὶ ταῦτα γὰρ οὐκ ἀχρεῖα παντάπασιν εἶναι δοκεῖ τοῖς ἐς πόλεμον καθισταμένοις ἐφόδια. ἐπεὶ δὲ ὑπὸ Θευδάτῳ ταττόμενοι, ἀνδρὶ D τὸ δίκαιον περὶ ἐλάσσονος τῆς ἐς τὸ πλουτεῖν ἐπιθυμίας πεποιημένῳ, ἴλεων ἡμῖν τὸν θεὸν παρανομίᾳ τῇ ἐς δίαιταν ὡς ἥκιστα κατεστήσαμεν. ὅπη ποτὲ κεχώρηκεν ἡμῖν ἡ τύχη ἐπίστασθε δή που, ὑφ' οἵων τε καὶ ὁπόσων ἠσσημένοις ἀνδρῶν. νῦν δὲ τὴν δίκην παρ' ἡμῶν ὁ θεὸς ὧν ἐξημάρτομεν ἱκανῶς ἔχων αὖθις ἡμῖν κατὰ τὸ βούλημα ῥυθμίζει τὸν βίον καὶ τὸ ξύμπαν εἰπεῖν ἄμεινον ἡμῖν ἢ κατ' ἐλπίδας τὰ πράγματα ἄγει· οἷς δὲ ὑπὲρ τὴν ὑπάρχουσαν δύναμιν νενικηκέναι τοὺς πολεμίους τετύχηκε περιστέλλειν τὴν τῆς νίκης πρόφασιν, τῷ τὰ δίκαια πράσσειν ξυνοίσει μᾶλλον ἢ ἀπ' ἐναντίας αὐτοῦ ἰόντας φθονεροὺς ἡμᾶς ἐφ'

5. τοῦτον addidi ex Vat. *ibid.* ὧν PHm. ὃν H. *ibid.* ἠδίκησε HL. ἠδίκησαν P. 7. γὰρ ὅσον ἦν Reg. et Hm. γὰρ ἦν L. γαρ ἦν H. γὰρ ὡς ἦν P. 16. ἡμῖν] ἡμῖν αὐτοῖς L.

pares esse iudico, deliquisse, et quo minus plectantur sontes impedire. Itaque de re praesenti iudicium ita feratis velim, ut attendatis datam vobis optionem utrum malitis vel hunc eximere scelerie poena, vel Gotthicam nationem servare, et belli victoriam adipisci. Enimvero considerate, nos belli huius initio militibus laude et rei militaris peritia inclytis abundasse: pecunias habuisse, ut verbo dicam uno, innumerabiles, equorum armorumque ingentem vim, et omnes Italiae munitiones: quae quidem adminicula bellum capessentibus non omnino levia videntur esse. Principe tamen Theodato, viro, apud quem plus auri quam aequi amor valebat, iniqua vivendi ratione infensum nobis Deum reddidimus: neque ignoratis a quibus et quot numero viris subacti in quantam devenerimus calamitatem. Iam vero Deus, nostra satis ultus delicta, nobis iterum vitae cursum ex sententia componit, utque uno omnia complectar verbo, spe melius res nostras promovet. Nostris autem maiore quam pro viribus relata ex hoste victoria, causam, a qua fluxit, retinere praestat iustitiae cultu, quam illam violando

ἡμῖν αὐτοῖς γεγενῆσθαι δοκεῖν. οὐ γὰρ ἔστιν, οὐκ ἔστι, τὸν ἀδικοῦντα καὶ βιαζόμενον ἐν τοῖς ἀγῶσιν εὐδοκιμεῖν, ἀλλὰ πρὸς
P 485 τὸν βίον ἑκάστου ἡ τοῦ πολέμου πρυτανεύεται τύχη." Τωτίλας μὲν τοσαῦτα εἶπεν. ἐπαινέσαντες δὲ τὰ εἰρημένα οἱ Γότθων λόγιμοι τὸν μὲν δορυφόρον οὐκ ἔτι ἐξῃτοῦντο, ἀλλ' εἴων ὅπως ποτὲ αὐτῷ πράσσειν δοκοίη. καὶ ὃς τὸν μὲν ἄνθρωπον οὐκ εἰς μακρὰν διεχρήσατο, τὰ δὲ χρήματα, ὅσα δὴ αὐτῷ ἐτύγχανεν ὄντα, τῇ βιασθείσῃ παρείχετο.

B Θ'. Ἐν ᾧ δὲ ταῦτα Τωτίλας ἔπρασσεν, ἐν τούτῳ οἱ τοῦ Ῥωμαίων στρατοῦ ἄρχοντες ξὺν τοῖς στρατιώταις τὰ τῶν κατηκόων χρήματα ἥρπαζον, καὶ ὕβρεώς τε καὶ ἀσελγείας οὐδ' ὁτιοῦν ὑπελείποντο, ἀλλ' οἱ μὲν ἄρχοντες ἐν τοῖς ὀχυρώμασιν ἔχοντες ἐρωμένας ἐκώμαζον, οἱ δὲ στρατιῶται ἀπειθεστέρους αὐτοὺς τοῖς ἄρχουσι παρεχόμενοι εἰς πᾶσαν ἰδέαν ἀτοπίας ἐνέπιπτον. τοῖς δὲ Ἰταλιώταις περιῆν ἅπασι πάσχειν τὰ χαλεπώτατα πρὸς ἑκατέρων τῶν στρατοπέδων. τοὺς μὲν γὰρ ἀγροὺς ἐστέρηντο πρὸς τῶν πολεμίων, ὑπὸ δὲ τοῦ βασιλέως στρατοῦ ἔπιπλα πάντα. καὶ
C προσῆν αὐτοῖς αἰκίζεσθαί τε οὐδενὶ λόγῳ καὶ διαφθείρεσθαι, τῶν ἀναγκαίων τῇ ἀπορίᾳ πιεζομένοις. οἱ γὰρ στρατιῶται ἀμύνειν σφίσι κακουμένοις πρὸς τῶν πολεμίων οὐδαμῇ ἔχοντες οὐχ ὅσον ἐρυθριῶν ὡς ἥκιστα ἐπὶ τοῖς παροῦσιν ἐγίνωσκον, ἀλλὰ καὶ τοὺς βαρβάρους ποθεινοὺς αὐτοῖς εἶναι οἷς ἐξημάρτανον ἀπειργάζοντο. οἷς δὴ Κωνσταντιανὸς ἀπορούμενος γράμματα Ἰουστινιανῷ βασι-

13. ἐρωμένας] ἐρρωμένως L a pr. m. et H. 16. γὰρ om. L.

testari, nos ipsos nostrae esse invidos et osores felicitatis. Nequit enim, nequit profecto fieri, ut qui iniuriam ac vim infert, rem praeclare gerat in praeliis: sed belli fortuna pro cuiusque vita temperatur. Haec Totilas: quibus assensi Gotthorum Proceres, abstiterunt ab eo deprecari Praetorianum, ipsiusque arbitrio permiserunt. Nec multo post ille morte multavit hominem, atque eius fortunas omnes compressae virgini adiudicavit.

9. Dum ita se gerit Totilas, interea exercitus Romani Duces ad milites subditorum fortunas diripiunt, seque incontinentiae et libidini penitus dedunt. Ac Duces quidem in munitionibus habebant apud se scorta, et comessabantur: milites vero, corroborata adversus ipsos contumacia, in omne insolentiae genus prolabebantur. Itali universi acerbissime ab utroque vexabantur exercitu: hinc agris a Gotthis, inde cuncta supellectili a Caesarianis exuti. Praeterea nulla de causa vapulabant, et inedia necabantur. Cumque ab illis iniurias hostium prohibere non possent milites, adeo non praesentem rerum statum erubescebant, ut sceleribus suis desiderium Barbarorum in eorum animis excitarent. Inter haec inops consilii Constantianus Iustiniano Aug. per literas aperte significat,

λεῖ ἔπεμψεν, ἄντικρυς ἀποφαίνων ὅτι δὴ Γότθων τῷ πολέμῳ ἀντέχειν ἀδύνατος εἴη. οἵ τε ἄλλοι ἄρχοντες, ὥσπερ τὴν γνώμην ἐπιφημίζοντες, ἐν τούτῳ δὴ τῷ γραμματείῳ τὴν ὁμολογίαν ἐσήμαινον τῆς ἐς τὴν ἀγωνίαν ὀκνήσεως. Ἰταλιώταις μὲν οὖν τὰ πράγματα ἐφέρετο τῇδε.

Τωτίλας δὲ Ῥωμαίων τῇ βουλῇ ἐπιστολὴν ἔπεμψεν. ἐδή- D λου δὲ ἡ γραφὴ τάδε „Ὅσοι μὲν ἀδικοῦσι τοὺς πέλας, ἢ προλαβούσης ἀγνοίας ἢ λήθης ἐπιγινομένης τινὸς, τούτοις ἄξιον τοὺς τὰ δεινὰ πεπονθότας ξυγγνώμονας εἶναι. τὸ γὰρ τῆς ἁμαρτάδος ξυμπεσὸν αἴτιον τῶν ἐγκλημάτων αὐτοῖς παραιτεῖται τὸ πλεῖστον. ἢν δέ τις ἐκ προνοίας ἀδικῇ μόνης, τούτῳ δὲ μηδὲ ἀντιλέγειν ποτὲ περὶ τῶν πεπραγμένων λελείψεται. οὐ γὰρ τοῦ ἔργου μόνον, ἀλλὰ καὶ τῆς γνώμης αὐτὸς φέρεσθαι τὴν αἰτίαν δίκαιος ἂν εἴη. οὐκοῦν, ἐπειδὴ ταῦτα οὕτως ἔχει, λογίζεσθε ἤδη τί ποτε V 124 ἄρα ὑμῖν ἀπολελογῆσθαι πρὸς τὰ ἐς Γότθους εἰργασμένα ξυμβήσεται· πότερον ὑμᾶς ἀγνοεῖν τὰς τοῦ Θευδερίχου τε καὶ Ἀμαλασούνθης εὐεργεσίας τετύχηκεν, ἢ χρόνῳ τε αὐτὰς καὶ λήθῃ ἐν P 486 ὑμῖν ἐξιτήλους εἶναι. καίτοι οὐκ ἔστι τούτων οὐδέτερον. οὐ γὰρ ἐπὶ φαύλοις τισὶν οὐδὲ εἰς τὰ ἐν μετρίοις τὰς χάριτας αὐτοὺς, κατὰ δὴ τὸν παλαιὸν χρόνον, ἐπιδεδεῖχθαι ξυνέβη, ἀλλ' ἐν τοῖς ἀναγκαιοτάτοις, ἔν γε ὑμῖν αὐτοῖς ἔναγχός τε καὶ ἐξ ὑπογυίου, ὦ φίλοι Ῥωμαῖοι. ἀλλὰ τὴν Γραικῶν ἐς τὸ ὑπήκοον ἀρετὴν ἢ ἀκοῇ λαβόντες ἢ πείρᾳ μαθόντες εἴσεσθε. καὶ αὐτοὶ γὰρ τὰ Γότ-

11. μηδὲ] Vulgo μήτε. 21. ὑπογυίου] ὑπογύου L. 22. Γραικῶν] γραικὸν L a pr. m. et H: illud L corr. et Hm.

bello Gotthico sibi vires deesse. Caeteri Duces, quasi publica consilii denuntiatione, eadem epistola communiter professi sunt aversum a dimicatione animum. Eo loci erant res Italorum.

Totilas vero ad Senatum Rom. in hanc sententiam scripsit. *Quicumque vel per imprudentiam, vel ex oblivione vicinos laedunt, laesos decet illis ignoscere: siquidem culpae causa ab ipsis partem maximam reprehensionis amolitur. At si quis solum ex praeparato iniuriam facit, ei nullus relinquetur locus defendendi commissa: quippe cum non modo factum, sed voluntas etiam in eo culpanda sit. Quae cum ita sint, videte iam quo pacto excusaturi sitis quae admisistis in Gotthos. Parumne vobis cognita dicetis Theoderici et Amalasunthae beneficia? an temporis longinquitate et oblivione deleta ex animis? Neutrum sane verum. Neque enim eorum beneficentia in rebus quibusdam levibus ac mediocribus patuit, idque prioribus saeculis; sed nuper ac recenti memoria apud vos, Romani carissimi, in iis eluxit, quae ad vitae summam pertinent. Graecorum egregiam in subditos voluntatem vel fama cognoscetis vel usu ipso: at iam nostis*

θων τε καὶ Ἰταλιωτῶν πράγματα ἔγνωτε. καίτοι ἐξεναγεῖσθε μὲν ὑμεῖς αὐτοὺς, οἶμαι, ἄριστα. ὁποίων δὲ αὐτῶν ἐτύχετε ξένων καὶ φίλων ἐπίστασθε δή που, εἴ τι τῶν Ἀλεξάνδρου μέμνησθε λογισμῶν. ἐῶ γὰρ λέγειν τούς τε στρατιώτας καὶ τοὺς στρατιω-
H 270 B τῶν ἄρχοντας, ὧν τῆς τε φιλοφροσύνης καὶ τῆς μεγαλοψυχίας ἀπώνασθε· ὧν δὴ αὐτοῖς ἕνεκα ἐς τοῦτο τύχης τὰ πράγματα ἥκει. ὑμῶν δὲ οἰέσθω μηδεὶς μήτε ὑπὸ νέου φιλοτιμίας τὰ ὀνείδη ταῦτα ἐς αὐτοὺς φέρεσθαι μήτ' ἐμὲ, ὅτε βαρβάρων ἄρχοντα, κομπωδέστερον ποιεῖσθαι τοὺς λόγους. οὐ γὰρ ἡμετέρας ἀρετῆς ἔργον εἶναί φημι τὴν τῶν ἀνδρῶν ἐπικράτησιν, ἀλλὰ τὰς ποινὰς ἰσχυρίζομαι τῆς εἰς ὑμᾶς ἀδικίας αὐτοὺς μετελθεῖν. καίτοι πῶς οὐκ ἂν τῶν ἀτοπωτάτων δόξειεν εἶναι τὸν μὲν θεὸν ὑπὲρ ὑμῶν αὐτοὺς τίννυσθαι, ὑμᾶς δὲ τῇ τούτων ἐμφιλοχωρεῖν ἀτοπίᾳ καὶ τῶν ἐντεῦθεν οὐκ ἐθέλειν ἀπηλλάχθαι κακῶν; δότε τοίνυν τινὰ
C πρόφασιν ὑμῖν μὲν αὐτοῖς τῆς ἐς τοὺς Γότθους ἀπολογίας, ἡμῖν δὲ τῆς ἐς ὑμᾶς συγγνώμης. δώσετε δὲ, ἢν γε μὴ ἀναμενοῦντες τὸ τοῦ πολέμου πέρας, ἀλλ' ἔτι βραχείας τινὸς καὶ ταύτης ἀνονήτου ὑμῖν ἀπολειμμένης ἐλπίδος ἕλησθε μὲν τὰ κρείσσω, ἐπανορθώσητε δὲ τὰ ἐς ἡμᾶς οὐ δέον ὑμῖν πεπραγμένα." τοσαῦτα μὲν ἡ γραφὴ ἐδήλου. ἐγχειρίσας δὲ αὐτὴν τῶν τισιν αἰχμαλώτων ὁ Τωτίλας ἐπὶ Ῥώμης ἐκέλευεν ἰόντας τοῖς ἐκ βουλῆς διδόναι. καὶ οἱ μὲν κατὰ ταῦτα ἐποίουν. Ἰωάννης δὲ τοὺς τὸ γράμμα

1. ἐξεναγεῖσθε vel ἐξεναγεῖτε Maltretus. ξεναγεῖτε HLP. ἐξεναγκεῖσθε Vat. 6. ἀπώνασθε] ἀπώνεσθε L a pr. m. 7. μήτε — μήτ'] μηδὲ — μηδ' P. 12. ἀτοπωτάτων] ἀτόπων L. ibid. δόξειεν] Vulgo δόξοιεν. 18. ἕλησθε] Vulgo ἕλοισθε.

quid Gothi cum Italis egerint. Praeclare Graecos, ut opinor, excepistis hospitio: quales autem nacti sitis hospites et amicos non ignoratis, si qua manet memoria rationum, quas Alexander instituit. Silentio milites praetermitto, ac militum Duces; quorum scilicet benignitas et animi magnitudo cum vos iuvere plurimum, tum ipsos in hunc rerum statum adduxere. Haec autem nemo vestrum existimet illis exprobrari iuvenili ambitione, et me, tanquam Barbarorum Regem, arrogantius loqui. Quod enim hanc nationem hominum profligavimus, non id virtuti ascribo nostrae: verum illos iniuriarum, quibus vos affecerunt, dare poenas affirmo. Proinde, an non perabeurdum videbitur, si dum ipsos persequitur vestrae ulter calamitatis Deus, eorum apud vos insolentiam libenter patiamini, nec malis velitis eximi, quae illam consequuntur. Vobis igitur locum purgandi vos apud Gotthos, et nobis causam aliquam date parcendi vobis. Dubitis autem, si non expectato belli exitu, dum vobis exigua ac vana spes quaedam superest, consilia referatis in melius, et quae peccastis in nos, emendetis. Sententia haec erat epistolae, quam Totilas captivis quibusdam Romam ad Senatum perferendam dedit. Quo ab ipsis praestito, prohibuit Ioannes

τοῦτο ἰδόντας ἀποκρίνασθαί τι πρὸς Τωτίλαν διεκώλυσε. διὸ δὴ αὖθις ὁ Τωτίλας γράψας γραμμάτια πολλά, ὅρκους τε αὐτοῖς τοὺς δεινοτάτους ἐνθέμενος διαρρήδην ἀπώμοσε μή ποτε Ῥωμαίων τινὰ κακόν τι ἐργάσασθαι Γότθους. οἵτινες μὲν οὖν ἀν- D
5 θρώπων ἐς Ῥώμην τὰ βιβλίδια ταῦτα ἐκόμισαν οὐκ ἔχω εἰπεῖν. ἅπαντα γὰρ ἀωρὶ τῶν νυκτῶν ἐν τοῖς διαφανέσι τῆς πόλεως χωρίοις παγέντα, ἐπεὶ ἐγένετο ἡμέρα, ἐγνώσθη· οἱ δὲ τοῦ Ῥωμαίων στρατοῦ ἄρχοντες ὑποψίᾳ πολλῇ ἐς τῶν Ἀρειανῶν τοὺς ἱερέας ἐχόμενοι ἔξω τῆς πόλεως κατεστήσαντο εὐθὺς ἅπαντας.
10 Τωτίλας δὲ ταῦτα ἀκούσας μοῖραν μέν τινα τοῦ στρατοῦ πέμψας ἐς Καλαβρίαν ἀποπειράσασθαι τοῦ ἐν Δρυοῦντι φρουρίου ἐπέστελλεν. ἐπεὶ δὲ ὡς ἥκιστά οἱ προσχωρεῖν ἤθελον οἱ φυλακτήριον ταύτῃ ἔχοντες, τοὺς μὲν ἐνταῦθα ἑσταλμένους ἐκέλευεν ἐς πολιορκίαν καθίστασθαι, αὐτὸς δὲ τῷ πλείονι τοῦ στρατοῦ ἐς
15 τὰ ἐπὶ Ῥώμης χωρία ἦει. ταῦτα ἐπεὶ βασιλεὺς ἔμαθεν, ἔς τε P 487
ἀμηχανίαν ἐκπέπτωκε καὶ Βελισάριον ἐπὶ τὸν Τωτίλαν πέμψαι, καίπερ ἔτι Περσῶν ἰσχυρότατα ἐγκειμένων, ἠνάγκαστο. καὶ ὁ χειμὼν ἔληγε, καὶ τὸ ἔνατον ἔτος ἐτελεύτα τῷ πολέμῳ τῷδε, ὃν Προκόπιος ξυνέγραψεν.

20 ι'. Οὕτω μὲν Βελισάριος τὸ δεύτερον ἐς Ἰταλίαν ἦει. ἐπεὶ B
δὲ στρατιώτας ὡς μάλιστα ὀλίγους εἶχε (τοὺς γὰρ οἱ ἑπομένους V 125
τοῦ ἐς Μηδίαν στρατοπέδου ἀποστῆναι οὐδαμῇ ἴσχυσε) Θρᾴκην ὅλην περιὼν χρήματά τε προϊέμενος, ξυνῆγε νέους ἐθελουσίους.

2. γραμμάτια] γράμματα L et Hm. 10. στρατοῦ om. L.
11. Δρυοῦντι] Τδρουῦντι Pm. 18. ἔνατον L. ἔννατον P.

ne quid Totilae rescriberent, qui illam legerent. Quocirca Totilas, scriptis compluribus literis, insertisque gravissimis iuramentis, diserte promisit, nihil mali Gothos Romano cuiquam irrogaturos. Quinam eas literas Romam tulerint, haud possum dicere. Omnes enim nocte intempesta in celeberrimis affixae urbis locis, postquam illuxit, in publicam notitiam venerunt. Mox Romani Duces suspectos sibi Arianos Sacerdotes omnes urbe exterminarunt. His Totilas auditis, copiarum partem in Calabriam destinat, et castellum Hydruntinum tentare iubet. Dedere se recusante eius praesidio, obsidionem iis, quos eo miserat, mandat: et cum maiori parte exercitus Romam versus iter instituit. Eiusmodi rerum nuntio in gravem animi aestum coniectus Imperator, Belisarium adversus Totilam mittere necesse habuit: quamvis Persae negotii plurimum adhuc facessere rent. Abiit hiems, unaque annus IX. huius belli, quod literis Procopius tradidit.

10. Ita Belisarius in Italiam profectus iterum, cum perpaucos haberet milites (quippe suos ab exercitu, qui Medis erat oppositus, abiungere non potuerat) peragrata omnia Thracia, volones iuvenes profusa pe-

ξυνῆν δὲ αὐτῷ βασιλέως γνώμῃ καὶ Βιτάλιος ὁ τῶν Ἰλλυριῶν στρατηγὸς, ἄρτι ἐπανήκων ἐξ Ἰταλίας, οὗ δὴ τοὺς Ἰλλυριοὺς στρατιώτας ἀπολιπὼν ἔτυχεν. ἄμφω γοῦν ἐς τετρακισχιλίους ἀγείραντες ἐν Σάλωσιν ἐγένοντο, γνώμην ἔχοντες ἐπὶ Ῥαβέννης τὰ πρῶτα ἰέναι, τὸν δὲ πόλεμον ἐνθένδε ὅπη δυνατὸν εἴη διενεγ- 5
C κεῖν. τὸ γὰρ ἐπὶ τὰ Ῥώμης χωρία ἀποβαίνειν οὐδαμῇ ἴσχυον, οὔτε τοὺς πολεμίους λανθάνοντες (ἐπεὶ αὐτοὺς ἔν τε Καλαβροῖς στρατοπεδεύεσθαι καὶ Καμπανίᾳ ἤκουσαν) οὔτε αὐτοὺς τρόπῳ ὁτῳοῦν βιαζόμενοι. οὐ γὰρ ἐξ ἀντιπάλου τῆς δυνάμεως αὐτοῖς ἦεσαν. ἐν τούτῳ δὲ οἱ ἐν Ἀρυοῦντι πολιορκούμενοι τῶν ἀναγ- 10
καίων σφᾶς παντάπασιν ἐκλελοιπότων βαρβάροις τοῖς πολιορκοῦσιν ἐς λόγους ξυνῆλθον, ἐφ' ᾧ τὸ φρούριον ὁμολογίᾳ ἐνδώσουσι, τακτή τε ἀμφοτέροις ἐν τούτῳ ἡμέρα ξυνέκειτο. Βελισάριος δὲ τὰ ἐπιτήδεια εἰς ἐνιαυτοῦ μῆκος ἐνθέμενος Βαλεντῖνον ξὺν αὐτοῖς πλεῖν ἐς Ἀρυοῦντα ἐκέλευε, καὶ τοὺς μὲν προτέρους φύλακας τοῦ 15
φρουρίου ἐνθένδε ὑπεξαγαγεῖν ὅτι τάχιστα, οὓς δὴ νόσῳ ξυντε-
D τηκέναι καὶ λιμῷ ἔμαθε, τῶν δὲ ξυμπλεόντων τινὰς ἐπὶ τῷ φυλακτηρίῳ ἀντ' αὐτῶν καταστήσασθαι· ῥᾷον γὰρ αὐτοὺς οὕτως ἀκμῆτάς τε ὄντας καὶ οὐδενὸς τῶν ἀναγκαίων σπανίζοντας τὸ φρούριον ξὺν τῷ ἀσφαλεῖ διαφυλάξειν. Βαλεντῖνος μὲν οἶν τῷ 20
στόλῳ τούτῳ πνεύματος ἐπιφόρου ἐπιτυχὼν ἐς τὸν Ἀρυοῦντα κατέπλευσε τέτρασι πρότερον τῆς κυρίας ἡμέραις, ἀφύλακτόν τε τὸν λιμένα εὑρὼν αὐτοῦ τε ἐκράτησε καὶ πόνῳ οὐδενὶ ἐς τὸ

15. Ἀρυοῦντα] ὑδροῦντα L corr. 17. τῶν δὲ] τῶν τε H: illud Hm. 18. καταστήσασθαι] καταστήσεσθαι L. 19. σπανίζοντας] σπανιάζοντας L. 20. διαφυλάξειν] διαφυλάξαν L.

omnia collegit. Aderat de Imperatoris sententia Vitalius, Magister militiae per Illyricum, non ita pridem ex Italia reversus: ubi Illyrios milites reliquerat. Ambo, coactis quatuor millibus, Salonas eo pervenere consilio, ut primum Ravennam se conferrent, atque inde pro viribus bellum gererent. Nequibant enim Romanum agrum ita contingere, ut hostem, quem et in Calabria et in Campania habere castra audierant, vel laterent, vel vi disiicerent, imparibus instructi viribus. Interea qui Hydrunte obsidebantur, re cibaria defecti penitus, habito cum obsidentibus Barbaris colloquio, se illis castellum in deditionem tradituros receperant; et dies inter ipsos convenerat: quando Belisarius annona, quae in annum sufficeret, in naves imposita, cum ea Valentinum Hydruntem navigare iussit, et veteri quamprimum amoto castelli praesidio, quod morbo ac fame contabuisse acceperat, in eius locum subiicere aliud ex illorum numero, quos advexisset: cum facilius tutiusque servaturi essent castellum integri et a cibariis affatim parati. Valentinus cum ea classe, vento secundo usus, Hydruntem appulit quatriduo ante diem cum hoste dictam, ac portu, quem offendit incustoditum, potitus, nullo negotio in castellum

φρούριον εἰσελθεῖν ἔσχυσε. τοῖς γὰρ ὡμολογημένοις οἱ Γότθοι H 271
θαρσοῦντες οὐδέν τε μεταξὺ ἐναντίωμα ὑποτοπάζοντες σφίσιν
ἔσεσθαι, ὀλιγώρως ἤδη τὰ ἐς τὴν πολιορκίαν διαθέμενοι ἡσυχῇ
ἦμεν. τότε μέντοι καταπλέοντα ἐκ τοῦ αἰφνιδίου τὸν στόλον
ἰδόντες ἔδεισάν τε καὶ τὴν προσεδρείαν διέλυσαν, μακράν τε ἀπο- P 488
θεν τοῦ χωρίου γενόμενοι ἐστρατοπεδεύσαντο καὶ πάντα ἐς Τω-
τίλαν τὰ ξυμβεβηκότα σφίσιν ἀνήνεγκαν. παρὰ τοσοῦτον μὲν
Δρυοῦντος τὸ φρούριον ἦλθε κινδύνου. τῶν δὲ ξὺν Βαλεντίνῳ
τινὲς λῃσασθαι βουλόμενοι τὰ ἐκείνῃ χωρία ἐπεκδρομὰς ἐποιή-
σαντο. καὶ τοῖς πολεμίοις τύχῃ τινὶ ὑπαντιάσαντες πρὸς τὴν
τῆς θαλάσσης ἠόνα ἐς χεῖρας ἦλθον. καὶ παρὰ πολὺ ἡσσηθέν-
τες τῇ μάχῃ ἐς τὸ τῆς θαλάσσης ὕδωρ οἱ πολλοὶ ἔφυγον, ἵνα δὴ
ἑβδομήκοντα καὶ ἑκατὸν ἀποβαλόντες ἐς τὸ φρούριον οἱ λοιποὶ
ἀνεχώρησαν. Βαλεντῖνος δὲ τοὺς μὲν πάλαι φρουροὺς ἐνθένδε
ἡμιθνῆτας εὑρὼν ὑπεξήγαγεν, ἑτέρους δὲ ἀντικαταστησάμενος
ἀκραιφνεῖς, καθάπερ οἱ ἐπέστελλε Βελισάριος, καὶ τὰ ἐπιτήδεια B
ἐς χρόνον αὐτοῖς ἀπολιπὼν ἐνιαύσιον, ξὺν τῷ ἄλλῳ στρατῷ ἐς
Σάλωνας ἦλθε. καὶ Βελισάριος παντὶ τῷ στόλῳ ἐνθένθε ἄρας
Πόλῃ προσέσχεν. οὗ δὴ τὸ στράτευμα διέπων χρόνον τινὰ ἔμενε.
Τωτίλας δὲ ἥκειν αὐτὸν ἐνταῦθα ἀκούσας, τήν τε δύναμιν ἐξέ-
λων γνῶναι, ἥνπερ ἐπήγετο, ἐποίει τάδε. Βῶνος ἦν τις Ἰωάν-
νου ἀνεψιὸς φρουρᾶς ἄρχων τῆς ἐν Ἰαννούᾳ. τούτῳ δὲ ὀνόματι

5. ἄκοθεν] ἄπωθεν L. 12. τῆς θαλάσσης om. L. 19. Πόλῃ P ex coniectura Maltreti. πόλει Reg. πύλῃ H. πολὺ L. πόλεσ vel πόλαις Lm. 20. αὐτὸν ἐνταῦθα] ἐνταῦθα αὐτὸν L. 21. Βῶνος P et Hm. βώνου HL. 22. ὀνόματι om. L.

intravit. Etenim Gotthi pactis confisi, nihilque adversi interventurum rati, remissa iam obsidionis cura, cessabant. Tum vero appulsam repente classem conspicati, soluta trepide obsidione, procul ab urbe castra metati sunt, et quae sibi contigissent, Totilae plane significarunt. Eo quidem periculi Hydruntinum castellum venit: quidam vero ex Valentini militibus, in agros circumiectos excurrere soliti praedae causa, aliquando forte ad littus maris obviam factis hostibus congressi sunt, et cedente ipsis pessime praelio, multi in mare fuga se coniecere: ubi CLXX. amissis, in castellum caeteri redierunt. Inde Valentinus veteres praesidiarios, quos semimortuos reperèrat, deduxit, aliisque integris, ex praecepto Belisarii, in eorum locum suffectis, et annona in annum instructis, cum reliquo exercitu Salonas repetiit. Hinc solvit cum universa classe Belisarius, et Polam applicuit: ubi aliquantum temporis posuit in componendo exercitu. Postquam Totilas illum eo venisse audiit, ut copias, quas secum is duxerat, exploratas haberet, hac arte usus est. Bonus, Ioannis a fratre nepos, Genuensi praesidio praerat. Huius nomen mutuatus, fictas ad

χρησάμενος γράμματα δῆθεν τῷ λόγῳ παρ' αὐτοῦ πρὸς Βελισάριον ἔγραψεν, ἅτε παρακαλοῦντος αὐτὸν ὅτι τάχιστα παραγενέσθαι σφίσιν ἐν κινδύνοις τισὶ χαλεποῖς οὖσιν. ἄνδρας τε ἀπολε-
C ξάμενος περιέργους ἐς τὰ μάλιστα πέντε τά τε γράμματα ἐνεχείρισε καὶ δύναμιν ἀκριβῶς κατανοεῖν τὴν Βελισαρίου ἐπέστελλεν, ἐνδεικνυμένους ὅτι δὴ ἀπὸ Βώνου σταλεῖεν. Βελισάριος μὲν οὖν τοὺς ἄνδρας οἱ ἐς ὄψιν ἐλθόντας ξὺν φιλοφροσύνῃ πολλῇ, ὥσπερ
V 126 εἰώθει, εἶδεν. ἀναλεξάμενός τε τὰ γράμματα Βώνῳ ἀπαγγέλλειν ἐκέλευεν ὅτι δὴ παντὶ τῷ στρατῷ οὐκ εἰς μακρὰν ἥξει. οἱ δὲ περισκοπήσαντες ἅπαντα, καθάπερ σφίσιν ἐπέστελλε Τωτίλας, ἔς τε τὸ Γότθων στρατόπεδον ἐπανῆκον καὶ ὡς ἥκιστα λόγου ἀξίαν τὴν Βελισαρίου δύναμιν ἰσχυρίζοντο εἶναι.

Ἐν τούτῳ δὲ Τωτίλας Τίβυρον πόλιν, Ἰσαύρων φρουρὰν ἔχουσαν, προδοσίᾳ εἷλε τρόπῳ τοιῷδε. τῶν τινες οἰκητόρων τὰς πύλας ξὺν τοῖς Ἰσαύροις ἐφύλασσον. οὗτοι Ἰσαύροις τοῖς
D ξυμφυλάσσουσι διάφοροι γεγενημένοι ἀπ' οὐδεμιᾶς τε πρὸς αὐτοὺς διακεκριμένοι αἰτίας ἄγχιστά που ἐνστρατοπεδευομένους τοὺς πολεμίους ἐπηγάγοντο νύκτωρ. οἱ μὲν οὖν Ἴσαυροι ξυμφρονήσαντες ἁλισκομένης τῆς πόλεως σχεδόν τι ἅπαντες διαφυγεῖν ἴσχυσαν. τῶν δὲ οἰκητόρων οὐδενὸς οἱ Γότθοι ἐφείσαντο, ἀλλὰ ξὺν τῷ τῆς πόλεως ἱερεῖ ἅπαντας ἔκτειναν τρόπῳ δὴ ᾧπερ ἐξεπιστάμενος ἔγωγε ὡς ἥκιστα ἐπιμνήσομαι, ὡς μὴ ἀπανθρωπίας ἀπολείπω μνημεῖα τῷ ὄπισθεν χρόνῳ· ἐν τοῖς καὶ Κάτελλος ἀπώλετο ἐν τοῖς Ἰταλιώταις ἀνὴρ δόκιμος. καὶ οἱ μὲν βάρβαροι Τί-

13. *Τίβυρον* P. *τίβεριν* HL. *τίβουρ* Scaliger.

Belisarium literas scripsit, quasi instaret Bonus, ut sibi in gravi periculo quamprimum adesset: tum viris delectis quinque maxime curiosis eas tradidit, iniunxitque, ut Belisarii vires diligenter inspicerent, se a Bono missos simulantes. Hos Belisarius ad se introductos benignissime, ut solebat, accepit, lectisque literis, Bono renuntiare iussit, brevi se affore cum omnibus copiis. Illi, cum ex praescripto Totilae cuncta explorassent, reversi in Gotthorum castra, exercitum Belisarii tenuem esse et contemnendum asseverarunt.

Eodem tempore Tibur oppidum, Isaurorum praesidio munitum, proditione cepit Totilas: res ita contigit. Cum Isauris portarum custodes erant quidam ex incolis. Hi iurgio ab Isauris custodiam secum agitantibus distracti, temere facta discessione, hostem, in proximo habentem castra, noctu acciverunt. Capto oppido, ita coierunt Isauri, ut fere omnes evaserint. Oppidanorum nemini parcentes Gotthi, ad unum omnes cum ipsorum Antistite eo modo contrucidarunt, quem etsi compertum habeo, reticebo tamen, ne posteris monumentum inhumanitatis relinquam. In ea strage Catellus interiit, spectatus inter Italos vir. Occupato et-

βεριν ἔσχον, Ῥωμαῖοι δὲ οὐκ ἔτι ἠδύναντο ἐκ Τούσκων τὰ ἐπιτήδεια διὰ τοῦ Τιβέριδος ἐσκομίζεσθαι. πρὸς γὰρ τῷ ποταμῷ P 489
ἡ πόλις κειμένη Ῥώμης ὕπερθεν ὡς ἀπὸ σταδίων εἴκοσι καὶ ἑκατὸν ἐπιτείχισμα τὸ λοιπὸν τοῖς ἐνταῦθα εἰσπλεῖν βουλομένοις ἐγίνετο.

ια'. Τὰ μὲν οὖν ἀμφὶ Τίβυρον οὕτω γενέσθαι ξυνέπεσε. B
Βελισάριος δὲ παντὶ τῷ στόλῳ ἐς Ῥάβενναν ἀφικόμενος Γότθους τε τοὺς παρόντας καὶ Ῥωμαίους στρατιώτας ξυναγαγὼν ἔλεξε τοιάδε ,, Οὐ νῦν πρώτως, ὦ ἄνδρες, τὰ τῆς ἀρετῆς ἔργα πρὸς τῆς κακίας διερρυηκέναι ξυμβέβηκεν. ἄνωθεν γὰρ τοῦτο τοῖς ἀνθρωπίνοις ἐμπέφυκεν ἀτεχνῶς πράγμασι, πολλάς τε ἀνδρῶν ἀγαθῶν πράξεις μοχθηρία τῶν πονηροτάτων ἀναχαιτίζειν τε καὶ διαφθείρειν ἱκανῶς ἴσχυσεν. ὅπερ καὶ νῦν τὰ βασιλέως πράγματα ἔσφηλεν. ὃς δὴ τοσοῦτον τὰ ἡμαρτημένα ἐπανορθοῦν βούλεται, ὥστε τὴν Περσῶν ἐπικράτησιν περὶ ἐλάσσονος τούτων ποιούμενος ἀποστεῖλαί με τανῦν εἰς ὑμᾶς ἔγνωκεν, ὅπως ἐπανορθώσω καὶ C
ἰάσωμαι εἴ τι τοῖς ἄρχουσι μὴ ὀρθῶς ἢ ἐς τοὺς στρατιώτας τοὺς αὐτοῦ ἢ ἐς Γότθους εἴργασται. τὸ μὲν οὖν μηδ' ὁπωσοῦν ἁμαρτάνειν οὔτε ἀνθρώπινον καὶ τῆς τῶν πραγμάτων φύσεως ἔξω, τὸ δὲ τὰ ἡμαρτημένα ἐπανορθοῦν βασιλεῖ τε διαρκῶς πρέπον καὶ παραψυχῆς τοῖς ἠγαπημένοις ἱκανῶς ἄξιον. οὐ γὰρ ὅσον ὑμῖν H 272
τῶν δυσκόλων ἀπαλλαγῆναι ξυμβήσεται, ἀλλὰ καὶ τῆς βασιλέως εἰς ὑμᾶς εὐνοίας ξυνεῖναί τε καὶ ἀπολαύειν αὐτίκα προσέσται· οὗ

6. Τίβυρον] τίβιριν HL. 21. παραψυχῆς L. παρὰ ψυχῆς HP. 23. ξυνεῖναι] ξυνιέναι Scaliger.

iam a Gotthis Tiberi, Romanis nulla amplius potestas fuit, ex Tuscia invehendorum eo fluvio commeatuum. Etenim oppidum ad flumen situm, ac superius Roma stadiis cxx. postmodum in urbem navigare volentibus infestum propugnaculum fuit.

11. Tiburi quidem res ita se habuit: Ravennam vero delatus cum universa classe Belisarius, vocata concione, Gotthos, qui aderant, ac milites Romanos his fere verbis allocutus est. *Non hodie primum contigit, o Viri, ut res virtute partae, vitio dilaberentur. Nam haec iam inde olim rebus humanis alte insita imbecillitas fuit, et praeclara multa virorum proborum acta evertit delevitque scelestissimorum improbitas. Hinc nata est ruina rerum Imperatoris: qui prave hactenus facta corrigere adeo cupit, ut consilio domandi Persas posthabito, ad vos modo me destinaverit, ut reparem sarciamque si quid a Praefectis non recte vel in milites ipsius, vel in Gotthos patratum est. Nihil omnino peccare, neque humanum est, neque intra rerum naturam positum: peccata autem emendare, Imperatorem maxime decet, nec parum illis convenit, quos ex animo diligit. Nos vero a molestiis solum vindicabimini; sed Imperatoris erga vos benevolentiae testimonia ac fructus continuo accedent: quo quid hominibus contin-*

τί ἂν ἀξιώτερον γένοιτο ἀνθρώπῳ τῶν πάντων χρημάτων; ἐπειδὴ τοίνυν ἐπ' αὐτὸ τοῦτο ὑμῖν πάρειμι, προσήκει καὶ ὑμῶν ἕκαστον
D πάσῃ δυνάμει χρήσασθαι, ὅπως ἂν τῆς ἐντεῦθεν ὠφελείας ἀπώνασθε. ὅτῳ τε ὑμῶν ξυγγενεῖς ἢ φίλοι παρὰ Τωτίλᾳ τῷ τυράννῳ τυγχάνουσιν ὄντες, μεταπεμψάσθω τούτους ὅτι τάχιστα τὴν βασιλέως δηλώσας γνώμην. οὕτω γὰρ ἂν ὑμῖν τά τε ἐκ τῆς εἰρήνης καὶ τὰ ἐκ τοῦ μεγάλου βασιλέως ἀγαθὰ γένοιτο· ὡς ἔγωγε οὔτε τῷ πολεμησείων ἐνθάδε ἀφῖγμαι οὔτ' ἂν ἑκών ποτε τοῖς βασιλέως κατηκόοις πολέμιος εἴην. εἰ μέντοι καὶ νῦν οἱ μὲν τούτων παρὰ φαῦλον ἡγησάμενοι τὸ τὰ βελτίω σφίσιν αὐτοῖς ἑλέσθαι,
P 490 οἱ δὲ καὶ ἀπ' ἐναντίας ἡμῖν ἴωσιν, ἀνάγκη καὶ ἡμᾶς αὐτοῖς ὡς
V 127 μάλιστα ἀκουσίους ὡς πολεμίοις χρῆσθαι." τοσαῦτα μὲν Βελισάριος εἶπε. προσεχώρει δέ οἱ τῶν ἐναντίων οὐδεὶς οὔτε Γότθος οὔτε Ῥωμαῖος. ἔπειτα δὲ Θορισούθ τε τὸν δορυφόρον καὶ τῶν ἑπομένων τινὰς ξύν τε Βιταλίῳ καὶ τοῖς Ἰλλυριοῖς στρατιώταις ἐς Αἰμιλίαν πέμψας, ἐκέλευεν ἀποπειρᾶσθαι τῶν ταύτῃ χωρίων. Βιτάλιος οὖν ξὺν τῷ στρατῷ τούτῳ ὁμφὶ πόλιν Βωνώνειαν γενόμενος τινά τε τῶν ἐνταῦθα φρουρίων ὁμολογίᾳ ἑλὼν ἐν Βωνωνείᾳ πόλει ἡσύχαζε. χρόνῳ δὲ οὐ πολλῷ ὕστερον Ἰλλυριοὶ ξύμπαντες, ὅσοι ξὺν αὐτῷ ἐστρατεύοντο, ἐκ τοῦ αἰφνιδίου, κακὸν οὐδὲν οὔτε παθόντες οὔτε ἀκούσαντες, λάθρα ἐνθένδε ἀναχωρήσαντες ἐπ' οἴκου ἀπεκομίσθησαν. πρέσβεις τε παρὰ βασιλέα πέμψαντες συγγνώμην διδόναι σφίσιν ἐδέοντο, οὐκ ἄλλων τε

8. οὔτε — οὔτ'] Vulgo οὐδέ — οὐδ'. *ibid.* πολεμησείων P ex Vat. τολμησείων HL. 23. ἄλλων τε] Vitiosum τε vel delendum vel cum alia particula commutandum.

gat magis dignum, cui omnis opum copia postponatur? Itaque cum ad id vobis praesto sim, cuiusque vestrum est viribus uti omnibus, ut inde capiatis utilitatem. Porro quisquis necessarios vel amicos apud Tyrannum Totilam habet, eos revocet quamprimum, declarata Augusti voluntate. Sic enim et pacis et Imperatoris magni larga benignitas se vobis offert, ut meus huc adventus ad bellum per se minime spectet: nec sane ultro hostilem unquam animum in subditos Augusti induam. At si nunc illi partim renuant potiora amplecti, partim etiam se nobis adversos offerant, ipsos hostiliter, invitissimi licet, habebimus. Ita quidem disseruit Belisarius: nemo tamen hostium, nec Gotthus, nec Romanus, ad ipsum descivit. Deinde Thorimutho Praetoriano ac suorum quibusdam, cum Vitalio Illyriisque militibus, in Aemiliam missis, mandavit ut regionis illius loca tentarent. His Vitalius succinctus copiis, Bononiam accessit, et capto deditione vicino quodam castello, in urbe illa consedit. Interiecto haud magno spatio, quotquot sub ipso merebant Illyrii, repente, quamvis nullo nec facto nec dicto violati, inde clam proripuerunt sese, et domum reversi, ab Imperatore veniam per Legatos petierunt; quandoquidem non

ἕνεκα εἰς τὰ οἰκεῖα τρόπῳ ὅτῳ δὴ ἀφικόμενοι ἢ ὅτι συχνὸν σφίσι χρόνον ἐν Ἰταλίᾳ στρατευομένοις τάς τε ξυντάξεις ὡς ἥκιστα κομιζομένοις χρήματα δὴ πολλὰ τὸ δημόσιον ὤφειλε. καὶ στρατεύματος δὲ Οὐννικοῦ τοὺς Ἰλλυριοὺς ἐπισκήψαντος παῖδάς τε καὶ γυναῖκας ἐξηνδραποδίσθαι τετύχηκεν. ἃ δὴ πυθόμενοι καὶ τῶν ἀναγκαίων ἔν γε Ἰταλιώταις σπανίζοντες ἦσαν. οἷς δὴ βασιλεὺς τὰ πρῶτα χαλεπήνας, εἶτα συγγνώμων ἐγένετο. γνοὺς δὲ ὁ Τωτίλας τὴν τῶν Ἰλλυριῶν ἀναχώρησιν στράτευμα ἐπὶ Βωνώνιαν ἔπεμψεν, ὡς Βιτάλιον καὶ τοὺς ξὺν αὐτῷ ἀναρπάσοντας. ἀλλὰ Βιτάλιός τε καὶ Θορίμουθ προλοχίσαντες ἐνέδραις τισὶ τοὺς ἐπιόντας πολλοὺς μὲν διέφθειραν, τοὺς δὲ λοιποὺς ἐς φυγὴν ἔτρεψαν. ἔνθα Ναζάρης, ἀνὴρ λόγιμος, Ἰλλυριὸς γένος, στρατιωτῶν τε τῶν ἐν Ἰλλυριοῖς ἄρχων, ἔργα θαυμαστὰ ἐς τοὺς πολεμίους πάντων μάλιστα ἐπεδείξατο. οὕτω τε ὁ Θορίμουθ παρὰ Βελισάριον ἐς Ῥάβενναν ἦλθε.

Τότε δὴ Βελισάριος τρεῖς τῶν δορυφόρων τῶν αὐτοῦ, Θορίμούθ τε καὶ Ῥικίλαν καὶ Σαβινιανὸν, ἔστειλε ξὺν χιλίοις στρατιώταις ἐς Αὔξιμον πόλιν, Μάγνῳ τε καὶ Ῥωμαίοις τοῖς ἐνταῦθα πολιορκουμένοις ἐπαμυνοῦντας. οἱ δὲ Τωτίλαν τε λαθόντες καὶ τὸ τῶν πολεμίων στρατόπεδον νύκτωρ ἐν Αὐξίμῳ ἐγένοντο, ἐπεκδρομάς τέ τινας ποιεῖσθαι ἐπὶ τοὺς ἐναντίους διενοοῦντο. τῇ δὲ ὑστεραίᾳ πυθόμενοι ἀμφὶ ἡμέραν μέσην τῶν πολεμίων τινὰς ἄγχιστά πη εἶναι ἐξῆλθον μὲν ὡς ὑπαντιάσοντες,

6. γε] Vulgo τε. ibid. ἦσαν om. HL. πανσυδεὶ ἀνεχώρησαν supplebat Hoeschelius. 13. τε τῶν om. L.

alia de causa rediissent in patriam, nisi quia sibi, diuturnam passis militiam in Italia sine ullo stipendio, multa ab aerario pecunia deberetur. Praeterea Hunnorum exercitus, facta in Illyricum irruptione, eorum liberos coniugesque in servitutem abduxerat. Cuius rei nuntius, ad victus inopiam, qua in Italia laborabant, accedens, illos migrare compulit. Quibus Imperator initio offensus, postea veniam dedit. Totilas Illyriorum discessu cognito, Bononiam copias misit, ut Vitalium et eos, qui cum ipso erant, corriperent. Verum Vitalius ac Thorimuthus, cum insidias venientibus instruxissent, caesis non paucis, reliquos in fugam verterunt. Ibi Nazares, vir nobilis, Illyrius genere et Illyrici comes, in hostes facinora omnium maxime miranda edidit: Thorimuthus autem Ravennam rediit ad Belisarium.

Tum Belisarius ex Protectorum suorum numero tres, Thorimuthum, Ricilam et Sabinianum cum militibus mille ad urbem Auximum misit, Magno et Romanis ibi obsessis laturos opem. Illi, nihil Totila, nihil hostili exercitu advertente, Auximum de nocte ingressi, statuerunt fatigare hostem eruptionibus. Postridie, circiter meridiem, ut Barbarorum

D κατασκόπους δὲ πέμψαι πρότερον ἐπ' αὐτοὺς ἔγνωσαν, κατασκεψομένους τὴν αὐτῶν δύναμιν, ὡς ἂν μὴ ἀνεπισκέπτως ἐπ' αὐτοὺς ἴωσιν. Ῥικίλας δὲ ὁ Βελισαρίου δορυφόρος (οἰνωμένος γὰρ τηνικαῦτα ἐτύγχανεν) ἄλλους μὲν ἐπὶ κατασκοπῇ οὐκ εἴα ἰέναι, μόνος δὲ αὐτὸς τὸν ἵππον ἐξελάσας κατὰ τάχος ἦει. Γότθοις δὲ τρισὶν ἐντυχὼν ἐν χωρίῳ κρημνώδει τὰ μὲν πρῶτα ὡς ἀντιταξόμενος ἔστη· ἐπὶ πλεῖστον γὰρ ἀνδρείας ἐτύγχανεν ἥκων· πολλοὺς δὲ πανταχόθεν ἐπ' αὐτὸν ἰδὼν ἐπιρρέοντας ἐς φυγὴν ὥρμητο. τοῦ δέ οἱ ἵππου ἐν δυσχωρίαις ὀκλάσαντος, κραυγή τε τῶν πολεμίων πολλὴ γέγονε καὶ τὰ δοράτια ἠκόντιζον ἐπ' αὐτὸν
P 491 ἅπαντες. ὧν δὴ Ῥωμαῖοι αἰσθόμενοι ἐβοήθουν ὁρόμῳ. καὶ Ῥικίλας μὲν δόρασι πολλοῖς κεκαλυμμένος θνήσκει, τρέψαντες δὲ τοὺς ἐναντίους οἱ ἀμφὶ Θοριμοῦθ, ἄραντές τε τὸν νεκρὸν, ἐς Αὔξιμον πόλιν ἐκόμισαν, οὐκ ἐπαξίως τῆς ἀρετῆς τὴν τοῦ βίου καταστροφὴν κληρωσάμενον. ἔπειτα Σαβινιανός τε καὶ Θορι-
H 273 μοῦθ Μάγνῳ κοινολογησάμενοι ἀξύμφορον εἶναι σφίσι περαιτέρω διατριβήν τινα ἐνταῦθα ποιεῖσθαι λογισάμενοι, ὅτι δὴ οὕτω τοῖς πολεμίοις γε οὐκ ἀξιόμαχοί ποτε γένοιντο καὶ τὰς τῶν πολιορκου-
B μένων καταδαπανῶντες τροφὰς ἁλώσιμον ὅτι θᾶσσον τὴν πόλιν τοῖς ἐναντίοις ποιήσονται. ἐπεὶ ταῦτα ἐδέδοκτο, αὐτοὶ μὲν καὶ οἱ χίλιοι παρεσκευάζοντο ἐς τὴν ἄφοδον, ὡς νύκτωρ τῆς ἀποπορείας ἀρξόμενοι, αὐτίκα δὲ τῶν τις στρατιωτῶν αὐτομολήσας λάθρα ἐς τὸ τῶν πολεμίων στρατόπεδον ἔκπυστα ἐποίησε τὰ πρασσόμενα. Τωτίλας τοίνυν ἄνδρας δισχιλίους ἀριστίνδην

24. ἀριστίνδην] ἀριστείνδην P.

agmen subiisse propius audierunt, se urbe eiecerunt, ituri obviam: prius tamen mittere placuit, qui perspicerent eorum vires, ne inexplorato ipsos invaderent. Protector Belisarii Ricilas, tunc temporis ebrius, haud passus caeteros speculatum ire, solus equo admisso properat. Tres Gothos praecipiti in loco nactus, primo quidem, ut vir erat animosissimus, equo inhibito, se ad resistendum composuit: ubi vero se undique circumfundi vidit, fugam cepit. Prolapso in salebris equo, exoritur ingens hostium clamor: in Ricilam omnes torquere iacula: conspicati id Romani auxilio cucurrere. Spiculorum multitudine obruto confectoque Ricila, qui cum Thorimutho erant, avertunt in fugam hostes, mortuum tollunt, et in urbem Auximum reportant, mortem fortitudine indignam sua sortitum. Post Sabinianus ac Thorimuthus, collato cum Magno consilio, censuerunt haud in rem esse, ut ibi diutius morarentur; propterea quod hostem aequo petere congressu non possent, et obsessorum annonam absumendo efficerent ut in Gotthorum potestatem urbs citius caderet. Constituto consilio, ipsi cum subsidiariis mille profectionem in proximam noctem parārunt. Confestim miles quidam, occulto ad hostium castra elapsus transfugio, rem indicavit. Totilas, delectu fortissimorum habito ad duo mil-

ἀπολειξάμενος νυκτὸς ἐπιλαβούσης ἐφύλασσε τὰς ὁδοὺς, ἀπὸ σταδίων Αὐξίμου τριάκοντα, οὐδενὶ αἴσθησιν παρεχόμενος. οἳ ἐπεὶ παριόντας ἀμφὶ νύκτα μέσην τοὺς πολεμίους εἶδον, σπασάμενοι τὰ ξίφη ἔργον εἶχοντο. καὶ αὐτῶν μὲν διακοσίους ἔκτειναν, Σαβινιανὸς δὲ καὶ Θορίμουθ ξὺν τοῖς λοιποῖς, ἅτε ἐν σκότει, λαθεῖν τε καὶ φυγεῖν ἐς τὴν Ἀρίμηνον ἴσχυσαν. τῶν μέντοι ὑποζυγίων ἁπάντων οἱ Γότθοι ἐκράτησαν, ἃ τῶν στρατιωτῶν τήν τε θεραπείαν καὶ τὰ ὅπλα καὶ τὰ ἱμάτια ἔφερεν. C V 128

Ἔστι δὲ πολίσματα δύο πρὸς τῇ ἀκτῇ τοῦ Ἰονίου κόλπου, Πίσαυρός τε καὶ Φανὸς, μεταξὺ τῆς τε Αὐξίμου καὶ Ἀριμήνου πόλεως κείμενα. ὧν δὴ τὰς οἰκίας Οὐίτιγις κατ' ἀρχὰς τοῦ πολέμου ἐμπρήσας τὰ τείχη καθεῖλεν ἄχρι ἐς ἥμισυ μάλιστα, ὅπως μὴ καταλαβόντες αὐτὰ Ῥωμαῖοι πράγματα Γότθοις παρέξωσι. τούτων θάτερον, Πίσαυρον, Βελισάριος καταλαβεῖν ἔγνω· ἔδοξε γάρ οἱ ἐς ἵππων νομὰς ἐπιτηδείως τὸ χωρίον κεῖσθαι. πέμψας οὖν νύκτωρ τῶν οἱ ἐπιτηδείων τινὰς ἐς τὸ ἀκριβὲς εὖρός τε καὶ D μῆκος πύλης ἑκάστης ξυνεμετρήσατο λάθρα. τάς τε πύλας τεκτηνάμενος καὶ σιδήρῳ περιβαλὼν εἶτά τισιν ἀκατίοις ἐνθέμενος ἔπεμψεν, ἃς δὴ ἐκέλευε τοῖς ἀμφὶ Σαβινιανόν τε καὶ Θορίμουθ κατὰ τάχος τοῖς τείχεσιν ἐναρμόσαντας ἐντὸς τοῦ περιβόλου μένειν, ἔν τε τῷ ἀσφαλεῖ γενομένους ὅσα τοῦ περιβόλου καταπεπτώκει, ὅτῳ δὴ ἀνοικοδομῆσαι τρόπῳ, λίθους τε καὶ πηλὸν καὶ ἄλλο ὁτιοῦν ἐμβαλλομένους. οἱ μὲν οὖν κατὰ ταῦτα ἐποίουν. Τωτίλας δὲ μαθὼν τὰ πρασσόμενα στρατῷ πολλῷ ἐπ' αὐτοὺς

lia, sequenti nocte, stadiis xxx. procul Auximo, itinera insedit, nemine persentiente. Hi sub mediam noctem, ut hostes transeuntes viderunt, districtis ensibus eos adorti, ducentos interfecere. Sabinianum ac Thorimuthum cum reliquis nox occuluit, illisque Ariminum evadendi copiam dedit. Penes Gotthos fuere iumenta omnia, quibus militum famuli, arma, vestes, convehebantur.

Inter urbes Auximum Ariminumque, ad sinus Ionii littus duo sita sunt oppida, Pisaurum et Fanum: quorum domos Vitigis initio belli huius incenderat, ac mediam fere murorum partem everterat, ne Romani, his occupatis, negotium Gotthis exhiberent. Eorum alterum, Pisaurum videlicet, Belisarius occupare constituit: quod is locus pabulationi commodus videbatur. Ergo noctu nonnullis ex eorum numero, quibus familiarius utebatur, proficisci iussis, mensuram latitudinis ac longitudinis cuiusque portae clam ab ipsis initam probe tenuit, et fores fabricatus munitas ferro, scaphis misit, cum his ad Sabinianum et Thorimuthum mandatis, ut illis muro aptatis propere foribus, tenerent se oppido, atque in tuto positi, murorum ruinas omnes, quomodocunque possent, restaurarent, iniectis lapidibus, luto, et si quid esset aliud. Haec illi accurarunt: quibus Totilas intellectis, cum multis copiis eo contendit: fa-

ἦλθε. καὶ ἀποπειρασάμενος, χρόνον δὲ ἐνταῦθα διατρίψας τινὰ, ἐπεὶ ἐξελεῖν οὐχ οἷός τε ἦν, ἄπρακτος ἐς τὸ ἐν Αὐξίμῳ στρατό-
P 492 πεδον ἀνεχώρησεν. ἐπεξῄει δὲ Ῥωμαίων ἔτι τοῖς πολεμίοις οὐδείς, ἀλλ' ἐντὸς τειχῶν ἕκαστοι ἔμενον. ἀλλὰ καὶ τῶν δορυφόρων τῶν αὐτοῦ δύο Βελισάριος ἐς Ῥώμην στείλας, Ἀρτασείρην τε, ἄνδρα Πέρσην, καὶ Βαρβατίωνα Θρᾷκα, ὡς ξυμφυλάξοντας Βέσσα τὴν πόλιν, ὃς ἐνταῦθα ἐτύγχανεν ὤν, ἐπίστελλε τοῖς πολεμίοις ὡς ἥκιστα ἐπεξιέναι. Τωτίλας δὲ καὶ ὁ Γότθων στρατὸς, ἐπεὶ οὐκ ἀξιόχρεων ἀντιτάξασθαι σφίσι τὴν Βελισαρίου δύναμιν ἥσθοντο οἷσαν, τῶν χωρίων τὰ ἐχυρώτατα ἐνοχλεῖν ἔγνωσαν. διὸ δὴ ἐν Πικηνοῖς ἀμφί τε Φίρμον καὶ Ἄσκουλον ἐνστρατοπεδευσάμενοι ἐς πολιορκίαν καθίσταντο. καὶ ὁ χειμὼν ἔληγε, καὶ δέκατον ἔτος ἐτελεύτα τῷ πολέμῳ τῷδε, ὃν Προκόπιος ξυνέγραψε.

B ιβ'. Βελισάριος δὲ ἀμύνειν τοῖς πολιορκουμένοις οὐδαμῇ ἔχων Ἰωάννην τὸν Βιταλιανοῦ ἀνεψιὸν ἐς Βυζάντιον ἔπεμψεν, ὅρκοις αὐτὸν δεινοτάτοις καταλαβὼν, ὡς ἐπανήκειν ὅτι τάχιστα ἐν σπουδῇ θήσεται, βασιλέως δεησόμενον στρατιάν τε πολλὴν σφίσι καὶ χρήματα μεγάλα πέμψαι, καὶ μέντοι καὶ ὅπλα καὶ ἵππους. οἱ γὰρ στρατιῶται ὀλίγοι λίαν ὄντες οὐδὲ αὐτοὶ μάχεσθαι ἤθελον, χρήματά τε πολλὰ φάσκοντες τὸ δημόσιον σφίσιν ὀφείλειν καὶ αὐτοὶ ἁπάντων ἐνδεεῖς εἶναι. καὶ ἦν δὲ οὕτως. καὶ

10. ἐχυρώτατα L. ἐχυρώματα HP. 11. Πικήνοις P. πικηνοῖς HL. 18. δεησόμενον HL. δεησάμενον P.

ctoque periculo, ac multo ibi consumpto tempore, cum expugnare non posset, re infecta ad castra pro Auximo locata, rediit. Nec iam Romanorum quisquam in hostes erumpebat: sed quisque continebat se intra muros. Duos quoque e Protectoribus suis Belisarius Romam misit, Artasiren natione Persam et Barbationem Thracem, urbem cum Bessa, qui ibi erat, servaturos: et in hostem eruptiones facere vetuit. Totilas Gotthorumque exercitus, haud ignari viribus imparem sibi esse Belisarium, loca infestare munitissima decreverunt. Quare in agro Piceno ad Firmum et Asculum castrametati, utrumque circumsedere. Annus cum hieme finitur decimus huius belli, cuius historiam Procopius texuit.

12. Cum adesse obsessis Belisarius non posset, Ioannem Vitaliani nepotem Byzantium misit, gravissimo iureiurando obstrictum, fore ut redire satageret, simul ac rogasset Imperatorem, ut numerosum exercitum, magnam pecuniae vim, et arma et equos in Italiam mitteret. Detrectabant enim praelia milites, ad paucos redacti, et conquerentes, sibi ex aerario stipendia deberi plurima, atque omnia deesse. Et sane sic res

γράμματα ὑπὲρ τούτων βασιλεῖ ἔγραψεν. ἐδήλου δὲ ἡ γραφὴ
τάδε „Ἀφίγμεθα ἐς τὴν Ἰταλίαν, ὦ βασιλέων κράτιστε, ἀν- C
δρῶν τε καὶ ἵππων καὶ ὅπλων καὶ χρημάτων ξὺν ἀπορίᾳ. ὧν
οὐδ' ἂν τις μὴ διαρκῶς ἔχων πόλεμον, οἶμαι, διενεγκεῖν οὐ μή
ποτε ἱκανὸς εἴη. Θρᾷκας μὲν γὰρ καὶ Ἰλλυριοὺς ἐνδελεχέστατα
περιόντες στρατιώτας κομιδῇ ὀλίγους ἠγείραμεν. οὓς δὴ οἰ-
κτροὺς οὐδέ τι ὅπλων ἐν χερσὶν ἔχοντας καὶ μάχης ὄντας παντά-
πασιν ἀμελετήτους ὁρῶμεν. καὶ τοὺς ἀπολελειμμένους ἐνταῦθα
οὔτε αὐτάρκεις ὄντας καὶ κατεπτηχότας τοῖς πολεμίοις, δεδου-
λωμένους τε τὸ φρόνημα τῷ πρὸς ἐκείνων πολλάκις ἡσσῆσθαι,
οἵ γε οὐδὲ εἰκῇ τοὺς ἐναντίους διέφυγον, ἀλλὰ τούς τε ἵππους
ἀφέντες καὶ τὰ ὅπλα ἐς τὴν γῆν ῥίψαντες. χρημάτων δὲ πρόσο- D
δον ἐξ Ἰταλίας πορίζεσθαι ἡμῖν ἀδύνατά ἐστι, πάλιν πρὸς τῶν H 274
πολεμίων κατειλημμένης. διὸ δὴ καὶ ὑπερήμεροι γεγενημένοι ἐς
τῶν στρατιωτῶν τὰς ξυντάξεις ἐπιτάττειν αὐτοῖς ἥκιστα ἔχομεν.
ἀφεῖλετο γὰρ ἡμῶν τὴν παρρησίαν τὸ ὄφλημα. εὖ δὲ καὶ τοῦτο, V 129
ὦ δέσποτα, ἴσθι, ὡς τῶν ὑπὸ σοῦ στρατευομένων οἱ πλείους
πρὸς τοὺς πολεμίους ἠὐτομοληκότες τυγχάνουσιν ὄντες. εἰ μὲν
οὖν ἔδει Βελισάριον ἐς Ἰταλίαν στέλλεσθαι μόνον, ἄριστά σοι τὰ P 493
ἐς τὸν πόλεμον παρεσκεύασται· εἰμὶ γὰρ ἐν Ἰταλιώταις που ἤδη
μέσοις· εἰ δὲ περιεῖναι βούλει τῷ πολέμῳ τῶν δυσμενῶν, καὶ τὰ
ἄλλα ἐξαρτύεσθαι δεῖ. στρατηγὸς γάρ τις, οἶμαι, τῶν ὑπουρ-
γούντων χωρὶς οὐκ ἂν γένοιτο. δορυφόρους τοίνυν καὶ ὑπασπι-
στὰς τοὺς ἐμοὺς μάλιστα πάντων σταλῆναι προσήκει, ἔπειτα

erat. De his ad Imperatorem scripsit hoc fere modo. *In Italiam pervenimus, Imperatorum optime, a militibus, equis, armis, pecunia imparati: quae si cui quantum satis est non suppetant, nequaquam is, ut equidem sentio, bello gerendo par esse poterit. Thracia atque Illyrico continenter peragratis, milites coëgimus perquam paucos: quos miselios, inermes, et ad pugnam omnino rudes videmus; eos autem, qui hic remanserant, parum sorte contentos sua, hostium metuentes, et crebris perculsos cladibus: qui congressum hostilem consulto vitant, dimissis equis, armisque in terram proiectis. Nec pecuniae quidquam redire nobis ex Italia potest, iam ab hostibus recepta. Quo fit ut stipendiis die praestitutis non persolutis militi, non sit integrum nobis illi imperare: nos enim loquendi libertate debitum privat. Id etiam, Domine, pro certo habe, eorum qui tibi militabant, maximam partem ad hostes descivisse. Itaque, si nihil aliud oportuit fieri, quam venire in Italiam Belisarium, nae tibi bellum optime instructum est: iam enim medios inter Italos dego. At si bello vis hostes vincere, alia parari necesse est: nam belli Imperator, mea quidem sententia, nemo fuerit, nisi militare ministerium adhit. Quare hastatos stipatores et scutarios meos huc mitti in primis convenit; tum plurimas*

πάμπολύ τι πλῆθος Οὔννων τε καὶ ἄλλων βαρβάρων, οἷς καὶ χρήματα ἤδη δοτέον."

B Τοσαῦτα μὲν Βελισάριος ἔγραψεν. Ἰωάννης δὲ χρόνον ἐν Βυζαντίῳ διατρίψας πολὺν οὐδὲν μὲν διεπράξατο ὧν ἕνεκα ἦλθεν, ἔγημε δὲ τοῦ Γερμανοῦ βασιλέως ἀνεψιοῦ παῖδα. ἐν τούτῳ δὲ Τωτίλας Φίρμον τε καὶ Ἄσκουλον ὁμολογίᾳ εἷλεν. ἐς Τούσκους δὲ ἀφικόμενος Σπολίτιόν τε καὶ Ἀσίσην ἐπολιόρκει. ἦρχε δὲ τοῦ μὲν ἐν Σπολιτίῳ φυλακτηρίου Ἡρωδιανὸς, τοῦ δὲ ἐν Ἀσίσῃ Σισίφριδος, Γότθος μὲν γένος, εὐνοϊκῶς δὲ λίαν ἔς τε Ῥωμαίους καὶ τὰ βασιλέως πράγματα ἔχων. Ἡρωδιανὸς μὲν οὖν τοῖς πολεμίοις ἐς λόγους ἦλθεν, ἐφ' ᾧ τριάκοντα ἡμέρας ἡσυχῇ μείνωσιν. ὧν ἢν μὴ ἐπικουρία τις αὐτοῖς ἐπιγένηται, αὐτόν τε καὶ τὴν πόλιν ξύν τε τοῖς στρατιώταις καὶ τοῖς ἐνοικοῦσι Γότθοις C ἐνδώσειν. τόν τε παῖδα ὅμηρον ἐπὶ ταύτῃ τῇ ὁμολογίᾳ παρέσχετο. ἐπειδὴ δὲ παρῆν μὲν ἡ κυρία, στράτευμα δὲ οὐδαμόθεν Ῥωμαίων ἦλθεν, Ἡρωδιανός τε καὶ ὅσοι φρουρὰν ἐνταῦθα εἶχον κατὰ τὰ ξυγκείμενα Τωτίλᾳ καὶ Γότθοις σφᾶς τε αὐτοὺς καὶ Σπολίτιον ἐνεχείρισαν. φασὶ δὲ Ἡρωδιανὸν κατὰ τὸ ἐς Βελισάριον ἔχθος αὐτόν τε καὶ Σπολίτιον Γότθοις ἐνδοῦναι· λογισμοὺς γὰρ αὐτῷ Βελισάριος τῶν βεβιωμένων ἠπείλησε πράξειν. τὰ μὲν οὖν ἀμφὶ Σπολιτίῳ ταύτῃ ἐχώρησε. Σισίφριδος δὲ ξὺν τοῖς ἑπομένοις ἐπεκδρομὰς ποιησάμενος, τῶν τε ξὺν αὐτῷ πλείστους ἀποβάλλει καὶ αὐτὸς θνήσκει. Ἀσίσινοί τε τοῖς παροῦσιν

5. *Γερμανοῦ*] *Δημητρίου* legit Pers. 9. *Σισίφριδος*] *Sifridus* Pers. Infra *Sifridius*. 21. *Σισίφριδος*] *τισίφριδος* H: illud Hm.

Hunnorum aliorumque Barbarorum catervas: quibus iam nunc pecunia repraesentanda est.

Ea quidem Belisarius scripsit: Ioannes vero diu Byzantii moratus, omissa re, cuius causa venerat, filiam Germani, qui Imperatoris nepos ex fratre erat, uxorem duxit. Interea loci Totilas deditione Firmum atque Asculum capit, Tusciamque ingressus, Spoletium et Asisium obsidet. Imperabat praesidio Spoletino Herodianus; Asisino Sisifridus, genere is quidem Gotthus, at Romanorum, rerumque Imperatoris studiosissimus. Herodianus, pactis cum hoste dierum xxx. induciis, promisit, si intra id tempus auxilium sibi non afferretur, se urbem secum et cum militibus incolisque traditurum Gotthis: cuius compositionis obsidem dedit filium suum. Quando affuit dicta dies, nusquam compatente Romano exercitu, Herodianus omnesque praesidiarii se ac Spoletium Totilae et Gotthis ex conventu permittunt. Fertur Herodianus se et Spoletium Gotthis dedidisse, dictante odio, quo Belisarium prosequebatur; ex quo Belisarius minatus fuerat se ab ipso anteactae vitae rationem repetiturum. Sic res Spoletii se habuerunt. Sisifridus autem suorum, quibuscum eruptiones faciebat, plerisque amissis, et ipse occubuit. Tum consilii inopes Asisi-

ἀπορούμενοι, αὐτίκα τὴν πόλιν τοῖς πολεμίοις ἐνέδοσαν. πέμ- D
ψας δὲ παρὰ Κυπριανὸν εὐθὺς Τωτίλας, ἐνδοῦναί οἱ αὐτῷ Περ-
ουσίαν ἠξίου, δεδιττόμενος μέν, ἢν ἀπειθήσῃ, χρήμασι δὲ αὐ-
τῷ δωρήσασθαι μεγάλοις ἐπαγγελλόμενος, ἤν γε ταῦτα ἐπιτε-
λοίη. ἐπεὶ τέ οἱ Κυπριανοῦ οὐδὲν προὐχώρει, τῶν ἐκείνου δο-
ρυφόρων ἕνα, Οὔλιφον ὄνομα, χρήμασιν ἀναπείθει δόλῳ τὸν
ἄνθρωπον διαχρήσασθαι. Οὔλιφος μὲν οὖν μόνῳ τῷ Κυπρια-
νῷ ἐντυχὼν ἔκτεινέ τε αὐτὸν καὶ παρὰ Τωτίλαν φεύγων ᾤχετο.
οὐδὲν δὲ ἧσσον οἱ Κυπριανοῦ στρατιῶται βασιλεῖ τὴν πόλιν ἐφύ-
λασσον, διὸ δὴ Γότθοι ἐνθένδε ἀναχωρεῖν ἔγνωσαν.

ιγ'. Μετὰ δὲ Τωτίλας ἐπὶ Ῥώμην ἦει, καὶ ἐπεὶ ἀγχοῦ P 494
ἐγένετο, ἐς πολιορκίαν καθίστατο. τοὺς μέντοι γεωργοὺς οὐδὲν
ἄχαρι ἀνὰ πᾶσαν τὴν Ἰταλίαν εἰργάσατο, ἀλλὰ τὴν γῆν ἐκέλευεν
ἀδεῶς, ἥπερ εἰώθασιν, ἐς ἀεὶ γεωργεῖν, τοὺς φόρους αὐτῷ ἐπι-
φέροντας ὅσους τὰ πρότερα ἔς τε τὸ δημόσιον καὶ ἐς τοὺς κεκτη-
μένους ἀποφέρειν ἠξίουν. Γότθων δέ τινων ἄγχιστα τοῦ Ῥώμης
περιβόλου ἀφικομένων Ἀρτασίρης τε καὶ Βαρβατίων, πολλούς
τε τῶν ἑπομένων ἐπαγαγόμενοι, Βέσσα ὡς ἥκιστα ἐπαινοῦντος,
ἐπεκδρομὴν ἐπ' αὐτοὺς ἐποιήσαντο. καὶ πολλοὺς μὲν εὐθὺς
ἔκτειναν, τοὺς δὲ λοιποὺς ἐς φυγὴν ἔτρεψαν. οἷς δὴ ἐπισπόμε-
νοι, ἔς τε τὴν δίωξιν ἐπὶ πλεῖστον ἐκπεπτωκότες ἐνέδραις ὑπὸ τῶν B
πολεμίων ἐνέτυχον. οὗ δὴ τοὺς πλείστους ἀποβαλόντες αὐτοὶ
ξὺν ὀλίγοις τισὶ διέφυγον μόλις, καὶ τὸ λοιπὸν ἐπεξιέναι τοῖς
ἐναντίοις, καίπερ ἐγκειμένοις, οὐκέτι ἐτόλμων. καὶ ἀπ' αὐτοῦ

24. ἐτόλμων Scaliger. Vulgo ἐτόλμουν.

nates, urbem sine mora in potestate hostium posuere. Protinus mittit Totilas Cypriano, ut Perusia sibi cedat: ac ni faciat, denuntiat terrores; si morem gesserit, grandem pollicetur pecuniam. Cum nihil his apud Cyprianum proficeret, unum ex ipsius stipatoribus, cui nomen Ulipho, pecunia adducit ut eum per insidias interficiat. Cyprianum nactus solum Uliphus, illum occidit, et ad Totilam confugit. Nihilominus tamen Imperatori urbem servantibus Cypriani militibus, Gotthi inde abscedere decreverunt.

13. Deinde Romam profectus Totilas, ubi proxime ventum est, ad obsidionem capessendam incubuit. Per totam Italiam nulla agricolis illata molestia, eos libere, uti consueverant, rationem cum terra habere iussit, dummodo caperet ipse vectigalia, quae aerario agrorumque dominis antea pendebant. Ad moenia Romae Gotthorum manus accesserat, cum Artasires et Barbatio, assumptis suorum plurimis, improbante Bessa, in illos se eiecerunt. Multis primo congressu caesis, reliquos in fugam actos dum insequuntur, progressi longius, insidias ab hoste paratas intrant: ubi plerisque desideratis, aegre ipsi cum paucis elapsi, non ausi sunt amplius in hostem, quamvis instantem, erumpere. Ex eo fa-

λιμός τις ἀκριβὴς τοὺς Ῥωμαίους ἐπίεζεν, οὐκέτι δυναμένους τι
V 130 τῶν ἀναγκαίων ἐκ τῶν ἀγρῶν ἐσκομίζεσθαι, καὶ τῶν ἐν θαλάσσῃ
ἀποκεκλεισμένους φορτίων. ἐπειδὴ γὰρ Γότθοι Νεάπολιν εἶλον,
ναυτικὸν ἐνταῦθά τε καταστησάμενοι ἀκάτων πολλῶν, κἀν ταῖς
C νήσοις ταῖς Αἰόλου καλουμέναις καὶ ὅσαι ἄλλαι τῇδε ἐπίκεινται
H 275 ἐς τὸ ἀκριβὲς τὸν διάπλουν ἐφύλασσον. ὅσαι οὖν νῆες ἐκ Σικελίας
ἀναγόμεναι ἔπλεον ἐπὶ τὸν τῶν Ῥωμαίων λιμένα, πᾶσαι γεγόνασιν αὐτοῖς ἀνδράσιν ὑπὸ ταῖς ἐκείνων χερσί. Τωτίλας δὲ στράτευμα ἐς Αἰμιλίαν πέμψας, πόλιν Πλακεντίαν ἐξελεῖν ἢ βίᾳ ἢ ὁμολογίᾳ ἐκέλευεν. αὕτη δὲ πρώτη μέν ἐστιν Αἰμιλίων τῆς χώ-
ρας, ὀχύρωμα ἰσχυρὸν ἔχουσα. πρὸς δὲ τῷ ποταμῷ Ἠριδανῷ κεῖται καὶ μόνη τῶν τῇδε χωρίων Ῥωμαίων κατήκοος οὖσα ἔτι ἐλέλειπτο. ἐπεὶ δὲ ὁ στρατὸς οὗτος Πλακεντίας ἀγχοῦ ἐγένετο,
λόγους προὔφερον τοῖς ἐνταῦθα φρουροῖς, ὅπως τὴν πόλιν ὁμο-
D λογίᾳ Τωτίλᾳ τε καὶ Γότθοις ἐνδοῖεν. ὡς δὲ οὐδὲν σφίσι προὐ-
χώρει, αὐτοῦ ἐνστρατοπεδευσάμενοι ἐς πολιορκίαν καθίσταντο, τῶν ἐπιτηδείων ἐνδεῖν τοὺς ἐν τῇ πόλει αἰσθόμενοι. τότε τοῖς ἐν Ῥώμῃ τοῦ βασιλέως στρατοῦ ἄρχουσιν ὑποψία προδοσίας πέρι ἐγένετο ἐς Κέθηγον, πατρίκιον ἄνδρα καὶ πρῶτον τῆς Ῥωμαίων βουλῆς. διὸ δὴ ἐς Κεντουκέλλας ἀπιὼν ᾤχετο.

Βελισάριος δὲ περί τε τῇ Ῥώμῃ καὶ τοῖς ὅλοις πράγμασι
P 495 δείσας, ἐπεὶ ἐκ Ῥαβέννης ἀμύνειν ἄλλως τε καὶ στρατῷ ὀλίγῳ

5. ταῖς Αἰόλου] [τε] ταῖς αἰόλου H. 6. ὅσαι οὖν] ὅσαι δὲ H: illud Hm. 8. Τωτίλας] τοντίλας L. Et sic infra saepius. 13. ἐγένετο] ἐγένοντο Reg. 14. τοῖς — φρουροῖς] τοὺς — φρουροὺς L a pr. m.

mes arctior premere coepit Romanos: qui iam ex agris nullos commeatus inferre poterant, et iis, quibus naves in mari onustae erant, intercludebantur. Etenim Gotthi, postquam Neapolin ceperant, multarum scapharum classe cum ibi, tum ad Aeoli, quas vocant, insulas aliasque circumiectas, locata, ad prohibendum transmissum intenti erant: ita ut naves omnes, quae ex Sicilia ad portum Romanum tendebant, cum viris in eorum manus devenerint. Totilas vero, missis in Aemiliam copiis imperavit, ut vi vel pactione urbem Placentiam caperent. Est haec urbs Aemiliae princeps, validis cincta munimentis, ad fluvium Eridanum sita; sola in eo tractu Romanis adhuc parebat. Quam ad urbem cum hic exercitus appropinquasset, eius praesidio denuntiavit ut urbem Totilae Gotthisque dederet. Repulsam passi, castris illic positis, urbem circumsederunt, quam cibariis egere cognoverant. Tunc Cethegus, Patricius, idemque Senatus Romani princeps, a Caesarianis Ducibus, qui Romae erant, suspicione proditionis aspersus, Centumcellas concessit.

At Belisarius, de Romae vice ac de summa rerum sollicitus, quoniam ex urbe Ravenna iuvare obsessos non poterat, praesertim cum ex-

ἀδύνατος ἦν, ἀπανίστασθαί τε ἐνθένδε καὶ τὰ ἐπὶ Ῥώμης χωρία καταλαβεῖν ἔγνω, ὅπως δὴ ἀγχοῦ γενόμενος τοῖς ταύτῃ κάμνουσιν ἐπιβοηθεῖν οἷός τε εἴη. καὶ οἱ τὸ κατ' ἀρχὰς ἐς Ῥάβενναν ἀφικομένῳ μετέμελεν, ἃ δὴ Βιταλίῳ ἀναπεισθεὶς ἔδρασε πρότερον οὐκ ἐπὶ τῷ τῶν βασιλέως πραγμάτων ξυμφόρῳ, ἐπεὶ ἐνταῦθα καθειρξας αὐτὸν ἐδεδώκει τοῖς πολεμίοις κατ' ἐξουσίαν τὴν τοῦ πολέμου διοικεῖσθαι ῥοπήν. καί μοι ἔδοξεν ἢ Βελισάριον ἐλέσθαι τὰ χείρω, ἐπεὶ ἐχρῆν τότε Ῥωμαίοις γενέσθαι κακῶς, ἢ βεβουλεῦσθαι μὲν αὐτὸν τὰ βελτίω, ἐμπόδιον δὲ καὶ ὡς τὸν θεὸν γεγονέναι, Τωτίλᾳ τε καὶ Γότθοις ἐπικουρεῖν ἐν νῷ B ἔχοντα, καὶ ἀπ' αὐτοῦ τῶν βουλευμάτων τὰ βέλτιστα ἐς πᾶν τοὐναντίον Βελισαρίῳ ἀποκεκρίσθαι. οἷς μὲν γὰρ ἐπιπνεῖ ἐξ οὐρίας τὸ πνεῦμα τῆς τύχης καὶ τὰ χείριστα βουλευομένοις οὐδὲν ὑπαντιάσει δύσκολον, ἀντιπεριάγοντος αὐτὰ τοῦ δαιμονίου ἐς πᾶν ξύμφορον· ἀνδρὶ δέ, οἶμαι, κακοτυχοῦντι εὐβουλία οὐδαμῇ πάρεστι, παραιρουμένου αὐτὸν ἐπιστήμην τε καὶ ἀληθῆ δόξαν τοῦ χρῆναι παθεῖν. ἦν δέ τι καὶ βουλεύσηταί ποτε τῶν δεόντων, ἀλλὰ πνέουσα τῷ βουλεύσαντι ἀπ' ἐναντίας εὐθὺς ἡ τύχη ἀντιστρέφει αὐτῷ τὴν εὐβουλίαν ἐπὶ τὰ πονηρότατα τῶν ἀποβάσεων. ἀλλὰ ταῦτα μὲν εἴτε ταύτῃ εἴτε ἐκείνῃ ἔχει οὐκ ἔχω εἰπεῖν. C

Βελισάριος δὲ Ἰουστῖνον ἐπὶ τῇ Ῥαβέννης φυλακῇ καταστησάμενος ξὺν ὀλίγοις τισὶν αὐτὸς ἐνθένδε διά τε Δαλματίας καὶ τῶν

1. ἀδύνατος] ἀδύνατα Reg. 9. καὶ ὡς om. L. 10. τὸν θεὸν] τῷ θεῷ HL: illud Lm et Hm. 11. ἔχοντα] ἔχοντι HL. 12. ἐπιπνεῖ ἐξ] ἐπιπνεῖν ἐστιν ἐξ H. Illud P et, ut videtur, L. 13. οὐδὲν ὑπαντιάσει Reg. Vulgo ἀπαντιάσει οὐδέν. 14. δύσκολον] δεινὸν Reg. 15. εὐβουλία] ἀβουλία HL. 17. ποτε τῶν] πη μελετῶν Reg. Unde Scaliger ἐπιμελῶς τῶν.

iguis copils, inde movere, et adiacentia Romae loca occupare constituit, ut in ea laborantibus auxilio posset esse e propinquo. Iamque ipsum poenitebat initio Ravennam venisse, suasu Vitalii, itaque contra rem Imperatoris fecisse; quippe quod hic inclusus, belli momenta in manu hostis posuisset. Ac mihi videtur Belisarius vel minus sanum inisse consilium, quod tunc Romanis calamitas impenderet ineluctabilis; vel optasse quidem potiora, sed illi Deum obstitisse, volentem Totilae Gotthisque opitulari; eoque factum ut optima consilia in contrarium ceciderint Belisario. Quibus enim secunda fortunae aura aspirat, illis nihil adversi incidet, quamvis re pessime consulta, hanc in omne commodum vertente numine. Rursus hominem infelicem prudentia, opinor, deserit, intelligentiam et veri notitiam ipsi auferente patiendi necessitate. Ac si quando apposite deliberaverit, continuo fortunae reflatus sapienter initam rationem in pessimos exitus demutat. Verum haec num ita, an alio se modo habeant, explicare nequeo. Belisarius autem Iustino paucisque militibus credita Ravennae custodia, inde per Dalmatiam et vicinas oras

ταύτῃ χωρίων κομίζεται ἐς Ἐπίδαμνον, ἵνα δὴ στράτευμα ἐκ Βυζαντίου καραδοκῶν ἡσυχῇ ἔμενε. γράψας δὲ βασιλεῖ γράμματα, τύχας τὰς παρούσας ἐσήγγελλεν. ὁ δέ οἱ οὐ πολλῷ ὕστερον Ἰωάννην τε τὸν Βιταλιανοῦ ἀνεψιὸν καὶ Ἰσαάκην Ἀρμένιον Ἀρατίου τε καὶ Ναρσοῦ ἀδελφὸν ξὺν στρατῷ ἔπεμψε βαρβάρων τε καὶ Ῥωμαίων στρατιωτῶν. οἳ δὴ ἐς Ἐπίδαμνον ἀφικόμενοι Βελισαρίῳ ξυνέμιξαν. καὶ Ναρσῆν δὲ τὸν εὐνοῦχον παρὰ τῶν Ἐρούλων τοὺς ἄρχοντας ἔπεμψεν, ἐφ' ᾧ δὴ αὐτῶν τοὺς πολλοὺς
D πείσει ἐς Ἰταλίαν στρατεύεσθαι. καὶ αὐτῷ τῶν Ἐρούλων πολλοὶ ἕποντο, ὧν ἄλλοι τε καὶ Φιλημοὺθ ἦρχον καὶ ξὺν αὐτῷ ἐς τὰ ἐπὶ Θρᾴκης χωρία ἦλθον. ἐνταῦθα γὰρ διαχειμάσαντες ἔμελλον ἅμα ἦρι ἀρχομένῳ παρὰ Βελισάριον στέλλεσθαι. ξυνῆν δὲ αὐτοῖς καὶ Ἰωάννης, ὃν ἐπίκλησιν ἐκάλουν Φαγᾶν, καὶ αὐτοῖς ἐν ταύτῃ τῇ πορείᾳ ξυνέβη τύχῃ τινὶ μεγάλα Ῥωμαίους ἀγαθὰ ἐκ τοῦ ἀπροσδοκήτου ἐργάσασθαι. βαρβάρων γὰρ Σκλαβηνῶν πολὺς ὅμιλος ἔτυχον ἔναγχος διαβάντες μὲν ποταμὸν Ἴστρον, λῃσάμενοι δὲ τὰ ἐκείνῃ χωρία καὶ Ῥωμαίων ἐξανδραποδίσαντες πάμπολυ πλῆθος, οἷς δὴ Ἔρουλοι ἐκ τοῦ αἰφνιδίου ἐς χεῖρας
V 131 ἐλθόντες, νικήσαντές τε παρὰ δύξαν μέτρῳ σφᾶς πολλῷ ὑπεραίροντας, αὐτούς τε κτείνουσι καὶ τοὺς αἰχμαλώτους ἐς τὰ οἰκεῖα
P 496 ξύμπαντας ἀφῆκαν ἰέναι. τότε δὴ ὁ Ναρσῆς καί τινα εὑρὼν ἐπι-

4. *Βιταλιανοῦ*] *βιταλίου* HL. 7. *ξυνέμιξαν*] *συνέμιξαν* L. 8. *ἔπεμψεν*] *ἔπεμψαν* L. 10. *Φιλημοὺθ*] *φιλομοὺθ* H. *ibid. καὶ ξὺν*] *καὶ* om. L. 11. *διαχειμάσαντες*] *διαχειμάσοντες* L. 14. *τύχῃ τινὶ*] *τις τύχη* Reg. 17. *ἐκείνῃ*] *ἐκεῖσε* Reg. 19. *μέτρῳ* P cum Scaligero. *μετρίως* Reg. *ἀμετρία* H. 21. *δὴ*] *δὲ* Hm.

Epidamnum se contulit, ibique sedit, Byzantio copias vehementer expectans. Quo iam res delapsa esset certiorem per literas Imperatorem fecit. Is vero Ioannem Vitaliani nepotem, et Isaacem Armenium Aratii atque Narsetis fratrem paulo post misit cum exercitu Barbarorum ac Romanorum militum; qui cum Epidamnum pervenissent, Belisario se adiunxerunt. Narsetem quoque Eunuchum ad Erulorum Principes destinavit, ut ad bellum Italicum eorum multos pelliceret. Nec pauci ipsum Eruli secuti sunt, Philemuthi et aliorum ductu, et cum eo venerunt in Thraciam: ubi in hibernis collocati, ad Belisarium ineunte vere profecturi erant: una aderat Ioannes, cui cognomen Helluo. Iter agendo, casu quodam ac praeter expectationem, magnum illi in Romanos contulerant beneficium. Cum enim Sclavenorum multitudo ingens, amne Istro nuper traiecto, partes illas vastasset, ac Romanos quamplurimos abripuisset in servitutem, hos Barbaros aggressi repente Eruli, ipsis, numero licet longe superioribus, praeter opinionem victis stragem dederunt, ac domum dimisere captivos omnes. Tum quoque Narses quemdam nactus

βατεύοντα τοῦ Χιλβουδίου ὀνόματος, ἀνδρὸς ἐπιφανοῦς καὶ Ῥωμαίων ποτὲ στρατηγήσαντος, διελέγξαι τὴν ἐπιβουλὴν ῥᾳδίως ἔσχε. τοῦτο δὲ ὅ τι ποτὲ ἦν αὐτίκα δηλώσω.

ιδ'. Χιλβούδιος ἦν τις ἐκ τῆς Ἰουστινιανοῦ βασιλέως οἰ- B
κίας ἐς ἄγαν μὲν δραστήριος τὰ πολέμια, ἐς τόσον δὲ χρημάτων κρεισσων ὥστε ἀντὶ μεγίστου κτήματος ἐν τῇ οὐσίᾳ τῇ αὐτοῦ εἶχε τὸ κεκτῆσθαι μηδέν. τοῦτον βασιλεὺς τὸν Χιλβούδιον, ὅτε δὴ H 276
τέταρτον ἔτος τὴν αὐτοκράτορα εἶχεν ἀρχὴν, Θρᾴκης ἀνειπὼν στρατηγὸν, ἐπὶ τῇ τοῦ Ἴστρου ποταμοῦ φυλακῇ κατεστήσατο, φυλάσσειν κελεύσας ὅπως μηκέτι τοῖς ταύτῃ βαρβάροις ὁ ποταμὸς διαβατὸς ἔσται, ἐπεὶ αὐτοῦ τὴν διάβασιν πολλάκις ἤδη Οὖννοι καὶ Ἄνται καὶ Σκλαβηνοὶ πεποιημένοι ἀνήκεστα Ῥωμαίους ἔργα εἰργάσαντο. Χιλβούδιος δὲ οὕτω τοῖς βαρβάροις φοβερὸς γέγονεν ὥστε ἐς τριῶν ἐνιαυτῶν χρόνον, ὅσον ξὺν ταύτῃ δὴ τῇ C
τιμῇ τὴν διατριβὴν ἐνταῦθα εἶχεν, οὐχ ὅσον διαβῆναι τὸν Ἴστρον ἐπὶ τοὺς Ῥωμαίους οὐδεὶς ἴσχυσεν, ἀλλὰ καὶ Ῥωμαῖοι ἐς ἤπειρον τὴν ἀντιπέρας ξὺν Χιλβουδίῳ πολλάκις ἰόντες ἔκτεινάν τε καὶ ἠνδραπόδισαν τοὺς ταύτῃ βαρβάρους. ἐνιαυτοῖς δὲ τρισὶν ὕστερον διέβη μὲν ὁ Χιλβούδιος τὸν ποταμὸν ἧπερ εἰώθει ξὺν ὀλίγῳ στρατῷ, Σκλαβηνοὶ δὲ πανδημεὶ ὑπηντίαζον. μάχης τε καρτερᾶς γενομένης Ῥωμαίων τε πολλοὶ ἔπεσον καὶ Χιλβούδιος ὁ

1. *Χιλβουδίου*] *Childibius* constanter Pers. 4. *ἐκ τῆς*] *ἐκ τοῦ* H: illud Hm. 5. *πολέμια*] *πολεμικὰ* Suidas s. v. *Χιλβούδιος*. *ibid. τόσον*] *τοσοῦτον* Suidas. 8. *τέταρτον*] *τόταρτον* L. *ibid. ἀνειπὼν στρατηγὸν*] *στρατηγὸν ἀνειπὼν* L. 11. *Οὖννοι*] *οὔννοί τε* L. 12. *Ῥωμαίους*] *Ῥωμαίοις* P. 21. *γενομένης*] *γινομένης* L.

arroganten sibi nomen Chilbudii, viri illustris, qui antea Romanae Magister militiae fuerat, facile imposturam detexit. Id vero quid rei sit protinus dicam.

14. Quidam erat Chilbudius inter Iustiniani Aug. domesticos, bellator acerrimus, adeoque egregius contemptor opum, ut suis in fortunis magnae loco possessionis duceret, nihil possidere. Hunc Imperator, anno imperii sui quarto, militari Thraciae magisterio ornatum, Istri fluminis custodiae praefecit, atque operam dare iussit, ut amnis transitu Barbari in posterum prohiberentur. Iam enim saepe Hunni, Antae, et Sclaveni, traiecto fluvio, Romanos pessime foedissimeque vexaverant. Chilbudium Barbari adeo reformidarunt, ut toto triennio, quo ibi cum potestate fuit, fluvio adversus Romanos evadere nemo quiverit: immo vero Romani in adversam continentem cum Chilbudio saepe transgressi, illius orae Barbaros affecerint strage, et captivos inde abduxerint. Post annos tres, cum Istrum Chilbudius copias de more traduxisset, numero paucas, Sclaveni conflato ex tota gente exercitu venere obviam. Duro certamine inito, Romani multi cecidere, atque in his militum Magister Chilbudius:

στρατηγός. καὶ τὸ λοιπὸν ὅ τε ποταμὸς ἐσβατὸς ἀεὶ τοῖς βαρβάροις κατ' ἐξουσίαν καὶ τὰ Ῥωμαίων πράγματα εὐέφοδα γέγονε, ξύμπασά τε ἡ Ῥωμαίων ἀρχὴ ἀνδρὸς ἑνὸς ἀρετῇ ἀντίρροπος γενέσθαι ἐν τῷ ἔργῳ τούτῳ οὐδαμῇ ἴσχυσε.

D Χρόνῳ δὲ ὕστερον Ἄνται καὶ Σκλαβηνοὶ διάφοροι ἀλλήλοις γενόμενοι ἐς χεῖρας ἦλθον, ἔνθα δὴ τοῖς Ἄνταις ἡσσηθῆναι τῶν ἐναντίων τετύχηκεν. ἐν ταύτῃ δὲ τῇ μάχῃ Σκλαβηνὸς ἀνὴρ τῶν τινα πολεμίων ἄρτι γενειάσκοντα, Χιλβούδιον ὄνομα, αἰχμάλωτον εἶλεν, ἔς τε τὰ οἰκεῖα λαβὼν ᾤχετο. οὗτος ὁ Χιλβούδιος προϊόντος τοῦ χρόνου εὔνους τε ὡς ἔνι μάλιστα τῷ κεκτημένῳ ἐγένετο καὶ τὰ ἐς τοὺς πολεμίους δραστήριος. πολλάκις τε τοῦ δεσπότου προκινδυνεύσας ἠρίστευσέ τε διαφερόντως καὶ κλέος ἴσχυσε περιβαλέσθαι ἀπ' αὐτοῦ μέγα. ὑπὸ δὲ τὸν χρόνον τοῦτον Ἄνται ἐπισκήψαντες εἰς τὰ ἐπὶ Θρᾴκης χωρία πολλοὺς ἐλήσαντο καὶ ἠνδραπόδισαν τῶν ἐκείνῃ Ῥωμαίων. οὕσπερ ἐπαγόμενοι ἀπεκο-
P 497 μίσθησαν ἐς τὰ πάτρια ἤθη. τούτων δὲ ἕνα τῶν αἰχμαλώτων εἰς φιλάνθρωπόν τινα ἤγαγεν ἡ τύχη καὶ πρᾶον δεσπότην. ἦν δὲ οὗτος ἀνὴρ κακοῦργός τε λίαν καὶ οἷος ἁπάτῃ τοὺς ἐντυγχάνοντας περιελθεῖν. ἐπειδή τε βουλόμενος ἐπανήκειν ἐς Ῥωμαίων τὴν γῆν οὐδεμιᾷ μηχανῇ εἶχεν, ἐπενόει τοιάδε. τῷ κεκτημένῳ ἐς ὕψιν ἦκων τῆς τε φιλανθρωπίας ἐπῄνεσε καὶ πολλὰ μέν οἱ διὰ τοῦτο πρὸς τοῦ Θεοῦ ἰσχυρίσατο ἀγαθὰ ἔσεσθαι, καὶ αὐτὸν δὲ οὐδαμῇ ἀχάριστον δεσπότῃ φιλανθρωποτάτῳ φανήσεσθαι, ἀλλ',

2. εὐέφοδα om. L. 7. δὲ τῇ] δὴ τῇ H. δὲ τῇ Hm. 13. τοῦτον om. L. 18. ἐντυγχάνοντας] ἐντυχόντας L.

ex quo Barbaris libera semper fuit amnis transmissio, et Romana res incursibus eorum patuit. Qua in parte universum Rom. Imperium virtutem adaequare non potuit unius viri.

Postea, inter Antas et Sclavenos orto dissidio, res ad manus et pugnam venit: qua ab hostibus Antae victi sunt. In eo praelio Sclavenus quidam unum ex hostibus, iam pubescentem (Chilbudio nomen erat) cepit, ac domum abduxit. Chilbudius hic, tempore procedente, studiosissimus domini belloque impiger evasit: ita ut multis, domini causa, periculis aditis, et re praeclarissime gesta, magnum sit adeptus nomen. Sub idem tempus, Antae, facta in Thraciam irruptione, Romanorum illic degentium multos expilarunt, et in patriam abripuerunt captivos. Quorum unus, fortunae beneficio, humanum ac mitem nactus herum, vir ipse insignite vafer, iisque instructus artibus, quibus obvium quemque caperet, praecluso penitus, quem optabat, in solum Romanum reditu, hanc fraudem commentus est. Herum convenit, et laudata eius humanitate, Deum quidem amplissime illam remuneraturum affirmat; se autem non commissurum, ut erga herum benignissimum ingratus videatur; at facturum

ἦν γε αὐτῷ τὰ βέλτιστα εἰσηγουμένῳ ἐπακούειν ἐθέλῃ, κύριον αὐτὸν οὐκ ἐς μακρὰν καταστήσεσθαι χρημάτων μεγάλων. εἶναι γὰρ ἐν τῷ Σκλαβηνῶν ἔθνει Χιλβούδιον, τὸν τῶν Ῥωμαίων στρατηγήσαντα, ἐν ἀνδραπόδων λόγῳ, πάντας βαρβάρους λαν- B θάνοντα ὅστις ποτέ ἐστιν. ἦν τοίνυν αὐτῷ βουλομένῳ εἴη προίσθαι τε τὰς τοῦ Χιλβουδίου τιμὰς καὶ διακομίζειν τὸν ἄνθρωπον ἐς Ῥωμαίων τὴν γῆν, δόξαν τε ἀγαθὴν καὶ πλούτου αὐτὸν πάμπολυ χρῆμα περιβαλέσθαι πρὸς βασιλέως οὐκ ἀπεικὸς εἶναι. ταῦτα ὁ Ῥωμαῖος εἰπὼν τὸν κεκτημένον εὐθὺς ἔπεισε, καὶ V 132 ξὺν αὐτῷ γίνεται ἐν Σκλαβηνοῖς μέσοις. ἐπεκηρυκεύοντο γὰρ ἤδη καὶ ἀλλήλοις ἀνεμίγνυντο ἀδεῶς οἱ βάρβαροι οὗτοι. χρήματα οὖν πολλὰ τῷ τὸν Χιλβούδιον κεκτημένῳ προϊέμενοι τὸν ἄνδρα ὠνοῦντο καὶ ξὺν αὐτῷ ἀπιόντες εὐθὺς ᾤχοντο. ἐπεί τε ἐν ἤθεσι τοῖς σφετέροις ἐγίνοντο, ἀνεπυνθάνετο τοῦ ἀνθρώπου ὁ πριάμενος, εἰ Χιλβούδιος αὐτὸς ὁ Ῥωμαίων στρατηγὸς εἴη. καὶ C ὃς οὐκ ἀπηξίου τὰ ὄντα λέγειν. καταλέγει δὲ ξὺν τῷ ἀληθεῖ λόγῳ ἐφεξῆς ἅπαντα, ὡς εἴη μὲν Ἄντης καὶ αὐτὸς τὸ γένος, μαχόμενος δὲ ξὺν τοῖς ὁμογενέσι πρὸς Σκλαβηνούς, τότε σφίσι πολεμίους ὄντας, πρὸς τῶν ἐναντίων ἁλώῃ, ταῦν δὲ, ἐπεὶ ἀφίκετο ἐς τὰ πάτρια ἤθη, ἐλεύθερος τὸ λοιπὸν κατά γε τὸν νόμιον καὶ αὐτὸς ἔσται. ὁ μὲν οἶν ὑπὲρ αὐτοῦ τὸ χρυσίον προϊέμενος

2. ἐς μακρὰν] εἰς μακρὰν L. 3. τὸν τῶν] τῶν om. L. 6. τε τὰς] τάς τε L. 12. οὖν] γοῦν L. *ibid.* τῷ τὸν] τὸν om. L. *ibid.* προϊέμενοι] προέμενοι L. 14. ἐγίνοντο] ἐγένοντο L. 16. λέγειν] καὶ λέγειν H. *ibid.* καταλέγει Reg. Vulgo καταλέγειν. 17. Ἄντης καὶ αὐτὸς] καὶ αὐτὸς ἄντης L. 19. πρὸς τῶν] πρὸς τεττῶν H. 21. τὸ χρυσίον] τὸ om. L. *ibid.* προϊέμενος] προέμενος L.

brevi, ut magnam consequatur pecuniam, si modo optima suadenti sibi refragari nolit: Chilbudium enim, Romanae militiae magisterio functum, a Sclavenis teneri inter captivos, nec scire Barbarorum quemquam quid hominis sit: quare, si redimere Chilbudium, et ad Romanos reportare velit, ne dubitet, quin et laudem et opes maximas ab Imperatore obtineat. His Romanus dictis herum statim quo vult inducit, seque in medios Sclavenos cum ipso infert: iam enim amicitiam hi Barbari foedere percusso iunxerant, ac sine metu inter se versabantur. Ergo multa Chilbudii domino numerata pecunia, hominem redimunt, omnique abiecta mora cum illo abeunt. Ubi domum rediere, ex ipso quaerit emptor, sitne Chilbudius Romanae Magister militiae? Ille id quod res erat fateri non abnuens, omnia ordine vere pandit, se Antam genere et ipsum esse: quo tempore cum popularibus contra Sclavenos, a se bello distractos, pugnasset, venisse in manus hostium: iam vero, quandoquidem rediisset in patriam, se quoque, uti lex iuberet, liberum deinceps fore.

ἐς ἀφασίαν ἐμπεπτωκὼς ἤσχαλλεν, ἐλπίδος ἀποτυχὼν οὐ μετρίας τινός. ὁ δὲ Ῥωμαῖος τόν τε ἄνθρωπον παρηγορεῖν καὶ τὴν ἀλήθειαν ἐκκρούειν ἐθέλων, ὡς μή τι αὐτῷ τῆς ἐς τὴν οἰκίαν ἐπανόδου ἐμποδὼν εἴη, Χιλβούδιον μὲν ἐκεῖνον ἔτι τοῦτον δὴ τὸν
H 277 ἄνδρα ἰσχυρίζετο εἶναι, δεδιότα δὲ, ἅτε δὴ ὄντα ἐν μέσοις βαρβάροις, ὡς ἥκιστα ἐθέλειν ἀποκαλύψαι τὸν πάντα λόγον, ἢν μέντοι γένηται ἐν γῇ τῇ Ῥωμαίων, οὐχ ὅσον οὐκ ἀποκρύψεσθαι τὸν ἀληθῆ λόγον, ἀλλὰ καὶ φιλοτιμήσεσθαι, ὡς τὸ εἰκὸς, ἐπὶ τούτῳ δὴ τῷ ὀνόματι. τὰ μὲν οὖν πρῶτα κρύφα ταῦτα ἐπρᾶσσετο τῶν ἄλλων βαρβάρων.

Ἐπεὶ δὲ ὁ λόγος περιφερόμενος ἐς ἅπαντας ἦλθεν, ἠγείροντο μὲν ἐπὶ τούτῳ Ἄνται σχεδὸν ἅπαντες, κοινὴν δὲ εἶναι τὴν
P 498 πρᾶξιν ἠξίουν, μεγάλα σφίσιν οἰόμενοι ἀγαθὰ ἕσεσθαι, κυρίοις ἤδη τοῦ Ῥωμαίων στρατηγοῦ Χιλβουδίου γεγενημένοις. τὰ γὰρ ἔθνη ταῦτα, Σκλαβηνοί τε καὶ Ἄνται, οὐκ ἄρχονται πρὸς ἀνδρὸς ἑνὸς, ἀλλ' ἐν δημοκρατίᾳ ἐκ παλαιοῦ βιοτεύουσι, καὶ διὰ τοῦτο αὐτοῖς τῶν πραγμάτων ἀεὶ τά τε ξύμφορα καὶ τὰ δύσκολα ἐς κοινὸν ἄγεται. ὁμοίως δὲ καὶ τὰ ἄλλα ὡς εἰπεῖν ἅπαντα ἑκατέροις ἐστί τε καὶ νενόμισται τούτοις ἄνωθεν τοῖς βαρβάροις. θεὸν μὲν γὰρ ἕνα τὸν τῆς ἀστραπῆς δημιουργὸν ἁπάντων κύριον μόνον αὐτὸν νομίζουσιν εἶναι, καὶ θύουσιν αὐτῷ βόας τε καὶ ἱερεῖα ἅπαντα· εἱμαρμένην δὲ οὔτε ἴσασιν οὔτε ἄλλως ὁμολογοῦ-

1. ἐς] εἰς L. 2. καὶ τὴν] τήν τε L. 4. ἐμποδὼν] χαλεπὸν Reg. 7. γῇ τῇ Ῥωμαίων L. τῇ Ῥωμαίων γῇ P. 9. τούτῳ] τοῦτον L. 14. Χιλβουδίου] χιλβαδίου L.

Tum qui pro ipso aurum pependerat, vehementer stupere, seque ingenti spe depulsum queri. Hunc Romanus solari volens, et a vero longe abducere, ne quid obstaret suo domum reditui, insistebat firmissime asseverare, hunc esse Chilbudium: at circumstantium Barbarorum metu impediri, quominus rem plane ederet: si semel in solo Rom. pedem poneret, non modo fassurum verum, sed illo etiam nomine procul dubio gloriaturum. Atque haec primo caeteris Barbaris inscientibus acta sunt.

Postquam autem res in vulgus emanavit, Antae fere omnes convenere illius causa, utque in commune transigeretur sanxerunt, magnum sibi emolumentum ex eo venturum rati, quod Chilbudium Romanae militiae Magistrum, in sua iam tenerent ditione. Et vero hi populi, Sclaveni inquam et Antae, non uni parent viro; sed ab antiquo in populari imperio vitam agunt: ac propterea utilitates et damna apud ipsos in commune vocari solent. Aliarum etiam rerum fere omnium ratio ab utrisque Barbaris servatur eadem, fuitque olim constituta. Unum enim Deum, fulguris effectorem, dominum huius universitatis solum agnoscunt, eique boves et cuiusque generis hostias immolant. Fatum minime no-

6. ἐκνίσθαι] ἐκνίσθαι H. ἐκνίσθαι Vat. 10. ἔκστασιν] ἔκ. Vat. 11. ἐκ Reg. ἐς P. ibid. ἀσκοῦσι] ἀσκοῦσι Reg. 17. τε] τῆδε Reg. τῇ δὲ L. ibid. ἐκαλλιγεστατε] κάλλιστον L. 22. πίνουσι ἐκθελυγίστατα HP. πίνουσι om. Vat. et L. habet Lm. ibid. γίνονται Vat. et L. γίνονται HP.

runt, nedum illi in mortales aliquam vim attribuant: at cum aliqui vel morbo correptis, vel praelium incuntibus, iam mortem adventare videant, Deo vovent, si evaserint, continuo victimam pro salvo capite mactaturos: elapsi periculo, quod promisere sacrificant, eaque hostia vitam alii redemptam credunt. Praeterea fluvios colunt, et Nymphas, et alia quaedam numina: quibus omnibus operantur, et inter sacrificia coniecturam faciunt divinationum. In tuguriis habitant villibus et raro sparsis, atque habitationis locum subinde mutant. Cum pugnam invadunt, multi pedibus tendunt in hostem, scutula spiculaque gestantes manibus. Loricam non induunt: quidam nec subuculam habent nec pallium: sed cum feminalibus tantum, ad virilia usque aptis, hosti se offerunt ad certamen. Una est utrisque lingua admodum barbara, nec forma corporis inter se differunt. Sunt enim proceri omnes ac robustissimi. Colorem nec summe candidum habet cutis, nec flavum coma: neque is plane in nigrum deficit: at subrufus est, et quidem omnibus. Vitam aeque, ut Massagetae, victu arido incultoque tolerant, toti, sicut illi, sordibus et illuvie semper obsiti. Ingenium ipsis nec malignum nec fraudulentum, et cum

ὡς ἥκιστα τυγχάνουσιν ὄντες, ἀλλὰ κἂν τῷ ἀφελεῖ διασώζουσι
D τὸ Οὐννικὸν ἦθος. καὶ μὴν καὶ ὄνομα Σκλαβηνοῖς τε καὶ Ἄνταις
ἓν τὸ ἀνέκαθεν ἦν. σπόρους γὰρ τὸ παλαιὸν ἀμφοτέρους
ἐκάλουν, ὅτι δὴ σποράδην, οἶμαι, διεσκηνημένοι τὴν χώραν οἱ-
V 133 κοῦσι. διὸ δὴ καὶ γῆν πολλὴν τινα ἔχουσι· τὸ γὰρ πλεῖστον τῆς
ἑτέρας τοῦ Ἴστρου ὄχθης αὐτοὶ νέμονται. τὰ μὲν οὖν ἀμφὶ τὸν
λεὼν τοῦτον ταύτῃ πη ἔχει.

Ἄντται δὲ τότε ἀγειρόμενοι, ὥσπερ ἐρρήθη, τὸν ἄνδρα
τοῦτον ἠνάγκαζον ὁμολογεῖν σφίσιν ὅτι Χιλβούδιος αὐτὸς ὁ Ῥω-
μαίων στρατηγὸς εἴη. ἀρνηθέντα τε κολάζειν ἠπείλουν. ἐν ᾧ
δὲ ταῦτα ἐπράσσετο τῇδε, ἐν τούτῳ βασιλεὺς Ἰουστινιανὸς πρέσ-
βεις τινὰς παρὰ τούτους δὴ τοὺς βαρβάρους στείλας ἠξίου ξυνοι-
P 499 κίζεσθαι ἅπαντας εἰς πόλιν ἀρχαίαν, Τούρριν ὄνομα, ἣ κεῖται
μὲν ὑπὲρ ποταμὸν Ἴστρον, Τραϊανοῦ τοῦ Ῥωμαίων αὐτοκράτο-
ρος ἐν τοῖς ἄνω χρόνοις αὐτὴν δειμαμένου, ἔρημος δὲ ἐτύγχανεν
ἐκ παλαιοῦ οὖσα, λησαμένων αὐτὴν τῶν ταύτῃ βαρβάρων.
ταύτῃ γὰρ αὐτοὺς καὶ τῇ ἀμφ' αὐτὴν χώρᾳ Ἰουστινιανὸς βασι-
λεὺς, ἅτε προσηκούσῃ τὸ ἐξ ἀρχῆς Ῥωμαίοις, ὡμολόγει δεδωρῆ-
σεσθαι καὶ σφίσι ξυνοικιεῖν μὲν δυνάμει τῇ πάσῃ, χρήματα δὲ
μεγάλα σφίσι προϊτεσθαι, ἐφ' ᾧ οἱ ἔνσπονδοι τὸ λοιπὸν ὄντες
Οὖννοις ἐμπόδιοι ἐς ἀεὶ γένωνται, καταθεῖν βουλομένοις τὴν Ῥω-

1. „ἀφελεῖ] Vetus interpres legisse videtur ἀφελεῖν.“ Malt. *Sed in populando ac rapiendo hunnicam servant consuetudinem* Pers. 3. ἓν τὸ] ἐν τῇ L. ἐν τοῖς Lm. 5. πολλὴν τινα] τινὰ πολλὴν L. 13. τούρριν L. Τούριν P. *Turrim* Pers. 15. ἐτύγχανεν ἐκ παλαιοῦ] ἐκ παλαιοῦ ἐτύγχανεν L. 17. τῇ — χώρᾳ] τὴν — χώραν H: illud Hm. 18. δεδωρῆσεσθαι L. δωρήσασθαι P. 19. ξυνοικιεῖν L. ξυνοικεῖν P.

simplicitate mores Hunnicos in multis retinent. Nomen etiam quondam Sclavenis Antisque unum erat: utrosque enim appellavit Sporos antiquitas, ob id, opinor, quia σποράδην, hoc est, *sparsim* et rare positis tabernaculis regionem obtinent: quo fit ut magnum occupent spatium. Et vero ulterioris ripae Istri partem maximam habent. Hactenus de gente illa.

Tunc Antae, ut dictum est, virum hunc in conventu declarare coëgerunt, se Chilbudium esse militiae Magistrum Romanae, ac neganti supplicium minati sunt. Dum haec ibi aguntur, interea Iustinianus Aug. missa ad hos Barbaros legatione, petit ut commigrent omnes in antiquam urbem: Turrim appellant: quae trans Istrum fluvium sita, conditaque olim a Traiano Romanorum Imperatore, multis abhinc annis vacabat, a vicinis direpta Barbaris. Hanc ipsis urbem agrosque circumiacentes, pro iure veteri, quo ad Romanos pertinerent, daturum se Iustinianus Aug. spopondit, eorumque amicitiam aliturum omni studio, et pecuniam liberalissime largiturum, modo ut icto secum foedere, Hunnis Romanum

μαίων ἀρχήν. ταῦτα ἐπεὶ οἱ βάρβαροι ἤκουσαν, ἐπῄνεσάν τε B
καὶ πράξειν ἅπαντα ὑπέσχοντο, εἴπερ αὐτοῖς τὸν Χιλβούδιον
στρατηγὸν Ῥωμαίων αὖθις καταστησάμενος ξυνοικιστὴν δοίη,
αὐτὸν ἐκεῖνον ἰσχυριζόμενοι, ἥπερ ἐβούλοντο, Χιλβούδιον εἶναι.
ταύταις δὲ ὁ ἄνθρωπος ἐπαρθεὶς ταῖς ἐλπίσιν ἤδη καὶ αὐτὸς ἤθε-
λέ τε καὶ ἔφασκε Χιλβούδιος ὁ Ῥωμαίων στρατηγὸς εἶναι. ἐφ' H 278
οἷς δὴ αὐτὸν στελλόμενον ἐς Βυζάντιον Ναρσῆς ἐν ταύτῃ τῇ πο-
ρείᾳ καταλαμβάνει. καὶ ξυγγενόμενος, ἐπεὶ φενακίζοντα τὸν ἄν- C
θρωπον εὗρε (καίπερ τήν τε Λατίνων ἀφιέντα φωνὴν καὶ τῶν
Χιλβουδίου γνωρισμάτων πολλὰ ἐκμαθόντα τε ἤδη καὶ προσποιεῖ-
σθαι ἱκανῶς ἔχοντα) ἔν τε δεσμωτηρίῳ καθεῖρξε καὶ τὸν πάντα
ἐξειπεῖν λόγον ἠνάγκασεν, οὕτω τε ἐς Βυζάντιον ξὺν αὐτῷ ἤγα-
γεν. ἐγὼ δὲ ὅθενπερ ἐξέβην ἐπάνειμι.

ιε'. Βασιλεὺς μὲν ταῦτα ἦπέρ μοι δεδήλωται ἔπρασσεν. D
ἐν τούτῳ δὲ Βελισάριος Βαλεντῖνόν τε καὶ τῶν δορυφόρων τῶν
αὐτοῦ ἕνα, Φωκᾶν ὄνομα, διαφερόντως ἀγαθὸν τὰ πολέμια,
ξὺν στρατεύματι ἐς τὸν Ῥωμαίων λιμένα ἔπεμψεν, ἐφ' ᾧ τό τε
ἐν πόρτῳ φρούριον ξυμφυλάξουσι τοῖς ἐνταῦθα φρουροῖς, ὥνπερ
Ἰννοκέντιος ἦρχε, καὶ ὅπῃ ἂν σφίσι δυνατὰ ᾖ ἐπεκδρομὰς ποιού-
μενοι ξυνταράξουσι τὸ τῶν πολεμίων στρατόπεδον. οἱ μὲν οὖν
ἀμφὶ Βαλεντῖνόν τε καὶ Φωκᾶν πέμψαντες λάθρα ἐς Ῥώμην ση-
μαίνουσι Βέσσᾳ ὡς αὐτίκα δὴ ἐπιέναι τῶν ἐναντίων τῷ χαρακώ-

8. φενακίζοντα] φαινακίζοντα L. 14. ἦπερ] ἅπερ Reg. 17. στρατεύματι] στρατεύμασιν L. 18. ξυμφυλάξουσι] ξυμφυλάξωσι Reg.

Imperium incursare volentibus sese usque opponerent. His auditis assensi Barbari, omnia praestituros se receperunt, si modo inter ipsos habitare Chilbudium iuberet, restitutum in dignitatem Magistri Romanae militiae; eum, quem tenebant, Chilbudium ipsum esse ex animi sententia asseverantes. Ille spe obiecta elatus, iam et ipse haberi se volebat, et dicebat esse Chilbudium Magistrum Militum Romanorum. Ea de causa proficiscentem Byzantium, Narses in itinere offendit, et instituto colloquio, ubi impostorem deprehendit (quamquam Latine is loquebatur, et Chilbudii notas iam multas edoctus, scite simulabat) coniectum in vincula, subegit technam omnem aperire, itaque secum Byzantium duxit. Ego vero illuc, unde diverti, redeo.

15. Ea, quae narravi supra, agente Imperatore, Belisarius Valentinum et Phocam, e suis unum Protectoribus, virum bello egregium, cum copiis ad portum Rom. misit, ut castellum Portuense cum eius praesidio, cui praeerat Innocentius, tuerentur, et pro virili parte castra hostium fatigarent excursionibus. Itaque Valentinus ac Phocas, submisso Romam nuntio, Bessae significant, se continuo in Gotthorum castra inopinatum

ματι ἐκ τοῦ αἰφνιδίου μέλλουσι· δεήσει οὖν καὶ αὐτὸν τῶν ἐν Ῥώμῃ στρατιωτῶν τοὺς μαχιμωτάτους ἀπολεξάμενον, ἡνίκα αἴ-
P 500 σθηται τῆς ἐπιδρομῆς, βοηθεῖν δρόμῳ, ὅπως τι καὶ δρᾶν τοὺς βαρβάρους ἑκάτεροι δυνήσωνται μέγα. Βέσσᾳ δὲ ταῦτα οὐδαμῇ ἤρεσκε, καίπερ ἐς τρισχιλίους στρατιώτας ξὺν αὐτῷ ἔχοντι. διὸ δὴ καὶ Βαλεντῖνός τε καὶ Φωκᾶς ξὺν πεντακοσίοις ἐκ τοῦ ἀπροσδοκήτου ἐπισκήψαντες τῷ τῶν πολεμίων στρατοπέδῳ ὀλίγους μέν τινας ἔκτειναν, αἴσθησίς τε τοῦ ἐνθένδε θορύβου τοῖς πολιορκουμένοις ταχὺ γέγονεν. ὡς δὲ οὐδεὶς ἐκ τῆς πόλεως ἐπεξῇει, κατὰ τάχος ἐς τὸν λιμένα κακῶν παντάπασιν ἀπαθεῖς ἀνεχώρησαν. πέμψαντές τε παρὰ Βέσσαν αὖθις ἠτιῶντο μὲν εἰς ὄκνησίν τινα οὐ δέον αὐτὸν ἐμπεπτωκέναι, ἰσχυριζόμενοι δὲ ὡς ὀλίγῳ
B ὕστερον ἑτέραν ἐπεκδρομὴν ἐς τοὺς πολεμίους ποιήσονται παρεκάλουν καὶ αὐτὸν ἐς καιρὸν τοῖς βαρβάροις ἐπιθέσθαι δυνάμει τῇ πάσῃ. ὁ δὲ οὐδέν τι ἧσσον τὸ μὴ τοῖς ἐναντίοις ἐπεξιόντα δα-
V 134 κινδυνεύειν ἀπεῖπεν. οἱ μέντοι ἀμφὶ Βαλεντῖνόν τε καὶ Φωκᾶν ξὺν στρατῷ πλείονι τοῖς πολεμίοις ἐμπεσεῖσθαι διενοοῦντο καὶ ἐν παρασκευῇ ἤδη ἐγένοντο. στρατιώτης δέ τις ὑπὸ Ἰννοκεντίῳ τεταγμένος αὐτόμολος παρὰ Τωτίλαν ἦκων ἀγγέλλει ὡς ἡμέρᾳ τῇ ἐπιγενησομένῃ ἔφοδος ἐκ τοῦ πόρτου ἐπ' αὐτοὺς ἔσται. καὶ ὃς
C τῶν χωρίων ὅσα ἐπιτηδείως ἐς τοῦτο εἶχεν, ἐνέδραις ἔγνω προλοχίζειν ἀνδρῶν μαχίμων. οὗ δὴ τῇ ὑστεραίᾳ Βαλεντῖνός τε καὶ Φωκᾶς ξὺν τοῖς ἑπομένοις ἐμπεπτωκότες τούς τε πλείστους ἀπο-

2. μαχιμωτάτους] μαχίμους H: illud Hm. 4. ἑκάτεροι] καὶ κατεροι L. 11. εἰς ὄκνησιν] εἰς om. L. 15. τὸ μὴ] τῷ μὴ Hm. 17. πλείονι] πλέονι L. 20. ὃς] ὡς L: ὃς Lm.

facturos impetum: proinde necesse esse, ut ex militibus, quos haberet Romae, pugnacissimorum delectu habito, cum videret incursum fieri, subsidio curreret, quo utrique in Barbaros patrarent aliquid memorabile. Id Bessae non placuit, quamvis militum tria secum haberet millia. Quare Valentinus et Phocas cum quingentis castra hostium aggressi de improviso, nonnullos conficiunt: unde statim tumultus ad obsessorum aures pervenit. Cum autem ex urbe nemo erumperet, omnino incolumes ad portum celeriter se receperunt. Ad Bessam iterum mittunt, deque illius praepostera cunctatione expostulant: et asserentes se alteram brevi impressionem daturos, hortantur, ut ipse in tempore viribus omnibus in Barbaros irruat. Nihilo is minus renuit cum hoste extra muros armis decernere. Valentino autem ac Phocae deliberatum erat hostem invadere cum maioribus copiis: iamque se accinxerat, cum miles quidam Innocentii transfugit ad Totilam, retulitque factum iri postridie ex oppido Portu in Gothos excursionem. Ille viros ad pugnam impigros, ubicunque commodum visum est, in insidiis posuit: in quas delapsi postridie Va-

βάλλουσι καὶ αὐτοὶ θνήσκουσιν. ὀλίγοι δὲ τινες μόλις διαφυγόντες ἐς τὸν πόρτον κομίζονται.

Τότε καὶ Βιγίλιος, ὁ τῆς Ῥώμης ἀρχιερεύς, ἐν Σικελίᾳ διατριβὴν ἔχων ναῦς ὅτι πλείστας σίτου ἐμπλησάμενος ἔπεμψεν, οἰόμενος ὅτῳ δὴ τρόπῳ τοῖς τὰ φορτία παραπέμπουσιν ἐς τὴν Ῥώμην ἐσιτητὰ εἶναι. αἱ μὲν οὖν νῆες αὖται ἔπλεον ἐπὶ τὸν Ῥωμαίων λιμένα, αἰσθόμενοι δὲ οἱ πολέμιοι χρόνῳ τε βραχεῖ προτερήσαντες ἐν τῷ λιμένι ἐγένοντο καὶ τῶν τοίχων ἐντὸς σφᾶς αὐτοὺς ἔκρυψαν, ὅπως, ἐπειδὰν τάχιστα αἱ νῆες ἐνταῦθα κατάρωσι, κρατήσωσιν αὐτῶν οἱ δενὶ πόνῳ. ὅπερ κατιδόντες ὅσοι φρουρὰν ἐν πόρτῳ εἶχον, ἔς τε τὰς ἐπάλξεις ἀνέβαινον ἅπαντες καὶ τὰ ἱμάτια σείοντες τοῖς ἐν ταῖς ναυσὶ σημαίνειν ἐβούλοντο μὴ πρόσω ἰέναι, ἀλλ' ἐτέρωσε, ὅπη παρατύχοι, ἐκτρέπεσθαι. οἱ δὲ τῶν ποιουμένων οὐ ξυνιέντες, ἀλλὰ χαίρειν τε τοὺς ἐν τῷ πόρτῳ Ῥωμαίους οἰόμενοι καὶ σφᾶς ἐπὶ τὸν λιμένα παραχαλεῖν, τοῦ πνεύματος αὐτοῖς ἐπιφόρου ὄντος, ἐντὸς τοῦ λιμένος κατὰ τάχος ἐγένοντο. ἔπλεον δὲ ταῖς ναυσὶν ἄλλοι τε Ῥωμαίων πολλοὶ καί τις ἐπίσκοπος Βαλεντῖνος ὄνομα. ἔκ τε τῶν ἐνεδρῶν ἀναστάντες οἱ βάρβαροι τῶν πλοίων ἁπάντων οὐδενὸς ἀμυνομένου ἐκράτησαν. καὶ τὸν μὲν ἐπίσκοπον ζωγρήσαντες παρὰ Τωτίλαν ἤγαγον, τοὺς δὲ ἄλλους ἅπαντας ἔκτειναν, καὶ τὰς ναῦς ξὺν τοῖς φορτίοις ἐφέλκοντες ᾤχοντο. τούτου ὁ Τωτίλας ἀνεπυνθάνετο τοῦ ἱερέως P 501

5. ἐς τὴν] εἰς τὴν L. 13. ἐτέρωσε] ἐτέρωθι Reg. ibid. παρατύχοι] παρὰ τύχην L. παρατυχῃ Lm. 21. ξὺν] σὺν L.

lentinus et Phocas cum suis, amissa parte eorum maxima, ipsi quoque oppetunt: pauci vix elapsi, Portum repetiere.

Eodem tempore Vigilius Rom. Pontifex, e Sicilia, ubi morabatur, onustas frumento naves quamplurimas misit, persuasum habens eos, qui imposita ratibus onera agerent, Romam quomodocunque ingredi posse. Cum eae naves in portum Romanum tenderent, re hostes cognita, momento antegressi, portum subeunt, et intra septum parietum delitescunt, ut simul ac navigia illuc appulsa fuerint, ea nullo negotio capiant. Id conspicati, qui in oppido Portu praesidium agitabant, murorum pinnas certatim omnes ascendere, et vestium iactatione signum dare nautis, ne porro pergant, sed alio, quocunque sors tulerit, cursum detorqueant. Illi rem coniectura non assequentes, et Romanos, qui erant in oppido, exultare, seque ab illis in portum invitari existimantes, secundo vento festinationem iuvante, portum intrarunt. Vehebantur una Romani multi, inter quos erat Episcopus, nomine Valentinus. Consurgunt ex insidiis Barbari, navesque omnes, repugnante nemine, capiunt. Vita capto Episcopo servata, duxerunt Ilium ad Totilam: caeteris ad internecionem caesis, trahentes navigia cum oneribus abierunt. Ex Episcopo quae scire

ὅσα ἐβούλετο, ἐπενεγκὼν δὲ αὐτῷ, ὅτι δὴ ὡς ἥκιστα ἀληθίζεται, ἄμφω τὼ χεῖρε ἀπέκοψε. ταῦτα μὲν δὴ οὕτω γενέσθαι τετύχηκε. καὶ ὃ χειμὼν ἔληγε, καὶ τὸ ἐνδέκατον ἔτος ἐτελεύτα τῷ πολέμῳ τῷδε, ὃν Προκόπιος ξυνέγραψε.

B H 279 ις'. Βιγίλιος δὲ, ὁ τῆς Ῥώμης ἀρχιερεὺς, βασιλεῖ ἐς Βυζάντιον ἐκ Σικελίας μετάπεμπτος ἦλθεν. ἐτύγχανε γὰρ πολύν τινα χρόνον διὰ τοῦτο ἐν Σικελίᾳ τριβὴν ἔχων. ὑπὸ τοῦτον τὸν χρόνον Ῥωμαῖοι ἐν Πλακεντίᾳ πολιορκούμενοι ἁπάντων ἤδη σφῶν τῶν ἀναγκαίων παντάπασιν ἐπιλιπόντων ἐς βρώσεις οὐχ ὁσίας τινὰς, βιαζόμενοι τῷ λιμῷ, ἦλθον. καὶ μὴν καὶ ἀλλήλων ἐγεύσαντο καὶ διὰ τοῦτο σφᾶς τε αὐτοὺς καὶ Πλακεντίαν ὁμολογίᾳ Γότθοις παρέδωκαν. ταῦτα μὲν οὖν τῇδε ἐχώρησε καὶ Ῥώμην πρὸς Τωτίλᾳ πολιορκουμένην ἅπαντα ἤδη τὰ ἀναγκαῖα ἐπελελοίπει. ἦν δέ τις ἐν τοῖς Ῥώμης ἱερεῦσιν, ὄνομα μὲν Πελάγιος,

C διάκονος δὲ τὴν τιμὴν, ὃς δὴ ἐν Βυζαντίῳ χρόνον διατρίψας συχνὸν φίλος μὲν ἐς τὰ μάλιστα Ἰουστινιανῷ βασιλεῖ γέγονε, χρήματα δὲ περιβεβλημένος μεγάλα ἐς Ῥώμην ὀλίγου ἔμπροσθεν ἐτύγχανεν ἀφικόμενος. ἐν ταύτῃ τε τῇ πολιορκίᾳ τοῖς τῶν ἀναγκαίων ἀπορουμένοις πλεῖστα τῶν χρημάτων προϊέμενος, ὧν καὶ πρότερον ἔν γε Ἰταλιώταις ἅπασι δόκιμος, μεῖζον, ὡς τὸ εἰκὸς, ἐπὶ φιλανθρωπίᾳ κλέος ἀπήνεγκε. τοῦτον Ῥωμαῖοι τὸν Πελάγιον, ἐπειδὴ τὰ ἀμήχανα τῷ λιμῷ ἔπασχον, πείθουσι παρὰ Τωτίλαν

1. ἐπενεγκὼν] ἐπενεγκόντες H: illud Hm. ibid. δὲ] τε LHm. 2. ἀπέκοψε] ἀπέκοψαν H: illud Hm. 9. ἐπιλιπόντων Reg. ἀπολιπόντων P. 14. τοῖς Ῥώμης] τῆς ῥώμης L. 17. ὀλίγου] ὀλίγῳ L. 19. προϊέμενος] προέμενος L. 22. ἐπειδὴ] ἐπεὶ Suidas s. v. ἀμήχανα.

avebat percontatus Totilas, ipsum mendacii insimulatum, manibus truncavit. Ea sic acta, finis excipit hiemis annique XI. istius belli, quod scriptura Procopius est persecutus.

16. Vigilius Romanus Pontifex Byzantium Imperatoris accita venit ex Sicilia: ubi iamdiu degerat profectionis illius causa. Sub idem tempus Romani, qui Placentiae obsidebantur, cum iam rei cibariae omnino inopes, et ad infandos cibos fame redacti, carne mutua vescerentur, se ipsi et Placentiam Gotthis dedidere. Haec ibi: dum Romam quoque, a Totila obsessam, summa annonae penuria premit. Erat in Clero Romano Pelagius Diaconus, Romam haud ita pridem cum magnis opibus reversus Byzantio: ubi diu moratus, in Iustiniani Aug. amicitiam sese penitus insinuaverat. Obsessa urbe, maximam pecuniae partem largitus inopibus, sua illa benignitate, ad pristinum nominis splendorem, quem apud Italos omnes obtinuerat, meritam adiecit cumulum. Romani, in summas angustias adducti fame, huic Pelagio persuadent, ut Totilam adeat, et

τε εἶναι καὶ ἡμερῶν ὀλίγων τινῶν ἐκεχειρίαν διαπράξασθαι σφίσιν, ἐφ' ᾧ, ἢν μή τις αὐτοῖς ἐπικουρία ταύτης δὴ ἐντὸς τῆς ἐκεχειρίας ἐκ Βυζαντίου ἀφίκηται, σφᾶς τε αὐτοὺς ὁμολογίᾳ καὶ τὴν V 135
πόλιν Γότθοις ἐνδώσουσιν. ἐπὶ ταύτῃ δὴ τῇ πρεσβείᾳ Πελάγιος
παρὰ Τωτίλαν ἦλθεν. ἥκοντά τε αὐτὸν ὁ Τωτίλας ἀσπασάμε- D
νος αἰδοῖ τε καὶ φιλοφροσύνῃ πολλῇ πρῶτος ἔλεξεν ὧδε

„Πᾶσι μὲν, ὡς ἐπὶ πλεῖστον εἰπεῖν, νόμος βαρβάροις τὸ χρῆμα τῶν πρέσβεων σέβειν, ἐμοὶ δὲ τοὺς τῆς ἀρετῆς τι μεταποιουμένους, οἷος αὐτὸς εἶ, καὶ ἄλλως τιμᾶν ἐν σπουδῇ ἄνωθεν γέγονε. τιμὴν δὲ καὶ ὕβριν ἐς ἄνδρα πρεσβευτὴν οὐ πρᾳότητι προσώπων οὐδὲ ῥημάτων ὄγκῳ τῶν ὑποδεξαμένων διακεκρίσθαι οἶμαι, ἀλλ' ἔν γε τῷ ἀληθίζεσθαι ἢ λόγοις οὐχ ὑγιαίνουσιν ἐς αὐτὸν χρῆσθαι. τετιμῆσθαι μὲν γὰρ διαφερόντως ἐκείνῳ ξυμβαίνει, ὅτῳ ἂν ἐκ τοῦ εὐθέος ἀποκαλύψαντες τὸν ἀληθῆ λόγον, οὕτω τὸν ἄνθρωπον ἀποπέμποιντο, περιυβρίσθαι δὲ πάντων μάλιστα τῷ πρεσβευτῇ τούτῳ, ὃς ἂν ὑπούλων τε καὶ ξυμπεπλα- P 502
σμένων ἀκούσας ῥημάτων ἀπιὼν οἴχοιτο. τριῶν τοίνυν ἐκτὸς, ὦ Πελάγιε, τῶν ἄλλων ἁπάντων, ὅτου ἂν δεηθείης, οὐ μή ποτε πρὸς ἡμῶν ἀτυχήσεις. ἃ δὴ φυλασσόμενόν σε σιωπᾶν ἄμεινον, ὅπως μὴ σαυτῷ αἰτιώτατος γεγονὼς τοῦ μηδὲν ἀνύειν ὧν ἕνεκα ἦλθες τὴν ὑπὲρ αὐτῶν μέμψιν ἡμῖν ἀναθήσεις. τῷ γὰρ μὴ ἐπιτηδείως τοῖς παροῦσιν αἰτεῖσθαι τὸ μηδὲν κατορθοῦν ἐκ τοῦ ἐπὶ

5. παρὰ] ἐπὶ L. *ibid.* αὐτὸν] αὐτὴν L. αὐτὸν Lm. 13. ξυμβαίνει] συμβαίνει L. 14. ὅτῳ] οὕτω L. *ibid.* εὐθέος] Vulgo εὐθέως. 15. οὕτω] ὅντα L. *ibid.* περιυβρίσθαι Vat. Vulgo περιυβρίζεσθαι. 19. ἀτυχήσεις L. ἀτυχήσης HP. *ibid.* ἃ Reg. ὧν P. 21. τῷ γὰρ] τὸ γὰρ L: illud Lm.

paucorum dierum inducias ea conditione paciscatur, ut, si intra id tempus Byzantio subsidii nihil acceperint, secum urbem Gothis permittant. Eam gessit Pelagius legationem ad Totilam: qui venientem honorifice et perbenigne amplexus, prior ita exorsus est.

Mos quidem est Barbaris fere omnibus honore Legatos afficere: ego vero praeterea ab ineunte aetate studui viros virtute praeditos, qualis ipse es, in primis colere et venerari. Reverentiam autem et contumeliam in Legatum non positam esse iudico in sola vultus benignitate, vel arrogantibus eorum verbis, qui illos exceperint: sed in oratione plena veri, aut rursus inani mendacique. Etenim cum illo perhonorifice agitur, cui nuda proposita veritate redeundi potestas fit: contra indignissime habetur Legatus, qui auditis fallaciis figmentisque revertitur. At tu, Pelagi, a nobis quidquid petieris consequere. praeterquam tria: quae tibi silentio provido transire praestat, ne cum frustratio consilii, quo huc veniisti, ex te maxime nata fuerit, in nos culpam convertas. Aliena enim a statu, in

στρατηγός. καὶ τὸ λοιπὸν ὅ τε ποταμὸς ἐσβατὸς ἀεὶ τοῖς βαρβάροις κατ' ἐξουσίαν καὶ τὰ Ῥωμαίων πράγματα εὐέφοδα γέγονε, ξύμπασά τε ἡ Ῥωμαίων ἀρχὴ ἀνδρὸς ἑνὸς ἀρετῇ ἀντίρροπος γενέσθαι ἐν τῷ ἔργῳ τούτῳ οὐδαμῇ ἴσχυσε.

D Χρόνῳ δὲ ὕστερον Ἄνται καὶ Σκλαβηνοὶ διάφοροι ἀλλήλοις γενόμενοι ἐς χεῖρας ἦλθον, ἔνθα δὴ τοῖς Ἄνταις ἡσσηθῆναι τῶν ἐναντίων τετύχηκεν. ἐν ταύτῃ δὲ τῇ μάχῃ Σκλαβηνὸς ἀνὴρ τῶν τινα πολεμίων ἄρτι γενειάσκοντα, Χιλβούδιον ὄνομα, αἰχμάλωτον εἶλεν, ἔς τε τὰ οἰκεῖα λαβὼν ᾠχετο. οὗτος ὁ Χιλβούδιος προϊόντος τοῦ χρόνου εὔνους τε ὡς ἔνι μάλιστα τῷ κεκτημένῳ ἐγένετο καὶ τὰ ἐς τοὺς πολεμίους δραστήριος. πολλάκις τε τοῦ δεσπότου προκινδυνεύσας ἠρίστευσέ τε διαφερόντως καὶ κλέος ἴσχυσε περιβαλέσθαι ἀπ' αὐτοῦ μέγα. ὑπὸ δὲ τὸν χρόνον τοῦτον Ἄνται ἐπισκήψαντες ἐς τὰ ἐπὶ Θρᾴκης χωρία πολλοὺς ἐλήισαντο καὶ ἠνδραπόδισαν τῶν ἐκείνῃ Ῥωμαίων. οὕσπερ ἐπαγόμενοι ἀπεκο-
P 497 μίσθησαν ἐς τὰ πάτρια ἤθη. τούτων δὲ ἕνα τῶν αἰχμαλώτων ἐς φιλάνθρωπόν τινα ἤγαγεν ἡ τύχη καὶ πρᾷον δεσπότην. ἦν δὲ οὗτος ἀνὴρ κακοῦργός τε λίαν καὶ οἷος ἀπάτῃ τοὺς ἐντυγχάνοντας περιελθεῖν. ἐπειδή τε βουλόμενος ἐπανήκειν ἐς Ῥωμαίων τὴν γῆν οὐδεμιᾷ μηχανῇ εἶχεν, ἐπενόει τοιάδε. τῷ κεκτημένῳ ἐς ὕψιν ἦκων τῆς τε φιλανθρωπίας ἐπῄνεσε καὶ πολλὰ μέν οἱ διὰ τοῦτο πρὸς τοῦ θεοῦ ἰσχυρίσατο ἀγαθὰ ἔσεσθαι, καὶ αὐτὸν δὲ οὐδαμῇ ἀχάριστον δεσπότῃ φιλανθρωποτάτῳ φανήσεσθαι, ἀλλ',

2. εὐέφοδα om. L. 7. δὲ τῇ] δὴ τῇ H. δὲ τῇ Hm. 13. τοῦτον om. L. 18. ἐντυγχάνοντας] ἐντυχόντας L.

ex quo Barbaris libera semper fuit amnis transmissio, et Romana res incursibus eorum patuit. Qua in parte universum Rom. Imperium virtutem adaequare non potuit unius viri.

Postea, inter Antas et Sclavenos orto dissidio, res ad manus et pugnam venit: qua ab hostibus Antae victi sunt. In eo praelio Sclavenus quidam unum ex hostibus, iam pubescentem (Chilbudio nomen erat) cepit, ac domum abduxit. Chilbudius hic, tempore procedente, studiosissimus domini belloque impiger evasit: ita ut multis, domini causa, periculis aditis, et re praeclarissime gesta, magnum sit adeptus nomen. Sub idem tempus, Antae, facta in Thraciam irruptione, Romanorum illic degentium multos expilarunt, et in patriam abripuerunt captivos. Quorum unus, fortunae beneficio, humanum ac mitem nactus herum, vir ipse insignite vafer, ilsque instructus artibus, quibus obvium quemque caperet, praecluso penitus, quem optabat, in solum Romanum reditu, hanc fraudem commentus est. Herum convenit, et laudata eius humanitate, Deum quidem amplissime illum remuneraturum affirmat; se autem non commissurum, ut erga herum benignissimum ingratus videatur; at facturum

ἦν γε αὐτῷ τὰ βέλτιστα εἰσηγουμένῳ ἐπακούειν ἐθέλῃ, κύριον αἰτὸν οὐκ ἐς μακρὰν καταστήσεσθαι χρημάτων μεγάλων. εἶναι γὰρ ἐν τῷ Σκλαβηνῶν ἔθνει Χιλβούδιον, τὸν τῶν Ῥωμαίων στρατηγήσαντα, ἐν ἀνδραπόδων λόγῳ, πάντας βαρβάρους λαν- B
θάνοντα ὅστις ποτέ ἐστιν. ἦν τοίνυν αὐτῷ βουλομένῳ εἴη προέσθαι τε τὰς τοῦ Χιλβουδίου τιμὰς καὶ διακομίζειν τὸν ἄνθρωπον ἐς Ῥωμαίων τὴν γῆν, δόξαν τε ἀγαθὴν καὶ πλούτου αὐτὸν πάμπολυ χρῆμα περιβαλέσθαι πρὸς βασιλέως οὐκ ἀπεικὸς εἶναι. ταῦτα ὁ Ῥωμαῖος εἰπὼν τὸν κεκτημένον εὐθὺς ἔπεισε, καὶ V 132
ξὺν αὐτῷ γίνεται ἐν Σκλαβηνοῖς μέσοις. ἐπεκηρυκεύοντο γὰρ ἤδη καὶ ἀλλήλοις ἀνεμίγνυντο ἀδεῶς οἱ βάρβαροι οὗτοι. χρήματα οὖν πολλὰ τῷ τὸν Χιλβούδιον κεκτημένῳ προϊέμενοι τὸν ἄνδρα ὠνοῦντο καὶ ξὺν αὐτῷ ἀπιόντες εὐθὺς ᾤχοντο. ἐπεί τε ἐν ἥθεσι τοῖς σφετέροις ἐγίνοντο, ἀνεπυνθάνετο τοῦ ἀνθρώπου ὁ
πριάμενος, εἰ Χιλβούδιος αὐτὸς ὁ Ῥωμαίων στρατηγὸς εἴη. καὶ C
ὃς οὐκ ἀπηξίου τὰ ὄντα λέγειν. καταλέγει δὲ ξὺν τῷ ἀληθεῖ λόγῳ ἐφεξῆς ἅπαντα, ὡς εἴη μὲν Ἄντης καὶ αὐτὸς τὸ γένος, μαχόμενος δὲ ξὺν τοῖς ὁμογενέσι πρὸς Σκλαβηνοὺς, τότε σφίσι πολεμίους ὄντας, πρὸς τῶν ἐναντίων ἁλῴη, ταυῦν δὲ, ἐπεὶ ἀφίκετο ἐς τὰ πάτρια ἤθη, ἐλεύθερος τὸ λοιπὸν κατά γε τὸν νόμιον καὶ αὐτὸς ἔσται. ὁ μὲν οὖν ὑπὲρ αὐτοῦ τὸ χρυσίον προϊέμενος

2. ἐς μακρὰν] εἰς μακρὰν L. 3. τὸν τῶν] τῶν om. L. 6. τε τὰς] τάς τε L. 12. οὖν] γοῦν L. *ibid.* τῷ τὸν] τὸν om. L. *ibid.* προϊέμενοι] προέμενος L. 14 ἐγίνοντο] ἐγένοντο L. 16. λέγειν] καὶ λέγειν H. *ibid.* καταλέγει Reg. Vulgo καταλέγειν. 17. Ἄντης καὶ αὐτὸς] καὶ αὐτὸς ἄντης L. 19. πρὸς τῶν] πρὸς τουτῶν H. 21. τὸ χρυσίον] τὸ om. L. *ibid.* προϊέμενος] προέμενος L.

brevi, ut magnam consequatur pecuniam, si modo optima suadenti sibi refragari nolit: Chilbudium enim, Romanae militiae magisterio functum, a Sclavenis teneri inter captivos, nec sciro Barbarorum quemquam quid hominis sit: quare, si redimere Chilbudium, et ad Romanos reportare velit, ne dubitet, quin et laudem et opes maximas ab Imperatore obtineat. His Romanus dictis herum statim quo vult inducit, seque in medios Sclavenos cum ipso infert: iam enim amicitiam hi Barbari foedere percusso iunxerant, ac sine metu inter se versabantur. Ergo multa Chilbudii domino numerata pecunia, hominem redimunt, omnique abiecta mora cum illo abeunt. Ubi domum rediere, ex ipso quaerit emptor, sitne Chilbudius Romanae Magister militiae? Ille id quod res erat fateri non abnuens, omnia ordine vere pandit, se Antam genere et ipsum esse: quo tempore cum popularibus contra Sclavenos, a se bello distractos, pugnasset, venisse in manus hostium: iam vero, quandoquidem rediisset in patriam, se quoque, uti lex iuberet, liberum deinceps fore.

ἐς ἀφασίαν ἐμπεπτωκὼς ἤσχαλλεν, ἐλπίδος ἀποτυχὼν οὐ μετρίας τινός. ὁ δὲ Ῥωμαῖος τόν τε ἄνθρωπον παρηγορεῖν καὶ τὴν ἀλήθειαν ἐκκρούειν ἐθέλων, ὡς μή τι αὐτῷ τῆς ἐς τὴν οἰκίαν ἐπανόδου ἐμποδὼν εἴη, Χιλβούδιον μὲν ἐκεῖνον ἔτι τοῦτον δὴ τὸν
H 277 ἄνδρα ἰσχυρίζετο εἶναι, δεδιότα δὲ, ἅτε δὴ ὄντα ἐν μέσοις βαρβάροις, ὡς ἥκιστα ἐθέλειν ἀποκαλύψαι τὸν πάντα λόγον, ἦν μέντοι γένηται ἐν γῇ τῇ Ῥωμαίων, οὐχ ὅσον οὐκ ἀποκρύψεσθαι τὸν ἀληθῆ λόγον, ἀλλὰ καὶ φιλοτιμήσεσθαι, ὡς τὸ εἰκὸς, ἐπὶ τούτῳ δὴ τῷ ὀνόματι. τὰ μὲν οὖν πρῶτα κρύφα ταῦτα ἐπρᾶσσετο τῶν ἄλλων βαρβάρων.

Ἐπεὶ δὲ ὁ λόγος περιφερόμενος ἐς ἅπαντας ἦλθεν, ἠγείροντο μὲν ἐπὶ τούτῳ Ἄνται σχεδὸν ἅπαντες, κοινὴν δὲ εἶναι τὴν
P 498 πρᾶξιν ἠξίουν, μεγάλα σφίσιν οἰόμενοι ἀγαθὰ ἔσεσθαι, κυρίοις ἤδη τοῦ Ῥωμαίων στρατηγοῦ Χιλβουδίου γεγενημένοις. τὰ γὰρ ἔθνη ταῦτα, Σκλαβηνοί τε καὶ Ἄνται, οὐκ ἄρχονται πρὸς ἀνδρὸς ἑνός, ἀλλ' ἐν δημοκρατίᾳ ἐκ παλαιοῦ βιοτεύουσι, καὶ διὰ τοῦτο αὐτοῖς τῶν πραγμάτων ἀεὶ τά τε ξύμφορα καὶ τὰ δύσκολα ἐς κοινὸν ἄγεται. ὁμοίως δὲ καὶ τὰ ἄλλα ὡς εἰπεῖν ἅπαντα ἑκατέροις ἐστί τε καὶ νενόμισται τούτοις ἄνωθεν τοῖς βαρβάροις. θεὸν μὲν γὰρ ἕνα τὸν τῆς ἀστραπῆς δημιουργὸν ἁπάντων κύριον μόνον αὐτὸν νομίζουσιν εἶναι, καὶ θύουσιν αὐτῷ βόας τε καὶ ἱερεῖα ἅπαντα· εἱμαρμένην δὲ οὔτε ἴσασιν οὔτε ἄλλως ὁμολογοῦ-

1. ἐς] εἰς L. 2. καὶ τὴν] τήν τε L. 4. ἐμποδὼν] χαλεπὸν Reg. 7. γῇ τῇ Ῥωμαίων L. τῇ Ῥωμαίων γῇ P. 9. τούτῳ] τοῦτον L. 14. Χιλβουδίου] χιλβαδίου L.

Tum qui pro ipso aurum pependerat, vehementer stupere, seque ingenti spe depulsum queri. Hunc Romanus solari volens, et a vero longe abducere, ne quid obstaret suo domum reditui, insistebat firmissime asseverare, hunc esse Chilbudium: at circumstantium Barbarorum metu impediri, quominus rem plane ederet: si semel in solo Rom. pedem poneret, non modo fassurum verum, sed illo etiam nomine procul dubio gloriaturum. Atque haec primo caeteris Barbaris inscientibus acta sunt.

Postquam autem res in vulgus emanavit, Antae fere omnes convenere illius causa, utque in commune transigeretur sanxerunt, magnum sibi emolumentum ex eo venturum rati, quod Chilbudium Romanae militiae Magistrum, in sua iam tenerent ditione. Et vero hi populi, Sclaveni inquam et Antae, non uni parent viro; sed ab antiquo in populari imperio vitam agunt: ac propterea utilitates et damna apud ipsos in commune vocari solent. Aliarum etiam rerum fere omnium ratio ab utrisque Barbaris servatur eadem, fuitque olim constituta. Unum enim Deum, fulguris effectorem, dominum huius universitatis solum agnoscunt, eique boves et cuiusque generis hostias immolant. Fatum minime no-

σιν ἔν γε ἀνθρώποις ῥοπήν τινα ἔχειν, ἀλλ' ἐπειδὰν αὐτοῖς ἐν ποσὶν ἤδη ὁ θάνατος εἴη, ἢ νόσῳ ἁλοῦσιν ἢ ἐς πόλεμον καθισταμένοις, ἐπαγγέλλονται μὲν, ἢν διαφύγωσι, θυσίαν τῷ θεῷ B ἀντὶ τῆς ψυχῆς αὐτίκα ποιήσειν, διαφυγόντες δὲ θύουσιν ὅπερ ὑπέσχοντο, καὶ οἴονται τὴν σωτηρίαν ταύτης δὴ τῆς θυσίας αὐτοῖς ἐωνῆσθαι. σέβουσι μέντοι καὶ ποταμούς τε καὶ νύμφας καὶ ἄλλ' ἄττα δαιμόνια, καὶ θύουσιν αὐτοῖς ἅπασι, τάς τε μαντείας ἐν ταύταις δὴ ταῖς θυσίαις ποιοῦνται, οἰκοῦσι δὲ ἐν καλύβαις οἰκτραῖς διεσκηνημένοι πολλῷ μὲν ἀπ' ἀλλήλων, ἀμείβοντες δὲ ὡς τὰ πολλὰ τὸν τῆς ἐνοικήσεως ἕκαστοι χῶρον. ἐς μάχην δὲ καθιστάμενοι πεζῇ μὲν ἐπὶ τοὺς πολεμίους οἱ πολλοὶ ἴασιν ἀσπίδια καὶ ἀκόντια ἐν χερσὶν ἔχοντες, θώρακα δὲ οὐδαμῇ ἐνδιδύσκονται. τινὲς δὲ οὐδὲ χιτῶνα οὐδὲ τριβώνιον ἔχουσιν, ἀλλὰ C μόνας τὰς ἀναξυρίδας ἐναρμοσάμενοι μέχρι ἐς τὰ αἰδοῖα, οὕτω δὴ ἐς ξυμβολὴν τοῖς ἐναντίοις καθίστανται. ἔστι δὲ καὶ μία ἑκατέροις φωνὴ ἀτεχνῶς βάρβαρος. οὐ μὴν οὐδὲ τὸ εἶδος ἐς ἀλλήλους τι διαλλάσσουσιν. εὐμήκεις τε γὰρ καὶ ἄλκιμοι διαφερύντως εἰσὶν ἅπαντες, τὰ δὲ σώματα καὶ τὰς κόμας οὔτε λευκοὶ ἐς ἄγαν ἢ ξανθοί εἰσιν οὔτε πη ἐς τὸ μέλαν αὐτοῖς παντελῶς τέτραπται, ἀλλ' ὑπέρυθροί εἰσιν ἅπαντες. δίαιταν δὲ σκληράν τε καὶ ἀπημελημένην, ὥσπερ οἱ Μασσαγέται, καὶ αὐτοὶ ἔχουσι, καὶ ῥύπου ἧπερ ἐκεῖνοι ἐνδελεχέστατα γέμουσι, πονηροὶ μέντοι ἢ κακοῦργοι

6. ἐωνῆσθαι] ὠνεῖσθαι H. ἐωνῆσθαι Hm. 10. ἕκαστοι L. ἕκαστον P. 11. ἐπὶ Reg. ἐς P. *ibid.* ἀσπίδια] ἀσπίδα Reg. 17. τι] τῆδε Reg. τῇ δὲ L. *ibid.* διαλλάσσουσιν] ἀλλάσσουσιν L. 22. πλήρεις ἐνδελεχέστατα HP. πλήρεις om. Vat. et L: habet Lm. *ibid.* γέμουσι Vat. et L. μένουσι HP.

runt, nedum illi in mortales aliquam vim attribuant: at cum sibi vel morbo correptis, vel praelium ineuntibus, iam mortem admotam vident, Deo vovent, si evaserint, continuo victimam pro salvo capite mactaturos: elapsi periculo, quod promisere sacrificant, eaque hostia vitam sibi redemptam credunt. Praeterea fluvios colunt, et Nymphas, et alia quaedam numina: quibus omnibus operantur, et inter sacrificia coniecturas faciunt divinationum. In tuguriis habitant vilibus et rare sparsis, atque habitationis locum subinde mutant. Cum pugnam invadunt, multi pedibus tendunt in hostem, scutula spiculaque gestantes manibus. Loricam non induunt: quidam nec subuculam habent nec pallium: sed cum femoralibus tantum, ad virilia usque aptis, hosti se offerunt ad certamen. Una est utrisque lingua admodum barbara, nec forma corporis inter se differunt. Sunt enim proceri omnes ac robustissimi. Colorem nec summe candidum habet cutis, nec flavum coma: neque is plane in nigrum deficit: at subrufus est, et quidem omnibus. Vitam aeque, ut Massagetae, victu arido incultoque tolerant, toti, sicut illi, sordibus et illuvie semper obsiti. Ingenium ipsis nec malignum nec fraudulentum, et cum

ὡς ἥκιστα τυγχάνουσιν ὄντες, ἀλλὰ κἂν τῷ ἀφιλεῖ διασώζουσι
D τὸ Οὐννικὸν ἦθος. καὶ μὴν καὶ ὄνομα Σκλαβηνοῖς τε καὶ Ἄνταις
ἓν τὸ ἀνέκαθεν ἦν. σπόρους γὰρ τὸ παλαιὸν ἀμφοτέρους
ἐκάλουν, ὅτι δὴ σποράδην, οἶμαι, διεσκηνημένοι τὴν χώραν οἰ-
V 133 κοῦσι. διὸ δὴ καὶ γῆν πολλὴν τινα ἔχουσι· τὸ γὰρ πλεῖστον τῆς
ἑτέρας τοῦ Ἴστρου ὄχθης αὐτοὶ νέμονται. τὰ μὲν οὖν ἀμφὶ τὸν
λεὼν τοῦτον ταύτῃ πη ἔχει.

Ἄνται δὲ τότε ἀγειρόμενοι, ὥσπερ ἐρρήθη, τὸν ἄνδρα
τοῦτον ἠνάγκαζον ὁμολογεῖν σφίσιν ὅτι Χιλβούδιος αὐτὸς ὁ Ῥω-
μαίων στρατηγὸς εἴη. ἀρνηθέντα τε κολάζειν ἠπείλουν. ἐν ᾧ
δὲ ταῦτα ἐπράσσετο τῇδε, ἐν τούτῳ βασιλεὺς Ἰουστινιανὸς πρέσ-
βεις τινὰς παρὰ τούτους δὴ τοὺς βαρβάρους στείλας ἠξίου ξυνοι-
P 499 κίζεσθαι ἅπαντας εἰς πόλιν ἀρχαίαν, Τούρριν ὄνομα, ἣ κεῖται
μὲν ὑπὲρ ποταμὸν Ἴστρον, Τραϊανοῦ τοῦ Ῥωμαίων αὐτοκράτο-
ρος ἐν τοῖς ἄνω χρόνοις αὐτὴν δειμαμένου, ἔρημος δὲ ἐτύγχανεν
ἐκ παλαιοῦ οὖσα, λησαμένων αὐτὴν τῶν ταύτῃ βαρβάρων.
ταύτῃ γὰρ αὐτοὺς καὶ τῇ ἀμφ' αὐτὴν χώρᾳ Ἰουστινιανὸς βασι-
λεὺς, ἅτε προσηκούσῃ τὸ ἐξ ἀρχῆς Ῥωμαίοις, ὡμολόγει δεδωρῆ-
σεσθαι καὶ σφίσι ξυνοικιεῖν μὲν δυνάμει τῇ πάσῃ, χρήματα δὲ
μεγάλα σφίσι προΐεσθαι, ἐφ' ᾧ οἱ ἔνσπονδοι τὸ λοιπὸν ὄντες
Οὖννοις ἐμπόδιοι ἐς ἀεὶ γένωνται, καταθεῖν βουλομένοις τὴν Ῥω-

1. „ἀφιλεῖ] Vetus interpres legisse videtur ἀφειλεῖν.“ Malt. *Sed in populando ac rapiendo hunnicam servant consuetudinem* Pers. 3. ἓν τὸ] ἐν τῇ L. ἐν τοῖς Lm. 5. πολλὴν τινα] τινὰ πολλὴν L. 13. τούρριν L. Τούριν P. *Turrim* Pers. 15. ἐτύγχανεν ἐκ παλαιοῦ] ἐκ παλαιοῦ ἐτύγχανεν L. 17. τῇ — χώρᾳ] τὴν — χώραν H: illud Hm. 18. δεδωρῆσεσθαι L. δωρήσασθαι P. 19. ξυνοικιεῖν L. ξυνοικεῖν P.

simplicitate mores Hunnicos in multis retinent. Nomen etiam quondam Sclavenis Antisque unum erat: utrosque enim appellavit Sporos antiquitas, ob id, opinor, quia σποράδην, hoc est, *sparsim* et rare positis tabernaculis regionem obtinent: quo fit ut magnum occupent spatium. Et vero ulterioris ripae Istri partem maximam habent. Hactenus de gente illa.

Tunc Antae, ut dictum est, virum hunc in conventu declarare coëgerunt, se Chilbudium esse militiae Magistrum Romanae, ac neganti supplicium minati sunt. Dum haec ibi aguntur, interea Iustinianus Aug. missa ad hos Barbaros legatione, petit ut commigrent omnes in antiquam urbem: Turrim appellant: quae trans Istrum fluvium sita, conditaque olim a Traiano Romanorum Imperatore, multis abhinc annis vacabat, a vicinis direpta Barbaris. Hanc ipsis urbem agrosque circumiacentes, pro iure veteri, quo ad Romanos pertinerent, daturum se Iustinianus Aug. spopondit, eorumque amicitiam aliturum omni studio, et pecuniam liberalissime largiturum, modo ut icto secum foedere, Hunnis Romanum

μαίων ἀρχήν. ταῦτα ἐπεὶ οἱ βάρβαροι ἤκουσαν, ἐπῄνεσάν τε B
καὶ πράξειν ἅπαντα ὑπέσχοντο, εἴπερ αὐτοῖς τὸν Χιλβούδιον
στρατηγὸν Ῥωμαίων αὖθις καταστησάμενος ξυνοικιστὴν δοίη,
αὐτὸν ἐκεῖνον ἰσχυριζόμενοι, ἥπερ ἐβούλοντο, Χιλβούδιον εἶναι.
ταύταις δὲ ὁ ἄνθρωπος ἐπαρθεὶς ταῖς ἐλπίσιν ἤδη καὶ αὐτὸς ἤθε-
λέ τε καὶ ἔφασκε Χιλβοίδιος ὁ Ῥωμαίων στρατηγὸς εἶναι. ἐφ' H 278
οἷς δὴ αὐτὸν στελλόμενον ἐς Βυζάντιον Ναρσῆς ἐν ταύτῃ τῇ πο-
ρείᾳ καταλαμβάνει. καὶ ξυγγενόμενος, ἐπεὶ φενακίζοντα τὸν ἄν-
θρωπον εὗρε (καίπερ τήν τε Λατίνων ἀφιέντα φωνὴν καὶ τῶν C
Χιλβουδίου γνωρισμάτων πολλὰ ἐκμαθόντα τε ἤδη καὶ προσποιεῖ-
σθαι ἱκανῶς ἔχοντα) ἔν τε δεσμωτηρίῳ καθεῖρξε καὶ τὸν πάντα
ἐξειπεῖν λόγον ἠνάγκασεν, οὕτω τε ἐς Βυζάντιον ξὺν αὐτῷ ἤγα-
γεν. ἐγὼ δὲ ὅθενπερ ἐξέβην ἐπάνειμι.

ιε'. Βασιλεὺς μὲν ταῦτα ἥπερ μοι δεδήλωται ἔπρασσεν. D
ἐν τούτῳ δὲ Βελισάριος Βαλεντῖνόν τε καὶ τῶν δορυφόρων τῶν
αὐτοῦ ἕνα, Φωκᾶν ὄνομα, διαφερόντως ἀγαθὸν τὰ πολέμια,
ξὺν στρατεύματι ἐς τὸν Ῥωμαίων λιμένα ἔπεμψεν, ἐφ' ᾧ τό τε
ἐν πόρτῳ φρούριον ξυμφυλάξουσι τοῖς ἐνταῦθα φρουροῖς, ὥπερ
Ἰννοκέντιος ἦρχε, καὶ ὅπῃ ἂν σφίσι δυνατὰ ᾖ ἐπεκδρομὰς ποιού-
μενοι ξυνταράξουσι τὸ τῶν πολεμίων στρατόπεδον. οἱ μὲν οὖν
ἀμφὶ Βαλεντῖνόν τε καὶ Φωκᾶν πέμψαντες λάθρα ἐς Ῥώμην ση-
μαίνουσι Βέσσα ὡς αὐτίκα δὴ ἐπιέναι τῶν ἐναντίων τῷ χαρακώ-

8. φενακίζοντα] φαινακίζοντα L. 14. ἥπερ] ἅπερ Reg.
17. στρατεύματι] στρατεύμασιν L. 18. ξυμφυλάξουσι] ξυμφυ-
λάξωσι Reg.

Imperium incursare volentibus sese usque opponerent. His auditis assensi Barbari, omnia praestituros se receperunt, si modo inter ipsos habitare Chilbudium iuberet, restitutum in dignitatem Magistri Romanae militiae; eum, quem tenebant, Chilbudium ipsum esse ex animi sententia asseverantes. Ille spe obiecta elatus, iam et ipse haberi se volebat, et dicebat esse Chilbudium Magistrum Militum Romanorum. Ea de causa proficiscentem Byzantium, Narses in itinere offendit, et instituto colloquio, ubi impostorem deprehendit (quamquam Latine is loquebatur, et Chilbudii notas iam multas edoctus, scite simulabat) coniectum in vincula, subegit technam omnem aperire, itaque secum Byzantium duxit. Ego vero illuc, unde diverti, redeo.

15. Ea, quae narravi supra, agente Imperatore, Belisarius Valentinum et Phocam, e suis unum Protectoribus, virum bello egregium, cum copiis ad portum Rom. misit, ut castellum Portuense cum eius praesidio, cui praeerat Innocentius, tuerentur, et pro virili parte castra hostium fatigarent excursionibus. Itaque Valentinus ac Phocas, submisso Romam nuntio, Bessae significant, se continuo in Gotthorum castra inopinatum

ματι ἐκ τοῦ αἰφνιδίου μέλλουσι· δεήσει οὖν καὶ αὐτὸν τῶν ἐν Ῥώμῃ στρατιωτῶν τοὺς μαχιμωτάτους ἀπολεξάμενον, ἡνίκα αὖ-
P 500 σθηται τῆς ἐπιδρομῆς, βοηθεῖν δρόμῳ, ὅπως τι καὶ δρᾶν τοὺς βαρβάρους ἑκάτεροι δυνήσωνται μέγα. Βέσσᾳ δὲ ταῦτα οὐδαμῇ ἤρεσκε, καίπερ ἐς τρισχιλίους στρατιώτας ξὺν αὐτῷ ἔχοντι. διὸ δὴ καὶ Βαλεντῖνός τε καὶ Φωκᾶς ξὺν πεντακοσίοις ἐκ τοῦ ἀπροσδοκήτου ἐπισκήψαντες τῷ τῶν πολεμίων στρατοπέδῳ ὀλίγους μέν τινας ἔκτειναν, αἴσθησίς τε τοῦ ἐνθένδε θορύβου τοῖς πολιορκουμένοις ταχὺ γέγονεν. ὡς δὲ οὐδεὶς ἐκ τῆς πόλεως ἐπεξῄει, κατὰ τάχος ἐς τὸν λιμένα κακῶν παντάπασιν ἀπαθεῖς ἀνεχώρησαν. πέμψαντές τε παρὰ Βέσσαν αὖθις ἠτιῶντο μὲν εἰς ὄκνησίν τινα οὐ δέον αὐτὸν ἐμπεπτωκέναι, ἰσχυριζόμενοι δὲ ὡς ὀλίγῳ
B ὕστερον ἑτέραν ἐπεκδρομὴν ἐς τοὺς πολεμίους ποιήσονται παρεκέλουν καὶ αὐτὸν ἐς καιρὸν τοῖς βαρβάροις ἐπιθέσθαι δυνάμει τῇ πάσῃ. ὁ δὲ οὐδέν τι ἧσσον τὸ μὴ τοῖς ἐναντίοις ἐπεξιόντα δα-
V 134 κινδυνεύειν ἀπεῖπεν. οἱ μέντοι ἀμφὶ Βαλεντῖνόν τε καὶ Φωκᾶν ξὺν στρατῷ πλείονι τοῖς πολεμίοις ἐμπεσεῖσθαι διενοοῦντο καὶ ἐν παρασκευῇ ἤδη ἐγένοντο. στρατιώτης δέ τις ὑπὸ Ἰννοκεντίῳ τεταγμένος αὐτόμολος παρὰ Τωτίλαν ἦκον ἀγγέλλει ὡς ἡμέρᾳ τῇ ἐπιγενησομένῃ ἔφοδος ἐκ τοῦ πόρτου ἐπ' αὐτοὺς ἔσται. καὶ ὃς
C τῶν χωρίων ὅσα ἐπιτηδείως ἐς τοῦτο εἶχεν, ἐνέδραις ἔγνω προλοχίζειν ἀνδρῶν μαχίμων. οὗ δὴ τῇ ὑστεραίᾳ Βαλεντῖνός τε καὶ Φωκᾶς ξὺν τοῖς ἑπομένοις ἐμπεπτωκότες τούς τε πλείστους ἀπο-

2. μαχιμωτάτους] μαχίμους H: illud Hm. 4. ἑκάτεροι] καὶ κατέρροι L. 11. εἰς ὄκνησιν] εἰς om. L. 15. τὸ μὴ] τῷ μὴ Hm. 17. πλείονι] πλέονι L. 20. ὃς] ὡς L: ὃς Lm.

facturos impetum: proinde necesse esse, ut ex militibus, quos haberet Romae, pugnacissimorum delectu habito, cum videret incursum fieri, subsidio curreret, quo utrique in Barbaros patrarent aliquid memorabile. Id Bessae non placuit, quamvis militum tria secum haberet millia. Quare Valentinus et Phocas cum quingentis castra hostium aggressi de improviso, nonnullos conficiunt: unde statim tumultus ad obsessorum aures pervenit. Cum autem ex urbe nemo erumperet, omnino incolumes ad portum celeriter se receperunt. Ad Bessam iterum mittunt, deque illius praepostera cunctatione expostulant: et asserentes se alteram brevi impressionem daturos, hortantur, ut ipse in tempore viribus omnibus in Barbaros irruat. Nihilo is minus renuit cum hoste extra muros armis decernere. Valentino autem ac Phocae deliberatum erat hostem invadere cum maioribus copiis: iamque se accinxerat, cum miles quidam Innocentii transfugit ad Totilam, retulitque factum iri postridie ex oppido Portu in Gothos excursionem. Ille viros ad pugnam impigros, ubicunque commodum visum est, in insidiis posuit: in quas delapsi postridie Va-

βάλλουσι καὶ αὐτοὶ ἀνήσκουσιν. ὀλίγοι δέ τινες μόλις διαφυγόντες ἐς τὸν πόρτον κομίζονται.

Τότε καὶ Βιγίλιος, ὁ τῆς Ῥώμης ἀρχιερεύς, ἐν Σικελίᾳ διατριβὴν ἔχων ναῦς ὅτι πλείστας σίτου ἐμπλησάμενος ἔπεμψεν, οἰόμενος ὅτῳ δὴ τρόπῳ τοῖς τὰ φορτία παραπέμπουσιν ἐς τὴν Ῥώμην ἐσιτητὰ εἶναι. αἱ μὲν οἷν νῆες αὖται ἔπλεον ἐπὶ τὸν Ῥωμαίων λιμένα, αἰσθόμενοι δὲ οἱ πολέμιοι χρόνῳ τε βραχεῖ προτερήσαντες ἐν τῷ λιμένι ἐγένοντο καὶ τῶν τοίχων ἐντὸς σφᾶς αὐτοὺς ἔκρυψαν, ὅπως, ἐπειδὰν τάχιστα αἱ νῆες ἐνταῦθα κατάρωσι, κρατήσωσιν αὐτῶν οἱ δενὶ πόνῳ. ὅπερ κατιδόντες ὅσοι φρουρὰν ἐν πόρτῳ εἶχον, ἔς τε τὰς ἐπάλξεις ἀνέβαινον ἅπαντες καὶ τὰ ἱμάτια σείοντες τοῖς ἐν ταῖς ναυσὶ σημαίνειν ἐβούλοντο μὴ πρόσω ἰέναι, ἀλλ' ἐτέρωσε, ὅπη παρατύχοι, ἐκτρέπεσθαι. οἱ δὲ τῶν ποιουμένων οὐ ξυνιέντες, ἀλλὰ χαίρειν τε τοὺς ἐν τῷ πόρτῳ Ῥωμαίους οἰόμενοι καὶ σφᾶς ἐπὶ τὸν λιμένα παρακαλεῖν, τοῦ πνεύματος αὐτοῖς ἐπιφόρου ὄντος, ἐντὸς τοῦ λιμένος κατὰ τάχος ἐγένοντο. ἔπλεον δὲ ταῖς ναυσὶν ἄλλοι τε Ῥωμαίων πολλοὶ καί τις ἐπίσκοπος Βαλεντῖνος ὄνομα. ἔκ τε τῶν ἐνεδρῶν ἀναστάντες οἱ βάρβαροι τῶν πλοίων ἁπάντων οὐδενὸς ἀμυνομένου ἐκράτησαν. καὶ τὸν μὲν ἐπίσκοπον ζωγρήσαντες παρὰ Τωτίλαν ἤγαγον, τοὺς δὲ ἄλλους ἅπαντας ἔκτειναν, καὶ τὰς ναῦς ξὺν τοῖς φορτίοις ἐφέλκοντες ᾤχοντο. τούτου ὁ Τωτίλας ἀνεπυνθάνετο τοῦ ἱερέως P 501

5. ἐς τὴν] εἰς τὴν L. 13. ἐτέρωσε] ἐτέρωθι Reg. ibid. παρατύχοι] παρὰ τύχην L. παρατύχῃ Lm. 21. ξὺν] σὺν L.

lentinus et Phocas cum suis, amissa parte eorum maxima, ipsi quoque oppetunt: pauci vix elapsi, Portum repetiere.

Eodem tempore Vigilius Rom. Pontifex, e Sicilia, ubi morabatur, onustas frumento naves quamplurimas misit, persuasum habens eos, qui imposita ratibus onera agerent, Romam quomodocunque ingredi posse. Cum eae naves in portum Romanum tenderent, re hostes cognita, momento antegressi, portum subeunt, et intra septum parietum delitescunt, ut simul ac navigia illuc appulsa fuerint, ea nullo negotio capiant. Id conspicati, qui in oppido Portu praesidium agitabant, murorum pinnas certatim omnes ascendere, et vestium iactatione signum dare nautis, ne porro pergant, sed alio, quocunque sors tulerit, cursum detorqueant. Illi rem coniectura non assequentes, et Romanos, qui erant in oppido, exultare, seque ab illis in portum invitari existimantes, secundo vento festinationem iuvante, portum intrarunt. Vehebantur una Romani multi, inter quos erat Episcopus, nomine Valentinus. Consurgunt ex insidiis Barbari, navesque omnes, repugnante nemine, capiunt. Vita capto Episcopo servata, duxerunt illum ad Totilam: caeteris ad internecionem caesis, trahentes navigia cum oneribus abierunt. Ex Episcopo quae scire

ὅσα ἐβούλετο, ἐπενεγκὼν δὲ αὐτῷ, ὅτι δὴ ὡς ἥκιστα ἀληθίζεται, ἄμφω τὼ χεῖρε ἀπέκοψε. ταῦτα μὲν δὴ οὕτω γενέσθαι τετύχηκε. καὶ ὁ χειμὼν ἔληγε, καὶ τὸ ἐνδέκατον ἔτος ἐτελεύτα τῷ πολέμῳ τῷδε, ὃν Προκόπιος ξυνέγραψε.

B H 279 ις'. Βιγίλιος δὲ, ὁ τῆς Ῥώμης ἀρχιερεὺς, βασιλεῖ ἐς Βυζάντιον ἐκ Σικελίας μετάπεμπτος ἦλθεν. ἐτύγχανε γὰρ πολύν τινα χρόνον διὰ τοῦτο ἐν Σικελίᾳ τριβὴν ἔχων. ὑπὸ τοῦτον τὸν χρόνον Ῥωμαῖοι ἐν Πλακεντίᾳ πολιορκούμενοι ἁπάντων ἤδη σφῶν τῶν ἀναγκαίων παντάπασιν ἐπιλιπόντων ἐς βρώσεις οἷ οὐχ ὁσίας τινὰς, βιαζόμενοι τῷ λιμῷ, ἦλθον. καὶ μὴν καὶ ἀλλήλων ἐγεύσαντο καὶ διὰ τοῦτο σφᾶς τε αὐτοὺς καὶ Πλακεντίαν ὁμολογίᾳ Γότθοις παρέδωκαν. ταῦτα μὲν οὖν τῇδε ἐχώρησε καὶ Ῥώμην πρὸς Τωτίλᾳ πολιορκουμένην ἅπαντα ἤδη τὰ ἀναγκαῖα ἐπελελοίπει. ἦν δέ τις ἐν τοῖς Ῥώμης ἱερεῦσιν, ὄνομα μὲν Πελάγιος,

C διάκονος δὲ τὴν τιμὴν, ὃς δὴ ἐν Βυζαντίῳ χρόνον διατρίψας συχνὸν φίλος μὲν ἐς τὰ μάλιστα Ἰουστινιανῷ βασιλεῖ γέγονε, χρήματα δὲ περιβεβλημένος μεγάλα ἐς Ῥώμην ὀλίγου ἔμπροσθεν ἐτύγχανεν ἀφικόμενος. ἐν ταύτῃ τε τῇ πολιορκίᾳ τοῖς τῶν ἀναγκαίων ἀπορουμένοις πλεῖστα τῶν χρημάτων προϊέμενος, ὧν καὶ πρότερον ἔν γε Ἰταλιώταις ἅπασι δόκιμος, μεῖζον, ὡς τὸ εἰκὸς, ἐπὶ φιλανθρωπίᾳ κλέος ἀπήνεγκε. τοῦτον Ῥωμαῖοι τὸν Πελάγιον, ἐπειδὴ τὰ ἀμήχανα τῷ λιμῷ ἔπασχον, πείθουσι παρὰ Τωτίλαν

1. ἐπενεγκὼν] ἐπενεγκόντος H: illud Hm. ibid. δὲ] τε LHm. 2. ἀπέκοψε] ἀπέκοψαν H: illud Hm. 9. ἐπιλιπόντων Reg. ἀπολιπόντων P. 14. τοῖς Ῥώμης] τῆς ῥώμης L. 17. ὀλίγου] ὀλίγῳ L. 19. προϊέμενος] προέμενος L. 22. ἐπειδὴ] ἐπὶ Suidas s. v. ἀμήχανα.

avebat percontatus Totilas, ipsum mendacii insimulatum, manibus truncavit. Ea sic acta, finis excipit hiemis annique XI. istius belli, quod scriptura Procopius est persecutus.

16. Vigilius Romanus Pontifex Byzantium Imperatoris accita venit ex Sicilia: ubi iamdiu degerat profectionis illius causa. Sub idem tempus Romani, qui Placentiae obsidebantur, cum iam rei cibariae omnino inopes, et ad infandos cibos fame redacti, carne mutua vescerentur, se ipsi et Placentiam Gotthis dedidere. Haec ibi: dum Romam quoque, a Totila obsessam, summa annonae penuria premit. Erat in Clero Romano Pelagius Diaconus, Romam haud ita pridem cum magnis opibus reversus Byzantio: ubi diu moratus, in Iustiniani Aug. amicitiam sese penitus insinuaverat. Obsessa urbe, maximam pecuniae partem largitus inopibus, sua illa benignitate, ad pristinum nominis splendorem, quem apud Italos omnes obtinuerat, meritam adiecit cumulum. Romani, in summas angustias adducti fame, huic Pelagio persuadent, ut Totilam adeat, et

τε εἶναι καὶ ἡμερῶν ὀλίγων τινῶν ἐκεχειρίαν διαπράξασθαι σφίσιν, ἐφ' ᾧ, ἢν μή τις αὐτοῖς ἐπικουρία ταύτης δὴ ἐντὸς τῆς ἐκεχειρίας ἐκ Βυζαντίου ἀφίκηται, σφᾶς τε αὐτοὺς ὁμολογίᾳ καὶ τὴν V 135
πόλιν Γότθοις ἐνδώσουσιν. ἐπὶ ταύτῃ δὴ τῇ πρεσβείᾳ Πελάγιος
παρὰ Τωτίλαν ἦλθεν. ἥκοντά τε αὐτὸν ὁ Τωτίλας ἀσπασάμε- D
νος αἰδοῖ τε καὶ φιλοφροσύνῃ πολλῇ πρῶτος ἔλεξεν ὧδε

„Πᾶσι μέν, ὡς ἐπὶ πλεῖστον εἰπεῖν, νόμος βαρβάροις τὸ χρῆμα τῶν πρέσβεων σέβειν, ἐμοὶ δὲ τοὺς τῆς ἀρετῆς τι μεταποιουμένους, οἷος αὐτὸς εἶ, καὶ ἄλλως τιμᾶν ἐν σπουδῇ ἄνωθεν γέγονε. τιμὴν δὲ καὶ ὕβριν ἐς ἄνδρα πρεσβευτὴν οὐ πρᾳότητι προσώπων οὐδὲ ῥημάτων ὄγκῳ τῶν ὑποδεξαμένων διακεκρίσθαι οἶμαι, ἀλλ' ἔν γε τῷ ἀληθίζεσθαι ἢ λόγοις οὐχ ὑγιαίνουσιν ἐς αὐτὸν χρῆσθαι. τετιμῆσθαι μὲν γὰρ διαφερόντως ἐκείνῳ ξυμβαίνει, ὅτῳ ἂν ἐκ τοῦ εὐθέος ἀποκαλύψαντες τὸν ἀληθῆ λόγον, οὕτω τὸν ἄνθρωπον ἀποπέμποιντο, περιυβρίσθαι δὲ πάντων μάλιστα τῷ πρεσβευτῇ τούτῳ, ὃς ἂν ὑπούλων τε καὶ ξυμπεπλα- P 502
σμένων ἀκούσας ῥημάτων ἀπιὼν οἴχοιτο. τριῶν τοίνυν ἐκτὸς, ὦ Πελάγιε, τῶν ἄλλων ἁπάντων, ὅτου ἂν δεηθείης, οὐ μή ποτε πρὸς ἡμῶν ἀτυχήσεις. ἃ δὴ φυλασσόμενόν σε σιωπᾶν ἄμεινον, ὅπως μὴ σαυτῷ αἰτιώτατος γεγονὼς τοῦ μηδὲν ἀνύειν ὧν ἕνεκα ἦλθες τὴν ὑπὲρ αὐτῶν μέμψιν ἡμῖν ἀναθήσεις. τῷ γὰρ μὴ ἐπιτηδείως τοῖς παροῦσιν αἰτεῖσθαι τὸ μηδὲν κατορθοῦν ἐκ τοῦ ἐπὶ

5. παρὰ] ἐπὶ L. *ibid.* αὐτὸν] αὐτὴν L. αὐτὸν Lm. 13. ξυμβαίνει] συμβαίνει L. 14. ὅτῳ] οὕτω L. *ibid.* εὐθέος] Vulgo εὐθέως. 15. οὕτω] ὄντα L. *ibid.* περιυβρίσθαι Vat. Vulgo περιυβρίζεσθαι. 19. ἀτυχήσεις L. ἀτυχήσης HP. *ibid.* ἃ Reg. ὧν P. 21. τῷ γὰρ] τὸ γὰρ L: illud Lm.

paucorum dierum inducias ea conditione paciscatur, ut, si intra id tempus Byzantio subsidii nihil acceperint, secum urbem Gothis permittant. Eam gessit Pelagius legationem ad Totilam: qui venientem honorifice et perbenigne amplexus, prior ita exorsus est.

Mos quidem est Barbaris fere omnibus honore Legatos afficere: ego vero praeterea ab ineunte aetate studui viros virtute praeditos, qualis ipse es, in primis colere et venerari. Reverentiam autem et contumeliam in Legatum non positam esse iudico in sola vultus benignitate, vel arrogantibus eorum verbis, qui illos exceperint: sed in oratione plena veri, aut rursus inani mendacique. Etenim cum illo perhonorifice agitur, cui nuda proposita veritate redeundi potestas fit: contra indignissime habetur Legatus, qui auditis fallaciis figmentisque revertitur. At tu, Pelagi, a nobis quidquid petieris consequere. praeterquam tria: quae tibi silentio provido transire praestat, ne cum frustratio consilii, quo huc venisti, ex te maxime nata fuerit, in nos culpam convertas. Aliena enim a statu, in

πλεῖστον ἐμπέφυκε. λέγω δέ, ὅπως μήτε Σικελιωτῶν τινος ἕνεκα μήτε τῶν Ῥώμης περιβόλων, ἢ τῶν προσκεχωρηκότων ἡμῖν οἰ-
B κετῶν, τοὺς λόγους ποιήσεις. οὐ γὰρ οἷόν τέ ἐστιν ἢ Γότθους ἐς Σικελιωτῶν τινα χαρίσεσθαι, ἢ τόδε τὸ τεῖχος ἑστάναι, ἢ δούλους τοὺς ξὺν ἡμῖν στρατευσαμένους τοῖς πάλαι κεκτημένοις δουλεύειν. τοῦ δὲ μὴ δοκεῖν ἀλογίστῳ ταῦτα προτείνεσθαι γνώμῃ τῷ τὰς αἰτίας αὐτίκα ἐξειπεῖν τὴν ὑποψίαν ἐκλύσωμεν. ἦν μὲν ἡ νῆσος εὐδαίμων ἐκ παλαιοῦ χρημάτων προσόδῳ καὶ καρπῶν ἀφθονίᾳ τῶν ἐκεῖ φυομένων πασῶν μάλιστα, ὥστε οὐ τοῖς αὐτὴν ἐνοικοῦσιν ἐπαρκεῖν μόνον, ἀλλὰ καὶ τοὺς Ῥωμαίους ὑμᾶς ἐνθένδε εἰσκομιζομένους ἀνὰ πᾶν ἔτος τὴν τῶν ἐπιτηδείων εἰσφορὰν διαρκῶς ἔχειν. διόπερ κατ' ἀρχὰς ἐδέοντο Θευδερίχου Ῥωμαῖοι μὴ πολλῶν ἐνταῦθα Γότθων καταστῆναι φρουράν, ὡς μηδὲν αὐτῶν τῇ ἐλευθερίᾳ ἢ τῇ ἄλλῃ εὐδαιμονίᾳ ἐμπόδιον εἴη.
C τούτων δὲ τοιούτων ὄντων κατέπλευσεν ἐς Σικελίαν ὁ τῶν πολεμίων στρατὸς, οὔτε ἀνδρῶν πλήθει οὔτε ἄλλῳ τῶν πάντων οὐδενὶ ἀξιόμαχοι πρὸς ἡμᾶς ὄντες. Σικελιῶται δὲ τὸν στόλον ἰδόντες οὐκ ἐς Γότθους ταῦτα ἀνήνεγκαν, οὐκ ἐν τοῖς ὀχυρώμασιν καθεῖρξαν αὐτοὺς, οὐκ ἄλλο προσκρούειν τοῖς ἐναντίοις οὐδὲν

4. ἐς σικελιωτῶν τινα Vat. L. ἐκ σικελιωτῶν τινὶ HP. *ibid.* χαρίσεσθαι] χρήσεσθαι Vat. L. τι χαρίζεσθαι Lm. τι χαρίσεσθαι ex Reg. affert Maltretus *Quandoquidem fieri non potest ut aut Gothorum opera uti pro Siculis queas, aut* — Pers. 6. δὲ μὴ] μὴ δὲ H. δὲ μὴ Hm. 7. ὑποψίαν] ὑπεροψίαν L. *ibid.* ἐκλύσωμεν Vat. et L a pr. m. ἐκλύσομεν P. 11. εἰσκομιζομένους] εἰσκομιζόμενοι L a pr. m. *ibid.* εἰσφοράν] φορὰν L. 16. ἄλλῳ τῶν πάντων L. τῶν πάντων ἄλλῳ P. Cum L consentit Suidas s. v. ἀξιόμαχος, nisi quod ἁπάντων praebet. 19. αὐτοὺς L. αὐτοὺς P.

quo sis, postulatio, irrita solet esse. Edico scilicet, ne vel Siculi cuiusquam causa, vel murorum Romae, vel servorum, qui ad nos se contulerunt, me interpelles. Nam nec Siculo cuiquam Gotthi ignoscere, nec stare hi muri, nec servi, qui nobis militant, pristinis dominis servire possunt. Ac ne videantur haec a nobis profer. temere, statim subiiciendo causas, suspicionem expurgabimus. Fuit insula illa iam inde olim fortunatissima cum proventu pecuniae, tum frugum, quas parit, copia: ita ut non suos modo incolas benigne alat, sed vos etiam Romani annonam inde, quanta opus est, quotannis exportetis. Quamobrem Romani Theodericum ipso initio rogarunt, insulae frequens Gotthorum praesidium imponere nollet, ne ipsorum libertati felicitatique officeret. Eo loci res erat, quando hostilis exercitus in Siciliam appulit, numero rebusque omnibus nobis impar. Siculi, conspecta classe, non id Gotthis renuntiarunt, non se commiserunt munitionibus, non hostem propellere decreverunt, sed promptissime patefactis urbium portis, inimicas nobis copias porrectis manibus acceperunt; iamdiu,

ἔγνωσαν, ἀλλ' ἀναπετάσαντες προθυμίᾳ τῇ πάσῃ τὰς τῶν πόλεων πύλας ἐδέξαντο ὑπτίαις χερσὶ τὸν τῶν πολεμίων στρατὸν, ὥσπερ, οἶμαι, τὰ τῶν ἀνδραπόδων ἀπιστότατα, ἐκ χρόνου καιροφυλακοῦντες πολλοῦ δραπετεῦσαι μὲν τῆς τῶν κεκτημένων χειρὸς, νέους δέ τινας καὶ ἀγνῶτας αὐτοῖς δεσπότας εὑρεῖν. ἐντεῦθέν τε ὁρμώμενοι καθάπερ ἐξ ἐπιτειχίσματος οἱ πολέμιοι τήν τε ἄλλην Ἰταλίαν ἀπονητὶ ἔσχον καὶ Ῥώμην τήνδε κατέλαβον, σῖτον ἐκ Σικελίας ἐπαγόμενοι τοσοῦτον τὸ πλῆθος, ὥστε πολιορκουμένοις ἐς ἐνιαυτοῦ μῆκος ἀντέχειν ξύμπασι Ῥωμαίοις. τὰ μὲν οὖν Σικελιωτῶν τοιαῦτά ἐστιν, ὧνπερ αὐτοῖς Γότθους ξυγγνώμονας εἶναι οὐδεμία μηχανὴ ἔσται, τοῦ τῶν ἐγκλημάτων ὄγκου παραιρουμένου τοῖς ἠδικηκόσι τὸν ἔλεον. τούτων δὲ τῶν περιβόλων ἐντὸς καθείρξαντες αὐτοὺς οἱ πολέμιοι ἐς μὲν τὸ πεδίον καταβαίνοντες παρατάσσεσθαι ἡμῖν οὐδαμῇ ἔγνωσαν, σοφίσμασι δὲ καὶ παραγωγαῖς ἀεί τε καὶ καθ' ἡμέραν Γότθους ἐκκρούοντες κύριοι τῶν ἡμετέρων ἐκ τοῦ παραλόγου γεγένηνται. ὅπως τοίνυν καὶ ὕστερον μὴ ταῦτα πάθοιμεν προνοεῖν ἄξιον. τοὺς γὰρ ἅπαξ ἀγνοίᾳ σφαλέντας ἐς τὴν αὐτὴν αὖθις ἐκπεπτωκέναι κακοπραγίαν οὐ προειδομένους τὴν ἀπὸ τῆς πείρας ἤδη ξυνειθισμένην αὐτοῖς ξυμφορὰν οὐ τύχης ἐναντίωμα γεγενῆσθαι δοκεῖ, ἀλλ' ἐς ἄνοιαν τῶν ἐπαικότων, ὡς τὸ εἰκὸς, περιίστασθαι. προσθείη δ' ἄν τις ὡς καὶ τὸν Ῥώμης καθαιρεθῆναι περίβολον

H 280
D
P 503

10. Σικελιωτῶν] σικελιώταις H. *ibid.* ξυγγνώμονας L. συγγνώμονος P. 12. ἔλεον] ἔλαιον H. ἔλεον Hm. 13. αὐτοὺς] αὐτοὺς P. 15. παραγωγαῖς L. περιαγωγαῖς P. 17. τοίνυν] τε νῦν Lm. 18. αὐτὴν om. L. 19. ξυνειθισμένην αὐτοῖς ξυμφορὰν] συνειθισμένην αὐτοῖς συμφορὰν L. 20. ἐναντίωμα] ἐναντιώματα L.

infidelissimorum mancipiorum ritu, aucupati, ut opinor, occasionem evadendi fuga ex herili manu, et novos ignotosque sibi dominos nanciscendi. Inde hostes, tanquam ex propugnaculo, erumpentes, universam labore nullo occuparunt Italiam, et hac potiti urbe, tantum ex Sicilia advexerunt frumenti numerum, ut Romanis omnibus anno integro, quo obsessi fuere, sufficerit. Hactenus de Siculis: quibus Gothi nullo pacto veniam dabunt, scelerum gravitate omnem a sontibus avertente misericordiam. His vero hostes inclusi moenibus, nunquam descendere voluerunt in campum, neque aciem nobis opponere: verum quotidianis dolis et circumductionibus Gothos extrahendo, praeter opinionem res habent nostras in sua potestate. Haec ne in posterum patiamur, providendum est. Nam qui in fraudem semel per errorem incurrerint, si in eamdem incidant, non praeviso malo, quod iam usu compertum habuerint, non id adversae fortunae casu videtur factum, sed eorum, qui lapsi sunt, imprudentia, ut par est, ascribitur. Accedit quod murorum Romae excisio vobis maxime utilis futura sit.

μάλιστα πάντων ὑμῖν ξυνοίσει. οὐδέτεροι γὰρ τὸ λοιπὸν καθειργμένοι, πάντων τε ἀποκεκλεισμένοι τῶν ἀναγκαίων, πολιορκη-
V 136 θήσονται πρὸς τῶν ἐπιόντων, ἀλλὰ κινδυνεύσουσι μὲν τῇ μάχῃ πρὸς ἀλλήλους ἑκάτεροι, ἄθλον δὲ τῶν νικώντων ὑμεῖς οὐ μετὰ κινδύνων ὑμετέρων γενήσεσθε. τῶν μέντοι προσκεχωρηκότων ἡμῖν οἰκετῶν ἕνεκα τοσαῦτα ἐροῦμεν, ὡς, ἥνπερ ἐκείνους ξυν-
B ταξαμένους τε ἡμῖν ἐπὶ τοὺς ἐναντίους καὶ παρ' ἡμῶν τὴν ὁμολογίαν κεκομισμένους τοῦ μή ποτε αὐτοὺς τοῖς πάλαι κεκτημένοις προήσεσθαι τὰ νῦν ἐγχειρίσαι ὑμῖν γνοίημεν, οὐδὲ πρὸς ὑμᾶς τὸ πιστὸν ἔξομεν. οὐ γὰρ ἔστιν, οὐκ ἔστι, τὸν τῶν ξυγκειμένων ἐς τοὺς ἁπάντων οἰκτροτάτους ὀλιγωροῦντα βέβαιον ἐς τῶν ἄλλων τινὰ τὴν αὑτοῦ γνώμην ἐνδείκνυσθαι, ἀλλ' ὥσπερ τῆς φύσεως ἄλλο τι γνώρισμα ἐς πάντας τοὺς αὐτῷ ξυμβάλλοντας τὴν ἀπιστίαν ἀεὶ περιφέρειν φιλεῖ."

C Τωτίλας μὲν τοσαῦτα εἶπε, Πελάγιος δὲ ἀμείβεται ὧδε „Κατεσπουδάσθαι σοι μάλιστα πάντων ἐμέ τε, ὦ γενναῖε, καὶ τὸ τῆς πρεσβείας ὑπεισιὸν ὄνομα ἐν μοίρᾳ ἡμᾶς τῇ ἀτιμοτάτῃ ξυνέταξας. ὑβρίζειν γὰρ εἰς ἄνδρα φίλον τε καὶ πρεσβευτὴν

1. ξυνοίσει] ξυνοίσειν L a pr. m. *ibid.* οὐδέτεροι P et Scaliger. οὐ μεθ' ἑτέρων H. οὐδὲ μεθ' ἑτέρων L. 2. ἀναγκαίων] ἐναντίων L: illud Lm. *ibid.* πολιορκηθήσονται P et Scaliger. πολιορκηθήσεσθαι HL. „Forsan πολιορκηθήσεσθε." MALT. 3. κινδυνεύσουσι] κινδυνεύουσι HL. 4. ἄθλον] ἆθλον L. ἆθλα δὲ ἔσονται Lm. *ibid.* ὑμεῖς — προσκεχωρηκότων om. L: in marg. τῶν δὲ προσφυγόντων, quae Scaligeri coniectura est lacunam explentis. 6. ἥνπερ] εἶπερ L. 7. τε om. L. *ibid.* ἡμῖν] ὑμῖν L. ἡμῖν Lm. 8. αὐτοὺς] αὐτοῖς L a pr. m. 9. προήσεσθαι L. προέσθαι HP. *ibid.* ἐγχειρίσαι] ἐγχειρίσειν Reg. *ibid.* ὑμῖν] ἡμῖν L. *ibid.* ὑμᾶς] ἡμᾶς L. ὑμᾶς Lm 10. τὸν τῶν] τὸ τῶν L. 11. ἐς] εἰς L. *ibid.* βέβαιον Hm. βεβαίαν HP. „Leg. βέβαιον." MALT. Ex Reg., ut videtur. 14. φιλεῖ] φιλεῖν L a pr. m. 18. ξυνέταξας] συνέταξας L. *ibid.* ὑβρίζειν L. ὑβρίζει P. *ibid.* γὰρ om. L.

Neutri enim deinceps consepti, et commeatibus omnibus intercluси, ab aggressoribus obsidebuntur: sed utrique inter se acie decernent, et vos aerumnosis illis periculis expediti, in praemium cedetis victoribus. Quod ad servos attinet, qui ad nos concesserunt, hoc unum dicemus: si illos, qui nostrae ascripti militiae, a nobis fidem acceperunt, nunquam se pristinis dominis proditum iri, in manus vobis tradamus modo, profecto nec vobis fidem praestabimus. Non potest enim ita sane, non potest fieri, ut qui pactionem cum omnium miserrimis factam violat, fidem erga alium quemquam constantem probet: sed apud omnes, quibuscum contrahit, perfidiam, veluti perpetuam ingenii sui notam, circumfert.

In hunc modum locuto Totilae Pelagius ita respondit. *Posteaquam dixisti, praeclare vir, et me et Legati nomen apud te valere plurimum, nos indignissime habuisti. Amico enim et Legato dedecus imprimit non*

ἔγωγε οἶμαι οὐχ ὃς ἂν κατὰ κόρρης πατάξας καὶ τῇ ἄλλῃ ἀσελγείᾳ ἐς αὐτὸν χρήσαιτο, ἀλλ' ὃς ἂν ἀπρακτον ἀποπέμψασθαι τὸν ἐς αὐτὸν ἥκοντα γνοίη. οὐ γὰρ ὅπως τιμῆς πρὸς τῶν ὑποδεξαμένων τινὸς τύχωσι, καθεῖναι αὐτοὺς ἐς τὴν πρεσβείαν εἰώθασιν ἄνθρωποι, ἀλλ' ὅπως τι ἀγαθὸν διαπεπραγμένοι τοῖς ἐσταλκόσιν ἐς αὐτοὺς ἐπανήξωσιν. ὥστε προπηλακισθέντας ξυνοίσει μᾶλλον διαπεπρᾶχθαί τι ὧν ἕνεκα ἦλθον ἢ λόγων ἐπιεικεστέρων ἀκούσαντας τῆς ἐλπίδος ἀποτυχόντας ἐπανελθεῖν. παραιτεῖσθαι μὲν οὖν οὐκ οἶδα ὅ τι δεῖ περὶ τούτων ὧν αὐτὸς εἴρηκας. τί γὰρ ἄν τις ἐνοχλοίη τόν γε πρὸ τῆς ἀπολογίας ἀπεπόντα τὴν ξύμβασιν; ἐκεῖνο δὲ οὐκ ἂν σιωπήσαιμι, ὡς ἔνδηλος εἰ ὁπόσην ἐς Ῥωμαίους τοὺς σοὶ ὅπλα ἀντάραντας φιλανθρωπίαν ἐνδείκνυσθαι μέλλεις, ὃς ἐς Σικελιώτας τοὺς οὐδαμῇ σοι ἀπηντηκότας ἀκήρυκτον τὸ ἔχθος ἐξενεγκεῖν ἔγνως. ἀλλ' ἔγωγε μεθεὶς τὴν πρὸς σὲ δέησιν τὴν πρεσβείαν ἐς τὸν θεὸν μεταθήσομαι, ὃς δὴ τοῖς τὰς ἱκετείας ὑπερφρονοῦσι νεμεσᾶν εἴωθε."

ιζ'. Τοσαῦτα εἰπὼν ὁ Πελάγιος ἀπηλλάσσετο. καὶ αὐτὸν Ῥωμαῖοι ἐπεὶ ἄπρακτον ἐπανήκοντα εἶδον, ἐν πολλῇ ἀμηχανίᾳ ἐγένοντο. ἔτι τε μᾶλλον ἀκμάζων ὁ λιμὸς ἡμέρᾳ ἑκάστῃ ἀνήκεστα αὐτοὺς ἔργα εἰργάζετο. τοὺς μέντοι στρατιώτας οὔπω τὰ ἀναγκαῖα ἐπελελοίπει, ἀλλ' ἔτι ἀντεῖχον. διὸ δὴ ἀθρόοι Ῥωμαῖοι γενόμενοι καὶ τοῖς τοῦ βασιλέως στρατοῦ ἄρχουσι, Βέσσᾳ P 504

1 οὐχ ὃς ἄν] οὐχ ὅσα L. οὐχ ὃς Lm. 6. ἐπανήξωσιν] ἐπανήξουσιν L a pr. m. 8. ἐπανελθεῖν] ἀνελθεῖν H. 9. ὅ τι L. εἴ τί γε P. ibid. δεῖ] δὴ L. 17. αὐτὸν] τὸν L. 19. μᾶλλον] μέλλων L: illud Lm. 20 αὐτοὺς L. αὐτοῖς P.

is, meo quidem iudicio, qui illi infringit colaphum, petulantiusque illudit, sed qui ipsum remittit, nihil sua adeptum opera. Neque enim homines oratorum munus suscipere solent, ut ab illis, qui ipsos admiserint, tractentur splendide, verum ut ad eos, a quibus legationem acceperint, redeant, aliquid his utile pacto convento consecuti. Quare satius est ludibrio habitos, rei, cuius gratia venerint, partem confecisse; quam auditis blandioribus verbis, spei irritos reverti. Iam si quid eorum, quae excepisti, sit nobis opus, nolim id a te petere. Quorsum enim cum quis interpellet, qui compositionem praecidit, inaudita defensione? Neque illud tacuerim, patere satis, quam benignum te praebiturus sis Romanis, in te arma ausis tollere; qui in Siculos, nusquam tibi adversatos, implacabile odium patefacere constitueris. Ego vero omisso rogandi tui consilio, legationem ad Deum convertam: cui indignationem movere solent tumidi supplicum contemptores.

17 His dictis, abiit Pelagius: quem ut Romani re infecta redeuntem viderunt, graviori coeperunt aestuare dubitatione. Illos misere perdebat ingravescens in dies fames: milites cibariis nondum defecti, se sustentabant. Quocirca Romani, facto agmine, Caesarianos Duces, Bes-

τε καὶ Κώνωνι, προσελθόντες, δεδακρυμένοι ξὺν οἰμωγῇ πολλῇ
ἔλεξαν τοιάδε „Τοιαύτας μὲν οὔσας, ὦ στρατηγοὶ, τύχας ἡμῖν
τὰς παρούσας ὁρῶμεν, ὥστε εἰ καί τι δρᾶν ὑμᾶς ἀνόσιον ἔργον
B ἰσχύομεν, οὐκ ἄν τινα ἡμῖν τὸ ἔγκλημα τοῦτο μέμψιν ἐπήνεγκεν.
ἡ γὰρ τῆς ἀνάγκης ὑπερβολὴ τὴν ἀπολογίαν ἐφ' ἑαυτῆς ἔχει. νῦν
H 281 δὲ ἀμύνειν ἔργῳ ἡμῖν αὐτοῖς οὐχ οἷοί τε ὄντες, δηλώσοντές τε
λόγῳ καὶ ἀποκλαύσοντες τὴν ξυμφορὰν παρ' ὑμᾶς ἥκομεν· ὅπως
δὲ ἀκούσεσθε ῥᾳδίως, οὐ ξυνταρασσόμενοι τῷ τῶν λόγων θράσει,
ἀλλὰ τῇ τοῦ πάθους ἀκμῇ τοῦτο σταθμώμενοι. ὁ γὰρ ἀπογνῶ-
ναι τὴν σωτηρίαν ἠναγκασμένος οὐκ ἔργοις, οὐ ῥήμασι τὴν εὐ-
κοσμίαν διασώσασθαι τὸ λοιπὸν δύναται. ἡμᾶς, ὦ στρατηγοὶ,
μήτε Ῥωμαίους μήτε ξυγγενεῖς ὑμῖν νομίζετε εἶναι, μηδὲ ὁμοτρό-
C πους τοῖς τῆς πολιτείας ἤθεσι γεγονέναι, μηδὲ ἀρχὴν ἐκόντας τῇ
πόλει τὸν βασιλέως δέχεσθαι στρατὸν, ἀλλὰ πολεμίους τὸ ἐξ ἀρ-
χῆς ὄντας καὶ ὅπλα ἐφ' ὑμῖν ἀρομένους, εἶτα ἡσσηθέντας τῇ μά-
χῃ, ἀνδράποδα δοριάλωτα ὑμῶν αὐτῶν κατά γε τὸν τοῦ πολέμου
γενέσθαι νόμον. καὶ χορηγεῖτε τοῖς ὑμετέροις αἰχμαλώτοις τρο-
φὴν οὐκ ἀρκοῦσαν, οὐδὲ κατὰ τὴν χρείαν ἡμῖν ἀποχρῶσαν, ἀλλ'
ὡς γε ἀποζῆν διαρκῶς ἔχουσιν, ὅπως δὴ καὶ ἡμεῖς περιόντες ἀν-
θυπουργήσωμεν ὑμῖν ὅσα τυὺς οἰκέτας τοῖς κεκτημένοις ὑπηρε-
V 137 τεῖν ἄξιον. εἰ δὲ τοῦτο οὐ ῥᾴδιον ἢ οὐ βουλομένοις ὑμῖν, ἀλλ'

8. ὑμᾶς] ἡμᾶς L. 8. ἀκούσεσθε] ἀκούσησθε Reg. 9. τῇ — ἀκμῇ] τὴν — ἀκμὴν L. 14. τὸν βασιλέως] τοῦ βασιλέως L. 15. ἡσσηθέντας] εἰθισθέντες L: illud Lm. 16. δοριάλωτα] δορυάλωτα P. 19. ἔχουσιν] ἔχουσαν HL. 21. ἢ οὐ L a m. sec. ἢ HP.

sem et Cononem, conveniunt, ac multo cum gemitu lacrimabundi hanc habent orationem. *Nos eo miseriae devenisse iam cernimus, o Duces, ut si quid gravius in vos forte committeremus, nihil esset, cur in culpam vocaremur; extrema necessitate optimam secum afferente excusationem. Nunc, quando re et facto adesse nobis ipsi non possumus, vos adimus; quo verbis calamitatem exponamus nostram ac deflcamus. Videte ut benigne audiatis, nec vos offendat orationis audacia, perpensa nostri doloris vi. Nam qui desperare saluti cogitur, in factis dictisque retinere modum nescit. Existimate, si vultis, Duces, nos nec Romanos esse, neque unius vobiscum generis, neque institutis civilibus iisdem uti, nec sponte in urbem accepisse primas Imperatoris copias: sed hostes a principio fuisse, et armis in vos sumptis, praelio victos, mancipia ventra iure belli evasisse. Vestris igitur captivis praebete alimenta, si minus vitae communi paria, et quae ipsi bene sufficiant, at certe quantum satis est ad virtitandum, ut superstites rependamus vobis obsequium, quantumcumque servi praestare dominis debent. Si volentibus vobis est id factu difficile, nos manumittendos putate, ut laborem tumulandi servos lucrifaciatis. Quod ipsum si mi-*

ἀφεῖναι ἡμᾶς τῆς ὑμετέρας δικαιοῦτε χειρὸς, ἐκεῖνο κερδανοῦντες, τὸ μὴ περὶ τὰς τῶν δούλων πονεῖσθαι ταφάς· ἢν δὲ μηδὲ τοῦτο ἡμῖν ἀπολέλειπται, ἀποκτιννύναι ἡμᾶς ἀξιοῦτε καὶ μὴ ἀποστερήσητε τελευτῆς σώφρονος μηδὲ θανάτου φθονήσητε τοῦ πάντων ἡδίστου, ἀλλὰ πρόξει μιᾷ Ῥωμαίους ἀπαλλάξατε μυρίων δυσκόλων." ταῦτα οἱ ἀμφὶ Βέσσαν ἀκούσαντες τὸ μὲν τὰ ἐπιτήδεια χορηγεῖν σφίσιν ἀδύνατον, τὸ δὲ ἀποκτιννύναι ἀνόσιον ἔφασαν εἶναι, οὐ μέντοι οὐδὲ τὸ ἀφεῖναι ἀκίνδυνον. Βελισάριον δὲ καὶ τὸν ἐκ Βυζαντίου στρατὸν αὐτίκα δὴ μάλα παρέσεσθαι ἰσχυρίσαντο, ταύτῃ τε αὐτοὺς παρηγορήσαντες ἀπεπέμψαντο.

Ὁ δὲ λιμὸς ἔτι μᾶλλον ἀκμάζων τε καὶ μηκυνόμενος ἐπὶ μέγα κακοῦ ἤρετο, βρώσεις ὑποβάλλων ἐκτόπους τε καὶ τῆς φύσεως ὑπερορίους. τὰ μὲν οὖν πρῶτα Βέσσας τε καὶ Κώνων, οἵπερ τοῦ ἐν Ῥώμῃ φυλακτηρίου ἦρχον (σίτου γὰρ πολύ τι μέτρον ἐντὸς τοῦ Ῥώμης περιβόλου ἐναποθέμενοι σφίσιν ἔτυχον) καὶ οἱ στρατιῶται χρείας τῆς οἰκείας ἀποτεμνόμενοι ἀπεδίδοντο Ῥωμαίων τοῖς εὖ πράσσουσι χρημάτων μεγάλων· μεδίμνου μὲν γὰρ τιμὴ ἑπτὰ ἐγεγόνει χρυσοῦ. οἷς μέντοι οὐχ οὕτω τὰ κατὰ τὴν οἰκίαν ἐφέρετο, ὥστε βρώσεως ἐς τόσον ἀξιωτέρας μεταλαγχάνειν ἱκανοῖς εἶναι, οἵδε τῆς τιμῆς τὸ τεταρτημόριον κατατιθέντες πιτύρων τε τὸ μέδιμνον ἐμπλησάμενοι ἥσθιον, τῆς ἀνάγκης αὐτοῖς ἡδίστην τε καὶ τρυφερωτάτην ποιούσης τὴν βρῶσιν. καὶ βοῦν δὲ, ὃν ἂν ἐπεξιόντες οἱ Βέσσα ὑπασπισταὶ λάβοιεν, ἀπεδίδοντο Ῥωμαίοις πεντήκοντα χρυσῶν. ὅτῳ δὲ ἵππος τεθνεὼς ἢ ἄλλο τι

5. Ῥωμαίους — δυσκόλων] μυρίων ἀπαλλάξηται (ἀπαλλάξατε Lm) ῥωμαίους δυσκόλων Lm. 20. οἵδε] οἱ δὲ HL. 24. Ῥωμαίοις] κατὰ L.

nime nobis relinquitur, petimus saltem interficere nos digneminí: honestum vitae exitum date nobis, nec mortem rerum omnium suavissimam invidete: sed uno actu Romanos ab innumeris molestiis vindicate. Bessas, his auditis, respondit, cibaria se praebere non posse; occidere, esse impium; dimittere, periculosum. Belisarium et Byzantio missum exercitum propediem affore asseveravit, itaque eos consolatus, remisit.

Interea fames, longa mora invalescens, in magnum malum evadebat, cibos suggerens a communi usu, naturaque hominum abhorrentes. Ac primum Bessas et Conon, qui praesidio Romano praeerant, frumentum, quod intra muros Romae recondiderant affatim; milites etiam quod detrahebant de suo victu, Romanis divitibus multa pecunia vendebant: medimnus enim frumenti septem constabat aureis. Quibus res domi non erat adeo ampla, ut sese alere tam care possent, hi plenum furfuris medimnum quarta illius pretii parte mercati, eo vesçebantur. necessitate cibum eiusmodi delicatissime condiente Bessae Scutari bovem, quem urbe egressi ceperant, Romanis vendiderunt aureis L. Si cui Romano mor-

τοιοῦτον ὑπῆρχεν, ἐν τοῖς ἄγαν εὐδαίμοσιν ὁ Ῥωμαῖος οὗτος ἐτάσσετο, ὅτι δὴ κρέασι ζῴου τεθνηκότος ἐντραγεῖν εἶχεν. ὁ δὲ δὴ ἄλλος ἅπας δμιλος τὰς ἀκαλήφας μόνας ἤσθιον, οἷαι πολλαὶ ἀμφὶ τὸν περίβολον κἀν τοῖς ἐρειπίοις πανταχῇ τῆς πόλεως φύονται. ὅπως δὲ αὐτοῖς μὴ τὸ τῆς πόας δριμὺ τά τε χείλη καὶ τὰ ἀμφὶ τὸν φάρυγγα δάκῃ οὐ παρέργως αὐτὰς ἕψοντες ἤσθιον. ἕως μὲν οὖν Ῥωμαῖοι τὸ τοῦ χρυσοῦ νόμισμα εἶχον, οὕτως, ὥσπερ ἐρρήθη, τὸν σῖτον καὶ τὰ πίτυρα ὠνοίμενοι ἀπηλλάσσοντο· ἐπεὶ C δὲ τοῦτο αὐτοὺς ἤδη ἐπελελοίπει, οἱ δὲ φέροντες ἐς τὴν ἀγορὰν τὰ ἔπιπλα πάντα βίον αὐτῶν τὸν ἐφήμερον ἀντηλλάσσοντο. τελευτῶντες δὲ, ἐπεὶ οὔτε οἱ τοῦ βασιλέως στρατιῶται σῖτον ἔτι, ὅνπερ καὶ Ῥωμαίοις ἀπόδωνται εἶχον, πλήν γε δὴ ὅτι τῷ Βέσσᾳ ὀλίγος ἔτι ἐλέλειπτο, οὔτε Ῥωμαῖοι ὅτου ὠνοῦντο, ἐς τὰς ἀκαλήφας ἅπαντες ἔβλεπον. ταύτης δὲ αὐτοῖς οὐ διαρκούσης τῆς βρώσεως, οἵ γε οὐδὲ αὐτῆς ἐς κόρον ἰέναι παντάπασιν εἶχον, ἐξίτηλοι μὲν αἱ σάρκες αὐτοῖς ἐκ τοῦ ἐπὶ πλεῖστον ἐγίνοντο. τὸ δὲ χρῶμα ἐς τὸ πελιδνὸν κατὰ βραχὺ ἦκον εἰδώλοις αὐτοὺς ἐμφερεστάτους εἰργάζετο. πολλοί τε βαδίζοντες ἔτι καὶ τῶν ὀδόντων αὐτοῖς μασωμένων τὰς ἀκαλήφας, ἔθνησκόν τε ἐκ τοῦ αἰφνιδίου D καὶ ἐς γῆν ἔπιπτον. ἤδη δὲ καὶ ἀλλήλων τὴν κόπρον ἤσθιον.

2. ὅτι] ὅστις Lm. 3. δὴ ἄλλος L. διόλου HP. 6. δάκῃ Reg. δάκνηται P. 8. ἐρρήθη] ἐρρέθη L. 9. οἱ δὲ H. οἵδε HmP. 10. αὐτῶν τὸν L αυτοις. omisso τὸν, HP. 11. στρατιῶται L. στρατοῦ P. 12. ἀπόδωνται Vat. ἀπίδονται HP. απέδοντο L. ἀποδοῖντο Lm. 14. οὐ διαρκούσης] ἐνδιαρκούσης L. 15. οἵ γε L. ἐπεί γε P. 16. αὐτῆς] αὐτοῖς H; illud Hm. Om. L. 19. μασωμένων] μασσωμένων L. μασσαμένων HP.

tuus equus, aliudve quidpiam suppeditabat, is inter felicissimos numerabatur, quod carnibus extinctae pecudis curare genium posset. Vulgus omne nihil edebat aliud, nisi urticas, quae passim circa urbis moenia atque in ruderibus copiosissime nascuntur. Ac ne labra faucesque lacerarent herbae asperitas, eas optime coctas manducabant. Ita quidem, ut dictum est, Romani, frumento furfureque emptis, reversi domum vitam trahebant, quamdiu aureos habuerunt: his vero deficientibus, permutatione supellectilis universae, quam ferebant in forum, diurnum sibi victum parabant. Denique, cum nec frumentum militibus Imperatoris suppeteret, quod Romanis divenderent, uno Bessa paululum habente reliquum, nec Romanis quicquam, quo emerent, superesset, cuncti ad urticas se converterunt. Cumque haec ipsa esca non sufficeret, neque ea famem explere possent, plerique exhaustis adductisque macie corporibus, et colore in luridum paulatim verso, spectris persimiles fiebant. Multi inter ambulandum, dum dentibus urticas conficerent, repente exanimes cadebant. Iam et stercore mutuo vescebantur, nec pauci violen-

πολλοί τε σφᾶς αὐτοὺς τῷ λιμῷ πιεζόμενοι διεχρήσαντο, ἐπεὶ οὐ- H 282
κέτι οὔτε κύνας οὔτε μῦς εὕρισκον οὔτε ἄλλο τι ζῷον ὅτῳ σιτί-
ζοιντο. ἦν δέ τις ἐνταῦθα Ῥωμαῖος ἀνήρ, πέντε παίδων πατήρ,
ὃν δὴ περιστάντες οἱ παῖδες καὶ τῆς ἐσθῆτος ἁπτόμενοι τροφὴν
ἔπραττον. ὁ δὲ οὔτε ἀνοιμώξας οὔτε ὅτι ξυνεταράχθη ἔνδηλος
γεγονὼς, ἀλλ' ἰσχυρότατα ἐν τῇ διανοίᾳ τὸ πάθος ὅλον ἀποκρυ-
ψάμενος, ἕπεσθαί οἱ τοὺς παῖδας ὡς δὴ τροφὴν ληψομένους ἐκέ-
λευεν. ἐπειδή τε ἐς τοῦ Τιβέριδος τὴν γέφυραν ἦλθε, δήσας ἐπὶ
τῷ προσώπῳ θολμάτιον, τούτῳ τε τοὺς ὀφθαλμοὺς καλυψάμε-
νος ἥλατο ἀπὸ τῆς γεφύρας ἐς τὸ Τιβέριδος ὕδωρ, θεωμένων τὰ
ὁρώμενα τῶν τε παίδων καὶ πάντων Ῥωμαίων, οἳ ταύτῃ ἦσαν. P 506
καὶ τὸ λοιπὸν οἱ τοῦ βασιλέως ἄρχοντες λαμβάνοντες χρήματα
ἕτερα μεθῆκαν Ῥωμαίους ὅσοις ἐνθένδε βουλομένοις ἦν ἀπαλλάσ-
σεσθαι. ὀλίγων τε ἀπολειμμένων ἐνταῦθα οἱ ἄλλοι ἅπαντες
ᾤχοντο φεύγοντες ὡς πη ἑκάστῳ δυνατὰ ἐγεγόνει. καὶ αὐτῶν οἱ
πλεῖστοι τῆς δυνάμεως καταμαρανθείσης αὐτοῖς τῷ λιμῷ ἤδη
πλέοντες ἢ ὁδῷ ἰόντες ἀπέθανον. πολλοὶ δὲ καὶ καταλειφθέντες
πρὸς τῶν πολεμίων ἐν τῇ ὁδῷ διεφθάρησαν. Ῥωμαίων μὲν οὖν
τῇ τε βουλῇ καὶ τῷ δήμῳ ἐκεχωρήκει ἐς τοῦτο ἡ τύχη.

ιη'. Ἐπεὶ δὲ τὸ ξὺν τῷ Ἰωάννῃ καὶ Ἰσαάκῃ στράτευμα ἐς B
Ἐπίδαμνόν τε ἀφίκετο καὶ Βελισαρίῳ ξυνέμιξεν, Ἰωάννης μὲν V 138
ἅπαντας, διαπορθμεύσας τὸν κόλπον, ἠξίου πεζῇ ἰόντας ξὺν

2. οὔτε — οὔτε — οὔτε] οὐδὲ ter P. 8. ἐπειδή τε] ἐπεὶ δὲ L.
9. καλυψάμενος] καλυπτόμενος Reg. 10. τὸ Τιβέριδος] τοῦ
τιβέριδος L. 11. τε om. L. 15. ἑκάστῳ δυνατὰ] ἕκαστος
δυνατὸς Reg. 18. οὖν om. L. 20. Ἐπεὶ] ἐπειδὴ H. ἐπεὶ Hm.
22. τὸν κόλπον, ἠξίου] ἠξίου τὸν κόλπον L. *ibid.* ξὺν om. L.

tas sibi manus inferebant, urgente fame: cum nec canes amplius reperirent, nec mures, neque aliud quodpiam animal, quo cibarentur. Romanus tum quidam erat, liberorum quinque pater. Hic illis circumfusis, et dapem succussa veste petentibus, non ingemiscens, nec turbatum prae se animum ferens, sed corde penitus premens dolorem, imperavit venirent secum, quasi escam accepturi. Ut venit ad pontem Tiberis, reducta ad vultum veste, eaque velatis oculis, de ponte in fluvium se praecipitem dedit, rem spectantibus filiis ac Romanis, quotquot aderant. Deinde Caesariani Duces, alia pro abitu expressa pecunia, Romanos omnes, quibus migrare placuit, dimiserunt. Paucis in urbe relictis, caeteri, quo cuique licuit, se proripuere. Plurimos, vigore corporis absumpto fame, in ipsa navigatione, vel terrestri itinere, mors oppressit: multi in via ab hostibus comprehensi caesique sunt. En quo fortuna Senatum populumque Romanum adduxerat.

18. Cum Ioannis et Isaacis copiae Epidamnum pervenissent, seque adiunxissent Belisario, Ioannes auctor erat, ut omnes traiecto sinu terrestri irent itinere, et quidquid incideret, coniuncte ferrent cum univer-

παντὶ τῷ στρατῷ κοινῇ τὰ προσπίπτοντα φέρειν. Βελισαρίῳ δὲ ἀξύμφορον τοῦτο ἔδοξεν εἶναι, ἀλλὰ πλέουσι μὲν αὐτοῖς ἐς τὰ ἀμφὶ Ῥώμην χωρία μᾶλλον ξυνοίσειν. πεζῇ γὰρ ἰοῦσι χρόνον τε σφίσι τετρίψεσθαι πλείω καί τι ὑπαντιάσειν ἴσως ἐμπόδιον· Ἰωάννην δὲ διά τε Καλαβρῶν καὶ τῶν ταύτῃ ἐθνῶν ἰόντα ἐξελά-
C σαι μὲν ὀλίγους κομιδῇ τοὺς ἐνταῦθα βαρβάρους ὄντας, ὑποχείρια δὲ ποιησάμενον τὰ ἐντὸς κόλπου Ἰονίου ξυμμῖξαι σφίσιν ἥκοντα ἐς τὰ ἀμφὶ Ῥώμην χωρία. οὗ δὴ καὶ αὐτὸς καταίρειν τῷ ἄλλῳ στρατῷ διενοεῖτο. ᾤετο γὰρ πικρότατα πολιορκουμένων Ῥωμαίων, καί τινα, ὡς γε τὸ εἰκὸς, βραχυτάτην τούτων τρι-
βὴν τὰ ἀνήκεστα λυμανεῖσθαι τοῖς πράγμασι. καὶ πλέουσι μὲν ἀνέμου τε σφίσιν ἐπιφόρου ἐπιπεσόντος πεμπταίοις ἐς τὸν τῶν Ῥωμαίων λιμένα καταίρειν δυνατὰ ἔσεσθαι, στρατῷ δὲ ἐκ Δρυοῦντος πεζῇ ἰοῦσιν οὐδ' ἂν τεσσαράκοντα ἡμερῶν γενέσθαι. ταῦ-
D τα Βελισάριος Ἰωάννῃ ἐπιστείλας παντὶ τῷ στόλῳ ἐνθένδε ἀπῆ-
ρε· πνεύματος δὲ σκληροῦ σφίσιν ἐπιπεσόντος Δρυοῦντι προσέσχον. οὗπερ οἱ Γότθοι αἰσθόμενοι, ὅσοι δὴ ἐτετάχατο ἐπὶ τῇ πολιορκίᾳ τοῦ ἐνταῦθα φρουρίου, διαλύσαντες τὴν προσεδρείαν εὐθὺς κομίζονται ἀμφὶ πόλιν Βρεντέσιον, δυοῖν μὲν ἡμέραιν ὁδῷ Δρυοῦντος διέχουσαν, πρὸς δὲ τῇ ἀκτῇ τοῦ κόλπου κειμένην, ἀτειχίστων οὖσαν, ὑποτοπάζοντες Βελισάριον αὐτίκα δὴ διαβήσεσθαι τὸν ἐκείνῃ πορθμὸν, ἔς τε Τωτίλαν τὰ παρόντα σφίσιν

2. ἔδοξεν] ἔδειξεν L. 4. καί τι] καί τι καὶ L. 5. Ἰωάννην δὲ] ἰωάννην τε L. 10. τούτων om. L. 12. πεμπταίοις] πεμπταῖοι H: illud Hm. 19. κομίζονται] εἰσκομίζονται Reg. *ibid.* Βρεντέσιον Reg. et H. Βρεντήσιον HmP. *ibid.* δυοῖν] δυεῖν L. 21. ὑποτοπάζοντές τε P. τε om. L.

so exercitu. Id ab re esse Belisarius iudicabat; satius autem fore, si ipse quidem cum suis ad vicinam Romae oram navigaret; iter enim terrestre longiorem habiturum moram, et aliquid forte impedimenti: Ioannes vero per Calabriam eiusque viciniam incedendo, agentes ibi Barbaros, oppido paucos, exigeret, ac postquam regionem citra sinum Ionium positam subegisset imperio, copias secum iungeret ad oram Romae finitimam: quo et ipse cum exercitu reliquo appellere cogitabat. Cum enim Romani obsidione arctissima premerentur, vel minimam moram eorum rebus exitialem procul dubio fore arbitrabatur: ac mari quidem, si ventus secundus esset, ad portum Romanum quinto post die perveniri posse; terra autem Hydrunte copiis vel dies XL. non suffecturos. Haec ubi mandata dedit Ioanni Belisarius, inde solvit cum tota classe, et vento flante violento, Hydruntem appulit. Gotthi, qui huius urbis castellum circumsedebant, simul eum advenisse intellexerunt, soluta obsidione, ad urbem Brundusium concesserunt: quae Hydrunte bidui distat, in sinus littore sita, ac nuda moenibus. Mox Belisarium maris illius fretum transmisso-

ἀνήνεγκαν. ὁ δὲ πάντα τε τὸν στρατὸν ὡς ὑπαντιάσων ἐν πα- P 507
ρασκευῇ ἐποιήσατο καὶ Γότθους τοὺς ἐν Καλαβρίᾳ ἐκέλευεν, ὅπῃ
ἂν σφίσι δυνατὰ εἴη, τὴν ὁδὸν ἐν φυλακῇ ἔχειν. ἐπεὶ δὲ Βελι-
σάριος πνεύματος ἐπιφόρου ἐπιπνεύσαντος ἐκ Δρυοῦντος ἀπέπλευ-
σεν, οἵ τε Γότθοι ἀφροντιστήσαντες δίαιταν οὐ κατεσπουδασμέ-
νην ἐν Καλαβροῖς εἶχον καὶ ὁ Τωτίλας ἡσυχῇ μένων ἔτι μᾶλλον
ἐφύλασσε τὰς ἐς Ῥώμην εἰσόδους, ὡς μή τι ἐσκομίζεσθαι τῶν
ἐπιτηδείων δυνατὰ εἴη. ἔν τε τῷ Τιβέριδι ἐπενόει τάδε. χῶρον
κατανοήσας ᾗ μάλιστα ὁ ποταμὸς ἐν στενῷ κύτεισιν, ὅσον ἀπὸ B
σταδίων τῆς πόλεως ἐνενήκοντα, δοκοὺς ἐς ἄγαν μακρὰς ἐκ τῆς
ἑτέρας ὄχθης ἄχρι ἐς τὴν ἑτέραν ἐξικνουμένας ἐνταῦθα ἐς γεφύ-
ρας κατέθετο σχῆμα. πίργους τε δύο ξυλίνους παρ' ἑκατέραν
τὴν ὄχθην τεκτηνάμενος φυλακτήριον κατεστήσατο μαχίμων ἀν-
δρῶν, ὡς μηκέτι ἀκάτοις τισὶν, ἢ πλοίοις ἄλλοις, ἐκ τοῦ πόρτου
ἀναγομένοις ἐς τὴν πόλιν ἐσιτητὰ εἴη.

Ἐν τούτῳ δὲ Βελισάριος μὲν ἐς τὸν τῶν Ῥωμαίων λιμένα H 283
κατῆρε, καὶ τὸ ξὺν τῷ Ἰωάννῃ στράτευμα ἔμενεν. Ἰωάννης δὲ
ἐς Καλαβρίαν διαπορθμεύεται, Γότθων ἥκιστα αἰσθομένων· οἳ
δὴ ἀμφὶ τὸ Βρεντέσιον, ὥσπερ ἐρρήθη, διατριβὴν εἶχον. δύο
τε τῶν πολεμίων λαβὼν ἐπὶ κατασκοπῇ ὁδῷ ἰόντας τὸν μὲν ἕνα C
εὐθὺς ἔκτεινεν, ἄτερος δὲ αὐτοῦ τῶν γονάτων λαβόμενος ζωγρεῖ-
σθαι ᾐξίου. οὐ γὰρ ἀχρεῖός σοι, ἔφη, καὶ τῷ Ῥωμαίων στρατῷ

2. *γότθους τοὺς* Reg. *Γότθοις τοῖς* P. 9. *ἐν στενῷ κάτεισιν*] *κάτεισιν ἐν στενῷ* L. 10. *ἐνενήκοντα*] *ἐννενήκοντα* P. 13. *τὴν ὄχθην*] *τὴν* om. L. 19. *Βρεντέσιον*] Vulgo *Βριντήσιον*. *ibid.* *ἐρρήθη*] *ἐρέθη* L.

rum rati; quo res loci essent, Totilae significarunt. Ille omnem exercitum, tanquam si obviam iturus esset, accinxit, et Gotthis, qui erant in Calabria, mandavit, ut pro virili parte transitum custodirent. At postquam Belisarius, secundo usus vento, Hydrunte solvit, Gotthi, iam animo vacuo, se in Calabria negligentius gerere coeperunt, et Totilas, in castris consistens, aditus omnes diligentius interclusit, ne quid rei cibariae Romam inferri posset. Haec vero supra Tiberim molitus est. Optato loco, ubi fluminis alveus angustissimus est, procul ab urbe stadiis xc. oblongas trabes, ab altera ripa ad alteram pertinentes, in pontis modum disposuit, ac ligneas turres duas in utraque ripa fabricatus, custodes indidit bonos bellatores, ne actuariolis aliisque navigiis, Portu profectis, in urbem pateret aditus.

Interea Belisarius in portum Rom. pervectus, Ioannis copias expectabat. Ioannes in Calabriam transfretaverat, Gotthis, qui ad Brundusium, ut dictum est, morabantur, nihil persentientibus. Duobus hostium exploratoribus in via captis, alterum illico occidit: alter eius genua amplexus, vitam poposcit: *Nam*, inquit, *nec tibi, nec Romano exercitui in-*

ἔσομαι. ἐρομένου δὲ αὐτὸν Ἰωάννου, τί δὲ οὐκ ἀπολούμενος ξυνοίσειν ποτὲ Ῥωμαίοις τε καὶ αὐτῷ μέλλοι Γότθοις ὡς ἥκιστα προσδεχομένοις, ὁ ἄνθρωπος ἐπιστήσειν αὐτὸν ὑπέσχετο. καὶ ὃς ἀτυχήσειν μὲν αὐτὸν τῆς δεήσεως οὐδαμῇ ἔφασκε, χρῆναι δέ οἱ πρῶτα τὰς τῶν ἵππων νομὰς ἀναδεικνύναι. ἐπεὶ οὖν ὡμολόγει
V 139 καὶ ταῦτα ὁ βάρβαρος, σὺν αὐτῷ ἦει. καὶ πρῶτα μὲν τῶν πολεμίων τοὺς ἵππους νεμομένους καταλαβόντες ἀναθρώσκουσιν ἐς αὐτοὺς ἅπαντες, ὅσοι πεζοὶ ὄντες ἐτύγχανον· οἱ δὴ πολλοί τε
D καὶ ἄριστοι ἦσαν. ἔπειτα δὲ χωροῖσι ῥόμῳ ἐπὶ τὸ τῶν ἐναντίων στρατόπεδον. οἱ δὲ βάρβαροι ἄνοπλοί τε καὶ ἀπαράσκευοι παντάπασιν ὄντες καὶ τῷ ἀπροσδοκήτῳ καταπλαγέντες αὐτοῦ μὲν οἱ πολλοὶ διεφθάρησαν, οὐδεμιᾶς ἀλκῆς μεμνημένοι, ὀλίγοι δέ τινες διαφυγόντες παρὰ Τωτίλαν ἐκομίσθησαν. Ἰωάννης δὲ Καλαβροὺς ἅπαντας παρηγορῶν τε καὶ τιθασεύων εἰς εὔνοιαν τοῦ βασιλέως ἐπηγάγετο, πολλὰ σφίσιν ὑποσχόμενος πρός τε βασιλέως καὶ τοῦ Ῥωμαίων στρατοῦ ἀγαθὰ ἔσεσθαι. ἅρας τε, ὡς εἶχε τάχους, ἐκ τοῦ Βρεντεσίου, πόλιν καταλαμβάνει Κανούσιον ὄνομα, ἣ κεῖται μὲν ἐν Ἀπουλίοις που μέσοις, πέντε δὲ ἡμερῶν ὁδῷ Βρεντεσίου διέχει ἐς τὰ πρὸς ἑσπέραν τε καὶ Ῥώμην ἰόντι. τούτου Κανουσίου πέντε καὶ εἴκοσι σταδίους ἀπέχουσι Κάνναι, ἵνα δὴ λέγουσι Λιβύων στρατηγοῦντος ἐν τοῖς ἄνω χρόνοις Ἀννίβα τὸ μέγα πάθος ξυμβῆναι Ῥωμαίοις.

2. ξυνοίσειν] συνοίσειν L. *ibid.* μέλλοι L. μέλλει P. 4. οὐδαμῇ] οὐδαμῶς L. 5. ἀναδεικνύναι Reg. ἐνδεικνύναι P. 9. ἐναντίων Reg. πολεμίων P. 10. ἀπαράσκευοι] ἀπαρασκεύαστοι Reg. 14. τιθασεύων] Vulgo τιθασσεύων. *ibid.* εἰς] ἐς L. 17. βρεντεσίου L. Vulgo Βρεντησίου. *ibid.* Κανούσιον] καννούσιον L, et infra. 18. Ἀπουλίοις] ἀπολίοις L. 19. ἰόντι] ἰόντα L. 21. Ἀννίβα] ἀννιβάλου Reg.

utilis ero. Interrogatus a Ioanne, quid commodi cum ipsi, tum exercitui Rom. allaturus esset, si servaretur? effecturum se promisit, ut ipse Gothos improviso opprimeret. Assensus Ioannes illius precibus, ante omnia, equorum pascua ostendi sibi oportere dixit. Id quoque pollicito Barbaro, cum ipso profectus est. Ac primum equis hostium pascentibus iniectis manibus, in eos insiliunt quicunque pedibus venerant, numero sane multi fortissimique: tum ad hostilia castra cursum intendunt. Inermes imparatosque Barbaros inopinatus impetus adeo perculit, ut virtutis oblitî penitus ceciderint ibi plurimi: elapsi pauci ad Totilam se contulerint. Ioannes Calabrorum animos dulci alloquio ac blanditiis Imperatori conciliavit, multa illis bona cum ab ipso, tum ab exercitu Romano spondens. Digressus propere Brundusio, Canusium occupat, urbem in media sitam Apulia, ac Brundusio diremptam itinere dierum v. ad occasum et Romam versus. Canusio stadiis xxv. absunt Cannae; ubi ingentem olim cladem Romanis ab Annibale Poenorum Duce illatam ferunt.

Ἐνταῦθα Τουλλιανός τις, Βεναντίου παῖς, ἀνὴρ Ῥωμαῖος, P 508
δύναμιν πολλὴν ἔν τε Βρυτίοις καὶ Λευκανοῖς ἔχων, Ἰωάννῃ
ἐς ὄψιν ἥκων ἠτιᾶτο μὲν τὸν βασιλέως στρατὸν τῶν πρόσθεν ἐς
Ἰταλιώτας αὐτοῖς εἰργασμένων, ὡμολόγει δὲ, ἤν τινι τὸ λοιπὸν
ἐπιεικείᾳ ἐς αὐτοὺς χρήσωνται, Βρυτίους τε καὶ Λευκανοὺς ἐγ-
χειριεῖν σφίσι, κατηκόους βασιλεῖ αὖθις ἐς φόρου ἀπαγωγὴν ἐσο-
μένους· οὐδέν τι ἧσσον ἢ πρότερον ἦσαν. οὐδὲ γὰρ ἑκόντας αὐ-
τοὺς προσκεχωρηκέναι βαρβάροις τε καὶ Ἀρειανοῖς οὖσιν, ἀλλ'
ὡς μάλιστα πρὸς μὲν τῶν ἐναντίων βιαζομένους, πρὸς δὲ τῶν
βασιλέως στρατιωτῶν ἀδικουμένους. Ἰωάννου δὲ πάντα ἰσχυρι-
ζομένου πρὸς αὐτῶν τὸ λοιπὸν Ἰταλιώταις τἀγαθὰ ἔσεσθαι, ξὺν
αὐτῷ ὁ Τουλλιανὸς ἦει. καὶ ἀπ' αὐτοῦ ὑποψίᾳ οὐδεμιᾷ οἱ στρα- B
τιῶται ἐς Ἰταλιώτας ἔτι εἶχοντο, ἀλλὰ τὰ πλεῖστα τῶν ἐντὸς κόλ-
που Ἰονίου φιλιά τε αὐτοῖς καὶ βασιλεῖ ἐγεγόνει κατήκοα.

Ἐπεὶ δὲ ταῦτα Τωτίλας ἤκουσε, Γότθων τριακοσίους ἀπο-
λεξάμενος ἐς Καπύην πέμπει. οἷς δὴ ἐπέστελλεν, ἐπειδὰν τὸ
ξὺν τῷ Ἰωάννῃ στράτευμα ἐνθένδε ἴδοιεν ἐς Ῥώμην ἰόντας,
ἕπεσθαι σφίσιν αἴσθησιν αὐτοῖς οὐδεμίαν παρεχομένους· αὐ-
τῷ γὰρ τἆλλα μελήσειν. δείσας τε διὰ ταῦτα Ἰωάννης μὴ
ἐς κύκλωσιν τῶν πολεμίων τινὰ ἐμπέσοι, παρὰ Βελισάριον
μὲν οὐκέτι ἦει, ἐς δὲ Βρυτίους καὶ Λευκανοὺς ἐχώρει. ἦν δέ

1. *Τουλλιανός*] τουλιανός H, et infra. 2. *Βρυτίοις*] βριττίοις Reg. 3. *τῶν — εἰργασμένων*] τὸν — εἰργασμένον L. 4. Ante *αὐτοῖς* in L lacuna, et in marg. *λείπει, πέμψειν, πολλὰ κακὰ αὐτούς.* 5. *Βρυτίους*] βρυττίους L. 9. *δὲ τῶν*] Vulgo *δὲ τοῦ.* 11. *αὐτῶν*] αὐτὸν L. *ibid.* τἀγαθὰ L. τὰ ἀγαθὰ P. 12. *καὶ ἀπ'* L. Aberat *καὶ. ibid. οὐδεμιᾷ οἱ στρατιῶται*] οἱ στρατιῶται οὐδεμιᾷ L. 21. *Βρυτίους*] βριττίους L.

Hic Venantii filius Tullianus, Romanus genere, inter Brutios ac Lucanos plurimum polleus, Ioannem adiit, deque facinoribus in Italos a Caesariano exercitu antea admissis questus, recepit, si quid clementiae illis in posterum exhiberetur, se ita Brutios Lucanosque in ius ac ditionem Imperatoris revocaturum, ut ei vectigalia perinde ac prius penderent: quippe qui Barbaris, iisque Arianis, non sponte se dedidissent, at cum hostium vi, tum maxime Caesarianorum militum iniuriis adacti. Ubi Ioannes omni asseveratione affirmavit, illos deinceps benefacturos Italis, Tullianus ei comitem sese addidit. Ex illo ab Italis timere sibi milites desierunt, ac fere omnia citra sinum Ionum habuerunt amica subditaque Imperatori.

De his certior factus Totilas, lectos ccc. Gotthos Capuam mittit, iubetque, ubi Ioannis copias inde Romam euntes viderint, pone sequi incautas: curae cactera sibi fore. Quapropter veritus Ioannes ne ab hostibus circumveniretur, omissa ad Belisarium profectione, ad Brutios et Lucanos concessit. Quidam erat inter Gotthos Recimundus, vir insignis:

τις ἐν Γότθοις Ῥεκιμοῦνδος, ἀνὴρ δόκιμος, ὅνπερ ὁ Τωτίλας
C ἐπὶ τῇ Βρυτίων φρουρᾷ καταστησάμενος ἔτυχε, Γότθων τε καὶ
Ῥωμαίων στρατιωτῶν καὶ Μαυρουσίων αὐτομόλων τινὰς ἔχοντα,
ἐφ' ᾧ ξὺν αὐτοῖς τόν τε κατὰ Σκύλλαν φυλάξει πορθμὸν καὶ τὴν
ταύτῃ ἠόνα, ὡς μήτε ἐνθένδε τινὲς ἀπαίρειν ἐς Σικελίαν μήτε ἐκ
τῆς νήσου ἐνταῦθα καταπλεῖν ἀδεέστερον οἷοί τε ὦσι. τούτῳ
τῷ στρατῷ μεταξὺ Ῥηγίου τε καὶ Βίβωνος ἀπροσδόκητός τε καὶ
αὐτάγγελος Ἰωάννης ἐπιπεσὼν κατέπληξέ τε ἐκ τοῦ αἰφνιδίου, οὐ-
δεμιᾶς ἀλκῆς αὐτοὺς μεμνημένους, καὶ αὐτίκα ἐς φυγὴν ἔτρεψε.
καὶ οἱ μὲν ἐς τὸ ὄρος, ὃ ταύτῃ ἀνέχει, ὀύσβατόν τε ὂν καὶ ἄλ-
H 284 λως κρημνῶδες, κατέφυγον, Ἰωάννης δὲ διώξας τε καὶ ξὺν τοῖς
πολεμίοις ἐν τῷ ἀνάντει γενόμενος, οὔπω τε σφᾶς αὐτοὺς ἐν ταῖς
D δυσχωρίαις κρατυναμένους ἐς χεῖρας ἐλθὼν, πλείστους μὲν τῶν
τε Μαυρουσίων καὶ Ῥωμαίων στρατιωτῶν ἔκτεινεν, ἰσχυρότατα
ἀμυνομένους, Ῥεκιμοῦνδον δὲ καὶ Γότθους ξὺν τοῖς λοιποῖς ἅπα-
σιν ὁμολογίᾳ εἷλεν. Ἰωάννης μὲν ταῦτα διαπεπραγμένος αὐτοῦ
ἔμενε, Βελισάριος δὲ Ἰωάννην ἐς ἀεὶ καραδοκῶν ἡσυχῇ ἔμενεν.
ἐμέμφετό τε ὅτι δὴ οὐ διακινδυνεύσας τε καὶ τοῖς ἐν Καπύῃ φυ-
λάσσουσι τριακοσίοις οὖσιν ἐς χεῖρας ἦκων ποιεῖσθαι τὴν ὁδὸν
ἐνεχείρησε, καίπερ βαρβάρους ἀριστίνδην ξυνειλεγμένους ξὺν αὖ-

2. *Βρυτίων*] βριττίων L. 5. *ἠόνα*] *ἠιόνα* L. *ibid. ἐνθένδε τινὲς*] *τινὲς ἐνθένδε* L. 7. *μεταξὺ Ῥηγίου*] *μεταριγγίου* L. *ibid. Βίβωνος*] *βέβωνος* H. *βεύωνος* Reg. 8. *αὐτάγγελος* L. *ἀπατάγγελος* P. 9. *ἀλκῆς*] *ἄλλης ἀλκῆς* L. 12. *ἐν ταῖς δυσχωρίαις* L. *ἐς τὰς δυσχωρίας* P. 13. *κρατυναμένους*] *κρατυναμένους* H. *κρατυνομένους* L. 19. *ὁδὸν*] *δίωξιν* Reg. 20. *ἀριστίνδην* L. *ἀριστείνδην* HP.

quem Totilas Brutiis praeposuerat, secum Gotthos et Romanos aliquot milites Maurosque transfugas habentem, ut cum illis Scyllaeum fretum ac littus illud obsidens, caveret, ne quis inde in Siciliam solvere, vel ex insula appellere illuc impune posset. Ioannes inopinata celeritate adventus sui famam praecurrens, copias illas inter Rhegium et Vibonem invasit, subitaque impressione adeo perculit, ut virtutis prorsus immemores e vestigio terga verterint. In montem, qui prope eminet difficilis aditu ac praeceps, se receperunt. Ioannes in acclivi hostes assecutus, et antequam inter derupta se munirent, adortus, Maurorum Romanorumque militum validissime repugnantium maximam partem concidit: Recimundum et Gotthos cum reliquis omnibus in deditionem accepit. Re Ioannes ita gesta ibi restitit. Diem ex die expectans avidissime Belisarius, nihil movebat, et Ioannem vituperabat, quod, quamvis Barbarorum florem haberet secum, ferro et collata cum trecentis Capuae praesidiariis manu, viam sibi facere non tentaret. At

τῷ ἔχων. Ἰωάννης δὲ τὴν δίοδον ἀπογνοὺς ἐπὶ Ἀπουλίαν ἐχώρησεν, ἔν τε χωρίῳ Κερβαρίῳ καλουμένῳ ἡσύχαζε.

ιθ'. Δείσας οὖν Βελισάριος ἀμφὶ τοῖς πολιορκουμένοις, P 509
μή τι ἀνήκεστον δράσωσι τῶν ἀναγκαίων τῇ ἀπορίᾳ, ὅτῳ δὴ V 140
τρόπῳ τὰ ἐπιτήδεια ἐς Ῥώμην ἐσκομίζειν διενοεῖτο. καὶ ἐπεὶ δύναμιν ἀξιόμαχον πρός γε τοὺς πολεμίους οὐδαμῇ εἶχεν, ὥστε μάχῃ ἐν τῷ πεδίῳ πρὸς αὐτοὺς διακρίνεσθαι, πρότερον ἐπενόει τάδε. ἀκάτους δύο ἐς ἄγαν εὐρείας ζεύξας τε καὶ λίαν ἐς ἀλλήλας ξυνδήσας, πύργον ξύλινον ἐπ' αὐταῖς ἐτεκτήνατο, πολλῷ καθυπέρτερον τῶν τοῖς πολεμίοις ἐν τῇ γεφύρᾳ πεποιημένων. ξυμμετρησάμενος γὰρ αὐτοὺς ἐς τὸ ἀκριβὲς ἔτυχε πρότερον, πέμψας τῶν οἱ ἑπομένων τινὰς, ὑπὲρ ἐς τοὺς βαρβάρους αὐτόμολοι δῆθεν τῷ λόγῳ ἐστέλλοντο. δρόμωνάς τε διακοσίους τείχεσι B
ξυλίνοις περιβαλὼν ἐς Τίβεριν καθῆκε, πανταχόθι τῶν ξυλίνων τειχῶν τρυπήματα ποιησάμενος, ὅπως δὴ βάλλειν τοὺς πολεμίους ἐνθένδε σφίσι δυνατὰ εἴη. σῖτόν τε οὖν καὶ ἄλλα τῶν ἐπιτηδείων πολλὰ τοῖς δρόμωσι τούτοις ἐνθέμενος στρατιωτῶν αὐτοὺς τῶν μαχιμωτάτων ἐπλήρου. στρατιώτας δὲ ἄλλους πεζούς τε καὶ ἱππεῖς ἑκατέρωθεν ἐν χωρίοις ἐχυροῖς τισιν ὑμφὶ τὰς τοῦ Τιβέριδος ἐκβολὰς ἔστησεν, οὓς δὴ ἐκέλευσε μένειν τε αὐτοῦ καὶ, ἤν τῶν πολεμίων τινὲς ἐπὶ τὸν πόρτον ἴωσι, διακωλύειν δυνάμει τῇ πάσῃ. τὸν δὲ Ἰσαάκην ἐς τὸν πόρτον ἐσαγαγὼν τήν τε πύλιν C
καὶ τὴν γυναῖκα παρέδωκε καὶ εἴ τι ἄλλο ἐνταῦθα ἔχων ἐτύγχανε.

1. Ἀπουλίαν] ἀπουλίας L. 3. τοῖς om. L. 5. ἐσκομίζειν] εἰσκομίζειν L. 8. ἀλλήλας] ἀλλήλους L. 12. ἐς τοὺς] εἰς τοὺς L. 20. οὓς δὴ Reg. οἷς δὴ P.

Ioannes, desperato transitu, in Apuliam cessit, et Cervarii (id loco nomen) stativa habuit.

19. Veritus Belisarius, ne obsessos Romanos ad gravius aliquid statuendum impelleret annonae penuria, commeatus Romam quoquomodo inferre meditabatur. Et quoniam erat infirmior, quam ut acie in campo cum hoste decerneret, haec prius excogitavit. Iunctis ac valide connexis duabus scaphis latioribus, ligneam turrim imposuit, multo illis editiorem, quas ad pontem hostes condiderant. Earum enim mensuram probe ante compererat per quosdam ex suis, qui ad Barbaros transfugium simularant. In Tiberim ducentos induxit dromones, munitos tabulis, quas ad murorum formam eductas crebris foraminibus distinxit, ut in hostes tela inde emitti possent. Frumento in hos dromones cum aliis cibariis multis imposito, eosdem militibus fortissimis complevit. Milites alios pedites equitesque utrinque ad Tiberis ostia in locis quibusdam firmis disposuit, ibique stare iussit, ac totis viribus prohibere hostem, si qui peterent Portum. Inducto huc Isaaci oppidum uxoremque suam, et quidquid inibi repositum habebat, commisit, praecepitque, nullo inde pacto

καὶ οἱ ἐπίστειλε μηδεμιᾷ ἐνθένδε μηχανῇ ἀπαλλάσσεσθαι, μηδ' ἢν Βελισάριον πύθηται πρὸς τῶν πολεμίων ἀπολωλέναι, ἀλλὰ τῆς φυλακῆς ἐς ἀεὶ ἔχεσθαι, ὅπως, ἤν τι σφίσιν ἐναντίωμα ὑπαντιάσῃ, ἔξουσιν ὅπη διαφυγόντες σωθήσονται. ὀχύρωμα γὰρ ἄλλο ταύτης δὴ τῆς χώρας οὐδαμῇ εἶχον, ἀλλὰ πάντα σφίσι παν- ταχόθεν πολέμια ἦν. αὐτὸς δὲ ἐς ἕνα τῶν δρομώνων ἐμβὰς τοῦ τε στόλου ἡγεῖτο καὶ τὰς ἀκάτους ἑφέλκειν ἐκέλευεν, οὗ δὴ τὸν πύργον ἐτύγχανε τεκτηνάμενος. τοῦ δὲ πύργου ὕπερθεν λέμβον D τινὰ ἔθετο, πίσσης τε καὶ θείου καὶ ῥητίνης αὐτὸν ἐμπλησάμενος καὶ τῶν ἄλλων ἁπάντων ὅσα δὴ τοῦ πυρὸς βρῶσις ὀξυτάτη γί- νεσθαι πέφυκε. κατὰ δὲ τὴν ἑτέραν τοῦ ποταμοῦ ὄχθην, ἥ ἐστιν ἐκ τοῦ πόρτου ἐς Ῥώμην ἰόντι, πεζὸς παραβεβοηθήκει στρατός. πέμψας δὲ καὶ παρὰ Βέσσαν τῇ προτεραίᾳ ἐκέλευε τῇ ἐπιγενησομένῃ ἡμέρᾳ πολλῷ στρατιῷ ἐπεξιόντι ξυναράξαι τὰ τῶν πολεμίων στρατόπεδα, ὅπερ οἱ καὶ πρότερον ἐπιστεί- λας πολλάκις ἤδη ἐτύγχανεν. ἀλλὰ Βέσσας οὔτε πρότερον οὔτε ἐν ταύτῃ τῇ μάχῃ ἐπιτελῆ ποιεῖν τὰ ἐπαγγελλόμενα ἔγνω. P 510 ἔτι γάρ οἱ μόνῳ τι τοῦ σίτου ἐλέλειπτο, ἐπεὶ ὅσον ἐς Ῥώ- μην οἱ Σικελίας ἄρχοντες πρότερον ἔπεμψαν τοῖς τε στρατιώ- ταις ἐπαρκέσοντα καὶ τῷ δήμῳ παντὶ, αὐτὸς ὀλίγον μὲν κο- μιδῇ τῷ δήμῳ ἀφῆκε, τὸν δὲ πλεῖστον κεκομισμένος ἐπὶ τῷ τῶν στρατιωτῶν λόγῳ ἀπέκρυψεν, ὅνπερ τοῖς ἐκ βουλῆς ἀποδεδο-

1. ἐπίστειλε Reg. ἐπίστιλλε P. 5. πανταχόθεν] παντα χόσε L. 6. ἐμβὰς] ἐσβὰς L. 7. τὰς om. L. 15. πρότερον] πρῶτα Reg. 16. οὔτε — οὔτε] οὐδὲ — οὐδὲ P. 17. τὰ om. L. 22. στρατιωτῶν] στρατηγῶν L: illud Lm. ibid. τοῖς ἐκ] τῆς L.

pedem efferret, ne allato quidem nuntio caesum ab hostibus Belisarium; at in custodiam semper insisteret, ut, si quid adversi contingeret, receptum aliquem haberent. Et vero nullum ipsis in eo tractu munimentum restabat, erantque ubivis omnia inimica. Ipse conscenso dromone, classi ducem se praebuit, et scaphas trahi iussit, in quibus ligneam turrim construxerat. Turri lembum superposuit, pice, sulphure, resina, et aliis cuiusquemodi, igni promptissime concipiendo alendoque idoneis, plenum. In altera amnis ripa, qua a Portu Romam itur, praesto aderat peditatus. Pridie Belisarius Bessae miserat, ut die sequenti pluribus eductis copiis castra hostium fatigaret: quod ipsum iam ante eidem saepe denuntiarat. Verum Bessas nec prius, nec modo in hoc congressu mandata exequi voluit. Adhuc enim ipsi soli nonnihil frumenti supererat. Quippe annonae, quam antea Duces Romam ex Sicilia miserant, militibus omnique populo suffecturam, ille perexigua parte concessa populo,

μένος χρημάτων μεγάλων διαλύεσθαι τὴν πολιορκίαν ἥκιστα ἤθελε.

Βελισάριος μὲν οὖν καὶ Ῥωμαίων στόλος πόνῳ ἀναπλέοντες, ἅτε τοῦ ῥεύματος σφίσιν ἀντιστατοῦντος, ἦισαν. Γότθοι δὲ οὐδαμῇ ὑπηντίαζον, ἀλλ' ἐν τοῖς χαρακώμασιν ἡσυχῇ ἔμενον. ἤδη δὲ Ῥωμαῖοι ἄγχιστα τῆς γεφύρας γενόμενοι φρουρᾷ πολεμίων ἐνέτυχον, οἳ δὴ ἐφ' ἑκάτερα τοῦ ποταμοῦ σειρᾶς σιδηρᾶς ἐπὶ τῇ φυλακῇ ἐτετάχατο, ἣν οὐ πολλῷ πρότερον ἐνταῦθα ἐναποθέμενος Τωτίλας ἔτυχεν, ἐκ τῆς ἑτέρας τοῦ Τιβέριδος ὄχθης ἄχρι ἐς τὴν ἑτέραν ἐξικνουμένην, ὅπως δὴ μηδὲ ὅσον ἐς τὴν γέφυραν ἰέναι οἱ ἐναντίοι εὐπετῶς δύνωνται. καὶ αὐτῶν βάλλοντες τοὺς μὲν ἔκτειναν, τοὺς δὲ τρεψάμενοι καὶ τὴν ἅλυσιν ἀνελόμενοι εὐθὺ τῆς γεφύρας ἐχώρησαν. ἐπειδή τε τάχιστα ἐς αὐτὴν ἦλθον, ἔργου εἴχοντο, οἵ τε βάρβαροι ἐκ τῶν πύργων ἠμύνοντο καρτερώτατα. ἤδη δὲ καὶ ἐκ τῶν χαρακωμάτων ἐξαναστάντες ἐπὶ τὴν γέφυραν δρόμῳ ἐχώρουν. τότε δὴ Βελισάριος τὰς ἀκάτους, ἐφ' ὧν ὁ πύργος πεποίηται, ὡς ἀγχοτάτω ἀγαγὼν θατέρου τῶν πολεμίων πύργου, ὃς δὴ ἐπὶ τῆς κατὰ πόρτον ὁδοῦ ἐπ' αὐτοῦ τοῦ ποταμοῦ τὸ ὕδωρ εἱστήκει, ἐκέλευε τὸν λέμβον ὑφάψαντας ὑπερθεν τῶν πολεμίων τοῦ πύργου ῥίπτειν. καὶ Ῥωμαῖοι μὲν κατὰ ταῦτα ἐποίουν. ἐμπεσὼν δὲ τῷ πύργῳ ὁ λέμβος αὐτόν τε αὐτίκα μάλα ἐνέπρησε καὶ ξὺν αὐτῷ Γότθους

H 285
V 141
B
C

7. οἳ δὴ] οὗ δὴ H: sed οἳ δὴ Hm. *ibid.* σειρᾶς σιδηρᾶς] σειρὰ σιδηρὰ H: illud Hm. 17. ἀγχοτάτω] ἀγχιτάτω L. 18. πολεμίων] πολέμων L. 20. ῥίπτειν] ῥίπτειν L.

maximam recondiderat, interversam specie militaris annonae. Et quia Senatoribus magno id pretio distrahebat, solvi nolebat obsidionem.

Ergo Belisarius ac Romana classis cum sudore multo, adverso flumine navigantes, pergebant: Gotthi nusquam obsistebant obviam, seque continebant in castris. Romani, iam ponti proximi, praesidium offendunt hostium: qui ad fluvium hinc inde locati fuerant, custodiendae causa catenae ferreae, quam ibi Totilas paulo ante ab altera ripa ad alteram tetenderat, ut hostibus facultas omnis ad pontem subeundi praecluderetur. Telis Barbaros partim conficiunt: allis dissipatis, ac sublata catena, ad pontem recta contendunt: quem simul ut attigere, res geri coepta est. E turribus Barbari fortissime resistebant: iamque alii castris egressi ad pontem properabant. Tum Belisarius, scaphis, quibus turrim superstruxerat, ad alteram applicitis hostium turrim, quae propter viam Portuensem flumini imminebat, lembum incensum supra turrim hostilem devolvi iussit. Imperata Romani faciunt. Illapsus turri lembus, puncto temporis eam igni corripit: quo Gotthi una arserunt omnes, ad ducen-

ἅπαντας, ἐς διακοσίους μάλιστα ὄντας. ἐκαύθη δὲ καὶ Ὄσδας ξὺν αὐτοῖς, ὃς αὐτῶν ἦρχε, Γότθων ἁπάντων μαχιμώτατος ὤν. θαρσήσαντες δὲ ἤδη Ῥωμαῖοι τοὺς ἐκ τῶν χαρακωμάτων ἐπιβεβοηθηκότας βαρβάρους ἔτι μᾶλλον ἢ πρότερον ἔβαλλον. οἱ δὲ καταπεπληγμένοι τοῖς ξυμπεσοῦσι τρέψαντες τὰ νῶτα, ὡς ἕκαστός πη ἠδύνατο, ἐς φυγὴν ὥρμηντο. τῆς τε γεφύρας Ῥωμαῖοι ἥπτοντο καὶ αὐτὴν ἔμελλον αὐτίκα μάλα διαφθείραντες πρόσω ἰέναι, ἔς τε Ῥώμην κομιζεσθαι οὐδενὸς ἔτι ἀντιστατοῦντος. ἀλλ' ἐπεὶ οὐκ ἦν ταῦτα βουλομένῃ τῇ τύχῃ, τῶν τινος φθονερῶν δαιμόνων μηχανὴ γέγονεν, ἢ τὰ Ῥωμαίων πράγματα ἔφθειρε τρόπῳ τοιῷδε.

Ἐν ᾧ τὰ στρατόπεδα τῇδε, ᾗπερ ἐρρήθη, εἱρέτο, ἐν τούτῳ τις φήμη ἐπὶ πονηρῷ τῷ Ῥωμαίων ἐς πύρτον ἦλθεν, ὡς νικῴη μὲν Βελισάριον, ἀνέλοιτο δὲ τὴν ἅλυσιν, διαφθείρας τοὺς ταύτῃ βαρβάρους καὶ τὰ ἄλλα, ἅπερ μοι ἔμπροσθεν εἴρηται. Ἰσαάκης δὲ ταῦτα ἀκούσας οὐκέτι οἷός τε ἦν ἐν αὐτῷ μένειν, ἀλλὰ κλέους τοῦδε μεταλαχεῖν ἐν σπουδῇ εἶχε. τῶν τε Βελισαρίου ἐντολῶν ἀλογήσας, ὅτι τάχιστα ἐς τὴν ἑτέραν τοῦ ποταμοῦ ὄχθην, ᾗπερ Ὄστια ἐστὶν, ἀπιὼν ᾤχετο. καὶ τῶν στρατιωτῶν, οὕσπερ ἐνταῦθα Βελισάριος καταστησάμενος ἔτυχεν, ἱππεῖς ἑπαγόμενος ἑκατὸν ἐπὶ τὸ τῶν πολεμίων χαράκωμα ἤλαυνεν, οὗ Ῥου-

1. „ὄντας. ἐκαύθη Ὄσδας] Sic emendavi, iuvante Vat. quae in aliis codicibus sententiam efficiunt perturbatam.“ Malt. ὄντας, ἔκαυσε. καὶ ὃς δὲ H. ὄντας, ἐκαύθη δὲ καὶ ὃς δὲ L, unde δὲ καὶ inserui. Osdeus Pers. 2. ξὺν] σὺν L. 4. ἔβαλλον] ἔβαλον L. 9. φθονερῶν] φανερῶν H. 12. τὰ στρατόπεδα] τὰ om. L. 13. πονηρῷ] πονήρῳ P. ibid. τῷ] τῶν L. ibid. ἦλθεν] ἐλθοῦσα περιήγγειλεν Reg. 16. Ἰσαάκης] Ἰσαάκιος L. 18. ἐντολῶν] ἐντολὰς L. 19. ᾗπερ Ὄστια ἐστὶν om. L. 21. Ῥουδέριχος] ῥουδέλιχος H, et infra.

tos fere. Eodem incendio periit illorum dux Osdas, Gotthorum omnium bellicosissimus. Iam Romani fidenti animo Barbaros, qui e castris subsidio venerant, telis magis ac magis impetere: illi casu perculsi terga dare, et pro se quisque in fugam ruere. Pontem contingebant Romani, ac parabant, eo protinus rupto, progredi, et absque ullo impedimento Romam petere. At quoniam Fortunae aliter visum erat, fraus invidi cuiusdam Daemonis rem Romanam hoc modo perdidit.

Dum ita, ut dictum est, sese habent exercitus, interea ortus in Romanorum perniciem rumor ad portum venit, vicisse Belisarium, amovisse catenam, caesis custodibus illius Barbaris; et caetera, quae supra narravi, nuntiat. His auditis, impotens animi Isaaces, in partem huius gloriae venire ardet, spretisque Belisarii mandatis, ad Ostiensem fluminis ripam advolat, atque ex militum numero, quos illic Belisarius collocaverat, assumptis centum equitibus, in castra hostium, quibus praerat Ru-

δέριχος ἦρχεν, ἀνὴρ ἀγαθὸς τὰ πολέμια. ἐπελθών τε ἐκ τοῦ αὐφνιδίου τοῖς ἐκείνῃ βαρβάροις ἄλλους τέ τινας καὶ Ῥουδέριχον ὑπαντιάσαντα ἔπληξεν. οἱ δὲ Γότθοι εὐθὺς λιπόντες τὸ στρατόπεδον ὑπεχώρησαν, ἢ πλῆθος πολεμίων ὑποτοπήσαντες ἀμφὶ τὸν Ἰσαάκην ὄπισθεν εἶναι, ἢ τοὺς ἐναντίους ἐξαπατῶντες, ὅπως δὴ αὐτοὺς, ὅπερ ἐγένετο, ἐλεῖν δύνωνται. οἱ μὲν οὖν ξὺν τῷ Ἰσαάκῃ εἰσδύσαντες ἐς τὸ τῶν πολεμίων χαράκωμα τόν τε ἄργυρον, ὅσπερ ἐνταῦθα ἔκειτο, καὶ τὰ ἄλλα χρήματα ἥρπαζον. ἀναστρέψαντες δὲ αὐτίκα οἱ Γότθοι πολλοὺς μὲν κτείνουσι τῶν B ἐναντίων, ζῶντα δὲ Ἰσαάκην ξὺν ἑτέροις τισὶν οὐ πολλοῖς εἷλον. ἥκοντές τε ἱππεῖς παρὰ Βελισάριον δρόμῳ ἀγγέλλουσιν ὅτι δὴ ἔχοιτο πρὸς τῶν πολεμίων Ἰσαάκης. Βελισάριος δὲ κατιπλαγείς τε οἷς ἠκηκόει καὶ οὐ διερευνησάμενος ὁποίᾳ ποτὲ μηχανῇ Ἰσαάκης ἁλίσκεται, ἀλλ' οἰόμενος τόν τε πόρτον καὶ τὴν γυναῖκα αὐτοῦ ἀπολωλέναι καὶ ἅπαντα διεφθάρθαι σφίσι τὰ πράγματα, ἄλλο τε οὐδὲν ἀπολελεῖφθαι ὀχύρωμα, ὅπη ἂν καταφυγόντες τὸ λοιπὸν σώζοιντο, ἐς ἀφασίαν ἐμπέπτωκεν, οὐ γεγονὼς αὐτῷ πρότερον τοῦτό γε. διὸ δὴ κατὰ τάχος ὀπίσω ἐπῆγε τὸ στράτευμα, ὡς ἐπιθησόμενος μὲν ἀπαρασκεύοις ἔτι τοῖς πολεμίοις οἱσιν, ἀνα- C σωσόμενος δὲ πάσῃ μηχανῇ τὸ χωρίον. οὕτω μὲν ὁ Ῥωμαίων στρατὸς ἐνθένδε ἄπρακτοι ἀνεχώρησαν. ἐν δὲ τῷ πόρτῳ γενόμενος Βελισάριος, τήν τε Ἰσαάκου μανίαν ἔγνω καὶ τῆς οὐ δέον οἱ

6. δύνωνται L. δύναται P. 7. εἰσδύσαντες] δείσαντες L. 9. αὐτίκα οἱ γότθοι L. οἱ Γότθοι αὐτίκα P. 14 αὐτοῦ om. L. 16. καταφυγόντες] καταλιπόντες L. 19. ἀπαρασκεύοις] ἀτάκτοις Reg. ibid. οὖσι addidi ex Reg. 22. Ἰσαάκου] ἰσαακίου L.

dericus, vir egregius bello, invehitur. Repentino in Barbaros ibi positos facto impetu, cum nonnullos alios vulneravit, tum ipsum, qui occurrerat, Rudericum. Quare Gotthi, statim relictis castris, se subduxerunt, post Isaacem maiores hostium copias adesse rati, vel dolo adversarios deludentes; ut eos, quod et factum est, capere possent. Castra hostium Isaaces, et qui ipsum sequebantur, ingressi, argentum illic repositum caeterasque opes diripiunt. Reversi extemplo Gotthi, multis peremptis, Isaacem cum paucis aliis vivum capiunt. Belisarium citato cursu adeunt equites, et in manus hostium Isaacem venisse nuntiant. Belisarius auditis attonitus, quo modo captus Isaaces fuisset omisit quaerere: actumque putans de Portu, uxore, et rerum summa, neque ullam sibi munitionem reliquam esse, in quam postmodum se tuto reciperent, in stuporem decidit: quod certo ipsi nunquam ante contigerat. Itaque e vestigio reduxit exercitum, eo consilio, ut hostes imparatos adoriretur, atque oppidum omni ope recuperaret. Ita quidem Rom. exercitus inde re infecta discessit: ubi vero Portum attigit Belisarius, Isaacem insaniisse,

αὐτῷ ξυμβάσης ταραχῆς ἥσθετο, τῷ τε τῆς τύχης ἐναντιώματι περιώδυνος γεγονὼς ἐνόσει τὸ σῶμα. πυρετὸς γὰρ ἐπιγενόμενος ἐς χρόνου μῆκος ὑπερφυῶς τε αὐτὸν ἠνία καὶ ἐς κίνδυνον θανάτου ἦγεν. ἡμέραιν δὲ δυοῖν ὕστερον Ῥουδερίχῳ τε ξυνέβη τελευτῆσαι τὸν βίον καὶ ὁ Τωτίλας περιαλγήσας τῇ ξυμφορᾷ τὸν Ἰσαάκην διέφθειρε.

D V 142 κ'. Βέσσας τε τὸν σῖτον ἔτι μᾶλλον ἀπεμπολῶν ἐπλούτει, πρυτανευούσης αὐτῷ τὰς τιμὰς τῆς τῶν δεομένων ἀνάγκης. καὶ ὅλος εἰς μέριμναν τὴν περὶ ταῦτα ἐσπουδακὼς οὔτε φυλακῆς τοῦ περιβόλου οὔτε ἄλλου ὁτουοῦν ἀσφαλείας πέρι ἐπεμελεῖτο, ἀλλ' ἀναπεπτωκέναι μὲν τῶν στρατιωτῶν τοῖς γε βουλομένοις ἐξῆν, P 512 φυλακτήριον δὲ ὀλίγων τινῶν ἐν τοῖς τείχισιν ἦν, καὶ τοῦτο δὲ H 286 ἀπημελημένον ὡς μάλιστα. οἷς γὰρ ἀεὶ τὴν φυλακὴν ἐπικεῖσθαι ξυνέβαινε, πολλὴ ἐξουσία τοῦ καθεύδειν ἐγίνετο, ἐπεὶ οὐδεὶς αὐτοῖς ἐφειστήκει, ὅστις ἂν καὶ λόγον τινὰ τοῦ τοιούτου ποιοῖτο· οὐδὲ περιόντες τινὲς κύκλῳ τῶν περιβόλων, ἥπερ εἰώθει, διερευνᾶσθαι τοὺς φύλακας ὅ τι ποτε ποιοῦσιν ἠξίουν, οὐ μὴν οὐδέ τις τῶν οἰκητόρων αὐτοῖς ξυμφυλάσσειν ἠδύνατο. ὀλίγοι τε γὰρ κομιδῇ ἐνταῦθα, ὥσπερ μοι ἐρρήθη, ἐλείποντο καὶ αὐτοὶ τῷ λιμῷ ὑπερφυῶς κεκακωμένοι.

Τέσσαρες οὖν Ἴσαυροι, ἀμφὶ πύλην Ἀσιναρίαν φυλακὴν ἔχοντες, τηρήσαντες τῆς νυκτὸς τὸν καιρὸν, ἐν ᾧ τοῖς μὲν τῶν

9. οὔτε — οὔτε] οὐδὲ — οὐδὲ P. 14. τοῦ] τοὺς L. αὐτοὺς et τούτοις Lm. 15. ὅστις] οὔτι L. οὔτε Lm. ibid. ποιοῖτο] ποιεῖτο L. 16. περιόντες] περιόντες L. 19. ἐλείποντο L. ἐλίποντο P.

et male se perturbatum fuisse cognovit. Eius animum dolore, et corpus morbo graviter afflixit adversus hic casus. Excitata enim febris, ipsum diuturnissimo cruciatu in extremum periculum adduxit. Post biduum mortuo Ruderico, ipsius vicem vehementius dolens Totilas, Isaacem vita spoliavit.

20. Bessas opes sibi cumulabat, in dies carius divendens frumentum: cuius pretium necessitas egentium accendebat. Totus in ea cura, murorum custodiam, ac caetera, quae securitatem praestarent, habebat in postremis. Militibus si libebat supinis esse, licebat. Pauci pro muro excubabant, idque negligentissime. Etenim vigilibus dormire semper liberum erat: cum nullus esset ipsis praepositus, qui id curaret: nec quid custodes agerent, inspicere quisquam vellet, murorum stationes, ut mos est, obeundo. Praeterea nemo civium cum illis agere excubias poterat. Siquidem perquam pauci, ut dictum est, in urbe erant reliqui, iique confecti fame.

Quare Isauri quatuor, qui custodiam ad portam Asinariam agitabant, captato noctis tempore, quo ipsis pro illa muri parte incumbebat vigilia,

αὐτῶν ἐχομένοις καθεύδειν ἐπέβαλλεν, αὐτοῖς δὲ ἡ φυλακὴ τοῦ ἐκείνῃ τείχους ἐπέκειτο, κάλως τε ἐκ τῶν ἐπάλξεων ἀναρτήσαν- B τες ἄχρι ἐς τοὔδαφος ἐξικνουμένους, καὶ τούτων χερσὶν ἀμφοτέραις λαβόμενοι ἔξω τοῦ περιβόλου ἐγένοντο καὶ παρὰ Τωτίλαν ἀφικόμενοι δέξασθαι τῇ πόλει αὐτόν τε ὡμολόγουν καὶ τὸν Γότθων στρατόν· δυνατοὶ γὰρ εἶναι τοῦτο ποιεῖν ἰσχυρίζοντο οὐδενὶ πόνῳ. καὶ ὃς χάριτας σφίσιν ἀδρὰς ἕξειν ὁμολογήσας, ἥπερ ἐπιτελῇ ταῦτα ποιήσωσι, κυρίους τε αὐτοὺς καταστήσεσθαι χρημάτων μεγάλων, δύο τῶν ἑπομένων ξὺν αὐτοῖς ἔπεμψε κατασκε- ψομένους τὸν χῶρον, ὅθεν οἱ ἄνθρωποι Γότθοις ἔφασκον ἐς τὴν πόλιν ἐσιτητὰ εἶναι. οἵπερ ἐπειδὴ παρὰ τὸ τεῖχος ἀφίκοντο, τῶν καλωδίων λαβόμενοι ἀνέβαινον ἐς τὰς ἐπάλξεις, οὐδενὸς ἐν- ταῦθα ἢ φθεγγομένου ἢ τῶν ποιουμένων αἴσθησιν ἔχοντος. ἐπει- C δή τε ἐνταῦθα ἐγένοντο, τοῖς βαρβάροις οἱ Ἴσαυροι ἅπαντα ἐδείκνυον, ὡς ἀνιέναι μὲν βουλομένοις οὐδὲν ἂν ἐμπόδιον εἴη, ἀνελθοῦσι δὲ πολλὴ ἂν ἐξουσία γένοιτο σφίσιν, οὐδενὸς τὸ παράπαν ἀντιστατοῦντος, ταῦτά τε αὐτοὺς ἀπαγγέλλειν Τωτίλᾳ κελεύσαντες ἀπεπέμψαντο. ἅπερ ἐπεὶ ὁ Τωτίλας ἤκουσεν, ἥσθη μέν πως τῇ ἀγγελίᾳ, ὑποψίᾳ δὲ καὶ ὡς ἐς τοὺς Ἴσαύρους ἐχόμενος οὐ λίαν αὐτοῖς πιστεύειν ἠξίου. ἡμέραις τε οὐ πολλαῖς ὕστερον αὖθις οἱ ἄνθρωποι παρ' αὐτὸν ἦκον, ἐπὶ τὴν πρᾶξιν παρακαλοῦντες. καὶ ὃς ἑτέρους δύο ξὺν αὐτοῖς ἔπεμψεν, ἐφ' ᾧ καὶ D αὐτοὶ ἐς τὸ ἀκριβὲς ἅπαντα διερευνησάμενοι ἀπαγγείλωσιν. οἱ δὲ ἐς αὐτὸν ἐπανήκοντες ἅπαντα ὁμοίως τοῖς προτέροις ἤγγελλον.

3. ἄχρι ἐς τὸ ἔδαφος L. ἐς τοὔδαφος ἄχρι P. 7. ἀδρὰς] ἄνδρας L. 8. ταῦτα] πάντα Reg. 15. εἴη] εἶναι L. 20. οὐ λίαν] οὔπω Reg. 21. αὐτόν] αὐτῶν L.

somni vice tradita vicinis sociis; funibus e pinnis ad solum usque suspensis apprehensisque utraque manu, extra murum delapsi sunt, conventoque Totilae promiserunt, se in urbem ipsum Gotthorumque exercitum accepturos, ac sibi in eo nihil negotii futurum asseverarunt. Ille ipsis gratias habiturum se maximas, et multam pecuniam largiturum pollicitus, si id praestarent; ex suis duos cum illis misit, inspecturos locum, quo Gotthis in urbem aditum fore dicebant. Hi cum ad moenia pervenissent, arreptis funibus evaserunt ad pinnas, nemine eos voce interpellante, nec fraudem sentiente. Hic Isauri Barbaris ostendunt omnia: ascendere volentibus nihil obstare; et patere reditum, nullo obice interposito: eosque, ut haec Totilae referant, hortati, remittunt. Quae cum audisset Totilas, etsi nuntio laetatus est, Isauros tamen suspectos habens, multum ipsis fidere noluit. Paucis post diebus, iisdem reversis, remque aggredi suadentibus, duos alios adiunxit comites, qui omnia diligenter explorata renuntiarent. Isti ad ipsum reduces, eadem quae primi retulerunt. Inter

ἐν τούτῳ δὲ Ῥωμαῖοι στρατιῶται πολλοὶ ἐπὶ κατασκοπῇ στελλόμενοι τῆς πόλεως οὐ πολλῷ ἄποθεν Γότθοις δέκα ὁδῷ ἰοῦσιν ἐνέτυχον, οὓς δὴ ἑλόντες παρὰ τὸν Βέσσαν εὐθὺς ἄγουσι. καὶ ὁ μὲν ἀνεπυνθάνετο τούτων δὴ τῶν βαρβάρων ὅ τί ποτε ὁ Τωτίλας διανοοῖτο, οἱ δὲ Γότθοι ἐν ἐλπίδι ἔφασαν εἶναι τῶν τινας σφίσιν Ἰσαύρων ἐνδώσειν τὴν πόλιν· ἤδη γὰρ ἔκπυστον ἐς τῶν βαρβάρων πολλοὺς ἐγεγόνει. ἀλλὰ καὶ ταῦτα Βέσσας τε καὶ Κώνων ἀκούσαντες ἔν τε ὀλιγωρίᾳ πολλῇ ἔσχον καὶ αὐτῶν ἐντροπὴν οὐδεμίαν πεποίηντο. καὶ τρίτον οἷν Ἴσαυροι Τωτίλᾳ ἐς ὄψιν ἐλθόντες ἐς τὸ ἔργον τὸν ἄνδρα ἐνῆγον. ὁ δὲ ἄλλους τε ξὺν αὐτοῖς ἔπεμψε καὶ τῶν αὐτῷ κατὰ γένος προσηκόντων τινὰ, οἵπερ
P 513 ἐς αὐτὸν ἐπανήκοντες καὶ τὸν πάντα λόγον ἀγγείλαντες ἐς τὴν
V 148 πρᾶξιν ἐπέρρωσαν.

Τωτίλας δὲ, ἐπειδὴ τάχιστα νὺξ ἐγεγόνει, ἅπαν ἡσυχῇ ἐξοπλίσας τὸ στράτευμα ἀπῆγεν ἀμφὶ πύλην Ἀσιναρίαν. καὶ τέσσαρας τῶν ἐν Γότθοις, ἀνδρείας τε καὶ ἰσχύος πέρι εὖ ἥκοντας, ξὺν τοῖς Ἰσαύροις διὰ τῶν βρύχων ἀναβαίνειν ἐς τὰς ἐπάλξεις ἐκέλευεν, ἐς ἐκεῖνον δηλονότι τῆς νυκτὸς τὸν καιρὸν, ἐς ὃν τούτοις δὴ τοῖς Ἰσαύροις ἡ φυλακὴ τοῦ ταύτῃ τείχους ὕπνον ἐκ περιτροπῆς τῶν ἄλλων αἱρουμένων ἐπέβαλεν. οἵπερ, ἐπειδὴ ἐντὸς τοῦ περιβόλου ἐγένοντο, καταβαίνουσιν ἐς πύλας τὰς Ἀσιναρίας, οὐδενὸς σφίσιν ἀντιστατοῦντος, καὶ τύ τε ξύλων πελέ-

3. ἑλόντες] ἑλθόντες L a pr. m. *ibid* παρὰ τὸν] παρ' αὐτὸν L.
5. τινας] τινα L. 20. ἐπέβαλεν] ἐνέβαλε Suidas s. v. περιτροπή.
21. καταβαίνουσιν] καταβαίνουσι μὲν L.

haec complures Romani milites exploratum missi, haud procul ab urbe incidunt in Gotthos decem aliquo proficiscentes: quos comprehensos ad Bessam statim adducunt. Mox ille hos Barbaros de consiliis Totilae percontatus est. Respondent Gotthi, spem esse, fore ut Isaurorum quorumdam proditione urbem capiant: iam enim res ad multorum aures Barbarorum venerat. His Bessas et Conon auditis, ductisque pro nihilo, nullam curam adhibuerunt. Tertium ab Isauris conventus Totilas, et ad susceptionem impulsus, cum illis unum ex suis consanguineis atque alios misit: qui simul ut ad ipsum rediere, certo rei totius indicio, eius animum ad consilium exequendum confirmant.

Primis tenebris, cum arma Totilas silentio copiis omnibus imperasset, eas ad Asinariam ducit, et Gotthos quatuor, animo roboreque praestantes, cum Isauris per funes ad pinnas eniti iubet; arrepto utique noctis tempore, quo caeteris vice sua dormientibus, pro illa muri parte vigilandum his erat Isauris. Illi urbem ingressi, nemine obsistente, ad portam Asinariam descendunt, excidunt que securibus lignum, quo utrius-

κεσι διαφθείρουσιν, ὥπερ ἐνέρσει τοίχου ἑκατέρου ἐναρμοσθέντι B
τὰς πύλας ἐπιζευγνύναι εἰώθεισαν, τά τε σιδήρια ξύμπαντα, οἷς
δὴ τὰς κλεῖς ἀεὶ οἱ φύλακες ἐμβαλλόμενοι ἔκλειόν τε τὰς πύλας
καὶ κατὰ τὴν χρείαν ἀνέωγον. οὕτω δὲ τὰς πύλας ἀναπετάσαν-
τες, ἥπερ ἐβούλοντο, τῇ πόλει Τωτίλαν τε καὶ Γότθων στρατὸν
οὐδενὶ πόνῳ ἐδέξαντο. Τωτίλας δὲ αὐτοὺς ἐνταῦθα ἐς ἕνα χῶ-
ρον ξυναγαγὼν σκεδάννυσθαι οὐδαμῇ εἴασεν· ἔδεισε γὰρ μή τις
ἐνέδρα πρὸς τῶν πολεμίων σφίσι ξυμβαίνῃ. ταραχῆς δὲ, ὡς τὸ
εἰκὸς, τῇ πόλει καὶ θορύβου ἐπιπεσόντος οἱ μὲν πλεῖστοι τῶν
Ῥωμαίων στρατιωτῶν διὰ πύλης τῆς ἑτέρας ξὺν τοῖς ἄρχουσιν
ἔφυγον, ὡς πη ἑκάστῳ εὐπετὲς γέγονεν, ὀλίγοι δέ τινες ξὺν Ῥω-
μαίοις τοῖς ἄλλοις ἐς τὰ ἱερὰ καταφεύγουσι. τῶν δὲ Πατρικίων
Δέκιός τε καὶ Βασίλειος ξὺν ἑτέροις τισὶν (ἵπποι γὰρ σφίσι πα- C
ρόντες ἔτυχον) ξὺν τῷ Βέσσᾳ φυγεῖν ἴσχυσαν. Μάξιμος δὲ καὶ
Ὀλύβριος καὶ Ὀρέστης, καί τινες ἄλλοι ἐς τὸν Πέτρου τοῦ ἀπο- H 287
στόλου νεὼν ἔφυγον. τοῦ μέντοι δήμου πεντακοσίους ἄνδρας
ἀνὰ πᾶσαν τὴν πόλιν ἀπολελεῖφθαι ξυνέπεσεν, οἵπερ ἐς τὰ ἱερὰ
κατέφυγον μόλις. τῶν γὰρ ἄλλων ἁπάντων οἱ μὲν ἀπιόντες ἤδη
πρότερον ἐς ἑτέρας ᾤχοντο χώρας, οἱ δὲ τῷ λιμῷ διεφθάρησαν,
ὥσπερ μοι ἔμπροσθεν εἴρηται. πολλοὶ μὲν οὖν Τωτίλᾳ νύκτωρ
ἤγγελλον ὅτι δὴ Βέσσας τε καὶ οἱ πολέμιοι φεύγουσιν. ὁ δὲ

1. ὥπερ] ὅπερ H: illud Hm. *ibid.* τοίχου] τείχους Suidas s. v. ἐνέρσει. *ibid.* ἐναρμοσθέντι] ἐναρμοσθέντες Suidas. ἐναριθμω-θέντι L a pr. m. 2. εἰώθεισαν] εἰώθεσαν L. εἰώθασι Suidas. 4. οὕτω δὲ] οὕτω δὴ L. 8. ξυμβαίνῃ L. ξυμβαίνει P. 10. τῆς ἑτέρας] τῆς om. L. 11. ἔφυγον Reg. ἐφευγον P. 13. Δέκιός τε] τε om. L. 18. τῶν γὰρ] γὰρ om. L. 21. Βέσσας] βέσας L.

que parietis commissurae inserto iunguntur valvae: iidem ferramenta avellunt omnia; quibus claves indendo, fores claudere custodes consueverant, ac reserare, ut res poscebat. Sic porta ad libitum patefacta, Totilam Gotthorumque exercitum in urbem nullo negotio admiserunt. Insidias hostiles veritus Totilas, eos ibi in unum coactos dissipari non sivit. Tumultu caeco in urbe, ut fit, exorto, Romani milites fere omnes alia porta, prout expeditum cuique fuit, evasere cum Ducibus: pauci cum Romanis residuis in sacras aedes se receperunt. Ex Patriciis Decius, Basilius, aliique nonnulli, quibus equi suppetebant, fugientem Bessam secuti sunt: Maximus, Olybrius, Orestes et quidam alii in templum Petri Apostoli perfugerunt. E plebe quingenti in urbe tota restabant, qui vix templis se committere potuere: caeteri iam ante partim alio concesserant, partim fame, ut supra dixi, perierant. Totilas, multis per noctem nuntiantibus Bessam atque hostes sese proripere, testatus sermo-

τις ἐν Γότθοις Ῥεκιμοῦνδος, ἀνὴρ δόκιμος, ὅνπερ ὁ Τωτίλας
C ἐπὶ τῇ Βρυτίων φρουρᾷ καταστησάμενος ἔτυχε, Γότθων τε καὶ
Ῥωμαίων στρατιωτῶν καὶ Μαυρουσίων αὐτομόλων τινὰς ἔχοντα,
ἐφ' ᾧ ξὺν αὐτοῖς τόν τε κατὰ Σκύλλαν φυλάξει πορθμὸν καὶ τὴν
ταύτῃ ἠόνα, ὡς μήτε ἐνθένδε τινὲς ἀπαίρειν ἐς Σικελίαν μήτε ἐκ
τῆς νήσου ἐνταῦθα καταπλεῖν ἀδεέστερον οἷοί τε ὦσι. τούτῳ
τῷ στρατῷ μεταξὺ Ῥηγίου τε καὶ Βίβωνος ἀπροσδόκητός τε καὶ
αὐτάγγελος Ἰωάννης ἐπιπεσὼν κατέπληξέ τε ἐκ τοῦ αἰφνιδίου, οὐ-
δεμιᾶς ἀλκῆς αὐτοὺς μεμνημένους, καὶ αὐτίκα ἐς φυγὴν ἔτρεψε.
καὶ οἱ μὲν ἐς τὸ ὄρος, ὃ ταύτῃ ἀνέχει, δύσβατόν τε ὂν καὶ ἄλ-
H 284 λως χρημνῶδες, κατέφυγον, Ἰωάννης δὲ διώξας τε καὶ ξὺν τοῖς
πολεμίοις ἐν τῷ ἀνάντει γενόμενος, οὔπω τε σφᾶς αὐτοὺς ἐν ταῖς
D δυσχωρίαις κρατυναμένοις ἐς χεῖρας ἐλθὼν, πλείστους μὲν τῶν
τε Μαυρουσίων καὶ Ῥωμαίων στρατιωτῶν ἔκτεινεν, ἰσχυρότατα
ἀμυνομένους, Ῥεκιμοῦνδον δὲ καὶ Γότθους ξὺν τοῖς λοιποῖς ἅπα-
σιν ὁμολογίᾳ εἷλεν. Ἰωάννης μὲν ταῦτα διαπεπραγμένος αὐτοῦ
ἔμενε, Βελισάριος δὲ Ἰωάννην ἐς ἀεὶ καραδοκῶν ἡσυχῇ ἔμενεν.
ἐμέμφετό τε ὅτι δὴ οὐ διακινδυνεύσας τε καὶ τοῖς ἐν Καπύῃ φυ-
λάσσουσι τριακοσίοις οὖσιν ἐς χεῖρας ἥκων ποιεῖσθαι τὴν ὁδὸν
ἐνεχείρησε, καίπερ βαρβάρους ἀριστίνδην ξυνειλεγμένους ξὺν αὖ-

2. *Βρυτίων*] βριττίων L. 5. *ἠόνα*] ἠιόνα L. *ibid. ἐνθένδε τινὲς*] τινὲς ἐνθένδε L. 7. *μεταξὺ Ῥηγίου*] μεταριγγίου L. *ibid. Βίβωνος*] βέβωνος H. βεύωνος Reg. 8. *αὐτάγγελος* L. ἀπατάγγελος P. 9. *ἀλκῆς*] ἄλλης ἀλκῆς L. 12. *ἐν ταῖς δυσχωρίαις* L. ἐς τὰς δυσχωρίας P. 13. *κρατυναμένοις*] κρατυναμένους H. κρατυνομένοις L. 19. *ὁδὸν*] δίοδον Reg. 20. *ἀριστίνδην* L. ἀριστείνδην HP.

quem Totilas Brutiis praeposuerat, secum Gotthos et Romanos aliquot milites Maurosque transfugas habentem, ut cum illis Scyllaeum fretum ac littus illud obsidens, caveret, ne quis inde in Siciliam solvere, vel ex insula appellere illuc impune posset. Ioannes inopinata celeritate adventus sui famam praecurrens, copias illas inter Rhegium et Vibonem invasit, subitaque impressione adeo perculit, ut virtutis prorsus immemores e vestigio terga verterint. In montem, qui prope eminet difficilis aditu ac praeceps, se receperunt. Ioannes in acclivi hostes assecutus, et antequam inter derupta se munirent, adortus, Maurorum Romanorumque militum validissime repugnantium maximam partem concidit: Recimundum et Gotthos cum reliquis omnibus in deditionem accepit. Re Ioannes ita gesta ibi restitit. Diem ex die expectans avidissime Belisarius, nihil movebat, et Ioannem vituperabat, quod, quamvis Barbarorum florem haberet secum, ferro et collata cum trecentis Capuae praesidiariis manu, viam sibi facere non tentaret. At

τῷ ἔχων. Ἰωάννης δὲ τὴν ὁδὸν ἀπογνοὺς ἐπὶ Ἀπουλίαν ἐχώρησεν, ἔν τε χωρίῳ Κερβαρίῳ καλουμένῳ ἡσύχαζε.

ιθ'. Δείσας οὖν Βελισάριος ἀμφὶ τοῖς πολιορκουμένοις, P 509
μή τι ἀνήκεστον δράσωσι τῶν ἀναγκαίων τῇ ἀπορίᾳ, ὅτῳ δὴ V 140
τρόπῳ τὰ ἐπιτήδεια ἐς Ῥώμην ἐσκομίζειν διενοεῖτο. καὶ ἐπεὶ δύναμιν ἀξιόμαχον πρός γε τοὺς πολεμίους οὐδαμῇ εἶχεν, ὥστε μάχῃ ἐν τῷ πεδίῳ πρὸς αὐτοὺς διακρίνεσθαι, πρότερον ἐπενόει τάδε. ἀκάτους δύο ἐς ἄγαν εὐρείας ζεύξας τε καὶ λίαν ἐς ἀλλήλας ξυνδήσας, πύργον ξύλινον ἐπ' αὐταῖς ἐτεκτήνατο, πολλῷ καθυπέρτερον τῶν τοῖς πολεμίοις ἐν τῇ γεφύρᾳ πεποιημένων. ξυμμετρησάμενος γὰρ αὐτοὺς ἐς τὸ ἀκριβὲς ἔτυχε πρότερον, πέμψας τῶν οἱ ἑπομένων τινὰς, ὑπὲρ ἐς τοὺς βαρβάρους αὐτόμολοι δῆθεν τῷ λόγῳ ἐστέλλοντο. δρόμωνάς τε διακοσίους τείχεσι B
ξυλίνοις περιβαλὼν ἐς Τίβεριν καθῆκε, πανταχόθι τῶν ξυλίνων τειχῶν τρυπήματα ποιησάμενος, ὅπως δὴ βάλλειν τοὺς πολεμίους ἐνθένδε σφίσι δυνατὰ εἴη. σῖτόν τε οὖν καὶ ἄλλα τῶν ἐπιτηδείων πολλὰ τοῖς δρόμωσι τούτοις ἐνθέμενος στρατιωτῶν αὐτοὺς τῶν μαχιμωτάτων ἐπλήρου. στρατιώτας δὲ ἄλλους πεζούς τε καὶ ἱππεῖς ἑκατέρωθεν ἐν χωρίοις ἐχυροῖς τισιν ὑμφὶ τὰς τοῦ Τιβέριδος ἐκβολὰς ἔστησεν, οὓς δὴ ἐκέλευσε μένειν τε αὐτοῦ καὶ, ἤν τῶν πολεμίων τινὲς ἐπὶ τὸν πόρτον ἴωσι, διακωλύειν δυνάμει τῇ πάσῃ. τὸν δὲ Ἰσαάκην ἐς τὸν πόρτον ἐσαγαγὼν τήν τε πόλιν C
καὶ τὴν γυναῖκα παρέδωκε καὶ εἴ τι ἄλλο ἐνταῦθα ἔχων ἐτύγχανε.

1. Ἀπουλίαν] ἀπουλίας L. 3. τοῖς om. L. 5. ἐσκομίζειν] εἰσκομίζειν L. 8. ἀλλήλας] ἀλλήλους L. 12. ἐς τοὺς] εἰς τοὺς L. 20. οὓς δὴ Reg. οἷς δὴ P.

Ioannes, desperato transitu, in Apuliam cessit, et Cervarii (id loco nomen) stativa habuit.

19. Veritus Belisarius, ne obsessos Romanos ad gravius aliquid statuendum impelleret annonae penuria, commeatus Romam quoquomodo inferre meditabatur. Et quoniam erat infirmior, quam ut acie in campo cum hoste decerneret, haec prius excogitavit. Iunctis ac valide connexis duabus scaphis latioribus, ligneam turrim imposuit, multo illis editiorem, quas ad pontem hostes condiderant. Earum enim mensuram probe ante compererat per quosdam ex suis, qui ad Barbaros transfugium simularant. In Tiberim ducentos induxit dromones, munitos tabulis, quas ad murorum formam eductas crebris foraminibus distinxit, ut in hostes tela inde emitti possent. Frumento in hos dromones cum aliis cibariis multis imposito, eosdem militibus fortissimis complevit. Milites alios pedites equitesque utrinque ad Tiberis ostia in locis quibusdam firmis disposuit, ibique stare iussit, ac totis viribus prohibere hostem, si qui peterent Portum. Inducto huc Isaaci oppidum uxoremque suam, et quidquid inibi repositum habebat, commisit, praecepitque, nullo inde pacto

καὶ οἱ ἐπίστειλε μηδεμιᾷ ἐνθένδε μηχανῇ ἀπαλλάσσεσθαι, μηδ' ἢν Βελισάριον πύθηται πρὸς τῶν πολεμίων ἀπολωλέναι, ἀλλὰ τῆς φυλακῆς ἐς ἀεὶ ἔχεσθαι, ὅπως, ἤν τι σφίσιν ἐναντίωμα ὑπαντιάσῃ, ἔξουσιν ὅπη διαφυγόντες σωθήσονται. ὀχύρωμα γὰρ ἄλλο ταύτης δὴ τῆς χώρας οὐδαμῇ εἶχον, ἀλλὰ πάντα σφίσι παν- 5
ταχόθεν πολέμια ἦν. αὐτὸς δὲ ἐς ἕνα τῶν δρομώνων ἐμβὰς τοῦ τε στόλου ἡγεῖτο καὶ τὰς ἀκάτους ἑφέλκειν ἐκέλευεν, οὗ δὴ τὸν πύργον ἐτύγχανε τεκτηνάμενος. τοῦ δὲ πύργου ὕπερθεν λέμβον
D τινὰ ἔθετο, πίσσης τε καὶ θείου καὶ ῥητίνης αὐτὸν ἐμπλησάμενος καὶ τῶν ἄλλων ἁπάντων ὅσα δὴ τοῦ πυρὸς βρῶσις ὀξυτάτη γί- 10
νεσθαι πέφυκε. κατὰ δὲ τὴν ἑτέραν τοῦ ποταμοῦ ὄχθην, ἥ ἐστιν ἐκ τοῦ πόρτου ἐς Ῥώμην ἰόντι, πεζὸς παραβεβοηθήκει στρατός. πέμψας δὲ καὶ παρὰ Βίσσαν τῇ προτεραίᾳ ἐκέλευε τῇ ἐπιγενησομένῃ ἡμέρᾳ πολλῷ στρατῷ ἐπεξιόντι ξυνταράξαι τὰ τῶν πολεμίων στρατόπεδα, ὅπερ οἱ καὶ πρότερον ἐπιστεί- 15
λας πολλάκις ἤδη ἐτύγχανεν. ἀλλὰ Βίσσας οὔτε πρότερον οὔτε ἐν ταύτῃ τῇ μάχῃ ἐπιτελῆ ποιεῖν τὰ ἐπαγγελλόμενα ἔγνω.
P 510 ἔτι γάρ οἱ μόνῳ τι τοῦ σίτου ἐλέλειπτο, ἐπεὶ ὅσον ἐς Ῥώμην οἱ Σικελίας ἄρχοντες πρότερον ἔπεμψαν τοῖς τε στρατιώ- 20
ταις ἐπαρκέσοντα καὶ τῷ δήμῳ παντὶ, αὐτὸς ὀλίγον μὲν κομιδῇ τῷ δήμῳ ἀφῆκε, τὸν δὲ πλεῖστον κεκομισμένος ἐπὶ τῷ τῶν στρατιωτῶν λόγῳ ἀπέκρυψεν, ὅνπερ τοῖς ἐκ βουλῆς ἀποδεδο-

1. ἐπίστειλε Reg. ἐπίστιλλε P. 5. πανταχόθεν] πανταχόσε L. 6. ἐμβὰς] ἐσβὰς L. 7. τὰς om. L. 15. πρότερον] πρῶτα Reg. 16. οὔτε — οὔτε] οὐδὲ — οὐδὲ P. 17. τὰ om. L. 22. στρατιωτῶν] στρατηγῶν L: illud Lm. ibid. τοῖς ἐκ] τῆς L.

pedem efferret, ne allato quidem nuntio caesum ab hostibus Belisarium; at in custodiam semper insisteret, ut, si quid adversi contingeret, receptum aliquem haberent. Et vero nullum ipsis in eo tractu munimentum restabat, erantque ubivis omnia inimica. Ipse conscenso dromone, classi ducem se praebuit, et scaphas trahi iussit, in quibus ligneam turrim construxerat. Turri lembum superposuit, pice, sulphure, resina, et aliis cuiusquemodi, igni promptissime concipiendo alendoque idoneis, plenum. In altera amnis ripa, qua a Portu Romam itur, praesto aderat peditatus. Pridie Belisarius Bessae miserat, ut die sequenti pluribus eductis copiis castra hostium fatigaret: quod ipsum iam ante eidem saepe denuntiarat. Verum Bessas nec prius, nec modo in hoc congressu mandata exequi voluit. Adhuc enim ipsi soli nonnihil frumenti supererat. Quippe annonae, quam antea Duces Romam ex Sicilia miserant, militibus omnique populo suffecturam, ille perexigua parte concessa populo,

μένος χρημάτων μεγάλων διαλύεσθαι τὴν πολιορκίαν ἥκιστα ἤθελε.

Βελισάριος μὲν οὖν καὶ Ῥωμαίων στόλος πόνῳ ἀναπλέοντες, ἅτε τοῦ ῥεύματος σφίσιν ἀντιστατοῦντος, ἤεσαν. Γότθοι δὲ οὐδαμῇ ὑπηντίαζον, ἀλλ' ἐν τοῖς χαρακώμασιν ἡσυχῇ ἔμενον. ἤδη δὲ Ῥωμαῖοι ἄγχιστα τῆς γεφύρας γενόμενοι φρουρᾷ πολεμίων ἐνέτυχον, οἳ δὴ ἑφ' ἑκάτερα τοῦ ποταμοῦ σειρᾶς σιδηρᾶς ἐπὶ τῇ φυλακῇ ἐτετάχατο, ἣν οὐ πολλῷ πρότερον ἐνταῦθα ἐναποθέμενος Τωτίλας ἔτυχεν, ἐκ τῆς ἑτέρας τοῦ Τιβέριδος ὄχθης ἄχρι ἐς τὴν ἑτέραν ἐξικνουμένην, ὅπως δὴ μηδὲ ὅσον ἐς τὴν γέφυραν ἰέναι οἱ ἐναντίοι εὐπετῶς δύνωνται. καὶ αὐτῶν βάλλοντες τοὺς μὲν ἔκτειναν, τοὺς δὲ τρεψάμενοι καὶ τὴν ἅλυσιν ἀνελόμενοι εὐθὺ τῆς γεφύρας ἐχώρησαν. ἐπειδή τε τάχιστα ἐς αὖτὴν ἦλθον, ἔργου εἴχοντο, οἵ τε βάρβαροι ἐκ τῶν πύργων ἠμύνοντο καρτερώτατα. ἤδη δὲ καὶ ἐκ τῶν χαρακωμάτων ἐξαναστάντες ἐπὶ τὴν γέφυραν δρόμῳ ἐχώρουν. τότε δὴ Βελισάριος τὰς ἀκάτους, ἐφ' ὧν ὁ πύργος πεποίηται, ὡς ἀγχοτάτω ἀγαγὼν θατέρου τῶν πολεμίων πύργου, ὃς δὴ ἐπὶ τῆς κατὰ πόρτον ὁδοῦ ἐπ' αὐτοῦ τοῦ ποταμοῦ τὸ ὕδωρ εἱστήκει, ἐκέλευε τὸν λέμβον ὑφάψαντας ὕπερθεν τῶν πολεμίων τοῦ πύργου ῥίπτειν. καὶ Ῥωμαῖοι μὲν κατὰ ταῦτα ἐποίουν. ἐμπεσὼν δὲ τῷ πύργῳ ὁ λέμβος αὐτόν τε αὐτίκα μάλα ἐνέπρησε καὶ ξὺν αὐτῷ Γότθους

7. οἳ δὴ] οὗ δὴ H: sed οἳ δὴ Hm. *ibid.* σειρᾶς σιδηρᾶς] σειρὰ σιδηρὰ H: illud Hm. 17. ἀγχοτάτω] ἀγχιτάτω L. 18. πολεμίων] πολέμων L. 20. ῥιπτεῖν] ῥίπτειν L.

maximam recondiderat, interversam specie militaris annonae. Et quia Senatoribus magno id pretio distrahebat, solvi nolebat obsidionem.

Ergo Belisarius ac Romana classis cum sudore multo, adverso flumine navigantes, pergebant: Gotthi nusquam obsistebant obviam, seque continebant in castris. Romani, iam ponti proximi, praesidium offendunt hostium: qui ad fluvium hinc inde locati fuerant, custodiendae causa catenae ferreae, quam ibi Totilas paulo ante ab altera ripa ad alteram tetenderat, ut hostibus facultas omnis ad pontem subeundi praecluderetur. Telis Barbaros partim conficiunt: aliis dissipatis, ac sublata catena, ad pontem recta contendunt: quem simul ut attigere, res geri coepta est. E turribus Barbari fortissime resistebant: iamque alii castris egressi ad pontem properabant. Tum Belisarius, scaphis, quibus turrim superstruxerat, ad alteram applicitis hostium turrim, quae propter viam Portuensem flumini imminebat, lembum incensum supra turrim hostilem devolvi iussit. Imperata Romani faciunt. Illapsus turri lembus, puncto temporis eam igni corrupit: quo Gotthi una arserunt omnes, ad ducen-

ἅπαντας, ἐς διακοσίους μάλιστα ὄντας. ἐκαύθη δὲ καὶ Ὄσδας ξὺν αὐτοῖς, ὃς αὐτῶν ἦρχε, Γότθων ἁπάντων μαχιμώτατος ὤν. θαρσήσαντες δὲ ἤδη Ῥωμαῖοι τοὺς ἐκ τῶν χαρακωμάτων ἐπιβεβοηθηκότας βαρβάρους ἔτι μᾶλλον ἢ πρότερον ἔβαλλον. οἱ δὲ καταπεπληγμένοι τοῖς ξυμπεσοῦσι τρέψαντες τὰ νῶτα, ὡς ἕκαστός πη ἠδύνατο, ἐς φυγὴν ὥρμηντο. τῆς τε γεφύρας Ῥωμαῖοι
D ἥπτοντο καὶ αὐτὴν ἔμελλον αὐτίκα μάλα διαφθείραντες πρόσω ἰέναι, ἔς τε Ῥώμην κομίζεσθαι οὐδενὸς ἔτι ἀντιστατοῦντος. ἀλλ' ἐπεὶ οὐκ ἦν ταῦτα βουλομένῃ τῇ τύχῃ, τῶν τινος φθονερῶν δαιμόνων μηχανὴ γέγονεν, ἣ τὰ Ῥωμαίων πράγματα ἔφθειρε τρόπῳ τοιῷδε.

Ἐν ᾧ τὰ στρατόπεδα τῇδε, ἧπερ ἐρρήθη, εἱστήκει, ἐν τούτῳ τις φήμη ἐπὶ πονηρῷ τῷ Ῥωμαίων ἐς πόρτον ἦλθεν, ὡς νικῴη μὲν Βελισάριον, ἀνέλοιτο δὲ τὴν ἄλυσιν, διαφθείρας τοὺς ταύτῃ βαρβάρους καὶ τὰ ἄλλα, ἅπερ μοι ἔμπροσθεν εἴρηται. Ἰσαάκης δὲ ταῦτα ἀκούσας οὐκέτι οἷός τε ἦν ἐν αὐτῷ μένειν, ἀλλὰ κλέους τοῦδε μεταλαχεῖν ἐν σπουδῇ εἶχε. τῶν τε Βελισαρίου ἐντολῶν ἀλογήσας, ὅτι τάχιστα ἐς τὴν ἑτέραν τοῦ ποταμοῦ ὄχθην, ἧπερ Ὄστια ἐστὶν, ἀπιὼν ᾤχετο. καὶ τῶν στρατιωτῶν,
Γ 611 οὕσπερ ἐνταῦθα Βελισάριος καταστησάμενος ἔτυχεν, ἱππεῖς ἑπτακαίδεκα ἑπόμενος ἑκατὸν ἐπὶ τὸ τῶν πολεμίων χαράκωμα ἤλαυνεν, οὗ Ῥουβέριχος

1. „ὄντας. ἐκαύθη Ὄσδας] Sic emendavi, iuvante Vat. quae in aliis codicibus sententiam efficiunt perturbatam.“ Malt. ὄντας, ἔκαυσε. καὶ ὃς δὲ H. ὄντας, ἐκαύθη δὲ καὶ ὃς δὲ L, unde δὲ καὶ inserui. Osdeus Pers. 2. ξὺν] σὺν L. 4. ἔβαλλον] ἔβαλον L. 9. φθονερῶν] φανερῶν H. 12. τὰ στρατόπεδα] τὰ om. L. 13. πονηρῷ] πονήρῳ P. ibid. τῷ] τῶν L. ibid. ἦλθεν] ἐλθοῦσα περιήγγειλεν Reg. 16. Ἰσαάκης] Ἰσαάκιος L. 18. ἐντολῶν] ἐντολὰς L. 19. ἧπερ Ὄστια ἐστὶν om. L. 21. Ῥουβέριχος] ῥουβέλιχος H, et infra.

tos fere. Eodem incendio periit illorum dux Osdas, Gotthorum omnium bellicosissimus. Iam Romani fidenti animo Barbaros, qui e castris subsidio venerant, telis magis ac magis impetere: illi casu perculsi terga dare, et pro se quisque in fugam ruere. Pontem contingebant Romani, ac parabant, eo protinus rupto, progredi, et absque ullo impedimento Romam petere. At quoniam Fortunae aliter visum erat, fraus invidi cuiusdam Daemonis rem Romanam hoc modo perdidit.

Dum ita, ut dictum est, sese habent exercitus, interea ortus in Romanorum perniciem rumor ad portum venit, vicisse Belisarium, amovisse catenam, caesis custodibus illius Barbaris; et caetera, quae supra narravi, nuntiat. His auditis, impotens animi Isaaces, in partem huius gloriae venire ardet, spretisque Belisarii mandatis, ad Ostiensem fluminis ripam advolat, atque ex militum numero, quos illic Belisarius collocaverat, assumptis centum equitibus, in castra hostium, quibus praeerat Ru-

δέριχος ἦρχεν, ἀνὴρ ἀγαθὸς τὰ πολέμια. ἐπελθών τε ἐκ τοῦ αὐφνιδίου τοῖς ἐκείνῃ βαρβάροις ἄλλους τέ τινας καὶ Ῥουδέριχον ὑπαντιάσαντα ἔπληξεν. οἱ δὲ Γότθοι εὐθὺς λιπόντες τὸ στρατόπεδον ὑπεχώρησαν, ἢ πλῆθος πολεμίων ὑποτοπήσαντες ἀμφὶ τὸν Ἰσαάκην ὄπισθεν εἶναι, ἢ τοὺς ἐναντίους ἐξαπατῶντες, ὅπως δὴ αὐτοὺς, ὅπερ ἐγένετο, ἐλεῖν δύνωνται. οἱ μὲν οὖν ξὺν τῷ Ἰσαάκῃ εἰσδύσαντες ἐς τὸ τῶν πολεμίων χαράκωμα τόν τε ἄργυρον, ὅσπερ ἐνταῦθα ἔκειτο, καὶ τὰ ἄλλα χρήματα ἥρπαζον. ἀναστρέψαντες δὲ αὐτίκα οἱ Γότθοι πολλοὺς μὲν κτείνουσι τῶν B ἐναντίων, ζῶντα δὲ Ἰσαάκην ξὺν ἑτέροις τισὶν οὐ πολλοῖς εἷλον. ἥκοντές τε ἱππεῖς παρὰ Βελισάριον δρόμῳ ἀγγέλλουσιν ὅτι δὴ ἔχοιτο πρὸς τῶν πολεμίων Ἰσαάκης. Βελισάριος δὲ κατιπλαγείς τε οἷς ἠκηκόει καὶ οὐ διερευνησάμενος ὁπόλα ποτὲ μηχανῇ Ἰσαάκης ἁλίῳη, ἀλλ' οἰόμενος τόν τε πόρτον καὶ τὴν γυναῖκα αὐτοῦ ἀπολωλέναι καὶ ἅπαντα διεφθάρθαι σφίσι τὰ πράγματα, ἄλλο τε οὐδὲν ἀπολελεῖφθαι ὀχύρωμα, ὅπη ἂν καταφυγόντες τὸ λοιπὸν σώζοιντο, ἐς ἀφασίαν ἐμπέπτωκεν, οὐ γεγονὼς αὐτῷ πρότερον τοῦτό γε. διὸ δὴ κατὰ τάχος ὀπίσω ἴπῆγε τὸ στράτευμα, ὡς ἐπιθησόμενος μὲν ἀπαρασκεύοις ἔτι τοῖς πολεμίοις οἷσιν, ἀνα- C σωσόμενος δὲ πάσῃ μηχανῇ τὸ χωρίον. οὕτω μὲν ὁ Ῥωμαίων στρατὸς ἐνθένδε ἄπρακτοι ἀνεχώρησαν. ἐν δὲ τῷ πόρτῳ γενόμενος Βελισάριος, τήν τε Ἰσαάκου μανίαν ἔγνω καὶ τῆς οὐ δέον οἱ

6. δύνωνται L. δύνανται P. 7. εἰσδύσαντες] δείσαντες L. 9. αὐτίκα οἱ γότθοι L. οἱ Γότθοι αὐτίκα P. 14 αὐτοῦ om. L. 16. καταφυγόντες] καταλιπόντες L. 19. ἀπαρασκεύοις] ἀτάκτοις Reg. ibid. οὖσι adiudi ex Reg. 22. Ἰσαάκου] ἰσαακίου L.

dericus, vir egregius bello, invehitur. Repentino in Barbaros ibi positos facto impetu, cum nonnullos alios vulneravit, tum ipsum, qui occurrerat, Rudericum. Quare Gotthi, statim relictis castris, se subduxerunt, post Isaacem maiores hostium copias adesse rati, vel dolo adversarios deludentes; ut eos, quod et factum est, capere possent. Castra hostium Isaaces, et qui ipsum sequebantur, ingressi, argentum illic repositum caeterasque opes diripiunt. Reversi extemplo Gotthi, multis peremptis, Isaacem cum paucis aliis vivum capiunt. Belisarium citato cursu adeunt equites, et in manus hostium Isaacem venisse nuntiant. Belisarius auditis attonitus, quo modo captus Isaaces fuisset omisit quaerere: actumque putans de Portu, uxore, et rerum summa, neque ullam sibi munitionem reliquam esse, in quam postmodum se tuto reciperent, in stuporem decidit: quod certe ipsi nunquam ante contigerat. Itaque e vestigio reduxit exercitum, eo consilio, ut hostes imparatos adoriretur, atque oppidum omni ope recuperaret. Ita quidem Rom. exercitus inde re infecta discessit: ubi vero Portum attigit Belisarius, Isaacem insaniisse,

αὐτῷ ξυμβάσης ταραχῆς ἤσθετο, τῷ τε τῆς τύχης ἐναντιώματι περιώδυνος γεγονὼς ἐνόσει τὸ σῶμα. πυρετὸς γὰρ ἐπιγενόμενος ἐς χρόνου μῆκος ὑπερφυῶς τε αὐτὸν ἠνία καὶ ἐς κίνδυνον θανάτου ἦγεν. ἡμέραιν δὲ δυοῖν ὕστερον Ῥουδερίχῳ τε ξυνέβη τελευτῆσαι τὸν βίον καὶ ὁ Τωτίλας περιαλγήσας τῇ ξυμφορᾷ τὸν Ἰσαάκην διέφθειρε.

D V 142 κ'. Βέσσας τε τὸν σῖτον ἔτι μᾶλλον ἀπεμπολῶν ἐπλούτει, πρυτανευούσης αὐτῷ τὰς τιμὰς τῆς τῶν δεομένων ἀνάγκης. καὶ ὅλος εἰς μέριμναν τὴν περὶ ταῦτα ἐσπουδακὼς οὔτε φυλακῆς τοῦ περιβόλου οὔτε ἄλλου ὁτουοῦν ἀσφαλείας πέρι ἐπεμελεῖτο, ἀλλ' ἀναπεπτωκέναι μὲν τῶν στρατιωτῶν τοῖς γε βουλομένοις ἐξῆν, P 512 φυλακτήριον δὲ ὀλίγων τινῶν ἐν τοῖς τείχεσιν ἦν, καὶ τοῦτο δὲ H 286 ἀπημελημένον ὡς μάλιστα. οἷς γὰρ ἀεὶ τὴν φυλακὴν ἐπικεῖσθαι ξυνέβαινε, πολλὴ ἐξουσία τοῦ καθεύδειν ἐγίνετο, ἐπεὶ οὐδεὶς αὐτοῖς ἐφειστήκει, ὅστις ἂν καὶ λόγον τινὰ τοῦ τοιούτου ποιοῖτο· οὐδὲ περιόντες τινὲς κύκλῳ τῶν περιβόλων, ἥπερ εἰώθει, διερευνᾶσθαι τοὺς φύλακας ὅ τί ποτε ποιοῦσιν ἠξίουν, οὐ μὴν οὐδέ τις τῶν οἰκητόρων αὐτοῖς ξυμφυλάσσειν ἠδύνατο. ὀλίγοι τε γὰρ κομιδῇ ἐνταῦθα, ὥσπερ μοι ἐρρήθη, ἐλείποντο καὶ αὐτοὶ τῷ λιμῷ ὑπερφυῶς κεκακωμένοι.

Τέσσαρες οὖν Ἴσαυροι, ἀμφὶ πύλην Ἀσιναρίαν φυλακὴν ἔχοντες, τηρήσαντες τῆς νυκτὸς τὸν καιρόν, ἐν ᾧ τοῖς μὲν τῶν

9. οὔτε — οὔτε] οὐδὲ — οὐδὲ P. 14. τοῦ] τοὺς L. αὐτοὺς et τούτοις Lm. 15. ὅστις] οὔτι L. οὔτε Lm. ibid. ποιοῖτο] ποιεῖτο L. 16. περιόντες] περιόντες L. 19. ἐλείποντο L. ἐλίποντο P.

et male se perturbatum fuisse cognovit. Eius animum dolore, et corpus morbo graviter afflixit adversus hic casus. Excitata enim febris, ipsum diuturnissimo cruciatu in extremum periculum adduxit. Post biduum mortuo Ruderico, ipsius vicem vehementius dolens Totilas, Isaacem vita spoliavit.

20. Bessas opes sibi cumulabat, in dies carius divendens frumentum: cuius pretium necessitas egentium accendebat. T'otus in ea cura, murorum custodiam, ac caetera, quae securitatem praestarent, habebat in postremis. Militibus si libebat supinis esse, licebat. Pauci pro muro excubabant, idque negligentissime. Etenim vigilibus dormire semper liberum erat: cum nullus esset ipsis praepositus, qui id curaret: nec quid custodes agerent, inspicere quisquam vellet, murorum stationes, ut mos est, obeundo. Praeterea nemo civium cum illis agere excubias poterat. Siquidem perquam pauci, ut dictum est, in urbe erant reliqui, iique confecti fame.

Quare Isauri quatuor, qui custodiam ad portam Asinariam agitabant, captato noctis tempore, quo ipsis pro illa muri parte incumbebat vigilia,

αὐτῶν ἐχομένοις καθεύδειν ἐπέβαλλεν, αὐτοῖς δὲ ἡ φυλακὴ τοῦ ἐκείνῃ τείχους ἐπέκειτο, κάλως τε ἐκ τῶν ἐπάλξεων ἀναρτήσαν- B
τες ἄχρι ἐς τοὔδαφος ἐξικνουμένους, καὶ τούτων χερσὶν ἀμφοτέραις λαβόμενοι ἔξω τοῦ περιβόλου ἐγένοντο καὶ παρὰ Τωτίλαν
5 ἀφικόμενοι δέξασθαι τῇ πόλει αὐτόν τε ὡμολόγουν καὶ τὸν Γότθων στρατόν· δυνατοὶ γὰρ εἶναι τοῦτο ποιεῖν ἰσχυρίζοντο οὐδενὶ πόνῳ. καὶ ὃς χάριτας σφίσιν ἀδρὰς ἕξειν ὁμολογήσας, ἥνπερ ἐπιτελῇ ταῦτα ποιήσωσι, κυρίους τε αὐτοὺς καταστήσεσθαι χρη-
μάτων μεγάλων, δύο τῶν ἑπομένων ξὺν αὐτοῖς ἔπεμψε κατασκε-
10 ψομένους τὸν χῶρον, ὅθεν οἱ ἄνθρωποι Γότθοις ἔφασκον ἐς τὴν πόλιν ἐσιτητὰ εἶναι. οἵπερ ἐπειδὴ παρὰ τὸ τεῖχος ἀφίκοντο, τῶν καλωδίων λαβόμενοι ἀνέβαινον ἐς τὰς ἐπάλξεις, οὐδενὸς ἐν- C
ταῦθα ἢ φθεγγομένου ἢ τῶν ποιουμένων αἴσθησιν ἔχοντος. ἐπει-
15 δή τε ἐνταῦθα ἐγένοντο, τοῖς βαρβάροις οἱ Ἴσαυροι ἅπαντα ἐδεί-
κνυον, ὡς ἀνιέναι μὲν βουλομένοις οὐδὲν ἂν ἐμπόδιον εἴη, ἀνελ-
θοῦσι δὲ πολλὴ ἂν ἐξουσία γένοιτο σφίσιν, οὐδενὸς τὸ παράπαν ἀντιστατοῦντος, ταῦτά τε αὐτοὺς ἀπαγγέλλειν Τωτίλᾳ κελεύσαν-
τες ἀπεπέμψαντο. ἅπερ ἐπεὶ ὁ Τωτίλας ἤκουσεν, ἥσθη μέν
20 πως τῇ ἀγγελίᾳ, ὑποψίᾳ δὲ καὶ ὡς ἐς τοὺς Ἴσαύρους ἐχόμενος οὐ λίαν αὐτοῖς πιστεύειν ἠξίου. ἡμέραις τε οὐ πολλαῖς ὕστερον αὖθις οἱ ἄνθρωποι παρ' αὐτὸν ἦκον, ἐπὶ τὴν πρᾶξιν παρακα-
λοῦντες. καὶ ὃς ἑτέρους δύο ξὺν αὐτοῖς ἔπεμψεν, ἐφ' ᾧ καὶ D
αὐτοὶ ἐς τὸ ἀκριβὲς ἅπαντα διερευνησάμενοι ἀπαγγείλωσιν. οἱ δὲ ἐς αὐτὸν ἐπανήκοντες ἅπαντα ὁμοίως τοῖς προτέροις ἤγγελλον.

3. ἄχρι ἐς τὸ ἔδαφος L. ἐς τοὔδαφος ἄχρι P. 7. ἀδρὰς] ἄνδρας L. 8. ταῦτα] πάντα Reg. 15. εἴη] εἶναι L. 20. οὐ λίαν] οὔπω Reg. 21. αὐτὸν] αὐτῶν L.

somni vice tradita vicinis sociis; funibus e pinnis ad solum usque suspensis apprehensisque utraque manu, extra murum delapsi sunt, conventoque Totilae psomiserunt, se in urbem ipsum Gotthorumque exercitum accepturos, ac sibi in eo nihil negotii futurum asseverarunt. Ille ipsis gratias habiturum se maximas, et multam pecuniam largiturum pollicitus, si id praestarent; ex suis duos cum illis misit, inspecturos locum, quo Gotthis in urbem aditum fore dicebant. Hi cum ad moenia pervenissent, arreptis funibus evaserunt ad pinnas, nemine eos voce interpellante, nec fraudem sentiente. Hic Isauri Barbaris ostendunt omnia: ascendere volentibus nihil obstare; et patere reditum, nullo obice interposito: eosque, ut haec Totilae referant, hortati, remittunt. Quae cum audisset Totilas, etsi nuntio laetatus est, Isauros tamen suspectos habens, multum ipsis fidere noluit. Paucis post diebus, iisdem reversis, remque aggredi suadentibus, duos alios adiunxit comites, qui omnia diligenter explorata renuntiarent. Isti ad ipsum reduces, eadem quae primi retulerunt. Inter

ἐν τούτῳ δὲ Ῥωμαῖοι στρατιῶται πολλοὶ ἐπὶ κατασκοπῇ στελλόμενοι τῆς πόλεως οὐ πολλῷ ἄποθεν Γότθοις δέκα ὁδῷ ἰοῦσιν ἐνέτυχον, οὓς δὴ ἑλόντες παρὰ τὸν Βέσσαν εὐθὺς ἄγουσι. καὶ ὁ μὲν ἀνεπυνθάνετο τούτων δὴ τῶν βαρβάρων ὅ τί ποτε ὁ Τωτίλας διανοοῖτο, οἱ δὲ Γότθοι ἐν ἐλπίδι ἔφασαν εἶναι τῶν τινας σφίσιν Ἰσαύρων ἐνδώσειν τὴν πόλιν· ἤδη γὰρ ἔκπυστον ἐς τῶν βαρβάρων πολλοὺς ἐγεγόνει. ἀλλὰ καὶ ταῦτα Βέσσας τε καὶ Κώνων ἀκούσαντες ἔν τε ὀλιγωρίᾳ πολλῇ ἔσχον καὶ αὐτῶν ἐντροπὴν οὐδεμίαν πεποίηντο. καὶ τρίτον οἵ γε Ἴσαυροι Τωτίλᾳ ἐς ὄψιν ἐλθόντες ἐς τὸ ἔργον τὸν ἄνδρα ἐνῆγον. ὁ δὲ ἄλλους τε ξὺν αὐτοῖς ἔπεμψε καὶ τῶν αὐτῷ κατὰ γένος προσηκόντων τινὰ, οἵπερ
P 513 ἐς αὐτὸν ἐπανήκοντες καὶ τὸν πάντα λόγον ἀγγείλαντες ἐς τὴν πρᾶξιν ἐπέρρωσαν.

Τωτίλας δὲ, ἐπειδὴ τάχιστα νὺξ ἐγεγόνει, ἅπαν ἡσυχῇ
V 143 ἐξοπλίσας τὸ στράτευμα ἀπῆγεν ἀμφὶ πύλην Ἀσιναρίαν. καὶ τέσσαρας τῶν ἐν Γότθοις, ἀνδρείας τε καὶ ἰσχύος πέρι εὖ ἥκοντας, ξὺν τοῖς Ἰσαύροις διὰ τῶν βρύχων ἀναβαίνειν ἐς τὰς ἐπάλξεις ἐκέλευεν, ἐς ἐκεῖνον δηλονότι τῆς νυκτὸς τὸν καιρὸν, ἐς ὃν τούτοις δὴ τοῖς Ἰσαύροις ἡ φυλακὴ τοῦ ταύτῃ τείχους ὕπνον ἐκ περιτροπῆς τῶν ἄλλων αἱρουμένων ἐπέβαλεν. οἵπερ, ἐπειδὴ ἐντὸς τοῦ περιβόλου ἐγένοντο, καταβαίνουσιν ἐς πύλας τὰς Ἀσιναρίας, οὐδενὸς σφίσιν ἀντιστατοῦντος, καὶ τὸ τε ξύλον πελέ-

3. ἑλόντες] ἐλθόντες L a pr. m. *ibid* παρὰ τὸν] παρ' αὐτὸν L.
5. τινας] τινα L. 20. ἐπέβαλεν] ἐνέβαλε Suidas s. v. περιτροπῆ.
21. καταβαίνουσιν] καταβαίνουσι μὲν L.

haec complures Romani milites exploratum missi, haud procul ab urbe incidunt in Gotthos decem aliquo proficiscentes: quos comprehensos ad Bessam statim adducunt. Mox ille hos Barbaros de consiliis Totilae percontatus est. Respondent Gotthi, spem esse, fore ut Isaurorum quorumdam proditione urbem capiant: iam enim res ad multorum aures Barbarorum venerat. His Bessas et Conon auditis, ductisque pro nihilo, nullam curam adhibuerunt. Tertium ab Isauris conventus Totilas, et ad susceptionem impulsus, cum illis unum ex suis consanguineis atque alios misit: qui simul ut ad ipsum rediere, certo rei totius indicio, eius animum ad consilium exequendum confirmant.

Primis tenebris, cum arma Totilas silentio coplis omnibus imperasset, eas ad Asinariam ducit, et Gotthos quatuor, animo roboreque praestantes, cum Isauris per funes ad pinnas eniti iubet; arrepto utique noctis tempore, quo caeteris vice sua dormientibus, pro illa muri parte vigilandum his erat Isauris. Illi urbem ingressi, nemine obsistente, ad portam Asinariam descendunt, excidunteque securibus lignum, quo utrius-

κεσι διαφθείρουσιν, ᾧπερ ἐνέρσει τοίχου ἑκατέρου ἐναρμοσθέντι B
τὰς πύλας ἐπιζευγνύναι εἰώθεισαν, τά τε σιδήρια ξύμπαντα, οἷς
δὴ τὰς κλεῖς ἀεὶ οἱ φύλακες ἐμβαλλόμενοι ἔκλειόν τε τὰς πύλας
καὶ κατὰ τὴν χρείαν ἀνέωγον. οὕτω δὲ τὰς πύλας ἀναπετάσαν-
τες, ᾗπερ ἐβούλοντο, τῇ πόλει Τωτίλαν τε καὶ Γότθων στρατὸν
οὐδενὶ πόνῳ ἐδέξαντο. Τωτίλας δὲ αὐτοὺς ἐνταῦθα ἐς ἕνα χώ-
ρον ξυναγαγὼν σκεδάννυσθαι οὐδαμῇ εἴασεν· ἔδεισε γὰρ μή τις
ἐνέδρα πρὸς τῶν πολεμίων σφίσι ξυμβαίνῃ. ταραχῆς δέ, ὡς τὸ
εἰκὸς, τῇ πόλει καὶ θορύβου ἐπιπεσόντος οἱ μὲν πλεῖστοι τῶν
Ῥωμαίων στρατιωτῶν διὰ πύλης τῆς ἑτέρας ξὺν τοῖς ἄρχουσιν
ἔφυγον, ὥς πη ἑκάστῳ εὐπετὲς γέγονεν, ὀλίγοι δέ τινες ξὺν Ῥω-
μαίοις τοῖς ἄλλοις ἐς τὰ ἱερὰ καταφεύγουσι. τῶν δὲ Πατρικίων
Δέκιός τε καὶ Βασίλειος ξὺν ἑτέροις τισὶν (ἵπποι γὰρ σφίσι πα- C
ρόντες ἔτυχον) ξὺν τῷ Βέσσᾳ φυγεῖν ἴσχυσαν. Μάξιμος δὲ καὶ
Ὀλύβριος καὶ Ὀρέστης, καί τινες ἄλλοι ἐς τὸν Πέτρου τοῦ ἀπο- H 287
στόλου νεὼν ἔφυγον. τοῦ μέντοι δήμου πεντακοσίους ἄνδρας
ἀνὰ πᾶσαν τὴν πόλιν ἀπολελεῖφθαι ξυνέπεσεν, οἵπερ ἐς τὰ ἱερὰ
καταφυγὸν μόλις. τῶν γὰρ ἄλλων ἁπάντων οἱ μὲν ἀπιόντες ἤδη
πρότερον ἐς ἑτέρας ᾤχοντο χώρας, οἱ δὲ τῷ λιμῷ διεφθάρησαν,
ὥσπερ μοι ἔμπροσθεν εἴρηται. πολλοὶ μὲν οὖν Τωτίλᾳ νύκτωρ
ἤγγελλον ὅτι δὴ Βέσσας τε καὶ οἱ πολέμιοι φεύγουσιν. ὁ δὲ

1. ᾧπερ] ὅπερ H: illud Hm. *ibid.* τοίχου] τείχους Suidas s. v. ἐνέρσει. *ibid.* ἐναρμοσθέντι] ἐναρμοσθέντες Suidas. ἐναριθμωθέντι L a pr. m. 2. εἰώθεισαν] εἰώθεσαν L. εἰώθασι Suidas. 4. οὕτω δὲ] οὕτω δὴ L. 8. ξυμβαίνῃ L. ξυμβαίνει P. 10. τῆς ἑτέρας] τῆς om. L. 11. ἔφυγον Reg. ἐφευγον P. 13. Δέκιός τε] τε om. L. 18. τῶν γὰρ] γὰρ om. L. 21. Βέσσας] βέσας L.

que parietis commissurae inserto iunguntur valvae: iidem ferramenta avellunt omnia; quibus claves indendo, fores claudere custodes consueverant, ac reserare, ut res poscebat. Sic porta ad libitum patefacta, Totilam Gotthorumque exercitum in urbem nullo negotio admiserunt. Iasidias hostiles veritus Totilas, eos ibi in unum coactos dissipari non sivit. Tumultu caeco in urbe, ut fit, exorto, Romani milites fere omnes alia porta, prout expeditum cuique fuit, evasere cum Ducibus: pauci cum Romanis residuis in sacras aedes se receperunt. Ex Patriciis Decius, Basilius, aliique nonnulli, quibus equi suppetebant, fugientem Bessam secuti sunt: Maximus, Olybrius, Orestes et quidam alii in templum Petri Apostoli perfugerunt. E plebe quingenti in urbe tota restabant, qui vix templis se committere potuere: caeteri iam ante partim alio concesserant, partim fame, ut supra dixi, perierant. Totilas, multis per noctem nuntiantibus Bessam atque hostes sese proripere, testatus sermo-

χαρίεντα τὸν λόγον αὐτοὺς εἰρηκέναι εἰπὼν οὐκ εἶα διώκειν. τί γὰρ ἥδιον ἀνθρώπῳ γένοιτο ἄν, ἔφη, πολεμίων φευγόντων;

D Ἐπειδή τε ἡμέρα ἦν ἤδη καὶ οὐδεμία ἔτι ἐνέδρας τινὸς ὑποψία ἐλέλειπτο, Τωτίλας μὲν ἐς τὸν Πέτρου νεὼν τοῦ ἀποστόλου εὐξόμενος ᾔει, Γότθοι δὲ τοὺς παραπεπτωκότας διέφθειρον. ἀπέθανόν τε τούτῳ τῷ τρόπῳ τῶν μὲν στρατιωτῶν ἓξ καὶ εἴκοσι, τοῦ δὲ δήμου ἑξήκοντα. ἐπεὶ δὲ ὁ Τωτίλας ἀφίκετο ἐς τὸ ἱερὸν, Πελάγιος αὐτῷ ἐς ὄψιν ἦλθε τὰ τοῦ Χριστοῦ λόγια ἐν ταῖς χερσὶ φέρων, παντί τε τρόπῳ τὴν ἱκετείαν προτεινόμενος „Φείδου τῶν σῶν, ὦ δέσποτα“ εἶπε. καὶ ὃς ἐπιτωθάζων τε καὶ ἐνδιαθρυπτόμενος ἔφη „Νῦν μέν, ὦ Πελάγιε, ἱκετεύων ἐλήλυθας.“ „Ὅτι με“ ὁ Πελάγιος ἀπεκρίνατο „δοῦλον σὸν ὁ θεὸς εἶναι πεποίηκεν. ἀλλὰ δούλων τῶν σῶν τὸ λοιπὸν, ὦ δέσποτα, φείδου.“ ταύτην ὁ Τωτίλας τὴν ἱκετείαν δεξάμενος ἀπεῖπε Γότθοις

P 514 μηδένα τὸ λοιπὸν ἀποκτιννύναι τῶν πάντων Ῥωμαίων, ἀλλὰ τῶν χρημάτων αὐτῷ μὲν τὰ τιμιώτατα ἐξελεῖν, τὰ δὲ ἄλλα ἐν σφίσιν αὐτοῖς κατ' ἐξουσίαν ληΐζεσθαι. πολλὰ μὲν οὖν ἐν ταῖς πατρικίων οἰκίαις εὗρε, πάντων δὲ μάλιστα οὗπερ ὁ Βέσσας κατέλυε. τὰς γὰρ ἀνοσίους, ὡς γε δεδήλωται, τοῦ σίτου τιμὰς ὁ κακοδαίμων Τωτίλας ἤθροιζεν. οὕτω τε περιέστη τοῖς τε ἄλλοις Ῥω-

1. τί γὰρ] τί γὰρ ἂν L. 2. γένοιτο ἄν] ἂν om. L. *ibid.* φευγόντων] φαγόντων L, υ a m. sec. 3. τε ἡμέρα] δὲ ἡμέρα τε L. 5. διέφθειρον] διέφυγον L: illud Lm. 8. ἦλθε] ἦκε Reg. *ibid.* τοῦ Χριστοῦ] χριστιανῶν Reg. 9. ἱκετείαν] ἱκεσίαν Reg. 10. εἶπε] εἶπεῖν L. εἶπεν Lm. *ibid.* ἐνδιαθρυπτόμενος P et Scaliger. ἐνδιαθρύπτως HL. 12. Ὅτι] ὅτι L a m. pr. 14. ἱκετείαν] ἱκεσίαν L. 20. περιέστη Reg. περιῆν P.

nem hunc auribus gratum suis accidere, eos insequi vetuit: *Quid enim*, inquit, *hostium fuga iucundius contingat homini?*

Iam illuxerat, neque ullus locus erat suspicandi insidias; cum Totilas in templum Petri Apostoli sese contulit, precandi gratia: Gotthi in obvios ferro desaevierunt: itaque e militibus interierunt XXVI. e plebe LX. Ut venit in templum Totilae, ei Pelagius, Christi oracula manibus praetendens, se obtulit, atque impense obsecrans, *Tuis*, ait, *parce Domine.* Deridens ille ac delicias faciens, ita subiicit. *Iam supplex, Pelagi, venis.* Cui Pelagius, *Quoniam*, inquit, *tuum me servum effecit Deus. At tu, Domine, servis in posterum tuis parce.* Huic Totilas petitioni concedens, edixit Gotthis, Romanorum neminem omnium posthac caederent; ac reservatis, quae ipse habere vellet, pretiosissimis quibusque, caetera pro arbitratu auferrent. Multa in Patriciorum domibus reperit, maximeque ubi Bessas diversabatur: cum ille scelestus Daemon inique confectam, ut dictum est, ex vendito frumento pecuniam Totilae congessisset.

μαλοις καὶ τοῖς ἐκ τῆς συγκλήτου βουλῆς καὶ οὐχ ἥκιστα Ῥουστικιανῇ, τῇ Βοετίου μὲν γαμετῇ γενομένῃ, παιδὶ δὲ Συμμάχου, καὶ τὴν οὐσίαν ἀεὶ τοῖς δεομένοις προϊεμένῃ, δούλων τε καὶ B ἀγροίκων ἀμπεχομένοις ἱμάτια, πρὸς τῶν πολεμίων ἄρτον ἢ ἄλλο τι τῶν ἀναγκαίων αἰτουμένοις βιοῦν. ἔς τε τὰς οἰκίας περιιόντες καὶ τὰς θύρας ἐς ἀεὶ κόπτοντες τροφὴν διδόναι σφίσιν ἐδέοντο, οὐ φέροντος αὐτοῖς αἰσχύνην τοῦ ἔργου. καὶ Γότθοι μὲν Ῥουστικιανὴν κτείνειν ἐν σπουδῇ ἐποιοῦντο, ἐπικαλοῦντες ὅτι δὴ χρήματα προϊεμένη τοῖς τοῦ Ῥωμαίων στρατοῦ ἄρχουσι τὰς Θευδερίχου εἰκόνας διαφθείρειε, τοὺς φόνους ἀμυνομένη Συμμάχου τε τοῦ πατρὸς καὶ Βοετίου τοῦ ξυνοικήσαντος. Τωτίλας δὲ οὐδὲν ἄχαρι παθεῖν αὐτὴν ξυνεχώρησεν, ἀλλ' αὐτήν τε καὶ τὰς C ἄλλας ἁπάσας ὕβρεως ἐκτὸς διεφύλαξε, καίπερ Γότθων ἐς κοίτην ὡς μάλιστα ἐφιεμένων αὐταῖς ξυνελθεῖν. διόπερ αὐτῶν οὐδεμιᾷ ἐς τὸ σῶμα ὑβρίσθαι ξυνέβη οὔτε ἀνδρὶ ξυνοικούσῃ οὔτε παρθένῳ ἢ χήρᾳ οὔσῃ, μέγα τε κλέος ἐπὶ σωφροσύνῃ ἐκ τούτου τοῦ ἔργου Τωτίλας ἔσχε.

κα'. Τῇ δὲ ὑστεραίᾳ Γότθους ἅπαντας ξυγκαλέσας ὁ Τω- D V 144
τίλας ἔλεξε τοιάδε „Οὐ καινήν τινα οὐδὲ ἀγνῶτα ὑμῖν παραινέσιν ποιησόμενος ἐνθάδε ὑμᾶς, ἄνδρες ξυστρατιῶται, ξυνήγαγον, ἀλλ' ἐκεῖνα ἐρῶν, ἅπερ ἐγὼ πολλάκις ἐς ὑμᾶς εἶπον. ὑμῖν δὲ

3. προϊεμένῃ L. προτεινομένῃ P. 4. ἀμπεχομένοις] ἀμπεχομένης L. ἀμπεχομένῃ L corr. 5. αἰτουμένοις] αἰτουμένης L. αἰτουμένῃ L corr. 10. τοὺς φόνους] τοῦ φόνου L. 15. ὑβρίσθαι Reg. ὑβρίζεσθαι P. ibid. οὔτε — οὔτε] Vulgo οὐδὲ — οὐδὲ.

Hinc Romani ipsique adeo Senatores, in primis uxor olim Boëtii, eademque Symmachi filia Rusticiana, quae facultates suas egenis erogaverat, eo redacti sunt, ut in veste servili ac rusticana panem aliave cibaria ab hostibus petentes tunc victitaverint. Continenter domos obibant, et ostiatim pulsando, victum mendicabant; neque id pudori erat. Instabant Gotthi, ut Rusticiana mactaretur supplicio, insimulantes, quod exercitus Rom. ducibus ampla largitione corruptis, Theoderici statuas disturbasset; quo et Symmachi patris, et Boëtii mariti caedem ulcisceretur. At illam Totilas nulla affici iniuria passus est, nec modo ab ipsa, sed ab aliis omnibus omnem amovit contumeliam; quamvis Gotthi illas tori participes habere percuperent. Itaque earum nulla, nec viro iuncta, nec virgo, nec vidua, turpem corpore vim excepit: unde Totilas magnam retulit continentiae laudem.

21. Postridie Totilas Gotthis omnibus convocatis, sic verba fecit. *Huc vos coëgi, Commilitones, non cohortatione usurus nova et inaudita: verum ut ea repetam, quae saepe et a me dicta, et vobis probata, fructus maximos attulerunt. Nec tamen ideo monita iam fastidite. Etenim ora-*

αὐτὰ ἐνδεξαμένοις τὰ μέγιστα τῶν ἀγαθῶν ξυνηνέχθη γενέσθαι. μὴ τοίνυν τινὶ ὀλιγωρίᾳ διὰ τοῦτο ἐς τὴν παραίνεσιν ταυτὶν χρήσησθε. λόγων γὰρ τῶν ἐς εὐδαιμονίαν ἀγόντων κόρον οὐκ εἰκὸς ἀνθρώπῳ γενέσθαι, κἂν τῇ πολυλογίᾳ τις ἀποκναίειν δοκῇ· ἐπεὶ οὐδὲ πρὸς τὴν ἐξ αὐτῶν εὐεργεσίαν ἀπειπεῖν ἄξιον. λέγω δὲ ὅτι πρώην μὲν ἐς μυριάδας εἴκοσι μαχιμωτάτων ξυνιόντες στρατιωτῶν πλούτῳ τε ὑπερφυεῖ χρώμενοι καὶ ἵππων τε καὶ ἄλλων περι-
P 515 ουσίαν τινὰ, ὡς ἔνι μάλιστα, ἐνδεικνύμενοι, καὶ γερόντων ξυνετωτάτων πολὺν ὅμιλον, ὅπερ τοῖς ἐς ἀγῶνας καθισταμένοις ξυμφορώτατον εἶναι δοκεῖ, πρὸς ἀνδρῶν ἑπτακισχιλίων Γραικῶν ἡσσηθέντες, τήν τε ἀρχὴν καὶ τἄλλα ξύμπαντα λόγῳ οὐδενὶ ἀφῃρήμεθα. νῦν δ' ἡμῖν ἐς ὀλίγους ἀπολειφθεῖσι γυμνοῖς τε καὶ οἰκτροῖς καὶ οὐδ' ὁτιοῦν τῶν πάντων ἐμπείροις κρατεῖν τῶν πολεμίων πλέον ἢ δισμυρίων ὄντων τετύχηκε. τὰ μὲν οὖν πεπραγμένα ξυλλήβδην εἰπεῖν τοιαῦτά ἐστι· τὰς δὲ τῶν οὕτω ξυμβάντων αἰτίας εὖ εἰδόσιν ὑμῖν αὐτίκα δηλώσω· ὅτι Γότθοι μὲν καὶ πρότερον ἄλλων ἁπάντων περὶ ἐλάσσονος πεποιημένοι τὸ δίκαιον,
B ἔπρασσον ἔς τε ἀλλήλους καὶ τοὺς κατηκόους Ῥωμαίους ἀνόσια ἔργα, οἷς δὴ, ὡς τὸ εἰκὸς, ἡγμένος ὁ θεὸς ἐπ' αὐτοὺς τότε ξὺν τοῖς πολεμίοις ἐστράτευσε. καὶ διὰ ταῦτα πλήθει τε καὶ
H 288 ἀρετῇ καὶ τῇ ἄλλῃ τοῦ πολέμου παρασκευῇ τῶν ἐναντίων παρὰ πολὺ ὑπεραίροντες δυνάμει τινὶ ἀφανεῖ τε καὶ ὡς ἥκιστα γινωσκο-

8. ἀγόντων] ἐναγόντων Reg. ἀναγόντων LHm. 7. ἄλλων] ὅπλων L. 12. γυμνοῖς — οἰκτροῖς — ἐμπείροις] γυμνούς — οἰκτρούς — ἐμπείρους L a pr. m. 15. ξυλλήβδην] συλλήβδην L. ibid. ξυμβάντων] ξυμβαινόντων Reg. 16. εὖ] ἐν L. ibid. καὶ om. L. 17. πρότερον PL. πρότεροι H. ibid. ἄλλων] τῶν ἄλλων L. 19. ἐπ' αὐτοὺς τότε] τότε ἐπ' αὐτοὺς L.

tiones, quae ad vitam beatam ferunt, nullam satietatem afferre debent, etsi quis forte pluribus verbis videatur agere importunius: siquidem beneficium quod ex illis proficiscitur, respuendum non est. Aio igitur nos antea, cum ducenta fortissimorum militum millia conscripta haberemus, ingentes possideremus divitias, equorum caeterarumque rerum vim maximam, ac prudentissimos ostentaremus senes quamplurimos; quo iuvari singulariter videntur qui in dimicationem veniunt; a septem millibus Graecorum victos, et regno rebusque omnibus foedissime spoliatos fuisse. Nunc autem ad paucos redacti, nudi, miseri, omnino rudes, hostium viginti amplius millia vicimus. Ac res quidem gestae, ut in summa dicam, eiusmodi sunt. Horum vero eventuum causas vobis, probe licet cognitas, modo referam. Antehac Gothi aequitate cunctis posthabita, inter se et in Romanos subditos scelera committebant: quibus Deus, ut par erat, commotus, adversus illos una cum hostibus bellavit. Quamobrem numero licet, virtute et bellico apparatu adversariis longe superiores, occulta quadam ac mini-

μένῃ ἠσσήθημεν. οὐκοῦν τὸ φυλάξαι τὰ ἀγαθὰ ἐφ' ὑμῖν κείσεται, διασώζουσι δηλονότι τὸ δίκαιον. μεταβαλλομένοις γὰρ καὶ τὰ παρὰ τοῦ θεοῦ αὐτίκα δὴ μάλα πολέμια ἔσται. οὐ γὰρ ἀνθρώπων γένει οὐδὲ φύσει ἐθνῶν ξυμμαχεῖν εἴωθεν, ἀλλ' οἷς ἂν μᾶλλον ὁ τοῦ δικαίου λόγος τιμῷτο. πόνος τε οὐδεὶς αὐτῷ τἀγαθὰ ἐφ' ἑτέρους μετενεγκεῖν. ἀνθρώπῳ μὲν γὰρ τὸ μὴ ἀδικεῖν μόνον ἐν γνώμῃ ἐστὶ, θεῷ δὲ ξύμπαντα ἐν τῇ ἐξουσίᾳ πέφυκε κεῖσθαι. ἡμὶ τοίνυν ὑμᾶς χρῆναι τὴν δικαιοσύνην ἕς τε ἀλλήλους καὶ τοὺς κατηκόους τηρεῖν. ταὐτὸν γὰρ ἂν εἴη λέγειν τὴν εὐημερίαν ἐς ἀεὶ διασώζεσθαι."

Τοσαῦτα ὁ Τωτίλας ἐς τοὺς Γότθους εἰπὼν καὶ τοὺς ἐκ τῆς Ῥωμαίων βουλῆς ξυγκαλέσας πολλά τε ὠνείδισε καὶ ἐπιτωθάζων ἐκάκισεν, ὡς δὴ πολλὰ πρός τε Θευδερίχου καὶ Ἀταλαρίχου ἀγαθὰ πεπονθότες, ἐπί τε τῆς ἀρχῆς ἁπάσης αὐτοὶ ἐς ἀεὶ κατάντες καὶ τὴν τε πολιτείαν διοικησάμενοι, πλούτου τε περιβεβλημένοι μέγα τι χρῆμα, εἶτα ἐς τοὺς Γότθους τοὺς εὐεργέτας πολλῇ ἀγνωμοσύνῃ ἐχόμενοι, ἐς ἀπόστασίν τε οὐ δέον ἐπὶ τῷ σφετέρῳ πονηρῷ ἴδοιεν καὶ τοὺς Γραικοὺς ἐπὶ τῇ πατρίδι ἐπαγάγοιντο, προδόται σφῶν αὐτῶν ἐκ τοῦ αἰφνιδίου γεγενημένοι. καὶ ἀνεπυνθάνετο μὲν εἴ τι πρὸς Γότθων πάθοιεν αὐτοὶ κακὸν πώ-

1. ἐφ' ὑμῖν] ἐφ' ἡμῖν Vat. *ibid.* κείσεται] κεῖται L. 5. τἀγαθὰ L τὰ ἀγαθὰ P. 7. μόνον ἐν] μόνον οἱν ἐν L. *ibid.* ξύμπαντα Reg. πάντα P. *ibid.* ἐν τῇ] αὐτῇ L: illud Lm. 8. ὑμᾶς] ἡμᾶς L. 12. τε ὠνειδισε] ὠνειδισέ τε L. *ibid.* ἐπιτωθάζων om L. 13. ὡς δὴ] οἳ δὴ Reg. 16. τοὺς Γότθους τοὺς] Utrumque τοὺς om. L. 18. πονηρῷ L. πονήρῳ P. *ibid.* ἴδοιεν] εἶδον H. *ibid.* ἐπαγάγοιντο Reg. ἐπαγάγοιεν P.

me perspecta vi fracti succubuimus. Ergo situm in vobis erit, ut bona iam parta tueamini, nimirum cultu iustitiae: unde si deflectatis, illico Deus contra vos stabit. Neque enim certo cuidam hominum generi, nec naturae gentium auxiliari in bello solet, sed iis, qui ius fasque impensius colunt. Neque ipsi difficile est ad alios bona transferre: cum arbitrii quidem humani sit solum abstinere iniuria: at Deus omnia in sua ditione habeat ac potestate. Quare dandam esse operam dico, ut inter vos atque erga subditos acquitatis officia servetis: hoc est, ut certam felicitatem retineatis.

Cum haec Totilas apud Gotthos disseruisset, coacto etiam Senatui Romano multa exprobravit, et cavillando obiecit, quod pluribus a Theoderico et Atalarico affecti beneficiis, omnibus semper ornati magistratibus, ad Reip. administrationem adhibiti, opibusque aucti ingentibus; animo in Gotthos tam beneficos ingratissimo, summaque iniuria cum exitio suo coniuncta defecissent, et Graecos induxissent in patriam, sui proditores repente facti. Tum quaerere, quid mali unquam Gotthi ipsis ir-

ποτε. λέγειν δὲ ἠνάγκαζεν, εἴ τι ἀγαθὸν σφίσι πρὸς Ἰουστινιανοῦ βασιλέως ξυμβαίη, καταλέγων ἐφεξῆς ἅπαντα, ὅτι δὴ τὰς μὲν ἀρχὰς ἀφῄρηντο σχεδόν τι ἁπάσας, πρὸς δὲ τῶν καλουμένων λογοθετῶν αἰκιζόμενοι λογισμοὺς ἐκτίνειν τῶν σφίσιν ἐς Γότθους πεπολιτευμένων ἀναγκασθεῖεν καὶ τῷ πολέμῳ κεκακωμένοι φόρους τοὺς δημοσίους οὐδέν τι ἐνδεέστερον ἢ ἐν τῇ εἰρήνῃ τοῖς Γραικοῖς φέροιεν· ἄλλα τε πολλὰ ἐνετίθει τῷ λόγῳ, ὅσα δεσπότην δυσμενῆ τοὺς δεδουλωμένους ὀνειδίζειν εἰκός. Ἡρωδιανόν τε αὐτοῖς ἐνδεικνύμενος καὶ τοὺς τὴν πόλιν αὐτῷ παραδόντας
P 516 Ἰσαύρους „Ὑμεῖς μὲν“ ἔφη „ξύντροφοι Γότθοις γεγενημένοι
V 145 οὐδὲ χῶρόν τινα ἔρημον ἐς τήνδε ἡμῖν ἐνδιδόναι τὴν ἡμέραν ἐγνώκατε, οἵδε δὲ ἡμᾶς Ῥώμῃ τε αὐτῇ καὶ Σπολιτίῳ ἐδέξαντο. διόπερ ὑμεῖς μὲν ἐν οἰκετῶν λόγῳ γεγένησθε, οὗτοι δὲ Γότθοις φίλοι τε, ὡς τὸ εἰκὸς, καὶ ξυγγενεῖς γεγενημένοι τὰς ὑμετέρας ἀρχὰς τὸ λοιπὸν ἕξουσιν.“ οἱ μὲν οὖν πατρίκιοι ταῦτα ἀκούσαντες σιωπῇ εἶχοντο. Πελάγιος δὲ Τωτίλαν ὑπὲρ ἀνδρῶν ἐπταικότων
B τε καὶ δεδυστυχηκότων παραιτούμενος οὐκέτι ἀνίη, ἕως αὐτοὺς φιλανθρωπίας ὑπόσχεσιν ποιησάμενος ἀπεπέμψατο.

Ἔπειτα δὲ Πελάγιόν τε καὶ τῶν ἐν Ῥώμῃ ῥητόρων ἕνα, Θεύδωρον ὄνομα, πρέσβεις ἐς βασιλέα Ἰουστινιανὸν ἔστειλεν, ὅρκοις αὐτοὺς δεινοτάτοις καταλαβών, ὅτι τε εὐνοίᾳ ἐς αὐτὸν χρήσονται καὶ ἀναστρέφειν ὅτι τάχιστα ἐς τὴν Ἰταλίαν ἐν σπουδῇ

2. ξυμβαίη] ξυμβαίνοι Reg. 4. ἐκτίνειν] ἐκτείνειν L.
14. ὑμετέρας] ἡμετέρας L. 15. ἀκούσαντες] ἀκούοντες Reg.

rogassent? instare ut dicerent, num quid boni a Iustiniano Aug. accepisset? ac singula recensendo, commemorare, honores fere omnes illis ereptos; a Logothetis, quos vocant, impositam verberum vi necessitatem rationes eorum reddendi, quae rem gerendo publicam in Gotthos admisissent; saeviente bello aeque ut in pace vectigalia a Graecis exacta: alia multa orationi intexuit, quae infenso domino carpenti servos convenirent. Denique Herodianum ipsis ostendens atque Isauros, quorum proditione urbem ceperat, *Vos quidem*, inquit, *cum Gotthis educati, nullum nobis locum, vel desolatum, voluistis ad hanc diem concedere: hi vero nos ipsius Romae et Spoletii fecerunt compotes. Quare vos servi estote; dum hi Gotthis amicitia ac necessitudine iuncti, magistratus vestros merito obtinebunt.* Haec audita Patricii ferebant silentio: at Pelagius lapsos infelices a Totila deprecari non abstitit, donec ille eos remisit, promissa clementia erectos.

Deinde ad Iustinianum Augustum Legatos misit, Pelagium ac Romanum causidicum Theodorum, gravissimo devinctos iureiurando, fore ut sibi praestarent benevolentiam, et in Italiam quamprimum redire sat-

ἔξουσιν. ἐπέστελλέ τε αὐτοῖς τὴν εἰρήνην οἱ παντὶ σθένει παρὰ βασιλέως πορίζεσθαι, ὅπως δὴ μὴ αὐτὸς ἀναγκάζηται Ῥώμην ἐς ἔδαφος καθελὼν ξύμπασαν καὶ τοὺς ἐκ τῆς συγκλήτου διαφθείρας βουλῆς ἐς Ἰλλυριοὺς τὸν πόλεμον ἄγειν. καὶ γράμματα δὲ Ἰου- C
στινιανῷ βασιλεῖ ἔγραψεν. ἤδη μὲν οὖν βασιλεὺς ἠκηκόει τὰ ἐν Ἰταλίᾳ ξυμπεπτωκότα. ἐπεὶ δὲ καὶ οἱ πρέσβεις παρ' αὐτὸν ἦλθον, ἀπήγγειλαν ὅσα ὁ Τωτίλας σφίσιν ἐπέστελλε καὶ τὴν ἐπιστολὴν ἐνεχείρισαν. ἐδήλου δὲ ἡ γραφὴ τάδε „Ὅσα μὲν ἐν Ῥωμαίων τῇ πόλει γενέσθαι ξυνέβη, ἐπεὶ μεμαθηκέναι σε ἅπαντα οἶμαι, σιωπᾶν ἔγνωκα. ὧν δὲ ἕνεκα τοὺς πρέσβεις ἀπέσταλκα τούσδε αὐτίκα εἴσῃ. αἰτούμεθα τὰ ἐκ τῆς εἰρήνης ἀγαθὰ σέ τε προσίεσθαι αὐτὸν καὶ ἡμῖν ξυγχωρεῖν. ὧνπερ μνημεῖά τε καὶ D
παραδείγματα κάλλιστα ἔχομεν Ἀναστάσιόν τε καὶ Θευδέριχον, οἳ βεβασιλεύκασι μὲν οὐ πολλῷ πρότερον, εἰρήνης δὲ καὶ ἀγαθῶν πραγμάτων ἅπαντα ἀνεπλήρωσαν τὸν κατ' αὐτοὺς χρόνον. ἦν γάρ σοι ταῦτά ποτε βουλομένῳ εἴη, πατήρ τε ἂν ἐμὸς εἰκότως καλοῖο καὶ ξυμμάχους ἡμᾶς ἐφ' οὓς ἂν βούλοιο τὸ λοιπὸν ἕξεις." ταῦτα ἐπεὶ βασιλεὺς Ἰουστινιανὸς ἀπενεχθέντα εἶδε, καὶ τῶν πρέσβεων τοὺς λόγους ἅπαντας ἤκουσεν, ἀπεπέμψατο αὐτοὺς αὐτίκα δὴ μάλα, τοῦτο τότε μόνον αὐτοῖς ἀποκρινάμενος καὶ Τωτίλᾳ γράψας, ὅτι δὴ αὐτοκράτωρ τοῦ πολέμου πεποίηται

7. ἐπέστελλε] ἐπέστειλε Reg. 9. ἐπεὶ μεμαθηκέναι P ex Vat. ἐπιμεμαθηκέναι H. 10. σιωπᾶν ἔγνωκα P ex Vat. καὶ τὸ πᾶν ἔγνωκας H: illud Hm. 11. αὐτίκα εἴσῃ] ταῦτά εἰσιν H: illud Hm. ibid. ἀγαθὰ] καλὰ Reg. 12. προσίεσθαι] προΐεσθαι H et a pr. m. L. 15. ἀνεπλήρωσαν Reg. ἐνεπλήσαντο P. 19. τῶν πρέσβεων τοὺς λόγους] τοὺς λόγους τῶν πρέσβεων L. 20. τοῦτο τότε] τοῦτο τε Vat. ibid. αὐτοῖς] αὐτοὺς L a pr. m. 21. αὐτοκράτωρ — Βελισάριος] αὐτοκράτορα — βελισάριον Reg.

agerent. Porro mandavit, vires omnes intenderent ad impetrandam sibi pacem ab Imperatore; ne Romam funditus exscindere, et sublato internecione Senatu, bellum portare in Illyricum cogeretur: litteras etiam dedit ad Imperatorem, iam de rebus Italiae certiorem factum. Legati cum ad ipsum venissent, quae habebant a Totila mandata exposuerunt, et litteras reddiderunt, in hanc sententiam scriptas. *Quoniam quae Romae contigerint, tibi plane esse comperta arbitror, ea silentio praeterire constitui. Iam vero intelliges huius causam legationis. Petimus ut pacis commoda et amplectaris ipse, et nobis concedas: quorum monumenta atque exempla praeclarissima nobis suppeditant Anastasius ac Theodericus: qui super ita regnarunt, ut pace et felicitate aetatem suam impleverint. Hoc tibi si collibitum erit, merito pater meus vocaberis; ac nos deinceps in quemcunque voles habebis armorum socios.* His lectis, et quaecunque Oratores afferebant, auditis, confestim illos Iustinianus Augustus remisit, neque aliud tunc respondit ipsis, Totilaeque rescripsit, nisi Belisa-

Βελισάριος, κύριός τε διὰ τοῦτο ἐκεῖνος εἴη τὰ πρὸς Τωτίλαν
H 289 ὅπως βούλοιτο διοικήσασθαι.
P 517 κβ'. Ἐν ᾧ δὲ οἱ πρίσβεις οὗτοι ἐκ Βυζαντίου καὶ αὖθις ἐς Ἰταλίαν ἐστέλλοντο, ἐν τούτῳ Λευκανοῖς τάδε ξυνηνέχθη γενέσθαι. Τουλλιανὸς τοὺς ἐκείνῃ ἀγροίκους ἀγείρας τὴν εἴσοδον στενοτάτην οὖσαν ἐφύλασσεν, ὅπως μὴ οἱ πολέμιοι κακουργήσοντες ἴοιεν ἐς τὰ ἐπὶ Λευκανίας χωρία. καὶ Ἄνται δὲ αὐτοῖς τριακόσιοι ξυνεφύλασσον, οὕσπερ Ἰωάννης ἐνταῦθα δεηθέντι Τουλλιανῷ ἀπολιπὼν πρότερον ἔτυχεν· ἀγαθοὶ γὰρ οἱ βάρβαροι οὗτοι μάχεσθαι ἐν δυσχωρίαις πάντων μάλιστα. ἅπερ ἐπεὶ ὁ
B Τωτίλας ἔμαθε, Γότθοις μὲν ἐς τὸ ἔργον καθεῖναι ἀξύμφορον ᾤετο εἶναι, ἀγροίκων δὲ πλῆθος ἀγείρας, Γότθων τε ξυμπέμψας αὐτοῖς ὀλίγους τινὰς, ἐκέλευε τῆς εἰσόδου σθένει παντὶ ἀποπειρᾶσθαι. οἵπερ ἐπειδὴ ἀλλήλοις ξυνέμιξαν, ὠθισμὸς μὲν ἀμφοτέρων πολὺς ἐγεγόνει, Ἄνται δὲ τῇ σφετέρᾳ ἀρετῇ, ἅμα δὲ καὶ τῆς δυχωρίας σφίσι ξυλλαμβανούσης, ξὺν τοῖς ἀμφὶ Τουλλιανὸν ἀγροίκοις τοὺς ἐναντίους ἐτρέψαντο. φόνος τε αὐτῶν ἐγεγόνει πολύς. γνοὺς δὲ ταῦτα ὁ Τωτίλας ἔγνω μὲν Ῥώμην καθελεῖν ἐς
C ἔδαφος, τοῦ τε στρατοῦ τὸ πλεῖστον ἐνταῦθά πη ἀπολιπεῖν, τῷ δὲ ἄλλῳ ἐπί τε Ἰωάννην καὶ Λευκανοὺς ἰέναι. τοῦ μὲν οὖν πε-

2. ὅπως βούλοιτο] ὅπον βούλεσθαι L. 3. ἐκ om. L. *ibid.* Βυζαντίου] βυζάντιον L. 4. Λευκανοῖς] ἐν λευκανοῖς L. 5. Τουλλιανὸς] τουλιανὸς H, et similiter infra. τουλλιανὸς Hm. 6. στενοτάτην] στενωτάτην L. 7. ἴοιεν] εἶεν L. 11. Γότθοις] γότθους L. *ibid.* καθεῖναι] κατιέναι Hm. 14. ὠθισμὸς] ὠθησμὸς H. ὠθεισμὸς Hm. *ibid.* ἀμφοτέρων] ἀμφοτέροις Reg. 18. μὲν Ῥώμην] δώμην μὲν L. 19. τοῦ τε] τοῦ δὲ L. *ibid.* τὸ πλεῖστον] τὸ μὲν πλεῖστον L a m. sec. τῷ μὲν πλείστῳ a pr. m.

rium belli Imperatorem esse, et propterea componere posse cum Totila arbitratu suo.

22. Dum hi Legati in Italiam Byzantio redeunt, interea res ita geritur in Lucania. Tullianus, collectis illius regionis agricolis, fauces angustissimas insederat, ne Lucaniam hostes infestarent. Custodiam coniuncte agebant Antae ccc. quos, Tulliani rogatu, ibi Ioannes ante reliquerat. Etenim peritia pugnandi in salebris angustiisque cunctos antecellunt hi Barbari. Quae cum resciisset Totilas, si Gotthos tantum in illud discrimen mitteret, se non ex re facturum duxit. Quare multitudinem rusticorum contraxit, unaque missa exigua Gotthorum manu, viribus omnibus tentare aditum iussit. Ubi congressi sunt, sese diu truserunt invicem. Demum Antae virtute sua, quam situs loci difficilis adiuvabat, cum Tulliani agricolis, in fugam hostes verterunt, affeceruntque ingenti clade. Cuius allato nuntio, statuit Romam solo aequare Totilas, ibique relicta maiore parte exercitus, cum altera Ioannem et Lucanos

ριβόλου ἐν χωρίοις πολλοῖς τοσοῦτον καθεῖλεν ὅσον ἐς τριτημό- V 146
ριον τοῦ παντὸς μάλιστα. ἐμπιπρᾶν δὲ καὶ τῶν οἰκοδομιῶν τὰ
κάλλιστά τε καὶ ἀξιολογώτατα ἔμελλε, Ῥώμην τε μηλόβοτον κα-
ταστήσεσθαι, ἀλλὰ Βελισάριος μαθὼν πρέσβεις τε καὶ γράμ-
ματα παρ' αὐτὸν ἔπεμψεν. οἵπερ ἐπειδὴ Τωτίλᾳ ἐς ὄψιν ἦλθον,
ἐλπόν τε ὧν ἕνεκα ἥκοιεν καὶ τὰ γράμματα ἐνεχείρισαν. ἐδήλου
δὲ ἡ γραφὴ τάδε „Πόλεων μὲν κάλλη οὐκ ὄντα ἐργάζεσθαι ἀν- D
θρώπων ἂν φρονίμων εὑρήματα εἶεν καὶ πολιτικῶς βιοτεύειν ἐπι-
σταμένων, ὄντα δὲ ἀφανίζειν τούς γε ἀξυνέτους εἰκὸς καὶ γνώ-
ρισμα τοῦτο τῆς αὐτῶν φύσεως οὐκ αἰσχυνομένους χρόνῳ τῷ
ὑστέρῳ ἀπολιπεῖν. Ῥώμη μέντοι πόλεων ἁπασῶν, ὅσαι ὑφ' ἡλίῳ
τυγχάνουσιν οὖσαι, μεγίστη τε καὶ ἀξιολογωτάτη ὡμολόγη-
ται εἶναι. οὐδὲ γὰρ ἀνδρὸς ἑνὸς ἀρετῇ εἴργασται οὐδὲ χρόνου
βραχέος δυνάμει ἐς τόσον μεγέθους τε καὶ κάλλους ἀφῖκται, ἀλλὰ
βασιλέων μὲν πλῆθος, ἀνδρῶν δὲ ἀρίστων ξυμμορίαι πολλαί,
χρόνου τε μῆκος καὶ πλούτου ἐξουσίας ὑπερβολή, τά τε ἄλλα
πάντα ἐκ πάσης τῆς γῆς καὶ τεχνίτας ἀνθρώπους ἐνταῦθα ξυνα- P 518
γαγεῖν ἴσχυσαν. οὕτω τε τὴν πόλιν τοιαύτην, οἵανπερ ὁρᾷς,
κατὰ βραχὺ τεκτηνάμενοι, μνημεῖα τῆς πάντων ἀρετῆς τοῖς ἐπι-
γεννησομένοις ἀπέλιπον. ὥστε ἡ ἐς ταῦτα ἐπήρεια εἰκότως ἂν ἀδί-
κημα μέγα ἐς τοὺς ἀνθρώπους τοῦ παντὸς αἰῶνος δόξειεν εἶναι.

5. αὐτὸν] αὐτῷ L. 7. *Πόλεων*] πόλεως Reg. 8. βιοτεύειν] Vulgo βιωτεύειν. 9. τούς γε ἀξυνέτους εἰκὸς Reg. τῶν γε ἀξυνέτων εἰκὼν P. 10. αἰσχυνομένους Reg. αἰσχυνομένων P. αἰσχυνομένοις L. αἰσχυνομένης Hoeschelius 15. ξυμμορίαι] συμμορίαι L. 19. τοῖς om. L.

petere. Ergo muros diversis in locis diruit, ita ut ruinae tertiam fere totius ambitus partem efficerent. Aedificia quoque pulcherrima ac magnificentissima delere flammis parabat, et mutare Romam in gregum pascua, cum factus certior Belisarius, ad ipsum Oratores et literas misit. Illi ad Totilam introducti, exposita legationis causa, literas reddiderunt, quarum sententia haec fere erat. *Ut inventum virorum est cordatorum ac vitae civilis intelligentium, ornamenta urbibus nova reddere, sic ea, quae extant, abolere, nota est propria stultorum, quos non pudeat eiusmodi monumentum naturae suae posteritati relinquere. Romam autem cunctis urbibus, quae sub sole sunt, magnitudine et dignitate praestare in confesso est. Haud enim unius viri opibus extructa fuit, nec brevis temporis beneficio tam ampla splendidaque evasit: sed multi Imperatores, et praestantissimorum virorum catervae plurimae, et longa dies, et immensae divitiae, huc ex universo terrarum orbe cum alia quaelibet, tum architectos atque opifices coegerunt; itaque urbe, qualem vides, paulatim aedificata, virtutis omnium monumenta posteris reliquerunt. Quare si quam acceperint haec iniuriam, ea graviter in aetates omnes redundare*

ἀφαιρεῖται γὰρ τοὺς μὲν προγεγενημένους τὴν τῆς ἀρετῆς μνήμην, τοὺς δὲ ὕστερον ἐπιγενησομένους τῶν ἔργων τὴν θέαν. τούτων δὲ τοιούτων ὄντων ἐκεῖνο εὖ ἴσθι, ὡς δυοῖν ἀνάγκη τὸ ἕτερον εἶναι· ἢ γὰρ ἡσσηθήσῃ βασιλέως ἐν τῷδε τῷ πόνῳ, ἢ περιέσῃ, ἂν οὕτω τύχοι. ἢν μὲν οὖν νικήσῃς, Ῥώμην τε καθελὼν, οὐ τὴν ἑτέρου του, ἀλλὰ τὴν σαυτοῦ ἀπολωλεκὼς ἂν, ὦ
B βέλτιστε, εἴῃς, καὶ διαφυλάξας κτήματι, ὡς τὸ εἰκὸς, τῶν πάντων καλλίστῳ πλουτήσεις· ἢν δέ γε τὴν χείρω σοι τύχην κληροῦσθαι ξυμβαίῃ, σώσαντι μὲν Ῥώμην χάρις ἂν σώζοιτο παρὰ τῷ νενικηκότι πολλὴ, διαφθείραντι δὲ φιλανθρωπίας τε οὐδεὶς ἔτι λελείψεται λόγος καὶ προσέσται τὸ μηδὲν τοῦ ἔργου ἀπόνασθαι. καταλήψεταί σε καὶ δόξα τῆς πράξεως ἀξία πρὸς πάντων ἀνθρώπων, ἥπερ ἐφ' ἑκάτερά σοι τῆς γνώμης ἑτοίμως ἕστηκεν. ὁποῖα γὰρ ἂν τῶν ἀρχόντων τὰ ἔργα εἴῃ, τοιοῦτον ἀνάγκη καὶ ὑπὲρ αὐτῶν ὄνομα φέρεσθαι." τοσαῦτα μὲν Βελισάριος ἔγραψε. Τωτίλας δὲ πολλάκις ἀναλεξάμενος τὴν ἐπιστολὴν καὶ τῆς παραινέσεως ἐς τὸ ἀκριβὲς πεποιημένος τὴν μάθησιν,
C ἐπείσθη τε καὶ Ῥώμην εἰργάσατο ἄχαρι περαιτέρω οὐδέν. σημήνας δὲ Βελισαρίῳ τὴν αὐτοῦ γνώμην τοὺς πρέσβεις εὐθὺς ἀπεπέμψατο. καὶ τοῦ μὲν στρατοῦ τὸ πλεῖστον μέρος Ῥώμης οὐ πολλῷ ἄποθεν, ἀλλ' ὅσον ἀπὸ σταδίων εἴκοσι καὶ ἑκατὸν ἐς τὰ πρὸς δύοντα ἥλιον ἐνστρατοπεδευσαμένους ἐν χωρίῳ Ἀλγηδόνι

5. περιέσῃ] περιέσει L. ibid. τύχοι] τύχῃ L. ibid. τε] γε L. τι
7. κτήμασι L. κτῆμά τι P. 8. καλλίστῳ L. κάλλιστον P. ibid. σοι] σου L. 14. τοιοῦτον] τοιούτων L. 17. ἐς τὸ Vat. et Reg. ἐς om. H. ibid. τὴν μάθησιν Vat. et Reg. ἐς μάθησιν H.

videbitur, nec immerito. Nam et maioribus virtutis memoriam, et posteris voluptatem ea spectandi opera adimet. Quae cum ita sint, probe teneas velim, necesse esse horum alterum fiat: vel huius belli victoriam tibi praeripiat Imperator, vel eam forte adipiscaris. Si viceris, Roma excisa, non alienam urbem perdideris, praeclare vir, sed tuam: eadem servata, augeberis procul dubio possessione omnium praestantissima. Sin deterior fortuna tibi inciderit, manente Roma, non parva tibi gratia apud victorem manebit: ea deleta, nullus erit reliquus clementiae locus. Praeterea nihil emolumenti ceperis ex tali facto. Huic demum consentanea de te erit apud mortales omnes opinio: quae iam tibi impendet in utramque parata partem. Etenim qualia sunt acta principum, tale ipsi nomen ex iis ferant necesse est. Haec scripsit Belisarius. Totilas vero perlecta saepe epistola, et accurate perpensa admonitione, dedit manus, nec Romam multare institit. Sua voluntate Belisario significata, illico oratores remisit, et maximam copiarum partem cxx. stadiis procul ab urbe

ἐκέλευεν ἡσυχῇ μένειν, ὅπως δὴ μηδεμιᾷ μηχανῇ δυνατὰ εἴη τοῖς ἀμφὶ Βελισάριον ἔξω πη τοῦ πόρτου ἴέναι· αὐτὸς δὲ ξὺν τῷ ἄλλῳ στρατῷ ἐπί τε Ἰωάννην καὶ Λευκανοὺς ἦει. Ῥωμαίων μέντοι τοὺς μὲν ἐκ τῆς ξυγκλήτου βουλῆς ξὺν αὐτῷ εἶχε, τοὺς δὲ
5 ἄλλους ἅπαντας ξύν τε γυναιξὶ καὶ παισὶν ἔστειλεν ἐς τὰ ἐπὶ H 290
Καμπανίας χωρία, ἐν Ῥώμῃ ἄνθρωπον οὐδένα ἐάσας, ἀλλ' ἔρημον αὐτὴν τὸ παράπαν ἀπολιπών.

Ἰωάννης δὲ Τωτίλαν οἱ ἐπιέναι μαθὼν, μένειν ἐπὶ τῆς D
Ἀπουλίας οὐκέτι ἠξίου, ἀλλ' ἐς τὸν Δρουοῦντα δρόμῳ ἀφίκετο.
10 τῶν τε πατρικίων οἱ ἐς Καμπανίαν ἀγόμενοι ἐς Λευκανοὺς πέμψαντες τῶν οἰκείων τινὰς, Τωτίλα γνώμῃ, τοὺς σφετέρους ἀγροίκους ἐκέλευον μεθίεσθαι μὲν τῶν πρασσομένων, τοὺς δὲ ἀγροὺς γεωργεῖν ἥπερ εἰώθεισαν· ἔσεσθαι γὰρ αὐτοὺς ἀπήγγελλον τῶν κεκτημένων. οἱ δὲ ἀπετάξαντο μὲν τοῦ Ῥωμαίων στρα-
15 τοῦ, ἐν δὲ τοῖς ἀγροῖς ἡσυχῇ ἔμενον· Τουλλιανός τε φυγὼν ᾤχετο, καὶ οἱ τριακόσιοι Ἄνται παρὰ τὸν Ἰωάννην ἀναχωρεῖν ἔγνωσαν. οὕτω μὲν ἅπαντα τὰ ἐντὸς κόλπου τοῦ Ἰονίου, πλὴν τοῦ Δρουοῦντος, αὐθις ὑποχείρια Γότθοις τε καὶ Τωτίλᾳ γέγονε. θαρσοῦντες δὲ ἤδη οἱ βάρβαροι καὶ κατὰ ξυμμορίας σκεδαννύ-
20 μενοι περιῄεσαν κύκλῳ ἅπαντα. ὅπερ Ἰωάννης μαθὼν τῶν οἱ P 519
ἑπομένων πολλοὺς ἐπ' αὐτοὺς ἔπεμψεν. οἱ δὴ τοῖς πολεμίοις ἀπροσδόκητοι ἐπεισπεσόντες πολλοὺς ἔκτειναν. καὶ ἀπ' αὐτοῦ

1. μηδεμιᾷ μηχανῇ δυνατὰ εἴη] μηδεμία ἐξουσία ᾖ Reg. 13. εἰώθεισαν] εἰώθεσαν L. ibid. γὰρ αὐτοὺς] γὰρ αὐτοῖς τ' ἀγαθὰ Reg. 17. ἐντὸς] ἐκτὸς H. 19. ξυμμορίας] συμμορίας L. 22. ἐπεισπεσόντες] ἐπιπεσόντες L.

ad Occasum castra metatum in Algido, stativa habere iussit; ut Belisarius nullam erumpendi Portu facultatem haberet. Ipse reliquum exercitum adversus Ioannem et Lucanos duxit. Romanos Senatores secum habens, caeteros cives omnes cum uxoribus liberisque in Campaniam misit, nec Romae quemquam morari passus, urbem reliquit penitus vacuam.

Ubi Ioanni renuntiatum est adversus ipsum tendere Totilam, diutius in Apulia morari noluit: at cursu recepit sese Hydruntem. Abducti in Campaniam Patricii, quosdam e suis domesticis in Lucaniam miserunt de sententia Totilae, suisque villicis imperarunt, ut coepto absisterent, et agros de more colerent; quos in potestatem dominorum redituros significabant. Illi, deserto Romano exercitu, in agris quieverunt: Tullianus aufugit: Antae trecenti ad Ioannem se retulerunt: atque ita quidquid est circa sinum Ionium, praeter Hydruntem, in Gotthorum ac Totilae ditionem iterum venit. Iam pleni fiducia Barbari, manipulatim sparsi hac illac circumcursabant. Monitus Ioannes, in eos numerosam emisit suorum manum: qui facto in hostes improviso impetu,

V 147 δείσας ὁ Τωτίλας, ἅπαντάς τε τοὺς ξὺν αὐτῷ ἀγείρας, ἀμφὶ ὄρος τὸ Γάργανον, ὅπερ ἐν Ἀπουλίοις που μέσοις ἀνίσχει, ἐν τῷ Ἀννίβα τοῦ Λίβυος χαρακώματι στρατοπεδευσάμενος ἡσυχῇ ἔμενεν.

B κγ'. Ἐν τούτῳ δὲ τῶν τις ξὺν τῷ Κώνωνι ἐκ Ῥώμης φυγόντων, ἡνίκα ἡ πόλις ἡλίσκετο, Μαρτιανὸς ὄνομα, Βυζάντιος γένος, Βελισαρίῳ προσελθὼν στέλλεσθαι αὐτόμολος δῆθεν τῷ λόγῳ παρὰ τοὺς πολεμίους ἠξίου, μεγάλα Ῥωμαίους ἐπαγγελλόμενος ἀγαθὰ δράσειν· δόξαν τε τοῦτο Βελισαρίῳ, ἀπιὼν ᾤχετο. καὶ αὐτὸν ὁ Τωτίλας ἰδὼν ὑπερφυῶς ἥσθη. εὐδοκιμοῦντα γὰρ μονομαχίαις τὸν νεανίαν ἤκουσέ τε καὶ εἶδε πολλάκις. ὄντων δὲ αὐτῷ παίδων τε δύο καὶ τῆς γυναικὸς ἐν τοῖς αἰχμαλώτοις, τὴν μὲν γυναῖκα καὶ τῶν παίδων τὸν ἕτερον εὐθὺς τῷ ἀνθρώπῳ ἀπέ-

C δωκε, τὸν δὲ ἕτερον ἐν ὁμήρων λόγῳ ἐφύλασσεν, ἔς τε Σπολίτιον ξὺν ἑτέροις τισὶν ἔπεμψεν. ἐτύγχανον δὲ Γότθοι, ἡνίκα Ἡρωδιανοῦ ἐνδιδόντος Σπολίτιον εἷλον, τῆς μὲν πόλεως τὸν περίβολον ἐς τὸ ἔδαφος καθελόντες, τοῦ δὲ πρὸ τῆς πόλεως κυνηγεσίου, ὅπερ καλεῖν ἀμφιθέατρον νενομίκασι, τάς τε εἰσόδους ἐς τὸ ἀκριβὲς ἀποφράξαντες καὶ φρουρὰν ἐνταῦθα καταστησάμενοι Γότθων τε αὐτῶν καὶ Ῥωμαίων τῶν αὐτομόλων, ἐφ' ᾧ φυλάξωσι τὰ ἐκείνῃ χωρία. Μαρτιανὸς οὖν ἐπειδή τινας ἑταιρίσασθαι

2. γάργανον L. Γάργαρον P. *ibid.* ἐν om. L. 3. Ἀννίβα] ἀννίβαλος Reg. *ibid.* τοῦ] τῷ H. τοῦ Hm. 6. Μαρτιανὸς] μαρτινιανὸς L hic et infra. 8. Ῥωμαίους] ῥωμαίοις H: illud Hm. 14. ὁμήρων] ὁμήρου L corr. 17. πρὸ L. πρὸς P. 20. αὐτῶν om. L. *ibid.* φυλάξωσι] φυλάξουσι Reg. et H. 21 τινας] καὶ L.

multos interemerunt. Hinc Totilas affectus metu, suos omnes colligit, et ad montem Garganum, media surgentem Apulia, metatus in castris Annibalis Poeni, stativa habet.

23. Interea Martianus ortu Byzantius, unus ex eorum numero, qui, Roma capta, cum Conone fuga evaserant, Belisarium adit, rogatque ut fictum ad hostes transfugium sibi permittat, Romanis magna allaturum se commoda pollicenti. Annuente Belisario, discessit. Eius aspectu vehementer laetatus est Totilas. Illum enim adolescentem singularibus certaminibus egregie defunctum audierat saepe et viderat. Cum autem liberorum ipsius par uxoremque haberet inter captivos, coniugem quidem et natorum alterum ei continuo reddidit, altero retento obside, ipsum cum nonnullis aliis Spoletium misit. Iam ante Gotthi, capto Spoletio Herodiani deditione, muros eius aequarant solo, et pro urbe positi Amphitheatri (sic locum vocant urbanarum venationum) aditibus diligenter obstructis, Gotthorum transfugarumque praesidium ibi constituerant, ut circumiecta loca servarent. Itaque Martianus adiunctis

ἴσχυσε, τούτους ἀνέπεισε δράσαντάς τι ἐς τοὺς βαρβάρους μέγα οὕτω δὴ ἐπανήκειν ἐς τὸ Ῥωμαίων στρατόπεδον. στείλας δέ τινας παρὰ τὸν ἄρχοντα τοῦ ἐν Περυσίᾳ φυλακτηρίου ἐκέλευέν οἱ στράτευμα ὅτι τάχιστα ἐς Σπολίτιον πέμψαι, τοῦ παντὸς λόγου D
5 τὴν δήλωσιν ποιησάμενος. Ὀλδογάνδων δὲ Οὔννος ἦρχε τότε τῆς ἐν Περυσίᾳ φρουρᾶς, Κυπριανοῦ πρός του τῶν αὐτοῦ δορυφόρων, ὥς μοι ἔμπροσθεν εἴρηται, δόλῳ ἐξ ἀνθρώπων ἀφανισθέντος. ὅσπερ ξὺν στρατεύματι ἐπὶ τὸ Σπολίτιον ἦει. Μαρτιανὸς δὲ ἄγχιστά πη εἶναι τὸ στράτευμα τοῦτο αἰσθόμενος, ἅμα
10 τοῖς πεντεκαίδεκα στρατιώταις, (τοσούτους γὰρ ἑταιρίσασθαι ἴσχυσε) τοῦ φυλακτηρίου τὸν ἄρχοντα ἐκ τοῦ αἰφνιδίου διέφθειρε καὶ τὰς πύλας ἀναπετάσας Ῥωμαίους ἅπαντας τῷ φρουρίῳ ἐδέξατο. οἳ δὴ κτείνουσι μὲν πλείστους τῶν πολεμίων, τινὰς δὲ ζωγρήσαντες παρὰ Βελισάριον ἦγον.
15 Ὀλίγῳ δὲ ὕστερον Βελισαρίῳ ἔννοια γέγονεν ἐς Ῥώμην τε P 520
ἀναβῆναι καὶ ἐς ὅ τι τύχης ἐληλύθει θεάσασθαι. τῶν οὖν στρατιωτῶν χιλίους ἀπολεξάμενος ἐνταῦθα ἦει. Ῥωμαῖος δὲ ἀνὴρ ἀφικόμενος δρόμῳ ἐς τοὺς πολεμίους, οἵπερ ἐστρατοπεδεύοντο ἐν Ἀλγηδόνι, τὸ Βελισαρίου στράτευμα ἤγγειλεν. οἱ δὲ βάρβα-
20 ροι προλοχίσαντες ἐνέδραις τισὶ τὰ πρὸ τῆς Ῥώμης χωρία, ἐπειδὴ ἄγχιστά πη ἀφικομένους τοὺς ἀμφὶ Βελισάριον εἶδον, ἐκ τῶν ἐνεδρῶν ἀναστάντες ἐπ' αὐτοὺς ἦεσαν. μάχης τε καρτερᾶς γενομένης, τῇ σφετέρᾳ ἀρετῇ Ῥωμαῖοι τοὺς πολεμίους τρεψάμενοι,

3. παρὰ] καὶ παρὰ L. 5. Ὀλδογάνδων] ὀδολγὰν Reg. 13. πλείστους τῶν πολεμίων] τῶν πολεμίων πλείστους L. 16. οὖν στρατιωτῶν] στρατιωτῶν οὖν L. 19. τὸ Βελισαρίου] τοῦ βελισαρίου L. 22. ἀναστάντες] ἀναστήσαντες L.

sibi nonnullis persuadet, ut ad castra Romana redeant, edito in Barbaros aliquo insigni facinore. Mox ad praesidii Perusini Praefectum quosdam submittit, ac per illos re tota ipsi significata, instat, ut Spoletium copias quamprimum destinet. Praesidio Perusino tunc praeerat Oldogando Hunnus, Cypriano ex insidiis interfecto, ut supra dixi, a quodam ex Protectoribus suis. Illo Spoletium veniente cum copiis, has ubi Martianus adesse proxime intellexit; cum militibus xv. (tot enim sociaverat) Praefectum praesidii derepente tollit e medio, portisque patefactis, in castellum accipit Romanos omnes: qui concisa hostium parte maxima, aliquot cepere vivos, et ad Belisarium adduxere.

Paulo post Belisario in mentem venit Romam ingredi, et quo calamitatis devenisset inspicere. Quare militibus delectis mille, eo contendit. Tum Romanus quidam ad hostes, qui castra habebant in Algido, transcurrens, adesse nuntiat exercitum Belisarii. Protinus Barbari, structis pro Roma insidiis, ut in propinquo apparuit Belisarius, insurrexe-

B πλείστους τε διαφθείραντες, ἐς τὸν πόρτον εὐθὺς ἀνεχώρησαν. ταῦτα οὖν τῇδε ἐχώρησεν.

Ἔστι δὲ Καλαβρῶν ἐπιθαλασσία πόλις ὁ Τάρας, δυοῖν σχεδόν τι ἡμέραιν ὁδῷ Δρυοῦντος διέχουσα, ἐπί τε Θουρίους καὶ Ῥηγίνους ἐνθένδε ἰόντι. ἐνταῦθα Ἰωάννης, ξὺν ὀλίγοις τισὶ Ταραντίνων αὐτὸν ἑπαγομένων, ἀφίκετο, τοὺς λοιποὺς ἐπὶ τῇ
H 291 τοῦ Δρυοῦντος φυλακῇ καταστησάμενος. καὶ ἐπεὶ τὴν πόλιν εἶδε μεγίστην τε ὑπερφυῶς καὶ παντάπασιν ἀτείχιστον οὖσαν, πᾶσαν μὲν φυλάξαι οἷός τε ἔσεσθαι οὐδεμιᾷ μηχανῇ ᾤετο, ἰδὼν δὲ τὴν θάλασσαν τῆς πόλεως ἐς τὰ πρὸς βορρᾶν ἄνεμον ἀμφί τινα
C χῶρον στενὸν μάλιστα ἑκατέρωθεν ἐς κόλπον ἰοῦσαν, οὗ δὴ Ταραντίνων ὁ λιμήν ἐστιν, ἰσθμόν τε, ὡς τὸ εἰκός, τὸν ἐν μέσῳ
V 148 χῶρον οὐχ ἧσσον ἢ σταδίων εἴκοσιν ὄντα, ἐπενόει τάδε. ἀποτεμὼν ἀπὸ τῆς ἄλλης πόλεως τὴν τοῦ ἰσθμοῦ μοῖραν τειχίσματί τε αὐτὴν περιέβαλεν ἐκ θατέρου τῆς θαλάσσης μέρους ἄχρι ἐς ἕτερον καὶ τάφρον βαθεῖαν ἀμφὶ τὸ τείχισμα ὤρυσσεν. ἐνταῦθά τε οὐ Ταραντίνους μόνον, ἀλλὰ καὶ ὅσοι τὰ ἐκείνῃ χωρία ᾤκουν ξυνήγαγε, καὶ φυλακὴν αὐτοῖς λόγου ἀξίαν ἐλίπετο. ταύτῃ τε Καλαβροὶ ἅπαντες ἐν τῷ ἀσφαλεῖ ἤδη γενόμενοι Γότθων ἐς ἀποστασίαν εἶδον. ταῦτα μὲν ἐφέρετο τῇδε. Τωτίλας δὲ φρούριον ἐν Λευκανοῖς καταλαβὼν ἐχυρώτατον ἄγχιστά πη τῶν Καλαβρίας ὁρίων κείμενον, ὅπερ Ἀχεροντίδα καλοῦσι Ῥωμαῖοι, ἐνταῦθά τε

3. δυοῖν] δυεῖν L. 10. ἀμφί τινα] ἀμφ' ἕνα Reg. 15. τῆς θαλάσσης] τῆς om. L. 16. ὤρυσσεν] ὤρυξεν L corr. 18. ξυνήγαγε] συνήγαγε L. *ibid.* αὐτοῖς] αὐτοὺς L. *ibid.* ἐλίπετο L. ἐλείπετο P. 19. ἀποστασίαν L. ἀπόστασιν P. 21. ἐχυρώτατον] ὀχυρώτατον Reg. 22. Ἀχεροντίδα] Vulgo Ἀχερόντιδα.

runt. Commisso acri certamine, virtute Romani sua fusis hostibus, ac pluribus interfectis, statim Portum repetierunt. Ita res ibi cessit.

Est Tarentum, urbs maritima Calabriae, bidui fere dissita Hydrunte, in via qua hinc Thurios et Rhegium itur. Eo Ioannes a Tarentinis invitatus, cum paucis venit, caeteris in praesidio Hydruntino relictis: ac postquam urbem vidit laxissimam et prorsus moenibus spoliatam, totam propugnare se minime posse iudicavit. Verum animadvertens ab ubis latere aquilonari, circa locum angustissimum utrinque porrigi mare in sinum, ubi portus est Tarentinus, et isthmum, qui in spatio proinde est interiecto, non minus stadiis viginti patere, invento hoc usus est. Isthmi portionem ab urbe praecidit reliqua, et ab altera maris parte ad alteram sepsit muro, cui fossam altam praeduxit. Huc non Tarentinis modo, sed accolis etiam omnibus congregatis, validum praesidium reliquit: itaque securi iam Calabri universi, defectionem a Gotthis moliti sunt. Sed haec hactenus. Totilas vero cum in Lucania castellum cepisset munitissimum, Calabriaeque finitimum, quod Acherontidem Romani

φυλακτήριον ἀνδρῶν οὐχ ἧσσον ἢ τετρακοσίων καταστησάμενος αὐτὸς ξὺν τῷ ἄλλῳ στρατῷ ἐπὶ Ῥάβενναν ἦει, τῶν βαρβάρων τινὰς ἀπολιπὼν ἐς τὰ ἐπὶ Καμπανίας χωρία, οἵσπερ ἡ Ῥωμαίων ἐπέκειτο φυλακῇ, τῶν ἐκ τῆς ξυγκλήτου βουλῆς ἐνταῦθα ὄντων.

κδ'. Βελισαρίῳ δὲ τόλμα προμηθὴς τότε γέγονεν, ἀρχὴν P 521
μὲν μανιώδης δόξασα εἶναι τοῖς τε ὁρῶσι καὶ ἀκούουσι πρῶτον, ἐκβᾶσα δὲ ἐς ἀρετῆς ἔργον ὑψηλόν τε καὶ δαιμονίως ὑπέρογκον. τῶν γὰρ στρατιωτῶν ὀλίγους τινὰς φρουρᾶς ἕνεκα τῆς ἐν πόρτῳ ἀπολιπὼν αὐτὸς ξὺν τῷ ἄλλῳ στρατῷ ἐς Ῥώμην ἦλθε, προσποιεῖσθαί τε αὐτὴν σθένει παντὶ ἤθελεν. ἐπεὶ δὲ οὐχ οἷός τε ἦν ὅσα καθελὼν τοῦ περιβόλου Τωτίλας ἔτυχε βραχεῖ ἀνοικοδομήσασθαι χρόνῳ, ἐποίει τάδε. λίθους ἄγχιστά πη ὄντας ξυναγαγὼν ἐπ' ἀλλήλους οὐδενὶ κόσμῳ ξυνέβαλεν, οὐδὲν τὸ παράπαν B
ἐντὸς ἔχοντας, ἐπεὶ οὐδὲ τίτανον οὐδέ τι ἄλλο τοιοῦτον ἐν παρασκευῇ εἶχεν, ἀλλ' ὅπως μόνον τὸ τῆς οἰκοδομίας σώζοιτο πρόσωπον, σκολόπων τε μέγα τι χρῆμα ἔξωθεν ἵστησιν. ἐτύγχανε δὲ καὶ τάφρους βαθείας ἀμφὶ τὸν περίβολον ὅλον ὀρύξας πρότερον, ὥσπερ μοι ἐν τοῖς ἔμπροσθεν λόγοις ἐρρήθη. παντὸς δὲ τοῦ στρατοῦ προθυμίᾳ τῇ πάσῃ ταῦτα ἐργαζομένου πέντε καὶ εἴκοσιν ἡμερῶν ὅσα τοῦ περιβόλου καθῄρητο τῷ τρόπῳ τούτῳ τετέλεστο. τῶν τε Ῥωμαίων ὅσοι ἀμφὶ τὰ ἐκείνῃ χωρία ᾤκηντο ἐνταῦθα ἠγείροντο, τῆς τε ἐν Ῥώμῃ οἰκήσεως ἐπιθυμίᾳ καὶ ὅτι τῶν ἐπιτη- C

5. τότε γέγονεν] γέγονε τότε L. 10. οἵός τε] οἷόν τε Reg.
13. ξυνέβαλεν] ξυνέβαλλεν L. 14. οὐδέ τι] εἶχεν οὐδέ τι L.
ibid. ἐν παρασκευῇ εἶχεν om. L.

vocant, ac virorum non minus CD. ibi praesidium collocasset, cum reliquis copiis petere Ravennam intendit, relictis in Campania nonnullis Barbaris, quibus illic agentium Senatorum Romanorum custodiam demandaverat.

24. Tunc Belisarius sapienti ductus audacia, consilium cepit, quod quidem spectantibus audientibusque insanum initio visum est, sed in grande et mirifice excellens virtutis facinus erupit. Paucis enim militibus ad Portus custodiam relictis, ipse cum caeteris copiis Romam se contulit, in animo habens, omni ope et opera sibi illam asserere. Cum autem quidquid muri dirutum a Totila fuerat, brevi tempore reficere non posset, hac arte usus est. Lapides, qui erant in proximo, collegit, ac tumultuario opere composuit, nulla re indita, qua vincirentur: quippe quod nec calcem, neque aliud quidquam eiusmodi in prompta haberet: idque unum egit, ut speciem aedificii servaret in opere: quod et magna palorum vi foris munivit, cum antea fossam perpetuam moenibus, ut in superioribus libris dictum est, circumdedisset. In id universo exercitu totis viribus incumbente, intra dies viginti quinque eo modo instauratus est murus, ubicumque excisus fuerat. Tum Romani, quot-

Ῥωμαίων τινὲς πόρρω που τοῦ περιβόλου ἐγένοντο. οὓς δὴ κυκλώσεσθαι οἱ βάρβαροι ἔμελλον, ὡς μὴ ἀναστρέφειν ἐς τὴν πόλιν δυνατοὶ εἶεν. ἀλλὰ Βελισάριος (κατενόησε γὰρ τὰ ποιούμενα) τῶν ἀμφ' αὐτὸν πολλοὺς ἐνταῦθα στεῖλας διασώσασθαι τοὺς ἄνδρας ἴσχυσεν. οὕτω τε ἀποκρουσθέντες οἱ βάρβαροι ἀνε-
D χώρησαν, πολλοὺς μὲν ἀποβεβληκότες τῶν ἐν σφίσι μαχίμων, πλείστους δὲ τραυματίας ἐς τὸ στρατόπεδον ἐπαγόμενοι. ἐνταῦθά τε ἡσυχῇ ἔμενον, τά τε τραύματα θεραπεύοντες καὶ τῶν ὅπλων ἐπιμελούμενοι, (πολλὰ γὰρ σφίσι διέφθαρτο ἤδη) καὶ τὰ ἄλλα ἐν παρασκευῇ πάσῃ ποιούμενοι. ἡμέραις δὲ πολλαῖς ὕστερον ἐπὶ τὸν περίβολον ὡς τειχομαχήσοντες ἦεσαν. Ῥωμαῖοι δὲ σφίσιν ὑπαντιάσαντες ἐς χεῖρας ἦλθον. τύχῃ τέ τινι ὁ τὸ Τωτίλα σημεῖον φέρων καιρίαν πληγεὶς αὐτός τε τοῦ ἵππου ἐκπίπτει καὶ τὸ σημεῖον ἐς τὴν γῆν ἔρριψε. καὶ Ῥωμαίων μὲν ὅσοι ἐς τὰ πρῶτα ἐμάχοντο, ὥρμησαν ὥστε τὸ σημεῖον καὶ τὸν νεκρὸν ἁρ-
P 523 πασόμενοι. φθάσαντες δὲ τῶν βαρβάρων οἱ εὐτολμότατοι τό τε σημεῖον ἁρπάζουσι καὶ νεκροῦ χεῖρα τὴν λαιὰν ἀποτεμόντες ξὺν αὐτοῖς ἔλαβον. ψέλιον γὰρ χρυσοῦν ἐπὶ ταύτης ὁ πεπτωκὼς φορῶν ἔτυχε λόγου ἄξιον, ᾧπερ ἐναβρύνεσθαι τοὺς ἐναντίους ἥκιστα ἤθελον, φεύγοντες δηλονότι τὴν ἀπὸ τοῦ ἔργου αἰσχύνην. καὶ ὁ μὲν τῶν βαρβάρων στρατὸς ἐς ὑπαγωγὴν ἐτράπετο οὐδενὶ κόσμῳ, Ῥωμαῖοι δὲ τὸ μὲν ἄλλο τοῦ νεκροῦ σῶμα ἐσκύλευσαν,

1. κυκλώσεσθαι] κυκλώσασθαι L. 2. μὴ] L a m. sec. *ibid.* ἐς L. εἰς P. 3. δυνατοὶ] ἀδύνατοι Lm. 5. ἴσχυσεν] ἔσχεν Reg. 13. τε τοῦ] τε ἐκ τοῦ L. 14. ἔρριψε] ἔρριψαν L. 18. αὐτοῖς ἔλαβον] αὐτοῖς ἔλεγον L. *ibid.* ψέλιον] Vulgo φέλιον. 21. ἐτράπετο] ἐτράποντο L.

sent circumcludendi, ne in urbem redire possent, re Belisarius cognita, eoque missa valida suorum manu, illis salutem attulit. Sic demum repulsi Barbari recesserunt, magno bellicosiorum amisso numero, ac plurimos reduxerunt in castra saucios: ubi sese tenuerunt, curantes vulnera, et arma reparantes iam partem maximam fracta, aliaque omnia instruentes. Multis post diebus, muro appropinquarunt, prae se ferentes oppugnationis consilium. Romani obviam effusi, cum illis manus conseruerunt. Forte Totilae vexillarius letali plaga excussus equo, humi vexillum abiecit. Mox Romani, quicumque in primis certabant ordinibus, irruere, vexillum abrepturi una cum mortuo. Antevertunt Barbarorum animosissimi, vexillumque auferunt cum demortui sinistra manu amputata. Hanc enim ille aureo brachiali insigni ornaverat, quo gloriam hostium augere nolebant, vitantes utique rediturum hinc ad se dedecus. In fugam consternato Barbarorum

κεσι διαφθείρουσιν, ὥπερ ἐνέρσει τοίχου ἑκατέρου ἐναρμοσθέντι B
τὰς πύλας ἐπιζευγνύναι εἰώθεισαν, τά τε σιδήρια ξύμπαντα, οἷς
δὴ τὰς κλεῖς ἀεὶ οἱ φύλακες ἐμβαλλόμενοι ἔκλειόν τε τὰς πύλας
καὶ κατὰ τὴν χρείαν ἀνέωγον. οὕτω δὲ τὰς πύλας ἀναπετάσαν-
5 τες, ἥπερ ἐβούλοντο, τῇ πόλει Τωτίλαν τε καὶ Γότθων στρατὸν
οὐδενὶ πόνῳ ἐδέξαντο. Τωτίλας δὲ αὐτοὺς ἐνταῦθα ἐς ἕνα χῶ-
ρον ξυναγαγὼν σκεδάννυσθαι οὐδαμῇ εἴασεν· ἔδεισε γὰρ μή τις
ἐνέδρα πρὸς τῶν πολεμίων σφίσι ξυμβαίνῃ. ταραχῆς δέ, ὡς τὸ
εἰκὸς, τῇ πόλει καὶ θορύβου ἐπιπεσόντος οἱ μὲν πλεῖστοι τῶν
10 Ῥωμαίων στρατιωτῶν διὰ πύλης τῆς ἑτέρας ξὺν τοῖς ἄρχουσιν
ἔφυγον, ὥς πη ἑκάστῳ εὐπετὲς γέγονεν, ὀλίγοι δέ τινες ξὺν Ῥω-
μαίοις τοῖς ἄλλοις ἐς τὰ ἱερὰ καταφεύγουσι. τῶν δὲ Πατρικίων
Δέκιός τε καὶ Βασίλειος ξὺν ἑτέροις τισὶν (ἵπποι γὰρ σφίσι πα- C
ρόντες ἔτυχον) ξὺν τῷ Βέσσᾳ φυγεῖν ἴσχυσαν. Μάξιμος δὲ καὶ
15 Ὀλύβριος καὶ Ὀρέστης, καί τινες ἄλλοι ἐς τὸν Πέτρου τοῦ ἀπο- H 287
στόλου νεὼν ἔφυγον. τοῦ μέντοι δήμου πεντακοσίους ἄνδρας
ἀνὰ πᾶσαν τὴν πόλιν ἀπολελεῖφθαι ξυνέπεσεν, οἵπερ ἐς τὰ ἱερὰ
κατέφυγον μόλις. τῶν γὰρ ἄλλων ἁπάντων οἱ μὲν ἀπιόντες ἤδη
πρότερον ἐς ἑτέρας ᾤχοντο χώρας, οἱ δὲ τῷ λιμῷ διεφθάρησαν,
20 ὥσπερ μοι ἔμπροσθεν εἴρηται. πολλοὶ μὲν οὖν Τωτίλᾳ νύκτωρ
ἤγγελλον ὅτι δὴ Βέσσας τε καὶ οἱ πολέμιοι φεύγουσιν. ὁ δὲ

1. ὥπερ] ὅπερ H: illud Hm. *ibid.* τοίχου] τείχους Suidas s. v. ἐνέρσει. *ibid.* ἐναρμοσθέντι] ἐναρμοσθέντες Suidas. ἐναριθμωθέντι L a pr. m. 2. εἰώθεισαν] εἰώθεσαν L. εἰώθασι Suidas. 4. οὕτω δὲ] οὕτω δὴ L. 8. ξυμβαίνῃ L. ξυμβαίνει P. 10. τῆς ἑτέρας] τῆς om. L. 11. ἔφυγον Reg. ἐφεύγον P. 13. Δέκιός τε] τε om. L. 18. τῶν γὰρ] γὰρ om. L. 21. Βέσσας] βέσας L.

que parietis commissurae inserto iunguntur valvae: iidem ferramenta avellunt omnia; quibus claves indendo, fores claudere custodes consueverant, ac reserare, ut res poscebat. Sic porta ad libitum patefacta, Totilam Gotthorumque exercitum in urbem nullo negotio admiserunt. Insidias hostiles veritus Totilas, eos ibi in unum coactos dissipari non sivit. Tumultu caeco in urbe, ut fit, exorto, Romani milites fere omnes alia porta, prout expeditum cuique fuit, evasere cum Ducibus: pauci cum Romanis residuis in sacras aedes se receperunt. Ex Patriciis Decius, Basilius, aliique nonnulli, quibus equi suppetebant, fugientem Bessam secuti sunt: Maximus, Olybrius, Orestes et quidam alii in templum Petri Apostoli perfugerunt. E plebe quingenti in urbe tota restabant, qui vix templis se committere potuere: caeteri iam ante partim alio concesserant, partim fame, ut supra dixi, perierant. Totilas, multis per noctem nuntiantibus Bessam atque hostes sese proripere, testatus sermo-

μίαν, ἣ Μιλβίου ἐπώνυμός ἐστι, διαφθεῖραι οὐδαμῇ ἴσχυσαν, ἐπεὶ ἄγχιστα τῆς πόλεως ἐτύγχανεν οὖσα. τό τε ἐν Τιβύρῳ φρούριον ἀνοικοδομήσασθαι σθένει παντὶ ἔγνωσαν. καθελόντες γὰρ αὐτὸ πρότερον ἔτυχον, τά τε χρήματα ἐνταῦθα καταθέμενοι ἅπαντα ἡσυχῇ ἔμενον. καὶ Βελισάριος ἀδείστερον ἤδη τὰς πύ- 5
λας τῷ Ῥώμης περιβόλῳ πανταχόθεν ἐφαρμοσάμενος σιδήρῳ τε αὐτὰς περιβαλὼν αὖθις βασιλεῖ τὰς κλεῖς ἔπεμψε. καὶ ὁ χειμὼν ἔληγε, καὶ τὸ δωδέκατον ἔτος ἐτελεύτα τῷ πολέμῳ τῷδε, ὃν Προκόπιος ξυνέγραψεν.

P 524 κε'. Ἐτύγχανε δὲ πολλῷ πρότερον στράτευμα ἐπὶ Περ- 10
σίαν ὁ Τωτίλας στείλας, οἳ περὶ τὸν τῆς πόλεως περίβολον ἐστρατοπεδευσάμενοι ἐπολιόρκουν ἐς τὸ ἀκριβὲς τοὺς ταύτῃ Ῥωμαίους. καὶ ἐπεὶ τῶν ἐπιτηδείων αὐτοὺς σπανίζοντας ᾔσθοντο ἤδη, πέμψαντες παρὰ Τωτίλαν ἐδέοντο παντὶ στρατῷ ἐνταῦθα ἰέναι, ῥᾷον ἂν οὕτω καὶ ἀπονώτερον ἐξελεῖν Περυσίαν τε καὶ 15
τοὺς ἐνταῦθα Ῥωμαίους οἰόμενοι. Τωτίλας δὲ οὐ λίαν ἐς τὰ ἐπαγγελλόμενα προθυμουμένους τοὺς βαρβάρους ὁρῶν παραίνεσίν τινα ποιεῖσθαι ἐς αὐτοὺς ἤθελε. διὸ δὴ ξυγκαλέσας ἅπαντας ἔλεξε τοιάδε ,,Ὁρῶν ὑμᾶς, ἄνδρες ξυστρατιῶται, ἐμὲ μὲν
B οὐκ ὀρθῶς δι' ὀργῆς ἔχοντας, ἀγανακτοῦντας δὲ πρὸς τὸ τῆς 20
τύχης ξυμπεπτωκὸς ἐναντίωμα, ξυναγαγεῖν τανῦν ἔγνωκα, ὅπως ἡμῶν δόξαν ὡς ἥκιστα ὀρθὴν ἀφελὼν ἀντικαθιστάναι τὴν γνώμην ἐπὶ τὰ βελτίω δυνήσωμαι, καὶ μήτε ἀχαριστεῖν οὐδὲν ὑμῖν προσῇ-

1. *Μιλβίου*] μολιβίου Reg. μολίβιοι H. 2. *Τιβύρῳ*] τιβούρει Reg. 11. *οἳ περὶ*] οἵπερ ἀμφὶ L. 22. *ἀντικαθιστάναι*] ἀντικαθεστᾶναι H: illud Hm. 23. *δυνήσωμαι*] δυνήσομαι L.

possent: unum admodum pontem Milvium servavit urbis propinquitas. Tiburtinum castellum, quod ante everterant, totis viribus reaedificarunt, cunctisque opibus ibi repositis, stativa habuerunt. Liberius iam Belisarius muri Romani portas ferratis foribus munit, et claves iterum misit Imperatori. Hiemis exitu clauditur annus duodecimus huius belli, cuius historiam Procopius condidit.

25. A Totila missae pridem Perusiam copiae, castris circum urbis moenia positis, Romanos, qui illic erant, premebant obsidione. Ubi vero iam ipsos victus penuria laborare intellexerunt, ad Totilam destinarunt, qui rogarent, ut eo ipse universum exercitum duceret, existimantes faciliorem hanc esse, et expeditiorem viam potiendi Perusia, et Romanos, qui ibi degerent, expugnandi. Tum Totilas Barbaros ad exequenda mandata parum alacres animadvertens, admonere illos et hortari constituit. Quare vocata concione, ita fere locutus est. *Quoniam vos, Commilitiones, abs re mihi succensere, et adversae fortunae casum inique ferre video, concionem modo advocavi, ut ex animis vestris evulsa prava opinione, eos ad meliora revocem, faciamque, ne et in me turpiter*

κον ἐς ἐμὲ δόξητε μήτε ἀγνωμοσύνῃ ἐς τὸ θεῖον ὑπὸ ἀβελτερίας χρῆσθαι. τὰ γὰρ ἀνθρώπεια ποτε σφάλλεσθαι ξύμπαντα πέφυκεν, ὅστις τε ἄνθρωπος ὢν εἶτα δυσχερῶς ἔχων ἐς τὰ προσπίπτοντα φαίνεται, αὐτὸς μὲν ἀμαθίας, ὡς τὸ εἰκὸς, ἀποίσεται δόξαν, οὐδὲν δὲ ἧττον ὑποστήσεται τὴν ἀπὸ τῆς τύχης ἀνάγκην. βούλομαι δὲ τῶν πρότερον πεπραγμένων ὑμᾶς ὑπομνῆσαι, οὐχ C ὅσον ἕνεκα τοῦ τὰς αἰτίας τῶν ξυμβεβηκότων ἐκλύσασθαι, ἀλλὰ καὶ τοῦ δικαιότερον ἄλλοις ταύτας προσήκειν ἐνδείκνυσθαι. Οὐϊτιγις γὰρ τὸ ἐξ ἀρχῆς καθιστάμενος ἐς πόλεμον τόνδε Φανοῦ μὲν καὶ Πισαύρου τῶν ἐπιθαλασσίων πόλεων τὰ τείχη καθεῖλε, Ῥώμην δὲ καὶ τὰς ἄλλας Ἰταλίας πόλεις ἁπάσας ἀφῆκεν οὐδ' ὁτιοῦν λυμηνάμενος. ἐκ μὲν οὖν Φανοῦ καὶ Πισαύρου φλαῦρον οὐδὲν Γότθοις ξυμβέβηκεν, ἐκ δὲ τοῦ Ῥώμης περιβόλου καὶ τῶν ἄλλων ὀχυρωμάτων ταύτῃ, ἥπερ ὑμεῖς ἴστε, Γότθοις καὶ Οὐϊτίγιδι ἐκεχωρήκει τὰ πράγματα. ἐγὼ τοίνυν ἐπειδὴ διδόντων ὑμῶν τὴν ἀρχὴν ἔλαβον, ἐλογισάμην τῶν ἔργων τοῖς ἀμείνοσι δόξασιν εἶναι D μᾶλλον ἕπεσθαι ἢ ἐκ τῶν λυμαινομένων τοῖς πράγμασι διδόναι βλάβος. φύσει μὲν γὰρ ἄνθρωποι οὐδέν τι μέγα διαφέρειν ἀλλήλων δοκοῦσιν, ἡ δὲ πεῖρά τισι γινομένη διδάσκαλος κρείσσω τὸν

1. ἐς τὸ L. εἰς τὸ P. *ibid.* ἀβελτερίας] Vulgo ἀβελτηρίας. 2. χρῆσθαι] χρῆσθε L. *ibid.* ποτε σφάλλεσθαι] καὶ σφάλλεσθαι H. καὶ σφάλλεσθαί ποτε L. *ibid.* ξύμπαντα om. L. 3. ἐς τὰ] εἰς τὰ L. 4. φαίνεται] φαίνηται L a pr. m. 6. τῶν] μὲν τῶν L. 8. ἄλλοις P ex Maltreti coniectura. ἀεὶ Reg. ἂν H. *ibid.* προσήκειν] ἢ προσῆκεν L. 12. Πισαύρου] πευσαύρου HL hic et infra. Pisauri Pers. constanter. 16. δόξασιν εἶναι] εἶναι δόξασι L. 17. λυμαινομένων P cum Scaligero. δεδοννημένων H. Quod expressit Pers. ex his quae factu facilia sunt. δεναμένων L. *ibid.* διδόναι] διώκειν L. 19. ἡ δὲ L. εἰ δὲ HP Reg. Vat. *ibid.* τισι Reg. Vat. L. τις ἦν HP. *ibid.* κρείσσω] κρείσσονα L.

ingrati, et in Deum stulte contumaces esse videamini. Ea est natura rerum humanarum omnium, ut interdum succidant. Quisquis autem cum homo sit, offensum casibus animum prae se fert; is merito imperitus audiet, ac nihilo secius fortunae necessitatem subibit. Porro consilium est, ante acta vobis commemorare: non modo ut vestras de iis, quae acciderunt, querelas refellam; verum etiam ut in alios melius convenire illas demonstrem. Etenim Vitigis initio, cum hoc bellum suscepit, Fonum quidem ac Pisaurum, urbes maritimas, moenibus exuit; Romae vero caeterisque omnibus pepercit Italiae urbibus. Exinde nihil mali Gotthos a Fano Pisauroque invasit: Romani muri ac caeterae munitiones eventa, sat vobis cognita, Gotthis et Vitigi pepererunt. Ego igitur, postquam delatum a vobis regnum accepi, facta, qua potiora visa sunt, sequi malui; quam ea, quae male cesserant, imitando, detrimentum rebus efferre nostris. Haud multum quidem inter se differre ingenio videntur homines: at si cui

μίαν, ἣ Μιλβίου ἐπώνυμός ἐστι, διαφθεῖραι οὐδαμῇ ἴσχυσαν, ἐπεὶ ἄγχιστα τῆς πόλεως ἐτύγχανεν οὖσα. τό τε ἐν Τιβύρῳ φρούριον ἀνοικοδομήσασθαι σθένει παντὶ ἔγνωσαν. καθελόντες γὰρ αὐτὸ πρότερον ἔτυχον, τά τε χρήματα ἐνταῦθα καταθέμενοι ἅπαντα ἡσυχῇ ἔμενον. καὶ Βελισάριος ἀδείστερον ἤδη τὰς πύλας τῷ Ῥώμης περιβόλῳ πανταχόθεν ἐφαρμοσάμενος σιδήρῳ τε αὐτὰς περιβαλὼν αὖθις βασιλεῖ τὰς κλεῖς ἔπεμψε. καὶ ὁ χειμὼν ἔληγε, καὶ τὸ δωδέκατον ἔτος ἐτελεύτα τῷ πολέμῳ τῷδε, ὃν Προκόπιος ξυνέγραψεν.

P 524 κε'. Ἐτύγχανε δὲ πολλῷ πρότερον στράτευμα ἐπὶ Περυσίαν ὁ Τωτίλας στείλας, οἳ περὶ τὸν τῆς πόλεως περίβολον ἐνστρατοπεδευσάμενοι ἐπολιόρκουν ἐς τὸ ἀκριβὲς τοὺς ταύτῃ Ῥωμαίους. καὶ ἐπεὶ τῶν ἐπιτηδείων αὐτοὺς σπανίζοντας ᾔσθοντο ἤδη, πέμψαντες παρὰ Τωτίλαν ἐδέοντο παντὶ στρατῷ ἐνταῦθα ἰέναι, ῥᾷον ἂν οὕτω καὶ ἀπονώτερον ἐξελεῖν Περυσίαν τε καὶ τοὺς ἐνταῦθα Ῥωμαίους οἰόμενοι. Τωτίλας δὲ οὐ λίαν ἐς τὰ ἐπαγγελλόμενα προθυμουμένους τοὺς βαρβάρους ὁρῶν παραινέσιν τινα ποιεῖσθαι ἐς αὐτοὺς ἤθελε. διὸ δὴ ξυγκαλέσας ἅπαντας ἔλεξε τοιάδε ,,Ὁρῶν ὑμᾶς, ἄνδρες ξυστρατιῶται, ἐμὲ μὲν
B οὐκ ὀρθῶς δι' ὀργῆς ἔχοντας, ἀγαναχτοῦντας δὲ πρὸς τὸ τῆς τύχης ξυμπεπτωκὸς ἐναντίωμα, ξυναγαγεῖν τανῦν ἔγνωκα, ὅπως ὑμῶν δόξαν ὡς ἥκιστα ὀρθὴν ἀφελὼν ἀντικαθιστάναι τὴν γνώμην ἐπὶ τὰ βελτίω δυνήσωμαι, καὶ μήτε ἀχαριστεῖν οὐδὲν ὑμῖν προσῇ-

1. *Μιλβίου*] μολιβίου Reg. μολίβιοι H. 2. *Τιβύρῳ*] τιβούρει Reg. 11. *οἳ περὶ*] οἵπερ ἀμφὶ L. 22. *ἀντικαθιστάναι*] ἀντικαθεστᾶναι H: illud Hm. 23. *δυνήσωμαι*] δυνήσομαι L.

possent: unum admodum pontem Milvium servavit urbis propinquitas. Tiburtinum castellum, quod ante everterant, totis viribus reaedificarunt, cunctisque opibus ibi repositis, stativa habuerunt. Liberius iam Belisarius muri Romani portas ferratis foribus muniit, et claves iterum misit Imperatori. Hiemis exitu clauditur annus duodecimus huius belli, cuius historiam Procopius condidit.

25. A Totila missae pridem Perusiam copiae, castris circum urbis moenia positis, Romanos, qui illic erant, premebant obsidione. Ubi vero iam ipsos victus penuria laborare intellexerunt, ad Totilam destinarunt, qui rogarent, ut eo ipse universum exercitum duceret, existimantes faciliorem hanc esse, et expeditiorem viam potiendi Perusia, et Romanos, qui ibi degerent, expugnandi. Tum Totilas Barbaros ad exequenda mandata parum alacres animadvertens, admonere illos et hortari constituit. Quare vocata concione, ita fere locutus est. *Quoniam vos, Commilitiones, abs re mihi succensere, et adversae fortunae casum inique ferre video, concionem modo advocavi, ut ex animis vestris evulsa prava opinione, eos ad meliora revocem, faciamque, ne et in me turpiter*

κον ἐς ἐμὲ δόξητε μήτε ἀγνωμοσύνῃ ἐς τὸ θεῖον ὑπὸ ἀβελτερίας χρῆσθαι. τὰ γὰρ ἀνθρώπειά ποτε σφάλλεσθαι ξύμπαντα πέφυκεν, ὅστις τε ἄνθρωπος ὢν εἶτα δυσχερῶς ἔχων ἐς τὰ προσπίπτοντα φαίνεται, αὐτὸς μὲν ἀμαθίας, ὡς τὸ εἰκὸς, ἀποίσεται δόξαν, οὐδὲν δὲ ἧττον ὑποστήσεται τὴν ἀπὸ τῆς τύχης ἀνάγκην. βούλομαι δὲ τῶν πρότερον πεπραγμένων ὑμᾶς ὑπομνῆσαι, οὐχ C ὅσον ἕνεκα τοῦ τὰς αἰτίας τῶν ξυμβεβηκότων ἐκλύσασθαι, ἀλλὰ καὶ τοῦ δικαιότερον ἄλλοις ταύτας προσήκειν ἐνδείκνυσθαι. Οὐίτιγις γὰρ τὸ ἐξ ἀρχῆς καθιστάμενος ἐς πόλεμον τόνδε Φανοῦ μὲν καὶ Πισαύρου τῶν ἐπιθαλασσίων πόλεων τὰ τείχη καθεῖλε, Ῥώμην δὲ καὶ τὰς ἄλλας Ἰταλίας πόλεις ἁπάσας ἀφῆκεν οὐδ' ὁτιοῦν λυμηνάμενος. ἐκ μὲν οὖν Φανοῦ καὶ Πισαύρου φλαῦρον οὐδὲν Γότθοις ξυμβέβηκεν, ἐκ δὲ τοῦ Ῥώμης περιβόλου καὶ τῶν ἄλλων ὀχυρωμάτων ταύτῃ, ᾗπερ ὑμεῖς ἴστε, Γότθοις καὶ Οὐιτίγιδι ἐκεχωρήκει τὰ πράγματα. ἐγὼ τοίνυν ἐπειδὴ διδόντων ὑμῶν τὴν ἀρχὴν ἔλαβον, ἐλογισάμην τῶν ἔργων τοῖς ἀμείνοσι δόξασιν εἶναι D μᾶλλον ἕπεσθαι ἢ ἐκ τῶν λυμαινομένων τοῖς πράγμασι διδόναι βλάβος. φύσει μὲν γὰρ ἄνθρωποι οὐδέν τι μέγα διαφέρειν ἀλλήλων δοκοῦσιν, ἡ δὲ πεῖρά τισι γινομένη διδάσκαλος κρείσσω τὸν

1. ἐς τὸ L. εἰς τὸ P. *ibid.* ἀβελτερίας] Vulgo ἀβελτηρίας. 2. χρῆσθαι] χρῆσθε L. *ibid.* ποτε σφάλλεσθαι] καὶ σφάλλεσθαι H. καὶ σφάλλεσθαί ποτε L. *ibid.* ξύμπαντα om. L. 3. ἐς τὰ] εἰς τὰ L. 4. φαίνεται] φαίνηται L a pr. m. 6. τῶν] μὲν τῶν L. 8. ἄλλοις P ex Maltreti coniectura. ἀεὶ Reg. ἂν H. *ibid.* προσήκειν] ἢ προσῆκεν L. 12. Πισαύρου] πευσαύρου HL hic et infra. *Pinsauri* Pers. constanter. 16. δόξασιν εἶναι] εἶναι δόξασι L. 17. λυμαινομένων P cum Scaligero. δεδυνημένων H. Quod expressit Pers. *ex his quae factu facilia sunt.* δεναμένων L. *ibid.* διδόναι] διώκειν L. 19. ἡ δὲ L. εἰ δὲ HP Reg. Vat. *ibid.* τισι Reg. Vat. L. τις ἦν HP. *ibid.* κρείσσω] κρείσσονα L.

ingrati, et in Deum stulte contumaces esse videamini. Ea est natura rerum humanarum omnium, ut interdum succidant. Quisquis autem cum homo sit, offensum casibus animum prae se fert; is merito imperitus audiet, ac nihilo secius fortunae necessitatem subibit. Porro consilium est, ante acta vobis commemorare: non modo ut vestras de iis, quae acciderunt, querelas refellam; verum etiam ut in alios melius convenire illas demonstrem. Etenim Vitigis initio, cum hoc bellum suscepit, Fonum quidem ac Pisaurum, urbes maritimas, moenibus exuit; Romae vero caeterisque omnibus pepercit Italiae urbibus. Exinde nihil mali Gotthos a Fano Pisauroque invasit: Romani muri ac caeterae munitiones eventa, sat vobis cognita, Gotthis et Vitigi pepercerunt. Ego igitur, postquam delatum a vobis regnum accepi, facta, qua potiora visa sunt, sequi malui; quam ea, quae male cesserant, imitando, detrimentum rebus efferre nostris. Haud multum quidem inter se differre ingenio videntur homines: at si cui

ἐκμαθόντα τῶν οὐ τετυχηκότων τῆς διδασκαλίας τῷ παντὶ τίθησιν. ἐπειδὴ τοίνυν Βενεβεντὸν εἴλομεν τὰ τείχη καθελόντες, τῶν ἄλλων εὐθὺς ἐκρατοῦμεν, ὥνπερ ὁμοίως τυὸς περιβόλους καθελεῖν ἔγνωμεν, ὅπως μὴ ἐξ ἐχυροῦ τινος ὁρμώμενος ὁ τῶν πολε-
P 525 μίων στρατὸς σοφίζεσθαι τὸν πόλεμον δυνατὸς εἴη, ἀλλ' ἐκ τοῦ εὐθέος ἀναγκάζηται ἡμῖν ἐς πεδίον κατιὼν ἐς χεῖρας ἰέναι. καὶ οἱ μὲν ἔφευγον, ἐγὼ δὲ καθαιρεῖν τῶν πόλεων τὰς ἁλισκομένας ἐκέλευον. ὑμεῖς δὲ τὴν εὐβουλίαν θαυμάζοντες ὑπουργεῖτε τῇ γνώμῃ ταύτῃ, τὸ ἔργον, ὡς τὸ εἰκὸς, οἰκειούμενοι. ὁ γὰρ ἐπαινέσας τὸν δεδρακότα οὐδέν τι ἧσσον τῶν πεπραγμένων αὐ-
τουργὸς γίνεται. νῦν δὲ μεταβέβλησθε, ὦ φίλτατοι Γότθοι, ἐπειδὴ ξυνέβη Βελισάριον κρεῖσσον λόγου θράσος ἑλόμενον τῶν ἐγκεχειρημένων αὐτῷ παρὰ δόξαν κρατεῖν, καὶ ἀπ' αὐτοῦ κατα-
V 151 πεπλῆχθαι τὸν ἄνθρωπον ἅτε ἀνδρεῖον ὑμῖν ξυμβαίνει. ῥᾷον γὰρ οἱ θρασεῖς εὐτολμοι κέκληνται ἢ οἱ προμηθεῖς ἀσφαλεῖς. ὁ
B μὲν γὰρ παρὰ τὰ καθεστῶτα τολμήσας ἐννοίᾳ τοῦ δοκοῦντος δραστηρίου τετίμηται, ὁ δὲ προμηθεῖ γνώμῃ ἀποκνήσας τὸν κίνδυνον ἀποτυχών τε τὴν αἰτίαν ἐπισπᾶται τῶν ξυμπιπτόντων καὶ πράξας κατὰ νοῦν οὐδὲν αὐτὸς τοῖς γε ἁμαθέσιν ἐργάσασθαι δοκεῖ. χωρὶς δὲ τούτων οὐκ ἐκλογίζεσθε ὅσοι ἐμοὶ χαλεπαίνετε, δι'

3. ὁμοίως] ὁμοίους L. 6. εὐθέος] εὐθέως L. 10. δεδρακότα] δράσαντα Reg. 11. μεταβέβλησθε] μετεβέβλησθε L. 13. ἐγκεχειρημένων αὐτῷ L, cum Pers. *ubi forte id contigit ut Belissarius temerarium facinus audendo spem praeter omnium quae aggressus est vicerit.* ἐχθρῶν αὐτοῦ P. 16. ἐννοίᾳ] εὐνοίᾳ L.

magister usus accesserit, id perito discipulo suo tribuit, ut omnino praestet eiusmodi doctrinae expertibus. Itaque, statim ut cepimus Beneventum, eversis illius muris, in ditionem nostram subiunximus alias urbes: quarum moenia similiter destruximus, ut hostiles copiae e munito loco bellum eludere nequirent; sed in campo cogerentur nobiscum congredi aperto Marte. Tum illi fugae se committebant: ego urbes captas deleri iubebam: vos prudens admirantes consilium, in id operam conferebatis; ita ut vestrum id opus merito diceretur. Nam qui incepti effectorem laudatione accendit, earumdem rerum aeque ipse molitor est. Iam vero a vobis ipsi discedebatis, Gotthi carissimi: postquam infanda temeritate Belisario victoria contigit: ob quam illum tanquam virum fortem stupetis. Enimvero qui caeca sunt audacia praediti, generosi vocantur facilius, quam qui prudentia pollent, tuto cauti. Siquidem qui praeter morem ac modum ausus quidpiam fuerit, strenuitatis, cuius speciem habet, opinione ornatur: dum cunctatur in periculo sapiens, si exciderit coepto, casus causam et invidiam sustinet, sin rem ex sententia gesserit, nihil fecisse imperitis videtur. Praeterea vos, quotquot mihi irati estis, non attenditis quae

ὧν ὑμῖν ἀγανακτεῖν ξυμβαίνει τανῦν. ἢ Βελισάριον εὐδοκιμηκέναι καθ' ὑμῶν οἴεσθε, οἵπερ δοριάλωτοι ὄντες καὶ δραπέται γεγεννημένοι ὑπ' ἐμοί τε στρατηγοῦντι ὅπλα ἀντάραντες ὑπερβαλέσθαι πολλάκις αὐτὸν τῷ πολέμῳ δεδύνησθε; καίτοι εἰ μὲν ἐμῇ ἀρετῇ ἐκεῖνα ὑμᾶς εἰργάσθαι ξυνέβη, ταύτην ὑμᾶς αἰσχυνομένους χρὴ σιωπᾶν, ἐν τοῖς πταίσμασι δὴ τῶν ἀνθρώπων ἐνθυμουμένους ὡς οὐδὲν πέφυκεν ἐφ' ἑαυτοῦ μένειν· εἰ δέ τις ὑμῖν H 294
τύχη ἐκεῖνο τὸ κράτος ἐβράβευσε, σέβειν μᾶλλον ἢ δυσκόλως πρὸς C
αὐτὴν ἔχειν ὑμῖν ξυνοίσει, ὡς μὴ προσκεκρουκότες τὴν εὐγνωμοσύνην μεταμαθεῖν βιάζησθε. καίτοι πῶς οὐκ ἂν ἄπο τοῦ σώφρονος τρόπου φανείη τοὺς πολλά τε καὶ μεγάλα περιβεβλημένους εὐτυχήματα οὐ πολλῷ ἔμπροσθεν ἐν βραχεῖ τε τανῦν πταίσαντας οὕτω δεδουλῶσθαι τὸ φρόνημα; οὐ γὰρ ἄλλο οὐδὲν τὸ τοιοῦτόν ἐστιν ἢ ἀπαξιοῦν τε καὶ ἀπαρνεῖσθαι ἀνθρώπους εἶναι. τὸ γὰρ οὐδενὶ σφάλλεσθαι χρύνῳ θεοῦ ἂν μόνου ἴδιον γένοιτο. τούτων τοίνυν φημὶ χρῆναι ἀφεμένους ὑμᾶς προθυμίᾳ τῇ πάσῃ ὁμόσε τοῖς ἐν Περυσίᾳ πολεμίοις ἰέναι. ἢν γὰρ ἐκείνους ἐξελεῖν δυνήσησθε, αὖθις ὑμῖν ἐν καλῷ τὰ τῆς τύχης κείσεται. τὸ μὲν γὰρ D
ξυμπεσὸν οὐδ' ἂν ὁ πᾶς αἰὼν ἀποίητον τίθεσθαι δύναιτο, εὐτυ-

1. ὑμῖν] ὑμεῖς H: ὑμῖν Hm. *ibid.* Βελισάριον] βελισάριος Reg. 2. οἴεσθε] οἶεται Reg. *ibid.* δοριάλωτοι] δορυάλωτοι P. 4. αὐτὸν] αὐτῶν L. αὐτοῦ Lm. 6. χρὴ om. L. *ibid.* δὴ] δὲ L. ἴδια Lm. *ibid.* ἀνθρώπων] ἀνθρωπίνων Scaliger. 10. βιάζησθε Reg. ἀναγκάζησθε P. βιάζεσθαι L. *ibid.* ἄπο] ἀπὸ P. 13. δεδουλῶσθαι] δεδηλῶσθαι Vat. et a pr. m. L. *ibid.* τὸ φρόνημα] τὰ φρονήματα Reg. 14. ἀπαξιοῦν τε] ἀπαξιοῦντας L, τε a m. sec. 15. οὐδενὶ L. ἐν οὐδενὶ P. *ibid.* μόνου om. L. 17. δυνήσησθε] δυνήσεσθαι L. 18. ἐν καλῷ τὰ τῆς τύχης] τὰ τῆς τύχης ἐν καλῷ L.

tandem offensionis ac doloris causa vobis acciderit. Num Belisarium creditis commendari re modo gesta adversum vos, qui captivitate elapsi, sumptis armis duce me, bello saepe ipsum vicistis? Quae sane si auspiciis virtutis meae a vobis effecta sunt, linguas vestras illius reverentia tenere debet, ista ex humanis casibus accedente cogitatione, nihil ita a natura comparatum esse, ut semper in se consistat. Sin aliqua vobis Fortuna victoriam illam attulit, rationibus vestris conducit, honore eam potius prosequi, quam animo parum aequo et facili; ne laesam cogatis oblivisci benignitatis suae. Et certe qui fieri potest, ut non videantur a moderatione deficere, qui multis ac magnis nuper aucti successibus, levi iam infortunio sic frangantur, et impatientia concidant. Quod utique aliud nihil est, nisi genus nostrum abnuere, et negare nos esse homines; cum nunquam labi unius sit Dei proprium. Vestrum igitur esse aio, his omissis, hostes, qui Peruviae sunt, ardentissime adoriri. Illis enim sublatis, nos in statum optimum fortuna restituet. Infectum quidem fieri nunquam

χημάτων δὲ ἄλλων ἐπιγινομένων τοῖς ἐπταικόσι λελησμένα ξυμβαίνει τὴν τῶν κακῶν μνήμην. ἔσται δὲ ὑμῖν ἡ Περυσίας ἐπικράτησις οὐδενὶ πόνῳ. ὁ Κυπριανὸς γὰρ ὃς τῶν ἐνταῦθα Ῥωμαίων ἦρχε, τύχῃ τε καὶ βουλαῖς ἡμετέραις ἐκποδὼν γέγονε, πλῆθος δὲ ἄναρχον ἄλλως τε καὶ τῶν ἀναγκαίων ὑποσπανίζον ἀνδραγαθίζεσθαι ἥκιστα πέφυκεν. οὐ μὴν οὐδὲ ὅπισθέν τις ἐς ἡμᾶς κακουργήσει, τάς τε τοῦ ποταμοῦ γεφύρας τούτου ἕνεκα καθελεῖν ἔγνωκα, ὡς μή τι πάθοιμεν ἐξ ἐπιδρομῆς ἀπροσδόκη-
P 526 τον. καὶ ὑπόπτους ξυμβαίνει Βελισάριόν τε καὶ Ἰωάννην ἀλλήλοις εἶναι, ὥσπερ διὰ τῶν πεπραγμένων ὁρᾶν πάρεστι. γνῶμαι γὰρ ἀλλήλαις μαχόμεναι διὰ τῶν ἔργων ἐλέγχονται. οὐκοῦν οὐδέ πη ἀλλήλοις ἐπιμίγνυσθαι ἐς τόδε τοῦ χρόνου δεδύνηνται. ἀναχαιτίζει γὰρ ἑκάτερον ἡ ἐς ἀλλήλους ἀμφοῖν ὑποψία. οἷς δ' ἂν αὕτη γένηται, φθόνον τε καὶ ἔχθος ἐπάναγκες ξυνοικίζεσθαι. ἢν δὴ μεταξὺ ἐπιπεσόντων γενέσθαι τι τῶν δεόντων ἀδύνατον." τοσαῦτα Τωτίλας εἰπὼν ἐπὶ Περυσίαν ἐξῆγε τὸ στράτευμα, ἐνταῦθά τε ἀφικόμενοι ἄγχιστα τοῦ περιβόλου ἐστρατοπεδεύσαντο καὶ ἐγκαθεζόμενοι ἐς πολιορκίαν καθίσταντο.

B κς'. Ἐν ᾧ δὲ ταῦτα ἐγίνετο τῇδε, ἐν τούτῳ Ἰωάννῃ Ἀχεροντίδα τὸ φρούριον πολιορκοῦντι, ἐπεὶ οὐδὲν προὐχώρει, ἔννοιά τις καὶ τόλμα γέγονε, ἢ Ῥωμαίων μὲν τὴν βουλὴν διασώσασθαι, αὐτῷ δὲ κλέος περιβαλέσθαι μέγα τε καὶ ὑπερφυὲς ἐς ἀνθρώπους ἅπαντας ἴσχυσε. Τωτίλαν γὰρ καὶ τὸν Γότθων στρα-

2. ὑμῖν] ἡμῖν L. 3. ὃ om. L. 12. δεδύνηνται L. δεδύνηται P. 14. γένηται] ἐγγένηται L.

potest, quod iam factum sit: sed acerbam sortem expertis nova prosperitas oblivionem induxit calamitatis praeteritae. Caeterum nullo negotio Perusiam expugnabitis: quandoquidem Cyprianus, Romanorum urbem illam tenentium Dux, fortunae ictu et consilio nostro sublatus est. Ductore autem orbata multitudo viriliter non solet facere, praesertim si rei cibariae penuria laboret. Nec nobis quisquam a tergo infestus erit. Idcirco enim fluminis pontes dissolvi, ne inopinatis incursibus male acciperemur. Favent etiam mutuae inter Belisarium et Ioannem suspiciones: quas ex factis deprehendere licet: cum certo prodantur actis animorum dissidia. Nondum profecto ut vires sociarent adduci potuerunt: eo quod interposita suspicio utrumque reprimat. Quae vero illa semel occupavit, in eorum animis invidia atque odium una habitent necesse est. His demum intercedentibus, nihil ad rem fieri potest. Secundum hanc orationem, Totilas Perusiam copias duxit: quo cum pervenissent, proxime muros castra locarunt, et sede fixa, obsidioni se adhibuerunt.

26. Interea dum haec ibi agentur, Ioanni, castellum Acherontidem frustra obsidenti, audax consilium natum est; quo Senatui Romano salutem, et sibi magnam insignemque apud omnes gloriam peperit. Certior

τὸν τειχομαχεῖν ἀκούσας ἀμφὶ τὸν Ῥώμης περίβολον, τῶν ἱππέων τοὺς δοκιμωτάτους ἀπολεξάμενος, τῶν πάντων πέρι οὐδενὶ προρρηθὲν, ἐς Καμπανοὺς, οὔτε νύκτα ἀνεὶς οὔτε ἡμέραν, ἤει. ἐνταῦθα γὰρ αὐτοὺς ἀπολιπὼν Τωτίλας ἔτυχεν, ὅπως ἐπιπεσὼν ἀπροσδόκητος ἀναρπάσαι τε καὶ διασώσασθαι τοὺς ἀπὸ τῆς συγ- C κλήτου βουλῆς οἷός τε εἴη, ἅτε τῶν ἐνταῦθα χωρίων ἀτειχίστων παντάπασιν ὄντων. ξυνηνέχθη δὲ ὑπὸ τὸν χρόνον τοῦτον Τωτίλαν δείσαντα, ὅπερ ἐγένετο, μή τις τῶν πολεμίων ἐς τοὺς αἰ- V 152 χμαλώτους κακουργήσων ἴοι, στράτευμα ἐπὶ Καμπανίας ἱππέων στεῖλαι. οἳ δὴ ἐπεὶ ἐν Μιντούρνῃ πόλει ἐγένοντο, ἄμεινον σφίσιν ἔδοξεν εἶναι τοὺς μὲν πλείστους ἐνταῦθα ἡσυχῇ μένειν τῶν τε ἵππων ἐπιμελεῖσθαι (κόπῳ γὰρ πολλῷ ἐν ταύτῃ τῇ πορείᾳ σφίσιν ὁμιλῆσαι ξυνέβη), στεῖλαι δέ τινας τὰ ἐν Καπύῃ κατασκεψομένους καὶ τὰ ταύτῃ χωρία. χώραν δὲ ξυμβαίνει εἶναι τὴν μεταξὺ οὐ πλέον ἢ σταδίους τριακοσίους. οὕσπερ δὴ ἵπποις τε καὶ D σώμασιν ἀκραιφνέσι χρῆσθαι ξυνέτυχε, τούτους ἐπὶ κατασκοπῇ ἔπεμψαν. τύχῃ τέ τινι ξυνηνέχθη ἐκείνῃ τῇ ἡμέρᾳ ὑπὸ τὸν αὐτὸν χρόνον τόν τε ξὺν τῷ Ἰωάννῃ στρατὸν καὶ τούτους τετρακοσίους ὄντας βαρβάρους ἐν Καπύῃ γενέσθαι, οὐδετέρους τι πρό-

3. ἀνεὶς] ἀνιεὶς Reg. 4. αὐτοὺς om. L. *ibid.* ἀπολιπὼν] ἀποτυχὼν L. 8. ᾖ L. εἰς P. 9. ἴοι] εἴη L. ἴῃ, ἴοι Lm. 10. στεῖλαι] στείλας L. ἔστειλεν Lm. *ibid.* Μιντούρνῃ] μιντούρνῃ HL. 11. τῶν τε] τε om. L. καὶ τῶν L a m. sec. 13. Καπύῃ] καμπύῃ τε H. καπύῃ Hm. τε etiam L. 14. τὰ — χωρία] τοῖς — χωρίοις Reg. *ibid.* δὲ om. L. 15. οὐ πλέον om. L. *ibid.* Post τριακοσίους Lm inserit τῆς καπύης διέχει, καὶ. *ibid.* δὴ om. L. 16. τούτους om. L. 18. καὶ τούτους] καὶ τι δὲ τοὺς (sic) L. καὶ τούτους δὲ τοὺς H. 19. ὄντας om. HL. *ibid.* Καπύῃ] καμπύῃ H. καπύῃ Hm.

enim factus Totilam Gotthorum exercitum oppugnationi murorum Romae intendere, delecto equitatus flore, nemine propositi conscio, in Campaniam contendit, neque diem neque noctem intermittens. Nam cum eius provinciae oppida moenibus prorsus carerent, illic Totilas Senatum reliquerat, ut improviso incursu illum recipere, ac sibi servare posset. Sub idem tempus, veritus Totilas, quod contigit, ne hostis facta irruptione captivos opprimeret, equitum copias in Campaniam misit: qui cum urbem Minturnas attigissent, cautius se facturos duxerunt, si partem maximam considerent, atque equos, multo viae labore fessos, curarent: aliquot vero turmas Capuam ac loca circumiecta exploratum mitterent. Porro spatium intercedit stadiorum trecentorum non amplius. Eos autem exploratores destinarunt, qui equis corporisque viribus integris utebantur. Casu quodam illa die evenit, ut eodem fere tempore Ioannis exercitus, et hi Barbari numero CD. Capuam ingrederentur,

τερον τῶν ἐναντίων πέρι ἀκούσαντας. καὶ μάχη μὲν ἐκ τοῦ αἰφνιδίου ἰσχυρὰ γίνεται. ἅμα γὰρ τῇ ὄψει ἐς χεῖρας ἦλθον, νικῶσι δὲ κατὰ κράτος Ῥωμαῖοι καὶ τοὺς πλείστους τῶν πολεμίων
P 527 εὐθὺς ἔκτειναν. ὀλίγοι τε τῶν βαρβάρων τινὲς φυγεῖν ἴσχυσαν, καὶ δρόμῳ ἐχόμενοι ἐς Μιντοῦρναν ἀφίκοντο. οὕσπερ ἐπεὶ οἱ ἄλλοι εἶδον τοὺς μὲν αἵματι περιῤῥεομένους, τοὺς δὲ καὶ τὰ βέλη ἐν τοῖς σώμασιν ἔτι φέροντας, ἄλλους δὲ οὔτε τι φθεγγομένους οὔτε τι ἀπαγγέλλοντας τῶν ξυμπεσόντων, ἀλλ' ἔτι τῆς ὑπαγωγῆς ἐχομένους καὶ τὸ ἐν σφίσιν αὐτοῖς δέος ἐλέγχοντας, αὐτίκα ἐς τοὺς ἵππους ἀναθορόντες ξὺν αὐτοῖς ἔφευγον. καὶ παρὰ Τωτίλαν ἐλθόντες πλῆθος ἀμύθητον εἶναι τῶν πολεμίων ἐσήγγελλον, ταύτῃ δηλονότι τὴν ἐκ τῆς φυγῆς αἰσχύνην ἰώμενοι. ἐτύγχανον δὲ στρατιῶται Ῥωμαῖοι οὐχ ἧσσον ἢ ἑβδομήκοντα τῶν εἰς Γότ-
H 295 B θους ἠὐτομοληκότων τὸ πρότερον ἐς τὰ ἐπὶ Καμπανίας χωρία ἰόντες, οἵπερ Ἰωάννῃ προσχωρεῖν ἔγνωσαν. Ἰωάννης δὲ ἄνδρας μὲν τῶν ἐκ τῆς βουλῆς ὀλίγους τινὰς ἐνταῦθα εὗρε, γυναῖκας δὲ σχεδόν τι ἁπάσας. Ῥώμης γὰρ ἁλισκομένης πολλοὶ μὲν ἄνδρες φεύγουσι τοῖς στρατιώταις ἐπισπόμενοι ἐς τὸν πόρτον ἀφίκοντο, ταῖς δὲ γυναιξὶ πάσαις ἀλῶναι ξυνέβη. Κλημεντῖνος μέντοι, πατρίκιος ἀνὴρ, καταφυγὼν ἔς τινα τῶν ἐκείνῃ νεῶν, τῷ Ῥωμαίων στρατῷ ἕπεσθαι οὐδαμῇ ἤθελεν, ἐπεὶ φρούριον, ὃ Νεαπόλεως ἄγχιστά ἐστι, Τωτίλᾳ τε καὶ Γότθοις ἐνδοὺς πρότερον τὴν βα-

5. *Μιντοῦρναν*] μὲν τούρναν H. μὲν τούρνην L. *ibid.* οἱ om. L. 7. ἄλλους δὲ] ἄλλους τε L. 9. *ἐλέγχοντας*] ἐνδεικνύντας Reg. 12. *ἰώμενοι*] οἰόμενοι L. 15. *ἰόντες*] ὄντες L. *ibid.* δὲ ἄνδρας μὲν L. μὲν ἄνδρας τε P. 16. τῆς om. L.

cum neutri quidquam de alteris prius inaudissent. Certamen atrox repente oritur: primo enim conspectu ad manus ventum. Vi vincunt Romani, ac statim plerosque mactant. Pauci Barbari effugium nacti, cursu Minturnas evaserunt: quos ut videre caeteri, partim cruore respersos, partim tela adhuc ferentes infixa corporibus, alios mutos, nec quae sibi accidissent enuntiantes, sed contenta adhuc fuga prodentes metum, illico insecnsis equis una evolarunt, reversique ad Totilam, retulerunt hostium multitudinem venisse innumerabilem, hoc utique mendacio turpitudini fugae medentes. Iam ante concesserant in Campaniam milites non minus septuaginta ex eorum numero, qui ad Gotthos defecerant. Hi sese contulerunt ad Ioannem: qui paucos quidem Senatores, eorum vero uxores ferme omnes ibi invenit. Etenim capta Roma, plerique viri, ex fuga secuti milites, Portum tenuerunt: universae feminae venerant in manus hostium. Clementinus, Patricius, cum in quoddam regionis illius templum perfugisset, Romanum exercitum sequi noluit, Augusti iram merito veritus, quod antea Totilae et Gotthis castellum Neapoli proximum

σιλέως, ὡς τὸ εἰκὸς, ὀργὴν ἐδεδίει, Ὀρέστης τε, ὁ Ῥωμαίων γεγονὼς ὕπατος, ἄγχιστα μέν πη ἐτύγχανεν ὢν, ἵππων δὲ ἀπορίᾳ ὡς ἥκιστα ἐθέλων αὐτοῦ ἔμενε. τοὺς μὲν οὖν ἐκ τῆς ξυγκλήτου βουλῆς ξὺν τοῖς προσκεχωρηκόσιν ἑβδομήκοντα στρατιώταις ἐς Σικελίαν Ἰωάννης εὐθὺς ἔστειλε. C

Τωτίλας δὲ ταῦτα ἀκούσας ἐν πένθει ἐποιεῖτο μεγάλῳ καὶ τίσασθαι Ἰωάννην τοῦ ἔργου τούτου ἠπείγετο. διὸ δὴ ξὺν τῷ πλείονι τοῦ στρατοῦ ἐπ' αὐτὸν ἤλαυνε, τῶν οἱ ἑπομένων μοῖράν τινα φρουρᾶς ἕνεκα ἐνταῦθα ἀπολιπών. ἐτύγχανε δὲ Ἰωάννης ξὺν τοῖς ἀμφ' αὐτὸν, χιλίοις οὖσιν, ἐν Λευκανοῖς στρατόπεδον ποιησάμενος κατασκόπους τε πρότερον πέμψας, οἳ δὴ ἁπάσας διερευνώμενοι τὰς ὁδοὺς ἐφύλασσον μὴ πολεμίων στρατὸς κακουργήσων ἐπ' αὐτοὺς ἴοι. ἐν νῷ τε τὸ τοιοῦτον ὁ Τωτίλας ἔχων, ὅτι δὴ οὐχ οἷόν τέ ἐστι κατασκόπων χωρὶς τοὺς ἀμφὶ τὸν Ἰωάννην ἐν τῷ στρατοπέδῳ καθῆσθαι, τὰς ξυνειθισμένας ὁδοὺς ἐκλιπὼν διὰ τῶν ὀρῶν, ἅπερ ἐνταῦθα πολλὰ κρημνώδη τε καὶ ὑψηλὰ λίαν ἀνέχει ἐπ' αὐτοὺς ἤλαυνεν, ὅπερ οὐκ ἄν τις ὑποτοπάζειν ἔσχεν, ἐπεὶ καὶ ἄβατα τὰ ὄρη ταῦτα νομίζεται εἶναι. οἱ μέντοι ἐπὶ ταύτῃ δὴ τῇ κατασκοπῇ πρὸς τοῦ Ἰωάννου στειλέντες αἰσθόμενοι μὲν πολεμίων στρατὸν ἀμφὶ τὰ ἐκείνῃ χωρία γενέσθαι, οὐδὲν δὲ τούτου δὴ ἕνεκα σαφὲς πεπυσμένοι, ἀλλ', ὅπερ ἐγένετο, δείσαντες ἤλαυνον καὶ αὐτοὶ ἐπὶ τὸ Ῥωμαίων στρατόπεδον. καὶ D

5. Ἰωάννης εὐθὺς ἔστειλε] εὐθὺς ἔστειλεν ὁ Ἰωάννης L. 7. ἠπείγετο] ἤγετο Vat. L. 8. ἤλαυνε Reg. ἦει P. 10. αὐτὸν] αὐτῷ Reg. 12. διερευνώμενοι Reg. ἐρευνώμενοι P. 13. ἴοι] ἴῃ Reg. 15. ξυνειθισμένας] συνειθισμένας L.

tradidisset. Orestes, qui Consul Romanus fuerat, cum proxime abesset, equis non suppetentibus, illic invitus restitit. Nec mora: Senatores cum deditiiis militibus septuaginta Ioannes in Siciliam misit.

Totilas dolore, quem his auditis maximum cepit, incensus, eo totus incubuit, ut a Ioanne facti poenas repeteret. Quamobrem adversus illum exercitus partem maiorem duxit, relictis ibi ad custodiam nonnullis ex eorum numero, quos ipse ductabat. In Lucania Ioannes castra metatus cum suis mille, exploratores praemiserat: omniaque illi itinera a se indagata insederant, ne hostiles copiae perniciem afferrent. Ac secum reputans Totilas, fieri non posse, ut Ioannes in castris sederet, quin haberet speculatores; itinera consueta deseruit, ac per montes, qui multi in ea sunt regione, iique praecipites et valde editi, illo perrexit: quod certe nemo suspicari posset, cum illi montes invii existimentur. Qui illuc a Ioanne missi speculatum fuerant, hostilis exercitus in eas partes adventu cognito, etsi nondum satis liquebat, tamen id, quod consecutum est, veriti, ad Romana et ipsi castra se contulerunt: quo

χαρίεντα τὸν λόγον αὐτοὺς εἰρηκέναι εἰπὼν οὐκ εἴα διώκειν. τί γὰρ ἥδιον ἀνθρώπῳ γένοιτο ἄν, ἔφη, πολεμίων φευγόντων;

D Ἐπειδή τε ἡμέρα ἦν ἤδη καὶ οὐδεμία ἔτι ἐνέδρας τινὸς ὑποψία ἐλέλειπτο, Τωτίλας μὲν ἐς τὸν Πέτρου νεὼν τοῦ ἀποστόλου εὐξόμενος ἦει, Γύτθοι δὲ τοὺς παραπεπτωκότας διέφθειρον. ἀπέθανόν τε τούτῳ τῷ τρόπῳ τῶν μὲν στρατιωτῶν ἑξ καὶ εἴκοσι, τοῦ δὲ δήμου ἑξήκοντα. ἐπεὶ δὲ ὁ Τωτίλας ἀφίκετο ἐς τὸ ἱερὸν, Πελάγιος αὐτῷ ἐς ὄψιν ἦλθε τὰ τοῦ Χριστοῦ λόγια ἐν ταῖς χερσὶ φέρων, παντί τε τρόπῳ τὴν ἱκετείαν προτεινόμενος „Φείδου τῶν σῶν, ὦ δέσποτα" εἶπε. καὶ ὃς ἐπιτωθάζων τε καὶ ἐνδιαθρυπτόμενος ἔφη „Νῦν μὲν, ὦ Πελάγιε, ἱκετεύων ἐλήλυθας." „Ὅτι με" ὁ Πελάγιος ἀπεκρίνατο „δοῦλον σὸν ὁ θεὸς εἶναι πεποίηκεν. ἀλλὰ δούλων τῶν σῶν τὸ λοιπὸν, ὦ δέσποτα, φείδου." ταύτην ὁ Τωτίλας τὴν ἱκετείαν δεξάμενος ἀπεῖπε Γύτθοις

P 514 μηδένα τὸ λοιπὸν ἀποκτιννύναι τῶν πάντων Ῥωμαίων, ἀλλὰ τῶν χρημάτων αὐτῷ μὲν τὰ τιμιώτατα ἐξελεῖν, τὰ δὲ ἄλλα ἐν σφίσιν αὐτοῖς κατ' ἐξουσίαν ληΐζεσθαι. πολλὰ μὲν οὖν ἐν ταῖς πατρικίων οἰκίαις εὗρε, πάντων δὲ μάλιστα οὗπερ ὁ Βέσσας κατέλυε. τὰς γὰρ ἀνοσίους, ὡς γε δεδήλωται, τοῦ σίτου τιμὰς ὁ κακοδαίμων Τωτίλα ἤθροιζεν. οὕτω τε περιέστη τοῖς τε ἄλλοις Ῥω-

1. τί γὰρ] τί γὰρ ἂν L. 2. γένοιτο ἄν] ἂν om. L. *ibid.* φευγόντων] φαγόντων L, ν a m. sec. 3. τε ἡμέρα] δὲ ἡμέρα τε L. 5. διέφθειρον] διέφυγον L: illud Lm. 8. ἦλθε] ἦκε Reg. *ibid.* τοῦ Χριστοῦ] χριστιανῶν Reg. 9. ἱκετείαν] ἱκεσίαν Reg. 10. εἶπε] εἰπεῖν L. εἶπεν Lm. *ibid.* ἐνδιαθρυπτόμενος P et Scaliger. ἐνδιαθρύπτως HL. 12. Ὅτι] ὅτε L a m. pr. 14. ἱκετείαν] ἱκεσίαν L. 20. περιέστη Reg. περιῆν P.

nem hunc auribus gratum suis accidere, eos insequi vetuit: *Quid enim*, inquit, *hostium fuga iucundius contingat homini?*

Iam illuxerat, neque ullus locus erat suspicandi insidias; cum Totilas in templum Petri Apostoli sese contulit, precandi gratia: Gotthi in obvios ferro desaevierunt: itaque e militibus interierunt XXVI. e plebe LX. Ut venit in templum Totilas, ei Pelagius, Christi oracula manibus praetendens, se obtulit, atque impense obsecrans, *Tuis*, ait, *parce Domine.* Deridens ille ac delicias faciens, ita subiicit. *Iam supplex, Pelagi, venis.* Cui Pelagius, *Quoniam*, inquit, *tuum me servum effecit Deus. At tu, Domine, servis in posterum tuis parce.* Huic Totilas petitioni concedens, edixit Gotthis, Romanorum neminem omnium posthac caederent; ac reservatis, quae ipse habere vellet, pretiosissimis quibusque, caetera pro arbitratu auferrent. Multa in Patriciorum domibus reperit, maximeque ubi Bessas diversabatur: cum ille scelestus Daemon inique confectam, ut dictum est, ex vendito frumento pecuniam Totilae congessisset.

μαλοις καὶ τοῖς ἐκ τῆς συγκλήτου βουλῆς καὶ οὐχ ἥκιστα Ῥουστικιανῇ, τῇ Βοετίου μὲν γαμετῇ γενομένῃ, παιδὶ δὲ Συμμάχου, καὶ τὴν οὐσίαν ἀεὶ τοῖς δεομένοις προϊεμένῃ, δούλων τε καὶ B ἀγροίκων ἀμπεχομένοις ἱμάτια, πρὸς τῶν πολεμίων ἄρτον ἢ ἄλλο τι τῶν ἀναγκαίων αἰτουμένοις βιοῦν. ἔς τε τὰς οἰκίας περιόντες καὶ τὰς θύρας ἐς ἀεὶ κόπτοντες τροφὴν διδόναι σφίσιν ἐδέοντο, οὐ φέροντος αὐτοῖς αἰσχύνην τοῦ ἔργου. καὶ Γότθοι μὲν Ῥουστικιανὴν κτείνειν ἐν σπουδῇ ἐποιοῦντο, ἐπικαλοῦντες ὅτι δὴ χρήματα προϊεμένη τοῖς τοῦ Ῥωμαίων στρατοῦ ἄρχουσι τὰς Θευδερίχου εἰκόνας διαφθείρειε, τοὺς φόνους ἀμυνομένη Συμμάχου τε τοῦ πατρὸς καὶ Βοετίου τοῦ ξυνοικήσαντος. Τωτίλας δὲ οὐδὲν ἄχαρι παθεῖν αὐτὴν ξυνεχώρησεν, ἀλλ' αὐτήν τε καὶ τὰς C ἄλλας ἁπάσας ὕβρεως ἐκτὸς διεφύλαξε, καίπερ Γότθων ἐς κοίτην ὡς μάλιστα ἐφιεμένων αὐταῖς ξυνελθεῖν. διόπερ αὐτῶν οὐδεμιᾷ ἐς τὸ σῶμα ὑβρίσθαι ξυνέβη οὔτε ἀνδρὶ ξυνοικούσῃ οὔτε παρθένῳ ἢ χήρᾳ οὔσῃ, μέγα τε κλέος ἐπὶ σωφροσύνῃ ἐκ τούτου τοῦ ἔργου Τωτίλας ἔσχε.

κα'. Τῇ δὲ ὑστεραίᾳ Γότθους ἅπαντας ξυγκαλέσας ὁ Τω- D τίλας ἔλεξε τοιάδε „Οὐ καινήν τινα οὐδὲ ἀγνῶτα ὑμῖν παραίνε- V 144 σιν ποιησόμενος ἐνθάδε ὑμᾶς, ἄνδρες ξυστρατιῶται, ξυνήγαγον, ἀλλ' ἐκεῖνα ἐρῶν, ἅπερ ἐγὼ πολλάκις ἐς ὑμᾶς εἶπον. ὑμῖν δὲ

3. προϊεμένῃ L. προτεινομένῃ P. 4. ἀμπεχομένοις] ἀμπεχομένης L. ἀμπεχομένῃ L corr. 5. αἰτουμένοις] αἰτουμένης L. αἰτουμένῃ L corr. 10. τοὺς φόνους] τοῦ φόνου L. 15. ὑβρίσθαι Reg. ὑβρίζεσθαι P. *ibid.* οὔτε — οὔτε] Vulgo οὐδὲ — οὐδὲ.

Hinc Romani ipsique adeo Senatores, in primis uxor olim Boëtii, eademque Symmachi filia Rusticiana, quae facultates suas egenis erogaverat, eo redacti sunt, ut in veste servili ac rusticana panem aliave cibaria ab hostibus petentes tunc victitaverint. Continenter domos obibant, et ostiatim pulsando, victum mendicabant; neque id pudori erat. Instabant Gothi, ut Rusticiana mactaretur supplicio, insimulantes, quod exercitus Rom. ducibus ampla largitione corruptis, Theoderici statuas disturbasset; quo et Symmachi patris, et Boëtii mariti caedem ulcisceretur. At illam Totilas nulla affici iniuria passus est, nec modo ab ipsa, sed ab aliis omnibus omnem amovit contumeliam; quamvis Gothi illas tori participes habere percuperent. Itaque earum nulla, nec viro iuncta, nec virgo, nec vidua, turpem corpore vim excepit: unde Totilas magnam retulit continentiae laudem.

21. Postridie Totilas Gothis omnibus convocatis, sic verba fecit. *Huc vos coëgi, Commilitones, non cohortatione usurus nova et inaudita: verum ut ea repetam, quae saepe et a me dicta, et vobis probata, fructus maximos attulerunt. Nec tamen ideo monita iam fastidite. Etenim ora-*

αὐτὰ ἐνδεξαμένοις τὰ μέγιστα τῶν ἀγαθῶν ξυνηνέχθη γενέσθαι. μὴ τοίνυν τινὶ ὀλιγωρίᾳ διὰ τοῦτο ἐς τὴν παράλυσιν τανῦν χρήσησθε. λόγων γὰρ τῶν ἐς εὐδαιμονίαν ἀγόντων κόρον οὐκ εἰκὸς ἀνθρώπῳ γενέσθαι, κἂν τῇ πολυλογίᾳ τις ἀποκναίειν δοκῇ· ἐπεὶ οὐδὲ πρὸς τὴν ἐξ αὐτῶν εὐεργεσίαν ἀπείπεῖν ἄξιον. λέγω δὲ ὅτι πρώην μὲν ἐς μυριάδας εἴκοσι μαχιμωτάτων ξυνιόντες στρατιωτῶν πλούτῳ τε ὑπερφυεῖ χρώμενοι καὶ ἵππων τε καὶ ἄλλων περιP 515 ουσίων τινά, ὡς ἔνι μάλιστα, ἐνδεικνύμενοι, καὶ γερόντων ξυνετωτάτων πολὺν ὅμιλον, ὅπερ τοῖς ἐς ἀγῶνας καθισταμένοις ξυμφορώτατον εἶναι δοκεῖ, πρὸς ἀνδρῶν ἑπτακισχιλίων Γραικῶν ἡσσηθέντες, τήν τε ἀρχὴν καὶ τἄλλα ξύμπαντα λόγῳ οὐδενὶ ἀφῃρήμεθα. νῦν δ' ἡμῖν ἐς ὀλίγους ἀπολειφθεῖσι γυμνοῖς τε καὶ οἰκτροῖς καὶ οὐδ' ὁτιοῦν τῶν πάντων ἐμπείροις κρατεῖν τῶν πολεμίων πλέον ἢ δισμυρίων ὄντων τετύχηκε. τὰ μὲν οὖν πεπραγμένα ξυλλήβδην εἰπεῖν τοιαῦτά ἐστι· τὰς δὲ τῶν οὕτω ξυμβάντων αἰτίας εὖ εἰδόσιν ὑμῖν αὐτίκα δηλώσω· ὅτι Γότθοι μὲν καὶ πρότερον ἄλλων ἁπάντων περὶ ἐλάσσονος πεποιημένοι τὸ δίκαιον,
B ἔπρασσον ἔς τε ἀλλήλους καὶ τοὺς κατηκόους Ῥωμαίους ἀνόσια ἔργα, οἷς δὴ, ὡς τὸ εἰκὸς, ἡγμένος ὁ θεὸς ἐπ' αὐτοὺς τότε ξὺν τοῖς πολεμίοις ἐστράτευσε. καὶ διὰ ταῦτα πλήθει τε καὶH 288 ἀρετῇ καὶ τῇ ἄλλῃ τοῦ πολέμου παρασκευῇ τῶν ἐναντίων παρὰ πολὺ ὑπεραίροντες δυνάμει τινὶ ἀφανεῖ τε καὶ ὡς ἥκιστα γινωσκο-

3. ἀγόντων] ἐναγόντων Reg. ἀναγόντων LHm. 7. ἄλλων] ὅπλων L. 12. γυμνοῖς — οἰκτροῖς — ἐμπείροις] γυμνούς — οἰκτρούς — ἐμπείρους L a pr. m. 15. ξυλλήβδην] συλλήβδην L. ibid. ξυμβάντων] ξυμβαινόντων Reg. 16. εὖ] ἐν L. ibid. καὶ om. L. 17. πρότερον PL. πρότεροι H. ibid. ἄλλων] τῶν ἄλλων L. 19. ἐπ' αὐτοὺς τότε] τότε ἐπ' αὐτοὺς L.

tiones, quae ad vitam beatam ferunt, nullam satietatem afferre debent, etsi quis forte pluribus verbis videatur agere importunius: siquidem beneficium quod ex illis proficiscitur, respuendum non est. Aio igitur nos antea, cum ducenta fortissimorum militum millia conscripta haberemus, ingentes possideremus divitias, equorum caeterarumque rerum vim maximam, ac prudentissimos ostentaremus senes quamplurimos; quo iuvari singulariter videntur qui in dimicationem veniunt; a septem millibus Graecorum victos, et regno rebusque omnibus foedissime spoliatos fuisse. Nunc autem ad paucos redacti, nudi, miseri, omnino rudes, hostium viginti amplius millia vicimus. Ac res quidem gestae, ut in summa dicam, eiusmodi sunt. Horum vero eventuum causas vobis, probe licet cognitas, modo referam. Antehac Gothi aequitate cunctis posthabita, inter se et in Romanos subditos scelera committebant: quibus Deus, ut par erat, commotus, adversus illos una cum hostibus bellavit. Quamobrem numero licet, virtute et bellico apparatu adversariis longe superiores, occulta quadam ac mini-

μένῃ ἠσσήθημεν. οὐκοῦν τὸ φυλάξαι τὰ ἀγαθὰ ἐφ' ὑμῖν κείσεται, διασώζουσι θηλονότι τὸ δίκαιον. μεταβαλλομένοις γὰρ καὶ τὰ παρὰ τοῦ θεοῦ αὐτίκα δὴ μάλα πολέμια ἔσται. οὐ γὰρ ἀνθρώπων γένει οὐδὲ φύσει ἐθνῶν ξυμμαχεῖν εἴωθεν, ἀλλ' οἷς ἂν μᾶλλον ὁ τοῦ δικαίου λόγος τιμῷτο. πόνος τε οὐδεὶς αὐτῷ τἀγαθὰ ἐφ' ἑτέρους μετενεγκεῖν. ἀνθρώπῳ μὲν γὰρ τὸ μὴ ἀδικεῖν μόνον ἐν γνώμῃ ἐστὶ, θεῷ δὲ ξύμπαντα ἐν τῇ ἐξουσίᾳ πέφυκε κεῖσθαι. φημὶ τοίνυν ὑμᾶς χρῆναι τὴν δικαιοσύνην ἕς τε ἀλλήλους καὶ τοὺς κατηκόους τηρεῖν. ταὐτὸν γὰρ ἂν εἴη λέγειν τὴν εὐημερίαν ἐς ἀεὶ διασώζεσθαι." C

Τοσαῦτα ὁ Τωτίλας ἐς τοὺς Γότθους εἰπὼν καὶ τοὺς ἐκ τῆς Ῥωμαίων βουλῆς ξυγκαλέσας πολλά τε ὠνείδισε καὶ ἐπιτωθάζων ἐκάκισεν, ὡς δὴ πολλὰ πρός τε Θευδερίχου καὶ Ἀταλαρίχου ἀγαθὰ πεπονθότες, ἐπί τε τῆς ἀρχῆς ὑπάσης αὐτοὶ ἐς ἀεὶ κατάντες καὶ τὴν τε πολιτείαν διοικησάμενοι, πλούτου τε περιβεβλημένοι μέγα τι χρῆμα, εἶτα ἐς τοὺς Γότθους τοὺς εὐεργέτας πολλῇ ἀγνωμοσύνῃ ἐχόμενοι, ἐς ἀπόστασίν τε οὐ δέον ἐπὶ τῷ σφετέρῳ πονηρῷ ἴδοιεν καὶ τοὺς Γραικοὺς ἐπὶ τῇ πατρίδι ἐπαγάγοιντο, προδόται σφῶν αὐτῶν ἐκ τοῦ αἰφνιδίου γεγενημένοι. καὶ ἀνεπυνθάνετο μὲν εἴ τι πρὸς Γότθων πάθοιεν αὐτοὶ κακὸν πώ- D

1. ἐφ' ὑμῖν] ἐφ' ἡμῖν Vat. *ibid.* κείσεται] κεῖται L. 5. τἀγαθὰ L τὰ ἀγαθὰ P. 7. μόνον ἐν] μόνον οἱ ἐν L. *ibid.* ξύμπαντα Reg. πάντα P. *ibid.* ἐν τῇ] αὐτῇ L: illud Lm. 8. ὑμᾶς] ἡμᾶς L. 12. τε ὠνειδισε] ὠνείδισέ τε L. *ibid.* ἐπιτωθάζων om L. 13. ὡς δὴ] οἳ δὴ Reg. 16. τοὺς Γότθους τοὺς] Utrumque τοὺς om. L. 18. πονηρῷ L. πονήρῳ P. *ibid.* ἴδοιεν] εἶδον H. *ibid.* ἐπαγάγοιντο Reg. ἐπαγάγοιεν P.

me perspecta vi fracti succubuimus. Ergo situm in vobis erit, ut bona iam parta tucamini, nimirum cultu iustitiae: unde si deflectatis, illico Deus contra vos stabit. Neque enim certo cuidam hominum generi, nec naturae gentium auxiliari in bello solet, sed iis, qui ius fasque impensius colunt. Neque ipsi difficile est ad alios bona transferre: cum arbitrii quidem humani sit solum abstinere iniuria: at Deus omnia in sua ditione habeat ac potestate. Quare dandam esse operam dico, ut inter vos atque erga subditos acquitatis officia servetis: hoc est, ut certam felicitatem retineatis.

Cum haec Totilas apud Gotthos disseruisset, coacto etiam Senatui Romano multa exprobravit, et cavillando obiecit, quod pluribus a Theoderico et Atalarico affecti beneficiis, omnibus semper ornati magistratibus, ad Reip. administrationem adhibiti, opibusque aucti ingentibus; animo in Gotthos tam beneficos ingratissimo, summaque iniuria cum exitio suo coniuncta defecissent, et Graecos induxissent in patriam, sui proditores repente facti. Tum quaerere, quid mali unquam Gotthi ipsis ir-

ποτε. λέγειν δὲ ἠνάγκαζεν, εἴ τι ἀγαθὸν σφίσι πρὸς Ἰουστινιανοῦ βασιλέως ξυμβαίη, καταλέγων ἐφεξῆς ἅπαντα, ὅτι δὴ τὰς μὲν ἀρχὰς ἀφῄρηντο σχεδόν τι ἁπάσας, πρὸς δὲ τῶν καλουμένων λογοθετῶν αἰκιζόμενοι λογισμοὺς ἐκτίνειν τῶν σφίσιν ἐς Γότθους πεπολιτευμένων ἀναγκασθεῖεν καὶ τῷ πολέμῳ κεκακωμένοι φόρους τοὺς δημοσίους οὐδέν τι ἐνδεέστερον ἢ ἐν τῇ εἰρήνῃ τοῖς Γραικοῖς φέροιεν· ἄλλα τε πολλὰ ἐνετίθει τῷ λόγῳ, ὅσα δεσπότην δυσμενῆ τοὺς δεδουλωμένους ὀνειδίζειν εἰκός. Ἡρωδιανόν τε αὐτοῖς ἐνδεικνύμενος καὶ τοὺς τὴν πόλιν αὐτῷ παραδόντας
P 516 Ἰσαύρους „Ὑμεῖς μὲν“ ἔφη „ξύντροφοι Γότθοις γεγενημένοι
V 145 οὐδὲ χῶρόν τινα ἔρημον ἐς τήνδε ἡμῖν ἐνδιδόναι τὴν ἡμέραν ἐγνώκατε, οἵδε δὲ ἡμᾶς Ῥώμῃ τε αὐτῇ καὶ Σπολιτίῳ ἐδέξαντο. διόπερ ὑμεῖς μὲν ἐν οἰκετῶν λόγῳ γεγένησθε, οὗτοι δὲ Γότθοις φίλοι τε, ὡς τὸ εἰκός, καὶ ξυγγενεῖς γεγενημένοι τὰς ὑμετέρας ἀρχὰς τὸ λοιπὸν ἕξουσιν.“ οἱ μὲν οὖν πατρίκιοι ταῦτα ἀκούσαντες σιωπῇ εἶχοντο. Πελάγιος δὲ Τωτίλαν ὑπὲρ ἀνδρῶν ἐπταικότων
B τε καὶ δεδυστυχηκότων παραιτούμενος οὐκέτι ἀνίη, ἕως αὐτοὺς φιλανθρωπίας ὑπόσχεσιν ποιησάμενος ἀπεπέμψατο.

Ἔπειτα δὲ Πελάγιόν τε καὶ τῶν ἐν Ῥώμῃ ῥητόρων ἕνα, Θεόδωρον ὄνομα, πρέσβεις ἐς βασιλέα Ἰουστινιανὸν ἔστειλεν, ὅρκοις αὐτοὺς δεινοτάτοις καταλαβών, ὅτι τε εὐνοίᾳ ἐς αὐτὸν χρήσονται καὶ ἀναστρέφειν ὅτι τάχιστα ἐς τὴν Ἰταλίαν ἐν σπουδῇ

2. ξυμβαίη] ξυμβαίνοι Reg. 4. ἐκτίνειν] ἐκτείνειν L.
14. ὑμετέρας] ἡμετέρας L. 15. ἀκούσαντες] ἀκούοντες Reg.

rogassent? instare ut dicerent, num quid boni a Iustiniano Aug. accepisset? ac singula recensendo, commemorare, honores fere omnes illis ereptos; a Logothetis, quos vocant, impositam verborum vi necessitatem rationes eorum reddendi, quae rem gerendo publicam in Gotthos admisissent; saeviente bello aeque ut in pace vectigalia a Graecis exacta: alia multa orationi intexuit, quae infenso domino carpenti servos convenirent. Denique Herodianum ipsis ostendens atque Isauros, quorum proditione urbem ceperat, *Vos quidem*, inquit, *cum Gotthis educati, nullum nobis locum, vel desolatum, voluistis ad hanc diem concedere: hi vero nos ipsius Romae et Spoletii fecerunt compotes. Quare vos servi estote; dum hi Gotthis amicitia ac necessitudine iuncti, magistratus vestros merito obtinebunt.* Haec audita Patricii ferebant silentio: at Pelagius lapsos infelices a Totila deprecari non abstitit, donec ille eos remisit, promissa clementia erectos.

Deinde ad Iustinianum Augustum Legatos misit, Pelagium ac Romanum causidicum Theodorum, gravissimo devinctos iureiurando, fore ut sibi praestarent benevolentiam, et in Italiam quamprimum redire sat-

ἔξουσιν. ἐπέστελλέ τε αὐτοῖς τὴν εἰρήνην οἱ παντὶ σθένει παρὰ βασιλέως πορίζεσθαι, ὅπως δὴ μὴ αὐτὸς ἀναγκάζηται Ῥώμην ἐς ἔδαφος καθελὼν ξύμπασαν καὶ τοὺς ἐκ τῆς συγκλήτου διαφθείρας βουλῆς ἐς Ἰλλυριοὺς τὸν πόλεμον ἄγειν. καὶ γράμματα δὲ Ἰου- C
5 στινιανῷ βασιλεῖ ἔγραψεν. ἤδη μὲν οὖν βασιλεὺς ἠκηκόει τὰ ἐν Ἰταλίᾳ ξυμπεπτωκότα. ἐπεὶ δὲ καὶ οἱ πρέσβεις παρ' αὐτὸν ἦλθον, ἀπήγγειλαν ὅσα ὁ Τωτίλας σφίσιν ἐπέστελλε καὶ τὴν ἐπιστολὴν ἐνεχείρισαν. ἐδήλου δὲ ἡ γραφὴ τάδε „Ὅσα μὲν ἐν Ῥωμαίων τῇ πόλει γενέσθαι ξυνέβη, ἐπεὶ μεμαθηκέναι σε ἅπαντα
10 οἶμαι, σιωπᾶν ἔγνωκα. ὧν δὲ ἕνεκα τοὺς πρέσβεις ἀπέσταλκα τούσδε αὐτίκα εἴσῃ. αἰτούμεθα τὰ ἐκ τῆς εἰρήνης ἀγαθὰ σέ τε προσίεσθαι αὐτὸν καὶ ἡμῖν ξυγχωρεῖν. ὥνπερ μνημεῖά τε καὶ D παραδείγματα κάλλιστα ἔχομεν Ἀναστάσιόν τε καὶ Θευδέριχον, οἳ βεβασιλεύκασι μὲν οὐ πολλῷ πρότερον, εἰρήνης δὲ καὶ ἀγα-
15 θῶν πραγμάτων ἅπαντα ἀνεπλήρωσαν τὸν κατ' αὐτοὺς χρόνον. ἦν γάρ σοι ταῦτά ποτε βουλομένῳ εἴη, πατήρ τε ἂν ἐμὸς εἰκότως καλοῖο καὶ ξυμμάχους ἡμᾶς ἐφ' οὓς ἂν βούλοιο τὸ λοιπὸν ἕξεις." ταῦτα ἐπεὶ βασιλεὺς Ἰουστινιανὸς ἀπενεχθέντα εἶδε, καὶ τῶν πρέσβεων τοὺς λόγους ἅπαντας ἤκουσεν, ἀπεπέμψατο
20 αὐτοὺς αὐτίκα δὴ μάλα, τοῦτο τότε μόνον αὐτοῖς ἀποκρινάμενος καὶ Τωτίλᾳ γράψας, ὅτι δὴ αὐτοκράτωρ τοῦ πολέμου πεποίηται

7. ἐπέστελλε] ἐπέστειλε Reg. 9. ἐπεὶ μεμαθηκέναι P ex Vat. ἐπιμεμαθηκέναι H. 10. σιωπᾶν ἔγνωκα P ex Vat. καὶ τὸ πᾶν ἔγνωκας H: illud Hm. 11. αὐτίκα εἴσῃ] ταῦτά εἰσιν H: illud Hm. ibid. ἀγαθὰ] καλὰ Reg. 12. προσίεσθαι] προΐεσθαι H et a pr. m. L. 15. ἀνεπλήρωσαν Reg. ἀνεπλήσαντο P. 19. τῶν πρέσβεων τοὺς λόγους] τοὺς λόγους τῶν πρέσβεων L. 20. τοῦτο τότε] τοῦτο τε Vat. ibid. αὐτοῖς] αὐτοὺς L a pr. m. 21. αὐτοκράτωρ — Βελισάριος] αὐτοκράτορα — βελισάριον Reg.

agerent. Porro mandavit, vires omnes intenderent ad impetrandam sibi pacem ab Imperatore; ne Romam funditus exscindere, et sublato internecione Senatu, bellum portare in Illyricum cogeretur: litteras etiam dedit ad Imperatorem, iam de rebus Italiae certiorem factum. Legati cum ad ipsum venissent, quae habebant a Totila mandata exposuerunt, et litteras reddiderunt, in hanc sententiam scriptas. *Quoniam quae Romae contigerint, tibi plane esse comperta arbitror, ea silentio praeterire constitui. Iam vero intelliges huius causam legationis. Petimus ut pacis commoda et amplectaris ipse, et nobis concedas: quorum monumenta atque exempla praeclarissima nobis suppeditant Anastasius ac Theodericus: qui nuper ita regnarunt, ut pace et felicitate aetatem suam impleverint. Hoc tibi si collibitum erit, merito pater meus vocaberis; ac nos deinceps in quemcunque voles habebis armorum socios.* His lectis, et quaecunque Oratores afferebant, auditis, confestim illos Iustinianus Augustus remisit, neque aliud tunc respondit ipsis, Totilaeque rescripsit, nisi Belisa-

ται, Λαβούλλαν δὲ τὴν ἑτέραν καλεῖν οἱ ἐπιχώριοι νενομίκασιν. ἐνταῦθα μὲν παρὰ τὴν ἀκτὴν Ῥουσκία ἐστὶ τὸ Θουρίων ἐπίνειον, ὑπερθεν δὲ αὐτοῦ ὅσον ἀπὸ σταδίων ἑξήκοντα φρούριον ἐχυρώτατον ἐδείμαντο οἱ πάλαι Ῥωμαῖοι. ὅπερ Ἰωάννης οὐ πολλῷ πρότερον καταλαβὼν ἔτυχε, φρουράν τε λόγου ἀξίαν ἐκείνῃ καταστησάμενος.

Οἱ μὲν οὖν Βελισαρίου στρατιῶται ἐνταῦθά πη ἰόντες πολεμίων στρατεύματι ἐντυγχάνουσιν. οὕσπερ ὁ Τωτίλας ἔπεμψεν, ἐφ' ᾧ ἀποπειράσονται τοῦ τῇδε φρουρίου. ἐς χεῖρας δὲ αὐτοῖς αὐτίκα ἐλθόντες ἀρετῇ τε πόνῳ οὐδενὶ ἔτρεψαν, καίπερ αὐτῶν τῷ πλήθει παρὰ πολὺ ἐλασσούμενοι, καὶ πλέον ἢ διακοσίους διέφθειραν. οἱ δὲ λοιποὶ φεύγοντες παρὰ Τωτίλαν τε ἀφίκοντο καὶ τὰ ξυμπεσόντα πάντα ἐσήγγελλον, οἵ τε Ῥωμαῖοι αὐτοῦ ἐνστρατοπεδευσάμενοι ἔμενον. ἅτε δὲ ἄναρχοι καὶ νεικηκότες ἀδεέστερον τῇ διαίτῃ ἐχρῶντο. οὔτε γὰρ ἀγηγερμένοι ἡσύχαζον οὔτε ἄγχιστα τῆς στενοχωρίας ἐγκαθεζόμενοι τὰς εἰσόδους ἐφύλασσον, ἀλλ' ἐς ὀλιγωρίαν τραπόμενοι νύκτωρ μὲν ὡς ἀπωτάτω ἀλλήλων διεσκηνημένοι ἐκάθευδον, ἐν δὲ δὴ τῇ ἡμέρᾳ τὰ ἐπιτήδεια διερευνώμενοι περιήρχοντο, οὔτε τινὰς ἐπὶ κατασκοπῇ στείλαντες οὔτε ἄλλο ὁτιοῦν ἀσφαλείας πέρι βεβουλευμένοι. Τωτίλας οὖν, ἐπειδὴ ἐπύθετο ἅπαντα, ἐς τρισχιλίους ἱππεῖς τοῦ

1. Λαβούλλαν] λαβούλαν L. *Lambulam* Pers. 3. ἐχυρώτατον] ὀχυρώτατον Reg. 4 οὐ om. HL. 5. καταλαβὼν] λαβὼν L. 10. πόνῳ οὐδενὶ] οὐδενὶ πόνῳ L. 11. αὐτῶν L. αὐτῷ P. 18. ἡμέρᾳ] ἡμετέρᾳ L. 19. οὔτε — οὔτε] οὐδέ — οὐδὲ P. 20 πέρι βεβουλευμένοι L. περιβεβουλευμένοι P. 21. ἐπύθετο] ἐπείθετο L.

vocare solent. Est in eo littore Ruscia, Thuriorum navale: ultra vero, stadiorum circiter LX. interiecto spatio, Romani veteres castellum validissimum condiderunt: quo paulo ante potitus Ioannes, egregium illic praesidium constituerat.

Eo provecti Belisarii milites, in hostiles copias inciderunt, quas Totilas miserat, ut castellum illud tentarent. Repente collata manu, quamvis numero longe essent inferiores, facile tamen virtute sua fuderunt Barbaros, et amplius ducentos interfecerunt. Reliqui ad Totilam fuga reduces, quae acciderant, pandunt ordine: Romani, castris ibi positis, stativa habent. Iam absentia Ducis, suaque abusi victoria, solutius agere ceperunt. Neque enim collecti locum tenebant, neque ad montium fauces metati, illas servabant: at per summam negligentiam noctu in tentoriis rarissime sparsis somnum capiebant; de die palabantur, perquirentes cibaria, nullis circa viciniam dimissis exploratoribus, neque ulla alia cautione adhibita. Quae cum Totilas plane comperisset,

παντὸς στρατοπέδου ἀπολεξάμενος ἐπὶ τοὺς πολεμίους ἦει. καὶ αὐτοῖς ἀπροσδοκήτως ἐπιπεσὼν οὐ ξυντεταγμένοις, ἀλλ' οὕτω D περιοῦσιν, ὥσπερ εἴρηται, κατέπληξέ τε καὶ ξυνετάραξεν ἅπαντας. ἐνταῦθα Φάζας (ἄγχιστα γάρ πη ἐσκηνημένος ἐτύγχανεν) ὑπαντιάσας τοῖς πολεμίοις ἔργα τε ἀρετῆς ἄξια ἐνδειξάμενος, τισὶ μὲν τοῦ διαφυγεῖν αἴτιος γέγονεν, αὐτὸς δὲ ξὺν τοῖς ἀμφ' αὐτὸν ἅπασι θνήσκει. μέγα τε πάθος Ῥωμαίοις τοῦτο ξυνέβη, ἐπεὶ ἐς αὐτοὺς, ἅτε διαφέροντας τὰ πολέμια, τὴν ἐλπίδα ξύμπαντες εἶχον. ὅσοι μέντοι φυγεῖν ἴσχυσαν, ὡς πη ἑκάστῳ δυνατὰ γέγονε, διεσώθησαν. πρῶτός τε Βαρβατίων ὁ Βελισαρίου δορυφόρος ξὺν ἑτέροις δυσὶ φεύγων ἀνὰ κράτος ἐς τὸν Κρότωνα ἦλθε. καὶ τύχην τὴν παροῦσαν ἀπαγγέλλων ἐπεῖπεν οἴεσθαι αὐτίκα δὴ μάλα καὶ τοὺς βαρβάρους παρέσεσθαι. Βελισάριος δὲ ταῦτα P 532 ἀκούσας ἔν τε μεγάλῳ πένθει ἐγίνετο καὶ ἐς τὰς ναῦς ἐσεπήδησεν. ἔνθεν τε ἄραντες καὶ πνεύματος ἐπιτυχόντες ἐκείνῃ τῇ ἡμέρᾳ τῇ τῆς Σικελίας Μεσσήνῃ προσίσχον, ἣ τοῦ μὲν Κρότωνος ἑπτακοσίους σταδίους διέχει, Ῥηγίνων δὲ καταντικρὺ κεῖται.

κθ'. Ὑπὸ τοῦτον τὸν χρόνον Σκλαβηνῶν στράτευμα διαβάντες ποταμὸν Ἴστρον Ἰλλυριοὺς ἅπαντας ἄχρι Ἐπιδαμνίων ἐδρασαν ἀνήκεστα ἔργα, κτείνοντες καὶ ἀνδραποδίζοντες τοὺς ἐν ποσὶν ἡβηδὸν ἅπαντας καὶ τὰ χρήματα ληιζόμενοι. ἤδη δὲ καὶ

2. ἀπροσδοκήτως ἐπιπεσὼν] ἐπιπεσὼν ἀπροσδοκήτως L. 3. περιοῦσιν] περιοῦσιν L. 4. γὰρ om. H: habet Hm. *ibid.* ἐσκηνημένος] ἐσκηνωμένος L. 5. τισὶ] τοῖς L a m. sec. 7. πάθος L. πένθος P. 10. ὁ om. L. 11. δυσὶ L. δυοῖν P. 13. καὶ τοὺς βαρβάρους om. L. 15. ἔνθεν τε] ἐνθένδε L. *ibid.* τῇ τῆς om. L. 16. Μεσσήνῃ] μεσήνῃ L. μεσίνῃ L.

delectis ex universo exercitu tribus equitum millibus, in hostes tendit, eosque inordinatos, et ita, ut dictum est, palantes adortus ex improviso, perculit, turbavitque omnes. Tum Phazas e proximo, ubi tetenderat, obvium se ferens hosti, et viro forti digna edens facinora, nonnullis evadendi spatium dedit: at cum omnibus, qui ipsum stipabant, occubuit. Magnum casus hic damnum luctumque Romanis attulit, quorum communis spes in viris illis bellicosissimis residebat. Eorum, qui se subduxerunt, evasit quisque quocunque potuit. Primus Barbatio, Belisarii Protector, cum duobus aliis incitatissimo cursu Crotonem venit, quo res loco sint docet, ac sibi videri asserit Barbaros continuo affore. His Belisarius auditis, gravissime dolens, classem properę conscendit. Iade cum solvissent, secundo vento, eadem die Messenam appulerunt: quae urbs Siciliae contra Rhegium sita, stadiis DCC. Crotone distat.

29. Sub idem tempus, Sclavenorum copiae, traiecto Istro flumine, totum Illyricum, Epidamnum usque, foede vastarunt: obvios quosque sine ullo aetatis discrimine, partim mactantes morte, partim abducentes in servitutem, ac pecuniis spoliantes. Castella quoque regionis illius

φρούρια ἐνταῦθα πολλά τε καὶ δοκοῦντα ἰσχυρὰ τὰ πρότερα εἶναι οὐδενὸς ἀμυνομένου ἐξελεῖν ἴσχυσαν, περιόντες ξύμπαντα κατ' ἐξουσίαν καὶ διερευνώμενοι. οἱ δὲ τῶν Ἰλλυριῶν ἄρχοντες στράτευμα πεντακισχιλίων τε καὶ μυρίων ἔχοντες εἵποντο, ἄγχιστα
H 298 μέντοι τῶν πολεμίων οὐδαμῇ ἐτόλμων ἰέναι. τότε δὲ καὶ σει-
σμοὶ πολλάκις χειμῶνος ὥρᾳ σκληροί τε λίαν καὶ ὑπερφυεῖς ἔν τε
C Βυζαντίῳ καὶ χωρίοις ἄλλοις ἐγένοντο, νύκτωρ ἅπαντες. καὶ οἳ μὲν ταύτῃ ᾠκημένοι καταχωσθήσεσθαι ὑποτοπήσαντες ἐν δέει με-
V 156 γάλῳ ἐγένοντο, οὐδὲν μέντοι ἐνθένδε φλαῦρον αὐτοῖς ξυνηνέχθη παθεῖν. τότε καὶ Νεῖλος ὁ ποταμὸς ὑπὲρ ὀκτωκαίδεκα πήχεις ἀναβὰς ἐπέκλυσε μὲν τὴν Αἴγυπτον καὶ ἤρδευσε πᾶσαν, ἀλλὰ ἐν μὲν Θηβαΐδι τῇ ὕπερθεν οὔσῃ ὑφιζάνοντά τε καὶ ὑπορρέοντα τοῖς καθήκουσι χρόνοις τὰ ὕδατα παρείχετο τοῖς τῇδε ᾠκημένοις, σπείρειν τε τὴν γῆν καὶ τῶν ἄλλων ἐπιμελεῖσθαι ἥπερ εἰώθει. χώρας δὲ τῆς ἔνερθεν ἐπειδὴ πρῶτον ἐπεπόλασεν, οὐκέτι ἐπέβη,
D ἀλλ' ἐνοχλῶν αὐτοῦ ξύμπαντα διαγέγονε τὸν τοῦ σπείρειν καιρὸν, οὐ ξυμπεσὸν τοῦτό γε πρότερον ἐκ τοῦ παντὸς χρόνου, ἔστι δὲ οὗ καὶ ἀπολωφῆσαν τὸ ὕδωρ ἐπέκλυσεν αὖθις οὐ πολλῷ ὕστερον. ταύτῃ τε ἅπαντα ἐσεσήπει τὰ σπέρματα, ὅσα δὴ μεταξὺ καταβεβλημένα ἐς τὴν γῆν ἔτυχε. καὶ οἱ μὲν ἄνθρωποι τῷ παραλόγῳ

1. ἐνταῦθα πολλά τε L. πολλά τε ἐνταῦθα P. 2. περιόντες] καὶ περιόντες H. καὶ περιήρχοντο Reg. ibid. ξύμπαντα] ξύμπαν Reg. 3. καὶ om. L. 5. τότε δὲ] τότε δὴ Hm. 8. ᾠκημένοι] ᾠκισμένοι Reg. ibid. καταχωσθήσεσθαι] Vulgo καταχωσθήσεσθαι. καταχωσθήσασθαι L. 11. καὶ ἤρδευσε πᾶσαν] οὐκ ἤρδευσε δὲ πᾶσαν H: illud Hm. ibid. ἀλλὰ] ἀλλὰ καὶ H. 12. ὑπορρέοντα] ἀποχωροῦντα Reg. 14. τῶν ἄλλων] τὰ ἄλλα L. 17. ξυμπεσὸν] ξυμπεσεῖν H. ξυμπεσὸν Hm. ibid. τοῦ παντὸς χρόνου] παντὸς αἰῶνος Reg.

plurima, quae firma prius videbantur, coperunt, nemine resistente, ita ut circumcursando impune quovis penetrarent: cum Illyrici Duces, collecto ad XV. M. exercitu sic sequerentur, ut propius ad illos accedere non auderent. Anni huius hiems crebris, iisque vehementissimis et maxime horribilibus terrae motibus infesta fuit: qui omnes Byzantii aliisque in locis nocte contigerunt, et incolis, obrutum iri se arbitrantibus, gravem attulerunt metum, sine ulla pernicie. Eodem anno inundavit quidem Aegyptum fluvius Nilus, ac totam irrigavit, auctus cubitis amplius XVIII. At cum in superiori Thebaide aquae subsedissent, et stato tempore intra ripas revocatae, tractus illius incolis dedissent spatium sementem faciendi, et alia curandi ex more; in partibus inferioribus non se collegit effusus amnis: verum ibi infesta mora tempus omne sationis assumpsit: quod post homines natos nunquam contigerat. Alicubi recepta in alveum aqua haud multo post iterum restagnavit, itaque omnia rupit semina, quae terrae commissa fuerant per illam temporis inter-

τῆς ξυμφορᾶς ἀμηχανίᾳ πολλῇ εἶχοντο, τῶν δὲ ἄλλων ζῴων ἀπορίᾳ τροφῆς τὰ πλεῖστα ἐφθάρη.

Τότε καὶ τὸ κῆτος, ὃ δὴ Βυζάντιοι πορφυρίωνα ἐκάλουν, ἑάλω. τοῦτό τε τὸ κῆτος πλέον μὲν ἢ ἐς πεντήκοντα ἐνιαυτοὺς τό τε Βυζάντιον καὶ τὰ ἀμφ' αὐτὸ χωρία ἠνώχλει, οὐκ ἐφιξῆς μέντοι, ἀλλὰ διαλεῖπον, ἂν οὕτω τύχοι, πολύν τινα μεταξὺ χρόνον. καὶ πολλὰ μὲν κατέδυσε πλοῖα, πολλῶν δὲ τοὺς ἐπιβάτας ξυνταράττον τε καὶ βιαζόμενον ὡς ἀπωτάτω ἀπήνεγκεν. ἐπιμελὲς μὲν οὖν Ἰουστινιανῷ βασιλεῖ ἐγεγόνει τὸ θηρίον τοῦτο χειρώσασθαι, ἐπιτελέσαι δὲ τὸ βούλημα οὐδεμιᾷ μηχανῇ ἔσχεν. ὅπως δὲ ταῦν αὐτὸ ἁλῶναι ξυνέπεσεν, ἐγὼ δηλώσω. ἐτύγχανε μὲν γαλήνη τὴν θάλασσαν πολλὴ ἔχουσα, δελφίνων δὲ πάμπολύ τι πλῆθος ἄγχιστά πη τοῦ στόματος πόντου τοῦ Εὐξείνου ξυνέρρισεν. οἵπερ ἐκ τοῦ αἰφνιδίου τὸ κῆτος ἰδόντες ἔφυγον ὥς πη ἑκάστῳ δυνατὰ γέγονεν, οἱ δὲ πλεῖστοι ἀμφὶ τοῦ Σαγγάριδος τὰς ἐκβολὰς ἦλθον. τινὰς μὲν οὖν αὐτῶν καταλαβὸν τὸ κῆτος καταπιεῖν εὐθὺς ἴσχυσεν. εἴτε δὲ πεινῇ εἴτε φιλονεικίᾳ ἔτι ἐχόμενον οὐδέν τι ἧσσον ἐδίωκεν, ἕως δὴ αὐτὸ ἄγχιστά πη τῆς γῆς ἐκπεσὸν ἕλαθεν. ἐνταῦθά τε ἰλύϊ βαθείᾳ κομιδῇ ἐντυχὸν ἐβιάζετο μὲν καὶ πάντα ἐκίνει, ὅπως δὴ ἐνθένδε ὅτι τάχιστα ἀπαλλάσσοιτο, διαφυγεῖν δὲ τὸ τένυγος τοῦτο οὐδαμῇ εἶχεν, ἀλλ'

P 533

B

8. πορφυρίωνα] πορφύριον L. *porfirium* Pers. 4. τε om. L. 6. τύχοι] τύχῃ L. 8. ἀπήνεγκεν Reg. ἐπήνεγκεν P. 10. βούλημα] βούλευμα L. 11. ταυῦν αὐτὸ] αὐτῷ ταυῦν L. αὐτὸ ταυῦν Hm. 13. ξυνέρρισεν Reg. ξυνέρισεν L. ξυνέρρισον P. 14. ἔφυγον] ἔφευγον L. 19. τε om. L.

capedinem. Quae inopinata calamitas magnis difficultatibus affecit homines: aliorumque animalium maxima pars interiit, inopia pabuli.

Tunc etiam cetus, quem Porphyrionem appellabant Byzantii, captus est. Cetus hic plus quinquaginta annos Byzantium ac vicinas oras infestavit, haud continenter quidem, sed longa (si fors ita ferret) per intervalla. Naves multas submergebat; multarum vectores violento impetu conturbans longissime dissipabat. Nec Instinianus Augustus ulla arte exequi poterat, quod urgebat, belluae huius capiendae consilium. Quo tandem modo comprehensa iam fuerit dicam. Erat mare tranquillissimum, cum ad os Ponti Euxini ingens delphinum grex confluxit. Viso repente cete, quo cuique licuit dilapsi sunt. Ad Sangaris ostia venere plurimi: quorum etsi nonnullos corripuit cetus, ac statim glutiit, nihilominus caeteros persequi instituit, seu fame, seu vincendi studio stimulante, donec ipsum imprudentem suus impetus propius terrae impegit: ubi limum nactus altissimum, vim adhibuit, ac nihil non egit, quo se quamprimum inde expediret. Verum adeo non ex illo tenaci coeno eva-

ὑπὸ τῷ πηλῷ ἔτι μᾶλλον ἐγίνετο. ἐπεὶ δὲ τοῦτο ἐς τοὺς περιοίκους ἅπαντας ἦλθε, δρόμῳ εὐθὺς ἐπ' αὐτὸ ἦεσαν, ἀξίνας τε πανταχόθεν ἐνδελεχέστατα κόψαντες οὐδαμῶς ἔκτειναν, ἀλλὰ σχοίνοις ἁβραῖς τισιν εἵλκον. ταῖς τε ἁμάξαις ἐνθέμενοι εὗρισκον μῆκος μὲν πηχῶν μάλιστα τριάκοντα ὂν, εὖρος δὲ δέκα. ἐνταῦθά τε κατὰ ξυμμορίας τινὰς διασπασάμενοι οἱ μέν τινες C αὐτοῦ ἐν τῷ παρόντι ἐγεύσαντο, οἱ δὲ καὶ μοῖραν ταριχεῦσαι τὴν ἐπιβάλλουσαν σφίσιν ἔγνωσαν. Βυζάντιοι δὲ, ἐπειδὴ τοῦ τε σεισμοῦ ἤσθοντο καὶ τὰ ξυμπεσόντα ἀμφί τε τῷ Νείλῳ καὶ τῷ κήτει τούτῳ ἔγνωσαν, προὔλεγον αὐτίκα ξυμβήσεσθαι ὅσα δὴ αὐτῶν ἑκάστῳ ἤρεσκε. φιλοῦσι γὰρ ἄνθρωποι τοῖς παροῦσι διαπορούμενοι τὰ ἐσόμενα τερατεύεσθαι, καὶ τοῖς ἐνοχλοῦσιν ἀποκναιόμενοι τὰ ξυμβησόμενα λόγῳ οὐδενὶ τεκμηριοῦσθαι. ἐγὼ δὲ μαντείας τε καὶ τεράτων δηλώσεις ἄλλοις ἀφιεὶς ἐκεῖνο εὖ οἶδα, ὡς ἡ μὲν τοῦ Νείλου ἐπὶ τῆς χώρας διατριβὴ μεγάλων αἰτία ἔν γε τῷ παρόντι ξυμφορῶν γέγονε, τὸ δὲ κῆτος ἀφανισθὲν πολλῶν ἀπαλλαγὴ κακῶν διαδείκνυται οὖσα. τινὲς δέ φασιν οὐ τὸ κῆτος D τοῦτο, οὗπερ ἐμνήσθην, ἀλλ' ἕτερον εἶναι, ὃ δὴ ἁλῶναι ξυνέπεσεν. ἐγὼ δὲ ὅθεν τὴν ἐκβολὴν τοῦ λόγου ἐποιησάμην ἐπάνειμι.

Τωτίλας οὖν ταῦτα διαπεπραγμένος, ἃ προδιήλωται, ἐπεὶ τοὺς ἐν τῷ ἐπὶ Ῥουσκίας φρουρίῳ τῶν Ῥωμαίων ἀναγκαίων ἐπι-

2. ἐπ' αὐτὸ] ἐς αὐτὸ Reg. 4. ταῖς τε] ἓν τε Reg. 6. ξυμμορίας] συμμορίας L. 8. τοῦ τε σεισμοῦ] τῶν τε σεισμῶν Reg. et Hm. τόν τε σεισμὸν L. 16. ξυμφορῶν] συμφορῶν L. 18. οὗπερ] ὅπερ H. οὗπερ Hm. 21. ἐν τῷ om. L. ibid. Ῥουσκίας] φουσκιανῆς HL.

sit, ut sese magis immiserit. Exciti omnes rei fama accolae, confestim accurrunt; sine mora ac requie belluam undique contundunt ascils; ac ne ita quidem occisam, crassis funibus in terram subducunt. Cum eam in plaustra imposuissent, longam triginta fere cubitos, latam decem deprehenderunt. Tum sectam atque inter se distributam, nonnulli manducarunt continuo: alii partem, quae ipsis obtigerat, condierunt sale. Cives autem Byzantii, cum terrae motum sensissent, et quae Nilo cetoque huic acciderant, cognovissent, eventurum statim praedixerunt, quod cuique allubescebat. Homines enim circumventi difficultatibus futura comminisci monstrifice, et molestias, quibus anguntur, vanis prognosticis levare gaudent. Ego vero divinationes ac portentorum interpretationes relinquens aliis, id probe scio, Nilum terrae diutius innatando gravia peperisse incommoda, et sublata mala fuisse plurima, ceti interitu. Sunt qui cetum alium captum affirment, non eum, cuius mentionem feci. Sed illuc iam oratio redeat, unde deflexit.

Totilas rebus, quas ante narravi, gestis, certior factus Romanos in Rusciano castello cibariis egere, seque illos brevi expugnaturum ratus,

σπανίζειν ἐπύθετο, ἐξαιρήσειν αὐτοὺς οἰόμενος ὅτι τάχιστα, ἢν μή τι ἐσκομίζεσθαι τῶν ἐπιτηδείων οἷοί τε ὦσιν, ἐστρατοπεδεύσατό τε ὡς ἀγχοτάτω καὶ ἐγκαθεζόμενος ἐς πολιορκίαν καθίστατο. καὶ ὃ χειμὼν ἔληγε, καὶ τρισκαιδέκατον ἔτος ἐτελεύτα τῷ πολέμῳ τῷδε, ὃν Προκόπιος ξυνέγραψε.

λ'. Βασιλεὺς δὲ Ἰουστινιανὸς πεζοὺς στρατιώτας οὐχ ἧσσον ἢ δισχιλίους ἐς Σικελίαν ναυσὶν ἔπεμψε καὶ Βαλεριανὸν ὀνόμασε μελλήσει παρὰ Βελισάριον ἐκέλευεν ἰέναι. καὶ ὡς διαπορθμευσάμενος ἐς τὸν Δρυοῦντα κατέπλευσεν, οὗ δὴ καὶ Βελισάριον ξὺν τῇ γυναικὶ εὗρεν. ὑπὸ τοῦτον τὸν χρόνον Ἀντωνίνα μὲν ἡ Βελισαρίου γυνὴ ἐς Βυζάντιον στέλλεται, τῆς βασιλίδος δεησομένη μεῖζονι παρασκευῇ τὸν πόλεμον τόνδε ἐξαρτύεσθαι. ἡ δὲ βασιλὶς Θεοδώρα νοσήσασα ἐξ ἀνθρώπων ἠφάνιστο, ἐνιαυτοὺς ἕνα τε καὶ εἴκοσι τῇ βασιλείᾳ ἐπιβιώσασα καὶ μῆνας τρεῖς. ἐν τούτῳ δὲ οἱ ἐν τῷ Ῥουσκιανῷ φρουρίῳ πολιορκούμενοι πιεζόμενοι τῶν ἀναγκαίων τῇ ἀπορίᾳ ἐς λόγους τοῖς πολεμίοις ξυνίασιν, ὡμολόγησάν τε μεσούσης μάλιστα τῆς τοῦ θέρους ὥρας τὸ φρούριον ἐνδώσειν, ἢν μή τις ἐπιγένηται μεταξὺ βοήθεια σφίσιν, ἐφ' ᾧ μέντοι ἀπαθεῖς κακῶν ἅπαντες μείνωσιν. ἦσαν δὲ Ἰταλιῶν μὲν ἐν τῷ φρουρίῳ τούτῳ πολλοί τε καὶ λόγιμοι, καὶ Δεοφέρων ὁ Τουλλιανοῦ ἀδελφὸς, τοῦ δὲ Ῥωμαίων στρατοῦ ἱππεῖς μὲν

P 534
V 157
H 299
B
C

1. ἐπύθετο] ἐπείθετο L a pr. m. 2. ἐστρατοπεδεύσατο] ἐστρατοπεδεύσαντο L. 3. ἐγκαθεζόμενος] ἐγκαθεζομένους L, ι a m. sec. ibid. καθίστατο] καθίστατο L, ψ a m. sec. 7. ἡ δισχιλίους om. L. 12. τόνδε om. L. 14. ἐπιβιώσασα] ἐπιβιοῦσα L. 15. Ῥουσκιανῷ om. L. 20. Δεοφέρων] δεοφόρων L. δεοσφέρων H. 21. Τουλλιανοῦ] τουλιανοῦ H.

si commeatibus omnino intercluderentur, castra proxime metatus est, et statariam inchoavit obsidionem. Exacta hiems annum terminat decimum tertium huius belli, quod Procopius litteris prodidit.

30. Iustinianus Augustus militum haud minus duo millia peditum in Siciliam navibus transportari iussit, mandavitque Valeriano, ut abiecta omni cunctatione Belisarium conveniret. Ille traiecto sinu, Hydruntem appulit, ibique Belisarium cum ipsius uxore offendit. Subinde Antonina, Belisarii coniux, Byzantium proficiscitur, maiorem ad hoc bellum apparatum rogatura Augustam. Verum Theodora Aug. iam morbo obierat, exactis in principatu annis XXI. ac mensibus tribus. Interea, qui in Rusciano castello obsidebantur, rei cibariae penuria pressi, instituto cum hostibus colloquio, promiserunt se, ea lege, ut incolumitatem cuncti retinerent, tradituros castellum media fere aestate; nisi quid subsidii hoc interim spatio acciperent. Erant ex Italis in eo castello cum alii multi nobiles, tum frater Tulliani Deopheron: ex Romano exercitu

Ἰλλυριοὶ τριακόσιοι, οὕσπερ Ἰωάννης καταστησάμενος ἐνταῦθα ἔτυχε, Χαλάζαρα αὐτοῖς τὸν δορυφόρον ἐπιστήσας, Μασσαγέτην γένος, διαφερόντως ἀγαθὸν τὰ πολέμια, καὶ Γουδίλαν Θρᾷκα, καὶ πεζοὶ ἑκατὸν πρὸς Βελισαρίου ἐπὶ τῇ φυλακῇ τοῦ φρουρίου σταλέντες. τότε καὶ ὅσοι στρατιῶται πρὸς Βελισαρίου ἐπὶ τῇ Ῥώμης φρουρᾷ ἐτετάχατο τὸν σφῶν ἄρχοντα Κώνωνα κτείνουσιν, ἐμποριαν αὐτῷ τοῦ τε σίτου καὶ τῶν ἄλλων ἐπιτηδείων
D ἐπὶ πονηρῷ τῷ σφετέρῳ ἐπενεγκόντες. πρέσβεις τε τῶν ἱερέων τινὰς πέμπουσιν, ἀπισχυριζόμενοι ὡς, ἢν μὴ βασιλεὺς τοίτου δὴ τοῦ ἐγκλήματος ἀμνηστίαν σφίσι διδοίη χρόνου τε ῥητοῦ τὰς ξυντάξεις ἐκτίσοι ὅσας δὴ αὐτοῖς τὸ δημόσιον ὤφειλε, Τωτίλᾳ τε καὶ Γότθοις οὐδὲν μελλήσαντες προσχωρήσουσι. βασιλεύς τε αὐτοῖς τὴν δέησιν ἐπιτελῆ ἐποίει.

Βελισάριος δὲ τὸν Ἰωάννην ἐς τὸν Δρυοῦντα μεταπεμψάμενος ξύν τε αὐτῷ καὶ Βαλεριανῷ καὶ ἄλλοις ἄρχουσι στόλον πο-
P 535 λὺν ἀγείρας εὐθὺ Ῥουσκίας κατὰ τάχος ἔπλει, τοῖς ἐκεῖ πολιορκουμένοις ἀμύνειν ἐν σπουδῇ ἔχων. οἵ τε ἐν τῷ φρουρίῳ τὸν στόλον τοῦτον ἄτε ἀφ' ὑψηλοῦ κατιδόντες εὐέλπιδές τε γενόμενοι οὐκέτι τοῖς πολεμίοις προσχωρεῖν ἔγνωσαν, καίπερ ἐνισταμένης ἤδη τῆς σφίσι ξυγκειμένης ἡμέρας. καὶ τὰ μὲν πρῶτα χειμῶνος

1. Ἰλλυριοὶ] *illyrianoi* Reg. *ibid.* καταστησάμενος ἐνταῦθα] ἐνταῦθα καταστησάμενος Hm. 2. Χαλάζαρα] χαλαζάρ τε L. S. Γουδίλαν] Γούδιλαν P. γόδιλαν L. γοδίλαν H. *Godilam* Pers.: sed *Gudilam* p. 535 d. 6. Κώνωνα H. κόνωνα HmP. 7. αὐτῷ] αὐτῶν L. αὐτὸν H. 8. πονηρῷ] πονήρῳ P. 9. ἢν] εἰ L. 11. ξυντάξεις ἐκτίσοι] συντάξεις ἐκτίσει L. 16. Ῥουσκίας] ῥουσκιανῆς HL. *ibid.* ἐκεῖ om. L. 17. ἀμύνειν] ἐπαμύνειν L.

equites Illyrii ccc. quos ibi Ioannes collocaverat, sub Chalazare Praetoriano, natione Massageta, viro bellicosissimo, et Gudila Thrace: aderant et pedites centum, a Belisario missi ad castelli custodiam. Eodem tempore milites, quos in praesidio Romae Belisarius constituerat, Cononem Praefectum suum trucidant, insimulantes, quod damno suo mercaturam frumenti caeteraeque annonae faceret. Mox quosdam e Sacerdotibus Legatos mittunt, denuntiantque, nisi criminis huius amnestiam, ac certi temporis stipendia ex aerario sibi debita ab Imperatore accipiant, se ad Totilam et Gotthos nulla interposita mora transituros. Eorum petitioni Imperator concessit.

Belisarius, Ioanne Hydruntem accito, cum ipso et Valeriano caeterisque Ducibus, magna classe collecta, recta Rusciam navigare maturat, illic obsessis afferre opem contendens. Qui in castello erant, ea classe ex edito prospecta, in spem optimam ingressi, deditionis faciendae consilium abiecerunt, quamvis iam dicta dies adesset. Ac primo orta tem-

ἔξαισίου ἐπιπεσόντος, ἄλλως τε καὶ τῆς ἐκείνῃ ἀκτῆς ἀλιμένου παντάπασιν οὔσης, τὰς ναῦς ἁπάσας ὡς ἀπωτάτω ἀλλήλων ξυνηνέχθη διασκεδάννυσθαι· ταύτῃ τε χρόνου μῆκος σφίσι τριβῆναι ξυνέβη. αὖθίς τε ἀγηγερμένοι ἐν τῷ Κροτωνιατῶν λιμένι ἐπὶ 5 Ῥουσκίαν ἀνήγοντο. οὕσπερ ἐπεὶ οἱ βάρβαροι εἶδον, ἐπὶ τοὺς B ἵππους ἀναθορόντες ἀμφὶ τὴν ἠόνα ἐγένοντο τὴν ἀπόβασιν τοῖς πολεμίοις ἀναστέλλειν διανοούμενοι. Τωτίλας τε τοὺς αὐτοῦ ἐπὶ πλεῖστον τῆς ἀκτῆς ἀντιμετώπους ἔστησε ταῖς τῶν νηῶν πρῴραις, τοὺς μὲν δόρατα ἔχοντας, τοὺς δὲ τὰ τόξα ἐντειναμένους. ὅπερ 10 ἐπεὶ Ῥωμαῖοι εἶδον, κατωρρώδησάν τε καὶ ἄγχιστα οὐδαμῇ ἐτόλμων ἰέναι, ἀλλὰ χρόνον μέν τινα τὰς ναῦς ἑκαστάτω ἀνακωχεύσαντες ἡσυχῇ ἔμενον, ὕστερον δὲ ἀπογνόντες τὴν ἀπόβασιν πρύμναν τε πάντες ἐκρούοντο καὶ ἀναχθέντες τῷ Κροτωνιατῶν αὖθις λιμένι προσέσχον. οὗ δὴ ἐπὶ κοινῆς βουλευσαμένοις ἔδυξε σφίσιν 15 ἄμεινον εἶναι Βελισάριον μὲν ἐς Ῥώμην ἰόντα τὰ ταύτῃ τε ὡς V 158 ἄριστα διοικησάσθαι καὶ τὰ ἐπιτήδεια ἐσκομίζεσθαι, Ἰωάννην C δὲ καὶ Βαλεριανὸν τούς τε ἄνδρας ἐς γῆν καὶ τοὺς ἵππους ἀποβιβάσαντας ὁδῷ τε πορευομένους ἐς Πικηνοὺς ἰέναι, ξυνταράξοντας τῶν πολεμίων τοὺς τὰ ἐκείνῃ πολιορκοῦντας πολίσματα. οὕ- 20 τω γὰρ ἂν αὐτοῖς Τωτίλαν διαλύσαντα τὴν προσεδρείαν ἐπισπᾶσθαι ἐλπίδα εἶχον. Ἰωάννης μὲν οὖν ξὺν τοῖς ἑπομένοις χιλίοις οὖσι κατὰ ταῦτα ἐποίει· Βαλεριανὸς δὲ τὸν κίνδυνον δείσας ταῖς

2. τὰς ναῦς ἁπάσας] ταῖς νανσὶν ἁπάσαις Reg. 6. ἠόνα] ἠιόνα L. 7. τοὺς αὐτοῦ] αὐτοὺς HLi illud HmLm. 15. τὰ ταύτῃ τε] τά τε L, qui in marg. ἐκείνῃ. 16. ἐσκομίζεσθαι] ἐσκομίσασθαι L. 17. δὲ καὶ] Vulgo τε καὶ. 18. ἐς Πικήνους P. ἐς πικηνοὺς H. ἐπισκήνους L: sed in marg. ἐς πικήνους.

pestas violentissima naves omnes toto aequore disiecit eo facilius, quod littus illud omnino importuosum est; itaque multum temporis inutiliter fluxit. Deinde in Crotonis portum collecti, solverunt, intento ad Rusciam cursu. Quos ut videre Barbari, conscensis equis, eo consilio ad littus convolant, ut hostem prohibeant exscensu. Hic suos longa serie Totilas constituit adversos navium proris, ac partim hastis, partim arcubus tentis instructos Quo Romani spectaculo attoniti, neque audentes accedere, aliquandiu stetere procul in anchoris. Post, desperata exscensione, retro omnes cesserunt, et profecti ad Crotonis portum iterum applicuerunt: ubi consilio habito, satius fore visum est, si Belisarius Romae rebus optime provisum iret, eoque commeatus inveheret: dum Ioannes ac Valerianus, viris et equis in terram expositis, iter in Picenum facerent, lacessituri hostes, qui regionis illius oppida obsidebant. Quo factum iri sperabant, ut Totilas ab obsidione retraheretur. Ac Ioannes quidem cum suis, numero mille, executus est consulta: Va-

ναυσὶ κόλπον περιιὼν τὸν Ἰόνιον ἔπλει τοῦ Ἀγκῶνος εὐθύ. ταύτῃ γὰρ ἐν Πικηνοῖς τε γενήσεσθαι ξὺν τῷ ἀσφαλεῖ ᾤετο καὶ τῷ Ἰωάννῃ ξυμμίξαι. ἀλλὰ Γωτίλας διαλῦσαι τὴν προσεδρείαν οὐδ' ὡς ἤθελεν, ἀλλ' αὐτὸς μὲν ἐνταῦθα καθῆστο, δισχιλίους δὲ ἱππεῖς τοῦ στρατοπέδου ἀπολεξάμενος ἐς Πικηνοὺς στέλλει, ἐφ' ᾧ τοῖς

D *ἐνταῦθα βαρβάροις ξυμμίξαντες τοὺς ἀμφί τε Ἰωάννην καὶ Βαλεριανὸν ἀποκρούσωνται.*

H 300 *Οἱ δὲ πολιορκούμενοι ἐν τῷ ἐπὶ Ῥουσκίας φρουρίῳ, ἐπεὶ σφᾶς τά τε ἀναγκαῖα ἤδη παντάπασιν ἐπελελοίπει καὶ οὐδεμίαν ἔτι ἀπὸ Ῥωμαίων ἐπικουρίας ἐλπίδα εἶχον, Γουδίλαν τε τὸν δορυφόρον καὶ Δεοφέροντα τὸν Ἰταλιώτην παρὰ Τωτίλαν πέμψαντες ἐπρεσβεύοντο ἀμφὶ τῇ σωτηρίᾳ, δεόμενοι σφίσιν αὐτοῖς τῶν πεπραγμένων ξυγγνώμονα εἶναι. ὁ δὲ Τωτίλας ἐς ἄλλον οὐδένα ὅτι μὴ ἐς τὸν Χαλάζαρα ἐπιτελέσειν τὴν κόλασιν ἐπηγγέλλετο, ἅτε τὰ πρόσθεν ξυγκείμενα ἠλογηκότα, τοῖς δὲ ἄλλοις τὸ ἔγκλημα*

P 536 *ἐπιχωρεῖν πᾶσιν. οὕτω τοίνυν αὐτὸς τὸ φρούριον ἐδέξατο. καὶ τὸν μὲν Χαλάζαρα ἄμφω τε τιὼ χεῖρε ἀποτεμὼν καὶ τὰ αἰδοῖα εὐθὺς ἔκτεινε, τῶν δὲ στρατιωτῶν τοὺς μὲν βουλομένους μένειν ἐκέλευε τὰ σφέτερα αὐτῶν ἔχοντας, ἐφ' ᾧ τὸ λοιπὸν ἐπὶ τῇ ἴσῃ καὶ ὁμοίᾳ Γότθοις ξυντάξονται· ὅπερ κἂν τοῖς ἄλλοις ὀχυρώμασι*

2. *πικηνοῖς* LHm. *Πικήνοις* P. *πικηνοῖς* H. 4. *καθῆστο*] *καθίστη* L. 5. *πικηνοὺς* L. *Πικήνους* P. *πικηνοὺς* H. 6. *βαρβάροις*] *πολεμίοις* H: illud Hm. 7. *ἀποκρούσωνται*] *ἀποκρούσονται* L a pr. m. 8. *Ῥουσκίας*] *ῥουσκιανῆς* Reg. *ῥουσκιανοῖς* H. 10. *ἀπὸ Ῥωμαίων*] *ἐπὶ ῥωμαίους* Reg.: quod ferri potest. 14. *Χαλάζαρα*] *χαλαζὰρ* Reg. *χαλάζαρον* H. Eadem varietas infra. *Chalazarum* dicit Pers. *ibid. ἐπηγγέλλετο*] *ἐπηγγείλατο* Reg. 16. *αὐτὸς*] *αὐτῷ* L. 20. *κἂν τοῖς*] *αὐτοῖς* L.

lerianus vero, periculum veritus, et classe circum sinum vectus Ionium, Anconam recta navigavit. Hac enim via se ad Picentes tuto perventurum, et Ioanni iuncturum vires putabat. Totilas autem obsidionem solvere noluit: sed ibi consistens, delectos ex copiis bis mille equites, in agrum Picenum misit, ut coniuncte cum Barbaris, qui illic degebant, Ioannem et Valerianum propellerent.

Iam in castello Rusciano obsessi, cum eos annona spesque mittendi a Romanis auxilii penitus defecissent, Gudilam Praetorianum, et Deopherontem Italum ad Totilam legarunt, pacturos pro vita, et actorum veniam petituros. Spopondit Totilas, se in neminem animadversurum, praeterquam in Chalazarem, utpote pactae fidei violatorem; caeteris omnibus facturum se delicti gratiam. Castello igitur ita capto, statim Chalazarem, ambabus manibus ac verendis truncatum, vita etiam spoliat: milites, si qui manere vellent, rebus suis gaudere iussit, ea lege, ut Gothorum signa pari cum ipsis conditione sequerentur: quod in aliis

τοῖς ἁλισκομένοις πράσσειν εἰώθει. οἷς δὲ τὸ μένειν ἐν ἡδονῇ ὡς ἥκιστα ἦν, τούτους δὴ γυμνοὺς ὅπη βούλοιντο ἐκέλευεν ἀπαλλάσσεσθαι, τοῦ μή τινά οἱ τῶν πάντων ἀνθρώπων ἀκούσιον ξυστρατεύεσθαι. ὀγδοήκοντα μὲν οὖν τοῦ Ῥωμαίων στρατοῦ τῶν χρημάτων ἀπολελειμμένοι ἐς τὸν Κρότωνα ἦλθον, οἱ δὲ ἄλλοι ξὺν τοῖς χρήμασιν αὐτοῦ ἔμειναν. τῶν μέντοι Ἰταλῶν τὰ μὲν χρήματα πάντα ἀφεῖλετο, τὰ δέ γε σώματα κακῶν παντάπασιν ἀπα- B θῆ εἴασεν. Ἀντωνῖνα δὲ ἡ Βελισαρίου γυνὴ τῆς βασιλίδος ἀποδημούσης ἐς Βυζάντιον ἀφικομένη ἔχρῃζε βασιλέως μετάπεμπτόν οἱ τὸν ἄνδρα ἐνταῦθα ἐλθεῖν. ῥᾷστά τε διεπράξατο τοῦτο. ἤδη γὰρ καὶ ὁ Μηδικὸς πόλεμος ἐπικείμενος ἰσχυρότατα βασιλέα Ἰουστινιανὸν ἐς τοῦτο ἐνῆγεν.

λα'. Ἐν τούτῳ δέ τινες ἐπίθεσιν ἐπὶ βασιλέα Ἰουστινιανὸν C ἐβουλεύσαντο. οἵπερ ὅπως τε ἐς τὸ βούλευμα τοῦτο κατέστησαν καὶ τρόπῳ δὴ ὅτῳ ἀποκρουσθέντες οὐδαμῇ ἐς τὸ ἔργον ἀφίκοντο, αὐτίκα δηλώσω. Ἀρταβάνῃ Γόνθαριν καθελόντι τὸν τύραννον, ὥσπερ μοι ἐν τοῖς ἔμπροσθεν λόγοις ἐρρήθη, ἐξαισία τις ἐπιθυμία ἐγένετο Πρεϊέκταν τὴν βασιλέως ἀδελφιδῆν, ἣν εἶχεν ἐγγυητὴν, γυναῖκα ποιήσασθαι. ὅπερ καὶ αὐτῇ βουλομένῃ ὡς μάλιστα ἦν, οὐκ ἔρωτι τοῦ ἀνθρώπου ἐνταῦθα ἠγμένῃ, ἀλλ' ὅτι οἱ χάριτας ὡμολόγει πολλὰς, ἅτε τισαμένῳ μὲν τὸν Ἀρεοβίνδου τοῦ

1. ἐν om. L. 2. δὴ] δὲ L. 3. τοῦ Reg. τῷ P. *ibid.* πάντων] ἁπάντων L. 5. ἀπολελειμμένοι] ἀπολελειμμένων L. 8. εἴασεν P et Scaliger. ἦσαν Hl. *ibid.* Βελισαρίου] τοῦ βελισαρίου L. 9. ἔχρῃζε] ἐδέετο Reg. 17. ὥσπερ] οπερ Reg. *ibid.* ἐρρήθη] ἐρήθη L a pr. m. 18. Πρεϊέκταν] πρεΐκταν Reg. Et infra. *ibid.* ἣν εἶχεν om. Reg. 21. τισαμένῳ] αἰτησαμένῳ L. τισαμένῳ Scaliger. τιμησαμένῳ H.

a se captis munitionibus factitaverat: quibus manere non collibitum esset, edixit, abirent nudi quocunque animus ferret: quod invitum quemquam habere nollet armorum socium. Tum Romani milites LXXX. exuti pecuniis, Crotonem se contulerunt: reliqui rebus salvis ibi mansere: Italorum opibus omnibus ablatis, corporibus plane temperatum est. Interea Belisarii coniux Antonina, cum Byzantium post Augustae obitum pervenisset, Imperatorem rogavit, ut eo virum revocaret: quod facillime impetravit, cum ad hoc Iustinianum Augustum impelleret bellum Persicum, quo iam is gravissime urgebatur.

31. Inter haec, in Iustinianum Augustum conspirarunt nonnulli: qui quo id modo consilium ceperint, eoque diffleto nihil effecerint, iamiam narrabo. Cum Artabanes Gontharin tyrannum sustulisset e medio, ut in superioribus libris memoravi, desponsam sibi Praiectam, Imperatoris ex sorore neptem, uxorem ducere vehementissime cupiebat. Quod ipsa quoque optabat maxime, non ex amore in hominem, sed quod plurimum

ται, Λαβούλλαν δὲ τὴν ἑτέραν καλεῖν οἱ ἐπιχώριοι νενομίκασιν. ἐνταῦθα μὲν παρὰ τὴν ἀκτὴν Ῥουσκία ἐστὶ τὸ Θουρίων ἐπίνειον, ὑπερθεν δὲ αὐτοῦ ὅσον ἀπὸ σταδίων ἑξήκοντα φρούριον ἐχυρώτατον ἐδείμαντο οἱ πάλαι Ῥωμαῖοι. ὅπερ Ἰωάννης οὐ πολλῷ πρότερον καταλαβὼν ἔτυχε, φρουράν τε λόγου ἀξίαν ἐκείνῃ κατασησάμενος.

Οἱ μὲν οὖν Βελισαρίου στρατιῶται ἐνταῦθά πη ἰόντες πολεμίων στρατεύματι ἐντυγχάνουσιν. οὕσπερ ὁ Τωτίλας ἔπεμψεν, ἐφ' ᾧ ἀποπειράσονται τοῦ τῇδε φρουρίου. ἐς χεῖρας δὲ αὐτοῖς αὐτίκα ἐλθόντες ἀρετῇ τε πόνῳ οὐδενὶ ἔτρεψαν, καίπερ αὐτῶν τῷ πλήθει παρὰ πολὺ ἐλασσούμενοι, καὶ πλέον ἢ διακοσίους διέφθειραν. οἱ δὲ λοιποὶ φεύγοντες παρὰ Τωτίλαν τε ἀφίκοντο καὶ τὰ ξυμπεσόντα πάντα ἐσήγγελλον, οἵ τε Ῥωμαῖοι αὐτοῦ ἐνστρατοπεδευσάμενοι ἔμενον. ἅτε δὲ ἄναρχοι καὶ νενικηκότες ἀδεέστερον τῇ διαίτῃ ἐχρῶντο. οὔτε γὰρ ἀγηγερμένοι ἡσύχαζον οὔτε ἄγχιστα τῆς στενοχωρίας ἐγκαθεζόμενοι τὰς εἰσόδους ἐφύλασσον, ἀλλ' ἐς ὀλιγωρίαν τραπόμενοι νύκτωρ μὲν ὡς ἀπωτάτω ἀλλήλων διεσκηνημένοι ἐκάθευδον, ἐν δὲ δὴ τῇ ἡμέρᾳ τὰ ἐπιτήδεια διερευνώμενοι περιήρχοντο, οὔτε τινὰς ἐπὶ κατασκοπῇ στείλαντες οὔτε ἄλλο ὁτιοῦν ἀσφαλείας πέρι βεβουλευμένοι. Τωτίλας οὖν, ἐπειδὴ ἐπύθετο ἅπαντα, ἐς τρισχιλίους ἱππεῖς τοῦ

1. Λαβούλλαν] λαβούλαν L. Lambulam Pers. 3. ἐχυρώτατον] ὀχυρώτατον Reg. 4 οὐ om. HL. 5. καταλαβὼν] λαβὼν L. 10. πόνῳ οὐδενὶ] οὐδενὶ πόνῳ L. 11. αὐτῶν L. αὐτῷ P. 18. ἡμέρᾳ] ἡμετέρᾳ L. 19. οὔτε — οὔτε] οὐδέ — οὐδὲ P. 20 πέρι βεβουλευμένοι L. περιβεβουλευμένοι P. 21. ἐπύθετο] ἐπείθετο L.

vocare solent. Est in eo littore Ruscia, Thuriorum navale: ultra vero, stadiorum circiter LX. interiecto spatio, Romani veteres castellum validissimum condiderunt: quo paulo ante potitus Ioannes, egregium illic praesidium constituerat.

Eo provecti Belisarii milites, in hostiles copias inciderunt, quas Totilas miserat, ut castellum illud tentarent. Repente collata manu, quamvis numero longe essent inferiores, facile tamen virtute sua fuderunt Barbaros, et amplius ducentos interfecerunt. Reliqui ad Totilam fuga reduces, quae acciderant, pandunt ordine: Romani, castris ibi positis, stativa habent. Iam absentia Ducis, suaque abusi victoria, solutius agere ceperunt. Neque enim collecti locum tenebant, neque ad montium fauces metati, illas servabant: at per summam negligentiam noctu in tentoriis rarissime sparsis somnum capiebant; de die palabantur, perquirentes cibaria, nullis circa viciniam dimissis exploratoribus, neque ulla alia cautione adhibita. Quae cum Totilas plane comperisset,

παντὸς στρατοπέδου ἀπολεξάμενος ἐπὶ τοὺς πολεμίους ἦει. καὶ αὐτοῖς ἀπροσδοκήτως ἐπιπεσὼν οὐ ξυντεταγμένοις, ἀλλ' οὕτω D περιοῦσιν, ὥσπερ εἴρηται, κατέπληξέ τε καὶ ξυνετάραξεν ἅπαντας. ἐνταῦθα Φάζας (ἄγχιστα γάρ πη ἐσκηνημένος ἐτύγχανεν) ὑπαντιάσας τοῖς πολεμίοις ἔργα τε ἀρετῆς ἄξια ἐνδειξάμενος, τισὶ μὲν τοῦ διαφυγεῖν αἴτιος γέγονεν, αὐτὸς δὲ ξὺν τοῖς ἀμφ' αὐτὸν ἅπασι θνήσκει. μέγα τε πάθος Ῥωμαίοις τοῦτο ξυνέβη, ἐπεὶ ἐς αὐτοὺς, ἅτε διαφέροντας τὰ πολέμια, τὴν ἐλπίδα ξύμπαντες εἶχον. ὅσοι μέντοι φυγεῖν ἴσχυσαν, ὡς πη ἑκάστῳ δυνατὰ γέγονε, διεσώθησαν. πρῶτός τε Βαρβατίων ὁ Βελισαρίου δορυφόρος ξὺν ἑτέροις δυσὶ φεύγων ἀνὰ κράτος ἐς τὸν Κρότωνα ἦλθε. καὶ τύχην τὴν παροῦσαν ἀπαγγέλλων ἐπεῖπεν οἴεσθαι αὐτίκα δὴ μάλα καὶ τοὺς βαρβάρους παρέσεσθαι. Βελισάριος δὲ ταῦτα P 532 ἀκούσας ἔν τε μεγάλῳ πένθει ἐγίνετο καὶ ἐς τὰς ναῦς ἐσεπήδησεν. ἔνθεν τε ἄραντες καὶ πνεύματος ἐπιτυχόντες ἐκείνῃ τῇ ἡμέρᾳ τῇ τῆς Σικελίας Μεσσήνῃ προσέσχον, ἣ τοῦ μὲν Κρότωνος ἑπτακοσίους σταδίους διέχει, Ῥηγίνων δὲ καταντικρὺ κεῖται.

κθ'. Ὑπὸ τοῦτον τὸν χρόνον Σκλαβηνῶν στράτευμα διαβάντες ποταμὸν Ἴστρον Ἰλλυριοὺς ἅπαντας ἄχρι Ἐπιδαμνίων B ἔδρασαν ἀνήκεστα ἔργα, κτείνοντες καὶ ἀνδραποδίζοντες τοὺς ἐν ποσὶν ἡβηδὸν ἅπαντας καὶ τὰ χρήματα ληιζόμενοι. ἤδη δὲ καὶ

2. ἀπροσδοκήτως ἐπιπεσὼν] ἐπιπεσὼν ἀπροσδοκήτως L. 3. περιοῦσιν] περιοῦσιν L. 4. γάρ om. H: habet Hm. *ibid.* ἐσκηνημένος] ἐσκηνωμένος L. 5. τισὶ] τοῖς L a m. sec. 7. πάθος L. πένθος P. 10. ὁ om. L. 11. δυσὶ L. δυοῖν P. 13. καὶ τοὺς βαρβάρους om. L. 15. ἔνθεν τε] ἐνθένδε L. *ibid.* τῇ τῆς om. L. 16. Μεσσήνῃ] μεσήνῃ L. μεσίνῃ L.

delectis ex universo exercitu tribus equitum millibus, in hostes tendit, eosque inordinatos, et ita, ut dictum est, palantes adortus ex improviso, perculit, turbavitque omnes. Tum Phazas e proximo, ubi tetenderat, obvium se ferens hosti, et viro forti digna edens facinora, nonnullis evadendi spatium dedit: at cum omnibus, qui ipsum stipabant, occubuit. Magnum casus hic damnum luctumque Romanis attulit, quorum communis spes in viris illis bellicosissimis residebat. Eorum, qui se subduxerunt, evasit quisque quocunque potuit. Primus Barbatio, Belisarii Protector, cum duobus aliis incitatissimo cursu Crotonem venit, quo res loco sint docet, ac sibi videri asserit Barbaros continuo affore. His Belisarius auditis, gravissime dolens, classem properę conscendit. Inde cum solvissent, secundo vento, eadem die Messanam appulerunt: quae urbs Siciliae contra Rhegium sita, stadiis DCC. Crotone distat.

29. Sub idem tempus, Sclavenorum copiae, traiecto Istro flumine, totum Illyricum, Epidamnum usque, foede vastarunt: obvios quosque sine ullo aetatis discrimine, partim mactantes morte, partim abducentes in servitutem, ac pecuniis spoliantes. Castella quoque regionis illius

φρούρια ἐνταῦθα πολλά τε καὶ δοκοῦντα ἐχυρὰ τὰ πρότερα εἶναι οὐδενὸς ἀμυνομένου ἑξελεῖν ἴσχυσαν, περιόντες ξύμπαντα κατ' ἐξουσίαν καὶ διερευνώμενοι. οἱ δὲ τῶν Ἰλλυριῶν ἄρχοντες στράτευμα πεντακισχιλίων τε καὶ μυρίων ἔχοντες εἵποντο, ἄγχιστα
H 298 μέντοι τῶν πολεμίων οὐδαμῇ ἐτόλμων ἰέναι. τότε δὲ καὶ σει- 5
σμοὶ πολλάκις χειμῶνος ὥρᾳ σκληροί τε λίαν καὶ ὑπερφυεῖς ἔν τε
C Βυζαντίῳ καὶ χωρίοις ἄλλοις ἐγένοντο, νύκτωρ ἅπαντες. καὶ οἱ
μὲν ταύτῃ ᾠκημένοι καταχωσθήσεσθαι ὑποτοπήσαντες ἐν δέει με-
V 156 γάλῳ ἐγένοντο, οὐδὲν μέντοι ἐνθένδε φλαῦρον αὐτοῖς ξυνηνέχθη
παθεῖν. τότε καὶ Νεῖλος ὁ ποταμὸς ὑπὲρ ὀκτωκαίδεκα πήχεις 10
ἀναβὰς ἐπέκλυσε μὲν τὴν Αἴγυπτον καὶ ἤρδευσε πᾶσαν, ἀλλὰ ἐν
μὲν Θηβαΐδι τῇ ὕπερθεν οὔσῃ ὑφιζάνοντά τε καὶ ὑπορρέοντα τοῖς
καθήκουσι χρόνοις τὰ ὕδατα παρεῖχετο τοῖς τῇδε ᾠκημένοις,
σπείρειν τε τὴν γῆν καὶ τῶν ἄλλων ἐπιμελεῖσθαι ἧπερ εἰώθει.
χώρας δὲ τῆς ἔνερθεν ἐπειδὴ πρῶτον ἐπεπόλασεν, οὐκέτι ἀπέβη, 15
ἀλλ' ἐνοχλῶν αὐτοῦ ξύμπαντα διαγέγονε τὸν τοῦ σπείρειν καιρὸν,
D οὐ ξυμπεσὸν τοῦτό γε πρότερον ἐκ τοῦ παντὸς χρόνου, ἔστι δὲ
οὗ καὶ ἀπολωφῆσαν τὸ ὕδωρ ἐπέκλυσεν αὖθις οὐ πολλῷ ὕστερον.
ταύτῃ τε ἅπαντα ἐσεσήπει τὰ σπέρματα, ὅσα δὴ μεταξὺ κατα-
βεβλημένα ἐς τὴν γῆν ἔτυχε. καὶ οἱ μὲν ἄνθρωποι τῷ παραλόγῳ 20

1. ἐνταῦθα πολλά τε L. πολλά τε ἐνταῦθα P. 2. περιόντες] καὶ περιόντες H. καὶ περιήρχοντο Reg. ibid. ξύμπαντα] ξύμπαν Reg. 3. καὶ om. L. 5. τότε δὲ] τότε δὴ Hm. 8. ᾠκημένοι] ᾠκισμένοι Reg. ibid. καταχωσθήσεσθαι] Vulgo καταχωθήσεσθαι. καταχωθησασθαι L. 11. καὶ ἤρδευσε πᾶσαν] οὐκ ἤρδευσε δὲ πᾶσαν H: illud Hm. ibid. ἀλλὰ] ἀλλὰ καὶ H. 12. ὑποῤῥέοντα] ἀποχωροῦντα Reg. 14. τῶν ἄλλων] τὰ ἄλλα L. 17. ξυμπεσὸν] ξυμπεσεῖν H. ξυμπεσὸν Hm. ibid. τοῦ παντὸς χρόνου] παντὸς αἰῶνος Reg.

plurima, quae firma prius videbantur, coperunt, nemine resistente, ita ut circumcursando impune quovis penetrarent: cum Illyrici Duces, collecto ad XV. M. exercitu sic sequerentur, ut propius ad illos accedere non auderent. Anni huius hiems crebris, iisque vehementissimis et maxime horribilibus terrae motibus infesta fuit: qui omnes Byzantii aliisque in locis nocte contigerunt, et incolis, obrutum iri se arbitrantibus, gravem attulerunt metum, sine ulla pernicie. Eodem anno inundavit quidem Aegyptum fluvius Nilus, ac totam irrigavit, auctus cubitis amplius XVIII. At cum in superiori Thebaide aquae subsedissent, et stato tempore intra ripas revocatae, tractus illius incolis dedissent spatium sementem faciendi, et alia curandi ex more; in partibus inferioribus non se collegit effusus amnis: verum ibi infesta mora tempus omne sationis assumpsit: quod post homines natos nunquam contigerat. Alicubi recepta in alveum aqua haud multo post iterum restagnavit, itaque omnia corrupit semina, quae terrae commissa fuerant per illam temporis inter-

τῆς ξυμφορᾶς ἀμηχανίᾳ πολλῇ εἶχοντο, τῶν δὲ ἄλλων ζῴων ἀπορίᾳ τροφῆς τὰ πλεῖστα ἐφθάρη.

Τότε καὶ τὸ κῆτος, ὃ δὴ Βυζάντιοι πορφυρίωνα ἐκάλουν, ἑάλω. τοῦτό τε τὸ κῆτος πλέον μὲν ἢ ἐς πεντήκοντα ἐνιαυτοὺς τό τε Βυζάντιον καὶ τὰ ἀμφ' αὐτὸ χωρία ἠνώχλει, οὐκ ἐφεξῆς μέντοι, ἀλλὰ διαλεῖπον, ἂν οὕτω τύχοι, πολύν τινα μεταξὺ χρόνον. καὶ πολλὰ μὲν κατέδυσε πλοῖα, πολλῶν δὲ τοὺς ἐπιβάτας ξυνταράττων τε καὶ βιαζόμενον ὡς ἀπωτάτω ἀπήνεγκε. ἐπιμελὲς μὲν οὖν Ἰουστινιανῷ βασιλεῖ ἐγεγόνει τὸ θηρίον τοῦτο χειρώσασθαι, ἐπιτελέσαι δὲ τὸ βούλημα οὐδεμιᾷ μηχανῇ ἔσχεν. ὅπως δὲ τανῦν αὐτὸ ἁλῶναι ξυνέπεσεν, ἐγὼ δηλώσω. ἐτύγχανε μὲν γαλήνη τὴν θάλασσαν πολλὴ ἔχουσα, διελφίνων δὲ πάμπολύ τι πλῆθος ἄγχιστά πη τοῦ στόματος πόντου τοῦ Εὐξείνου ξυνέρρεον. οἵπερ ἐκ τοῦ αἰφνιδίου τὸ κῆτος ἰδόντες ἔφυγον ὡς πη ἑκάστῳ δυνατὰ γέγονεν, οἱ δὲ πλεῖστοι ἀμφὶ τοῦ Σαγγάριδος τὰς ἐκβολὰς ἦλθον. τινὰς μὲν οὖν αὐτῶν καταλαβὸν τὸ κῆτος καταπιεῖν εὐθὺς ἴσχυσεν. εἴτε δὲ πεινῇ εἴτε φιλονεικίᾳ ἔτι ἐχόμενον οὐδέν τι ἧσσον ἐδίωκεν, ἕως δὴ αὐτὸ ἄγχιστά πη τῆς γῆς ἐκπεσὸν ἔλαθεν. ἐνταῦθά τε ἰλὺϊ βαθείᾳ κομιδῇ ἐντυχὸν ἐβιάζετο μὲν καὶ πάντα ἐκίνει, ὅπως δὴ ἐνθένδε ὅτι τάχιστα ἀπαλλάσσοιτο, διαφυγεῖν δὲ τὸ τέναγος τοῦτο οὐδαμῇ εἶχεν, ἀλλ' P 533 B

3. πορφυρίωνα] πορφύριον L. *porfirium* Pers. 4. τε om. L. 6. τύχοι] τύχῃ L. 8. ἀπήνεγκεν Reg. ἐπήνεγκεν P. 10. βούλημα] βούλευμα L. 11. ταυῦν αὐτὸ] αὐτῷ ταυῦν L. αὐτὸ ταυῦν Hm. 13. ξυνέρρεε Reg. ξυνέρρεον L. ξυνέρρεον P. 14. ἔφυγον] ἔφευγον L. 19. τε om. L.

capedinem. Quae insopinata calamitas magnis difficultatibus affecit homines: aliorumque animalium maxima pars interiit, inopia pabuli.

Tunc etiam cetus, quem Porphyrionem appellabant Byzantii, captus est. Cetus hic plus quinquaginta annos Byzantium ac vicinas oras infestavit, haud continenter quidem, sed longa (si fors ita ferret) per intervalla. Naves multas submergebat; multarum vectores violento impetu conturbans longissime dissipabat. Nec Iustinianus Augustus ulla arte exequi poterat, quod urgebat, belluae huius capiendae consilium. Quo tandem modo comprehensa iam fuerit dicam. Erat mare tranquillissimum, cum ad os Ponti Euxini ingens delphinum grex confluxit. Viso repente ceto, quo cuique licuit dilapsi sunt. Ad Sangaris ostia venere plurimi: quorum etsi nonnullos corripuit cetus, ac statim glutiit, nihilominus caeteros persequi instituit, seu fame, seu vincendi studio stimulante, donec ipsum imprudentem suus impetus propius terrae impegit: ubi limum naetus altissimum, vim adhibuit, ac nihil non egit, quo se quamprimum inde expediret. Verum adeo non ex illo tenaci coeno ava-

ξυνηνέχθη ὁμοῦ τοῖς βαρβάροις ἐνταῦθα γενέσθαι νύκτωρ. ὀργῇ δὲ πολλῇ καὶ οὐ προμηθεῖ γνώμῃ ὁ Τωτίλας ἥδη ἐχόμενος τῆς
P 528 ἐκ τοῦ θυμοῦ ἀβελτερίας ἀπώνατο. στράτευμα γὰρ δεκαπλάσιον ἢ τὸ τῶν ἐναντίων ἦν ξὺν αὐτῷ ἔχων. εὐδηλόν τε ὂν ὅτι δὴ τῷ στρατῷ κρεῖσσον ξύμφορόν ἐστιν ἐκ τοῦ ἐμφανοῦς διαμάχεσθαι, καὶ διὰ τοῦτο χρὴ μᾶλλον αὐτὸν ὄρθρου τοῖς πολεμίοις ἐς χεῖρας ἰέναι, ὡς μὴ ἐν σκότῳ διαλαθεῖν δυνατοὶ εἶεν, τοῦτο
V 153 μὲν ὡς ἥκιστα ἐφυλάξατο· ἢ γὰρ ἅπαντας σαγηνεύσας εὐθὺς ἂν τοὺς ἐναντίους εἶλεν· ἀλλὰ τῷ θυμῷ χαριζόμενος ἀωρὶ τῶν νυκτῶν ἐπέστη τῷ τῶν πολεμίων στρατῷ. καὶ αὐτῶν οὐδεὶς μὲν τὸ παράπαν ἐς ἀλκὴν εἶδεν, ἐπεὶ καὶ οἱ πλεῖστοι ἔτι ἐκάθευδον, οὐ μέντοι ἀνελεῖν πολλοὺς δεδύνηνται Γότθοι, ἀλλὰ ἀναστάντες
B οἱ πλεῖστοι ἅτε ἐν σκότῳ διαλαθεῖν ἴσχυσαν. ἔξω δὲ τοῦ στρατοπέδου γενόμενοι ἐς τὰ ὄρη, ἅπερ ἄγχιστά πη πολλὰ ἀνέχει, ἀναδραμόντες ἐσώθησαν. ἐν τοῖς Ἰωάννης τε αὐτὸς ἦν καὶ Ἄρουφος ὁ τῶν Ἐρούλων ἡγούμενος. ἀπέθανον δὲ Ῥωμαῖοι ἐς ἑκατὸν μάλιστα. ἦν δέ τις ξὺν τῷ Ἰωάννῃ Γιλάκιος ὄνομα, Ἀρμένιος γένος, ὀλίγων τινῶν Ἀρμενίων ἄρχων. οὗτος ὁ Γιλάκιος οὔτε ἑλληνίζειν ἠπίστατο οὔτε Λατίνην ἢ Γοτθικὴν ἢ ἄλλην τινὰ ἢ Ἀρμενίαν μόνην ἀφεῖναι φωνήν. τούτῳ δὴ Γότθοι ἐντυχόντες τινὲς ἐπυνθάνοντο ὅστις ποτὲ εἴη. κτεῖναι γὰρ τὸν παραπίπτοντα οὐδαμῇ ἤθελον, ὡς μὴ ἀλλήλους διαφθείρειν ἐν νυκτομαχίᾳ, ὡς

3. ἀβελτερίας] Vulgo ἀβελτηρίας. 4. αὐτῷ] αὐτῷ L. 6. καὶ διὰ τοῦτο χρὴ] διόν τε Reg. ibid. αὐτὸν] αὐτῷ Reg. 8. ἢ L. ἢ P. ibid. ἂν in marg. habet L. 13. τοῦ om. L. 15. τοῖς] οἷς L. 16. ὁ τῶν] ὁ om. L.

forte noctu pervenere cum Barbaris. Iam Totilas vehementi ira, non consilio ductus, stulti illius impetus animi fructum cepit. Cum enim exercitum decuplo maiorem hostico haberet, neque obscurum esset expedire validioribus copiis luce et palam pugnare, ac proinde rem poscere ut hostes diluculo adoriretur, ne in tenebris latere possent: id ille minime observavit: alioqui videlicet hostes ad unum omnes cepisset indagine: sed iracundiae indulgens nocte intempesta illos invasit. Eorum nemo prorsus se intendit ad firmitatem: quippe quod plerosque adhuc somnus complecteretur. Nec tamen Gotthi multam caedem fecerunt: at longe plurimos stratis excitos ita nox texit, ut egressi castris, in montes, qui magno numero proxime se attollunt, cursu evaserint. In his fuere Ioannes Eruloruмque Dux Arufus: desiderati sunt Romani sommum centum. Erat cum Ioanne Gilacius, natione Armenius, popularium aliquot suorum ductor; qui nec Graeca, nec Latina, nec Gotthica, nec alia quapiam lingua, nisi Armenia loqui sciebat. In eum quidam Gotthi cum incidissent, rogarunt, quis esset? Nam obvium quemque interficere nolebant, ne, quod in nocturno certamine proclive erat, mu-

τὸ εἰκὸς, ἀναγκάζοιντο. ὁ δὲ αὐτοῖς ἄλλο οὐδὲν ἀποκρίνασθαι ἔσχυσε πλήν γε δὴ ὅτι Γιλάκιός στρατηγὸς εἴη. τὸ γὰρ ἀξίωμα, C ὃ δὴ πρὸς βασιλέως λαβὼν ἔτυχε πολλάκις ἀκούσας ἐκμαθεῖν ἔσχυσε. ταύτῃ τοίνυν οἱ βάρβαροι αἰσθόμενοι ὅτι δὴ πολέμιος εἴη, ἐν μὲν τῷ παρόντι ἐζώγρησαν, οὐ πολλῷ δὲ ὕστερον τὸν ἄνθρωπον διεχρήσαντο. Ἰωάννης μὲν οὖν καὶ Ἄρουφος ξὺν τοῖς ἑπομένοις ἔφυγόν τε πάσῃ δυνάμει καὶ ἐς τὸν Ἀρυοῦντα δρόμῳ ἀφίκοντο, Γότθοι δὲ τὸ Ῥωμαίων στρατόπεδον λησάμενοι ἀπεχώρησαν.

κζ'. Τὰ μὲν οὖν ἐν Ἰταλιώταις στρατόπεδα τῇδε ἐχώρησαν. βασιλεὺς δὲ Ἰουστινιανὸς στράτευμα πέμπειν ἄλλο ἐπὶ Γότθους καὶ Τωτίλαν ἔγνω, γράμμασι τοῖς Βελισαρίου ἡγμένος, ἐπεὶ αὐτὸς ἐς τοῦτο ἐνῆγε, τὰ παρόντα σφίσι πολλάκις σημήνας. πρῶτα μὲν οὖν Πακούριόν τε τὸν Περσαρμενίου καὶ Σέργιον τὸν Σολόμωνος ἀδελφιδοῦν ξὺν ὀλίγοις τισὶν ἔπεμψεν. οἱ δὲ εἰς Ἰταλίαν ἀφικόμενοι τῷ ἄλλῳ στρατῷ αὐτίκα ξυνέμιξαν. μετὰ δὲ P 529
Βῆρόν τε ξὺν Ἐρούλοις τριακοσίοις στέλλει καὶ Οὐαράζην Ἀρμένιον γένος ξὺν ὀκτακοσίοις στρατιώταις, Βαλεριανόν τε τὸν τῶν Ἀρμενίων στρατηγὸν ἐνθένδε ἀναστήσας ξὺν τοῖς ἑπομένοις δορυφόροις τε καὶ ὑπασπισταῖς πλέον ἢ χιλίοις οὖσιν ἐς Ἰταλίαν ἐκέλευεν ἰέναι. Βῆρος οὖν πρῶτος Ἀρυοῦντι προσχὼν καὶ τὰς H 296

1. ἀναγκάζοιντο Reg. Vulgo ἀναγκάζονται. *ibid.* ἀποκρίνασθαι L. Vulgo ἀποκρίνεσθαι. 2. ἔσχυσε, πλήν γε δὴ ὅτι] ἔσχυσεν, ὅτι μὴ Reg. 4. ἔσχυσε] ἔσχε L. 7. ἔφυγον] ἔφευγον L. 10. ἐχώρησαν] ἐφέροντο Reg. 14. Παπούριον] βαπούριον HL. *Bacuuius* apud Pers. 17. στέλλει post ὀκτακοσίοις habet L. 18. ὀκτακοσίοις L et Pers. Vulgo ὀγδοήκοντα.

tuis conficere se vulneribus cogerentur. Ille unum hoc ipsis respondere potuit, esse se Gilacium Ducem: scilicet didicerat auditum saepe nomen dignitatis, qua ab Imperatore ornatus fuerat. Hinc Barbari cum hostem esse intelligentes, tum quidem vivum ceperunt; at paulo post vita spoliarunt. Ioannes et Arufus contentissima fuga Hydruntem cum suis se receperunt: Gotthi, direptis Romanorum castris, discesserunt.

27. Sic res militaris in Italia se habebat: Iustinianus vero Augustus adversus Gotthos ac Totilam alias mittendi copias consilium ceperat ex litteris Belisarii; qui ipsum ad hoc impulerat, rerum statu persaepe significato. Ac primum Pacurium Peranii filium, et Sergium, Salomonis ex fratre nepotem, cum paucis misit: qui cum Italiam attigissent, reliquo exercitui statim se miscuerunt. Deinde Verum cum Erulis trecentis, et Varazem Armenium cum militibus octoginta, ipsumque adeo Valerianum, Magistrum militum per Armenias, inde amotum cum Hastatis Scutatisque Protectoribus suis plus mille, in Italiam proficisci iussit. Verus Hydruntem primus appulit, ibique relictis navibus, in castris

ναῦς ἐνταῦθα ἀφεὶς μένειν μὲν αὐτοῦ οὐδαμῇ ἤθελεν, οὗ δὴ καὶ τὸ Ἰωάννου στρατόπεδον ἦν, ἱππεύων δὲ ξὺν τοῖς ἀμφ' αὐτὸν πρόσθεν ἦει. ἦν γὰρ οὗτος ἀνὴρ οὐ κατισπουδασμένος, ἀλλὰ μέθης νόσῳ ἀνειμένος ἐκ τοῦ ἐπὶ πλεῖστον, καὶ ἀπ' αὐτοῦ θράσει ἀπερισκέπτως ἐς ἀεὶ εἶχετο. ἐπεὶ δὲ ἄγχιστά πη πόλεως Βρεν-
B τεσίου ἀφίκοντο, αὐτοῦ ἐνστρατοπεδευσάμενοι ἔμενον. ἅπερ ὁ Τωτίλας μαθὼν „Ὁ Βῆρος δυοῖν" ἔφη „τὸ ἕτερον· ἢ δυνάμει μεγάλῃ χρῆται, ἢ ἀπονοίᾳ πολλῇ ἔχεται. ἴωμεν τοίνυν ἐπ' αὐτὸν αὐτίκα δὴ μάλα, ὅπως ἢ τῆς δυνάμεως ἀπόπειραν ποιησώμεθα τοῦ ἀνθρώπου, ἢ τῆς ἀνοίας ἐκεῖνος τῆς αὑτοῦ αἴσθηται." ὁ μὲν οὖν Τωτίλας ταῦτα εἰπὼν στρατῷ πολλῷ ἐπ' αὐτὸν ἦει, Ἔρουλοι δὲ παρόντας ἤδη κατιδόντες τοὺς πολεμίους κατέφυγον ἐς ὕλην τινὰ ἐγγύς πη οὖσαν. κυκλώσαντές τε αὐτοὺς οἱ πολέμιοι πλέον μὲν ἢ διακοσίους διέφθειραν, ἔμελλον δὲ Βῆρόν τε αὐτὸν καὶ τοὺς λειπομένους ἐς τὰς ἀκάνθας κρυπτομένους
C χειρώσασθαι, ἀλλὰ τύχη τις αὐτοῖς ξυμβᾶσα διεσώσατο ἐκ τοῦ παραδόξου. νῆες γὰρ, ἐν αἷς ὅ τε Οὐαράζης καὶ οἱ ξὺν αὐτῷ Ἀρμένιοι ἔπλεον, ἄφνω ἐς τὴν ἐκείνῃ ἀκτὴν κατῆραν. ὅπερ ἐπεὶ ὁ Τωτίλας εἶδε, πλείονα ἢπερ ἦν ὑποτοπάζων εἶναι τὸν τῶν πολεμίων στρατὸν ἄρας αὐτίκα ἐνθένδε ἀπήλαυνεν, οἵ τε ἀμφὶ τὸν
V 154 Βῆρον ἅσμενοι ἐς τὰς ναῦς δρόμῳ ἀφίκοντο. ὅ τε Οὐαράζης πλεῖν μὲν ἐπίπροσθεν οὐκέτι ἔγνω, ἐς δὲ τὸν Τάραντα ξὺν αὐτοῖς

2. τὸ Ἰωάννου] τοῦ ἰωάννου τὸ L. 8. ἀπονοίᾳ] ἀνοίᾳ Reg. 9. ἀπόπειραν ποιησώμεθα] ἀποπειρασώμεθα Reg. 10. τοῦ om. L. 15. αὐτόν] αὐτοῦ L a pr. m. 18. ἄφνω] ἄφνω Hm. 19. τὸν τῶν om. L.

Ioannis manere noluit: at cum suis equitans porro perrexit. Erat hic vir ingenio levi, maxime ebriosus, et ea re semper plenus inconsideratissimae temeritatis. Cum proxime urbem Brundusium castra fixissent, hac de re certior factus Totilas, *Horum*, inquit, *altero praeditus sit Verus necesse est, vel magnis viribus, vel amentia singulari. Cum igitur actutum petamus: ut vel virium suarum faciamus periculum, vel amentiam ipse suam agnoscat.* Sic fatus Totilas, validas contra illum copias ducit: quas ut iam adesse viderunt Eruli, in nemus vicinum confugerunt. Gotthi facta indagine, amplius ducentos conciderunt: iamque ipsum Verum ac reliquos in sentibus abditos capturi erant, cum salutem illis casus inopinatus attulit. Repente enim naves, quibus Varazes et qui cum ipso erant Armenii vehebantur, ad littus proximum appulsae sunt. Quo Totilas viso, maiorem, quam esset, exercitum adesse ratus, inde protinus abscessit. Tum qui Vero supererant, in naves cursu libenter se coniecerunt. Statuit Varazes non ultra tendere: at cum illis Ta-

ἦλθεν, οὗ δὴ καὶ Ἰωάννης ὁ Βιταλιανοῦ παντὶ τῷ στρατῷ ἀφίκετο οὐ πολλῷ ὕστερον. ταῦτα μὲν οὖν τῇδε ἐχώρησε.

Βελισαρίῳ δὲ βασιλεὺς ἔγραψεν ὅτι δή που πολλὴν αὐτῷ στρατιὰν πέμψειεν, οἵσπερ αὐτὸν δεῖ ἐν Καλαβρίᾳ ξυμμίξαντα τοῖς πολεμίοις ὁμόσε ἰέναι. ἤδη δὲ καὶ Βαλεριανὸς ἄγχιστα κόλπου τοῦ Ἰονίου ἥκων διαπορθμεύεσθαι μὲν ᾤετό οἱ ἔν γε τῷ παρόντι ἀξύμφορον εἶναι. στρατιώταις τε γὰρ καὶ ἵπποις ἐς ἐκεῖνο τοῦ καιροῦ τὰ ἐπιτήδεια οὐκ ἂν ἐπαρκέσειν, ἐπεὶ ἀμφὶ τροπὰς χειμερινὰς ἦν. τριακοσίους δὲ τῶν αὐτῷ ἑπομένων Ἰωάννῃ πέμψας ὡμολόγησε διαχειμάσας ἅμα ἦρι ἀρχομένῳ καὶ αὐτὸς ἥξειν. Βελισάριος οὖν, ἐπειδὴ τὰ βασιλέως ἀνελέξατο γράμματα, ἐννακοσίους ἀριστίνδην ἀπολεξάμενος, ἱππεῖς μὲν ἑπτακοσίους, πεζοὺς δὲ διακοσίους, τούς τε λοιποὺς ἅπαντας ἐς φυλακὴν τῆς ἐκείνῃ χώρας καταστησάμενος, ἄρχοντά τε αὐτοῖς Κώνωνα ἐπιστήσας ἐπὶ Σικελίας αὐτίκα ἔφη πλεῖν. ἔνθεν τε ἀνήγετο, καταίρειν διανοούμενος ἐς τὸν Ταραντῖνον λιμένα, ἐν ἀριστερᾷ P 530 ἔχων τὸν Σκύλαιον καλούμενον χῶρον, ἐφ' οὗ δὴ τὴν Σκύλλαν οἱ ποιηταὶ γεγενῆσθαί φασιν, οὐχ ὅτι ταύτῃ πη τὸ θηριῶδες γύ-

8. που om. L. 4. δεῖ] δεῖν L. 6. ἥκων] ἧκεν L. *ibid.* διαπορθμεύεσθαι] διαπορθμεύσασθαι L. 8. οὐκ] οὐδ' L. *ibid.* ἐπαρκέσειν] ἐπαρκέσων L a pr. m. ἐπαρέσκειν H. 12. ἐννακοσίους] ἐνακοσίους L. *ibid.* ἀριστίνδην L. ἀριστείνδην P. 13. ἐς φυλακὴν] φυλακῇ Reg. 14. Κώνωνα] κόνωνα P. 15. ἔφη πλεῖν] ἔπλει Reg. *ibid.* ἔνθεν τε ἀνήγετο] ἐνθένδε ἀνηγάγετο Reg. 16. Ταραντῖνον] ταραντινὸν P. παραντινῶν (sic) L. 17. τὸν — χῶρον Reg. τὸ — χωρίον Reg. *ibid.* Σκύλλαν] σκύλαν L. Et sic fortasse Σκύλαιον pro Σκύλλαιον ab librariis positum est.

rentum petiit: quo Ioannes Vitaliani nepos cum omnibus copiis paulo post venit. Haec ibi.

Imperator autem Belisario scripsit, missum a se numerosum exercitum, cui ipsum adiungere se in Calabria, hostesque invadere oporteret. Iam Valerianus, ad sinum Ionium progressus, alienum a suis rationibus censuit tum traiicere: eo quod tali tempestate, nimirum circiter brumale solstitium, nec militibus, nec equis commeatus suffecturi essent. E suis trecentos ad Ioannem mittere satis habens, se quoque, postquam hibernasset, primo vere venturum recepit. Belisarius, lectis Augusti litteris, e robore exercitus nongentos delegit sibi, equites videlicet DCC. ac CC. pedites: caeteris omnibus ad illius tractus custodiam relictis, Cononem praefecit, seque in Siciliam navigare tunc dixit. Mox inde solvit, in portum Tarentinum cogitans, praeterito a laeva Scylaeo, ut vocant, oppido: ubi Poetae Scyllam fuisse perhibent: non quod eo loci mulier specie ferina, quemadmodum nugantur, extiterit, sed quia quon-

ναιον, ὡς ἐκεῖνοι λέγουσιν, ἦν, ἀλλ' ὅτι σκυλάκων μέγα τι χρῆμα, οὕσπερ κυνίσκους ταυῦν καλοῦσιν, ἐνταῦθα τοῦ πορθμοῦ ἐκ παλαιοῦ τε καὶ ἐς ἐμὲ ξυμβαίνει εἶναι. τὰ γὰρ ὀνόματα τοῖς πράγμασιν ἀρχὴν μὲν εἰκότα ἐς ἀεὶ γίνεται, ἡ δὲ φήμη αὐτὰ περιαγαγοῦσα ἐς ἄλλους ἀνθρώπους τινὸς δόξας οὐκ ὀρθὰς ἀγνοίᾳ τῶν ἀληθινῶν ἐνταῦθα ποιεῖται. καὶ προϊὼν ὁ χρόνος ὡς ἰσχυ-
B ρὸς μέν τις δημιουργὸς αὐτίκα τοῦ μύθου καθίσταται, μάρτυρας δὲ τῶν οὐ γεγονότων τοὺς ποιητὰς ἔξουσίᾳ τῆς τέχνης, ὡς τὸ εἰκὸς, ἑταιρίζεται. ταῦτά τοι ἐκ παλαιοῦ μὲν ὠνόμασαν ἐπιχώριοι κυνὸς κεφαλὴν ἄκραν τὴν μίαν Κερκύρας τῆς νήσου, ἣ πρὸς ἀνίσχοντα ἥλιόν ἐστιν, ἄλλοι δὲ ἀπ' αὐτοῦ κυνοκεφάλους τινὰς εἶναι βούλονται τοὺς τῇδε ἀνθρώπους. ἀλλὰ καὶ λυκοκρανίτας καλοῦσι τῶν Πισιδῶν τινας, οὐχ ὅτι λύκων κεφαλὰς ἔχουσιν, ἀλλ' ὅτι λύκου κράνος τὸ ὄρος ἐκλήθη, ὃ ταύτῃ ἀνίσχει. ἀλλὰ ταῦτα μὲν ὅπῃ ἑκάστῳ βουλομένῳ εἴη ταύτῃ δοκείτω τε καὶ λεγέσθω. ἐγὼ δὲ ὅθενπερ ἐξέβην ἐπάνειμι.

C κη'. Βελισάριος μὲν οὖν εὐθὺ ἴέναι τοῦ Τάραντος ἐν σπουδῇ εἶχεν. ἔστι δέ τις ἀκτὴ μηνοειδὴς ἐνταῦθα, οὗ δὴ τῆς

1. ὡς ἐκεῖνοι λέγουσιν Reg. ὥσπερ λέγουσιν P. *ibid.* σκυλάκων] ὁμοιώματα σκυλάκων Lm. *ibid.* μέγα τι χρῆμα] μεγάλων Reg. 2. οὕσπερ] ἅπερ H. 4. εἰκότα ἐς ἀεὶ] εἰκότως ἀεὶ Reg. 6. ὁ χρόνος] οὗτος ὁ χρόνος H. οὗτος L. *ibid.* ὡς om. L. 7. καθίσταται P et Reg. καθέστηται H. 9. τοι] τε L. 11. δὲ om. L. 14. κράνος Reg. κράνα P. 15. ὅπῃ] ὅπως H. *ibid.* δοκείτω] δοκήτω HP. 17. ἐνθὺ L corr. Vulgo εὐθύς. *ibid.* ἐν σπουδῇ] ἐμποδὼν H: illud Hm.

dam, hodieque in ea freti parte degit vis magna *σκυλάκων* seu canum, piscium, quos iam catulos appellant. Principio quidem consentanea rebus nomina imponi solent: sed fama, dum illa apud alios circumfert homines, in eorum animis, veri ignoratione, errores parit: atque ita procedens tempus continuo firmus fabulae evadit artifex; ac Poetas, testes rerum, quae nunquam fuerunt, pro licentia illorum arti concessa, sibi convenienter asciscit. Ad hunc modum, quia quondam Coreyrae insulae promontorium, quod ad orientem Solem spectat, indigenae Canis caput appellaverunt, contendunt alii illic homines degere, qui caput caninum habeant. Praeterea Pisidas quosdam nonnulli Lycocranitas ideo vocant, quia regionis illius mons *λύκου κράνα*, sive Lupi caput dicitur; minime vero quod sint incolis lupina capita. Sed de his arbitratu quisque suo et sentiat et loquatur: ego vero unde sum digressus, eo me refero.

28. Ergo Belisarius Tarentum quamprimum appellere satagebat. Est autem in illis partibus lunatum littus; cuius recessu, tanquam sinu,

ἠόνος ὑποχωρούσης ἡ θάλασσα ὥσπερ ἐν κόλπῳ ἐπὶ πλεῖστον τῆς γῆς ἀναβαίνει. καὶ ὁ μὲν τῆς ἀκτῆς διάπλους ἅπας ἐς χιλίους σταδίους διήκει, ἑκατέρωθι δὲ παρὰ τοῦ ῥεύματος τὴν ἐκβολὴν H 297
κεῖται πολίσματα δύο· θάτερον μὲν ὁ Κρότων πρὸς δύοντά που τὸν ἥλιον, ὁ Τάρας δὲ πρὸς ἀνίσχοντα. κατὰ δὲ τῆς ἠόνος τὸ μέσον Θουρίων ἡ πόλις οἰκεῖται. τοῦ δὲ χειμῶνος ἀντιστατοῦντος καὶ τοῦ πνεύματος ξὺν πολλῷ ῥοθίῳ βιαζομένου, περαιτέρω D
δὲ τὰς ναῦς ἰέναι οὐδαμῇ ἐφιέντος, τῷ Κροτωνιατῶν λιμένι προσέσχον. Βελισάριος οὖν, ἐπεὶ οὔτε τι ὀχύρωμα ἐνταῦθα εὗρεν οὔτε τοῖς στρατιώταις ὅθεν ἂν τὰ ἐπιτήδεια ἐσκομίζοιντο εἶχεν, αὐτὸς μὲν ξύν τε τῇ γυναικὶ καὶ τοῖς πεζοῖς αὐτοῦ ἔμεινεν, ὅπως ἐνθένδε μεταπέμπεσθαί τε καὶ διέπειν τὸ ξὺν τῷ Ἰωάννῃ στράτευμα δύνηται. τοὺς δὲ ἱππεῖς ἅπαντας ἐπίπροσθεν ἐκ- P 531
λινεν ἰόντας στρατοπεδεύεσθαι παρὰ τὰς τῆς χώρας εἰσόδους, Φάζαν τε τὸν Ἴβηρα καὶ Βαρβατίωνα τὸν δορυφόρον αὐτοῖς ἐπιστήσας. οὕτω γὰρ αὐτοῖς ῥᾷστα ᾤετο σφίσι μὲν καὶ ἵπποις τοῖς σφετέροις τὰ ἐπιτήδεια πάντα πορίζεσθαι, τοὺς δὲ πολεμίους ἐν στενοχωρίᾳ, ὡς τὸ εἰκός, ἀποκρούεσθαι δυνατοὺς ἔσεσθαι. τὰ V 155
γὰρ Λευκανῶν ὄρη μέχρι ἐς Βρυτίους διήκοντα καὶ πρὸς ἄλληλα ἐν στενῷ ξυνιόντα δύο μόνον εἰσόδους στενὰς μάλιστα ἐνταῦθα ποιεῖται, ὧν ἀτέρα μὲν πέτρα αἵματος τῇ Λατίνων φωνῇ κέκλη-

1. ἠόνος] ἠιόνος L. 2. ἀκτῆς] ἀκτῆς ταύτης L. 5. τῆς ἠόνος τὸ μέσον] τὸ μέσον τῆς ἠιόνος L. 9. οὔτε—οὔτε] οὐδὲ—οὐδὲ P. 10. ἐσκομίζοιντο] ἐσκομίζετο L, οι a m. sec. 12. ἐνθένδε] ἐνθάδε Pm. 18. ἀποκρούεσθαι] ἀποκρούσεσθαι Hm. 19. Βρυτίους] Βριτίους P. *Brutios* Pers. 20. μόνον] μόνας L.

exceptum mare, longissime in continentem infunditur. Patet illius orae transmissio stadia mille. Extremis duobus, ubi insinuatio maris incipit desinitque, duo adiacent oppida: quorum alterum, Croto, ad Solem occidentem spectat; alterum, Tarentum, ad Orientem: Thuriorum urbs medium littus obtinet. Adversa in eo tractu tempestate, et venti cum fluctibus graviter luctantis vi represso navium cursu, ad Crotoniatarum portum applicuerunt. Ibi nec munitionem ullam, nec militis alendi copiam nactus Belisarius, ipse quidem eo loci substitit cum uxore et peditatu, ut eo evocare Ioannis exercitum, et ordinare posset: equites vero omnes procedere longius, et castra metari iussit ad regionis illius fauces, ductu Phazae Iberis, et Barbationis Protectoris. Sic enim factum iri putabat, ut sibi ac suis equis omnis generis commeatus nulle negotio providerent, possentque procul dubio hostem repellere in angustiis. Etenim Lucaniae montes ad agrum usque Brutium porrecti, ita arcto in spatio coëant, ut duos tantum aditus angustissimos illic praebeant: quorum alter Petra sanguinis Latine dicitur, alterum indigenae Labulam

ται, Λαβούλλαν δὲ τὴν ἑτέραν καλεῖν οἱ ἐπιχώριοι νενομίκασιν. ἐνταῦθα μὲν παρὰ τὴν ἀκτὴν Ῥουσκία ἐστὶ τὸ Θουρίων ἐπίνειον, ὑπερθεν δὲ αὐτοῦ ὅσον ἀπὸ σταδίων ἑξήκοντα φρούριον ἐχυρώτατον ἐδείμαντο οἱ πάλαι Ῥωμαῖοι. ὅπερ Ἰωάννης οὐ πολλῷ πρότερον καταλαβὼν ἔτυχε, φρουράν τε λόγου ἀξίαν ἐκείνῃ καταστησάμενος.

Οἱ μὲν οὖν Βελισαρίου στρατιῶται ἐνταῦθά πη ἰόντες πολεμίων στρατεύματι ἐντυγχάνουσιν. οὕσπερ ὁ Τωτίλας ἔπεμψεν, ἐφ' ᾧ ἀποπειράσονται τοῦ τῇδε φρουρίου. ἐς χεῖρας δὲ αὐτοῖς αὐτίκα ἐλθόντες ἀρετῇ τε πόνῳ οὐδενὶ ἔτρεψαν, καίπερ αὐτῶν τῷ πλήθει παρὰ πολὺ ἐλασσούμενοι, καὶ πλέον ἢ διακοσίους διέφθειραν. οἱ δὲ λοιποὶ φεύγοντες παρὰ Τωτίλαν τε ἀφίκοντο καὶ τὰ ξυμπεσόντα πάντα ἐσήγγελλον, οἵ τε Ῥωμαῖοι αὐτοῦ ἐνστρατοπεδευσάμενοι ἔμενον. ἅτε δὲ ἄναρχοι καὶ νενικηκότες ἀδεέστερον τῇ διαίτῃ ἐχρῶντο. οὔτε γὰρ ἀγηγερμένοι ἡσύχαζον οὔτε ἄγχιστα τῆς στενοχωρίας ἐγκαθεζόμενοι τὰς εἰσόδους ἐφύλασσον, ἀλλ' ἐς ὀλιγωρίαν τραπόμενοι νύκτωρ μὲν ὡς ἀπωτάτω ἀλλήλων διεσκηνημένοι ἐκάθευδον, ἐν δὲ δὴ τῇ ἡμέρᾳ τὰ ἐπιτήδεια διερευνώμενοι περιήρχοντο, οὔτε τινὰς ἐπὶ κατασκοπῇ στείλαντες οὔτε ἄλλο ὁτιοῦν ἀσφαλείας πέρι βεβουλευμένοι. Τωτίλας οὖν, ἐπειδὴ ἐπύθετο ἅπαντα, ἐς τρισχιλίους ἱππεῖς τοῦ

1. Λαβούλλαν] λαβούλαν L. Lambulam Pers. 3. ἐχυρώτατον] ὀχυρώτατον Reg. 4 οὐ om. HL. 5. καταλαβὼν] λαβὼν L. 10. πόνῳ οὐδενὶ] οὐδενὶ πόνῳ L. 11. αὐτῶν L. αὐτῷ P. 18. ἡμέρᾳ] ἡμετέρᾳ L. 19. οὔτε — οὔτε] οὐδέ — οὐδὲ P. 20 πέρι βεβουλευμένοι L. περιβεβουλευμένοι P. 21. ἐπύθετο] ἐπείθετο L.

vocare solent. Est in eo littore Ruscia, Thuriorum navale: ultra vero, stadiorum circiter LX. interiecto spatio, Romani veteres castellum validissimum condiderunt: quo paulo ante potitus Ioannes, egregium illic praesidium constituerat.

Eo provecti Belisarii milites, in hostiles copias inciderunt, quas Totilas miserat, ut castellum illud tentarent. Repente collata manu, quamvis numero longe essent inferiores, facile tamen virtute sua fuderunt Barbaros, et amplius ducentos interfecerunt. Reliqui ad Totilam fuga reduces, quae acciderant, panduut ordine: Romani, castris ibi positis, stativa habent. Iam absentia Ducis, suaque abusi victoria, solutius agere ceperunt. Neque enim collecti locum tenebant, neque ad montium fauces metati, illas servabant: at per summam negligentiam noctu in tentoriis rarissime sparsis somnum capiebant; de die palabantur, perquirentes cibaria, nullis circa viciniam dimissis exploratoribus, neque ulla alia cautione adhibita. Quae cum Totilas plane comperisset,

παντὸς στρατοπέδου ἀπολεξάμενος ἐπὶ τοὺς πολεμίους ἦει. καὶ αὐτοῖς ἀπροσδοκήτως ἐπιπεσὼν οὐ ξυντεταγμένοις, ἀλλ' οὕτω D περιοῦσιν, ὥσπερ εἴρηται, κατέπληξέ τε καὶ ξυνετάραξεν ἅπαντας. ἐνταῦθα Φάζας (ἄγχιστα γάρ πη ἐσκηνημένος ἐτύγχανεν) ὑπαντιάσας τοῖς πολεμίοις ἔργα τε ἀρετῆς ἄξια ἐνδειξάμενος, τισὶ μὲν τοῦ διαφυγεῖν αἴτιος γέγονεν, αὐτὸς δὲ ξὺν τοῖς ἀμφ' αὐτὸν ἅπασι θνήσκει. μέγα τε πάθος Ῥωμαίοις τοῦτο ξυνέβη, ἐπὶ ἓς αὐτοὺς, ἅτε διαφέροντας τὰ πολέμια, τὴν ἐλπίδα ξύμπαντες εἶχον. ὅσοι μέντοι φυγεῖν ἴσχυσαν, ὥς πη ἑκάστῳ δυνατὰ γέγονε, διεσώθησαν. πρῶτός τε Βαρβατίων ὁ Βελισαρίου δορυφόρος ξὺν ἑτέροις δυσὶ φεύγων ἀνὰ κράτος ἐς τὸν Κρότωνα ἦλθε. καὶ τύχην τὴν παροῦσαν ἀπαγγέλλων ἐπεῖπεν οἴεσθαι αὐτίκα δὴ μάλα καὶ τοὺς βαρβάρους παρέσεσθαι. Βελισάριος δὲ ταῦτα P 532 ἀκούσας ἔν τε μεγάλῳ πένθει ἐγίνετο καὶ ἐς τὰς ναῦς ἐσεπήδησεν. ἔνθεν τε ἄραντες καὶ πνεύματος ἐπιτυχόντες ἐκείνῃ τῇ ἡμέρᾳ τῇ τῆς Σικελίας Μεσσήνῃ προσέσχον, ἣ τοῦ μὲν Κρότωνος ἑπτακοσίους σταδίους διέχει, Ῥηγίνων δὲ κατωτέρω κεῖται.

κθ'. Ὑπὸ τοῦτον τὸν χρόνον Σκλαβηνῶν στράτευμα διαβάντες ποταμὸν Ἴστρον Ἰλλυριοὺς ἅπαντας ἄχρι Ἐπιδαμνίων B ἔδρασαν ἀνήκεστα ἔργα, κτείνοντες καὶ ἀνδραποδίζοντες τοὺς ἐν ποσὶν ἡβηδὸν ἅπαντας καὶ τὰ χρήματα ληιζόμενοι. ἤδη δὲ καὶ

2. ἀπροσδοκήτως ἐπιπεσὼν] ἐπιπεσὼν ἀπροσδοκήτως L. 3. περιοῦσιν] περιοῦσιν L. 4. γάρ om. H: habet Hm. *ibid.* ἐσκηνημένος] ἐσκηνωμένος L. 5. τισὶ] τοῖς L a m. sec. 7. πάθος L. πένθος P. 10. ὁ om. L. 11. δυσὶ L. δυοῖν P. 13. καὶ τοὺς βαρβάρους om. L. 15. ἔνθεν τε] ἐνθένδε L. *ibid.* τῇ τῆς om. L. 16. Μεσσήνῃ] μεσήνῃ L. μεσίνῃ L.

delectis ex universo exercitu tribus equitum millibus, in hostes tendit, eosque inordinatos, et ita, ut dictum est, palantes adortus ex improviso, perculit, turbavitque omnes. Tum Phazas e proximo, ubi tetenderat, obvium se ferens hosti, et viro forti digna edens facinora, nonnullis evadendi spatium dedit: at cum omnibus, qui ipsum stipabant, occubuit. Magnum casus hic damnum luctumque Romanis attulit, quorum communis spes in viris illis bellicosissimis residebat. Eorum, qui se subduxerunt, evasit quisque quocunque potuit. Primus Barbatio, Belisarii Protector, cum duobus aliis incitatissimo cursu Crotonem venit, quo res loco sint docet, ac sibi videri asserit Barbaros continuo affore. His Belisarius auditis, gravissime dolens, classem properę conscendit. Inde cum solvissent, secundo vento, eadem die Messenam appulerunt: quae urbs Siciliae contra Rhegium sita, stadiis DCC. Crotone distat.

29. Sub idem tempus, Sclavenorum copiae, traiecto Istro flumine, totum Illyricum, Epidamnum usque, foede vastarunt: obvios quosque sine ullo aetatis discrimine, partim mactantes morte, partim abducentes in servitutem, ac pecuniis spoliantes. Castella quoque regionis illius

φρούρια ἐνταῦθα πολλά τε καὶ δοκοῦντα ἐχυρὰ τὰ πρότερα εἶναι οὐδενὸς ἀμυνομένου ἐξελεῖν ἴσχυσαν, περιόντες ξύμπαντα κατ' ἐξουσίαν καὶ διερευνώμενοι. οἱ δὲ τῶν Ἰλλυριῶν ἄρχοντες στράτευμα πεντακισχιλίων τε καὶ μυρίων ἔχοντες εἶπόντο, ἄγχιστα
H 298 μέντοι τῶν πολεμίων οὐδαμῇ ἐτόλμων ἰέναι. τότε δὲ καὶ σεισμοὶ πολλάκις χειμῶνος ὥρᾳ σκληροί τε λίαν καὶ ὑπερφυεῖς ἔν τε
C Βυζαντίῳ καὶ χωρίοις ἄλλοις ἐγένοντο, νύκτωρ ἅπαντες. καὶ οἱ μὲν ταύτῃ ᾠκημένοι καταχωσθήσεσθαι ὑποτοπήσαντες ἐν δέει με-
V 156 γάλῳ ἐγένοντο, οὐδὲν μέντοι ἐνθένδε φλαῦρον αὐτοῖς ξυνηνέχθη παθεῖν. τότε καὶ Νεῖλος ὁ ποταμὸς ὑπὲρ ὀκτωκαίδεκα πήχεις ἀναβὰς ἐπέκλυσε μὲν τὴν Αἴγυπτον καὶ ἤρδευσε πᾶσαν, ἀλλὰ ἐν μὲν Θηβαΐδι τῇ ὕπερθεν οὔσῃ ὑφιζάνοντά τε καὶ ὑπορρέοντα τοῖς καθήκουσι χρόνοις τὰ ὕδατα παρεῖχετο τοῖς τῇδε ᾠκημένοις, σπείρειν τε τὴν γῆν καὶ τῶν ἄλλων ἐπιμελεῖσθαι ἧπερ εἰώθει. χώρας δὲ τῆς ἔνερθεν ἐπειδὴ πρῶτον ἐπεπόλασεν, οὐκέτι ἀπέβη, ἀλλ' ἐνοχλῶν αὐτοῦ ξύμπαντα διαγέγονε τὸν τοῦ σπείρειν καιρὸν,
D οὐ ξυμπεσὸν τοῦτό γε πρότερον ἐκ τοῦ παντὸς χρόνου, ἔστι δὲ οὗ καὶ ἀπολωφῆσαν τὸ ὕδωρ ἐπέκλυσεν αὖθις οὐ πολλῷ ὕστερον. ταύτῃ τε ἅπαντα ἐσεσήπει τὰ σπέρματα, ὅσα δὴ μεταξὺ καταβεβλημένα ἐς τὴν γῆν ἔτυχε. καὶ οἱ μὲν ἄνθρωποι τῷ παραλόγῳ

1. ἐνταῦθα πολλά τε L. πολλά τε ἐνταῦθα P. 2. περιόντες] καὶ περιόντες H. καὶ περιήρχοντο Reg. ibid. ξύμπαντα] ξύμπαν Reg. 3. καὶ om. L. 5. τότε δὲ] τότε δὴ Hm. 8. ᾠκημένοι] ᾠκισμένοι Reg. ibid. καταχωσθήσεσθαι] Vulgo καταχωσθήσεσθαι. καταχωσθησασθαι L. 11. καὶ ἤρδευσε πᾶσαν] οὐκ ἤρδευσε δὲ πᾶσαν H: illud Hm. ibid. ἀλλὰ] ἀλλὰ καὶ H. 12. ὑποῤῥέοντα] ἀποχωροῦντα Reg. 14. τῶν ἄλλων] τὰ ἄλλα L. 17. ξυμπεσὸν] ξυμπεσεῖν H. ξυμπεσὸν Hm. ibid. τοῦ παντὸς χρόνου] παντὸς αἰῶνος Reg.

plurima, quae firma prius videbantur, ceperunt, nemine resistente, ita ut circumcursando impune quovis penetrarent: cum Illyrici Duces, collecto ad XV. M. exercitu sic sequerentur, ut propius ad illos accedere non auderent. Anni hujus hiems crebris, iisque vehementissimis et maxime horribilibus terrae motibus infesta fuit: qui omnes Byzantii aliisque in locis nocte contigerunt, et incolis, obrutum iri se arbitrantibus, gravem attulerunt metum, sine ulla pernicie. Eodem anno inundavit quidem Aegyptum fluvius Nilus, ac totam irrigavit, auctus cubitis amplius XVIII. At cum in superiori Thebaide aquae subsedissent, et *statotempore* intra ripas revocatae, tractus illius incolis dediscent spatium sementem faciendi, et alia curandi ex more; in partibus inferioribus non se collegit effusus amnis: verum ibi infesta mora tempus omne sationis assumpsit: quod post homines natos nunquam contigerat. Alicubi recepta in alveum aqua haud multo post iterum restagnavit, itaque omnia corrupit semina, quae terrae commissa fuerant per illam temporis inter-

τῆς ξυμφορᾶς ἀμηχανίᾳ πολλῇ εἶχοντο, τῶν δὲ ἄλλων ζῴων ἀπορίᾳ τροφῆς τὰ πλεῖστα ἐφθάρη.

Τότε καὶ τὸ κῆτος, ὃ δὴ Βυζάντιοι πορφυρίωνα ἐκάλουν, ἑάλω. τοῦτό τε τὸ κῆτος πλέον μὲν ἢ ἐς πεντήκοντα ἐνιαυτοὺς τό τε Βυζάντιον καὶ τὰ ἀμφ' αὐτὸ χωρία ἠνώχλει, οὐκ ἐφεξῆς μέντοι, ἀλλὰ διαλεῖπον, ἂν οὕτω τύχοι, πολύν τινα μεταξὺ χρόνον. καὶ πολλὰ μὲν κατέδυσε πλοῖα, πολλῶν δὲ τοὺς ἐπιβάτας ξυνταράττων τε καὶ βιαζόμενον ὡς ἀπωτάτω ἀπήνεγκεν. ἐπιμελὲς μὲν οὖν Ἰουστινιανῷ βασιλεῖ ἐγεγόνει τὸ θηρίον τοῦτο χειρώσασθαι, ἐπιτελέσαι δὲ τὸ βούλημα οὐδεμιᾷ μηχανῇ ἔσχεν. ὅπως δὲ τανῦν αὐτὸ ἁλῶναι ξυνέπεσεν, ἐγὼ δηλώσω. ἐτύγχανε μὲν γαλήνη τὴν θάλασσαν πολλὴ ἔχουσα, δελφίνων δὲ πάμπολύ τι πλῆθος ἄγχιστά πη τοῦ στόματος πόντου τοῦ Εὐξείνου ξυνέρρεον. οἵπερ ἐκ τοῦ αἰφνιδίου τὸ κῆτος ἰδόντες ἔφυγον ὡς πη ἑκάστῳ δυνατὰ γέγονεν, οἱ δὲ πλεῖστοι ἀμφὶ τοῦ Σαγγάριδος τὰς ἐκβολὰς ἦλθον. τινὰς μὲν οὖν αὐτῶν καταλαβὸν τὸ κῆτος καταπιεῖν εὐθὺς ἴσχυσεν. εἴτε δὲ πεινῇ εἴτε φιλονεικίᾳ ἔτι ἐχόμενον οὐδέν τι ἧσσον ἐδίωκεν, ἕως δὴ αὐτὸ ἄγχιστά πη τῆς γῆς ἐκπεσὸν ἔλαθεν. ἐνταῦθά τε ἰλὺϊ βαθείᾳ κομιδῇ ἐντυχὸν ἐβιάζετο μὲν καὶ πάντα ἐκίνει, ὅπως δὴ ἐνθένδε ὅτι τάχιστα ἀπαλλάσσοιτο, διαφυγεῖν δὲ τὸ τέναγος τοῦτο οὐδαμῇ εἶχεν, ἀλλ'

P 533

B

3. πορφυρίωνα] πορφύριον L. porfirium Pers. 4. τε om. L. 6. τύχοι] τύχῃ L. 8. ἀπήνεγκεν Reg. ἐπήνεγκεν P. 10. βούλημα] βούλευμα L. 11. τανῦν αὐτὸ] αὐτῷ τανῦν L. αὐτὸ τανῦν Hm. 13. ξυνέρρεε Reg. ξυνέρρεον L. ξυνέρρεον P. 14. ἔφυγον] ἔφευγον L. 19. τε om. L.

capedinem. Quae inopinata calamitas magnis difficultatibus affecit homines: aliorumque animalium maxima pars interiit, inopia pabuli.

Tunc etiam cetus, quem Porphyrionem appellabant Byzantii, captus est. Cetus hic plus quinquaginta annos Byzantium ac vicinas oras infestavit, haud continenter quidem, sed longa (si fors ita ferret) per intervalla. Naves multas submergebat; multarum vectores violento impetu conturbans longissime dissipabat. Nec Iustinianus Augustus ulla arte exequi poterat, quod urgebat, belluae huius capiendae consilium. Quo tandem modo comprehensa iam fuerit dicam. Erat mare tranquillissimum, cum ad os Ponti Euxini ingens delphinum grex confluxit. Viso repente cete, quo cuique licuit dilapsi sunt. Ad Sangaris ostia venere plurimi: quorum etsi nonnullos corripuit cetus, ac statim glutiit, nihilominus caeteros persequi institit, seu fame, seu vincendi studio stimulante, donec ipsum imprudentem suus impetus propius terrae impegit: ubi limum nactus altissimum, vim adhibuit, ac nihil non egit, quo se quamprimum inde expediret. Verum adeo non ex illo tenaci coeno eva-

ὑπὸ τῷ πηλῷ ἔτι μᾶλλον ἐγίνετο. ἐπεὶ δὲ τοῦτο ἐς τοὺς περιοίκους ἅπαντας ἦλθε, ὁρόμῳ εὐθὺς ἐπ' αὐτὸ ἦεσαν, ἀξίνας τε πανταχόθεν ἐνδελεχέστατα κόψαντες οὐδαμῶς ἔκτειναν, ἀλλὰ σχοίνοις ἀβραῖς τισιν εἵλκον. ταῖς τε ἀμάξαις ἐνθέμενοι εὗρισκον μῆκος μὲν πηχῶν μάλιστα τριάκοντα ὂν, εὖρος δὲ δέκα. ἐνταῦθά τε κατὰ ξυμμορίας τινὰς διασπασάμενοι οἱ μέν τινες C αὐτοῦ ἐν τῷ παρόντι ἐγεύσαντο, οἱ δὲ καὶ μοῖραν ταριχεῦσαι τὴν ἐπιβάλλουσαν σφίσιν ἔγνωσαν. Βυζάντιοι δὲ, ἐπειδὴ τοῦ τε σεισμοῦ ἤσθοντο καὶ τὰ ξυμπεσόντα ἀμφί τε τῷ Νείλῳ καὶ τῷ κήτει τούτῳ ἔγνωσαν, προὔλεγον αὐτίκα ξυμβήσεσθαι ὅσα δὴ αὐτῶν ἑκάστῳ ἤρεσκε. φιλοῦσι γὰρ ἄνθρωποι τοῖς παροῦσι διαπορούμενοι τὰ ἐσόμενα τερατεύεσθαι, καὶ τοῖς ἐνοχλοῦσιν ἀποκναιόμενοι τὰ ξυμβησόμενα λόγῳ οὐδενὶ τεκμηριοῦσθαι. ἐγὼ δὲ μαντείας τε καὶ τεράτων δηλώσεις ἄλλοις ἀφιεὶς ἐκεῖνο εὖ οἶδα, ὡς ἡ μὲν τοῦ Νείλου ἐπὶ τῆς χώρας διατριβὴ μεγάλων αἰτία ἔν γε τῷ παρόντι ξυμφορῶν γέγονε, τὸ δὲ κῆτος ἀφανισθὲν πολλῶν ἀπαλλαγὴ κακῶν διαδείκνυται οὖσα. τινὲς δέ φασιν οὐ τὸ κῆτος D τοῦτο, οὗπερ ἐμνήσθην, ἀλλ' ἕτερον εἶναι, ὃ δὴ ἁλῶναι ξυνέπεσεν. ἐγὼ δὲ ὅθεν τὴν ἐκβολὴν τοῦ λόγου ἐποιησάμην ἐπάνειμι.

Τωτίλας οὖν ταῦτα διαπεπραγμένος, ἃ προδεδήλωται, ἐπεὶ 'Ρωμαίους τοὺς ἐν τῷ ἐπὶ 'Ρουσκίας φρουρίῳ τῶν ἀναγκαίων ἐπι-

2. ἐπ' αὐτὸ] ἐς αὐτὸ Reg. 4. ταῖς τε] ἔν τε Reg. 6. ξυμμορίας] συμμορίας L. 8. τοῦ τε σεισμοῦ] τῶν τε σεισμῶν Reg. et Hm. τόν τε σεισμὸν L. 16. ξυμφορῶν] συμφορῶν L. 18. οὗπερ] ἧπερ H. οὗπερ Hm. 21. ἐν τῷ om. L. *ibid.* 'Ρουσκίας] φουσκιανῆς HL.

sit, ut sese magis immiserit. Excitl omnes rei fama accolae, confestim accurrunt; sine mora ac requie belluam undique contundunt asciis; ac ne ita quidem occisam, crassis funibus in terram subducunt. Cum eam in plaustra imposuissent, longam triginta fere cubitos, latam decem deprehenderunt. Tum sectam atque inter se distributam, nonnulli manducarunt continuo: alii partem, quae ipsis obtigerat, condierunt sale. Cives autem Byzantii, cum terrae motum sensissent, et quae Nilo cetoque huic acciderant, cognovissent, eventurum statim praedixerunt, quod cuique allubescebat. Homines enim circumventi difficultatibus futura comminisci monstrifice, et molestias, quibus anguntur, vanis prognosticis levare gaudent. Ego vero divinationes ac portentorum interpretationes relinquens aliis, id probe scio, Nilum terrae diutius innatando gravia peperisse incommoda, et sublata mala fuisse plurima, ceti interitu. Sunt qui cetum alium captum affirment, non eum, cuius mentionem feci. Sed illuc iam oratio redeat, unde deflexit.

Totilas rebus, quas ante narravi, gestis, certior factus Romanos in Rusciano castello cibariis egere, seque illos brevi expugnaturum ratus,

σπανίζειν ἐπύθετο, ἐξαιρήσειν αὐτοὺς οἰόμενος ὅτι τάχιστα, ἢν μή τι ἐσκομίζεσθαι τῶν ἐπιτηδείων οἷοί τε ὦσιν, ἐστρατοπεδεύσατό τε ὡς ἀγχοτάτω καὶ ἐγκαθεζόμενος ἐς πολιορκίαν καθίστατο. καὶ ὃ χειμὼν ἔληγε, καὶ τρισκαιδέκατον ἔτος ἐτελεύτα τῷ πολέμῳ τῷδε, ὃν Προκόπιος ξυνέγραψε.

λ'. Βασιλεὺς δὲ Ἰουστινιανὸς πεζοὺς στρατιώτας οὐχ ἧσσον ἢ δισχιλίους ἐς Σικελίαν ναυσὶν ἔπεμψε καὶ Βαλεριανὸν οὐδεμιᾷ μελλήσει παρὰ Βελισάριον ἐκέλευεν ἰέναι. καὶ ὃς διαπορθμευσάμενος ἐς τὸν Ὑδροῦντα κατέπλευσεν, οὗ δὴ καὶ Βελισάριον ξὺν τῇ γυναικὶ εὗρεν. ὑπὸ τοῦτον τὸν χρόνον Ἀντωνίνα μὲν ἡ Βελισαρίου γυνὴ ἐς Βυζάντιον στέλλεται, τῆς βασιλίδος δεησομένη μείζονι παρασκευῇ τὸν πόλεμον τόνδε ἐξαρτύεσθαι. ἡ δὲ βασιλὶς Θεοδώρα νοσήσασα ἐξ ἀνθρώπων ἠφάνιστο, ἐνιαυτοὺς ἕνα τε καὶ εἴκοσι τῇ βασιλείᾳ ἐπιβιώσασα καὶ μῆνας τρεῖς. ἐν τούτῳ δὲ οἱ ἐν τῷ Ῥουσκιανῷ φρουρίῳ πολιορκούμενοι πιεζόμενοι τῶν ἀναγκαίων τῇ ἀπορίᾳ ἐς λόγους τοῖς πολεμίοις ξυνίασιν, ὁμολόγησάν τε μεσούσης μάλιστα τῆς τοῦ θέρους ὥρας τὸ φρούριον ἐνδώσειν, ἢν μή τις ἐπιγένηται μεταξὺ βοήθεια σφίσιν, ἐφ' ᾧ μέντοι ἀπαθεῖς κακῶν ἅπαντες μενοῦσιν. ἦσαν δὲ Ἰταλῶν μὲν ἐν τῷ φρουρίῳ τούτῳ πολλοί τε καὶ λόγιμοι, καὶ Δεοφέρων ὁ Τουλλιανοῦ ἀδελφὸς, τοῦ δὲ Ῥωμαίων στρατοῦ ἱππεῖς μὲν

P 534
V 157
H 299
B
C

1. ἐπύθετο] ἐπείθετο L a pr. m. 2. ἐστρατοπεδεύσατο] ἐστρατοπεδεύσαντο L. 3. ἐγκαθεζόμενος] ἐγκαθεζομένους L, ς a m. sec. ibid. καθίστατο] καθίσταο L, ν a m. sec. 7. ἡ δισχιλίους om. L. 12. τόνδε om. L. 14. ἐπιβιώσασα] ἐπιβιοῦσα L. 15. Ῥουσκιανῷ om. L. 20. Δεοφέρων] δεοφόρων L. δεοσφέρων H. 21. Τουλλιανοῦ] τουλιανοῦ H.

si commeatibus omnino intercluderentur, castra proxime metatus est, et statariam inchoavit obsidionem. Exacta hiems annum terminat decimum tertium huius belli, quod Procopius litteris prodidit.

30. Iustinianus Augustus militum haud minus duo millia peditum in Siciliam navibus transportari iussit, mandavitque Valeriano, ut abiecta omni cunctatione Belisarium conveniret. Ille traiecto sinu, Hydruntem appulit, ibique Belisarium cum ipsius uxore offendit. Subinde Antonina, Belisarii coniux, Byzantium proficiscitur, maiorem ad hoc bellum apparatum rogatura Augustam. Verum Theodora Aug. iam morbo obierat, exactis in principatu annis XXI. ac mensibus tribus. Interea, qui in Rusciano castello obsidebantur, rei cibariae penuria pressi, instituto cum hostibus colloquio, promiserunt se, ea lege, ut incolumitatem cuncti retinerent, traditurus castellum media fere aestate; nisi quid subsidii hoc interim spatio acciperent. Erant ex Italis in eo castello cum alii multi nobiles, tum frater Tulliani Deopheron: ex Romano exercitu

Ἰλλυριοὶ τριακόσιοι, οὕσπερ Ἰωάννης καταστησάμενος ἐνταῦθα ἔτυχε, Χαλάζαρα αὐτοῖς τὸν δορυφόρον ἐπιστήσας, Μασσαγέτην γένος, διαφερόντως ἀγαθὸν τὰ πολέμια, καὶ Γουδίλαν Θρᾷκα, καὶ πεζοὶ ἑκατὸν πρὸς Βελισαρίου ἐπὶ τῇ φυλακῇ τοῦ φρουρίου σταλέντες. τότε καὶ ὅσοι στρατιῶται πρὸς Βελισαρίου ἐπὶ τῇ Ῥώμης φρουρᾷ ἐτετάχατο τὸν σφῶν ἄρχοντα Κώνωνα κτείνουσιν, ἐμποριαν αὐτῷ τοῦ τε σίτου καὶ τῶν ἄλλων ἐπιτηδείων ἐπὶ πονηρῷ τῷ σφετέρῳ ἐπενεγκόντες. πρέσβεις τε τῶν ἱερέων τινὰς πέμπουσιν, ἀπισχυριζόμενοι ὡς, ἢν μὴ βασιλεὺς τούτου δὴ τοῦ ἐγκλήματος ἀμνηστίαν σφίσι διδοίη χρόνου τε ῥητοῦ τὰς ξυντάξεις ἐκτίσοι ὅσας δὴ αὐτοῖς τὸ δημόσιον ὤφειλε, Τωτίλᾳ τε καὶ Γότθοις οὐδὲν μελλήσαντες προσχωρήσουσι. βασιλεύς τε αὐτοῖς τὴν δέησιν ἐπιτελῆ ἐποίει.

Βελισάριος δὲ τὸν Ἰωάννην ἐς τὸν Δρουοῦντα μεταπεμψάμενος ξύν τε αὐτῷ καὶ Βαλεριανῷ καὶ ἄλλοις ἄρχουσι στόλον πολὺν ἀγείρας εὐθὺ Ῥουσκίας κατὰ τάχος ἔπλει, τοῖς ἐκεῖ πολιορκουμένοις ἀμύνειν ἐν σπουδῇ ἔχων. οἵ τε ἐν τῷ φρουρίῳ τὸν στόλον τοῦτον ἅτε ἀφ' ὑψηλοῦ κατιδόντες εὐέλπιδές τε γενόμενοι οὐκέτι τοῖς πολεμίοις προσχωρεῖν ἔγνωσαν, καίπερ ἐνισταμένης ἤδη τῆς σφίσι ξυγκειμένης ἡμέρας. καὶ τὰ μὲν πρῶτα χειμῶνος

1. Ἰλλυριοὶ] *Illyriani* Reg. *ibid.* καταστησάμενος ἐνταῦθα] ἐνταῦθα καταστησάμενος Hm. 2. Χαλάζαρα] χαλαζάρ τε L. 3. Γουδίλαν] Γούδιλαν P. γόδιλαν L. γοδίλαν H. *Godilam* Pers.: sed *Gudilam* p. 535 d. 6. Κώνωνα H. κόνωνα HmP. 7. αὐτῷ] αὐτῶν L. αὐτὸν H. 8. πονηρῷ] πονήρῳ P. 9. ἢν] εἰ L. 11. ξυντάξεις ἐκτίσοι] συντάξεις ἐκτίσει L. 16. Ῥουσκίας] ῥουσκιανῆς HL. *ibid.* ἐκεῖ om. L. 17. ἀμύνειν] ἐπαμύνειν L.

equites Illyrii ccc. quos ibi Ioannes collocaverat, sub Chalazare Praetoriano, natione Massageta, viro bellicosissimo, et Gudila Thrace: aderant et pedites centum, a Belisario missi ad castelli custodiam. Eodem tempore milites, quos in praesidio Romae Belisarius constituerat, Cononem Praefectum suum trucidant, insimulantes, quod damno suo mercaturam frumenti caeteraeque annonae faceret. Mox quosdam e Sacerdotibus Legatos mittunt, denuntiantque, nisi criminis huius amnestiam, ac certi temporis stipendia ex aerario sibi debita ab Imperatore accipiant, se ad Totilam et Gotthos nulla interposita mora transituros. Eorum petitioni Imperator concessit.

Belisarius, Ioanne Hydruntem accito, cum ipso et Valeriano caeterisque Ducibus, magna classe collecta, recta Rusciam navigare maturat, illic obsessis afferre opem contendens. Qui in castello erant, ea classe ex edito prospecta, in spem optimam ingressi, deditionis faciendae consilium abiecerunt, quamvis iam dicta dies adesset. Ac primo orta tem-

ξαισίου ἐπιπεσόντος, ἄλλως τε καὶ τῆς ἐκείνῃ ἀκτῆς ἁλιμένου παντάπασιν οὔσης, τὰς ναῦς ἁπάσας ὡς ἀπωτάτω ἀλλήλων ξυνηνέχθη διασκεδάννυσθαι· ταύτῃ τε χρόνου μῆκος σφίσι τριβῆναι ξυνέβη. αὖθίς τε ἀγηγερμένοι ἐν τῷ Κροτωνιατῶν λιμένι ἐπὶ 5 Ῥουσκίαν ἀνήγοντο. οὕσπερ ἐπεὶ οἱ βάρβαροι εἶδον, ἐπὶ τοὺς B ἵππους ἀναθορόντες ἀμφὶ τὴν ἠόνα ἐγένοντο τὴν ἀπόβασιν τοῖς πολεμίοις ἀναστέλλειν διανοούμενοι. Τωτίλας τε τοὺς αὐτοῦ ἐπὶ πλεῖστον τῆς ἀκτῆς ἀντιμετώπους ἔστησε ταῖς τῶν νηῶν πρῴραις, τοὺς μὲν δόρατα ἔχοντας, τοὺς δὲ τὰ τόξα ἐντεταμένους. ὅπερ 10 ἐπεὶ Ῥωμαῖοι εἶδον, κατωρρώδησάν τε καὶ ἄγχιστα οὐδαμῇ ἐτόλμων ἰέναι, ἀλλὰ χρόνον μέν τινα τὰς ναῦς ἑκαστάτω ἀνακωχεύσαντες ἡσυχῇ ἔμενον, ὕστερον δὲ ἀπογνόντες τὴν ἀπόβασιν πρύμναν τε πάντες ἐκρούοντο καὶ ἀναχθέντες τῷ Κροτωνιατῶν αὖθις λιμένι προσέσχον. οὗ δὴ ἐπὶ κοινῆς βουλευσαμένοις ἔδοξε σφίσιν 15 ἄμεινον εἶναι Βελισάριον μὲν ἐς Ῥώμην ἰόντα τὰ ταύτῃ τε ὡς V 158 ἄριστα διοικησάσθαι καὶ τὰ ἐπιτήδεια ἐσκομίζεσθαι, Ἰωάννην C δὲ καὶ Βαλεριανὸν τούς τε ἄνδρας ἐς γῆν καὶ τοὺς ἵππους ἀποβιβάσαντας ὁδῷ τε πορευομένους ἐς Πικηνοὺς ἰέναι, ξυνταράξοντας τῶν πολεμίων τοὺς τὰ ἐκείνῃ πολιορκοῦντας πολίσματα. οὕ- 20 τω γὰρ ἂν αὐτοῖς Τωτίλαν διαλύσαντα τὴν προσεδρείαν ἐπισπᾶσθαι ἐλπίδα εἶχον. Ἰωάννης μὲν οὖν ξὺν τοῖς ἑπομένοις χιλίοις οὖσι κατὰ ταῦτα ἐποίει· Βαλεριανὸς δὲ τὸν κίνδυνον δείσας ταῖς

2. τὰς ναῦς ἁπάσας] ταῖς νανσὶν ἁπάσαις Reg. 6. ἠόνα] ἠϊόνα L. 7. τοὺς αὐτοῦ] αὐτοὺς HL: illud HmLm. 15. τὰ ταύτῃ τε] τά τε L, qui in marg. ἐκείνῃ. 16. ἐσκομίζεσθαι] ἐσκομίσασθαι L. 17. δὲ καὶ] Vulgo τε καὶ. 18. ἐς Πικήνους P. ἐς πικηνοὺς H. ἐπικήνους L: sed in marg. ἐς πικήνους.

pestas violentissima naves omnes toto aequore disiecit eo facilius, quod littus illud omnino importuosum est; itaque multum temporis inutiliter fluxit. Deinde in Crotonis portum collecti, solverunt, intento ad Rusciam cursu. Quos ut videre Barbari, conscensis equis, eo consilio ad littus convolant, ut hostem prohibeant exscensu. Hic suos longa serie Totilas constituit adversos navium proris, ac partim hastis, partim arcubus tentis instructos Quo Romani spectaculo attoniti, neque audentes accedere, aliquandiu stetere procul in anchoris. Post, desperata exscensione, retro omnes cesserunt, et profecti ad Crotonis portum iterum applicuerunt: ubi consilio habito, satius fore visum est, si Belisarius Romae rebus optime provisum iret, eoque commeatus inveheret: dum Ioannes ac Valerianus, viris et equis in terram expositis, iter in Picenum facerent, lacessituri hostes, qui regionis illius oppida obsidebant. Quo factum iri sperabant, ut Totilas ab obsidione retraheretur. Ac Ioannes quidem cum suis, numero mille, executus est consulta: Va-

ναυσὶ κόλπον περιὼν τὸν Ἰόνιον ἔπλει τοῦ Ἀγκῶνος εὐθύ. ταύτῃ γὰρ ἐν Πικηνοῖς τε γενήσεσθαι ξὺν τῷ ἀσφαλεῖ ᾤετο καὶ τῷ Ἰωάννῃ ξυμμίξαι. ἀλλὰ Τωτίλας διαλῦσαι τὴν προσεδρείαν οὐδ' ὡς ἤθελεν, ἀλλ' αὐτὸς μὲν ἐνταῦθα καθῆστο, δισχιλίους δὲ ἱππεῖς τοῦ στρατοπέδου ἀπολεξάμενος ἐς Πικηνοὺς στέλλει, ἐφ' ᾧ τοῖς
D ἐνταῦθα βαρβάροις ξυμμίξαντες τοὺς ἀμφί τε Ἰωάννην καὶ Βαλεριανὸν ἀποκρούσωνται.

H 300 Οἱ δὲ πολιορκούμενοι ἐν τῷ ἐπὶ Ῥουσκίας φρουρίῳ, ἐπεὶ σφᾶς τά τε ἀναγκαῖα ἤδη παντάπασιν ἐπελελοίπει καὶ οὐδεμίαν ἔτι ἀπὸ Ῥωμαίων ἐπικουρίας ἐλπίδα εἶχον, Γουδίλαν τε τὸν δορυφόρον καὶ Δεοφέροντα τὸν Ἰταλιώτην παρὰ Τωτίλαν πέμψαντες ἐπρεσβεύοντο ἀμφὶ τῇ σωτηρίᾳ, δεόμενοι σφίσιν αὐτοῖς τῶν πεπραγμένων ξυγγνώμονα εἶναι. ὁ δὲ Τωτίλας ἐς ἄλλον οὐδένα ὅτι μὴ ἐς τὸν Χαλάζαρα ἐπιτελέσειν τὴν κόλασιν ἐπηγγέλλετο, ὥστε τὰ πρόσθεν ξυγκείμενα ἠλογηκότα, τοῖς δὲ ἄλλοις τὸ ἔγκλημα ἐπιχωρεῖν πᾶσιν. οὕτω τοίνυν αὐτὸς τὸ φρούριον ἐδέξατο. καὶ
P 536 τὸν μὲν Χαλάζαρα ἄμφω τε τὼ χεῖρε ἀποτεμὼν καὶ τὰ αἰδοῖα εὐθὺς ἔκτεινε, τῶν δὲ στρατιωτῶν τοὺς μὲν βουλομένους μένειν ἐκέλευε τὰ σφέτερα αὐτῶν ἔχοντας, ἐφ' ᾧ τὸ λοιπὸν ἐπὶ τῇ ἴσῃ καὶ ὁμοίᾳ Γότθοις ξυντάξονται· ὅπερ κἂν τοῖς ἄλλοις ὀχυρώμασι

2. πικηνοῖς LHm. Πικήνοις P. πιγκηνοῖς H. 4. καθῆστο] καθίστη L. 5. πικηνοὺς L. Πικήνους P. πιγκηνοὺς H. 6. βαρβάροις] πολεμίοις H: illud Hm. 7. ἀποκρούσωνται] ἀποκρούσονται L a pr. m. 8. Ῥουσκίας] ῥουσκιανῆς Reg. ῥουσκιανοῖς H. 10. ἀπὸ Ῥωμαίων] ἐπὶ ῥωμαίους Reg.: quod ferri potest. 14. Χαλάζαρα] χαλαζὰρ Reg. χαλάζαρον H. Eadem varietas infra. *Chalazarum* dicit Pers. *ibid.* ἐπηγγέλλετο] ἐπηγγείλατο Reg. 16. αὐτὸς] αὐτῷ L. 20. κἂν τοῖς] αὐτοῖς L.

lerianus vero, periculum veritus, et classe circum sinum vectus Ionium, Anconam recta navigavit. Hac enim via se ad Picentes tuto perventurum, et Ioanni iuncturum vires putabat. Totilas autem obsidionem solvere noluit: sed ibi consistens, delectos ex copiis bis mille equites, in agrum Picenum misit, ut coniuncte cum Barbaris, qui illic degebant, Ioannem et Valerianum propellerent.

Iam in castello Rusciano obsessi, cum eos annona spesque mittendi a Romanis auxilii penitus defecissent, Gudilam Praetorianum, et Deopherontem Italum ad Totilam legarunt, pacturos pro vita, et actorum veniam petituros. Spopondit Totilas, se in neminem animadversurum, praeterquam in Chalazarem, utpote pactae fidei violatorem; caeteris omnibus facturum se delicti gratiam. Castello igitur ita capto, statim Chalazarem, ambabus manibus ac verendis truncatum, vita etiam spoliavit: milites, si qui manere vellent, rebus suis gaudere iussit, ea lege, ut Gotthorum signa pari cum ipsis conditione sequerentur: quod in aliis

τοῖς ἁλισκομένοις πράσσειν εἰώθει. οἷς δὲ τὸ μένειν ἐν ἡδονῇ ὡς ἥκιστα ἦν, τούτους δὴ γυμνοὺς ὅπη βούλοιντο ἐκέλευεν ἀπαλλάσσεσθαι, τοῦ μή τινά οἱ τῶν πάντων ἀνθρώπων ἀκούσιον ξυστρατεύεσθαι. ὀγδοήκοντα μὲν οὖν τοῦ Ῥωμαίων στρατοῦ τῶν χρημάτων ἀπολελειμμένοι ἐς τὸν Κρότωνα ἦλθον, οἱ δὲ ἄλλοι ξὺν τοῖς χρήμασιν αὐτοῦ ἔμειναν. τῶν μέντοι Ἰταλῶν τὰ μὲν χρήματα πάντα ἀφεῖλετο, τὰ δέ γε σώματα κακῶν παντάπασιν ἀπαθῆ εἴασεν. Ἀντωνίνα δὲ ἡ Βελισαρίου γυνὴ τῆς βασιλίδος ἀπογενομένης ἐς Βυζάντιον ἀφικομένη ἔχρῃζε βασιλέως μετάπεμπτόν οἱ τὸν ἄνδρα ἐνταῦθα ἐλθεῖν. ῥᾷστά τε διεπράξατο τοῦτο. ἤδη γὰρ καὶ ὁ Μηδικὸς πόλεμος ἐπικείμενος ἰσχυρότατα βασιλέα Ἰουστινιανὸν ἐς τοῦτο ἐνῆγεν.

λα'. Ἐν τούτῳ δέ τινες ἐπίθεσιν ἐπὶ βασιλέα Ἰουστινιανὸν ἐβουλεύσαντο. οἵπερ ὅπως τε ἐς τὸ βούλευμα τοῦτο κατέστησαν καὶ τρόπῳ δὴ ὅτῳ ἀποκρουσθέντες οὐδαμῇ ἐς τὸ ἔργον ἀφίκοντο, αὐτίκα δηλώσω. Ἀρταβάνῃ Γόνθαριν καθελόντι τὸν τύραννον, ὥσπερ μοι ἐν τοῖς ἔμπροσθεν λόγοις ἐρρήθη, ἐξαισία τις ἐπιθυμία ἐγένετο Πρεϊέκταν τὴν βασιλέως ἀδελφιδῆν, ἣν εἶχεν ἐγγυητήν, γυναῖκα ποιήσασθαι. ὅπερ καὶ αὐτῇ βουλομένῃ ὡς μάλιστα ἦν, οὐκ ἔρωτι τοῦ ἀνθρώπου ἐνταῦθα ἠγμένῃ, ἀλλ' ὅτι οἱ χάριτας ὠμολόγει πολλὰς, ἅτε τισαμένῳ μὲν τὸν Ἀρεοβίνδου τοῦ

1. ἐν om. L. 2. δὴ] δὲ L. 3. τοῦ Reg. τῷ P. ibid. πάντων] ἁπάντων L. 5. ἀπολελειμμένοι] ἀπολελειμμένων L. 8. εἴασεν P et Scaliger. ἦσαν HL. ibid. Βελισαρίου] τοῦ βελισαρίου L. 9. ἔχρῃζε] ἐδέετο Reg. 17. ὥσπερ] οπερ Reg. ibid. ἐρρήθη] ἐρήθη L a pr. m. 18. Πρεϊέκταν] πρεΐκταν Reg. Et infra. ibid. ἦν εἶχεν om. Reg. 21. τισαμένῳ] αἰτησαμένῳ L. τισαμένῳ Scaliger. τιμησαμένῳ H.

a se captis munitionibus factitaverat: quibus manere non collibitum esset, edixit, abirent nudi quocunque animus ferret: quod invitum quemquam habere nollet armorum socium. Tum Romani milites LXXX. exuti pecuniis, Crotonem se contulerunt: reliqui rebus salvis ibi mansere: Italorum opibus omnibus ablatis, corporibus plane temperatum est. Interea Belisarii coniux Antonina, cum Byzantium post Augustae obitum pervenisset, Imperatorem rogavit, ut eo virum revocaret: quod facillime impetravit, cum ad hoc Iustinianum Augustum impelleret bellum Persicum, quo iam is gravissime urgebatur.

31. Inter haec, in Iustinianum Augustum conspirarunt nonnulli: qui quo id modo consilium ceperint, eoque diffiato nihil effecerint, iamiam narrabo. Cum Artabanes Gontharin tyrannum sustulisset e medio, ut in superioribus libris memoravi, desponsam sibi Praiectam, Imperatoris ex sorore neptem, uxorem ducere vehementissime cupiebat. Quod ipsa quoque optabat maxime, non ex amore in hominem, sed quod plurimum

D ἀνδρὸς φόνον, αὐτὴν δὲ ἀνασωσαμένῳ καὶ ἀναρπάσαντι, αἰχμάλωτόν τε οὖσαν καὶ οὐκ ἐς μακρὰν τῷ τυράννῳ Γονθάριδι μέλ-
V 159 λουσαν οὔ τι ἑκουσίαν ἐς εὐνὴν ξυνελθεῖν. ἐπεί τε ἄμφω ταῦτα ἤρεσκε, Πρεϊέκτιαν μὲν Ἀρταβάνης βασιλεῖ ἔπεμψεν, αὐτὸς δὲ, καίπερ Λιβύης ὅλης στρατηγὸς κατασταὶς, ἔχρηζε βασιλέως, ἀναπλάσας τινὰς οὐχ ὑγιεῖς σκήψεις, ὅπως αὐτὸν ἐς Βυζάντιον μεταπέμποιτο. ἐνῆγε δὲ ἐς τοῦτο αὐτὸν ἡ τοῦ γάμου ἐλπὶς, ἄλλα τε πολλὰ ἐνθένδε ἀγαθὰ ὑποφαίνουσα καὶ τῆς βασιλείας οὐ πόρ-
P 537 ρω αὐτὸν τὸ λοιπὸν ἕσεσθαι. οἱ γὰρ ἄνθρωποι εὐημερίας ἐκ τοῦ παραλόγου ἐπιλαβόμενοι οὐ δύνανται τὴν διάνοιαν ἐνταῦθα ἱστάναι, ἀλλὰ καραδοκοῦσι τὰ πρόσω, καὶ ταῖς ἐλπίσιν ἐπίπροσθεν ἀεὶ χωροῦσιν, ἕως καὶ τῆς οὐ δέον ὑπαρξάσης αὐτοῖς εὐδαιμονίας στερήσονται. βασιλεὺς τοίνυν τὴν δέησιν ἐπιτελῆ ἐποίει. καὶ τὸν Ἀρταβάνην ἐς Βυζάντιον μετεπέμπετο, ἕτερον ἀντικαταστήσας Λιβύης στρατηγὸν, ᾗπέρ μοι δεδιήγηται. γενόμενον δὲ τὸν Ἀρταβάνην ἐν Βυζαντίῳ ὁ μὲν δῆμος τῶν πεπραγμένων ἐθαύμαζε καὶ ἄλλως ἠγάπα. ἦν γὰρ εὐμήκης τε τὸ σῶμα καὶ καλὸς, τό τε ἦθος ἐλευθέριος καὶ ὀλίγα ἄττα φθεγγόμενος. βασιλεὺς
B δὲ αὐτὸν ἐν τοῖς μάλιστα ἐτετιμήκει. στρατηγόν τε γὰρ τῶν ἐν Βυζαντίῳ στρατιωτῶν καὶ ἄρχοντα φοιδεράτων καταστησάμενος ἐς τῶν ὑπάτων ἀνεγράψατο τὸ ἀξίωμα. τῇ μέντοι Πρεϊέκτᾳ

7. δὲ ἐς] γὰρ ἐς L. 10. ἐπιλαβόμενοι] ἐπιβαλλόμενοι L: illud Lm. *ibid.* ἱστάναι Reg. Vulgo ἑστάναι. 13. τοίννυ] μέντοι Reg. 15. λιβύης L. Vulgo Λιβύῃ. 16. τῶν] τῶν μὲν L. 18. βασιλεὺς δὲ] βασιλεύς τε L. 21. Πρεϊέκτᾳ] πρείκτα L, et infra.

deberet illi: utpote qui Areobindi mariti necem ultus esset, ipsamque captivam, et ad Gontharis tyranni torum brevi rapiendam, vindicasset in libertatem. Promisso invicem lubentibus animis matrimonio, Preiectam quidem Artabanes ad Imperatorem misit; ipse vero, quamvis universae Africae Comes creatus esset, conflictis inanibus causis, Imperatorem rogavit, ut se Byzantium revocaret. Eo trahebatur nuptiarum spe, quae cum alia plurima inde ventura bona, tum propinquum deinceps Imperium ipsi ostentabat. Etenim sic sunt homines: in parta praeter opinionem felicitate animum tenere nequeunt, sed ulteriora cupide expectant, neque absistunt spem extendere, donec ipsam, quam adepti sunt, felicitatem male amiserint. Annuens igitur Imperator, Artabanem revocavit Byzantium, alio in eius locum suffecto Africae Comite, ut alibi dixi. Postquam Byzantium Artabanes advenit, cum admirationem rebus gestis, tum vero maxime gratiam popularem collegit proceri dignitate corporis, indolis liberalitate, et breviloquentiae studio. Eumdem eximie ornavit Imperator: creatum enim Magistrum militum in praesenti, et Foederatorum Ducem, adscripsit Consulibus honorariis: sed non potuit

ξυναιρίζεσθαι οὐδαμῇ ἴσχυσεν. ἦν γὰρ αὐτῷ γυνὴ πρότερον ξυγγενής τε καὶ ὁμόφυλος οὖσα καὶ ἐκ παιδὸς αὐτῷ ἐς γάμον ἐλθοῦσα. ἦν δὴ πολλῷ ἔμπροσθεν ἀποστεισάμενος αὐτὸς ἔτυχε τῶν τινος ἴσως παραπεπτωκυίας αἰτίας, ὧν δὴ ἕνεκα γυναῖκας ἀνδράσι προσκρούειν ξυμβαίνει. αὕτη τε, ἕως μὲν τῷ Ἀρταβάνῃ οὐκ εὖ καθειστήκει τὰ πράγματα, οἴκοι καθῆστο ἐν πάσῃ ἀπραγμοσύνῃ, τὰ παρόντα σιωπῇ φέρουσα· ἐπεὶ δὲ Ἀρταβάνης ἤδη λαμπρός τε τοῖς ἔργοις καὶ μέγας ἐγεγόνει ταῖς τύχαις, οὐκ ἐνεγκοῦσα ἡ γυνὴ ἔτι τὴν ἀτιμίαν ἐς Βυζάντιον ἦλθεν. ἱκέτις τε γενομένη τῆς βασιλίδος ἀπολαβεῖν τὸν ἄνδρα ἠξίου. ἡ δὲ βασιλὶς (ἐπεφύκει γὰρ ἀεὶ δυστυχούσαις γυναιξὶ βοηθεῖν) προσχωρῆσαί τε ἀκουσίῳ αὐτὴν τῷ Ἀρταβάνῃ ὡς μάλιστα καὶ ξυνοικεῖν κατηνάγκασε, τήν τε Πρεϊέκταν Ἰωάννης ὁ Πομπηίου τοῦ Ὑπατίου γυναῖκα γαμετὴν ἐποιήσατο. ταύτην Ἀρταβάνης τὴν ξυμφορὰν οὐκ ἤνεγκε πρᾴως, ἀλλ' ἠγριαίνετό τε καὶ ἀγαθὰ εἰργασμένῳ Ῥωμαίοις ἔλεγε τόσα γυναῖκα μὲν τήν οἱ αὐτῷ κατηγγυημένην ἑκόντα ἑκοῦσαν ἀγαγέσθαι οὐδεὶς ἐρᾷ, τῇ δὲ πάντων αὐτῷ δυσμενεστάτῃ οὔσῃ πλησιάζειν ἀναγκάζηται τὸν ἅπαντα χρόνον· ὃ δὴ μάλιστα ἀνθρώπου ψυχὴν ἀνιᾶν πέφυκεν. ὥστε ἀμέλει οὐ πολλῷ ὕστερον, ἐπειδὴ τάχιστα ἡ βασιλὶς ἐξ ἀνθρώπων ἠφάνιστο, ταύτην ἀσμένως ἀπε-

C H 301

D

2. καὶ ὁμόφυλος om. L. 5. αὕτη — πράγματα] ἄρτι τε τῷ ἀρταβάνῃ οὐκ εὖ καθεστηκότος τοῦ πράγματος H. ibid. τε, ἕως] τέως L in textu. 11. γυναιξὶ — ἀκουσίῳ] γυναιξὶν προσχωρεῖν ἀκουσίῳ L. 12. κατηνάγκασε] ἔγνω Reg. 14. ξυμφορὰν] συμφορὰν L. 15. καὶ ἀγαθὰ — τόσα] καὶ δεινὰ ἐποιεῖτο εἰ αὐτὸν τοὺς Ῥωμαίους πολλὰ δὴ ἀγαθὰ εἰργασμένον Scaliger. ibid. εἰργασμένῳ] εἰργασμένον L. ibid. ἔλεγε τόσα om. L. 16. κατηγγυημένην] κατοικειωσαμένην Reg. 18. ἀνθρώπου] ἀνθρώπῳ Lm.

cum Preiecta iungere matrimonio, vivente adhuc uxore, ipsius populari et contribuli; quam ille a pueritia ductam multis iam abhinc annis repudiaverat, culpa forte intercedente ex earum numero aliqua, quibus uxores a se maritos abalienant. Ac tandiu quidem illa se domi tenuit, nihil movens, et statum, in quo erat, obscure fereas; quandiu non bono fuere loco res Artabanis: iam vero ubi hic factis inclaruit, ac multum fortuna crevit, impatiens ignominiae femina Byzantium venit, supplex adit Augustam, ac virum repetit. Augusta, cui hoc natura insitum erat, ut afflictarum mulierum semper susciperet patrocinium, eam Artabani invitissimo obtrusit, ac iussit esse consortem thalami: Preiectam autem Ioannes filius Pompeii, qui frater fuit Hypatii, uxorem duxit. Rem hanc adversam non ferens modice Artabanes, exacerbato animo dictitabat, sibi tam bene de Romanis merito permissum a nemine, ut sibi desponsam volentem volens uxorem duceret: quam vero odisset omnium maxime, se ad illius perpetuam consuetudinem cogi. Hominis mentem id gravissime urebat: ita ut coniugi illi repudium iterum lubens remiserit paulo

πέμψατο τὴν γυναῖκα εὐθύς. ἐτύγχανε δὲ βασιλεῖ τὸν Γερμανὸν ἀνεψιὸν ὄντα Βοραΐδην ἀδελφὸν ἔχειν. οὗτος μὲν Βοραΐδης ὁ Γερμανοῦ ἀδελφὸς ἔναγχος ἐτετελευτήκει, τῶν χρημάτων τὰ πλεῖστα τῷ τε ἀδελφῷ καὶ παισὶ τοῖς ἐκείνου ἀπολιπών. οὔσης δὲ αὐτῷ γυναικός τε καὶ παιδὸς μιᾶς, τοσαῦτα τὴν παῖδα ἐκέλευεν ἔχειν ὅσα ὁ νόμος ἠνάγκαζε. διὸ δὴ βασιλεὺς τῇ παιδὶ μᾶλλον ἀμύνειν ἠξίου. ὅπερ ἐν τοῖς μάλιστα Γερμανὸν ἔδακνε.

P 538 V 160 λβ'. Βασιλεῖ μὲν οὖν τά τε ἀμφὶ Ἀρταβάνῃ καὶ Γερμανῷ ταύτῃ πῃ εἶχεν. ἦν δέ τις Ἀρσάκης ὄνομα ἐν Βυζαντίῳ, Ἀρμένιος γένος, Ἀρσακίδης, ἀνὴρ τῷ Ἀρταβάνῃ κατὰ γένος προσήκων. ὃς δὴ κακουργῶν ἐς τὴν πολιτείαν οὐ πολλῷ ἔμπροσθεν ἐφωράθη καὶ προδοσίας διαφανοῦς ἑάλω, ὥστε δὴ ἐς Χοσρόην, τὸν Περσῶν βασιλέα, πράγματα ἐπὶ Ῥωμαίοις νεώτερα πράσσων. βασιλεύς τε αὐτὸν ἄλλο μὲν εἰργάσατο οὐδὲν ἄχαρι, ξύ-
Β νας δέ οἱ πολλὰς κατὰ νώτου δεξάμενον ἐπόμπευσε καμήλῳ ἀνὰ τὴν πόλιν ὀχούμενον, οὐδὲν μέντοι αὐτὸν οὔτε τοῦ σώματος οὔτε τῆς οὐσίας ἀφείλετο, οὐ μὴν οὐδὲ φυγῇ ἐζημίωσε. δυσφορούμενος δὲ ὅμως τοῖς ξυμπεπτωκόσιν Ἀρσάκης δόλους ἐπί τε Ἰουστινιανῷ καὶ τῇ πολιτείᾳ ἐπινοεῖν ἤρξατο. ἐπειδή τέ οἱ ξυναχθό-

1. τὸν Γερμανὸν] ταύτῃ καὶ γερμανὸν L: αἰτία καὶ πρὸς γερμανὸν a m. sec. 2. ὄντα] ὄντα τοιάδε L. ibid. Βοραΐδην — οὗτος μὲν om. L. 4. παισὶ Maltretus. Libri πᾶσι. 6. βασιλεὺς] βασιλεῖ L a m. pr. 7. ἀμύνειν] ἀμύνην L. 14. αὐτὸν] αὐτῷ H. ibid. „ξάνας] Ita correxi, cum legerem ξάνας. Sic in Anecd. p. 10 c. dicitur Theodora ξάνασα κατά τε τῶν ὤμων καὶ τοῦ νώτου πολλάς. et lib. I. Pers. p. 79 a. ξαίνοντες κατὰ τοῦ νώτου πολλάς." Malt. Ad ξάνας nihil diversitatis enotatum ex L. 15. δέ οἱ Lm. Vulgo δὲ οὐ. ibid. δεξάμενον om. L. 16. οὔτε — οὔτε] Vulgo οὐδὲ — οὐδὲ. 18. δόλους] δουλώσεις L. βουλεύσεις Lm. 19. οἱ ξυναχθόμενον] ξυναχθόμενόν οἱ L.

post, simul ac naturae cessit Augusta. Germanus, Imperatoris ex fratre nepos, fratrem habuit Boraidem. Hic Boraides Germani frater, non ita pridem obierat, fortunarum suarum parte maxima relicta fratri eiusque filiis. Cum autem Boraidi et uxor esset, et unica filia; hanc ex bonis tantum habere iussit, quantum legis necessitas posceret. Quocirca Imperator filiae favere maluit: quod Germanum maxime pupugit.

82. Ita cum Artabane et Germano res Imperator constitutas habebat. Byzantii quidam erat Armenius, Arsaces nomine, ex Arsacitarum sanguine et Artabanis propinquis. Hic non ita pridem, dum aliquid adversus Remp. moveret, deprehensus fuerat, et aperte convictus proditionis: nimirum res novas in Romanos cuderat cum Rege Persarum Chosroë. In reum nihil gravius Imperator statuerat: dorso tantum leviter caeso, eum per urbem traduci iusserat, camelo vectum: non corporis mutilatione, non mulcta, non exilio mulctaverat. Nihilominus Arsaces imposita poena exasperatus, dolos in Iustinianum ac Rempublicam coe-

βασιλέως Ἔρουλοι ἔσχον ἀμφὶ πόλιν Σιγγηδόνα, οὗ δὴ νῦν ἵδρυνται, Ἰλλυριούς τε καὶ τὰ ἐπὶ Θράκης χωρία καταθέοντες καὶ λη- V 164
ζόμενοι ἐκ τοῦ ἐπὶ πλεῖστον. τινὲς δὲ αὐτῶν καὶ Ῥωμαίων στρατιῶται γεγένηνται ἐν τοῖς φοιδεράτοις καλουμένοις ταττόμενοι. ἡνίκα οὖν Ἐρούλων ἐς Βυζάντιον πρέσβεις σταλεῖεν, τούτων δὴ τῶν ἀνδρῶν, οἳ τοὺς Ῥωμαίων κατηκόους ληΐζονται, τὰς ξυντάξεις ἁπάσας πρὸς βασιλέως κεκομισμένοι πόνῳ οὐδενὶ ἀπαλλάσσονται.

λδ'. Οὕτω μὲν οἱ βάρβαροι διεδάσαντο τὴν Ῥωμαίων ἀρ- P 544
χήν. χρόνῳ δὲ ὕστερον Γήπαιδές τε καὶ Λαγγοβάρδαι, ἅτε δὴ ἐν γειτόνων πη ᾠκημένοι ἀλλήλοις, διάφοροι γεγένηνται ἐς τὰ μάλιστα. πολεμησείοντές τε προθυμίᾳ τῇ πάσῃ ἐς ἀλλήλους ἑκάτεροι ὥργων τοῖς πολεμίοις διὰ μάχης ἰέναι, χρόνος τε τῇ ξυμβολῇ τακτὸς ὥριστο. Λαγγοβάρδαι δὲ οὐκ ἂν οἰόμενοι Γήπαισιν ἀξιόμαχοι κατὰ μόνας αὐτοὶ ἔσεσθαι (πλήθει γὰρ αὐτοὺς ἐλασσοῦσθαι τῶν πολεμίων ξυνέβαινε) Ῥωμαίους ἔγνωσαν ἐς ξυμμαχίαν ἐπαγαγέσθαι. Γήπαιδές τε ὡς ἐνσπονδοι ἢ ξυνάρασθαι Ῥωμαίους τοῦ ἀγῶνος αἰτοῖς δέον ἔγνωσαν δεηθῆναι καὶ τὸν πόλεμον ξυνδιενεγκεῖν ἀξιῶσαι, ἢ ἀμφοτέροις ἐκποδὼν στῆ- B

1. Σιγγηδόνα] Σιγγήδονα P. σιγηδόνα H. σιγιδόνων Reg. Sigidonum urbem Pers. ibid. νῦν ἵδρυνται] ἵδρυνται νῦν L. 2. Θράκης] Θράκην HL. Θράκης L corr. et Hm. 3. στρατιῶται] στρατιωτῶν H. Recte Hm. 5. δὴ] οὖν L. 6. ξυντάξεις] συντάξεις L. Ad p. 544—547. lectiones codicis Reg. (B) accuratius collati affero: de quo dictum in praefat. vol. I. p. V. 10. Γήπαιδές τε καὶ Λαγγοβάρδαι] γήπεδές τε καὶ λαγοβάρδαι B. Et sic infra γηπέδων, γήπεσι, γήπεδας. 11. ᾠκημένοι] ὠκειμένοι B. ibid. διάφοροι] διαφόροις B. 13. τοῖς πολεμίοις — ἰέναι om. B. 14. Λαγγοβάρδαι] λαγγοβάρδοι H: illud Hm. 17. Γήπαιδές τε — προσβοηθεῖν om. B.

attribuit ad Singedonem; ubi nunc habitant, Illyricum Thraciamque crebris populantes incursionibus. Ex his aliquot Romanae militiae dederunt nomina, Foederatorum, ut vocant, ascripti numero. Cum autem Byzantium veniunt Erulorum Legati, omnia stipendia vel eorum, qui ditioni Romanae subditos expilant, ab Imperatore facillime consecuti, redeunt.

34. Ita Barbari Romanum Imperium inter se partiti sunt. Deinde maximo Gepaedes inter ac Langobardos invicem confines orto dissidio, utrique, belli mutui vehementissima incensi cupidine, pruriebant in pugnam: cui et certa dies praestituta est. Cum autem Langobardi se solos Gepaedibus impares fore intelligerent, utpote numero inferiores, Romanos in societatem belli pertrahere decreverunt. Rursus Gepaedes Romanis pro iure foederis, quo iuncti cum ipsis erant, petere constituunt, ut vel una secum arma sumerent, bellumque inferrent, vel in

ὁμοῦ τοῖς τῶν ἱερέων ἐσχατογέρουσιν ἀνακυκλεῖν τὰ Χριστιανῶν λόγια σπουδὴν ἔχων. ἀλλὰ γὰρ (ἔφη) οὐδέ τίς οἱ ἀντιστήσεται τῶν Ἰουστινιανοῦ ξυγγενῶν. ὁ μέντοι γε πάντων δυνατώτατος Γερμανὸς, οἶμαι, ξυλλήψεταί σοι προθυμουμένῳ ξὲν τοῖς παισὶ τοῖς αὐτοῦ, νεανίαις τε οὖσι καὶ τῇ τε ἡλικίᾳ καὶ τῷ θυμῷ ἐπ' αὐτὸν ζέουσιν, οὓς γε καὶ τὴν πρᾶξιν αὐτοματίσειν ἐλπίδα ἔχω. ἠδικημένοι γὰρ πρὸς ἐκείνου τυγχάνουσιν ἤδη ὅσα οὔτε ἡμεῖς οὔτε τις ἄλλος Ἀρμενίων οὐδείς." τοιούτοις Ἀρσάκης ἀεὶ καταγοητεύων τὸν Ἀρταβάνην, ἐπειδὴ αὐτόν ποτε ἐνδόντα εἶδεν, ἐπί τινα Περσαρμένιον ἔιερον, Χαναράγγην ὄνομα, τὸ πρᾶγμα ἐνῆγεν. ἦν δὲ οὗτος ὁ Χαναράγγης νεανίας μὲν, καλὸς δὲ τὸ σῶμα, οὐ μέντοι κατεσπουδασμένος, ἀλλ' ἐπὶ πλεῖστον παιδαριώδης.

Ἐπεὶ οὖν Ἀρσάκης αὐτόν τε καὶ Ἀρταβάνην τά τε ἐς τὴν γνώμην καὶ ἐς τοὺς λόγους ξυνέμιξεν, ἀπηλλάσσετο ἐπαγγειλάμενος Γερμανόν τε καὶ τοὺς αὐτοῦ παῖδας ὁμογνώμονας ἐς τὸ ἔργον θήσεσθαι σφίσι. καὶ ἦν γὰρ Ἰουστῖνος ὁ πρεσβύτερος τῶν Γερμανοῦ παίδων, νεανίας μὲν καὶ πρῶτος ὑπηνήτης, δραστήριος δὲ καὶ ἐς τὰς πράξεις ὀξύτερος. ὃς καὶ ἐς τῶν ὑπάτων τὸν δίφρον οὐ πολλῷ ἔμπροσθεν ἀναβεβήκει. ἀφικόμενός τε παρ' αὐτὸν ὁ Ἀρσάκης ἔφασκέν οἱ λάθρα ἐν ἱερῷ τινι ἐντυχεῖν βούλεσθαι.

H 302 V 161 C

1. ἐσχατογέρουσιν L. γέρουσιν ἔσχατον P. 4. προθυμουμένῳ] προθυμούμενος L. 7. οὔτε — οὔτε] Vulgo οὐδὲ — οὐδέ. 9. αὐτόν ποτε] ποτε αὐτὸν L. 11. ἐνῆγεν] ἦγεν L. *ibid.* νεανίας] νεανίσκος L. 17. Ἰουστῖνος] Ἰουστινιανὸς HL. 18. πρῶτος Reg. πρῶτον L. πρῶτα P. 19. ὃς] ὥστε HL. *ibid.* τῶν] τὸν L. 20. οὐ om. L. *ibid.* τε et ὁ om. L.

dio sacros Christianorum codices volvens. Tum pergens, *Nec tibi*, ait, *propinquorum Iustiniani quisquam sese opponet. Immo vero Germanus omnium potentissimus te iubens, ut equidem arbitror, iuvabit cum filiis suis, iam adolescentibus, et in eum cum fervore aetatis, tum ira succensis: qui rem sponte, nisi me spes fallit, suscipient; tanta iam ab ipso affecti iniuria, quanta nec nobis, nec alii cuipiam Armeniorum illata fuit.* Talibus Artabanem praestigiis tentare non cessans Arsaces, ubi tandem pervictum vidit, alium quendam Persarmenium, cui nomen Chanaranges, participem fecit consilii. Erat Chanaranges praestanti corpore adolescens; sed levi admodum ac puerili ingenio.

Postquam cum illo et Artabane consilium sermonemque Arsaces contulit, abscessit, pollicitus se in partes tracturum suas Germanum eiusque filios: quorum erat maior natu Iustinus; primae lanuginis adolescens, strenuus ac manu promptus, et nuper ad sellam Consularem evectus. Eum ubi convenit Arsaces, vello se dixit cum ipso clanculum agere in

ἐπεί τε ἐν τῷ ναῷ ἐγενέσθην ἄμφω, ἠξίου πρῶτον Ἀρσάκης τὸν Ἰουστῖνον δι' ὅρκων ἰσχυρίσασθαι μή ποτε τοὺς λόγους ἔς τινα τῶν πάντων ἀνθρώπων ὅτι μὴ ἐς τὸν πατέρα μόνον ἐξοίσειν. ταῦτά τε ὁμωμοκότι τῷ ἀνδρὶ ὠνείδιζεν εἰ βασιλεῖ ξυγγενὴς πλησιαίτατα ὢν ἀγοραίους μὲν καὶ ἀγελαίους ἀνθρώπους τινὰς, ἔχοντας οὐδὲν αὐτοῖς προσῆκον ὁρῶν τὰς τῆς πολιτείας ἀρχὰς, αὐτὸς δὲ τηλίκος ὢν ἀνέχοιτο πρὸς ἰδιωτῶν διοικεῖσθαι τὰ πράγματα. προσετίθει τε ὡς οὐκ αὐτὸν μόνον περιορῶν βασιλεὺς φαίνεται, ἀλλὰ καὶ τὸν πατέρα τὸν αὐτοῦ, καίπερ ἐπ' ἄκρον ἀρετῆς ἥκοντα, καὶ τὸν ἀδελφὸν Ἰουστινιανὸν ἐν ἰδιώτου μοίρᾳ D ἐᾷ καθημένους τὸν πάντα αἰῶνα, καὶ οὐδ' ἐς τοῦ θείου τὴν οὐσίαν αὐτὸν εἰσιέναι ξυνέβη, ἧς δὴ κληρονόμος τῷ γε ὅσον βεβουλῆσθαι Βοραΐδην αὐτὸς γεγονὼς, εἶτα οὐ δέον ἐκ τοῦ ἐπὶ πλεῖστον ἀφῄρηται. καίτοι πολλῷ ἔτι μᾶλλον αὐτοὺς περιοφθήσεσθαι εἰκὸς αὐτίκα δὴ μάλα, ἐπειδὰν τάχιστα Βελισάριος ἐξ Ἰταλίας ἀφίκηται. ἠγγέλλετο γὰρ ὢν ἐν Ἰλλυριοῖς ἤδη που μέσοις. τοσαῦτα ὑπειπὼν Ἀρσάκης ἐς τὴν βασιλέως ἐπιβουλὴν τὸν νεανίαν ὥρμα, τά τε οἱ αὐτῷ καὶ Ἀρταβάνῃ ξυγκείμενα καὶ τῷ Χαναράγγῃ ἀμφὶ τῷ ἔργῳ τούτῳ ἀποκαλύψας. ταῦτα Ἰουστῖνος ἀκούσας ξυνεταράχθη τε καὶ ἱλιγγιάσας ἄντικρυς πρὸς τὸν P 540

2. τινα] τινας H: illud Hm. 4. τῷ ἀνδρὶ] τὴν τὴν ἀν (sic) L. τήν τ' ἀνανδρίαν Lm. *ibid.* πλησιαίτατα] πλησιαίτατος Reg. 7. ὢν ἀνέχοιτο πρὸς ἰδιωτῶν] ὢν ἤδη πρὸς αὐτοῦ εἶναι L. 8. προσετίθει τε om. L. *ibid.* ὡς οὐ] οὐ κατ' L. 9. φαίνεται om. L. *ibid.* τὸν αὐτοῦ om. L. 11. ἐᾷ om. L. *ibid.* οὐδ' ἐς τοῦ] οὐδὲ τοῦ L. 12. τῷ γε ὅσον] τά γε ὅσα L. 17. ἐς τὴν βασιλέως] ἐς βασιλέα L. 19. τῷ ἔργῳ τούτῳ] τὸ ἔργον τοῦτο L. 20. πρὸς τὸν L a m. sec. Aberat πρὸς.

templo quodam. Ut illuc ambo ingressi sunt, ante omnia Iustinum Arsaces rogat, iurato confirmet, se quae audierit, mortalium omnium nemini unquam enunciaturum, praeterquam patri. Iureiurando devinctum increpat, quod cum proxime contingat Imperatorem, plebeios ac gregarios homines publicis honoribus immerito uti videat, et cum tantus sit, ab iis, qui sanguine alieni sint a regia, administrari res patiatur. Addit non ipsum modo videri esse contemptui Imperatori, sed ipsius etiam patrem, quamvis summa virtute praeditum, et fratrem Iustinianum ab eodem relinqui semper in privatorum iacentes numero: commemorat aversa patrui bona; quorum ipse, quantum in Boraidis voluntate erat, cum esset haeres institutus, parte maxima spoliatus inique fuerit: nec dubium esse, quin ab illo multo magis spernantur, cum primum ex Italia redierit Belisarius; quem in medio iam esse Illyrico fama nuntiet. His Arsaces dictis, ad exitium Imperatori struendum impellit adolescentem, patefactis quae sibi ad eam rem cum Artabane et Chanarange constituta fuissent. Quibus auditis, conturbatus Iustinus, et quasi vertigine cor-

Ἀρσάκην ἀπεῖπε μήτ' ἂν οἱ αὐτῷ μήτε Γερμανῷ τῷ πατρὶ ταῦτά ποτε ποιητέα εἶναι.

Καὶ ὁ μὲν Ἀρσάκης τὰ ξυμπεσόντα τῷ Ἀρταβάνῃ ἀπήγγελλεν, ὁ δὲ Ἰουστῖνος ἐς τὸν πατέρα τὸν πάντα λόγον ἀνήνεγκεν. καὶ ὃς Μαρκέλλῳ κοινολογησάμενος, ὃς τῶν ἐν παλατίῳ φυλάκων ἦρχεν, ἀμφὶ τῷ πράγματι ξυμβουλὴν ἐποιεῖτο, εἴπερ σφίσι ταῦτα ἐς βασιλέα ἐξενεγκεῖν ξύμφορον εἴη. ἦν δὲ οὗτος ὁ Μύρκελλος ἐμβριθέστατός τε τὸ ἦθος καὶ τῇ σιωπῇ τὰ πολλὰ νέμων, οὔτε χρημάτων τι ἕνεκα πράσσων οὔτε λόγων ἢ πράξεων γελωτοποιῶν ἀνεχόμενος οὔτε ἄλλως ἀνειμένῃ διαίτῃ χαίρων, ἀλλὰ βίον σκληρόν τέ τινα ἐς ἀεὶ καὶ ἡδονῆς ἀλλότριον ἔχων, τοῦ μέντοι δικαίου ἐπιμελητὴς ἀκριβὴς καὶ τοῦ ἀληθοῦς διαπυρώτατος ἐραστής. ὃς δὴ τότε οὐκ εἴα τὸν λόγον ἐς βασιλέα φέρεσθαι. „Σὲ μὲν γὰρ τούτου" ἔφη „μηνυτὴν γενέσθαι ἀξύμφορον. ἦν γάρ τι λάθρα ἐρεῖν βασιλεῖ βούλοιο, ὑποτοπήσουσί τε εὐθὺς οἱ ἀμφὶ Ἀρταβάνην αὐτὸ μεμηνύσθαι, καὶ ἤν που Ἀρσάκης διαφυγὼν λαθεῖν δύνηται, ἀνεξέλεγκτον τὸ ἔγκλημα μενεῖ. ἐγὼ δέ τι μὴ λίαν ἀκριβολογησάμενος ἢ πιστεύειν αὐτὸς ἢ βασιλεῖ ἐσαγγέλλειν οὐδαμῇ εἴωθα. βούλομαι τοίνυν ἢ τῶν λόγων αὐτήκοος γενέσθαι ἢ τῶν οἱ ἐπιτηδείων τινὰ ἐκ παρασκευῆς ὑμετέρας ἀκοῦσαι τοῦ ἀνθρώπου λέγοντός τι ὑπὲρ τούτων διαφανές." ταῦτα ὁ Γερμανὸς ἀκούσας Ἰουστῖνον τὸν παῖδα ἐκέλευε πράσσειν ὅπως ἡ

3. ἀπήγγελλεν] ἀπήγγειλεν L. 6. τῷ πράγματι] τὸ πρᾶγμα L. 11. ἐς ἀεὶ post ἀλλότριον Hm. 13. ἐς βασιλέα] ἐς βασιλέως L. *ibid.* Σὲ] ἐμὲ L. 22. τὸν om. L.

reptus, clare tamen et praecise negat Arsaci, a se unquam vel Germano patre committendum id facinus.

Haec uti se habuerant Arsaces Artabani renuntiat: Iustinus patri rem pandit ordine: hic cum Marcello, custodiis Palatinis Praefecto communicat, consultatque, sibine expediat indicare Imperatori. Erat hic Marcellus vir moribus gravissimis, ac silentii tenacissimus. Nihil agebat pecuniae causa: dicta factaque ridicula aversabatur: nec soluto vivendi genere, sed aspero et a deliciis alieno semper gaudebat: aequi idem servantissimus, atque amantissimus veri. Tunc Germanum tenuit, quominus Augusto molitionem ederet. *Neque enim*, inquit, *te eius indicem esse convenit. Nam si quid Principi remotis arbitris volueris dicere, statim delationem suspicabitur Artabanes; ac si Arsaces elapsus fuga latuerit, scelus incompertum manebit. Ego vero rem leviter exploratam nec mihi persuadere, neque ad Imperatorem deferre soleo. Itaque placet vel auribus illud meis accipere, vel familiarium meorum quempiam a vobis ita disponi, ut eum de conspiratione aliquid dicentem audiat.* Tum Iustino filio Germanus imperat, operam det, ut Marcelli mandatum fiat. Verum

Μαρκέλλου ἐπίταξις ἐπιτελὴς εἴη. ὁ δὲ Ἀρσάκης ὑπὲρ τούτου εἰπεῖν οὐκέτι εἶχεν, ἐπεὶ ἄντικρυς αὐτῷ, ὥσπερ μοι ἐρρήθη, ἀπειπὼν ἔτυχε. τοῦ δὲ Χαναράγγου ἀνεπυνθάνετο εἰ Ἀρταβάνου γνώμῃ ἔναγχος Ἀρσάκης παρ' αὐτὸν ἥκοι. „Ἐγὼ μὲν γὰρ οὐκ ἄν ποτε" ἔφη „τῶν τι ἀπορρήτων ἐθάρσησα ἐπ' ἐκείνῳ τοιῷδε ὄντι καταλιπεῖν. ἀλλ' εἴ μοι βούλοιό τι αὐτὸς τῶν προὔργου εἰπεῖν, ἐπὶ κοινῆς βουλευσάμενοι τάχα ἄν τι καὶ ἀγαθὸν πρά- H 303
ξαιμεν." ὑπὲρ τούτων ὁ Χαναράγγης τῷ Ἀρταβάνῃ κοινολογησάμενος ἅπαντα ἐς τὸν Ἰουστῖνον ἐξήνεγκεν, ὅσα δὴ πρότερον Ἀρσάκης αὐτῷ εἰπὼν ἔτυχεν.

Ἐπεὶ δὲ Ἰουστῖνος αὐτός τε ἅπαντα ἐπιτελέσειν καὶ τὸν πατέρα ὡμολόγει ὁμογνωμονοῦντα παρέξεσθαι, ἐδόκει τῷ Γερμανῷ D
τὸν Χαναράγγην ἐς λόγους ξυμμῖξαι, τακτή τε ἡμέρα τῷ διαλόγῳ ξυνέκειτο. ταῦτα ὁ Γερμανὸς Μαρκέλλῳ σημήνας ἠξίου τῶν τινά οἱ ἐπιτηδείων παρέχεσθαι σφίσιν, αὐτήκοον τοῦ Χαναράγγου λόγων ἐσόμενον. ὁ δὲ Λεόντιον παρείχετο, τὸν Ἀθανασίου γαμβρὸν, ἄνδρα λόγου τε τοῦ δικαίου μεταποιούμενον καὶ ἀληθίζεσθαι ἐξεπιστάμενον μάλιστα. ὃν δὴ ὁ Γερμανὸς ἐς τὴν οἰκίαν ἐσαγαγὼν ἐν δωματίῳ ἐκάθισεν, ἵνα δὴ ἀπεκρέμητό V 162
τις παχεῖα σινδὼν παραπέτασμα τῆς στιβάδος οὖσα, ἐφ' ἧς ἑστιᾶσθαι εἰώθει. ταύτης τε τῆς σινδόνος τὸν μὲν Λεόντιον ἐντὸς ἔκρυψεν, αὐτὸς δὲ ξὺν Ἰουστίνῳ τῷ παιδὶ ἐκτὸς ἔμενεν. ἐνταῦθα τοῦ Χαναράγγου ἀφικομένου ἤκουσε σαφῶς ὁ Λέοντιος P 541

1. τούτου] τοῦτο L. 2. ἐπεὶ] ἐπειδὴ H: illud Hm. 7. κοινῆς L. κοινῇ P. 11. ἅπαντα ἐπιτελέσειν] ἅπαν ὑποτελέσειν Reg. 12. Vulgo ὁμογνωμοῦντα. 18. ἐξεπιστάμενον Reg. ἐπιστάμενον P.

Arsaces repulsam, ut dixi, aperte passus, adduci non potuit, ut ea de re loqueretur. Quare ex Chanarange Iustinus quaerit, num se adierit Arsaces de Artabanis sententia? *Nam ego*, infit, *nullum arcanum eiusmodi homini ausim credere. At si quid eorum, quae facere sit operae pretium, ipse mihi exponere velles, fortasse de communi consilio praeclarum aliquid efficeremus.* De his Chanaranges collocutus cum Artabane, Iustinum nihil eorum celavit, quae Arsaces ipsi iam ante dixerat.

Pollicito Iustino nec suam ulla in parte operam, nec patris consensum defore, Germanus cum Chanarange agendum censuit, ac dies colloquio constituta est. Quae cum Germanus Marcello significasset, rogavit ex amicis aliquem mitteret, auritum testem verborum Chanarangis futurum. Leontium illé destinat, Athanasii generum, qui linguam aequitati veritatique addictissimam habebat. Eum Germanus domum introductum, locavit in cubiculo; ubi crassius pendebat linteum, obtentum toro, in quo epulari consueverat. Leontio intra hoc linteum abdito, ipse extra cum Iustino filio constitit. Huc admisso Chanarange, clare ex illius

ἅπαντα λέγοντος, ἅπερ αὐτῷ τε καὶ Ἀρταβάνῃ καὶ τῷ Ἀρσάκῃ ἐν βουλῇ ἐγεγόνει. ἐν τοῖς καὶ τόδε ἐς τὸν λόγον ἦλθεν, ὡς, ἢν βασιλέα κτείνωσι, Βελισαρίου ἔτι ἐς Βυζάντιον ὁδῷ ἰόντος οὐδὲν ἂν τῶν βεβουλευμένων προχωρήσειε σφίσιν, εἴπερ αὐτοῖς μὲν βασιλέα Γερμανὸν καταστήσεσθαι βουλομένοις εἴη, Βελισάριον δὲ πλῆθος στρατιᾶς ἀθροίσειν εἰκὸς ἐκ τῶν ἐπὶ Θρᾴκης χωρίων, οὕτω τε σφίσιν ἐπιόντα τὸν ἄνθρωπον οὐδεμιᾷ μηχανῇ ἀπωθεῖσθαι ἱκανοὶ ἔσονται. δεήσει γοῦν ἐς μὲν τὴν Βελισαρίου παρουσίαν ἀποθέσθαι τὴν πρᾶξιν, ἐπειδὰν δὲ ὁ ἀνὴρ τάχιστα ἐς Βυ-
B ζάντιόν τε ἀφίκηται καὶ παρὰ βασιλέα ἐν παλατίῳ εἴη, τότε δή, ἐσπέρας βαθείας που οὔσης, ἐγχειρίδια φέροντας ἀπροσδοκήτως ἐνταῦθα γενέσθαι, καὶ Μάρκελλόν τε καὶ Βελισάριον ξὺν βασιλεῖ κτεῖναι. οὕτω γὰρ τὰ ἐνθένδε ἀδεέστερον ἢ βούλοιντο τὰ πράγματα διοικήσονται. ταῦτα Μάρκελλος πρὸς Λεοντίου μαθὼν οὐδ' ὡς ἐς βασιλέα τὸν λόγον ἀνενεγκεῖν ἔγνω, ἀλλ' ἔτι ὀκνήσει πολλῇ εἶχετο, τοῦ μὴ τὸν Ἀρταβάνην σπουδῇ πολλῇ κατεργάσασθαι ἀπερισκέπτως. ὁ μέντοι Γερμανὸς ἅπαντα ἔς τε Βούζην καὶ Κωνσταντιανὸν ἐξήνεγκε, δείσας, ὅπερ ἐγένετο, μή τινα ἐκ τῆς μελλήσεως ὑποψίαν λάβοι.

Ἡμέραις δὲ οὐ πολλαῖς ὕστερον, ἐπειδὴ παρὼν Βελισάριος
C ἄγχιστά που ἤδη ἠγγέλλετο, Μάρκελλος μὲν ἐς βασιλέα τὸν πάντα λόγον ἀνήνεγκεν, ὁ δὲ αὐτίκα ἐς τὴν εἱρκτὴν ἀπαχθῆναι τοὺς

2. ἐν τοῖς] ἐν οἷς L. 3. Βελισαρίου — ἰόντος] βελισαρίῳ — ἰόντι L. 10. δή om. L. 18. μή τινα] μή τι L. 19. ὑποψίαν λάβοι] ὑποψίαν τινὰ λάβῃ L.

ore excepit Leontius quaecumque ipsi cum Artabane et Arsace deliberando perpensa fuerant. Inter quae hoc in sermonem venit; si Imperatorem de medio prius tollerent, quam Belisarius Byzantium advenisset, nullam consilii partem sibi processuram: cum Imperium quidem tradere Germano vellent, at verisimile esset Belisarium copias collecturum in Thracia, nec se impressioni illius repellendae pares futuros: itaque reiiciendam esse rem in adventum Belisarii: simul autem Byzantium ingressus, cum Augusto in Palatio agere cepisset, eo tunc irrrumpendum improviso cum pugionibus, sero crepusculo, et Marcellum ac Belisarium cum Imperatore confodiendos; sic enim factum iri, ut liberius deinde res ex animi sententia componerent. Haec Marcellus cum ex Leontio dedicisset, ne sic quidem Imperatori coitionem prodere voluit; sed diu cunctatus est, ne nimia festinatione Artabanem temere perderet. At Germanus id, quod contigit, veritus, ne qua videlicet suspicione ob dilationem aspergeretur, Buzi et Constantiano rem totam edidit.

Paucis post diebus, cum Belisarius adesse iam proxime nuntiaretur, Marcellus conspirationis seriem evolvit Imperatori. Hic statim Artaba-

ἀμφὶ Ἀρταβάνην ἐκέλευε, τῶν τε ἀρχόντων τισὶ τὴν ἐπ' αὐτοῖς ἐπέτρεπε βάσανον. ἐπεὶ δὲ ἡ ἐπιβουλὴ ξύμπασα ἐς φῶς τε ἤδη ἐξεληλύθει καὶ διαρρήδην ἐν γράμμασιν ἦν, ἅπαντας βασιλεὺς τοὺς ἐκ τῆς ξυγκλήτου βουλῆς ἐν παλατίῳ ἐκάθισεν, οὗπερ εἰώθασι τὰς ἀμφὶ τοῖς ἀντιλεγομένοις ποιεῖσθαι γνώσεις. οἵπερ ἀναλεξάμενοι ἅπαντα, ὅσα τοῖς εὐθυνομένοις δεδιηγῆσθαι τετύχηκεν, οὐδέν τι ἧσσον ἐς Γερμανόν τε καὶ Ἰουστῖνον τὸν αὐτοῦ παῖδα τὸ ἔγκλημα ἦγον, ἕως ὁ Γερμανὸς Μαρκέλλου τε καὶ Λεοντίου τὴν μαρτυρίαν παρασχόμενος ἐκλύειν τὴν ὑποψίαν ἔσχεν. αὐτοί τε γὰρ καὶ Κωνσταντιανός τε καὶ Βούζης διώμοτοι ἰσχυρίσαντο μηδ' ὁτιοῦν σφᾶς τούτων δὴ ἕνεκα τὸν Γερμανὸν ἀποκρύψασθαι, ἀλλὰ ταύτῃ πάντα ξυνενεχθῆναι, ᾗπέρ μοι ἔναγχος δεδιήγηται. οἱ μὲν οὖν ἐκ τῆς ξυγκλήτου εὐθὺς αὐτοῦ τε καὶ τοῦ παιδὸς ἀπεψηφίσαντο ἅπαντες, ἅτε οὐδὲν ἐς τὴν πολιτείαν ἡμαρτηκότων. ἐπεὶ δὲ εἴσω πάντες ἐν βασιλέως ἐγένοντο, αὐτὸς μὲν ὀξὺ θυμωθεὶς βασιλεὺς ἠγανάκτει τε καὶ ὑπερφυῶς ἐπὶ τὸν Γερμανὸν ἠγριαίνετο τὴν βραδυτῆτα τῆς δηλώσεως αἰτιώμενος, τῶν τε ἀρχόντων δύο μέν τινες θεραπεύοντες αὐτὸν ὡμολόγουν τὴν γνώμην, καὶ ξὺν αὐτῷ δυσφορουμένοις ἐῴκεσαν· ταύτῃ τε τὸν βασιλέως θυμὸν ἐπὶ μέγα ἐξῆρον, ἀλλοτρίαις αὐτὸν χαριεῖσθαι ξυμφοραῖς ἐν σπουδῇ ἔχοντες. οἱ δὲ ἄλλοι κατεπτηχότες σιωπῇ εἶχοντο, τῷ μὴ ἀντιστατεῖν ἃ βούλοιτο ἐγχω-

D

H 304
P 542

2. ἐπέτρεπε βάσανον] βάσανον ἐπέτρεπε L. *ibid.* ἐς L. εἰς P. 3. ἐξεληλύθει] ἐληλύθει L. 4. ξυγκλήτου] συγκλήτου L. 7. τε καὶ] τε om. L. 11. ἀποκρύψασθαι P. ἀποκρύψεσθαι H. ἀποκρούσασθαι Reg. 12. ταύτῃ] ταῦτα Reg. 13. ξυγκλήτου] συγκλήτου L. 14. ἐς τὴν] εἰς τὴν L. 18. αὐτὸν] αὐτῷ L. 21. ξυμφοραῖς] συμφοραὶς L.

nem cum administris in custodiam tradi iubet, et curam subiiciendi illos quaestioni nonnullis Magistratibus demandat. Iam in lucem prolata, et clare litteris excepta machinatione Augusti iussu Senatus universus in Palatio, ubi de litibus cognoscere solet, consedit, et perlecta, quae tormentis expressa fuerat, confessione, nihilominus Germanum ac Iustinum ipsius filium in crimen vocavit; donec Germanus, producto Marcelli et Leontii testimonio, suspicionem depulit. Nam et illi, et Constantianus et Buzes iurati asseverarunt, nihil sibi a Germano suppressum, sed ita omnia, ut proxime narravi, se habuisse. Quamobrem illico Senatus omnis eum absolvit ac filium, ut qui nihil in Remp. deliquissent. Imperatoriam sulam ingressis omnibus, animo Augustus percito fremebat, et in Germanum vehementissime indignabatur, indicii tarditatem incusans. Ac duo quidam Praefecti molli adulatione sententiam ipsius probabant, pariter iratis similes, nec parum iram acuebant studio gratificandi illi aliena calamitate. Caeteri attoniti silebant, eius voluntati conniventes

ροῦντες αὐτῷ· Μάρκελλος δὲ μόνος ὀρθοστομήσας διασώσασθαι τὸν ἄνθρωπον ἴσχυσε. τὴν γὰρ αἰτίαν ἐφ' ἑαυτὸν ἕλκων τε καὶ βιαζόμενος δυνάμει τῇ πάσῃ Γερμανὸν μέν οἱ ἐπικαιρότατα ἔφη τὰ πρασσόμενα ἐξειπεῖν, αὐτὸν δὲ περιέργως ἀκριβολογούμενον σχολαιότερον αὐτὰ μεμηνυκέναι. καὶ τὴν βασιλέως ὀργὴν οὕτω κατέπαυσε. μέγα τε ἀπ' αὐτοῦ κλέος οὗτος ὁ Μάρκελλος περιεβάλλετο ἐς πάντας ἀνθρώπους, ἅτε ἀρετῆς ἐν τοῖς ἀναγκαιοτάτοις μεταποιούμενος. βασιλεὺς δὲ Ἰουστινιανὸς παρέλυσε τὸν Ἀρταβάνην ἧς εἶχεν ἀρχῆς, ἄλλο δὲ αὐτὸν εἰργάσατο οὐδὲν ἄχαρι, οὐ μὴν οὐδὲ τῶν ἄλλων οὐδένα, πλήν γε δὴ ὅτι ἅπαντας οὐ ξὺν ἀτιμίᾳ ἐν φυλακῇ ἔσχεν, ἐν παλατίῳ μέντοι, οὐκ ἐν τῷ δημοσίῳ οἰκήματι.

C V 163 λγ'. Ὑπὸ δὲ τὸν χρόνον τοῦ πολέμου τοῦδε κύριοι τῆς ἑσπερίας οἱ βάρβαροι διαρρήδην ἐγένοντο πάσης. τοῖς τε Ῥωμαίοις ὁ Γοτθικὸς πόλεμος, καίπερ τὰ πρῶτα κατὰ κράτος νενικηκόσιν, ὥσπερ μοι ἐν τοῖς ἔμπροσθεν εἴρηται, ἐς τοῦτο ἀπεκρίθη, ὥστε οὐχ ὅσον σφίσι χρήματα καὶ σώματα ἐπ' οὐδεμιᾷ ὀνήσει διεφθάρθαι πολλά, ἀλλὰ καὶ Ἰταλίαν προσαπολέσθαι, καὶ Ἰλλυριούς τε καὶ Θρᾳκας σχεδόν τι ξύμπαντας ἐπιδεῖν πρὸς τῶν βαρβάρων, ἅτε ὁμόρων ἤδη γεγενημένων, δῃουμένους τε καὶ διαφθειρομένους οὐδενὶ κόσμῳ. ἐγένετο δὲ ὧδε. Γαλλίας μὲν ὅλας τὰς σφίσι κατηκόους κατ' ἀρχὰς τοῦδε τοῦ πολέμου Γερμα-

2. ἑαυτὸν Reg. ἑαυτῷ P. ἐφ' ἑαυτὸν αἰτίαν Hm. 5. αὐτὰ Reg. αὐτὸν P. 9. αὐτὸν] αὐτῷ L. 13. τοῦδε] τόνδε H: τοῦδε Hm. 14. ἑσπερίας Reg. ἑσπέρας P. 15. ὁ Γοτθικὸς] ὁ om. L. 16. ἐν τοῖς om. L. 20. ἤδη om. L.

non resistendo. Unus admodum Marcellus libera voce rectaque oratione hominem servavit. Culpam enim in se convertens, ac pro parte virili instans, asseruit, Germanum celerrime declarasse sibi, quid pararetur; se autem curiosius inquirendo, longiorem ei moram crevisse: atque ita Imperatoris iram compescuit. Hinc apud omnes Marcelli nomen evasit celebre; utpote viri, qui in rebus summe necessariis virtutem summam ostenderet. Artabanem Iustinianus Augustus de gradu dignitatis deiecit, nec in ipsum caeterosque acerbius quidquam statuit, satis habens attinere omnes honesta custodia; utique in Palatio, non in publico carcere.

33. Huius belli tempore, totius Occidentis imperio Barbari palam potiti sunt. Ac Bellum Gotthicum, cuius primordia praeclaris victoriis Romani insignierant, quemadmodum supra narravi, eo recidit, ut non modo pecunias et corpora plurima absque ullo impenderint emolumento, sed Italiam quoque amiserint, et Illyricum Thraciamque fere universam a Barbaris, utpote iam finitimis, foede vastari viderint ac populari: quod ita contigit. Belli huius initio, Gotthi, ut in libris dixi superioribus, tota Galliae parte sibi subdita Germanis cesserant, illis ac Ro-

νοῖς ἔδοσαν Γότθοι, οὐκ ἂν οἰόμενοι πρὸς ἑκατέρους ἀντιτάξα- D
σθαι οἷοί τε εἶναι, ὥσπερ μοι ἐν τοῖς ἔμπροσθε λόγοις ἐρρήθη. ταύτην τε τὴν πρᾶξιν οὐχ ὅπως οὐ διακωλύειν Ῥωμαῖοι ἔσχον, ἀλλὰ καὶ βασιλεὺς Ἰουστινιανὸς ἐπέρρωσε σφίσι, τοῦ μή τί οἱ ἐναντίωμα τούτων δὴ τῶν βαρβάρων ἐκπεπολεμωμένων ὑπαντιάσαι. οὐ γάρ ποτε ᾤοντο Γαλλίας ξὺν τῷ ἀσφαλεῖ κεκτῆσθαι Φράγγοι, μὴ τοῦ αὐτοκράτορος τὸ ἔργον ἐπισφραγίσαντος τοῦτό γε, καὶ ἀπ' αὐτοῦ οἱ Γερμανῶν ἄρχοντες Μασαλίαν τε τὴν Φωκαέων ἀποικίαν καὶ ξύμπαντα τὰ ἐπιθαλάσσια χωρία ἔσχον, θαλάσσης τε τῆς ἐκείνῃ ἐκράτησαν. καὶ νῦν κάθηνται μὲν ἐν τῇ Ἀρελάτῳ τὸν ἱππικὸν ἀγῶνα θεώμενοι, νόμισμα δὲ χρυσοῦν ἐκ τῶν ἐν Γάλλοις μετάλλων πεποίηνται, οὐ τοῦ Ῥωμαίων αὐτοκρά- P 543
τορος, ᾗπερ εἴθισται, χαρακτῆρα ἐνθέμενοι τῷ στατῆρι τούτῳ, ἀλλὰ τὴν σφετέραν αὐτῶν εἰκόνα. καίτοι νόμισμα μὲν ἀργυροῦν ὁ Περσῶν βασιλεὺς ᾗ βούλοιτο ποιεῖν εἴωθε, χαρακτῆρα δὲ ἴδιον ἐμβαλέσθαι στατῆρι χρυσῷ οὔτε τὸν αὐτῶν ἄρχοντα θέμις οὔτε δὲ ἄλλον ὁντινοῦν βασιλέα τῶν πάντων βαρβάρων, καὶ ταῦτα μᾶλλον ὄντα χρυσοῦ κύριον, ἐπεὶ οὐδὲ τοῖς ξυμβάλλουσι προῖεσθαι τὸ νόμισμα τοῦτο οἷοί τέ εἰσιν, εἰ καὶ βαρβάρους τούς ξυμβάλλοντας εἶναι ξυμβαίη. ταῦτα μὲν οὖν τῇδε Φράγγοις ἐχώρησεν.

Ἐπεὶ δὲ τὰ Γότθων τε καὶ Τωτίλα καθυπέρτερα τῷ πολέ- B
μῳ ἐγένετο, Φράγγοι Βενετίων τὰ πλεῖστα σφίσι προσεποιήσαντο

5. ὑπαντιάσαι PHm. ὑπαντιᾶσαι L. ὑπαντιᾶσθαι H. 10. νῦν om. L. 16. τὸν αὐτῶν ἄρχοντα θέμις] τὸν αὐτὸν θέμις L. 17. οὔτε δὲ] δὲ delendum. 20. ξυμβαίη] ξυμβαίνει L.

manis resistere se simul non posse rati. Quod ne fieret, adeo non impedire Romani potuerunt, ut Iustinianus Augustus id confirmaverit; ne ab his Barbaris, si hostiles animos induerent, turbaretur. Nec vero Franci Galliarum possessionem sibi certam ac stabilem fore putabant, nisi illam Imperator suis literis comprobavisset. Ex eo tempore, Germanorum Reges Massiliam Phocensium coloniam, ac maritima loca omnia, adeoque illius maris imperium obtinuerunt. Iamque Arelate Circensibus praesident, et nummos cudunt ex auro Gallico, non Imperatoris, ut fieri solet, sed sua impressos effigie. Monetam quidem argenteam Persarum Rex arbitratu suo cudere consuevit: auream vero, neque ipsi, neque alii cuipiam Barbarorum Regi, quamvis auri domino, vultu proprio signare licet: quippe eiusmodi moneta commercio vel ipsorum Barbarorum excluditur. Ibi Francis res ita cesserat.

Iam Gotthis ac Totila bello superioribus, Franci maximam agri Veneti partem occuparunt nullo negotio; cum nec Romani illos arcere, nec

οὐδενὶ πόνῳ, οὔτε Ῥωμαίων δυναμένων ἔτι ἀμύνεσθαι οὔτε Γότθων οἵων τε ὄντων τὸν πόλεμον πρὸς ἑκατέρους διενεγκεῖν. Γήπαιδες δὲ πόλιν τε Σίρμιον καὶ Δακίας ἐκ τοῦ ἐπὶ πλεῖστον ἀπάσας καταλαβόντες ἔσχον. ἐπεὶ δὲ τάχιστα βασιλεὺς αὐτὰς Ἰουστινιανὸς ἀφείλετο Γότθους, ἐξηνδραπόδισάν τε τοὺς ταύτῃ Ῥωμαίους, ἔτι μέντοι ἐπίπροσθεν ἀεὶ ὁδῷ ἰόντες ἐληίζοντο βιαζόμενοι τὴν τῶν Ῥωμαίων ἀρχήν. διὸ δὴ βασιλεὺς αὐτοῖς τὰς
C ξυντάξεις οὐκ ἔτι ἐδίδου, ἅσπερ εἴθιστο σφᾶς ἀνέκαθεν πρὸς Ῥωμαίων κομίζεσθαι. Λαγγοβάρδας δὲ βασιλεὺς Ἰουστινιανὸς ἐδωρήσατο Νωρικῷ τε πόλει καὶ τοῖς ἐπὶ Παννονίας ὀχυρώμασί τε καὶ ἄλλοις χωρίοις πολλοῖς καὶ χρήμασι μεγάλοις ἄγαν. διά τοι τοῦτο ἐξ ἠθῶν τῶν πατρίων Λαγγοβάρδαι ἐξαναστάντες ἐνθένδε ποταμοῦ Ἴστρου ἱδρύσαντο, Γηπαίδων οὐ πολλῷ ἄποθεν. καὶ αὐτοὶ Δαλμάτας μὲν καὶ Ἰλλυριοὺς μέχρι τῶν Ἐπιδάμνου ὁρίων λῃσάμενοι ἠνδραπόδισαν, ἐπειδή τε τῶν τινες αἰχμαλώ-
H 305 των ἐνθένδε φυγόντες οἴκαδε ἀποκομίζεσθαι ἴσχυσαν, περιόντες
D τὴν Ῥωμαίων ἀρχὴν οἱ βάρβαροι οὗτοι, ἅτε Ῥωμαίοις ἔνσπονδοι ὄντες, ἤν τινας τῶν ἀποδράντων ἐπιγνοῖεν ἐνταῦθα, ὥσπερ ἀνδραπόδων οἰκείων δεδραπετευκότων ἐπελαμβάνοντο, τῶν τε γονέων ἀφέλκοντες ἐς τὰ οἰκεῖα ξὺν αὐτοῖς ἐκομίζοντο, οὐδενὸς σφίσιν ἀντισταιοῦντος. καὶ ἄλλα μέντοι Δακίας χωρία δόντος

5. Ῥωμαίους — τὴν τῶν om. L. 8. ξυντάξεις] συντάξεις L. 9. Λαγγοβάρδας] λαγγοβάρδους H: illud Hm. 14. Δαλμάτας μὲν] ἐς δαλματίας μὲν H. μέντοι δαλματίας L et Reg. *Dalmaciam omnem* Pers. 16. τὴν] τε τὴν L. 20. γονέων] γενομένων HL. Correctum in marg. Quod expressit Pers. *a parentibus*. „Forte γειναμένων, ut infra p. 571 c.“ Malt.

Gotthi utrisque arma inferre possent. Gepaedes, qui olim urbem Sirmium Daciamque omnem obtinuerant, ut primum Iustinianus Augustus ditioni Gotthicae regionem illam eripuit, agentes ibi Romanos abduxerunt in servitutem, et continenter progressi, vim vastitatemque Imperio Romano attulerunt. Quare Imperator illis in posterum stipendia negavit, quae iam inde olim a Romanis accipere consueverant. Cum autem urbem Noricum, et Pannoniae munitiones, aliaque loca, ac pecuniam insuper maximam Iustinianus Augustus Langobardis donasset, eam illi ob causam patriis sedibus relictis, in adversa Istri fluminis ripa consederant, haud procul a Gepaedibus. At ipsi quoque Dalmatiam et Illyricum ad limitem usque Epidamni pervagando, praedas abigebant et captivos: quorum nonnullis fuga elapsis, ac reversis domum, Romanum hi Barbari Imperium obibant, tanquam Romanis coniuncti foedere, ibique si quos eorum, qui evaserant, agnoscerent, perinde ac sua mancipia fugitiva recipiebant, atque abstractos e parentum sinu domum reducebant, nemine repugnante. Alia quaedam Daciae loca Erulis Imperator

βασιλέως Ἐρουλοι ἔσχον ἀμφὶ πόλιν Σιγγηδόνα, οὗ δὴ νῦν ἵδρυνται, Ἰλλυριούς τε καὶ τὰ ἐπὶ Θράκης χωρία καταθέοντες καὶ λη- V 164
ζόμενοι ἐκ τοῦ ἐπὶ πλεῖστον. τινὲς δὲ αὐτῶν καὶ Ῥωμαίων στρατιῶται γεγένηνται ἐν τοῖς φοιδεράτοις καλουμένοις ταττόμενοι. ἡνίκα οὖν Ἐρούλων ἐς Βυζάντιον πρέσβεις σταλεῖεν, τούτων δὴ τῶν ἀνδρῶν, οἳ τοὺς Ῥωμαίων κατηκόους ληΐζονται, τὰς ξυντάξεις ἁπάσας πρὸς βασιλέως κεκομισμένοι πόνῳ οὐδενὶ ἀπαλλάσσονται.

λδ'. Οὕτω μὲν οἱ βάρβαροι διεδάσαντο τὴν Ῥωμαίων ἀρ- P 544
χήν. χρόνῳ δὲ ὕστερον Γήπαιδές τε καὶ Λαγγοβάρδαι, ἅτε δὴ ἐν γειτόνων πη ᾠκημένοι ἀλλήλοις, διάφοροι γεγένηνται ἐς τὰ μάλιστα. πολεμησείοντές τε προθυμίᾳ τῇ πάσῃ ἐς ἀλλήλους ἑκάτεροι ὥργων τοῖς πολεμίοις διὰ μάχης ἰέναι, χρόνος τε τῇ ξυμβολῇ τακτὸς ὥριστο. Λαγγοβάρδαι δὲ οὐκ ἂν οἰόμενοι Γήπαισιν ἀξιόμαχοι κατὰ μόνας αὐτοὶ ἔσεσθαι (πλήθει γὰρ αὐτοὺς ἐλασσοῦσθαι τῶν πολεμίων ξυνέβαινε) Ῥωμαίους ἔγνωσαν ἐς ξυμμαχίαν ἐπαγαγέσθαι. Γήπαιδές τε ὡς ἔνσπονδοι ἢ ξυνάρα- B
σθαι Ῥωμαίους τοῦ ἀγῶνος αὐτοῖς δέον ἔγνωσαν δεηθῆναι καὶ τὸν πόλεμον ξυνδιενεγκεῖν ἀξιῶσαι, ἢ ἀμφοτέροις ἐκποδὼν στῆ-

1. *Σιγγηδόνα*] Σιγγήδονα P. σιγηδόνα H. σιγιδόνων Reg. *Sigidonum urbem* Pers. *ibid. νῦν ἵδρυνται*] ἵδρυνται νῦν L. 2. *Θράκης*] Θράκην HL. Θράκης L corr. et Hm. 3. *στρατιῶται*] στρατιωτῶν H. Recte Hm. 5. *δὴ*] οὖν L. 6. *ξυντάξεις*] συντάξεις L. Ad p. 544—547. lectiones codicis Reg. (B) accuratius collati affero: de quo dictum in praefat. vol. I. p. V. 10. *Γήπαιδές τε καὶ Λαγγοβάρδαι*] γήπεδές τε καὶ λαγοβάρδαι B. Et sic infra *γηπέδων, γήπεσι, γήπεδας*. 11. *ᾠκημένοι*] ὠκειμένοι B. *ibid. διάφοροι*] διαφόροις B. 13. *τοῖς πολεμίοις — ἰέναι* om. B. 14. *Λαγγοβάρδαι*] λαγγοβάρδοι H: illud Hm. 17. *Γήπαιδές τε — προσβοηθεῖν* om. B.

attribuit ad Singedonem; ubi nunc habitant, Illyricum Thraciamque crebris populantes incursionibus. Ex his aliquot Romanae militiae dederunt nomina, Foederatorum, ut vocant, ascripti numero. Cum autem Byzantium veniunt Erulorum Legati, omnia stipendia vel eorum, qui ditioni Romanae subditos expilant, ab Imperatore facillime consecuti, redeunt.

34. Ita Barbari Romanum Imperium inter se partiti sunt. Deinde maximo Gepaedes inter ac Langobardos invicem confines orto dissidio, utrique, belli mutui vehementissima incensi cupidine, pruriebant in pugnam: cui et certa dies praestituta est. Cum autem Langobardi se solos Gepaedibus impares fore intelligerent, utpote numero inferiores, Romanos in societatem belli pertrahere decreverunt. Rursus Gepaedes a Romanis pro iure foederis, quo iuncti cum ipsis erant, petere constituerunt, ut vel una secum arma sumerent, bellumque inferrent, vel inte-

ναι καὶ μηδετέρῳ ἔθνει προσβοηθεῖν. πέμψαντες οὖν παρὰ βασιλέα Ἰουστινιανὸν πρέσβεις ἑκάτεροι τὴν ἐκεῖθεν ἐκαραδόκουν βοήθειαν. ἦρχε δὲ τότε Γηπαίδων μὲν Θορισὶν ὄνομα, τῶν δὲ ἑτέρων Αὐδουίν. βασιλεὺς δὲ Ἰουστινιανὸς λόγους μὲν τοὺς πρὸς ἀμφοτέρων ἀκούειν ἔγνω, οὐχ ἅμα μέντοι ξυνιόντων, ἀλλὰ καὶ χωρὶς παρ' αὐτὸν γινομένων. ἐν τούτοις πρῶτοι οὖν Λαγγοβάρδαι βασιλεῖ ἐς ὄψιν ἐλθόντες ἔλεξαν τοιάδε ,,Ἡμῖν μέν, ὦ βασιλεῦ, καταπεπλῆχθαι τῇ Γηπαίδων ἀτοπίᾳ ξυμβαίνει, οἵ γε τοσαῦτά τε τὸ πλῆθος καὶ τοιαῦτα τὸ μέγεθος ἐς τὴν ὑμετέραν παρανενομηκότες ἀρχὴν νῦν καὶ τὴν μεγίστην τῶν ὕβρεων ὑμῖν κομιοῦντες ἐφ' ὑμᾶς ἥκουσιν. οὗτοι γὰρ ἂν μόνοι τὰ ἔσχατα ἐς τοὺς πέλας ὑβρίζοιεν, οἳ λίαν αὐτοὺς εὐπετεῖς εἰς τὸ ἐξαπατᾶσθαι οἰόμενοι τῆς τῶν ἠδικημένων ἀπολαύσοντες εὐηθείας παρ' αὐτοὺς ἥκοιεν. ὑμᾶς δὲ διασκοπεῖσθαι τοσοῦτον αἰτοῦμεν, ὅπη ποτὲ γνώμης τὰ ἐς φιλίαν Γήπαισιν ἔχει. οὕτω γὰρ ἂν τὰ ξυνοίσοντα ὡς ἀσφαλέστατα ἐργάσαισθε τῇ Ῥωμαίων ἀρχῇ, ἐπεὶ τοῖς ἀεὶ προγεγενημένοις τεκμηριοῦσθαι τὰ ἐσόμενα ξὺν τῷ ἀσφαλεῖ δύνανται ἄνθρωποι. εἰ μὲν οὖν ἐς ἑτέρους τινὰς τὴν ἀγνωμοσύνην ἐπιδεδεῖχθαι μόνον τὸ Γηπαίδων ἔθνος ξυνέβαινε, πολλοῦ λόγου τε ἂν ἡμῖν καὶ χρόνου καὶ τῆς ἔξωθεν μαρτυρίας ἐδέησε διελέγχειν ἐφιεμένοις τὸν τῶν ἀνδρῶν τρόπον· νῦν δὲ τὸ παρά-

2. πρέσβεις] ὑπὲρ τῶν αὐτῶν δεησομένους addit B. Sic etiam L, nisi quod Lm ὑπὲρ τούτων αὐτοῦ, quod ex Reg. affert Malt. et habet Hm. 3. Θορισὶν] *Chorisinus* Pers. 4. Αὐδουίν] *Abdinus* Pers. 6. τούτοις πρῶτοι Reg. Vulgo τοῖς πρώτοις. 16. ἐργάσαισθε] Vulgo ἐργάσησθε. ἐξεργασμένα B. ἐξειργασμένα Hm. 17. ἐσόμενα B. Vulgo ἐπόμενα.

gros servarent sese, et neutri genti faverent. Utrique igitur missis ad Iustinianum Augustum legationibus, ab illo auxilium magnopere expectabant. Tunc temporis Thorisinus imperabat Gepaedibus, Auduinus Langobardis. Utrosque audire statuit Iustinianus Augustus, non in unum coactos coetum, at separate admissos. Primi ad Imperatoris conspectum introducti Langobardi, ita fere disseruerunt. *Vehementer miramur, Imperator, absurdam Gepaedum insolentiam: qui post tot tantasque iniurias vestro illatas a se Imperio, nunc etiam dedecus gravissimum vobis imposituri accedunt. Nam licentiam in vicinos extrema plenam indignitate ii solum exercent, qui illos arbitrati captu admodum faciles esse, eorumque bonitate, quos inique violarunt, abusi, ipsos adeunt. Iam unum id perpendatis rogamus, quo sint animo Gepaedes in amicitia. Sic enim fiet, ut Romano optime consulatis Imperio: siquidem hominibus semper licet certam futuri coniecturam ex praeterito facere. Ac si Gepaedes perfidiam uni alii cuipiam genti exhibuissent; nobis eorum ingenium ac mores ostendere cupientibus, longa oratione, multo tempore, externisque testimoniis opus esset: iam vero vos ipsi exemplum praebetis recens. Haec enim con-*

δειγμα ἐγγύθεν παρ' ὑμῶν αὐτῶν λαβεῖν πάρεστι. σκέψασθε γὰρ, Γότθοι μὲν τὴν Δακῶν χώραν ἐς φόρου ἀπαγωγὴν τὰ πρότερα εἶχον, Γήπαιδες δὲ τοῦ Ἴστρου ἐπὶ θάτερα τὸ ἐξ ἀρχῆς ᾤκηντο ἅπαντες, Γότθων μὲν οὕτω κατειπτηχότες τὴν δύναμιν ὥστε τὸν ποταμὸν διαπορθμεύεσθαι οὐδὲ ὅσον ἀποπειράσασθαι P 545 πώποτε ἴσχυσαν, ἔνσπονδοι δὲ καὶ φίλοι Ῥωμαίοις τὰ μάλιστα ὄντες καὶ δῶρα πολλὰ τῷ τῆς φιλίας ὀνόματι κομιζόμενοι ἀνὰ πᾶν ἔτος πρὸς τῶν ἔμπροσθεν βεβασιλευκότων, καὶ παρὰ σοῦ μέντοι οὐδέν τι ἧσσον. ἡδέως ἂν οὖν πυθοίμεθα τούτων δὴ τῶν ἀνδρῶν τί ποτε ὑπὲρ τούτων αὐτοὺς ἐς Ῥωμαίους ἀγαθῶν εἴργασται. ἀλλ' οὐκ ἂν ἔχοιεν ἢ μικρὸν ἢ μέγα εἰπεῖν. ἕως μὲν οὖν οὐκ εἶχον ἐφ' ὅτῳ ἂν ὑμᾶς ἀδικοῖεν, οὐ γνώμῃ τινὶ, ἀλλ' ἀπορίᾳ ἠναγκασμένοι ἡσυχῇ ἔμενον. τοῦ μὲν γὰρ Ἴστρου ἐπέκεινα προσποιεῖσθαι ὑμεῖς οὐδὲν ἠξιοῦτε, τὸ δὲ ἐνθένδε τὸ ἐκ Γότθων αὐτοὺς ἀνεσόβει δέος. τίς δ' ἂν εὐγνωμοσύνην ποτὲ τὴν ἀδυναμίαν καλοίη; ποία δὲ φιλίας βεβαίωσις ἐν τῇ τοῦ ἐξαμαρτάνειν ἀμηχανίᾳ γενήσεται; οὐκ ἔστιν, ὦ βασιλεῦ, ταῦτα, H 306 οὐκ ἔστιν. δύναμις γὰρ ἀνθρώπου φύσιν ἤτοι προαίρεσιν σπουδαίαν ἢ φαύλην ἐνδείκνυται μόνη, ἐξάγουσα πάντως ἐν δημοσίῳ V 165 τῇ τοῦ δρᾶν ἐξουσίᾳ τὸν τρόπον. ἰδοὺ γὰρ, ἐπειδὴ τάχιστα Γήπαιδες εἶδον Γότθους μὲν ἐκ Δακίας ἀπεληλαμένους ἀπάσης,

S. τὸ ἐξ] τὸ om. L. 6. τὰ μάλιστα] κατὰ μάλιστα B. 8. πρὸς τῶν] πρός τε τῶν L. 9. οὐδέν τι B. Aberat τι. ibid. ἂν οὖν B. οὖν ἂν P. ibid. πυθοίμεθα] πυθώμεθα B. ibid. τούτων B. οὕτω P. 10. ἀγαθῶν] ἀγαθὸν L. 14. ἠξιοῦτε] ἠξιοῦτε δέος B. 16. ποία] ποίας B. 18. ἤτοι προαίρεσιν σπουδαίαν ἢ φαύλην om. B. 19. μόνη, ἐξάγουσα πάντως] μόνην ἐξάγουσαν πᾶσαν B. 20. δρᾶν PHm. ἀνδρὸς H.

siderate. Ante hoc tempus, cum Gothi vectigalem haberent Daciam, Gepaedes trans Istrum, ubi olim sederant, tenebant so omnes, potentiam Gothicam adeo reformidantes, ut traiectum fluvii nunquam tentarint. Tunc foederati et amicissimi Romanorum, amicitiae nomine cum ab Imperatoribus fato functis congiaria annis singulis plurima, tum a te aeque munifico acceperunt. Iam ex ipsis libenter quaesiverimus, quid unquam boni pro his beneficiis in Romanos contulerint. Nihil certe nec leve nec magnum proferre possunt. Quandiu nihil fuit, quo vos laederent, tandiu se continuerunt, necessitate adducti, non voluntate. Nam quidquid trans Istrum est, habebatis pro derelicto: regione autem citeriori eos arcebat Gothorum metus. Quis vero gratum unquam appellet animum, nocendi impotentiam? et quae stabilitas amicitiae in mero defectu virium ad peccandum? Aliter, Imperator, aliter se res habet: quandoquidem naturam hominis, et mentem bene vel male affectam sola potestas ostendit, dum mores in lucem omnino profert agendi libertate. Ecce enim, ut primum Gepaedes pulsos ex omni Dacia Gothos ac vos bello impeditos viderunt,

ὑμᾶς δὲ ἀσχολίᾳ τῇ πρὸς τοὺς πολεμίους ἐχομένους, πανταχόθεν τῆς γῆς ἐπιβατεῦσαι τῆς ὑμετέρας οἱ μιαροὶ τετολμήκασι. πῶς ἂν τις ἐφικέσθαι δύναιτο τῷ λόγῳ τῆς τοῦ πράγματος ἀτοπίας; οὐ κατεφρόνησαν τῆς Ῥωμαίων ἀρχῆς; οὐκ ἔλυσαν σπονδῶν τε
C καὶ ξυμμάχων θεσμούς; οὐχ ὕβρισαν εἰς οὓς ἥκιστ' ἐχρῆν; οὐκ ἐβιάσαντο βασιλείαν, ἧς δοῦλοι ἂν εὔξαιντο εἶναι, ἦν τις σχολὴ ὑμῖν ἐπ' αὐτοῖς γένηται; Γήπαιδες, ὦ βασιλεῦ, Σίρμιον ἔχουσι καὶ Ῥωμαίους ἀνδραποδίζουσιν, ὅλην τε προσποιεῖσθαι Δακίαν αὐχοῦσι. τίνα πόλεμον ὑπὲρ ὑμῶν ποτε ἢ ξὺν ὑμῖν ἢ πρὸς ὑμᾶς αὐτοὺς νενικηκότες; ἢ τίνος ἀγωνίας ἄθλα τὴν χώραν ταύτην πεποιημένοι; καὶ ταῦτα ἔμμισθοι πρὸς ὑμῶν γεγονότες πολλάκις καὶ τὰ χρήματα, ὥσπερ εἴρηται, κεκομισμένοι χρόνον οὐκ ἴσμεν ὁπόσον ἄνω. καίτοι τῆς παρούσης αὐτῶν πρεσβείας οὐ γέγονε πρᾶξις μιαρωτέρα ἐκ τοῦ παντὸς χρόνου. ἐπειδὴ γὰρ ἡμᾶς πολεμησείοντας ἐπ' αὐτοὺς εἶδον, ἐς Βυζάντιόν τε θαρσοῦσιν ἀφῖ-
χθαι καὶ βασιλεῖ ἐς τοσόνδε περιυβρισμένῳ ἐς ὄψιν ἐλθεῖν. ἴσως
D που καὶ ἀναιδείας περιουσίᾳ καὶ περὶ ξυμμαχίας παρακαλέσουσιν ἐφ' ἡμῖν τοῖς οὕτω κατεσπουδασμένοις ὑμῖν. καὶ μὴν εἰ ἀποδωσείοντες ἥκουσιν ὧνπερ ἐπεβάτευσαν, οὐδὲν σφίσι προσῆκον, Λαγγοβάρδας αἰτιωτάτους τῆς ἐνθένδε μεταμελείας λογιστέον

1. ἀσχολίᾳ τῇ] ἀσχολίας τῆς B. *ibid.* πανταχόθεν] πανταχόθι Reg. 2. τῆς ὑμετέρας] γῆς τῆς ὑμετέρας B. *ibid.* μιαροὶ] μιαράτατοι B. 3. τῷ λόγῳ] τῷ om. B. 4. οὐ] ᾧ Lm. *ibid.* σπονδῶν τε καὶ ξυμμάχων] θεσμῶν τε καὶ συμμάχων B. 5. ἥκιστ' B. ἥκιστα P. 6. τις] τι B. 14. ἡμᾶς] ὑμᾶς L. 16. ἐλθεῖν] ἥκειν B. 17. καὶ περὶ ξυμμαχίας] ἐς ξυμμαχίας B. 18. εἰ om. B. 19. ἥκουσιν B. ἥκασιν P. 20. Λαγγοβάρδας] Λαγγοβάρδους H. λαγοβάρδας L. *ibid.* μεταμελείας] ἀμελείας L.

ausi sunt sceleste undique ditionem vestram invadere: cuius rei indignitatem quis possit verbis consequi? An non Romanum Imperium spreverunt? an non foederis ac societatis leges violarunt? an non quos minime laedi oportebat, habuere ludibrio? nonne rebellarunt in Maiestatem, cui servire gloriarentur, si tantillum vacaret contra ipsos arma expedire? Sirmium Gepaedes tenent, o Imperator, et Romanos abstrahunt in servitutem, seque universa Dacia potiri iactant; post cuius tandem belli pro vobis, aut vobiscum, vel in vos unquam gesti victoriam? In cuius pugnae praemium illis ea regio cessit? idque postquam a vobis crebra stipendia, et iam ante, a tempore nescimus quo, pecuniam, ut dictum est, acceperunt. Hac porro ipsorum legatione nihil iniquius post homines natos susceptum est. Nam ubi in se bellum a nobis moveri intellexerunt, non dubitarunt venire Byzantium, seque sistere tam indigne habito Imperatori. Ac forte per summam impudentiam vos ad bellicam societatem contra nos, vestris adeo rebus addictos, impellent. Quod si eo consilio venerunt, ut

Ῥωμαίους, ὥνπερ τῷ δέει ἀναγκασθέντες τὴν ἀκούσιον εὐγνωμοσύνην ὀψὲ τοῦ καιροῦ μεταμπίσχονται. τῷ γὰρ τὴν ἀνάγκην πεποιημένῳ τὴν χάριν εἰκότως ὁ τῆς εὐεργεσίας τυχὼν εἴσεται. εἰ δέ γε μηδὲ νῦν ἐκστῆναι τῶν οὐ προσηκόντων βεβούληνται, τίς ἂν εἴη ταύτης δὴ τῆς κακοτροπίας ὑπερβολή; ταῦτα μὲν οὖν ἀφελείᾳ βαρβαρικῇ, λόγων σπανιζούσῃ, τῶν πραγμάτων οὐδαμῇ ἐπαξίως εἰρήσθω. σὺ δέ, ὦ βασιλεῦ, διασκοπούμενος ὅσα ἐνδεεστέρως ἢ κατὰ τὴν χρείαν ἡμῖν εἴρηται, τὰ Ῥωμαίοις τε καὶ Λαγγοβάρδαις τοῖς σοῖς ξυνοίσοντα πρᾶσσε, τοῦτο πρὸς τοῖς ἄλλοις ἅπασιν ἐννοῶν, ὡς ἡμῖν μὲν ἀμφὶ τῷ θεῷ ὁμογνωμονοῦσι τὸ ἐξ ἀρχῆς ξυντετάξονται Ῥωμαῖοι δικαίως, τοῖς δὲ δὴ Ἀρειανοῖς οὖσι καὶ δι' αὐτὸ τοῦτο ἀπ' ἐναντίας χωρήσουσι."

P 546

B

Λαγγοβάρδαι μὲν τοσαῦτα εἶπον. γενόμενοι δὲ τῇ ὑστεραίᾳ παρὰ βασιλέα καὶ οἱ Γηπαίδων πρέσβεις ἔλεξαν ὧδε „Δίκαιον, ὦ βασιλεῦ, τοὺς ἐπὶ ξυμμαχίας αἰτήσει παρὰ τοὺς πέλας ἀφικομένους ἀναδιδάξαι πρῶτον, ὡς δίκαιά τε ἀναδεξόμενοι πάρεισι καὶ ξύμφορα τοῖς ξυμμαχήσουσιν, οὕτω τε τοὺς λόγους, ὥνπερ ἕνεκα πρεσβεύουσι, ποιεῖσθαι. ὡς μὲν οὖν ἠδικήμεθα πρὸς Λαγγοβαρδῶν, αὐτόθεν δῆλον. δίκῃ γὰρ διαλύειν τὰ διάφορα ἐν σπουδῇ ἔχομεν. δικάζεσθαι δὲ οἷς ἂν σπουδάζηται

9. τοῦτο] τούτοις H: illud Hm. 11. τὸ ἐξ] τῷ ἐξ L. *ibid.* ξυντετάξονται] συντάξονται L. *ibid.* δικαίως] δικαίω B. *ibid.* δὴ om. L. 13. γενόμενοι] αἰνόμενοι B ἀννόμενοι L. ἀφικόμενοι Lm. 15. ξυμμαχίας αἰτήσει] ξυμμαχίαν αἰτήσειν BL. ξυμμαχίας αἴτησιν Lm. 16 ἀναδεξόμενοι] δεησόμενοι L. 17. τοῖς ξυμμαχήσουσιν] τοὺς ξυμμαχήσοντας B. 20. σπουδάζεται L. Vulgo σπουδάζεται.

iniuste occupata restituant; est profecto cur Romani praecipuam eiusmodi poenitentiae et sanioris consilii causam ascribant Langobardis; quorum metu illi compulsi, sero tandem, invite licet, resipiscunt. Certe qui beneficium accepit, merito gratiam habet illi, qui benefaciendi necessitatem imposuit. Sin necdum animum induxerunt alieno cedere, quantus est improbitatis huiuscemodi cumulus? Haec simplicitate Barbarica, ieiuna et indiserta, non pro rei gravitate a nobis dicta sint. Tu vero, Imperator, ea supplens animo ac perpendens, quae breviori, quam par est, orationi nostrae desunt, Romanorum et Langobardorum tuorum rationibus consule; adiuncta hac aliis omnibus cogitatione, Romanos iure coituros nobiscum, qui de Deo sentimus cum ipsis eadem, et Arianis vel eo nomine adversaturos.

Haec Langobardi. Postridie ad Imperatorem admissi Gepaedum Legati, sic orsi sunt. *Qui idcirco vicinos adeunt, Imperator, ut illos ad arma iungenda secum invitent, eos in primis ostendere decet, postulata ipsos afferre iusta, ac sociis futuris utilia; itaque de causa legationis agere. Ac primum iniuria nos a Langobardis affici per se patet, cum li-*

βιάζεσθαι οὐδαμῇ πρόσεστιν. ὡς δὲ πολυανθρωπίᾳ τε καὶ ἀρετῇ Γήπαιδες παρὰ πολὺ Λαγγοβαρδῶν κρείσσους τυγχάνουσιν ὄντες, τί ἄν τις ἐν εἰδόσι μακρολογοίη; τὸ δὲ ξὺν τοῖς καταδεεστέροις ἐς τὴν ἀγωνίαν καθιστάμενον ἐς κακόν τι προὔπτον ἰέναι, παρὸν τὴν νίκην ξὺν τοῖς δυνατωτέροις ταττόμενον ἀκίνδυνον ἔχειν, οὐκ ἄν τινα οἰόμεθα τῶν καὶ κατὰ βραχὺ σωφρονούντων ἑλέσθαι. ὥστε καὶ ὑμῖν ἐφ' ἑτέρους τινὰς ἰοῦσι ξυντετάξονται τὸ λοιπὸν
C Γήπαιδες, χάριν μὲν τῶν πεπραγμένων ὀφείλοντες, δυνάμεως δὲ περιουσίᾳ ξυμποριζόμενοι τὴν τῶν πολεμίων, ὡς τὸ εἰκός, ἐπικράτησιν. καὶ μὴν καὶ τοῦτο λογίζεσθαι ὑμᾶς ἂν πρέποι, ὡς Λαγγοβάρδαι μὲν ἐξ ὑπογυίου Ῥωμαίοις γεγένηνται φίλοι, Γήπαιδες δὲ ὑμῖν ἐνσπόνδους τε τὸ ἀνέκαθεν καὶ γνωρίμους γεγονέναι ξυμβαίνει. φιλία δὲ χρόνου μήκει ξυμπλεκομένη τὴν διάλυσιν οὐκ εὐπετῆ ἔχει. ὥστε ξυμμάχους ἡμᾶς οὐ δυνατοὺς μόνον, ἀλλὰ καὶ βεβαίους προσῆκον κεκτῆσθαι. δικαιώματα μὲν οὖν πρὸς ὑμᾶς ἐς τὴν ξυμμαχίαν ἐπαγωγὰ ταῦτά ἐστιν ὑμῖν. θεάσασθε δὲ ὁποῖοι Λαγγοβάρδαι τοὺς τρόπους εἰσί. δίκῃ μὲν
D τὰ διάφορα λῦσαι, καίπερ πολλὰ προκαλουμένων ἡμῶν, οὐδαμῇ ἔγνωσαν, θράσει ἀλογίστῳ ἐχόμενοι· ἐπεὶ δὲ ὁ πόλεμος ἤδη που
H 307 V 166 ἐν χερσὶ γέγονεν, οἱ δὲ ὀπίσω τῶν πραγμάτων ἀναποδίζοντες τῷ

1. βιάζεσθαι — πολυανθρωπίᾳ τε om. B. 4. τὴν ἀγωνίαν Reg. τὸν ἀγῶνα P. ibid. καθιστάμενον] καθιστάμενοι L. 5. ταττόμενον] ταττομένοις B. 6. τινα] τινας B. 7. ξυντετάξονται] ξυντάξονται Reg. 8. δυνάμεως Reg. δυνάμεων P. 10. πρέποι B. πρέπον P. 14. ἡμᾶς om. L. 15. προσῆκον om. L. 17. θεάσασθε] θεάσεσθε B. 18. λῦσαι] διαλῦσαι B. 20. οἱ δὲ] οἱ μὲν L.

tem iudicio dirimere studeamus; nec par sit adhiberi illis armorum vim, qui ad iudiciariam disceptationem accedere velint. Deinde Gepaedes et numero et fortitudine Langobardis longe praestare, quid est cur pluribus quisquam verbis apud illos, quibus probe noti sumus, demonstret? Neminem autem vel mediocriter sanae mentis putamus esse, qui, si victoriam sine periculo possit consequi a valentioribus stando, malit in manifestam perniciem ruere, sequendo arma infirmiorum. Ac vobis posthac Gepaedes in aliis bellis militarem navabunt operam, rei ipsorum causa gestae gratiam vobis debentes, maximisque copiis vos, ut par est, efficientes victoriae compotes. Id etiam attendere convenit, recentem esse Langobardorum amicitiam cum Romanis: Gepaedibus societatem familiaritatemque vobiscum veterem intercedere. Amicitia demum illa non facile solvitur, cuius vinculum firmavit temporis diuturnitas. Quare ne dubitate, quin nos non potentes modo, sed constantes etiam socios habituri sitis. Atque ea sunt, quae vos merito ad societatem invitant. Iam quo ingenio sint Langobardi perspicite. Litem iudicio componere, quamvis ad id saepe eos provocaverimus, recusarunt, inconsideratae pleni audaciae. Nunc autem

τὴν οἰκείαν ἀσθένειαν ξυνεπίστασθαι παρ' ὑμᾶς ἥκουσιν, ἀξιοῦντες Ῥωμαίους ἀνελέσθαι τὸν ὑπὲρ αὐτῶν οὐ δέον ἀγῶνα. πάντως δὲ οἱ κλῶπες οὗτοι τό τε Σίρμιον καὶ ἄλλα ἐπὶ Δακίας ἄττα χωρία ὑπόθεσιν ἡμῖν τοῦ πολέμου προΐσχονται εἶναι. καίτοι πόλεών τε καὶ χώρας τοσοῦτον τῇ σῇ βασιλείᾳ περίεστιν ὥστε καὶ διερευνᾶσθαι τῶν ἀνθρώπων τινὰς, οἷς ἂν καὶ δοίης μοῖράν τινα πρὸς ἐνοίκησιν. Φράγγους ἀμέλει καὶ τὸ Ἐρούλων ἔθνος καὶ τούτους Λαγγοβάρδας τοσούτοις ἐδωρήσω πόλεών τε καὶ χώρας, ὦ βασιλεῦ, μέτροις, ὁπόσα οὐκ ἄν τις διαριθμήσαιτο. ἡμεῖς δὲ τῇ φιλίᾳ τῇ σῇ τὸ θαρσεῖν ἔχοντες, τοῦτο, ὅπερ ἐβούλου, διαπεπράγμεθα· ὃ δέ τι προΐεσθαι τῶν ὑπαρχόντων βεβουλευμένος κρείσσω παρὰ πολὺ τοῦ πρὸς αὐτοῦ τετυχηκότος τῆς χάριτος τὸν προτερήσαντά τε καὶ γνώμῃ τὸ δῶρον αὐτονόμῳ ἑλόμενον οἴεται εἶναι, ἢν μὴ ἐς τὸν κεκτημένον ὑβρίζων, ἀλλὰ τῷ φίλος οἱ ἐς τὰ μάλιστα εἶναι θαρσῶν, τὴν τοῦ πράγματος ἀξίωσιν πεποιῆσθαι δοκεῖ, ὅπερ καὶ Γήπαισιν ἐς Ῥωμαίους τετύχηκεν εἶναι. ὧν ἐνθυμουμένους ὑμᾶς μάλιστα μὲν κατὰ ξυμμαχικὸν αἰτοῦμεν ξὺν ἡμῖν ἐπὶ Λαγγοβάρδας ἰέναι δυνάμει τῇ πάσῃ· εἰ δὲ μὴ, ἐκποδὼν ἀμφοτέροις στῆναι. ταῦτα γὰρ βουλευόμενοι διαιά τε ποιήσετε καὶ λίαν ἐπιτηδείως τῇ Ῥωμαίων ἀρχῇ." P 547

2. πάντως] πάντα B. πάντες L. 4. τοῦ om. L a m. pr. 5. πόλεων] πόλεως B, quae lectio ex L annotata est ad proximum πόλεων, ubi etiam H πόλεως. 13. αὐτονόμῳ] αὐτὸν ὁμῶς B. 14. φίλος οἱ] φίλῳ σοι B. 18. ξὺν] σὺν L. 20. ποιήσετε] ποιεῖτε HL, illud Scaliger et P.

cum est bellum in manibus, infirmitatis suae conscientia ab incepto retracti, vos adeunt, idque agunt, ut pro ipsis Romani contra quam fas est, bellum suscipiant: cuius causam ex Sirmio aliisque nonnullis Daciae locis in nos conflatam fures hi proferunt. Atqui tot urbes adhuc totque provinciae supersunt Imperio tuo, ut nationes quaeras, quibus partem eius aliquam incolendam des. Profecto Francis, Erulis, hisque ipsis Langobardis tot urbes tantasque regiones attribuisti, Imperator, ut inire numerum nemo possit. Nos vero amicitia tua freti, quod fieri volebas, egimus. Qui autem in animo habet rerum suarum partem profundere, illum, qui anteverterit atque ultro praeceperit beneficium, eo, in quem gratiam ipse contulerit, multo meliorem iudicat: si modo ille praesumpsisse rem videatur, non possessoris contemptu, sed amicitiae singularis fiducia: quo modo se Gepaedes in Romanos gesserunt. Quae cum vestris animis subiecerimus, rogamus ut pro sociali iure Langobardos nobiscum viribus omnibus invadatis: vel certe a neutra stetis parte. Quo suscepto consilio, rem aequam ac Romano Imperio convenientissimam facietis.

B Καὶ Γήπαιδες μὲν τοσαῦτα εἶπον. βουλευσάμενος δὲ πολλὰ Ἰουστινιανὸς βασιλεὺς αὐτοὺς μὲν ἀποπέμψασθαι ἀπράκτους ἔγνω, ὁμαιχμίαν δὲ πρὸς Λαγγοβάρδας διώμοτον πεποιημένος πλέον αὐτοῖς ἢ ἐς μυρίους ἱππεῖς ἔπεμψεν, ὧν δὴ Κωνσταντιανός τε καὶ Βούζης καὶ Ἀράτιος ἦρχον. ξυνῆν δὲ αὐτοῖς καὶ Ἰωάνης, ὁ Βιταλιανοῦ ἀδελφιδοῦς, προρρηθὲν αὐτῷ ἐκ βασιλέως, ἐπειδὰν τάχιστα διαμαχήσωνται πρὸς τὸ Γηπαίδων ἔθνος, ἐνθένδε σπουδῇ ἐς τὴν Ἰταλίαν ξὺν τοῖς ἑπομένοις ἰέναι. ἐτύγχανε γὰρ ἐξ Ἰταλίας καὶ αὐτὸς ἥκων. ξύμμαχοι δὲ αὐτοῖς Ἔρουλοι C πεντακόσιοί τε καὶ χίλιοι εἵποντο, ὧν ἄλλοι τε καὶ Φιλημοὺθ ἦρχον. οἱ γὰρ ἄλλοι ξύμπαντες Ἔρουλοι ἐς τρισχιλίους ὄντες ξὺν τοῖς Γήπαισιν ἐτετάχατο, ἐπεὶ Ῥωμαίων ἀποστάντες οὐ πολλῷ ἔμπροσθεν ἔτυχον ἐξ αἰτίας ἣ μοι ἐν τοῖς ἔμπροσθεν ἐρρήθη. μοῖρα δὲ Ῥωμαίων τῶν παρὰ Λαγγοβάρδας ἐπὶ ξυμμαχίαν ἰόντων Ἐρούλων τισὶ ξὺν Ἀόρδῳ τῷ τοῦ ἄρχοντος ἀδελφῷ ἐξαπίναιος ἐντυγχάνουσι. μάχης τε καρτερᾶς γενομένης νικῶσι Ῥωμαῖοι, καὶ τόν τε Ἄορδον τῶν τε Ἐρούλων πολλοὺς ἔκτειναν. γνόντες δὲ Γήπαιδες ἄγχιστά πη εἶναι τὸν Ῥωμαίων στρατὸν, τὰ διάφορα εὐθὺς Λαγγοβάρδαις διέλυσαν, ἔς τε σπονδὰς οἱ βάρ- D βαροι οὗτοι ξυνέβησαν ἀλλήλοις, ἀκόντων Ῥωμαίων. ταῦτα ἐπεὶ ὁ Ῥωμαίων στρατὸς ἔμαθεν, ἐν πολλῇ ἀμηχανίᾳ ἐγένοντο. οὔτε γὰρ ἔτι ἐδύναντο πρόσω ἰέναι οὔτε ἀναστρέφειν ὀπίσω εἶχον

4. αὐτοῖς] αὐτοὺς L a pr. m. 7. διαμαχήσωνται] διαμαχήσονται L. 8. ἐς τὴν] ἐπ' L. 16. ἐντυγχάνουσι] ἐπιτυγχάνουσι B. 21. ὁ Ῥωμαίων] ὁ om. L. ibid. ἐγένοντο] ἐγένετο Reg.

Eiusmodi fuit Gepaedum oratio: quos Iustinianus Augustus post longam deliberationem remisit irritos, ac iurato cum Langobardis foedere, his misit equitum plus decem millia, ducibus Constantiano, Buze, atque Aratio: quibus Ioannes Vitaliani ex sorore nepos sese adiunxit; cum Imperator huic praecepisset, ut facto cum Gepaedibus praelio, statim cum suis inde in Italiam, unde venerat, proficisci maturaret. Eos sequebantur Eruli foederati mille quingenti, quibus praeter alios Philemuthus praeerat. Nam caeteri omnes Eruli, ad tria millia, cum Gepaedibus coierant, a Romanis non ita pridem defectione seiuncti eam ob causam, quam supra commemoravi. Tunc pars Romanorum socia arma Langobardis ferentium, in Erulorum catervam et Aordum Regis fratrem inopinato incidit. Fervido commisso certamine vincunt Romani, et cum Erulis multis Aordum ipsum conficiunt. Simul cognoverunt Gepaedes Romanorum exercitum appropinquare, dirempta cum Langobardis controversia, pacem pepigerunt, invitis Romanis. Quorum exercitus, ea re intellecta, laborare plurimum coepit. Iam enim nec progredi poterant,

δειμαίνοντες οἱ στρατηγοὶ μὴ Γήπαιδές τε καὶ Ἔρουλοι ξυνῇ καταθέοντες τὴν Ἰλλυριῶν λῃσωνται χώραν. αὐτοῦ γοῦν μείναντες ἐς βασιλέα τὰ παρόντα σφίσιν ἀνήνεγκαν. ταῦτα μὲν οὖν ἐπράσσετο τῇδε. ἐγὼ δὲ ὅθεν τὴν ἐκβολὴν τοῦ λόγου ἐποιησάμην ἐπάνειμι.

λε'. Βελισάριος μὲν τὴν ἐπὶ τὸ Βυζάντιον οὐδενὶ κόσμῳ P 548
ἦει, γῆς μὲν τῆς Ἰταλῶν πενταετὲς οὐδαμῇ ἀποβὰς, οὐδέ πη ὁδῷ ἰέναι ἐνταῦθα ἰσχύσας, ἀλλὰ φυγῇ κεκρυμμένῃ ἐχόμενος πάντα τοῦτον τὸν χρόνον, ἔκ τε ὀχυρώματος ἀεὶ ἐπιθαλασσίου τινὸς ἐς ἄλλο ἐπὶ τῆς παραλίας ὀχύρωμα διηνεκῶς ναυτιλλόμενος. καὶ ἀπ' αὐτοῦ ἀδεέστερον τοὺς πολεμίους τετύχηκε Ῥώμην τε αὐτὴν ἀνδραποδίσαι καὶ τἆλλα ὡς εἰπεῖν ἅπαντα. τότε δὲ καὶ Περυσίαν πόλιν, ἣ πρώτη ἐν Τούσκοις οὖσα ἐτύγχανε, πικρότατα πολιορκουμένην ἀπέλιπεν, ἥπερ αὐτοῦ ἔτι ὁδῷ ἰόντος κατ' B
ἄκρας ἑάλω. ἐς Βυζάντιον δὲ ἀφικόμενος διατριβὴν τὸ λοιπὸν V 167
ἐνταῦθα εἶχε, πλούτου μὲν ἐξουσίαν περιβεβλημένος πολλὴν, εὐτυχήμασι δὲ τοῖς ἔμπροσθεν αὐτῷ ξυμβεβηκόσιν ἀπόβλεπτος ὤν, ἅπερ οἱ πρότερον ἢ ἐς Λιβύην ἐστράτευσε ξυμβόλῳ προὔλεγέ τινι οὐκ ἀφανεῖ τὸ δαιμόνιον. ὃ δὲ ξύμβολος ἐγένετο ὧδε. ἦν τις Βελισαρίῳ κλῆρος ἐν Βυζαντίων τῷ προαστείῳ, ὃ δὴ παντείχιον μὲν ὀνομάζεται, κεῖται δὲ ἐν τῇ ἀντιπέρας ἠπείρῳ. ἐν- C

1. ξυνῇ om. BL. Fortasse ξυγκαταθέοντες. 2. λῃσωνται] λῃσονται L. δῃλήσωνται H. 7. ᾖει L. ἶει P. ibid. ἀποβὰς L, quod expressit Pers. Vulgo ἐπιβάς. ibid. οὐδέ πη] οὐδὲ γάρ πη H. 8. ἰσχύσας] ἴσχυσε H. 10. διηνεκῶς] διηνεκὲς L. 12. αὐτὴν om. L. 18. ἐστράτευσε L. ἐκστρατεῦσαι H. ἐνστρατεῦσαι P. 19. ἐγένετο] ἐλέγετο H; illud Hm. 20. προαστείῳ] προαστίῳ L. ibid. παντείχιον] παντόχιον Reg.

nec regredi audebant Duces, veriti ne Gepaedes Erulique facta simul incursione, Illyricum popularentur. Quare ibi consistentes, Imperatori, quo loci res deducta esset, significarunt. Atque haec quidem illic sic acta sunt: ego vero orationem eo revoco, unde digressa est.

35. Belisarius Byzantium indecore profectus est: cum Italia quinquennio sic fuisset exclusus, ut nequivisset certis itineribus progredi; sed toto hoc tempore fugitans clanculum, et ab uno maritimo praesidio ad aliud navigans, oram continenter legisset: unde factum, ut liberius hostes Romam ipsam caeteraque omnia subegerint. Tunc et Perusiam, urbem Tusciae principem, dira obsidione cinctam reliquit: quae, dum ille esset in via, vi capta est. Cum pervenisset Byzantium, ibi deinceps mansit, divitiis affluens, rebusque illustris antea feliciter gestis: cuius prosperitatis non obscurum a Deo omen acceperat, priusquam expeditionem Africanam susciperet. Sic autem contigit omen illud. In Byzantii suburbiis habebat haeredium Belisarius: Pantichium id vocant, si-

H 308 ταῦθα ὀλίγῳ ἔμπροσθεν ἢ ἔμελλε Βελισάριος ἐπί τε Γελίμερα καὶ Λιβύην ἐξηγήσεσθαι τῷ Ῥωμαίων στρατῷ, ἐνδελεχέστατα πλήθειν οἱ τὰς ἀμπέλους ξυνέβη. οἴνου τε ὃς ἐνθένδε γεγονὼς ἔτυχε πίθων οἱ θεράποντες ἐμπλησάμενοι μέγα τι χρῆμα, καὶ αὐτῶν τὰ μὲν ἔνερθεν κατορύξαντες, τὰ δὲ ὕπερθεν πηλῷ ἐς τὸ ἀκρι-
5 βὲς ἐπιβύσαντες, ἐν τῷ οἰνῶνι κατέθεντο. μησὶ δὲ ὀκτὼ ὕστερον ἐν πίθοις τισὶν ἀναβράζων ὁ οἶνος διεσπάσατο μὲν τὸν πηλὸν ᾧπερ ἐπέφρακτο αὐτῶν ἕκαστος, ὑπερβλύσας δὲ καὶ ῥεύσας πο-
D λὺς ἐς τοσόνδε γῆν τὴν ἐχομένην ἐπέκλυσεν ὥστε καὶ τέλμα ἐν τούτῳ τῷ ἐδάφει ἐργάσασθαι μέγα. ὅπερ ἐπεὶ οἱ θεράποντες εἶ-
10 δον, ἐν θάμβει μεγάλῳ γενόμενοι πολλοὺς μὲν ἐνθένδε ἀμφορέας ἐμπλήσασθαι ἔσχον, αὖθις δὲ τούτους δὴ τοὺς πίθους τῷ πηλῷ ἀποφράξαντες τὰ παρόντα ἐν σιωπῇ εἶχον. ἐπεὶ δὲ τοῦτο πολλάκις ὑπὸ τὸν αὐτὸν χρόνον γεγονὸς εἶδον, αὐτοὶ μὲν ἐπὶ τὸν κεκτημένον τὸ πρᾶγμα ἦγον, ὁ δὲ τῶν ἐπιτηδείων πολλοὺς ἐνταῦθα
15 ἀγείρας ὑπέδειξε τὰ ποιούμενα· οἵπερ τῷ ξυμβόλῳ τεκμηριούμενοι ταύτῃ τῇ οἰκίᾳ μεγάλα προὔλεγον ἀγαθὰ ἔσεσθαι.

Ταῦτα μὲν οὖν τῇδε Βελισαρίῳ ἐχώρησε. Βιγίλιος δὲ, ὁ τῆς Ῥώμης ἀρχιερεὺς, ξὺν Ἰταλοῖς τοῖς ἐνταῦθα τηνικάδε πα-
P 549 ροῦσι, πολλοῖς τε καὶ λογιμωτάτοις ἐς ἅγαν οὖσιν, οὐκέτι ἀνίει, 20 ἀλλ' ἔχρῃζε βασιλέως Ἰταλίας μεταποιεῖσθαι δυνάμει τῇ πάσῃ.

2. ἐξηγήσεσθαι] ἐξηγήσασθαι L. 4. θεράποντες] θεραπεύοντες Reg. 7. ἀναβράζων Reg. ἀναβράσσων P. 16. ὑπέδειξε] ἐπέδειξε L. 17. καὶ ταύτῃ τῇ οἰκίᾳ] ἐς ταύτην δὴ τὴν οἰκίαν L, quo auctore καὶ ante ταύτῃ lectum delevi. „ταύτῃ τῇ οἰκίᾳ] Reg. ἐς ταύτην τὴν οἰκίαν." Malt. 21. βασιλέως] βελισάριον H: illud Hm.

tumque est in adversa continente. Hic, paulo ante quam Belisarius adversus Gelimerem copias Romanas in Africam duceret, uvis exuberarunt ipsius vites. Ac vino, quod hinc provenit, cum famuli cados quamplurimos implessent, eos in cella reposuerunt, inferiori parte defossa humi, superiori accuratissime obducta luto. Octo post mensibus, vinum in cadis aliquot fervens, lutum, quo quisque munitus erat, convulsit, restagnansque ac large fluens, solum adiacens sic inundavit, ut in eo magnum lacum effecerit. Quo viso obstupefacti famuli, multas inde impleverunt amphoras, ac denuo obturatis luto iisdem doliis, nihil enuntiarunt. Quod cum subinde saepius factum vidissent, significarunt domino. Is vero non paucis, quibus familiarius utebatur, eo convocatis, rem ostendit: qui omen interpretantes, illi domui bona ingentia praedixerunt.

Ita quidem asserunt haec Belisario. Vigilius vero Pontifex Romanus, cum Italis, qui ibi tunc aderant et plurimi et nobilissimi, non absistebat Imperatorem urgere, ut viribus omnibus Italiam sibi vindicaret.

μάλιστα δὲ πάντων αὐτὸν Γόθιγος ἐνῆγε, πατρίκιος ἀνὴρ, ἐς τῶν ὑπάτων τὸν δίφρον ἀναβεβηκὼς πολλῷ πρότερον· ἐπεὶ καὶ αὐτὸς τούτων δὴ ἕνεκεν ἐς Βυζάντιον ἀφικόμενος ἔτυχεν ἔναγχος. βασιλεὺς δὲ Ἰταλίας μὲν ἐπηγγέλλετο προνοήσειν αὐτὸς, ἀμφὶ δὲ τὰ Χριστιανῶν δόγματα ἐκ τοῦ ἐπὶ πλεῖστον διατριβὴν εἶχεν, εὖ διαθέσθαι τὰ ἐν σφίσιν ἀντιλεγόμενα σπουδάζων τε καὶ διατεινόμενος μάλιστα. ταῦτα μὲν ἐν Βυζαντίῳ ἐπράσσετο. ἐτύγχανε δὲ Ἱλδίγης Λαγγοβάρδης ἀνὴρ ἐς Γήπαιδας φεύγων ἐξ αἰτίας τοιᾶσδε. ἡνίκα Λαγγοβαρδῶν Οὐάκης ἦρχεν, ἦν τίς οἱ ἀνεψιὸς Ῥισιοῦλφος ὄνομα, ὃν δὴ ὁ νόμος, ἐπειδὰν Οὐάκης τελευτήσειεν, ἐπὶ τὴν ἡγεμονίαν ἐκάλει. προνοήσας οὖν Οὐάκης ὅπως εἰς τὸν παῖδα τὸν αὐτοῦ ἡ ἀρχὴ ἄγοιτο, ἔγκλημα Ῥισιούλφῳ ἐπενεγκὼν αἰτίαν οὐκ ἔχων φυγῇ τὸν ἄνθρωπον ἐζημίωσεν. ὃς δὴ ἐξ ἠθῶν ἀναστὰς τῶν πατρίων ξὺν ὀλίγοις τισὶν ἐς τοὺς Οὐάρνους αὐτίκα φεύγει, παίδων οἱ ἀπολελειμμένων ἐνταῦθα δυοῖν. χρήμασι δὲ Οὐάκης τοὺς βαρβάρους τούτους ἀνέπεισε τὸν Ῥισιοῦλφον κτεῖναι. τῶν δὲ Ῥισιούλφου παίδων ὁ μὲν εἷς ἐτελεύτησε νόσῳ, ὁ δὲ δὴ ἕτερος, Ἱλδίγης ὄνομα, ἐς Σκλαβηνοὺς φεύγει. οὐ πολλῷ μὲν οὖν ὕστερον ὁ μὲν Οὐάκης νοσήσας ἐξ ἀνθρώπων ἠφάνιστο, ἐς δὲ τὸν Οὐάλδαρον, τὸν Οὐάκου υἱὸν, ἡ Λαγγοβαρδῶν ἦλ-

1. Γόθιγος L. καὶ Γόθιγος P. 8. Ἱλδίγης ex Pers. correxi. Ἱλδίσγος P, quod om. HL. *ibid.* Λαγγοβάρδης] λαγγοβάρδος H: illud Hm. Et sic infra saepius in his formis variatur. 9. Οὐάκης] οὐακάκης H hic et infra. *ibid.* οἱ om. L. 10. ἐπειδὰν] ἐπιβῆναι ἐπειδὰν H. ἐπιβῆναι ἂν L. *ibid.* Οὐάκης — οὖν om. L. 12. τὸν αὐτοῦ] τὸν om. L. 14. Οὐάρνους] οὐάρνας Reg. οὐράνας L. 15. δυοῖν] δυσῖν L. 16. τὸν Ῥ. κτεῖναι om. L. 18. Ἱλδίγης Reg. et Pers. Ἱλδίσγος P. λιγίαγος H. 20. τὸν om. L. *ibid.* Οὐάλδαρον L. Vulgo Οὐάλδαλον. Baldarura Pers.

In primis stimulabat ipsum Gothigus, Patricius ac iamdiu Consularis, qui nuper eius rei causa Byzantium venerat. At Imperator, se Italiae prospecturum pollicitus, in Christianorum dogmata maximam temporis partem conferebat, tollendis eorum controversiis intentissimus. Haec agebantur Byzantii, cum Ildisgus natione Langobardus ad Gepaedes se recepit, ob eiusmodi causam. Quo tempore Langobardis Vaces imperabat, nepotem habebat, nomine Risiulfum, quem lex ad regnum vocabat, postquam ex vita Vaces migrasset. Vaces autem id provide curans, ut filio suo principatum relinqueret, Risiulfum, falsi criminis reum actum, exilio multavit. Statim ille ex patria ad Varnos cum paucis profugit, relictis ibi duobus filiis. Hos Barbaros pecunia Vaces ad Risiulfi caedem perpellit. Filiorum Risiulfi alter morbo extinguitur, alter, cui nomen Ildisgus, ad Sclavenos evadit. Haud multo post morbo obiit Vaces, ac Langobardorum principatus Valdaro obvenit, Vacis filio: cui

C θεν ἀρχή. ᾧ δὴ παιδὶ κομιδῇ ὄντι ἐπίτροπος καταστὰς Ἀὐδουὶν τὴν ἀρχὴν διῳκεῖτο. δυνάμει τε πολλῇ ἀπ' αὐτοῦ χρώμενος αὐτὸς τὴν ἀρχὴν οὐκ ἐς μακρὰν ἔσχε, τοῦ παιδὸς τούτου νόσῳ αὐτίκα ἐξ ἀνθρώπων ἀφανισθέντος. ἡνίκα τοίνυν Γήπαισί τε καὶ Λαγγοβάρδαις ὁ πόλεμος κατέστη, ὥσπερ μοι εἴρηται, Ἰλδίγης εὐθὺς Λαγγοβαρδῶν τοὺς οἱ ἑπισπομένους καὶ Σκλαβηνῶν πολλοὺς ἐπαγόμενος ἐς Γήπαιδας ἦλθε, καὶ αὐτὸν Γήπαιδες κατάξειν ἐπὶ τὴν ἀρχὴν ἐλπίδα εἶχον. γενομένων δὲ τῶν ἐν τῷ παρόντι πρὸς Λαγγοβάρδας σπονδῶν ὁ μὲν Ἀὐδουὶν τὸν Ἰλδίγην εὐθὺς ἄτε πρὸς φίλων ἐξῃτεῖτο Γηπαίδων, οἱ δὲ τὸν μὲν ἄνθρω- 10
D πον ἐκδοῦναι οὐδαμῇ ἔγνωσαν, ἐκέλευον δὲ αὐτὸν ἐνθένδε ἀπαλλαγέντα ὅποι βούλοιτο διασώζεσθαι. καὶ ὃς μελλήσει μηδεμιᾷ ξύν τε τοῖς ἑπομένοις καὶ Γηπαίδων τισὶν ἐθελουσίοις ἐς Σκλαβηνοὺς αὖθις ἀφίκετο. ἔνθεν τε ἀναστὰς παρὰ Τωτίλαν τε καὶ Γότθους ἦει, στράτευμα οὐχ ἧσσον ἢ ἐς ἑξακισχιλίους ξὺν αὐτῷ 15
V 168 ἔχων, ἔς τε Βενετίας ἀφικόμενος Ῥωμαίοις τισὶν ὑπαντήσασιν, ὧν Λάζαρος ἡγεῖτο, ἐς χεῖρας ἦλθε, τρεψάμενός τε αὐτοὺς πολλοὺς ἔκτεινεν. οὐ μέντοι Γότθοις ξυνέμιξεν, ἀλλ' Ἴστρον ποταμὸν διαβὰς αὖθις ἐς Σκλαβηνοὺς ἀπεχώρησεν.

5. μοι om. L. *ibid.* Ἰλδίγης L. Vulgo Ἰλδίσγος. 7. αὐτὸν] αὐτῶν L. *ibid.* κατάξειν] κατακάξειν Reg. κατὰ τάξιν L. 8. τῶν] αὐτῶν L. 9. ἰλδίγην L. Ἰλδίσγον P. 12. διασώζεσθαι] διασώσασθαι L. *ibid.* μηδεμιᾷ] οὐδεμιᾷ Hm. 13. Σκλαβηνοὺς] σκλαβίνους Reg. Sic etiam L hic et alibi saepe. 14. ἔνθεν τε] ἐνθένδε L. 15. ἦει] Vulgo ἴει. *ibid.* οὐχ] οὐδὲν H. οὐχ Hm. 16. ὑπαντήσασιν] ὑπαντήσας Reg.

admodum puero tutor adhibitus Auduinus, regnum administrabat. Hinc multa auctus potentia, brevi ipse regnum obtinuit, cùm puerum repente morbus oppressisset. Nato demum, ut dixi, bello Gepaedes inter ac Langebardos, protinus Ildisgus cum Langobardis, qui se ipsi adiunxerant, ac numerosa Sclavenorum manu ad Gepaedes se contulit. Ac sperabant Gepaedes fore ut illum in regnum inducerent. Iam vero facta cum Langobardis pace, extemplo Auduinus a Gepaedibus, tanquam amicis, Ildisgum repetiit. Hi tradere nolentes hominem, hortati sunt, ut inde quocunque vellet evaderet. Nulla is interposita mora cum suis ac nonnullis Gepaedibus voluntariis, sese ad Sclavenos retulit. Hinc profectus, Totilam Gotthosque adire instituit, armatorum non minus sex millia secum habens. Agrum ingressus Venetum, cum obvia Romanorum manu, quam Lazarus ducebat, conflixit, eaque in fugam acta, multos occidit. Nec tamen se admiscuit Gotthis; sed iterum transito Istro flumine, ad Sclavenos concessit.

Ἐν ᾧ δὲ ταῦτα ἐπράσσετο τῇδε ἤπερ μοι εἴρηται, ἐν τούτῳ τῶν τις Βελισαρίου δορυφόρων, Ἴλαοὺφ ὄνομα, βάρβαρος γένος, θυμοειδής τε καὶ δραστήριος, ὃς δὴ ἐν Ἰταλίᾳ ληφθεὶς ἔτυχε, Τωτίλᾳ τε καὶ Γότθοις προσεχώρησεν οὐδενὶ λόγῳ. καὶ P 550 H 309
αὐτὸν ὁ Τωτίλας εὐθὺς ξὺν στρατῷ πολλῷ καὶ ναυσὶν ἔπεμψεν ἐς τὰ ἐπὶ Δαλματίας χωρία. ὃς δὴ ἐν χωρίῳ Μουικούρῳ καλουμένῳ γενόμενος, ὅπερ ἐπιθαλάσσιον ἄγχιστά πη Σαλώνων ἐστί, τὰ μὲν πρῶτα ξυνέμιξε τοῖς ταύτῃ ἀνθρώποις, ἅτε Ῥωμαῖός τε ὢν καὶ Βελισαρίῳ προσήκων, ἔπειτα δὲ αὐτός τε τὸ ξίφος ἀράμενος καὶ τοῖς ἑπισπομένοις ἐγκελευσάμενος ἐξαπιναίως ἅπαντας ἔκτεινε. λῃσάμενός τε τὰ χρήματα ἅπαντα ἐνθένδε μὲν ἀπιὼν ᾤχετο, ἐπέσκηψε δὲ καὶ ἄλλῳ ἐν τῇ παραλίᾳ κειμένῳ χωρίῳ, ὅπερ Λαυρεάτην καλοῦσι Ῥωμαῖοι. οὗ δὴ ἐπιβὰς τοὺς παραπε- B
πτωκότας ἀνῄρει. ἅπερ ἐπεὶ Κλαυδιανὸς ἔγνω, ὅσπερ τότε Σαλώνων ἦρχε, στράτευμα διὰ τῶν καλουμένων δρομώνων ἐπ' αὐτὸν ἔπεμψεν. οἳ δὴ ἐπεὶ ἐν Λαυρεάτῃ ἐγένοντο, τοῖς πολεμίοις ἐς χεῖρας ἦλθον. παρὰ πολύ τε ἡσσηθέντες τῇ μάχῃ ἔφυγον ὅπη ἑκάστῳ δυνατὰ γέγονε, τοὺς δρόμωνας ἐν τῷ λιμένι ἀπολιπόντες. οὗ δὴ καὶ τὰ ἄλλα πλοῖα ἔμπλεα σίτου τε καὶ τῶν ἄλλων ἐπιτηδείων ὄντα ἐτύγχανεν. ἅπερ ἅπαντα Ἴλαούφ τε καὶ Γότθοι ἑλόντες κτείναντές τε τοὺς ἐν ποσὶν ἅπαντας καὶ τὰ χρήματα λῃσάμενοι παρὰ Τωτίλαν ἦλθον. καὶ ὁ χειμὼν ἔληγε, καὶ τέταρτον

1. μοι om. L. 6. Μουικούρῳ] μονηκούρῳ H: illud Hm. 8. ξυνέμιξε] ξυνέμισγε Reg. 10. ἑπισπομένοις Reg. ἑφεπομένοις P. 11. ἅπαντα] πάντα L. ibid. μὲν ἀπιὼν om. L. 13. ἐπιβὰς] ἀποβὰς L. 15. διὰ] ἐπὶ Reg. ibid. αὐτὸν] αὐτῷ Reg. 21. κτείναντες] κτείνοντες L.

Dum haec ita fiunt, ut dixi, interea Ilaufus, armiger Belisarii, genere Barbarus, animosus vir atque impiger, qui in Italia captus remanserat, ad Totilam et Gotthos temere descivit. Confestim ipsum Totilas cum multis copiis navibusque in Dalmatiam misit. Ille Muicurum (locus est maritimus ac proximus Salonis) delatus, primum quidem ad incolas se applicuit, gerens se pro Romano ac domestico Belisarii. Dein vero ense districto, hortatus socios, repente internecionem fecit, atque opibus direptis omnibus, illinc abscessit. Locum alium, quem Laureatam Romani vocant, in maris littore situm aggressus est, eoque facta excensione, quos habuit obvios de medio sustulit. De his certior factus, qui tunc Salonis praeerat, Claudianus, copias in dromones, quos appellant, impositas, adversus illum misit: quae Laureatam devectae, manum conseruerunt cum hostibus. Quibus claram adeptis pugna victoriam, proripuit se quisque quo potuit, relictis in portu dromonibus: ubi et aliae naves erant frumento caeterisque cibariis plenae: quas omnes cum Ilaufus et Gotthi cepissent, obviis quibusque caesis, ablataque pe-

καὶ δέκατον ἔτος ἐτελεύτα τῷ πολέμῳ τῷδε, ὃν Προκόπιος ξυνέγραψε.

C λς'. Μετὰ δὲ Τωτίλας ἅπαν ἐπὶ Ῥώμην τὸ στράτευμα ἦγε, καὶ ἐγκαθεζόμενος ἐς πολιορκίαν καθίστατο. ἐτύγχανε δὲ Βελισάριος τρισχιλίους ἀριστίνδην ἀπολεξάμενος. οὕσπερ ἐπὶ τῷ Ῥώμης φυλακτηρίῳ καταστησάμενος Διογένην αὐτοῖς ἄρχοντα, τῶν δορυφόρων τῶν αὐτοῦ ἕνα, ἐπέστησεν, ἄνδρα ξυνετόν τε διαφερόντως καὶ ἀγαθὸν τὰ πολέμια. διὸ δὴ χρόνου μῆκος τῇ προσεδρείᾳ ταύτῃ ἐτρίβετο. οἵ τε γὰρ πολιορκούμενοι ἀρετῆς περιουσίᾳ πρὸς ἅπαντα τὸν Γότθων στρατὸν ἀξιόμαχοι ὄντες ἐφαίνοντο καὶ Διογένης ἔς τε τὸ ἀκριβὲς ἐχρῆτο τῇ φυλακῇ ὡς μή τις κακουργήσων ἐπὶ τὸ τεῖχος ἴοι καὶ πανταχόθι τῆς πόλεως σῖτον ἐντὸς τοῦ περιβόλου σπείρας ἐνδεῖν σφίσι τὰ ἐπιτήδεια ὡς ἥκιστα ἐποίει. πολλάκις δὲ οἱ βάρβαροι τειχομαχεῖν ἐγχειρήσαντες καὶ τοῦ περιβόλου ἀποπειράσασθαι ἀπεκρούσθησαν, ἀρετῇ σφᾶς ἀπωσαμένων ἐνθένδε Ῥωμαίων. τοῦ μέντοι πόρτου κρατήσαντες Ῥώμην κατὰ κράτος ἐπολιόρκουν. ταῦτα μὲν οὖν ἐφέρετο τῇδε. βασιλεὺς δὲ Ἰουστινιανὸς ἐπειδὴ Βελισάριον ἐς Βυζάντιον ἥκοντα εἶδεν, ἄρχοντα πέμπειν ξὺν στρατῷ ἄλλον ἐπὶ Γότθους τε διενοεῖτο καὶ Τωτίλαν. καὶ εἰ μὲν ἐπετελῆ ταύτην δὴ ἐπεποιήκει τὴν ἔννοιαν, οἶμαι ἄν, Ῥώμης μὲν ἔτι ὑπ' αὐτῷ οὔσης, σεσωσμένων δέ οἱ τῶν ἐνταῦθα στρατιωτῶν καὶ τοῖς ἐκ Βυζαντίου ἐπιβεβοηθηκόσιν ἀναμίγνυσθαι δυναμένων, περιέσε-

P 551

4. ἐς] εἰς L. 5. ἀριστίνδην] ἀριστείνδην H. Correctum in Hm. 11. ἐχρῆτο τῇ φυλακῇ] τῇ φυλακῇ ἐχρῆτο L. 12. ἴοι] Vulgo ἴῃ.

cunia, Totilam convenerunt. Exit hiems, unaque annus decimus quartus istius belli, quod Procopius scripsit.

36. Deinde copias omnes Romam Totilas duxit, castrisque positis obsidionem capessiit. Fortissimorum militum tria millia delegerat Belisarius, iisque commissa Romae custodia, Diogenem, e stipatoribus suis unum, virum prudentia ac bellica virtute praestantem, praefecerat. Quare longius obsidio protracta est: cum et obsessos ingens animus universo Gotthorum exercitui pares videretur efficere, et Diogenes acerrimis custodiis uteretur, ne quis ad moenia subiret infestus, satoque ubivis intra urbis muros frumento, annonae penuriam prohiberet. Saepe Barbari, tentata murorum oppugnatione, cessere retro, Romanis inde illos arcentibus virtute sua. Capto tandem Portu, Roma vehementius urgeri coepit. Haec ibi fiebant. Iustinianus vero Augustus, ut Belisarium reducem Byzantium vidit, Ducem alium adversus Gotthos ac Totilam cum exercitu mittere constituit. Quod consilium si executus esset, bello, ut equidem sentio, vicisset hostem; cum adhuc Romam haberet in sua ditione, et incolume illius urbis praesidium missis Byzantio auxiliis

σθαι τῶν ἐναντίων αὐτὸν τῷ πολέμῳ. νῦν δὲ τὰ μὲν πρῶτα Λιβέριον ἀπολεξάμενος, ἄνδρα τῶν ἐκ Ῥώμης πατρικίων, ἐν παρασκευῇ ἐκέλευε γενέσθαι, μετὰ δὲ ἀσχολίας οἱ ἴσως ἐπιγενομένης ἑτέρας τινὸς τὴν προθυμίαν κατέπαυσε.

Χρόνου δὲ τῇ Ῥώμης πολιορκίᾳ τριβέντος πολλοῦ, τῶν τινες Ἰσαύρων, οἳ ἀμφὶ πύλην, ἣ Παύλου τοῦ ἀποστόλου ἐπώνυμός ἐστι, φυλακὴν εἶχον, (ἅμα μὲν ἐπικαλοῦντες ἐναυτῶν πολλῶν οὐδὲν πρὸς βασιλέως σφίσι δεδόσθαι, ἅμα δὲ καὶ Ἰσαύρους ὁρῶντες τοὺς παραδόντας Ῥώμην τὰ πρότερα Γότθοις, κεκομ- V 169
ψευμένους ἐπὶ μεγάλων τινῶν χρημάτων ὄγκῳ) Τωτίλᾳ λαθραιότατα ἐς λόγους ἐλθόντες ὡμολόγησαν τὴν πόλιν ἐνδώσειν, τακτή τε ξυνέκειτο ἡμέρα τῇ πράξει. καὶ ἐπεὶ παρῆν ἡ κυρία, Τωτίλας μηχανᾶται τοιάδε. ἐς ποταμὸν Τίβεριν ἐν τῇ πρώτῃ τῶν νυκτῶν φυλακῇ δύο μικρὰ πλοῖα καθῆκεν, ἄνδρας ἐνταῦθα χρῆσθαι ταῖς σάλπιγξιν ἐπισταμένους ἐνθέμενος. οἷς δὴ ἐπέστελλε διὰ μὲν τοῦ Τιβέριδος ἐρέσσοντας ἐπίπροσθεν ἰέναι, ἐπειδὰν δὲ τοῦ περιβόλου ἄγχιστα ἵκωνται, ταῖς σάλπιγξιν ἐνταῦθα ἠχεῖν δυνάμει τῇ πύσῃ. αὐτὸς δὲ τὸν Γότθων στρατὸν ἄγχιστα πύλης τῆς ἐρημένης, ἣ Παύλου τοῦ ἀποστόλου ἐπώνυμός ἐστι, λανθάνων τοὺς πολεμίους ἐν παρασκευῇ εἶχε. λογισάμενός τε ὡς μή τινες τοῦ Ῥωμαίων στρατοῦ, ἅτε ἐν σκότῳ, διαλαθόντες ἐκ τῆς πόλεως διαδρᾶναι οἷοί τε ὦσιν ἐς Κεντουκέλλας, ἐπεὶ ὀχύρωμα ἕτερον τῶν τῇδε χωρίων οὐδαμῇ σφίσιν ἐλέλειπτο, ἀνδρῶν H 310

5. δὲ τῇ] δὲ οὗ τῶν L. δὲ οὕτω ἐν Lm. 6. οἳ om. L. 14. μικρὰ πλοῖα] πλοῖα μικρὰ L. 17. ἵκωνται] ἵκοντο P. ἵκοσι Hm. ἥκοσι L. 22. ἐς Κεντουκέλλας om. L.

misceri posset. Nunc autem delecto primum Liberio Patricio Romano inieuxit, ut praesto esset: deinde, negotio forte suborto aliquo, egregiam voluntatem deposuit.

Obsidio Romae ducta longius fuerat, cum Isauri quidam, custodes portae, quae Pauli Apostoli nomine insignis est, expostulantes, nihil sibi per annos plures ab Imperatore datum, atque eodem videntes tempore Isauros, qui Romam Gothis ante prodiderant, magnis opibus gloriosos; Totilae in clandestino colloquio promittunt urbem se tradituros, ac tempus rei peragendae constituunt. Cum dicta dies affuit, sic fraudem instruxit Totilas. Prima noctis vigilia, in fluvium Tiberim navigiola duo induxit, cum totidem tubicinibus; quibus praecepit, ut remis transmisso Tiberi, sub moenibus quoad possent clangerent. Ipse Gotthorum exercitum ad portam, quam Pauli Apostoli nomine insignem esse dixi, nihil hoste persentiente, disposuit: ac praecavens, ne qua pars Romani praesidii noctis beneficio clam ex urbe se reciperet Centumcellas, cum in locis circumiacentibus alia nulla munitio Romanis esset reliqua, viam,

μαχίμων ἐνέδραις τισὶ προλοχίζειν ἔγνω τὴν ἐνταῦθα ὁδὸν φέρουσαν, οἷς δὴ ἐπήγγειλε τοὺς φεύγοντας διαχρήσασθαι. οἱ μὲν οὖν ἐν τοῖς πλοίοις ὄντες, ἐπεὶ τῆς πόλεως ἀγχοῦ ἐγένοντο, ἐχρῶντο ἤδη κατὰ τὰ σφίσιν ἐπηγγελμένα ταῖς σάλπιγξι. Ῥωμαῖοι δὲ καταπλαγέντες ἐς μέγα τε δέος καὶ θόρυβον κατασταν-
D τες ἐξαπιναίως ἀπολιπόντες οὐδενὶ λόγῳ τὰ σφέτερα ἕκαστοι φυλακτήρια ἐβοήθουν ἐνταῦθα δρόμῳ, τὴν ἐπιβουλὴν ἐς τὸ ἐκείνῃ τεῖχος εἶναι οἰόμενοι. μόνοι τε οἱ προδιδόντες Ἴσαυροι ἐπὶ τῇ αὐτῶν φυλακῇ μείναντες τάς τε πύλας κατ' ἐξουσίαν ἀνέῳγον καὶ τῇ πόλει τοὺς πολεμίους ἐδέξαντο. καὶ πολὺς μὲν ἐνταῦθα τῶν παραπεπτωκότων γεγένηται φόνος, πολλοὶ δὲ φεύγοντες δι' ἑτέρων πυλῶν ᾤχοντο, οἱ δὲ τὴν ἐπὶ Κεντουκέλλας ἰόντες ὑπό τε τοῖς ἐνεδρεύουσι γενόμενοι διεφθάρησαν. ὀλίγοι μέντοι αὐτῶν διέφυγον μόλις, ἐν οἷς καὶ Διογένην πληγέντα φασὶ διασεσῶσθαι.

Ἦν δέ τις ἐν τῷ Ῥωμαίων στρατῷ Παῦλος μὲν ὄνομα, Κί-
λιξ δὲ γένος, ὃς τὰ μὲν πρῶτα ἐφεστήκει τῇ Βελισαρίου οἰκίᾳ,
P 552 ὕστερον δὲ καταλόγου ἱππικοῦ ἄρχων ἔς τε Ἰταλίαν ἐστράτευσε καὶ ξὺν τῷ Διογένει ἐπὶ τῷ Ῥώμης φυλακτηρίῳ ἐτέτακτο. οὗτος ὁ Παῦλος, ἁλισκομένης τότε τῆς πόλεως, ξὺν ἱππεῦσι τετρακοσίοις ἔς τε τὸν Ἀδριανοῦ τάφον ἀνέδραμε καὶ τὴν γέφυραν ἔσχε τὴν ἐς Πέτρου τοῦ ἀποστόλου τὸν νεὼν φέρουσαν. τοῦ δὲ Γότθων στρατοῦ, ὄρθρου τε ὄντος καὶ μέλλοντός τι ὑποφαίνειν ἡμέρας, τούτοις δὴ τοῖς ἀνδράσιν ἐς χεῖρας ἐλθόντος, ἐνταῦθα Ῥω-

2. οἷς] διὸ Reg. ibid. ἐπήγγειλε] ἐπήγγελλε L. 8. ἀγχοῦ] ἄγχιστα L. 6. ἕκαστοι om. L. 8. τῇ — φυλακῇ] τῆς — φυλακῆς L. 10. ἐνταῦθα τῶν παρ.] τῶν παρ. ἐνταῦθα L. 14. οἷς καὶ Reg. τοῖς P. 21. τὸν νεὼν] τὸν om. L. 23. Ῥωμαῖοι om. L.

quae eo ducit, valida caterva insedit, iussa fugientes conficere. Ergo qui in lintribus erant, cum ad urbem accessissent, ex praescripto tubas inflarunt. Attoniti Romani trepidare metu ac tumultuari, temere de sua quisque statione decedere, et accurrere illuc auxilio, eam tentari rati murorum partem. Soli Isauri proditores, in statione manentes, porta libere patefacta, in urbem hostes accipiunt. Obviorum ibi multa fit caedes: multi aliis portis diffugiunt; ac dum Centumcellas properant, in insidias dilapsi caeduntur. Hinc pauci vix evasere: inter quos Diogenes effugisse saucius dicitur.

Erat in turmis Romanis Paulus, natione Cilix, qui primum domui praefuerat Belisarii; deinde turmae equitum dux, expeditionem secutus Italicam, praesidio Romano praepositus cum Diogene fuerat. Hic Paulus, tum capta urbe, cum equitibus CD. cursu ad molem Adriani sese recepit, et pontem, qui ad Petri Apostoli templum fert, occupavit. Mane, sub lucis ortum, aggressis hos viros Gothis, Romani hostilem

μαῖοι ἰσχυρότατα τοῖς πολεμίοις ὑφιστάμενοι τὸ πλέον ἔσχον· τῶν τε βαρβάρων, ἅτε πλήθους τε μεγάλου καὶ στενοχωρίας ἐν αὐτοῖς οὔσης, πολλοὺς ἔκτειναν. ὅπερ ἐπεὶ ὁ Τωτίλας εἶδε, κατέπαυσε μὲν αὐτίκα τὴν μάχην, Γότθους δὲ τοῖς πολεμίοις ἀντικαθιζομένους ἡσυχάζειν ἐκέλευεν, οἰόμενος λιμῷ τοὺς ἄνδρας αἱρήσειν. ταύτην μὲν οὖν τὴν ἡμέραν Παῦλός τε καὶ οἱ τετρακόσιοι ἀπόσιτοι διαγεγόνασι, τήν τε νύκτα οὕτως ηὐλίσαντο· τῇ δὲ ἐπιγενομένῃ ἐβουλεύσαντο μὲν σιτίζεσθαι τῶν ἵππων τισίν, ὄκνησις δὲ αὐτοὺς τῷ τῆς ἐδωδῆς οὐ ξυνειθισμένῳ διεκρούσατο μέχρι ἐς δείλην ὀψίαν, καίπερ πιεζομένους τῷ λιμῷ ἐς τὰ μάλιστα. τότε δὲ πολλὰ λογισάμενοι ἐν σφίσιν αὐτοῖς, καὶ ἀλλήλους ἐς εὐτολμίαν παραχαλέσαντες, ἐβουλεύσαντο ἄμεινον σφίσιν εἶναι εὐπρεπεῖ θανάτῳ αὐτίκα δὴ μάλα καταλῦσαι τὸν βίον. ὁρμῆσαι μὲν γὰρ ἔγνωσαν ἐπὶ τοὺς πολεμίους ἐκ τοῦ αἰφνιδίου, κτεῖναι δὲ αὐτῶν ὅσους ἂν ἑκάστῳ δυνατὰ εἴη, οὕτω τε ἀνδρείως τῆς τελευτῆς τυχεῖν ἅπαντας. ἀλλήλους τοίνυν ἐξαπίναιος περιπλακέντες καὶ τῶν προσώπων καταφιλήσαντες τὴν ἐπὶ θανάτῳ ἠσπάζοντο, ὡς ἀπολούμενοι εὐθὺς ἅπαντες. ὅπερ κατανοήσας ὁ Τωτίλας ἔδεισε μὴ θανατῶντες ἄνθρωποι καὶ σωτηρίας πέρι ἐλπίδα οὐδεμίαν τὸ λοιπὸν ἔχοντες ἀνήκεστα ἔργα ἐς Γότθους δράσωσι. πέμψας δὲ παρ' αὐτοὺς δυοῖν προὐτείνετο αὐτοῖς αἱρεσιν, ὅπως ἢ τοὺς τε ἵππους ἀφέντες ἐνταῦθα καὶ τὰ ὅπλα κα-

4. ἀντικαθιζομένους] ἀντικαθεζομένους L. 7. οὕτως L. οὕτω P. 11. λογισάμενοι] ποιησάμενοι Reg. ibid. ἐν σφίσιν] ἐν om. H. 12. παραχαλέσαντες L. παρακελεύσαντες P. 20. ἐς Γότθους] ἐς om. L. 21. δὲ] οὖν L.

illic impetum validissime sustinentes, vicerunt, ac magna clade affecerunt Barbaros, utpote confertissimos in angustiis. Quod ubi Totilas animadvertit, pugnam statim diremit, Gothosque in statione hostibus opposita manere iussit, non dubitans, quin eos fame ad deditionem perpelleret. Quare diem hunc Paulus et quadringenti impasti traduxerunt, immo et noctem. Postridie, cum equorum carnibus vesci consilium esset, cunctatio, quam cibi insolentia pariebat, illud ad vesperum extraxit, quamvis ipsos rabida fames urgeret. Tum longa inter se habita deliberatione, hortati se invicem ad audendum, sic statuerunt, satius esse illico honesta morte finire vitam. Cum igitur vellent facto in hostes subito impetu, eorum caedem quam maximam quisque posset, edere, itaque omnes occumbere fortiter, sine mora amplexati inter se, et ora exosculati, supremum iter carpunt, tanquam continuo perituri ad unum omnes. Quo Totilas intellecto, veritus ne homines amore mortis et desperatione salutis acti, magnam stragem Gotthis afferrent, misit qui optionem darent, utrum mallent, equis illic dimissis, armisque depo-

καθέμενοι, ἀπομόσαντές τε μηκέτι ἐπὶ Γότθους στρατεύσεσθαι, κακῶν ἀπαθεῖς ἐς Βυζάντιον ἀπαλλάσσωνται, ἢ τὰ σφέτερα αὐτῶν ἔχοντες ἐπὶ τῇ ἴσῃ καὶ ὁμοίᾳ Γότθοις τὸ λοιπὸν ξυστρατεύσωσι. τούτους τοὺς λόγους Ῥωμαῖοι ἄσμενοι ἤκουσαν. καὶ τὰ μὲν πρῶτα τὴν ἐπὶ τὸ Βυζάντιον εἵλοντο ἅπαντες, ἔπειτα δὲ πε-
D ζοὶ μὲν ποιεῖσθαι καὶ ἄνοπλοι τὴν ἀναχώρησιν αἰσχυνόμενοι, δει-
V 170 μαίνοντες δὲ μή τισιν ἐνέδραις ἐν τῇ ἀποπορείᾳ περιπεπτωκότες διαφθαρεῖεν, ἅμα δὲ καὶ μεμφόμενοι, ὅτι δὴ σφίσι χρόνου τὰς ξυντάξεις πολλοῦ τὸ Ῥωμαίων δημόσιον ὤφειλεν, ἅπαντες ἐθελούσιοι τῷ Γότθων στρατῷ ἀνεμίγνυντο, πλήν γε δὴ ὅτι Παῦλός τε καὶ τῶν τις Ἰσαύρων, Μίνδης ὄνομα, Τωτίλᾳ ἐς ὄψιν ἐλθόντες ἐς Βυζάντιον σφᾶς ἐδέοντο στεῖλαι. παῖδάς τε γὰρ καὶ γυναῖκας σφίσιν ἐν γῇ τῇ πατρῴᾳ ἔφασκον εἶναι, ὧνπερ χωρὶς βιοτεύειν οὐχ οἷοί τε εἶναι. οὕσπερ ὁ Τωτίλας, ἅτε ἀληθιζομένους, ἀποδεξάμενος, ἐφοδίοις τε δωρησάμενος καὶ παραπομποὺς ξυμ-
P 553 πέμψας ἀφῆκε. καὶ ἄλλοι μέντοι τοῦ Ῥωμαίων στρατοῦ, ὅσοι καταφυγόντες ἐς τὰ τῆς πόλεως ἱερὰ ἔτυχον, ἐς τριακοσίους ὄντες, τὰ πιστὰ λαβόντες τῷ Τωτίλᾳ προσεχώρησαν. Ῥώμην δὲ
H 311 οὔτε καθελεῖν οὔτε ἀπολιπεῖν τὸ λοιπὸν Τωτίλας ἤθελεν, ἀλλὰ Γότθους τε καὶ Ῥωμαίους τούς τε ἐκ τῆς συγκλήτου βουλῆς καὶ τοὺς ἄλλους ἅπαντας ξυνοικίζειν ἐνταῦθα ἔγνω ἐξ αἰτίας τοιᾶσδε.

1. στρατεύσεσθαι L. στρατεύεσθαι P. 2. ἀπαλλάσσωνται] ἀπαλλάσσονται L. 4. τοὺς λόγους Ῥωμαῖοι] ῥωμαῖοι τοὺς λόγους L. 7. ἀποπορείᾳ ed. Veneta. ἀποπορίᾳ P et Hm. ἀπορίᾳ H et Reg. 8. χρόνου — πολλοῦ Reg. Vulgo χρόνων — πολλῶν. 9. τὸ Ῥωμαίων] τῶν ῥωμαίων L. 17. τριακοσίους Reg. et Pers. Vulgo τετρακοσίους. 18. τῷ om. L. 20. τούς τε] τε om. L.

sitis, ac fide iureiurando obstricta, se in Gotthos arma nunquam laturos, Byzantium abire incolumes, an suis retentis rebus pari in posterum iure et conditione cum Gotthis militare. His Romani libenter auditis, principio quidem cuncti Byzantium petere maluerunt; at postea pudore prohibiti quominus pedites et inermes redirent, veritique ne in via intercepti insidiis trucidarentur, ac praeterea conquerentes debita sibi ex aerario multorum annorum stipendia, ultra omnes ad Gotthorum exercitum se aggregarunt, praeter Paulum et Mindem Isaurum, qui coram rogarunt Totilam, ut se Byzantium mitteret; cum in patria liberos uxoresque habere se dicerent, sine quibus non possent vivere. His Totilas verum proferentibus annuit, datoque viatico, et adiunctis deductoribus, ipsos dimisit. Quadringenti alii Romani milites, qui in templa urbis confugerant, accepta fide, se Totilae permiserunt. Porro Totilas Romam nec delere, nec reliquere amplius voluit; sed Gotthis ac Romanis cum Senatorii, tum alius cuiusque ordinis, frequentare decrevit, causa inducta, quam modo dicam.

λζ'. Τωτίλας οὐ πολλῷ πρότερον παρὰ τῶν Φράγγων τὸν B
ἄρχοντα πέμψας, τὴν παῖδά οἱ γυναῖκα ἐδεῖτο γαμετὴν δοῦναι. ὁ δὲ τὴν αἴτησιν ἀπεσείσατο, Ἰταλίας αὐτὸν οὔτε εἶναι οὔτε ἔσεσθαί ποτε βασιλέα φάσκων, ὅς γε Ῥώμην ἑλὼν ἔχεσθαι μὲν αὐτῆς οὐδαμῇ ἴσχυσε, μοῖραν δὲ αὐτῆς καθελὼν τοῖς πολεμίους μεθῆκεν αὖθις. διὸ δὴ τά τε ἐπιτήδεια ἐν τῷ παρόντι ἐς αὐτὴν ἐσκομίζεσθαι διὰ σπουδῆς εἶχε καὶ ἀνοικοδομεῖσθαι ὅτι τάχιστα πάντα ἐκέλευεν, ὅσα καθελών τε καὶ πυρπολήσας αὐτὸς ἔτυχεν, ἡνίκα Ῥώμην τὸ πρότερον εἶλε· τῶν τε Ῥωμαίων τούς τε ἐκ τῆς ξυγκλήτου βουλῆς καὶ τοὺς ἄλλους ἅπαντας, οὕσπερ ἐπὶ Καμπα- C
νίας ἐφύλασσε, μετεπέμπετο. ἐνταῦθά τε ἀγῶνα τὸν ἱππικὸν θεασάμενος, τὴν στρατείαν ἡτοίμαζε πᾶσαν, ὡς ἐπὶ Σικελίαν στρατεύσων. ἅμα δὲ καὶ πλοῖα μικρὰ τετρακόσια ὡς ἐς ναυμαχίαν ἐν παρασκευῇ ἐποιεῖτο, καὶ στόλον νεῶν μεγάλων τε καὶ πολλῶν ἄγαν, ἅσπερ ἐκ βασιλέως, ἐκ τῆς ἑῴας ἐνταῦθα σταλείσας, αὐτοῖς ἀνδράσι τε καὶ φορτίοις πάντα τοῦτον τὸν χρόνον ἑλὼν ἔτυχε. Στέφανόν τε ἄνδρα Ῥωμαῖον παρὰ βασιλέα πρεσβευτὴν ἔπεμψε, τὸν μὲν πόλεμον τόνδε καταλύειν αἰτῶν, ἐνσπόνδους δὲ Γότθους ποιεῖσθαι, ἐφ' ᾧ δὴ αὐτῷ ξυμμαχήσωσιν ἐπὶ D
τοὺς πολεμίους τοὺς ἄλλους ὁντι. βασιλεὺς δὲ Ἰουστινιανὸς οὔτε τὸν πρεσβευτὴν οἱ ἐς ὄψιν ἐλθεῖν ξυνεχώρησεν οὔτε τινὰ

4. μὲν αὐτῆς] μὲν αὐτὴν L. 5. δὲ αὐτῆς] δὲ αὐτοῖς L. 8. αὐτὸς] αὐτοῦ H: αὐτὸς Hm. 9. τούς τε] τε om. L. 10. ξυγκλήτου] συγκλήτου L. 11. τὸν ἱππικὸν] τῶν ἱππικῶν L. 12. θεασάμενος] θέμενος L. 13. πλοῖα μικρὰ] τὰ μικρὰ πλοῖα L. 18. ἐνσπόνδους δὲ L. ἐνσπόνδους τε P. 19. ξυμμαχήσωσιν] ξυμμαχήσουσι L. ibid. ἐπὶ τοὺς] τοὺς om. L. 21. οὔτε — οὔτε] Vulgo οὐδὲ — οὐδέ.

37. Non ita pridem Totilas, missa ad Francorum Regem legatione, eius filiam sibi petierat in matrimonium. Is vero abnuerat, negans illum Italiae Regem esse, vel futurum unquam, qui Romam captam retinere nescivisset, ac parte eius diruta, illam iterum permisisset hostium potestati. Quamobrem iam in urbem annonam invehere sategit Totilas, et propere instaurari iussit quidquid ipse, cum Romam primum cepisset, ferro ac flamma corruperat. Romanos, non Senatores modo, sed alios etiam quoscunque in Campania asservabat, revocavit, cumque ludis equestribus interfuisset, universum exercitum accinxit, bellum Siculum meditans. Eodem tempore minora navigia quadringenta, veluti ad navale certamen expediit, ac numerosam classem maiorum navium, quas illuc ex Oriente ab Imperatore missas toto eo tempore cum viris et oneribus interceperat. Stephanum ortu Romanum ad Imperatorem legavit, petens ut hoc bellum dirimeret, ac foedere iungeret sibi Gotthos, socios eorum armis iuvandus, cum alios hostes adoriretur. Verum Iustinianus Augustus nec Legatum ad conspectum suum admisit, nec dictis quidquam

τῶν λεγομένων ἐντροπὴν τὸ παράπαν πεποίηται. ἅπερ ἐπὶ Τωτίλας ἥκουσεν, αὖθις ἐς τὸν πόλεμον ἐν παρασκευῇ ἐποιεῖτο. ξύμφορον δέ οἱ ἔδοξεν εἶναι, Κεντουκέλλῶν ἀποπειρασαμένῳ πρότερον οὕτω δὴ ἐπὶ Σικελίας ἰέναι. ἦρχε δὲ τότε τοῦ ἐνταῦθα φυλακτηρίου Διογένης, ὁ Βελισαρίου δορυφόρος, δύναμιν ἀξιό- 5
χρεων ξὺν αὐτῷ ἔχων. καὶ ὁ μὲν Γότθων στρατὸς, ἐπειδὴ ἐς Κεντουκέλλας ἀφίκοντο, ἄγχιστα τοῦ περιβόλου ἐνστρατοπεδευ-
P 554 σάμενοι ἐς πολιορκίαν καθίσταντο. πρέσβεις δὲ πέμψας παρὰ Διογένην ὁ Τωτίλας, αὐτόν τε προὐκαλεῖτο καὶ τοὺς ἅμφ' αὐτὸν στρατιώτας. καὶ ἦν μὲν σφίσι βουλομένοις ἦ μάχῃ πρὸς αὐτοὺς 10
διακρίνεσθαι, ἔργου ἔχεσθαι αὐτίκα δὴ μάλα. ἐν ἐλπίδι τε παρῆνει μηδεμιᾷ ἔχειν, δύναμιν ἑτέραν τινὰ ἐκ βασιλέως σφίσιν ἀφῖξεσθαι. ἀδύνατον γὰρ Ἰουστινιανὸν τὸ λοιπὸν εἶναι πόλεμον πρὸς Γότθους τόνδε διενεγκεῖν, εἴ τῳ ἱκανὰ τεκμηριώσασθαι τὰ μετὰ χρόνον τοσοῦτον τὸ μῆκος ἐπὶ τῆς Ῥώμης ξυμ- 15
βάντα. εἰ δ' ὡς ἥκιστά σφισιν ἐν ἡδονῇ ἐστιν, αἵρεσιν προὐτείνατο ἑλέσθαι ὁπότερα ἂν αὐτοὶ βούλοιντο, ἢ ἐπὶ τῇ ἴσῃ καὶ
B ὁμοίᾳ τῷ Γότθων στρατῷ ἀναμίγνυσθαι, ἢ κακῶν ἀπαθέσιν ἐν-
V 171 θένδε ἀπαλλασσομένοις ἐπὶ Βυζαντίου κομίζεσθαι. Ῥωμαῖοι δὲ καὶ Διογένης οὔτε μάχῃ διακρίνεσθαι βουλομένοις σφίσιν αὐτοῖς 20
ἔφασκον εἶναι οὔτε μέντοι ἀναμίγνυσθαι τῷ Γότθων στρατῷ,

η

1. πεποίηται] πεποιεῖτο L. *ibid.* ἅπερ — ἐποιεῖτο om. L. 4. Σικελίας] σικελίαν L. *ibid.* τότε om. L. 7. Κεντουκέλλας] κεντουκέλλαν H: —ας Hm. 8. δὲ] τε L. 10. καὶ ἦν] καὶ om. L. *ibid.* ἦν μὲν] εἰ μὴ H. *ibid.* ᾗ] εἴῃ HL: sed ἦν μὲν — εἴῃ Hm. 14. τεκμηριώσασθαι] τεκμηριῶσαι L. 15. χρόνον τοσοῦτον] χρόνου τοσούτου L. *ibid.* τὸ μῆκος om. L. δὲ μῆκος H. 16. αἵρεσιν Reg. αἵρεσιν οὖν P. *ibid.* προὐτείνατο] προὐτείνετο Reg. 17. ὁπότερα ἂν] ὁποτέραν L.

detulit. Quae cum Totilae renuntiata fuissent, apparatum bellicum redintegravit. Ac prius expedire visum est Centumcellas tentare, itaque demum Siciliam petere. Illius urbis praesidio tunc imperabat Belisarii stipator Diogenes, idoneis succinctus copiis. Gotthorum vero exercitus, simul Centumcellas pervenit, proxime muros castrametatus, inchoavit obsidionem. Tum Totilas nonnullis ad Diogenem delegatis, ipsum eiusque milites provocat: si velint secum armis decernere, rem quamprimum aggrediantur: hortatur ut spem omnem abiiciant accipiendi ab Imperatore subsidii: quippe quantum coniici ex iis posset, quae Romae accidissent post tam diuturnam expectationem; iam bello Gotthico imparem esse Iustinianum. Sin dimicare nolint, optionem facit, malintne aequali sorte coniungi Gotthorum copiis, an Byzantium illinc proficisci incolumes. Romani cum Diogene respondent, nolle se in certamen venire, neque exercitui Gotthorum inseri, eo quod sine liberis et uxoribus vita

ἐπεὶ παίδων τε τῶν σφετέρων καὶ γυναικῶν χωρὶς βιοτεύειν οὐκ ἂν δύναιντο. πόλιν δὲ, ἥσπερ φυλακὴν ἔχουσιν, ἐν μὲν τῷ παρόντι λόγῳ τινὶ εὐπρεπεῖ ἐνδοῦναι οὐδαμῇ ἔχειν, ἐπεὶ οὐδέ τις σκῆψις αὐτοῖς, ἄλλως τε καὶ παρὰ βασιλέα στέλλεσθαι βουλομένοις, ταῦν πάρεστιν· ἐς χρόνον δὲ ἀναβάλλεσθαί τινα τὴν πρᾶξιν ἐδέοντο, ἐφ' ᾧ βασιλεῖ μὲν ἐν τούτῳ τὰ σφίσι παρόντα σημαίνωσι, οὐδεμιᾶς δὲ μεταξὺ βοηθείας ἐκ βασιλέως ἐνταῦθα ἰούσης οὕτω δὴ ἀπαλλάσσοιντο, Γότθοις μὲν τὴν πόλιν ἐνδόντες, οὐκ ἀπροφάσιστον δὲ αὐτοὶ τὴν ἀναχώρησιν ποιησάμενοι. ταῦτα ἐπεὶ Τωτίλᾳ ἤρεσκε, τακτὴ μὲν ἡμέρα ξυνέκειτο, ἄνδρες δὲ κατὰ τριάκοντα ἑκατέρωθεν ἐν ὁμήρων λόγῳ ἐπὶ τῇ ὁμολογίᾳ δέδονται ταύτῃ καὶ Γότθοι τὴν προσεδρείαν διαλύσαντες ἐπὶ Σικελίας ἐχώρησαν. ἐπεὶ δὲ ἀφίκοντο ἐς τὸ Ῥήγιον, οὐ πρότερον διέβησαν τὸν τῇδε πορθμὸν, ἕως φρουρίου τοῦ ἐν Ῥηγίῳ ἀπεπειράσαντο. ἦρχον δὲ τοῦ ἐνταῦθα φυλακτηρίου Θορισμούθ τε καὶ Ἰμέριος, οὕσπερ Βελισάριος ἐνταῦθα καταστησάμενος ἔτυχεν. οἵπερ ἐπεὶ πολλούς τε καὶ ἀρίστους ξὺν αὐτοῖς εἶχον, τειχομαχοῦντάς τε ἀπεκρούσαντο τοὺς πολεμίους καὶ ἐπεξελθόντες τὸ πλέον ἐν ξυμβολῇ ἴσχον. ὕστερον μέντοι τῷ πλήθει τῶν πολεμίων παρὰ πολὺ ἐλασσούμενοι ἐντὸς τοῦ περιβόλου κατακλεισθέντες ἡσύχαζον. Τωτίλας δὲ μοῖραν μὲν τοῦ Γότθων στρατοῦ αὐτοῦ εἴασε φρουρᾶς ἕνεκα, τῶν ἐπιτηδείων τῇ ἀπορίᾳ χρό-

1. τῶν σφετέρων L post γυναικῶν. 2. ἥσπερ] ἧς περὶ L. 5. ἀναβάλλεσθαι] ἀναβαλέσθαι Reg. 7. σημαίνωσι] σημήνωσι Reg. 8. ἀπαλλάσσοιντο] ἀπαλλάσσονται L. 10 ταυτὴ μὲν] μὲν om. L. 11. κατὰ om. L 14. ἀπεπειράσαντο] ἀποπειράσασθαι Reg. 20. πολεμίων] ἐναντίων Reg. 21. τοῦ Γότθων] τῶν γότθων τοῦ L.

intolerabilis ipsis futura sit; urbem autem, fidei suae creditam, non posse iam honeste tradere, ob id praesertim, quod, cum adire velint Imperatorem, nihil habeant, quo deditionem excusent. Itaque postulant, differatur haec aliquandiu, donec quo res deducta sit, Imperatori significent; ut si illo interim spatio auxilii nihil ab eo venerit, urbe Gotthis dedita, reditum purgare possint. His assenso Totila, certa dies convenit, cautumque est huic pactioni utrinque datis obsidibus triginta. Gothi, soluta obsidione, conversoque itinere in Siciliam, cum Rhegium pervenissent, non prius fretum, quod illic est, traiecere, quam Rhegii castellum tentarunt. Parebat illius praesidium Thurimutho atque Himerio, quos ibi Belisarius constituerat. Hi, cum et multos et fortissimos haberent secum milites, impressionem hostium repulerunt, factaque eruptione, ex pugna redierunt superiores. At deinde, illis longe cedentes numero, continuerunt sese, inclusi moenibus. Totilas vero exercitus Gotthici partem ibi, ut custodiam ageret, reliquit, spe maxima incen-

H 312 νῳ ὕστερον ἐξαιρήσειν καραδοκῶν τοὺς ταύτῃ Ῥωμαίους, ἐς δὲ Ταραντίνους στράτευμα πέμψας τὸ ἐκείνῃ φρούριον παρεστήσατο οὐδενὶ πόνῳ, καὶ Γότθοι δὲ, οὕσπερ ἐλίπετο ἐν Πικηνῶν τῇ χώρᾳ, πόλιν Ἀρίμηνον τηνικάδε προδοσίᾳ εἷλον.

Ταῦτα ἀκούσας Ἰουστινιανὸς βασιλεὺς Γερμανὸν τὸν ἀνεψιὸν τὸν αὐτοῦ αὐτοκράτορα ἐβούλευσε πολέμου τοῦ πρὸς Γότθους τε καὶ Τωτίλαν καταστήσασθαι, καί οἱ ἐν παρασκευῇ ἐπέστελλεν εἶναι· ἐπεί τε ὁ περὶ τούτου λόγος ἐς Ἰταλίαν ἦλθε, Γότθοι μὲν ἐν φροντίδι μεγάλῃ ἐγένοντο. δεξιὰ γάρ τις ἡ ἀμφὶ Γερ-
P 555 μανῷ δόξα ἐς πάντας ἀνθρώπους οὖσα ἐτύγχανεν. εὐέλπιδες δὲ Ῥωμαῖοί τε γεγενημένοι, εὐθὺς ἅπαντες καὶ οἱ τοῦ βασιλέως στρατοῦ τῷ τε κινδύνῳ καὶ τῇ ταλαιπωρίᾳ πολλῷ ἔτι μᾶλλον ἀντεῖχον. ἀλλὰ βασιλεὺς οὐκ οἶδα ὅ τι μετεμαθὼν Λιβέριον ἄνδρα Ῥωμαῖον, οὗπερ ἐν τοῖς ἔμπροσθεν λόγοις ἐμνήσθην, ἐς τὸ ἔργον καταστήσασθαι ἀντὶ Γερμανοῦ ἔγνω. καὶ ὁ μὲν παρεσκευασμένος ὡς τάχιστα, ὅτι δὴ αὐτίκα ξὺν στρατῷ ἀποπλεύσει, ἐπίδοξος ἦν. ἀλλ' ἐπεὶ βασιλεῖ μετέμελεν αὖθις, ἡσυχῇ καὶ αὐτὸς ἔμενε. τότε δὴ Βῆρος ξὺν ἀνδράσιν, οὓς ἀγείρας μαχιμω-
B τάτους ἀμφ' αὐτῷ ἔτυχε, Γότθοις τοῖς ἐν Πικηνῷ οὖσιν ἐς χεῖρας ἐλθὼν πόλεως Ῥαβέννης οὐ πολλῷ ἄποθεν, τῶν τε ἑπομένων

1. ὕστερον] ὑστέρῳ Reg. 2. Ταραντίνους] Vulgo Ταραντηνούς. ibid. στράτευμα] στρατεύματα L. 3. Πικήνων P. πηγκηνῶν H. πικηνῶν L. 9. Γερμανῷ] Γερμανὸν HmPm. γερμανῶν L. 13. ὅ τι] ὅπως L. 15. παρεσκευασμένος] παρασκευασάμενος Reg. 16. ἀποπλεύσει] ἀποπλεύσειν L. 18. ξὺν ἀνδράσιν οὕς] ἄνδρας L. 19. αὐτῷ] αὐτὸν L. ibid. Πικήνῳ P. πικηνῷ L. πιγκηνῷ H.

sus, fore postea ut Romanos illos cibariorum penuria domaret. Missis Tarentum copiis, situm illic castellum labore nullo in suam potestatem redegit, et Gotthi, quos in agro Piceno liquerat, tunc urbem Arimiaum proditione ceperunt.

Iustinianus Augustus his auditis, Germano fratris sui filio bellum adversus Gotthos ac Totilam dare constituit, praecepitque ut accingeretur. Cuius rei nuntius in Italiam perlatus, Gotthis magnam iniecit sollicitudinem; quòd apud omnes Germani nomen celebre esset. Continuo Romanos omnes ac Caesarianas copias ita spes erexit, ut iam periculis aerumnisque multo constantius resisterent. Sed enim Imperator, mente nescio quo pacto mutata, Liberium, civem Romanum, cuius mentio supra incidit, incepto praeficere decrevit, Germani loco. Atque is quidem statim paratus, propediem cum exercitu oram soluturus videbatur: verum neque ipse discessit, subeunte Imperatorem consilii poenitentia. Id temporis Verus cum bellatoribus optimis, quos sibi collegerat, Got-

πολλοὺς ἐκβάλλει καὶ αὐτὸς θνήσκει, ἀνὴρ ἀγαθὸς ἐν τῷ πόνῳ τούτῳ γενόμενος.

λη'. Ὑπὸ τοῦτον τὸν χρόνον στράτευμα Σκλαβηνῶν οὐ πλέον ἢ ἐς τρισχιλίους ἀγηγερμένον, ποταμόν τε Ἴστρον, οὐδε- C
νὸς σφίσιν ἀντιστατοῦντος, διέβησαν, καὶ πόνῳ οὐδενὶ ποταμὸν Εὖρον εὐθὺς διαβάντες δίχα ἐγένοντο. εἶχε δὲ αὐτῶν ἄτερα μὲν ξυμμορία ὀκτακοσίους τε καὶ χιλίους, ἡ δὲ δὴ ἑτέρα τοὺς καταλοίπους. ἑκατέροις μὲν οὖν καὶ παρ' ἀλλήλων ἀπολελειμμένοις, ὥσπερ ἐρρήθη, ἐς χεῖρας ἐλθόντες οἱ τοῦ Ῥωμαίων στρατοῦ ἄρχοντες ἔν τε Ἰλλυριοῖς καὶ Θρᾳξὶν, ἠσσήθησάν τε ἐκ τοῦ ἀπροσδοκήτου καὶ οἱ μὲν αὐτοῦ διεφθάρησαν, οἱ δὲ κόσμῳ οὐδενὶ διαφυγόντες ἐσώθησαν. ἐπεὶ δὲ οἱ στρατηγοὶ πάντες οὕτω παρ' ἑκατέρων τῶν βαρβαρικῶν στρατοπέδων, καίπερ ἐλασσόνων παρὰ πολὺ ὄντων, ἀπήλλαξαν, Ἀσβάδῃ ἡ ἑτέρα τῶν πολεμίων V 172
ξυμμορία ξυνέμιξεν. ἦν δὲ οὗτος ἀνὴρ βασιλέως μὲν Ἰουστινιανοῦ D
δορυφόρος, ἐπεὶ ἐς τοὺς Κανδιδάτους καλουμένους τελῶν ἔτυχε, τῶν δὲ ἱππικῶν καταλόγων ἦρχεν, οἳ ἐν Τζουρουλῷ τῷ ἐν Θράκῃ φρουρίῳ ἐκ παλαιοῦ ἵδρυνται, πολλοί τε καὶ ἄριστοι ὄντες. καὶ αὐτοὺς οἱ Σκλαβηνοὶ τρεψάμενοι οὐδενὶ πόνῳ πλείστους μὲν αἰσχρότατα φεύγοντας ἔκτειναν, Ἀσβάδην δὲ καταλαβόντες ἐν μὲν τῷ παραυτίκα ἐζώγρησαν, ὕστερον δὲ αὐτὸν ἐς πυρὸς ἐμβεβλημένον φλόγα ἔκαυσαν, ἱμάντας πρότερον ἐκ τοῦ νώτου τοῦ

6. εὖρον H. Εὕρον P. ἔβρον L a m. sec. *ibid.* εὐθὺς] εὐθὺ L. *ibid.* ἄτερα] ἑτέρα Reg. 7. ξυμμορία] συμμορία L. 9. ὥσπερ ἐρρήθη om. L. 14. Ἀσβάδῃ] ἀσβάσδῳθ Reg. *Asbadus* Pers. 19. αὐτοὺς] αὐτὸν H. αὐτοὺς Hm.

thos, qui in Piceno erant, adortus non procul ab urbe Ravenna, magna suorum clade involutus interiit, re fortiter gesta in eo praelio.

38. Sub idem tempus Sclavenorum exercitus, ex tribus solum conflatus virorum millibus, nemine prohibente, Istrum fluvium traiecit, ac nullo negotio subinde transmisso Hebro flumine, bifariam discessit. Constabat pars altera mille octingentis, altera reliquis. Utrosque, quamvis invicem, ut dictum est, separatos aggressi in Illyrico Thraciaque exercitus Romani Duces, praeter opinionem victi sunt, ac partim ibi ceciderunt, partim evaserunt, incomposite fugientes. Postquam ab utroque Barbarico exercitu, quamvis numero longe inferiore, Romani Duces omnes ita fusi fugatique sunt, cum Asbade pars hostium altera manum conseruit. Erat hic vir Iustiniani Augusti stipator, Candidatis, quos appellant, ascriptus, et equitibus praecerat, veteribus stationariis Tzuruli Thraciae castelli, numero animoque pollentibus. His quoque Sclaveni disiectis, quamplurimos turpissime fugientes interfecerunt, captumque Asbadem tum quidem vivum servarunt; sed postea coniectum in flammas

ἀνθρώπου ἐκδείραντες. ταῦτα διαπεπραγμένοι τὰ χωρία ξύμπαντα, τά τε Θρᾳκῶν καὶ Ἰλλυριῶν, ἀδεῶς ὕστερον ἐληίζοντο,
P 556 καὶ φρούρια πολλὰ πολιορκίᾳ ἑκάτεροι εἷλον, οὐ τειχομαχήσαντες πρότερον, οὐδὲ ἐς τὸ πεδίον καταβῆναι τολμήσαντες, ἐπὶ οὐδὲ γῆν τὴν Ῥωμαίων καταθεῖν ἐγχειρήκασι πώποτε οἱ βάρβαροι οἵδε. οὐ μὴν οὐδὲ στρατῷ ποταμὸν Ἴστρον φαίνονται διαβεβηκότες ἐκ τοῦ παντὸς χρόνου, πλήν γε δὴ ἐξ ὅτου μοι ἔμπροσθεν εἴρηται.

Οὗτοι δὲ οἱ τὸν Ἀσβάδην νενικηκότες μέχρι ἐς θάλασσαν λησάμενοι ἐφεξῆς ἅπαντα καὶ πόλιν ἐπιθαλασσίαν τειχομαχή-
B σαντες εἷλον, καίπερ στρατιωτῶν φρουρὰν ἔχουσαν, Τόπερον ὄνομα· ἡ πρώτη μὲν Θρᾳκῶν τῶν παραλίων ἐστὶ, τοῦ δὲ Βυζαντίου διέχει ὁδὸν ἡμερῶν δυοκαίδεκα. εἷλον δὲ αὐτὴν τρόπῳ τοιῷδε. οἱ μὲν πλεῖστοι ἐν δυσχωρίαις πρὸ τοῦ περιβόλου σφᾶς αὐτοὺς ἔκρυψαν, ὀλίγοι δέ τινες ἀμφὶ τὰς πύλας γενόμενοι, αἳ πρὸς ἀνίσχοντά εἰσιν ἥλιον, τοὺς ἐν ταῖς ἐπάλξεσι Ῥωμαίους ἠνώχλουν. ὑποτοπήσαντες δὲ οἱ στρατιῶται, ὅσοι τὸ ἐνταῦθα φυλακτήριον εἶχον, οὐ πλείους αὐτοὺς ἢ ὅσοι καθωρῶντο εἶναι, ἀνελόμενοι αὐτίκα τὰ ὅπλα ἐξίασιν ἐπ' αὐτοὺς ἅπαντες. οἱ δὲ βάρβαροι ὀπίσω ἀνέστρεφον, ὀκνήσειν παρεχόμενοι τοῖς ἐπιοῦσιν ὅτι δὴ αὐτοὺς ἐς ὑπαγωγὴν κατωρρωδηκότες χωροῦσι· καὶ οἱ Ῥωμαῖοι ἐς τὴν ὄλωξιν ἐκπεπτωκότες πόρρω που τοῦ περιβόλου

3. οὐ τειχ.] οὐδὲ τειχ. L. 5. πώποτε L post οὗτοι. 9. Ἀσβάδην] ἀσβάδω L. 11. Τόπερον] τόπειρον H. τόπηρον L. 13. ὁδὸν] ὁδῷ L. 22. ἐς τὴν L. εἰς τὴν P.

combusserunt, desectis prius loris ex dorsi illius pelle. His peractis, Thraciam omnem atque Illyricum impune vastarunt, ac multa utrique castella obsidione ceperunt, qui antea nec muros oppugnare, neque in campum descendere audebant. Enimvero ne tentaverant quidem umquam hi Barbari incursionem facere in Romanum Imperium. Immo vero ante illud tempus, quod supra dixi, nunquam cum exercitu fluvium Istrum videntur traiecisse.

Qui Asbadem vicerant, ad mare usque continenter omnia populati, urbem maritimam, quamvis militari praesidio munitam, expugnarunt. Toperus dicitur, urbiumque maritimarum Thraciae prima est, ac Byzantio dierum iter duodecim distat. Sic autem eam ceperunt. Cum eorum pars maxima sub moenibus in locis confragosis delituisset, exigua manus ad portam, quae Solem orientem spectat, Romanos, qui stabant ad pinnas, lacessere coepit. Rati milites, quicunque hic agitabant praesidium, haud plures esse quam qui coram aderant, captis extemplo armis, in eos cuncti erumpunt. Mox Barbari retro cedere, aggressoribus speciem praebentes fugientium metu. Romanis a muro procul insequendo prove-

ἐγένοντο. ἀναστάντες οὖν οἱ ἐκ τῶν ἐνεδρῶν κατόπισθέν τε τῶν διωκόντων γενόμενοι ἐσιτητὰ σφίσιν ἐς τὴν πόλιν οὐκέτι ἐποίουν. C
ἀναστρέψαντές τε καὶ οἱ φεύγειν δοκοῦντες ἀμφιβόλους ἤδη τοὺς H 313
Ῥωμαίους πεποίηνται. οὓς δὴ ἅπαντας οἱ βάρβαροι διαφθεί-
ραντες τῷ περιβόλῳ προσέβαλλον. οἱ δὲ τῆς πόλεως οἰκήτορες
τῶν στρατιωτῶν τῆς δυνάμεως ἐστερημένοι, γίνονται μὲν ἐν ὑμη-
χανίᾳ πολλῇ, καὶ ὡς δὲ τοὺς ἐπιόντας ἐκ τῶν παρόντων ἠμύ-
νοντο. καὶ πρῶτα μὲν ἔλαιόν τε καὶ πίσσαν ἐπὶ πλεῖστον θερ-
μήναντες τῶν τειχομαχούντων κατέχεον, καὶ λίθων βολαῖς παν-
δημεὶ ἐς αὐτοὺς χρώμενοι τοῦ ὑπεῖσθαι τὸν κίνδυνον οὐ μακράν
που ἐγένοντο. ἔπειτα δὲ αὐτοὺς πλήθει βελῶν οἱ βάρβαροι βια-
σάμενοι ἐκλιπεῖν τε τὰς ἐπάλξεις ἠνάγκασαν καὶ κλίμακας τῷ πε-
ριβόλῳ ἐρείσαντες κατὰ κράτος τὴν πόλιν εἷλον. ἄνδρας μὲν οὖν
ἐς πεντακισχιλίους τε καὶ μυρίους εὐθὺς ἅπαντας ἔκτειναν καὶ D
πάντα τὰ χρήματα ἐλήισαντο, παῖδας δὲ καὶ γυναῖκας ἐν ἀνδρα-
πόδων πεποίηνται λόγῳ. καίτοι τὰ πρότερα οὐδεμιᾶς ἡλικίας
ἐφείσαντο, ἀλλ' αὐτοί τε καὶ οἱ ξυμμορίας τῆς ἑτέρας, ἐξ ὅτου
δὴ τῇ Ῥωμαίων ἐπέσκηψαν χώρᾳ, τοὺς παραπίπτοντας ἅπαντας
ἡβηδὸν ἔκτειναν. ὥστε γῆν ἅπασαν, ἥπερ Ἰλλυριῶν τε καὶ
Θρᾳκῶν ἐστι, νεκρῶν ἔμπλεων ἐπὶ πλεῖστον ἀτάφων γενέσθαι.
ἔκτεινον δὲ τοὺς παραπίπτοντας οὔτε ξίφει οὔτε δόρατι οὔτε τῳ
ἄλλῳ εἰωθότι τρόπῳ, ἀλλὰ σκόλοπας ἐπὶ τῆς γῆς πηξάμενοι

3. ἀναστρέψαντές τε] ἀναστρέψαντες δὲ Hm. 5. προσέβαλλον] προσέβαλον L. 8. πρῶτα Reg. πρῶτον P. 10. οὐ μακράν] οὐ om. L. 11. ἔπειτα] ἐπεὶ L. *ibid.* Post βελῶν L a m. sec. ἐξέλιπον. *ibid.* οἱ] οἱ δὲ L. 17. οἱ ξυμμορίας τῆς ἑτέρας] ἡ συμμορία ἡ ἑτέρα L. 18. τῇ — χώρᾳ] τὴν — χώραν L. *ibid.* ἅπ. ἡβ.] ἡβ. ἅπ. L. 20. ἔμπλεων L. ἔμπλεω P.

etis, illi ex insidiis consurgunt, et insequentibus imminentes a tergo, reditum in urbem praecludunt. Tum ora vertentes, qui fugere videbantur, Romanos intercipiunt. His ad internecionem caesis, admovent se moenibus Barbari. Iam a militibus imparati cives, graviter aestuare. Nihilominus pro re nata arcebant impetum: ac principio quidem ferventissimo oleo et pice oppugnatores rigabant; cumque omnis aetas lapides iaceret, nihil propius factum est, quam ut discrimen averterent. Post tandem Barbari ingenti telorum vi illos e pinnis deiecerunt, et scalis ad muros applicitis, urbem expugnaverunt. Nec mora: viris omnibus ad XV. M. contrucidatis, penitusque direptis opibus, pueros ac feminas servituti addicunt; cum ad eam diem nulli aetati pepercissent: verum et ipsi, et qui in altero erant exercitu, ex quo in fines Romanorum irruperant, obvios quosque sine ullo aetatis discrimine de medio sustulissent: ita ut in Illyrico Thraciaque insepultis cadaveribus solum longe ac late constratum esset. Obvios autem non ense, non hasta, non alio

ἰσχυρότατα, ὀξεῖς τε αὐτοὺς ἐς τὰ μάλιστα ποιησάμενοι, ἐπὶ τούτων ξὺν βίᾳ πολλῇ τοὺς δειλαίους ἐκάθιζον, τὴν σκολόπων ἀκμὴν γλουτῶν κατὰ τὸ μέσον ἐνείροντες ὠθοῦντές τε ἄχρι ἐς τῶν
P 557 ἀνθρώπων τὰ ἔγκατα, οὕτω δὴ αὐτοὺς διαχρήσασθαι ἠξίουν. καὶ ξύλα δὲ παχέα τέτταρα ἐπὶ πλεῖστον ἐς γῆν κατορύξαντες οἱ βάρβαροι οὗτοι, ἐπ' αὐτῶν τε χεῖρας καὶ πόδας τῶν ἡλωκότων δεσμεύοντες, εἶτα ῥοπάλοις αὐτοὺς κατὰ κόρρης ἐνδελεχέστατα παίοντες, ὡς δὴ κύνας ἢ ὄφεις ἢ ἄλλο τι θηρίον διέφθειρον. ἄλλους δὲ ξύν τε βουσὶ καὶ προβάτοις, ὅσα δὴ ἐπάγεσθαι ἐς τὰ πάτρια ἤθη ὡς ἥκιστα εἶχον, ἐν τοῖς δωματίοις καθειρξαντες, οὐδεμιᾷ φειδοῖ ἐνεπίμπρασαν. οὕτω μὲν Σκλαβηνοὶ τοὺς ἐντυχόντας ἀεὶ ἀνῄρουν. ἀλλὰ νῦν αὐτοί τε καὶ οἱ τῆς ἑτέρας ξυμ-
B V 173 μορίας, ὥσπερ τῷ τῶν αἱμάτων μεθύοντες πλήθει, ζωγρεῖν τὸ ἐνθένδε ἠξίουν τῶν παραπεπτωκότων τινὰς, καὶ ἀπ' αὐτοῦ μυριάδας αἰχμαλώτων ἐπαγόμενοι ἀριθμοῦ κρείσσους ἐπ' οἶκου ἀπεκομίσθησαν ἅπαντες.

C λϑ'. Ὕστερον δὲ Γότθοι τῷ Ῥηγίνων προσέβαλλον ὀχυρώματι, οἱ δὲ πολιορκούμενοι καρτερώτατα σφᾶς ἀμυνόμενοι ἀπεκρούοντο, ἔργα τε ὁ Θορισμοὺϑ ἐπεδείκνυτο ἀεὶ ἐς αὐτοὺς ἀρετῆς ἄξια. γνοὺς δὲ ὁ Τωτίλας ἐνδεῖν τοῖς πολιορκουμένοις τὰ ἐπιτήδεια, μοῖραν μὲν τοῦ στρατοῦ αὐτοῦ εἴασε φυλακῆς ἕνεκα, ὅπως δὴ οἱ πολέμιοι μηδὲν μὲν τοῦ λοιποῦ ἐσκομίζωνται,

2. τὴν σκολόπων] τήν τε σκολόπων L. 12. ξυμμορίας] συμμορίας L. 17. δὲ] μέντοι H: sed δὲ Hm. ibid. προσέβαλλον] προσέβαλον L. 19. Θορισμοὺϑ] Θονρισμοὺϑ H.

quoquam usitato necis genere conficiebant, sed depactis valide in terram sudibus praeacutis, miserorum sedes multa vi impingebant, et infixas inter nates palorum cuspides adigentes ad usque viscera, illis vitam extorquebant. Praeterea defossis humi lignis quatuor crassioribus alligabant hi Barbari eorum, quos ceperant, manus ac pedes: deinde capita fustibus assidue tundendo, veluti canes, aut serpentes, aliudve ferae genus mactabant. Alios cum bobus et ovibus, quas in patriam abducere non poterant, in tuguria compactos, immisericorditer cremabant. Ita Sclaveni illos, in quos incidebant, necare erant soliti. Iam uterque eorum exercitus, quasi nimio sanguine ebrius ac satur esset, quos in posterum caperet, illorum parti donare vitam statuit. Quo factum est, ut domum omnes reversi sint, cum captivorum innumeris myriadibus.

39. Postea, cum Rheginum castellum Gotthi adorti essent, obsessi illos propulerunt, fortissime repugnantes: in primis Thurimuthus facinora generoso digna pectore semper edidit. Totilas vero, haud ignarus obsessos annona anguste uti, copiarum ibi partem reliquit, omnes aditus servare iussam; ut hostes commeatibus penitus interclusi, reique ciba-

ἀπορίᾳ δὲ τῶν ἀναγκαίων σφᾶς τε αὐτοὺς καὶ τὸ φρούριον Γότθοις ἐνδώσουσιν· αὐτὸς δὲ τῷ ἄλλῳ στρατῷ ἐς Σικελίαν διαπορθμευσάμενος τῷ Μεσσηνῶν προσέβαλλε τείχει. καὶ οἱ Δομενεντίολος ὁ Βούζου ἀδελφιδοῦς, ὅσπερ τῶν τῇδε Ῥωμαίων ἦρχεν, ὑπαντιάσας τε πρὸ τοῦ περιβόλου καὶ ἐς χεῖρας ἐλθὼν οὐκ D ἔλασσον ἔσχεν. αὖθις δὲ ἐν τῇ πόλει γενόμενος φυλακῆς τε τῆς ἐνταῦθα ἐπιμελούμενος ἡσυχίαν ἦγε. Γότθοι δὲ, μηδενὸς σφίσιν ἐπεξιόντος, ἐληίσαντο Σικελίαν σχεδόν τι ὅλην. Ῥωμαῖοι δὲ οἱ ἐν Ῥηγίῳ πολιορκούμενοι, ὧν δὴ Θορισμούθ τε καὶ Ἰμέριος ἦρχον, ὥσπερ μοι εἴρηται, τὰ γὰρ ἀναγκαῖα σφᾶς παντάπασιν ἀπελελοίπει, αὐτούς τε καὶ τὸ φρούριον ὁμολογίᾳ τοῖς πολεμίοις ἐνέδοσαν.

Ἅπερ ἐπεὶ βασιλεὺς ἤκουσε, στόλον τε ἀγείρας νηῶν καὶ στράτευμα λόγου ἄξιον ἐκ καταλόγου πεζῶν ἐν τῷ στόλῳ τούτῳ ἐνθέμενος, ἄρχοντά τε Λιβέριον αὐτοῖς ἐπιστήσας, πλεῖν κατὰ τάχος ἐπὶ Σικελίας ἐκέλευσε, καὶ τὴν νῆσον διασώσασθαι δυνάμει τῇ πάσῃ. ἀλλά οἱ ἄρχοντα τοῦ στόλου καταστησαμένῳ Λι- P 558 βέριον αὐτίκα δὴ μάλα μετέμελεν. ἦν γὰρ ἐσχατογέρων τε ὁ ἀνὴρ μάλιστα καὶ ἀμελέτητος πολεμίων ἔργων. Ἀρταβάνῃ τε ἀφεὶς τὰ ἐς αὐτὸν ἐγκλήματα πάντα καὶ στρατηγὸν καταλόγων τῶν ἐπὶ Θρᾴκης καταστησάμενος ἐς Σικελίαν εὐθὺς ἔπεμψε, στράτευμα μὲν οὐ πολὺ παρασχόμενος, ἐπιστείλας δὲ τὸν ξὺν

3. *Μεσσηνῶν*] *μεσηνῶν* P. *ibid. προσέβαλλε*] *προσέβαλε* L. *ibid. Δομενεντίολος*] *δομνεντίολος* Reg. *δομεντίολος* H et Pers. 10. *μοι* om. L. 11. *ἀπελελοίπει*] *ἀπολελοίπει* L. *ibid. αὐτούς*] *αὐτός* L. 14. *καταλόγου*] *καταλόγων* L.

riae penuria pressi, se ipsi et castellum Gotthis contraderent. Ipse, reliquo exercitu in Siciliam transportato, Messanae muros oppugnare instituit. Occurrit, qui Romanis illic degentibus praeerat Domnentiolus, Buzis ex sorore nepos, factoque pro moenibus praelio non inferior, cum in urbem se recepisset, illi custodiendae intentus, nihil amplius movit. Tum Gotthi, nemine erumpente Siciliam fere totam vastarunt. Interea Romani, qui Rhegii cum suis Ducibus Thorimutho atque Himerio, ut dixi, obsidebantur, absumptis omnino cibariis, se et castellum hostibus dediderunt.

Quae cum Imperator audisset, collecta classe, et validis peditum copiis in eam impositis, duce Liberio, illas in Siciliam celeriter navigare iussit, ac viribus omnibus insulam recuperare. At vix Liberium classi praefecerat, cum ipsum poenituit consilii: eo quod vir esset Liberius aetate defectus, ac belli rudis. Mox Artabanem in gratiam restitutum, et militari ornatum Thraciae Magisterio, in Siciliam mittit, cum exiguis quidem copiis, sed cum mandato adiungendae sibi classis, quae erat

τῷ Λιβερίῳ παραλαβεῖν στόλον, ἐπεὶ Λιβέριον ἐς Βυζάντιον με-
τεπέμπετο. αὐτοκράτορα δὲ τοῦ πρὸς Τωτίλαν τε καὶ Γότθους
πολέμου Γερμανὸν κατεστήσατο τὸν αὑτοῦ ἀνεψιόν. ᾧ δὴ στρά-
H 314 τευμα μὲν οὐ πολὺ ἔδωκε, χρήματα δὲ λόγου ἄξια παρασχόμε-
B νος στρατιὰν ἐπέστελλεν ἐκ Θρᾳκῶν τε καὶ Ἰλλυριῶν ἀξιολογωτά-
την ἀγείραντα οὕτω δὴ στέλλεσθαι σπουδῇ ἐς τὴν Ἰταλίαν πολλῇ.
καὶ Φιλημούθ τε τὸν Ἐρούλων ἄρχοντα ξὺν τοῖς ἑπομένοις καὶ
Ἰωάννην τὸν αὐτοῦ μὲν Γερμανοῦ κηδεστήν, Βιταλιανοῦ δὲ
ἀδελφιδοῦν (στρατηγὸς γὰρ ὢν τῶν ἐν Ἰλλυριοῖς καταλόγων δια-
τριβὴν ἐνταῦθα εἶχε) ξὺν αὐτῷ ἐς τὴν Ἰταλίαν ἀπαγαγέσθαι
ἐπήγγελλε.

Τότε δὴ Γερμανὸν φιλοτιμία πολλή τις ἔσχε, Γότθων τὴν
ἐπικράτησιν ἀναδήσασθαι, ὅπως οἱ Λιβύην τε καὶ Ἰταλίαν ἀνα-
σώσασθαι περιέσται τῇ Ῥωμαίων ἀρχῇ. Στότζα γὰρ τετυραν-
νηκότος ἔν γε Λιβύῃ τὰ πρότερα καὶ τὸ Λιβύης κράτος βεβαιό-
C τατα ἤδη ἔχοντος αὐτὸς ἐκ βασιλέως σταλεὶς καὶ μάχῃ τοὺς στα-
σιώτας παρὰ δόξαν νικήσας τήν τε τυραννίδα κατέπαυσε καὶ Λι-
βύην αὖθις ἀνεσώσατο τῇ Ῥωμαίων ἀρχῇ, ὥσπερ μοι ἐν τοῖς
ἔμπροσθεν λόγοις ἐρρήθη. καὶ νῦν δὲ τῶν Ἰταλίας πραγμάτων
ἐς τοῦτο τύχης ἐληλακότων, ἐς ὃ μοι ἔναγχος δεδιήγηται, μέγα
δὴ ἐνθένδε περιβαλέσθαι κλέος ἐβούλετο, ἅτε δὴ καὶ αὐτὴν ἰσχύ-
σας βασιλεῖ ἀνασώσασθαι. καὶ πρῶτα μὲν (ἐτετελευτήκει γάρ

3. τὸν αὐτοῦ ἀνεψιόν] τὸν ἀνεψιὸν τὸν αὐτοῦ L. 4. παρα-
σχόμενος] παρεχόμενος Reg. 5. ἔκ τε Θρακῶν L. 6. ἀγεί-
ραντα] ἀγείραντι L. ibid. πολλῇ post σπουδῇ L. 7. καὶ οἱ
φιλιμούθ τε τὸν ἐρουλον L. 12. πολλὴ om. L. 14. τῇ —
ἀρχῇ] τὴν — ἀρχὴν L. 16. τοὺς στ. παρὰ δόξαν L. Vulgo πα-
ραδόξως τοὺς στασιώτας. παρὰ δόξαν ex Reg. enotavit Malt.

cum Liberio, Byzantium redire iusso. Belli imperium in Totilam et Gotthos Germano, fratris sui filio, dedit, modico adiuncto exercitu. Verum ingenti suppeditata pecunia, praecepit, ut coactis ex Thracia atque Illyrico florentibus copiis, magnis itineribus contenderet in Italiam, secumque duceret Philemuthum Erulorum Principem cum ipsius turmis, et Ioannem generum suum, Vitaliani ex sorore nepotem; qui Magister factus militum per Illyricum, ibi tum morabatur.

Tunc ingens laudis amor Germanum impulit ad debellandos Gotthos; ut postmodum diceretur, non modo Africam, sed Italiam quoque Romano Imperio recuperasse. Nam antea, cum Stozas tyrannidem exercens in Africa, eius dominatum firmissime sibi asseruisset, eo missus ab Imperatore Germanus, factiosis praeter opinionem acie victis, tyrannidem sustulerat, et in Romanam ditionem Africam revocaverat, ut in superioribus libris narravi. Iam vero rebus Italiae ita, ut modo memorabam, collapsis, magnam inde reportare gloriam volebat, et praedicari, quod filiam potestati Imperatoris restituere potuisset. Ac primum quidem, cum

οἱ πολλῷ πρότερον ἢ γυνὴ Πασσάρα ὄνομα) Ματασοῦνθαν ἐν V 174
γαμετῆς ἐποιήσατο λόγῳ, τὴν Ἀμαλασούνθης τῆς Θευδερίχου θυγατρὸς παῖδα, Οὐιτίγιδος ἤδη ἐξ ἀνθρώπων ἀφανισθέντος. ἤλπιζε γὰρ, ἢν ξὺν αὐτῷ ἐν τῷ στρατοπέδῳ ἡ γυνὴ ἴῃ, αἰσχύνεσθαι, ὡς τὸ εἰκὸς, Γότθους ὅπλα ἐπ' αὐτὴν ἀνελέσθαι, ἀνα- D
μνησθέντας τῆς Θευδερίχου τε καὶ Ἀταλαρίχου ἀρχῆς. ἔπειτα δὲ χρήματα μεγάλα τὰ μὲν ἐκ βασιλέως, τὰ δὲ πλείω οἴκοθεν οὐδεμιᾷ φειδοῖ προϊέμενος στρατιὰν ἐκ τοῦ ἀπροσδοκήτου πολλὴν ἀνδρῶν μαχιμωτάτων ἀγείρει δι' ὀλίγου εὐπετῶς ἴσχυσε. Ῥωμαῖοί τε γὰρ, ἄνδρες ἀγαθοὶ τὰ πολέμια, τῶν ἀρχόντων πολλοὺς, ὧν δὴ δορυφόροι τε καὶ ὑπασπισταὶ ἦσαν, ἐν ὀλιγωρίᾳ πεποιημένοι, Γερμανῷ εἵποντο, ἔκ τε Βυζαντίου καὶ τῶν ἐπὶ Θρᾴκης χωρίων καὶ Ἰλλυριῶν οὐδέν τι ἧσσον, Ἰουστίνου τε καὶ Ἰουστινιανοῦ, τῶν αὐτοῦ παίδων, πολλὴν ἐνδειξαμένων περὶ ταῦτα σπουδὴν, P 559
ἐπεὶ καὶ αὐτοὺς ἐπαγαγόμενος ἀπιὼν ᾤχετο. τινὰς δὲ καὶ ἐκ καταλόγων ἱππικῶν, οἳ ἐπὶ τῆς Θρᾴκης ἵδρυντο, δόντος βασιλέως ξυνέλεξε. καὶ βάρβαροι πολλοὶ, οἵπερ ἀμφὶ ποταμὸν Ἴστρον διατριβὴν εἶχον, κατὰ κλέος τοῦ Γερμανοῦ ἥκοντες καὶ χρήματα πολλὰ κεκομισμένοι ἀνεμίγνυντο τῷ Ῥωμαίων στρατῷ. ἄλλοι τε βάρβαροι ἐκ πάσης ἀγειρόμενοι ξυνέρρεον γῆς. καὶ ὁ τῶν Λαγγοβαρδῶν ἡγούμενος ὁπλίτας χιλίους ἐν παρασκευῇ πεποιημένος αὐτίκα δὴ μάλα ὑπέσχετο πέμψειν.

1. *Ματασούνθαν* P. *ματτασούνθαν* H. *μετασούνθαν* Reg. 9. *ἀγεῖραι ἀνδρῶν μαχ.* L. 22. *πέμψειν* om. L.

viduus, mortua pridem coniuge Passara, natam ex Amalasuntha Theoderici filia Matasuntham, post Vitigis obitum, uxorem duxisset, eam secum assumpsit. Sperabat enim fore ut, si uxorem in castris haberet, Gotthi, iusta prohibiti reverentia, in eam arma non tollerent, regni Theoderici atque Atalarici memores. Deinde praebitam ab Augusto pecuniam, et ampliorem de suo liberalissime erogans, magnas praeter expectationem copias virorum bellicosissimorum brevi tempore et labore nullo conscripsit. Nam qui inter Romanos erant bello egregii, contemptis multis Ducibus ac Praefectis, apud quos Protectorum munere fungebantur, ad Germanum ex urbe Byzantio pariterque ex Thracia atque Illyrico se conferebant, in id sedulo incumbentibus eius filiis Iustino ac Iustiniano, quos secum ducebat. Nonnullos ex equestribus Thraciae numeris, permissu Imperatoris, collegit. Multi etiam Barbari, Istri fluminis accolae, Germani illustri fama exciti, grandi accepta pecunia, ad Romanum exercitum se aggregarunt; et cum alii Barbari, coacti undique confluxerunt, tum Langobardorum Rex milites cataphractos mille, quos paratos habebat, propediem se missurum recepit.

B Τούτων δὴ καὶ πλειοτέρων ἐς τὴν Ἰταλίαν ἀγγελλομένων, οἷα δὴ ἐξεργάζεσθαι εἴωθεν ἐς τὰ ἀνθρώπεια προϊοῦσα ἡ φήμη, Γότθοι τε ἅμα ἔδεισαν, ἅμα τε ἐν ἀπόρῳ ἐγένοντο, εἰ σφίσιν ἐς γένος τὸ Θευδερίχου πολεμητέα εἴη. στρατιῶται δὲ Ῥωμαίων, ὅσοι Γότθοις ἐτύγχανον ἀκούσιοι ἢ ἐθελούσιοι ξυστρατεύοντες, ἄγγελον πέμψαντες Γερμανῷ σημαίνειν ἐκέλευον ὡς, ἐπειδὰν τάχιστα ἐν Ἰταλίᾳ γενόμενον Γερμανὸν ἴδοιεν, ἐνστρατοπεδευομένην τε τὴν αὐτοῦ στρατιὰν, καὶ αὐτοὶ οὐδέν τι μελλήσαντες ξὺν ἐκείνοις τετάξονται πάντως. οἷς δὴ ἅπασι θαρσήσαντες οἱ τοῦ βασιλέως στρατοῦ ἔν τε Ῥαβέννῃ καὶ εἴ που ἄλλη πύλις σφίσιν λελεῖφθαι τετύχηκεν, εὐέλπιδες ἰσχυρότατα γεγενημένοι, τὰ χωρία βασιλεῖ ἐς τὸ ἀκριβὲς φυλάσσειν ἠξίουν. ἀλλὰ καὶ ὅσοι ξὺν τῷ Βήρῳ τὰ πρότερα ἢ ἄλλοις τισὶ τοῖς πολεμίοις ἐς χεῖρας ἐλθόντες ἡσσημένοι τε τῶν ἐναντίων ἐν τῇ ξυμβολῇ διέφυγόν τε καὶ σκεδαννύμενοι περιῆσαν, ὅπη ἑκάστῳ τετύχηκεν, ἐπειδὴ ὁδῷ ἴέναι Γερμανὸν ἤκουσαν, ἀθρόοι ἐν Ἰστρίᾳ γεγενημένοι, ἐνταῦθά τε τὸ στράτευμα τοῦτο προσδεχόμενοι, ἡσυχῇ ἔμενον. τότε δὴ ὁ Τωτίλας, ἡμέρα γὰρ ἡ ξυγκειμένη αὐτῷ τε καὶ Διογένει ἐν Κεντουκέλλαις εἱστήκει, πέμψας παρ' αὐτὸν ἐκέλευέν οἱ κατὰ τὰ ξυγκείμενα τὴν πόλιν ἐνδοῦναι. Διογένης δὲ τούτου δὴ κύριος ἔφασκεν αὐτὸς οὐκέτι εἶναι. ἀκηκοέναι γὰρ αὐτοκράτορα D τοῦδε τοῦ πολέμου τὸν Γερμανὸν καταστῆναί τε καὶ ξὺν τῷ στρατῷ οὐκ ἄποθεν εἶναι. τῶν δὲ ὁμήρων βουλευόμενον οἱ αὐ-

8. τε ἅμα] δὲ ἅμα τε L. ibid. τε ἐν L. Vulgo δὲ καὶ. 7. ἐν Ἰταλίᾳ] ἐς Ἰταλίαν Reg. ibid. Γερμανὸν] αὐτὸν L. 10. πόλις om. L. 20. δὲ τούτου δὴ] μὲν τούτου L.

His aliisque ampliloribus in Italia nuntiatis, qualia inter homines efficere fama solet, eundo crescens, Gotthi simul timere, simul ambigere, num sibi cum Theoderici stirpe bellandum esset. Romani vero milites, quicunque vel inviti vel sponte Gotthis militabant, misso nuntio iniungunt, Germano significet, statim ut ipsum ingressum Italiam, eiusque copias castrametatas viderint, se quoque ad unum omnes, nulla interiecta mora, cum illis arma iuncturos. His rebus omnibus freti Caesariani milites, Ravennae, ac si qua ipsis praeterea urbs reliqua erat, spe firmissima tenebantur, et credita fidei suae loca diligenter Imperatori servabant. Quin illi, qui prius Verum Ducem vel alios secuti, commisso cum hostibus praelio, victi fuerant, et in fugam acti dissipatique, qua sors quemque ferret, errabant, cognita Germani profectione, cum in Istria coiissent, ibi illum exercitum opperientes, manebant. Quo tempore Totilas, postquam dies ipsi cum Diogene ad Centumcellas constituta affuit, misit qui imperarent, ut ex pacto et conventu urbem dederet. Id iam sibi integrum esse negavit Diogenes, ferente fama, Germanum, accepto belli huius imperio, non procul abesse cum exercitu: quod

τῷ εἶναι τοὺς μὲν σφετέρους ἀπολαβεῖν, τοὺς δὲ πρὸς Γότθων σφίσι δεδομένους ἀποτιννύναι. οὕτω τοὺς σταλέντας ἀποπεμψάμενος τοῦ τῆς πόλεως φυλακτηρίου ἐπεμελεῖτο, Γερμανόν τε H 315
καὶ τὸ ξὺν αὐτῷ στράτευμα καραδοκῶν. ταῦτα μὲν οὖν ἐπράσσετο τῇδε, καὶ ὁ χειμὼν ἔληγε, καὶ τὸ πέμπτον καὶ δέκατον ἔτος ἐτελεύτα τῷ πολέμῳ τῷδε, ὃν Προκόπιος ξυνέγραψε.

μ'. Γερμανοῦ δὲ τὸ στράτευμα ἐν Σαρδικῇ, τῇ Ἰλλυριῶν P 560
πόλει, ἀγείραντός τε καὶ διέποντος, ἅπαντά τε ἰσχυρότατα ἐξαρτυομένου τὰ ἐς τὴν τοῦ πολέμου παρασκευήν, Σκλαβηνῶν ὅμιλος ὅσος οὔπω πρότερον ἀφίκετο ἐς Ῥωμαίων τὴν γῆν. Ἴστρον δὲ ποταμὸν διαβάντες ἀμφὶ Ναϊσὸν ἦλθον. ὧν δὴ ὀλίγους τινὰς ἀποσκεδασθέντας μὲν τοῦ στρατοπέδου, πλανωμένους δὲ καὶ κατὰ μόνας περιιόντας τὰ ἐκείνῃ χωρία, τῶν τινες Ῥωμαίων καταλαβόντες τε καὶ ξυνδήσαντες ἀνεπυνθάνοντο ὅτου δὴ ἕνεκα οὗτος B
δὴ ὁ τῶν Σκλαβηνῶν στρατὸς καὶ ὅ τι κατεργασόμενοι διέβησαν ποταμὸν Ἴστρον. οἱ δὲ ἰσχυρίσαντο ὡς Θεσσαλονίκην τε αὐτὴν καὶ πόλεις τὰς ἀμφ' αὐτὴν πολιορκίᾳ ἐξαιρήσοντες ἥκοιεν. ὅπερ ἐπεὶ βασιλεὺς ἤκουσεν, ἄγαν τε ξυνεταράχθη καὶ πρὸς Γερμανὸν εὐθὺς ἔγραψεν, ὁδὸν μὲν ἐν τῷ παραυτίκα τὴν ἐπὶ Ἰταλίαν ἀναβαλέσθαι, Θεσσαλονίκῃ δὲ καὶ πόλεσι ταῖς ἄλλαις ἀμῦναι, καὶ τὴν Σκλαβηνῶν ἔφοδον ὅση δύναμις ἀποκρούσασθαι. καὶ Γερμανὸς μὲν ἀμφὶ ταῦτα διατριβὴν εἶχε. Σκλαβηνοὶ δὲ γνόντες C

2. οὕτω τοὺς] τούς τε L. 4. καραδοκῶν στράτευμα L. 11. Ναϊσὸν] ναῖσον L. 15. ὅ τι Reg. τί P. 17. ἐξαιρήσοντες ἥκοιεν] ἐξαιρήσεσθαι σχοῖεν H: illud Hm.

spectaret ad obsides, velle se recipere suos, unaque datos a Gotthis reddere. Sic remissis qui venerant, in custodiam urbis incubuit, Germanum eiusque copias cupidissime expectans. His ita gestis, cum hieme finitur annus decimus quintus huius belli, quod Procopius litteris tradidit.

40. Sardicae, quae Illyrici urbs est, collectum exercitum instruebat Germanus, et omnia ad validissimum belli apparatum expediebat; cum Sclavenorum catervae, quantae nunquam ante prodierant, ad Imperii Romani fines progressae, traiecto Istro flumine, Naïsum venerunt. Eorum pauci abiunxerunt se ab exercitu; cumque ita vicinos agros perrarent, ut singuli separate discurrerent, in Romanorum quorumdam manus inciderunt: a quibus vincti, interrogatique, cuius rei causa, et quid tandem acturus hic Sclavenorum exercitus Istrum fluvium transmisisset? asseverarunt, eo se venire consilio, ut Thessalonicam urbesque illi circumiectas obsidione caperent. Cuius rei nuntio valde commotus Imperator, statim Germano scribit, ut in praesens omissa in Italiam profectione, Thessalonicae caeterisque urbibus suppetias ferre, ac totis viribus impetum Sclavenorum repellere maturet. Dum in his Germanus hae-

διαρρήδην πρὸς τῶν αἰχμαλώτων Γερμανὸν ἐν Σαρδικῇ εἶναι ἐς δέος ἦλθον. μέγα γὰρ ὄνομα ἐς τούτους δὴ τοὺς βαρβάρους ὁ Γερμανὸς εἶχεν ἐξ αἰτίας τοιῶσδε. ἡνίκα Ἰουστινιανὸς ὁ Γερμανοῦ θεῖος τὴν βασιλείαν εἶχεν, Ἄνται, οἳ Σκλαβηνῶν ἄγχιστα ᾤκηνται, Ἴστρον ποταμὸν διαβάντες στρατῷ μεγάλῳ ἐσέβαλλον ἐς Ῥωμαίων τὴν γῆν. ἐτύγχανε δὲ Γερμανὸν βασιλεὺς Θράκης
D ὅλης στρατηγὸν καταστησάμενος οὐ πολλῷ πρότερον. ὃς δὴ ἐς χεῖρας ἐλθὼν τῷ τῶν πολεμίων στρατῷ κατὰ κράτος τε μάχῃ νικήσας σχεδόν τι ἅπαντας ἔκτεινε, κλέος τε μέγα ἐκ τοῦ ἔργου τούτου ὁ Γερμανὸς ἐς πάντας ἀνθρώπους καὶ διαφερόντως ἐς τούτους δὴ τοὺς βαρβάρους περιεβάλλετο. δειμαίνοντες οὖν αὐτὸν, ὥσπερ μοι εἴρηται, Σκλαβηνοὶ, ἅμα δὲ καὶ δύναμιν ἀξιολογωτάτην αὐτὸν ἐπάγεσθαι οἰόμενοι, ἅτε πρὸς βασιλέως στελλόμενον ἐπὶ Τωτίλαν τε καὶ Γότθους, ὁδοῦ μὲν εὐθὺς τῆς ἐπὶ Θεσσαλονίκην ἀπέσχοντο, ἐς δὲ τὸ πεδίον καταβῆναι οὐκέτι ἐτόλ-
P 561 μων, ἀλλὰ ξύμπαντα ὄρη τὰ Ἰλλυριῶν διαμείψαντες ἐν Δαλματίᾳ ἐγένοντο. ὧν δὴ ὁ Γερμανὸς ἀπροντιστήσας πάσῃ ἐπήγγελλε τῇ στρατιᾷ ξυσκευάζεσθαι, ὡς ἡμέραιν δυοῖν ὕστερον ὁδοῦ ἐνθένδε τῆς ἐπὶ τὴν Ἰταλίαν ἀρξόμενος. ἀλλά τις αὐτῷ ξυνέπεσε τύχη νοσήσαντι ἐξαπιναίως τὸν βίον διαμετρήσασθαι, εὐθυ-
ρόν τε ὁ Γερμανὸς ἐξ ἀνθρώπων ἠφάνιστο, ἀνὴρ ἀνδρεῖός τε καὶ

1. Σαρδικῇ] σαρδηνῇ L. 2. ἦλθον] ἦλθε L. 3. Ἰουστινιανὸς] ἰουστῖνος L. 5. ἐσέβαλλον] ἐσέβαλον L. 11. περιεβάλλετο] περιεβάλετο L. 17. ὁ om. L. 19. ἀρξόμενος] ἀρξάμενος L. 20. εὐθυρόν L corr. Vulgo εὐθύνορος. Vid. ad vol. I. p. 254, 11.

sitat; Sclaveni, ex captivis comperto Germani Sardicam adventu, trepidant. Erat enim apud hos Barbaros Germani nomen ex hoc admodum celebre. Quo tempore Iustinianus, Germani patruus, Imperium obtinuit, Antae Sclavenorum accolae, transito Istro, in Romanorum fines cum magno exercitu irruperunt. Germanus, recens ab Imperatore creatus Magister militum totius Thraciae, inito cum hostium copiis praelio, vi illas profligavit, et fere ad internecionem cecidit: quo facto Germanus cum apud omnes clarissimus evasit, tum vero maxime apud hos Barbaros. Itaque Sclaveni, ipsum, ut a me dictum est, veriti, ac simul rati florentissimo exercitu succinctum esse, utpote qui adversus Totilam et Gotthos ab Imp. mitteretur, coeptum Thessalonicam versus iter statim abrumpunt, neque ausi amplius in campos degredi, omnibus Illyrici montibus superatis, in Dalmatiam intrant. Securus iam ab illis Germanus, copiis edicit omnibus, ut vasa colligant, tanquam inde biduo post in Italiam profecturus. At infeliciter contigit, ut morbo correptus, repente vita cederet. Itaque Germanus subita morte interiit, singulari vir for-

δραστήριος ἐς τὰ μάλιστα στρατηγός τε ἄριστος καὶ αὐτουργὸς δεξιὸς, ἐν δὲ εἰρήνῃ καὶ ἀγαθοῖς πράγμασι τά τε νόμιμα καὶ τὸν τῆς πολιτείας κόσμον βεβαιότατα φυλάσσειν ἐξεπιστάμενος, δικάσας μὲν ὀρθότατα πάντων μάλιστα, χρήματα δὲ τοῖς δεομέ- B
νοις ἅπασι δεδανεικὼς μεγάλα καὶ τόκον οὐδ' ὅσον λόγῳ κεκομισμένος πρὸς αὐτῶν πώποτε, ἐν παλατίῳ μὲν καὶ τῇ ἀγορᾷ ἐμβριθέστατός τε καὶ σοβαρὸς ἄγαν, ἑστιάτωρ δὲ καθ' ἡμέραν οἴκοι ἡδύς τε καὶ ἐλευθέριος καὶ ἐπίχαρις, οὐδέ τι ἐν παλατίῳ ἁμαρτάνεσθαι παρὰ τὰ εἰωθότα ὅση δύναμις ξυγχωρῶν, οὐδὲ στασιώταις τοῖς ἐν Βυζαντίῳ τῆς βουλήσεως ἢ τῆς ὁμιλίας μεταλαχών ποτε, καίπερ καὶ τῶν ἐν δυνάμει πολλῶν ἐς τοῦτο ἀτοπίας ἐληλακότων. ταῦτα μὲν οὖν τῇδε κεχώρηκε.

Βασιλεὺς δὲ τοῖς ξυμπεσοῦσι περιώδυνος γεγονὼς Ἰωάννην V 176
ἐκέλευε, τὸν Βιταλιανοῦ μὲν ἀδελφιδοῦν, Γερμανοῦ δὲ γαμβρὸν,
ξὺν Ἰουστινιανῷ θατέρῳ τοῖν Γερμανοῦ παίδοιν τῷ στρατῷ τούτῳ ἐς τὴν Ἰταλίαν ἡγήσασθαι. καὶ οἱ μὲν τὴν ἐπὶ Δαλματίας C
ἦεσαν, ὡς ἐν Σάλωσι διαχειμάσοντες, ἐπεὶ ἀδύνατα σφίσιν ᾤοντο εἶναι τηνικάδε τοῦ καιροῦ περιιοῦσι τὴν τοῦ κόλπου περίοδον ἐς Ἰταλίαν κομίζεσθαι, διαπορθμεύεσθαί τε νηῶν σφίσιν οὐ παρουσῶν ἀμήχανα ἦν. Λιβέριος δὲ, οὕπω τι πεπυσμένος ὧνπερ βασιλεῖ ἀμφὶ τῷ στόλῳ τούτῳ μετέμελε, Συρακούσαις προσέσχε πολιορκουμέναις πρὸς τῶν πολεμίων. βιασάμενός τε τοὺς ταύτῃ

1. στρατηγός] ἐν μὲν τῷ πολέμῳ στρατηγός L. 2. πράγμασι L in marg. γράμμασι in textu. 11. ποτε] πώποτε Reg. 19. τε] γὰρ L. 20. ἀμήχανα L. ἀμήχανον P.

titudine praeditus ac strenuitate: dux idem optimus, et ad res per se agendas dexter: in pace secundisque temporibus legum institutorumque civilium servantissimus, causas omnium aequissime iudicabat: roganti cuilibet data mutuo pecunia quamvis magna, a nemine usuram ne verbo quidem unquam exigebat. In Palatio ac foro gravissimus et maxime serius, domi quotidie convivator erat suavis, liberalis ac scitus. Ne quid in Palatio praeter solitum peccaretur, quoad poterat, obstabat. Ei nulla consiliorum societas, nulla erat consuetudo cum Circi Byzantini factiosis, quamvis multi, qui honoribus utebantur, in absurda illa studia prolaberentur. Sed haec hactenus.

Hinc dolens graviter Imperator, Ioanni, Vitaliani nepoti Germanique genero mandavit, ut cum altero Germani filio Iustiniano exercitum in Italiam duceret. Illi Dalmatiam petierunt, ea mente ut hiemem Salonis exigerent, cum id anni tempestas non videretur ipsis permittura, ut sinum circumeundo in Italiam pervenirent, nec transmittare navibus imperati. Liberius vero, nondum compertum habens quid Imperatorem quod de classis praefectura constituerat, [illegible]

H 316 βαρβάρους ἔς τε τὸν λιμένα κατῆρε καὶ παντὶ τῷ στόλῳ ἐντὸς τοῦ περιβόλου ἐγένετο. καὶ Ἀρταβάνης δὲ οὐ πολλῷ ὕστερον ἐν Κε-
D φαλωνίᾳ γενόμενος, ἐπειδὴ τοὺς ἀμφὶ Λιβέριον ἤδη ἐνθένδε ἀναχθέντας ἐπὶ Σικελίας κεχωρηκέναι ἔγνω, ἄρας ἐνθένδε πέλαγος αὐτίκα τὸ Ἀδριατικὸν καλούμενον διέβη. ἐπεὶ δὲ Καλαβρῶν ἀγχοῦ ἐγένετο, χειμῶνός οἱ ἐξαισίου ἐπιπεσόντος καὶ τοῦ πνεύματος σκληροῦ τε ὑπεράγαν ὄντος καὶ ἀπ' ἐναντίας σφίσιν ἰόντος, οὕτως ἁπάσας διασκεδάννυσθαι τὰς ναῦς ξυνηνέχθη, ὡς δοκεῖν ὅτι δὴ αἱ πολλαὶ ἐς τὴν Καλαβρίαν ἐξενεχθεῖσαι ὑπὸ τοῖς πολεμίοις ἐγένοντο. οὐκ ἦν δὲ οὕτως, ἀλλὰ πρὸς τοῦ πνεύματος ξὺν βίᾳ πολλῇ διωθούμεναι ἀνέστρεφόν τε βιαζόμεναι ὑπερφυῶς καὶ αὖθις ἐν Πελοποννήσῳ ἐγένοντο. καὶ ταῖς ἄλλαις δὲ, ὅπη παρατύχῃ, ἢ διεφθάρθαι ἢ διασεσῶσθαι τετύχηκε. ναῦς δὲ μία,
P 562 ἐν ᾗ ἔπλει Ἀρταβάνης αὐτὸς, τοῦ ἱστοῦ οἱ ἐν τῷ σάλῳ τοίτῳ ἀποκοπέντος, ἐς τοσόνδε κινδύνου ἐλθοῦσα, πρός τε τοῦ ῥοθίου φερομένη καὶ τῷ κλύδωνι ἐπισπομένη Μελίτῃ προσέσχε τῇ νήσῳ. οὕτω μὲν Ἀρταβάνην διασεσῶσθαι ἐκ τοῦ ἀπροσδοκήτου ξυνέπεσε.

Λιβέριος δὲ οὔτε τοῖς πολιορκοῦσιν ἐπεξιέναι, ἢ μάχῃ πρὸς αὐτοὺς οἷός τε ὢν διακρίνεσθαι, καὶ τῶν ἐπιτηδείων σφίσιν, ἅτε πολλοῖς οὖσιν, ἐς πλείω χρόνον οὐδαμῇ διυρκούντων ἄρας ἐνθένδε ξὺν τοῖς ἑπομένοις καὶ τοὺς πολεμίους λαθὼν ἐς Πάνορ-

2. κεφαλωνίᾳ Reg. et Pers. Vulgo Κεφαληνίᾳ. 6. ἐπιπεσόντος L. πεσόντος P. 8. ὡς δοκεῖν om. L. 13. ναῦς δὲ] ναῦς δὲ δὴ L. 15. τοσόνδε L. τοσοῦτον P. 16. ἐπισπομένη] ἐπισπωμένη P. 19. ἐπεξιέναι] ὑπεξιέναι Reg.

stibus obsessas appulit, et Barbarorum qui illic erant, perrupta custodia, portum tenuit, urbemque universa cum classe ingressus est. Haud multo post Artabanes, in Cephaloniam delatus, simul profectum inde Liberium in Siciliam navigasse cognovit, illinc et ipse solvens, mare, quod Adriaticum vocant, transmisit. Non procul aberat a Calabria, cum, orta horrida tempestate, vehementissimi ac reflantis venti vis naves omnes ita disiecit, ut esset opinio, multas in Calabriam abreptum iri, et in potestatem hostium venturas. Evenit aliter: vento violentissimo impulsae et foedissime iactatae retro cesserunt, et in Peloponnesum redierunt: caeterae, prout sors tulit, partim amissae, partim servatae sunt. Navis, qua Artabanes vehebatur, malo procella fracto, in summum discrimen venit, et maris cursum fluctuumque impetum sequens, Melitam insulam contigit. Sic demum Artabanes praeter expectationem sospes evasit.

At Liberius, cum ad faciendam in obsessores eruptionem, inferendumque praelium parum virium haberet, neque annona in longius spatium suppeditaret obsessis, utpote multis numero; inde cum suis solvit,

μον ἀνεχώρησε. Τωτίλας δὲ καὶ Γότθοι σχεδόν τι ἅπαντα λη- B
σάμενοι τὰ ἐπὶ Σικελίας χωρία ἵππων μὲν ἐπαγόμενοι καὶ ζῴων
ἄλλων τι χρῆμα μέγα, σῖτόν τε καὶ τοὺς ἄλλους καρποὺς ἅπαν-
τας ἐκ τῆς νήσου μετενεγκόντες καὶ πάντα τὰ χρήματα, κομιδῇ
μεγάλα ὄντα, ἐν τοῖς πλοίοις ἐνθέμενοι, τήν τε νῆσον ἐξαπι-
ναίως ἐξέλιπον καὶ ἐς τὴν Ἰταλίαν ἀνέστρεφον, τρόπῳ ὁρμώμε-
νοι τοιῷδε. τῶν τινα Ῥωμαίων, Σπῖνον ὄνομα, ἐκ Σπολητίου
ὁρμώμενόν οἱ αὐτῷ πάρεδρον οὐ πολλῷ πρότερον καταστησάμενος
Τωτίλας ἔτυχεν. οὗτος ἀνὴρ ἐν πόλει Κατάνῃ, ἀτειχίστῳ οἴσῃ,
διατριβὴν εἶχε. τύχῃ τέ τις αὐτῷ ξυνέβη ὑπὸ τοῖς πολεμίοις ἐν-
ταῦθα γενέσθαι. ὃν δὴ ῥύεσθαι ὁ Τωτίλας ἐπειγόμενος τῶν C
τινα ἐπιφανῶν γυναῖκα, αἰχμάλωτον οὖσαν, ἀφεῖναι Ῥωμαίοις
ἀντ' αὐτοῦ ἤθελε. γυναῖκα δὲ Ῥωμαῖοι οὐδαμῇ ἐδικαίουν ἀν-
ταλλάξασθαι ἀνδρὸς τὴν τοῦ καλουμένου κοιαίστωρος ἀρχὴν
ἔχοντος. δείσας οὖν ὁ ἀνὴρ μὴ παρὰ τοῖς πολεμίοις διαφθαρείη,
ὡμολόγησε Ῥωμαίοις αὐτίκα Τωτίλαν ἀναπείσειν Σικελίας μὲν
ἀπανίστασθαι, παντὶ δὲ τῷ Γότθων στρατῷ ἐς Ἰταλίαν διαπορθ-
μεύσασθαι. καὶ οἱ μὲν ὅρκοις αὐτὸν σφίσιν ἀμφὶ ταύτῃ τῇ ὁμο-
λογίᾳ καταληφθέντα Γότθοις ἀπέδοσαν, ἀντ' αὐτοῦ τὴν γυναῖκα
κεκομισμένοι. ὁ δὲ Τωτίλᾳ ἐς ὄψιν ἥκων οὐκ ἐπὶ τῷ σφετέρῳ D
ξυμφόρῳ Γότθους ἔφασκε Σικελίαν λησαμένους σχεδόν τι ὅλην
ὀλίγων τινῶν φρουρίων διατριβὴν ἐνταῦθα ἔχειν. ἔναγχος γὰρ

1. ἀνεχώρησε] ἀπεχώρησε Reg. 3. τι χρῆμα μέγα] μέγα τι χρῆμα L. 4. κομιδῇ μ. ὄντα] μ. ὄντα κομιδῇ L. 7. Σπῖνον] σπιὸν H. ibid. Σπολητίου] σπολιτίου HL.

et clam hostibus Panormum concessit. Tum Totilas et Gotthi, universa fere vastata Sicilia, equorum aliarumque pecudum abacta ingenti vi, frumento ac caeteris omnibus frugibus ex insula convectis, cunctis, denique opibus, sane maximis, in naves impositis; insula excesserunt inopinato, atque Italiam repetierunt, hoc modo ad id impulsi Non ita pridem Totilas Romanum quemdam, Spinum nomine, ortu Spoletinum, Quaestorem suum creaverat. Hic vir, dum in urbe Catana, moenibus exuta, moraretur, casu quodam in manus hostium venit. Liberandi illius cupidissimus Totilas, captivam nobilem feminam Romanis pro ipso obtulit. Negarunt Romani virum, Quaestoris dignitate insignem, bene cum femina commutari. Hinc veritus Spinus ne ab hostibus neci daretur, Romanis promisit, se statim Totilae persuasurum, ut relicta Sicilia, universum Gotthorum exercitum traiiceret in Italiam. Eum Romani iureiurando, quo promissum firmavit, sibi obstrictum, Gotthis reddiderunt, recepta ipsius loco muliere. Is ut primum Totilam revisit, dixit non belle rebus consulere suis Gotthos, qui, Sicilia fere omni direpta, paucorum praesidiorum cupiditate ibi tenerentur: affirmavitque se modo,

ἰσχυρίζετο ἀκηκοέναι, ἡνίκα παρὰ τοῖς πολεμίοις ἐτύγχανεν ὤν, Γερμανὸν μὲν τὸν βασιλέως ἀνεψιὸν ἐξ ἀνθρώπων ἀφανισθῆναι, Ἰωάννην δὲ τὸν αὐτοῦ κηδεστὴν καὶ Ἰουστινιανὸν τὸν αὐτοῦ παῖδα παντὶ τῷ στρατῷ πρὸς Γερμανοῦ ξυλλεγέντι εἶναι μὲν ἤδη ἐν
V 177 Δαλματίᾳ, εὐθὺ δὲ Λιγουρίας αὐτίκα δὴ μάλα ξυσκευαζομένους ἐνθένδε χωρήσειν, ἐφ' ᾧ δὴ Γότθων ἐξ ἐπιδρομῆς παῖδάς τε καὶ γυναῖκας ἀνδραποδίσωσι καὶ χρήματα λήσωνται πάντα, οἷσπερ ἡμᾶς ὑπαντιάζειν ἄμεινον ἂν εἴη ἐν τῷ ἀσφαλεῖ ξὺν τοῖς οἰκείοις διαχειμάζοντας. ἦν γὰρ ἐκείνων περιεσώμεθα, Σικελίας αὖθις ἅμα ἦρι ἀρχομένῳ παρέσται ἡμῖν ἀδεέστερον ἐπιβήσεσθαι πολέ-
P 563 μιον οὐδὲν ἐν νῷ ἔχουσι. ταύτῃ ὁ Τωτίλας τῇ ὑποθήκῃ ἀναπεισθεὶς φρονροὺς μὲν ἐν ὀχυρώμασι τέτρασιν εἴασεν, αὐτὸς δὲ ξύμπασαν τὴν λείαν ἐπαγόμενος παντὶ τῷ ἄλλῳ στρατῷ ἐς Ἰταλίαν διεπορθμεύσατο. ταῦτα μὲν οὖν ἐπράσσετο τῇδε.

Ἰωάννης δὲ καὶ ὁ βασιλέως στρατὸς ἀφικόμενοι ἐς Δαλματίαν ἐν Σάλωσι διαχειμάζειν ἔγνωσαν, ἐνθένδε μετὰ τὴν τοῦ χειμῶνος ὥραν εὐθὺ Ῥιβέννης ὁδῷ ἰέναι διανοούμενοι. Σκλαβηνοὶ δέ, οἵ τε τὰ πρότερα ἐν γῇ τῇ βασιλέως γενόμενοι, ὥσπερ μοι ἔναγχος δεδιήγηται, καὶ ἄλλοι οὐ πολλῷ ὕστερον Ἴστρον τε
H 317 ποταμὸν διαβάντες καὶ τοῖς προτέροις ἀναμιχθέντες, κατέθεον ἐν

4. στρατῷ — ξυλλεγέντι] πρὸς γερμανῶν ξυλλεγέντι στρατῷ L. 7. ἀνδραποδίσωσι — λήσωνται Reg. ἀνδραποδίσουσι — λήσονται P. 12 φρουροὺς] φρουρὰς Reg. 15. ἀφικόμενοι] ἀφικόμενος H: illud Hm. ibid. ἐν δαλματίᾳ εἰς σάλωνας L. 18. γῇ τῇ L. τῇ γῇ P.

cum inter hostes versaretur, audisse, Germanum, Imperatoris nepotem, migrasse ex vita, ac Ioannem illius generum, Iustinianumque eiusdem filium, cum exercitu, quem Germanus collegerat, esse iam in Dalmatia, et primo quoque tempore collectis sarcinis, inde recta petituros Liguriam, ut subito incursu Gotthorum liberos et coniuges caperent, opesque omnes praedarentur. *Atqui*, inquit, *satius esset eorum consilio ire obviam, tuto cum nostris hiemantes. Nam si illos vicerimus, nobis ab hoste securis licebit iterum inermi vere Siciliam invadere liberius.* Commonitione eiusmodi inductus Totilas, in locis quatuor firmioribus praesidia reliquit, et cum omni praeda caeterisque copiis in Italiam transfretavit. Haec ibi acta.

Ioannes vero et Imperatoris exercitus, cum in Dalmatiam pervenissent, Salonis hiemem traducere constituerunt, statim ab illius exitu Ravennam recta ire habentes in animo. At Sclaveni, tum qui prius in oras Imperatori subditas se intulerant, quemadmodum proxime commemoravi, tum qui paulo post, traiecto amne Istro, illis se permiscuerant,

πολλῇ ἐξουσίᾳ τὴν Ῥωμαίων ἀρχήν. καὶ τινὲς μὲν ἐν ὑποψίᾳ εἶχον ὡς Τωτίλας τούτους δὴ τοὺς βαρβάρους χρήμασι πολλοῖς ἀναπείσας ἐπιπέμψειε τοῖς ταύτῃ Ῥωμαίοις, ὅπως δὴ βασιλεῖ B ἀδύνατα εἴη τὸν πρὸς Γότθους πόλεμον ἀσχολίᾳ τῇ ἐς τούτους δὴ τοὺς βαρβάρους εὖ διοικήσασθαι. εἴτε δὲ Τωτίλᾳ χαριζόμενοι εἴτε ἄκλητοι Σκλαβηνοὶ ἐνταῦθα ἦλθον οὐκ ἔχω εἰπεῖν. ἐς τρία μέντοι τέλη σφᾶς αὐτοὺς διελόντες οἱ βάρβαροι οὗτοι ἀνήκεστα ἐν Εὐρώπῃ τῇ ὅλῃ ἔργα εἰργάσαντο, οὐκ ἐξ ἐπιδρομῆς ληιζόμενοι τὰ ἐκείνῃ χωρία, ἀλλ' ὥσπερ ἐν χώρᾳ οἰκείᾳ διαχειμάζοντες οὐδέν τε διειδότες πολέμιον. ὕστερον δὲ βασιλεὺς Ἰουστινιανὸς στρατιὰν ἀξιολογωτάτην ἐπ' αὐτοὺς ἔπεμψεν, ἧς ἄλλοι τε καὶ Κωνσταντιανὸς καὶ Ἀράτιος καὶ Ναζάρης ἡγοῦντο καὶ Ἰουστῖνος ὁ Γερμανοῦ παῖς καὶ Ἰωάννης, ὃνπερ ἐπίκλησιν ἐκάλουν C Φαγᾶν. ἐπιστάτην δὲ Σχολαστικὸν ἐφ' ἅπασι κατεστήσατο, τῶν ἐν παλατίῳ εὐνούχων ἕνα. οὗτος ὁ στρατὸς μοῖραν τῶν βαρβάρων καταλαμβάνουσιν ἀμφὶ Ἀδριανοῦ πόλιν, ἥπερ ἐπὶ Θρᾴκης ἐν μεσογείοις κεῖται, πέντε ἡμερῶν ὁδὸν Βυζαντίου διέχουσα. καὶ πρόσω μὲν χωρεῖν οἱ βάρβαροι οὐκέτι εἶχον. λείαν γὰρ ἐπήγοντο ἀνθρώπων τε καὶ ζῴων ἄλλων καὶ πάντων χρημάτων ἀριθμοῦ κρείσσονα. μένοντες δὲ αὐτοῦ ἠπείγοντο τοῖς πολεμίοις ἐς χεῖρας ἰέναι, τούτοις δὲ αὐτοῖς αἴσθησιν ὡς ἥκιστα παρεχόμενοι. καὶ οἱ μὲν Σκλαβηνοὶ ἐστρατοπεδεύοντο ἐς τὸ ὄρος, ὃ ταύτῃ ἀνέ-

10. *βασιλεὺς Ἰουστινιανὸς*] *ἰουστ. β.* L. 11. *ἐπ'* L. *ἐς* P.
14. *Σχολαστικὸν*] *σχολαστίκιον* H: illud Hm. 17. *διέχουσα*] *διέχουσαν* Reg.

impunissime Romanum Imperium incursarunt. Nec deerant qui suspicarentur hos Barbaros multa pecunia pellectos immissosque a Totila in Romanos fuisse, ut ab illis districtus Imperator bellum Gotthicum bene administrare non posset. Sintne Totilae gratificati Sclaveni, an eo venerint non vocati, dicere nequeo. Divisis tripartito copiis, toti Europae damna gravissima intulerunt hi Barbari, non cursim populabundi; sed perinde ac si essent in suis finibus, sine ullo hostium metu hibernantes. In eos postmodum Imperator egregium destinavit exercitum: cuius cum alii Duces erant, tum Constantianus, Arstius, Nazares, Iustinus alter Germani filius, et Ioannes cognomine Heluo. Porro Scholasticum praefecit omnibus, unum e numero Eunuchorum Palatii. Barbarorum partem offendit hic exercitus ad Adrianopolin, urbem Thraciae mediterraneam, ac dierum iter quinque Byzantio dissitam. Iam Barbari progredi non poterant. Etenim captivorum ac pecudum innumerabilem vim cum opibus cuiusquemodi abducebant. Quare eo loci haerentes, ad pugnam ita se expediebant, nihil ut hosti suboleret. Ac Slaveni quidem

χει, Ῥωμαῖοι δὲ οὐ πολλῷ ἄποθεν ἐν τῷ πεδίῳ. χρόνου δὲ σφίσιν ἐν ταύτῃ τῇ προσεδρείᾳ τριβομένου συχνοῦ ἠσχαλλόν τε οἱ D στρατιῶται καὶ δεινὰ ἐποιοῦντο, τοῖς στρατηγοῖς ἐπικαλοῦντες, ὅτι δὴ αὐτοὶ τὰ ἐπιτήδεια ξύμπαντα εὔπορα ἔχοντες, ἅτε τοῦ Ῥωμαίων στρατοῦ ἄρχοντες, τοὺς στρατιώτας περιορῶσι τῶν ἀναγκαίων τῇ ἀπορίᾳ πιεζομένους καὶ οὐ βούλονται τοῖς πολεμίοις ἐς χεῖρας ἰέναι. οἷς δὴ οἱ στρατηγοὶ ἀναγκασθέντες τοῖς ἐναντίοις ξυνέμιξαν. καὶ γίνεται μὲν καρτερὰ μάχη, ἥσσῶνται δὲ κατὰ κράτος Ῥωμαῖοι. ἔνθα δὴ στρατιῶται μὲν πολλοί τε καὶ ἄριστοι θνήσκουσιν, οἱ δὲ στρατηγοὶ παρ' ὀλίγον ἐλθόντες ὑπὸ τοῖς πολεμίοις γενέσθαι ξὺν τοῖς καταλοίποις μόλις διαφυγόντες ἐσώθησαν, ὡς πη ἑκάστῳ δυνατὰ γέγονε. καὶ Κωνσταντιανοῦ δὲ τὸ σημεῖον οἱ βάρβαροι εἷλον, τοῦ τε Ῥωμαίων P 564 στρατοῦ ἐς ὀλιγωρίαν τραπόμενοι πρόσω ἐχώρουν. καὶ χώραν τὴν Ἀστικὴν καλουμένην ἐληίζοντο κατ' ἐξουσίαν, ἀδῄωτον ἐκ παλαιοῦ οὖσαν, καὶ ἀπ' αὐτοῦ λείαν αὐτοὺς πολλήν τινα ἐνταῦθα εὑρεῖν ξυνηνέχθη· οὕτω δὲ χώραν πολλὴν ληιζόμενοι ἄχρι ἐς τὰ μακρὰ τείχη ἀφίκοντο, ἅπερ ὀλίγῳ πλέον ἢ ἡμέρας ὁδὸν Βυ- V 178 ζαντίου διέχει. οὐ πολλῷ δὲ ὕστερον ὁ Ῥωμαίων στρατὸς τούτοις δὴ ἐπισπόμενοι τοῖς βαρβάροις, μοίρᾳ τε αὐτῶν ἐντυχόντες τινὶ καὶ ἐξαπιναίως ἐς χεῖρας ἐλθόντες ἐτρέψαντο. καὶ τῶν μὲν πολεμίων πολλοὺς ἔκτειναν, Ῥωμαίων δὲ τῶν αἰχμαλώτων μέγα τι διεσώσαντο χρῆμα, τό τε Κωνσταντιανοῦ σημεῖον εὑρόντες

ω

1. οὐ πολλῷ — πεδίῳ] ἐν τῷ πεδίῳ οὐ πολλῷ ἄποθεν L. 2. προσεδρείᾳ] Vulgo προσεδρίᾳ. 14. χώραν om. L. 18. ἡμέρας ὁδὸν Reg. ὁδῷ ἡμέρας P.

in monte, qui illic eminet, Romani vero in planitie castra metati sunt. Diu sederant, cum victi impatientia milites, de Ducibus cum indignatione coepere queri, quod dum ipsi, utpote Romani Duces, cibariis omnibus abundarent, milites despicarentur victus inopia pressos, nec manum cum hostibus conferre vellent. His querelis adacti Duces cum hoste confligunt. Fervet proelium: vi demum victis Romanis, milites multi, iique fortissimi, ibi cadunt: Duces, ab hostibus tantum non capti, vixque elapsi cum reliquis, evadunt quo cuique licet. Constantini vexillum cepere Barbari, ac spreto Romanorum exercitu ulterius progressi, Asticam, quam appellant, regionem vastarunt, iamdiu intactam: quamobrem praedam ibi copiosissimam invenerunt. Late facta populatione, pervenerunt ad Muros longos, qui Byzantio diei itinere paulo amplius distant. Aliquanto post Romanus exercitus hos secutus Barbaros, partemque eorum nactus, repentino ipsos fuderunt impetu, ac caesis plurimis, captivorum Romanorum ingentem receperunt numerum, et

ἀνείλοντο. οἱ δὲ λοιποὶ βάρβαροι ξὺν τῇ ἄλλῃ λείᾳ ἐπ' οἴκου ἀπεκομίσθησαν.

2. ἀπεκομίσθησαν] „In edit. Augustana liber hic supervacanea clauditur repetitione profectionis Germani, cuius obitum iam supra auctor narravit.“ MALT. Verba illa, quae etiam in L leguntur, haec sunt, Γερμανὸν δὲ τὸν ἀνεψιὸν βασιλέως (τὸν ἀνεψιὸν τὸν αὐτοῦ L) ἄνδρα πατρίκιον ἐπὶ τωτίλαν (τουτίλλαν L, ut supra saepissime) τε καὶ γότθους ξὺν στρατῷ ἔπεμψεν, ἄλλους τε ἄρχοντας ἕσεσθαι (ἕπεσθαι L) οἱ κελεύσας καὶ τὸν βιταλιανοῦ ἀδελφιδοῦν καὶ αὐτοῦ κηδεστὴν ἰωάννην.

inventum Constantiani vexillum retulerunt: reliqui Barbari cum reliqua praeda domum reversi sunt.

P 665
V 179
H 318

ΠΡΟΚΟΠΙΟΥ ΚΑΙΣΑΡΕΩΣ
ΙΣΤΟΡΙΩΝ ΤΗΣ Β' ΤΕΤΡΑΔΟΣ Η Δ'.

ΙΣΤΟΡΙΩΝ — Η Δ'.] ΤΗΣ ΔΕΥΤΕΡΑΣ ΤΕΤΡΑΔΟΣ ΤΩΝ ΚΑΤ' ΑΥΤΟΝ ΙΣΤΟΡΙΩΝ ΒΙΒΛ. Δ'. P.

PROCOPII CAESARIENSIS
HISTORIARUM TETRADIS II.
LIBER IV.

ARGUMENTUM.
EX EDITIONE MALTRETI.

Argumentum libri huius proponit Auctor, et ad bellum Persicum prosequendum accingitur, suscepta Ponti Euxini descriptione. (Cap. 1.) *Descriptio Ponti Euxini ab urbe Calchedone, ad Apsilios.* (2.) *Mons Caucasus, geminaeque eius Portae. Hunni Sabiri. Amazones. Abasgi Christiani. Hos Iustinianus Eunuchos fieri vetat.* (3.) *Bruchi. Zecchi. Sagidae. Sebastopolis et Pityus. Kulysia. Gothi Tetraxitae Episcopum a Iustiniano Aug. petunt.* (4.) *Uturguri Cuturgurique unde dicti. Antiquae Tetraxitarum sedes. Cerva fugiens vadum monstrat. Gotthorum migratio. Eorum sedes Cuturguri occupant. Tetraxitae in adversam continentem commigrant. Uturguri manent in patria. Taurica, ibique templum Dianae. Urbes Bosporus, Cherso, Cepi, Phanaguris. Istri fons et cursus. Mensura ambitus Ponti Euxini.* (5.) *Utrum Tanais Asiam ab Europa dividat, an Phasis? Unde oriatur Pontus Euxinus? Aristoteles ad Euripum haeret. Fretum Siculum. Duplex aquae cursus in Bospore Thracio.* (6.) *Quid Chosroem Persarum Regem ad Colchicam expeditionem induxerit. Urbs Dara ab eodem frustra tentata.* (7.) *Redit Auctor ad institutam Cap.* 1. *narrationem de Persarum in Colchidem irruptione, Choriane duce. Lazorum inconsulta ferocia. Gubazis, ipsorum Regis, oratio. Instruuntur acies. Lazorum fuga. Artabanis certamen. Confligunt acies. Choriane occiso, profligantur Persae.* (8.) *Dagisthaeus a Lazis proditionis accusatus, in carcerem coniicitur. Bessas, Magister militum per Armenias, destinatur in Lasicam: cuius Reges a Romanis ano-*

res sibi petere consueverant. Abasgorum defectio. Trachea, locus. Romani Abasgos adoriuntur et profligant. (9.) *Tribilum Apsiliae castellum occupant Persae; deinde caesi ob flagitium ducis. Chosroes ab Anatozado filio offenditur. Natura valetudinarius, Tribunum Medicum, virum optimum, summe colit. Anatozadum rebellem foede plectit.* (10.) *Ressunt induciae. Mutuae legationes. Indignae legati Persarum fastus. Braducionem interpretem occidit Chosroes. Romani in Lazica Petram obsident. Suffodiunt murum. Eorum conatus irritus. Sabiri partim Romanis, partim Persis addicti. Arietem leviorem fabricantur novo inventu. Admoventur machinae; quas Persae naphtha sive oleo Medeae comburere satagunt. Bessae Magistri militum grandaevi mira vis. Persae in turri lignea deflagrant. Urbem Romani capiunt.* (11.) *Persae, qui in Petrae arcem confugerant, ad deditionem invitati, arcis incendio perire malunt, quam se hosti permittere. Chosroës in re cibaria Petrae congerenda liberalitas, et in aquaeductu extruendo solertia. Bessas captivos Byzantium mittit; muros Petrae diruit; ab Imperatore, adeoque ab omnibus commendatur.* (12.) *Mermeroës Persarum Dux Petram serius petit. Copias Archaeopolin ducit cum elephantibus. Sordida Bessae cupiditas. Nimia Iustiniani in Praefectos indulgentia. Scanda et Sarapinis Laxicae castella. Rhodopolin evertunt Lazi. Romanorum in stativis agentium fuga.* (13.) *Archaeopolis situs. Eam Mermeroës obsidet. Romani oratione Ducum incensi crumpunt, ac Persarum caedem efficiunt. Turbatus elephas fugit. Hinc Auctor ad Edessam digreditur, ubi compertum est turbari elephantes grunnitu suis. Ibidem visum prodigium. Persae obsidionem solvunt. Mermeroës in Muchiresin concedit, et Cutatisium castellum reficit.* (14.) *A Persis quinquennales inducias turpiter emit Iustinianus Augustus. Procopii in scribendo libertas. Post vindemiam racemi aliique fructus nascuntur.* (15.) *Lazi Romanis offensi. Persae Uchimerium castellum obtinent, opera Theophobii. Gubazes Lazorum Rex in montibus hiemat. Mermeroë per litteras hortante, ut a Romanis deficiat, in fide manet.* (16.) *Ex India Monachi bombycum ova deferunt, et conficiendi serici rationem Romanos docent. Inducias a Chosroë confirmatis, nihilominus bellum adhuc in Lazica geritur. Rerum status in Africa.* (17.) *Gepaedes et Longobardi ad pugnam inter se incundam parati, terrore panico distrahuntur. Eorum Principes Thorisinus et Audoinus inducias pangunt. Gepaedes Cuturguros in Rom. Imperium immittunt. Iustinianus Uturguros in Cuturguros excitat. Eorum pugna.* (18.) *Romani apud Cuturguros captivi elabuntur. Cuturguri, audita suorum clade, cum Romanis pactionem faciunt. Sedes illis in Thracia Imperator attribuit. Hac de re per Legatos expostulat Sandil Uturgurorum Princeps.* (19) *Varnorum sedes. Brittiae insulae situs et populi. Hermegisclus Varnorum Rex sororem Theodeberti Francorum Regis ducit uxorem, et filium Radigerem ex priori coniuge susceptum despondet sorori Regis Anglorum. Hermegisclus mortis augur suae, infringit filii sponsalia, eumque maritum novercae destinat. Offensa Regis Anglorum soror, bello Radigerem petit, profligat, capit. Brittiae insulae pars muro divisa, ac vivis hominibus inhabitabilis, animas defunctorum accipere creditur, scaphis vectas opera remigum, Franciae Regibus subditorum.* (20) *Redit Auctor ad bellum Gotthicum. Belisario impensus honos Byzantii. Ioannes Salonis hiemat. Cur Iustinianus bello Gotthico Narsetem praefecerit. Narses aliquandiu Philippopoli subsistit. Inde Italiam petit.* (21.) *Totilas Senatores nonnullos Romam revocat. Romanorum in conservandis urbis ornamentis diligentia. Descriptio navis Aeneae. De Calypsus insula coniectura Procopii. Navis lapidea in Corcyra Iovi Casio posita: et Dianae altera in Euboea. Sepulcrum Anchisae.* (22) *Anconam Gotthi terra marique obsident. Valerianus Ioannem per litteras hortatur, ut obsessis suppetias*

secum ferat. Ambo iunctis copiis Senogalliam appellunt. Occurrunt Gotthi. Concionibus Ducum uterque exercitus excitatur. Praelium navale. Gotthorum clades et fuga. (23.) *Artabanes rem Romanam bene in Sicilia gerit. Gotthi pacem frustra a Iustiniano petunt. Francorum in Italia progressus. Leontius Imperatoris Legatus ad Theodebaldum Theodeberti filium. Utriusque orationes. Gotthi Corsicam et Sardiniam occupant. In Corsica homines et equi statura minima.* (24.) *Sclaveni Illyricum vastant. Imperator foedus cum Gepaedibus pangit: deinde adversus illos mittit auxilia Langobardis. Horum victoria. Eversae urbes terraemotibus. Maris inundatio. Gotthi Crotonem obsident.* (25.) *Appulsa Crotonem Romana classe, Gotthi obsidionem solvunt. Regnaris et Morrhas Gotthorum Duces deditionem meditantur. Narsetis bellicus apparatus et copiae. Franci in agro Veneto ei transitum negant. Totilae consilium. Narses Ravennam petit.* (26.) *Ildigisal Langobardus, qui ad Imperatorem perfugerat, Byzantio cum Goare Gottho aufugit. Adiunctis sibi popularibus, Cuturguros acie vincit in Thracia, et Romanos Duces in Illyrico incautos occidit: tum ad Gepaedes se recipit. Ustrigotthus Gepaes se in fidem confert Langobardorum. Ildigisal et Ustrigotthus intereunt, fraude Regum, quorum fidei se commiserant.* (27.) *Usdrilas, praesidii Ariminensis Praefectus, per litteras Romanos provocat. Narses cum exercitu Ariminum petit, ibique pontis transitu prohibetur. Usdrila occiso, porro pergit.* (28.) *Totilas Teïam expectat. Audita caede Usdrilae, ad Apenninum tendit. Eodem se confert Narses, et officii Totilam admonet. Ad Romanos ante diem dictum progressus Totilas, eos de colle deturbare saepe aggreditur frustra. Egregia Pauli Ausilaeque facinora.* (29.) *Conciones militares Narsetis ac Totilae.* (30.) *Utriusque aciei dispositio. Singulare certamen. Totilas equitandi peritiam ostentat.* (31.) *Totilas campo cum exercitu excedit. Narsetis providentia. Redeunt Gotthi. Pugna committitur. Romanorum victoria. Totilae caedes.* (32.) *Narses Langobardos remittit. Valerianus frustra Veronam obsidet, renitentibus Francis. Teïas Rex Gotthorum creatur. Narses Narniam, Spoletium ac Perusiam capit. Romam oppugnat, eaque facile potitur.* (33.) *Victoria Senatui populoque Romano luctuosa. Regnaris Gotthi fraus, crudelitas et clades. Teïas Francorum opem frustra implorat. Cumas et Centumcellas Romani obsident. Teïas et Narses cum suis copiis sese conferunt in Campaniam.* (34.) *Nonnulla in Vesuviano incendio fieri solita. Utriusque castra exercitus. Gotthi ad montem Lactarium se recipiunt. Romanos invadunt. Teïae heroica fortitudo. Eo occiso, Gotthi pertinaciter pugnant. Tandem pacem petunt. Ioannis sententia. Pacis conventio.* (35.)

α'. Ὅσα μὲν ἄχρι τοῦδέ μοι δεδιήγηται, τῇδε ξυγγέγραπται ᾗπερ δυνατὰ ἐγεγόνει ἐπὶ χωρίων ἐφ' ὧν δὴ ἔργα τὰ πολέμια ξυννενέχθη γενέσθαι διελόντι τε καὶ ἁρμοσαμένῳ τοὺς λόγους, οἵπερ ἤδη ἐξενεχθέντες πανταχόθι δεδήλωνται τῆς Ῥωμαίων ἀρχῆς. τὸ δὲ ἐνθένδε οὐκέτι μοι τρόπῳ τῷ εἰρημένῳ ξυγκείσεται. γράμμασι γὰρ τοῖς ἐς τὸ πᾶν δεδηλωμένοις οὐκέτι εἶχον τὰ ἐπιγινόμενα ἐναρμόζεσθαι, ἀλλ' ὅσα κατὰ τοὺς πολέμους τούσδε γεγονέναι ξυνέβη, ἔτι μέντοι καὶ ἐς τὸ Μήδων γένος, ἐπειδὴ τοὺς P 566 ἔμπροσθεν λόγους ἐξήνεγκα, ἐν τῷδέ μοι τῷ λόγῳ πάντα γεγράψεται, ἱστορίαν τε αὐτῶν ἐπάναγκες ποικίλην ξυγκεῖσθαι. ἤδη μὲν οὖν ὅσα ξυνέβη ἄχρι ἐς τὸ τέταρτον ἔτος τῆς πενταετηρίδος ἐκεχειρίας, ἣ Ῥωμαίοις ἐγεγόνει καὶ Πέρσαις, ἐν τοῖς ἔμπροσθέν μοι δεδιήγηται λόγοις· τῷ δὲ ἐπιγενομένῳ ἐνιαυτῷ Μηδικῆς στρατιᾶς πολὺς ὅμιλος ἐς γῆν τὴν Κολχίδα ἐσέβαλλον. οἵσπερ ἐφειστήκει Πέρσης ἀνὴρ, Χοριάνης ὄνομα, πολέμων ἐς ἄγαν πολλῶν ἔμπειρος. καὶ αὐτῷ ξύμμαχοι βάρβαροι τοῦ Ἀλανῶν γένους πολλοὶ εἵποντο. οὗτος ὁ στρατὸς ἐπειδὴ ἀφίκοντο ἐς χώραν τῆς Λαζικῆς, ἣ ἐπικαλεῖται Μουχειρησις, ἐν ἐπιτηδείῳ B στρατοπεδευσάμενοι ἔμενον. ῥεῖ δέ πη ἐνταῦθα ποταμὸς Ἵππις, οὐ μέγας οὐδὲ ναυσίπορος, ἀλλὰ καὶ ἱππεῦσι καὶ ἀνδράσι πεζοῖς

1. μὲν] μὲν οὖν H. 6. ἐς om. H. 7. πολέμους] πολεμίους H. 14. ἐσέβαλλον] ἐσέβαλον L. 15. Χοριάνης] χορσάνης H. 18. Μουχειρησις] μοχήρισις L. 19. Ἵππις] ἵπκης Reg. ἴασπις H.

1. Ita composui, quidquid narravi hactenus, ut quoad eius fieri potuit, pro locorum ratione, ubi res bellicas geri contigit, diviserim atque ordinaverim libros: qui in lucem editi, universo Orbi Romano iam notuerunt. Nos eum deinceps tenebo scriptionis ordinem; quando vulgatis monumentis non est integrum intexere consequentia: sed quaecunque, etiam in Medos, horum tempore bellorum patrata sunt, ex quo priores libros emisi, omnia stylo prosequar in hoc libro: itaque varia sit haec historia necesse est. Ac libris quidem superioribus traduntur acta ad annum quartum induciarum quinquennalium, quas cum Persis Romani pepigerant. Anno autem proxime consecuto, ingens Persarum exercitus, Choriane duce, et ipso Persa, viro rei militaris peritissimo, irrupit in Colchidem, cum Alanorum Babarorum, sociam praebentium operam, magno numero. Hic exercitus, cum in Lazicae regionem, quae Muchiresis dicitur, pervenisset, loco idoneo stativa posuit. Tractum illum Hippis alluit amnis modicus, nec patiens navium; sed peditibus iuxta atque

ἐσβατὸς, οὗ δὴ ἐν δεξιᾷ τὸν χάρακα ἐποιήσαντο, οὐ παρὰ τὴν ὄχθην, ἀλλὰ κατὰ πολὺ ἄποθεν. ὅπως δὲ τοῖς τάδε ἀναλεγομένοις ἔκδηλα τὰ ἐπὶ Λαζικῆς χωρία ἔσται, ὅσα τε γένη ἀνθρώπων ἀμφ' αὐτὴν ἵδρυνται, καὶ μὴ ὑπὲρ τῶν ἀφανῶν σφίσιν ὥσπερ οἱ σκιαμαχοῦντες διαλέγεσθαι ἀναγκάζωνται, οὗ μοι ἄπο καιροῦ ἔδοξεν εἶναι ἀναγράψασθαι ἐνταῦθα τοῦ λόγου ὅντινα δὴ τρόπον ἄνθρωποι οἰκοῦσι τὸν Εὔξεινον καλούμενον πόντον, οὐκ C ἀγνοοῦντι μὲν ὡς καὶ τῶν παλαιοτέρων τισὶ γέγραπται ταῦτα, οἰομένῳ δὲ οὐκ ἐς τὸ ἀκριβὲς αὐτοῖς πάντα εἰρῆσθαι· ὧν γέ τινες ὁμόρους Λαζῶν Σάνους ἔφασαν, οἳ τανῦν Τζάνοι ἐπικαλοῦνται, ἢ Κόλχους εἶναι, Λαζοὺς ἑτέρους καλέσαντες, οἵ καὶ νῦν V 180 ἐπὶ τούτου προσαγορεύονται τοῦ ὀνόματος. καίτοι ἔστι τούτων οὐδέτερον. Τζάνοι μὲν γὰρ τῆς παραλίας ὡς ἀπωτάτω ὄντες προσοικοῦσι τοῖς Ἀρμενίοις ἐν τῇ μεσογείᾳ καὶ ὄρη πολλὰ μεταξὺ ἀποκρέμαται, λίαν τε ἄβατα καὶ ὅλως κρημνώδη. χώρα τε πολλὴ ἔρημος ἀνθρώπων ἐς ἀεὶ οὖσα καὶ χαράδραι ἀνέκβατοι καὶ λόφοι ὑλώδεις καὶ σήραγγες ἀδιέξοδοι, οἷς δὴ ἅπασι μὴ ἐπιθαλάσσιοι εἶναι διείργονται Τζάνοι. Κόλχους δὲ οἷόν τέ ἐστι μὴ D τοὺς Λαζοὺς εἶναι, ἐπεὶ παρὰ Φᾶσιν ποταμὸν ᾤκηνται· τὸ δὲ ὄνομα μόνον οἱ Κόλχοι, ὥσπερ ἀνθρώπων ἔθνη καὶ πολλὰ ἔτερα, τανῦν ἐς τὸ Λαζῶν μεταβέβληται. χωρὶς δὲ τούτων καὶ

2. ἄποθεν] ἄπωθεν P. 8. τῶν παλαιοτέρων] τὸ παλαιότερον R.g. 9. ὧν LP. οἷς H. 10. Σάνους Maltretus coll. p. 44 D. Σουανούς P. τζάνους H. τινες τραπεζῶν ὁμόρους ἦσαν οὓς ἔφασαν L. 13. οὐδέτερον] οὐδέτερα L. 15. ἀποκρέμαται] ἀποκρέμανται H.

equitibus vadosus: ad cuius dexteram castra locarunt procul a ripa. Verum, ut Lazicam, gentesque omnes circumpositas Lectores noverint, nec de rebus sibi obscuris, pugnantibus cum umbra similes, cogantur disserere, non alienam esse iudico descriptionem, qua situs gentium, quae ad Pontum Euxinum habitant, subiiciam oculis; haud ignarus, prodita quidem haec ab antiquioribus fuisse: at non omnia, ut equidem sentio, accurate tractarunt: cum eorum nonnulli Sanos, quos Tzanos vocamus hodie, Laxis conterminos, vel eosdem cum Colchis esse dixerint; ita ut Lazorum appellatione donarint alios, qui iam etiam ea gaudent. At utrumque falsum. Etenim Tzani a littore maris remotissimi, et Armeniorum accolae mediterranei sunt: inaccessi ac praecipites montes intersunt plurimi, et vasta solitudo, et invii torrentium alvei, et colles sylvosi, et hiatus terrae insuperabiles: quae omnia Tzanos a mari distrahunt. Nec fieri potest, ut a Colchis Lazi diversi sint: quandoquidem ad Phasin fluvium sedes habent, uno Colchorum vocabulo, quod et multis aliis nationibus accidit, cum Lazorum nomine iam mutato. Prae-

μέγας αἰὼν μετὰ τοὺς ἐκεῖνα ἀναγραψαμένους ἐπιγενόμενος ἀεί τε ξυννεωτερίζων τοῖς πράγμασι τὰ πολλὰ τῶν καθεστώτων τὰ πρότερα νεοχμῶσαι ἴσχυσεν, ἐθνῶν τε μεταστάσεσι καὶ ἀρχόντων καὶ ὀνομάτων διαδοχαῖς. ἅπερ μοι διαμετρήσασθαι ἀναγκαιότατον ἔδοξεν εἶναι, οὐ τὰ μυθώδη περὶ αὐτῶν ἀπαγγέλλοντι ἢ ἄλλως ἀρχαῖα, οὐδὲ ὅπη ποτὲ πόντου τοῦ Εὐξείνου δεθῆναι τὸν Προμηθέα λέγουσι ποιηταί· μύθου γὰρ ἱστορίαν παρὰ πολὺ κεχωρίσθαι οἶμαι· ἀλλ' ἐς τὸ ἀκριβὲς διεξιόντι τά τε ὀνόματα καὶ τὰ πράγματα, ὅσα δὴ ταυῦν ἐπιχωριάζει τῶν τόπων ἐκείνων ἑκάστῳ. P 567 H 319

β'. Οὗτος τοίνυν ὁ πόντος ἄρχεται μὲν ἐκ Βυζαντίου καὶ Καλχηδόνος, τελευτᾷ δὲ ἐς Κόλχων τὴν γῆν. καὶ αὐτῶν ἐν δεξιᾷ ἐσπλέοντι Βιθυνοί τε καὶ οἱ αὐτῶν ἐχόμενοι Ὀνωριάται καὶ Παφλαγόνες ᾤκηνται, οἳ δὴ ἄλλα τε χωρία καὶ Ἡράκλειάν τε καὶ Ἄμαστριν ἐπιθαλασσίας πόλεις ἔχουσι. καὶ μετ' αὐτοὺς οἱ ποντικοὶ ἐπικαλούμενοι μέχρι ἐς Τραπεζοῦντα πόλιν καὶ τὰ ταύτης ὅρια. ἐνταῦθα πολίσματά τε ἄλλα ἐπιθαλασσίδια καὶ Σινώπη τε καὶ Ἀμισὸς οἰκεῖται, Ἀμισοῦ τε ἄγχιστα τό τε Θεμίσκυρον καλούμενον καὶ Θερμώδων ποταμός ἐστιν, οὗ δὴ τὸ τῶν Ἀμαζόνων στρατόπεδον γεγενῆσθαί φασιν. ἀλλὰ περὶ μὲν Ἀμαζόνων γεγράψεταί μοι οὐ πολλῷ ὕπισθεν. Τραπεζουντίων δὲ τὰ ὅρια διήκει ἔς τε κώμην Σουσούρμαιναν καὶ τὸ Ῥιζαῖον κυλούμενον B

2. συννεωτερίζων L. 3. νεοχμῶσαι] ἂν νεοχμοῦν L. 7. ποιηταὶ λέγουσι L. ibid. ἱστορίαν L. ἱστορία P. ibid. κεχωρίσθαι] κεχωρίσται P. κεχώρισται H. 8. οἶμαι] εἶναι L. 12. αὐτῶν] αὐτὸν L. 18. ἀμισὸς — ἀμισοῦ H. ibid. Θεμίσκυρον] Θεμισκούριον Reg. 22. σουσούρμαιναν L. ibid. Ῥιζαῖον] ῥίζεον H.

terea longinquitas temporis, ab eorum aetate elapsi, qui de illis scripserunt, rerum novitatem pro more iuvans, ex constitutis olim non pauca movit, qua migrationibus gentium, qua Principum nominumque successionibus. Ego vero maxime necessarium duco haec ita digerere, ut nec fabulosa, nec nimium vetusta referam; puta, qua in ora Ponti Euxini vinctum Prometheum poëtae memorent: longe enim historiam a fabula distare censeo: sed nomina ac res, quae in locis illis singulis vulgo iam usurpantur, accurate exponam.

2. Ergo Pontus, sumpto a Byzantio Calchedoneque initio, ad Colchidem desinit. Quo qui navigat, a dextra Bithynos habet, hisque continentes Honoriatas, atque Paphlagones: inter quorum urbes maritimas sunt Heraclea et Amastris. Succedunt Pontici ad urbem usque Trapezuntem eiusque limites. Qua in ora cum alia coluntur oppida, tum Sinope et Amisus. Amiso proximum est Themiscyrum, ac flumen Thermodon; ubi castra Amazonum, de quibus paulo post agam, fuisse perhibent. Trapezuntiorum fines ad vicum pertinent Susurmenam Rhizaeum-

H 316 βαρβάρους ἔς τε τὸν λιμένα κατῆρε καὶ παντὶ τῷ στόλῳ ἐντὸς τοῦ περιβόλου ἐγένετο. καὶ Ἀρταβάνης δὲ οὐ πολλῷ ὕστερον ἐν Κε-
D φαλωνίᾳ γενόμενος, ἐπειδὴ τοὺς ἀμφὶ Λιβέριον ἤδη ἐνθένδε ἀναχθέντας ἐπὶ Σικελίας κεχωρηκέναι ἔγνω, ἄρας ἐνθένδε πέλαγος αὐτίκα τὸ Ἀδριατικὸν καλούμενον διέβη. ἐπεὶ δὲ Καλαβρῶν ἀγχοῦ ἐγένετο, χειμῶνός οἱ ἔξαισίου ἐπιπεσόντος καὶ τοῦ πνεύματος σκληροῦ τε ὑπεράγαν ὄντος καὶ ἀπ' ἐναντίας σφίσιν ἰόντος, οὕτως ἁπάσας διασκεδάννυσθαι τὰς ναῦς ξυνηνέχθη, ὡς δοκεῖν ὅτι δὴ αἱ πολλαὶ ἐς τὴν Καλαβρίαν ἐξενεχθεῖσαι ὑπὸ τοῖς πολεμίοις ἐγένοντο. οὐκ ἦν δὲ οὕτως, ἀλλὰ πρὸς τοῦ πνεύματος ξὺν βίᾳ πολλῇ διωθούμεναι ἀνέστρεφόν τε βιαζόμεναι ὑπερφυῶς καὶ αὖθις ἐν Πελοποννήσῳ ἐγένοντο. καὶ ταῖς ἄλλαις δὲ, ὅπη παρατύχῃ, ἢ διεφθάρθαι ἢ διασεσῶσθαι τετύχηκε. ναῦς δὲ μία,
P 562 ἐν ᾗ ἔπλει Ἀρταβάνης αὐτὸς, τοῦ ἱστοῦ οἱ ἐν τῷ σάλῳ τοίτῳ ἀποκοπέντος, ἐς τοσόνδε κινδύνου ἐλθοῦσα, πρός τε τοῦ ῥοθίου φερομένη καὶ τῷ κλύδωνι ἐπισπομένη Μελίτῃ προσέσχε τῇ νήσῳ. οὕτω μὲν Ἀρταβάνην διασεσῶσθαι ἐκ τοῦ ἀπροσδοκήτου ξυνέπεσε.

Λιβέριος δὲ οὔτε τοῖς πολιορκοῦσιν ἐπεξιέναι, ἢ μάχῃ πρὸς αὐτοὺς οἷός τε ὢν διακρίνεσθαι, καὶ τῶν ἐπιτηδείων σφίσιν, ἅτε πολλοῖς οὖσιν, ἐς πλείω χρόνον οὐδαμῇ διαρκούντων ἄρας ἐνθένδε ξὺν τοῖς ἑπομένοις καὶ τοὺς πολεμίους λαθὼν ἐς Πάνορ-

2. κεφαλωνίᾳ Reg. et Pers. Vulgo Κεφαληνίᾳ. 6. ἐπικεσόντος L. κεσόντος P. 8. ὡς δοκεῖν om. L. 13. ναῦς δὲ] ναῦς δὲ δὴ L. 15. τοσόνδε L. τοσοῦτον P. 16. ἐπισπομένη] ἐπισπωμένη P. 19. ἐπεξιέναι] ὑπεξιέναι Reg.

stibus obsessas appulit, et Barbarorum qui illic erant, perrupta custodia, portum tenuit, urbemque universa cum classe ingressus est. Haud multo post Artabanes, in Cephaloniam delatus, simul profectum inde Liberium in Siciliam navigasse cognovit, illinc et ipse solvens, mare, quod Adriaticum vocant, transmisit. Non procul aberat a Calabria, cum, orta horrida tempestate, vehementissimi ac reflantis venti vis naves omnes ita disiecit, ut esset opinio, multas in Calabriam abreptum iri, et in potestatem hostium venturas. Evenit aliter: vento violentissimo impulsae et foedissime iactatae retro cesserunt, et in Peloponnesum redierunt: caeterae, prout sors tulit, partim amissae, partim servatae sunt. Navis, qua Artabanes vehebatur, malo procella fracto, in summum discrimen venit, et maris cursum fluctuumque impetum sequens, Melitam insulam contigit. Sic demum Artabanes praeter expectationem sospes evasit.

At Liberius, cum ad faciendam in obsessores eruptionem, inferendumque praelium parum virium haberet, neque annona in longius spatium suppeditaret obsessis, utpote multis numero; inde cum suis solvit,

μον ἀνεχώρησε. Τωτίλας δὲ καὶ Γότθοι σχεδόν τι ἅπαντα λη- B
σάμενοι τὰ ἐπὶ Σικελίας χωρία ἵππων μὲν ἐπαγόμενοι καὶ ζῴων
ἄλλων τι χρῆμα μέγα, σῖτόν τε καὶ τοὺς ἄλλους καρποὺς ἅπαν-
τας ἐκ τῆς νήσου μετενεγκόντες καὶ πάντα τὰ χρήματα, κομιδῇ
μεγάλα ὄντα, ἐν τοῖς πλοίοις ἐνθέμενοι, τήν τε νῆσον ἐξαπι-
ναίως ἐξέλιπον καὶ ἐς τὴν Ἰταλίαν ἀνέστρεφον, τρόπῳ ὁρμώμε-
νοι τοιῷδε. τῶν τινα Ῥωμαίων, Σπῖνον ὄνομα, ἐκ Σπολητίου
ὁρμώμενόν οἱ αὐτῷ πάρεδρον οὐ πολλῷ πρότερον καταστησάμενος
Τωτίλας ἔτυχεν. οὗτος ἀνὴρ ἐν πόλει Κατάνῃ, ἀτειχίστῳ οἴσῃ,
διατριβὴν εἶχε. τύχη τέ τις αὐτῷ ξυνέβη ὑπὸ τοῖς πολεμίοις ἐν-
ταῦθα γενέσθαι. ὃν δὴ ῥύεσθαι ὁ Τωτίλας ἐπειγόμενος τῶν C
τινα ἐπιφανῶν γυναῖκα, αἰχμάλωτον οὖσαν, ἀφεῖναι Ῥωμαίοις
ἀντ' αὐτοῦ ἤθελε. γυναῖκα δὲ Ῥωμαῖοι οὐδαμῇ ἐδικαίουν ἀν-
ταλλάξασθαι ἀνδρὸς τὴν τοῦ καλουμένου κοιαίστωρος ἀρχὴν
ἔχοντος. δείσας οὖν ὁ ἀνὴρ μὴ παρὰ τοῖς πολεμίοις διαφθαρείη,
ὡμολόγησε Ῥωμαίοις αὐτίκα Τωτίλαν ἀναπείσειν Σικελίας μὲν
ἀπανίστασθαι, παντὶ δὲ τῷ Γότθων στρατῷ ἐς Ἰταλίαν διαπορθ-
μεύσασθαι. καὶ οἱ μὲν ὅρκοις αὐτὸν σφίσιν ἀμφὶ ταύτῃ τῇ ὁμο-
λογίᾳ καταληφθέντα Γότθοις ἀπέδοσαν, ἀντ' αὐτοῦ τὴν γυναῖκα
κεκομισμένοι. ὁ δὲ Τωτίλας ἐς ὄψιν ἥκων οὐκ ἐπὶ τῷ σφετέρῳ D
ξυμφόρῳ Γότθους ἔφασκε Σικελίαν λησαμένους σχεδόν τι ὅλην
ὀλίγων τινῶν φρουρίων διατριβὴν ἐνταῦθα ἔχειν. ἔναγχος γὰρ

1. ἀνεχώρησε] ἀπεχώρησε Reg. 3. τι χρῆμα μέγα] μέγα τι χρῆμα L. 4. κομιδῇ μ. ὄντα] μ. ὄντα κομιδῇ L. 7. Σπῖνον] σπιὸν H. ibid. Σπολητίου] σπολιτίου HL.

et clam hostibus Panormum concessit. Tum Totilas et Gotthi, universa fere vastata Sicilia, equorum aliarumque pecudum abacta ingenti vi, frumento ac caeteris omnibus frugibus ex insula convectis, cunctis, denique opibus, sane maximis, in naves impositis; insula excesserunt inopinato, atque Italiam repetierunt, hoc modo ad id impulsi Non ita pridem Totilas Romanum quemdam, Spinum nomine, ortu Spoletinum, Quaestorem suum creaverat. Hic vir, dum in urbe Catana, moenibus exuta, moraretur, casu quodam in manus hostium venit. Liberandi illius cupidissimus Totilas, captivam nobilem feminam Romanis pro ipso obtulit. Negarunt Romani virum, Quaestoris dignitate insignem, bene cum femina commutari. Hinc veritus Spinus ne ab hostibus neci daretur, Romanis promisit, se statim Totilae persuasurum, ut relicta Sicilia, universum Gottborum exercitum traiiceret in Italiam. Eum Romani iureiurando, quo promissum firmavit, sibi obstrictum, Gotthis reddiderunt, recepta ipsius loco muliere. Is ut primum Totilam revisit, dixit non belle rebus consulere suis Gotthos, qui, Sicilia fere omni direpta, paucorum praesidiorum cupiditate ibi tenerentur: affirmavitque se modo,

ἰσχυρίζετο ἀκηκοέναι, ἡνίκα παρὰ τοῖς πολεμίοις ἐτύγχανεν ὤν, Γερμανὸν μὲν τὸν βασιλέως ἀνεψιὸν ἔξ ἀνθρώπων ἀφανισθῆναι, Ἰωάννην δὲ τὸν αὐτοῦ κηδεστὴν καὶ Ἰουστινιανὸν τὸν αὐτοῦ παῖδα παντὶ τῷ στρατῷ πρὸς Γερμανοῦ ξυλλεγέντι εἶναι μὲν ἤδη ἐν
V 177 Δαλματίᾳ, εὐθὺ δὲ Λιγουρίας αὐτίκα δὴ μάλα ξυσκευαζομένους ἐνθένδε χωρήσειν, ἐφ' ᾧ δὴ Γότθων ἔξ ἐπιδρομῆς παῖδάς τε καὶ γυναῖκας ἀνδραποδίσωσι καὶ χρήματα λήσωνται πάντα, οἷσπερ ἡμᾶς ὑπαντιάζειν ἄμεινον ἂν εἴη ἐν τῷ ἀσφαλεῖ ξὺν τοῖς οἰκείοις διαχειμάζοντας. ἦν γὰρ ἐκείνων περιεσώμεθα, Σικελίας αὖθις ἅμα ἦρι ἀρχομένῳ παρέσται ἡμῖν ἀδειστερον ἐπιβήσεσθαι πολέ-
P 563 μιον οὐδὲν ἐν νῷ ἔχουσι. ταύτῃ ὁ Τωτίλας τῇ ὑποθήκῃ ἀναπεισθεὶς φρουροὺς μὲν ἐν ὀχυρώμασι τέτρασιν εἴασεν, αὐτὸς δὲ ξύμπασαν τὴν λείαν ἐπαγόμενος παντὶ τῷ ἄλλῳ στρατῷ ἐς Ἰταλίαν διεπορθμεύσατο. ταῦτα μὲν οὖν ἐπράσσετο τῇδε.

Ἰωάννης δὲ καὶ ὁ βασιλέως στρατὸς ἀφικόμενοι ἐς Δαλματίαν ἐν Σάλωσι διαχειμάζειν ἔγνωσαν, ἐνθένδε μετὰ τὴν τοῦ χειμῶνος ὥραν εὐθὺ Ῥιβέννης ὁδῷ ἰέναι διανοούμενοι. Σκλαβηνοὶ δὲ, οἵ τε τὰ πρότερα ἐν γῇ τῇ βασιλέως γενόμενοι, ὥσπερ μοι ἔναγχος δεδιήγηται, καὶ ἄλλοι οὐ πολλῷ ὕστερον Ἴστρον τε
H 317 ποταμὸν διαβάντες καὶ τοῖς προτέροις ἀναμιχθέντες, κατέθεον ἐν

4. στρατῷ — ξυλλεγέντι] πρὸς γερμανῶν ξυλλεγέντι στρατῷ L. 7. ἀνδραποδίσωσι — λήσωνται Reg. ἀνδραποδίσουσι — λήσονται P. 12 φρουροὺς] φρουρὰς Reg. 15. ἀφικόμενοι] ἀφικόμενος H: illud Hm. *ibid.* ἐν δαλματίᾳ εἰς σάλωνας L. 18. γῇ τῇ L. τῇ γῇ P.

cum inter hostes versaretur, audisse, Germanum, Imperatoris nepotem, migrasse ex vita, ac Ioannem illius generum, Iustinianumque eiusdem filium, cum exercitu, quem Germanus collegerat, esse iam in Dalmatia, et primo quoque tempore collectis sarcinis, inde recta petituros Liguriam, ut subito incursu Gothorum liberos et coniuges caperent, opesque omnes praedarentur. *Atqui*, inquit, *satius esset eorum consilio ire obviam, tuto cum nostris hiemantes. Nam si illos vicerimus, nobis ab hoste securis licebit iterum ineunte vere Siciliam invadere liberius.* Commonitione eiusmodi inductus Totilas, in locis quatuor firmioribus praesidia reliquit, et cum omni praeda caeterisque copiis in Italiam transfretavit. Haec ibi acta.

Ioannes vero et Imperatoris exercitus, cum in Dalmatiam pervenissent, Salonis hiemem traducere constituerunt, statim ab illius exitu Ravennam recta ire habentes in animo. At Sclaveni, tum qui prius in oras Imperatori subditas se intulerant, quemadmodum proxime commemoravi, tum qui paulo post, traiecto amne Istro, illis se permiscuerant,

πολλῇ ἐξουσίᾳ τὴν Ῥωμαίων ἀρχήν. καὶ τινὲς μὲν ἐν ὑποψίᾳ εἶχον ὡς Τωτίλας τούτους δὴ τοὺς βαρβάρους χρήμασι πολλοῖς ἀναπείσας ἐπιπέμψειε τοῖς ταύτῃ Ῥωμαίοις, ὅπως δὴ βασιλεῖ B ἀδύνατα εἴη τὸν πρὸς Γότθους πόλεμον ἀσχολίᾳ τῇ ἐς τούτους δὴ τοὺς βαρβάρους εὖ διοικήσασθαι. εἴτε δὲ Τωτίλᾳ χαριζόμενοι εἴτε ἄκλητοι Σκλαβηνοὶ ἐνταῦθα ἦλθον οὐκ ἔχω εἰπεῖν. ἐς τρία μέντοι τέλη σφᾶς αὐτοὺς διελόντες οἱ βάρβαροι οὗτοι ἀνήκεστα ἐν Εὐρώπῃ τῇ ὅλῃ ἔργα εἰργάσαντο, οὐκ ἐξ ἐπιδρομῆς ληιζόμενοι τὰ ἐκείνῃ χωρία, ἀλλ' ὥσπερ ἐν χώρᾳ οἰκείᾳ διαχειμάζοντες οὐδέν τε ὀδιύτες πολέμιον. ὕστερον δὲ βασιλεὺς Ἰουστινιανὸς στρατιὰν ἀξιολογωτάτην ἐπ' αὐτοὺς ἔπεμψεν, ἧς ἄλλοι τε καὶ Κωνσταντιανὸς καὶ Ἀράτιος καὶ Ναζάρης ἡγοῦντο καὶ Ἰουστῖνος ὁ Γερμανοῦ παῖς καὶ Ἰωάννης, ὃνπερ ἐπίκλησιν ἐκάλουν C Φαγᾶν. ἐπιστάτην δὲ Σχολαστικὸν ἐφ' ἅπασι κατεστήσατο, τῶν ἐν παλατίῳ εὐνούχων ἕνα. οὗτος ὁ στρατὸς μοῖραν τῶν βαρβάρων καταλαμβάνουσιν ἀμφὶ Ἀδριανοῦ πόλιν, ἥπερ ἐπὶ Θρᾴκης ἐν μεσογείοις κεῖται, πέντε ἡμερῶν ὁδὸν Βυζαντίου διέχουσα. καὶ πρόσω μὲν χωρεῖν οἱ βάρβαροι οὐκέτι εἶχον. λείαν γὰρ ἐπήγοντο ἀνθρώπων τε καὶ ζῴων ἄλλων καὶ πάντων χρημάτων ἀριθμοῦ κρείσσονα. μένοντες δὲ αὐτοῦ ἠπείγοντο τοῖς πολεμίοις ἐς χεῖρας ἰέναι, τούτοις δὲ αὐτοῖς αἴσθησιν ὡς ἥκιστα παρεχόμενοι. καὶ οἱ μὲν Σκλαβηνοὶ ἐστρατοπεδεύοντο ἐς τὸ ὄρος, ᾧ ταύτῃ ἀνέ-

10. *βασιλεὺς Ἰουστινιανὸς*] *ἰουστ. β.* L. 11. *ἐπ'* L. *ἐς* P.
14. *Σχολαστικὸν*] *σχολαστίκιον* H: illud Hm. 17. *διέχουσα*] *διέχουσαν* Reg.

impunissime Romanum Imperium incursarunt. Nec deerant qui suspicarentur hos Barbaros multa pecunia pellectos immissosque a Totila in Romanos fuisse, ut ab illis districtus Imperator bellum Gothicum bene administrare non posset. Sintne Totilae gratificati Sclaveni, an eo venerint non vocati, dicere nequeo. Divisis tripartito copiis, toti Europae damna gravissima intuleruut hi Barbari, non cursim populabundi; sed perinde ac si essent in suis finibus, sine ullo hostium metu hibernantes. In eos postmodum Imperator egregium destinavit exercitum: cuius cum alii Duces erant, tum Constantianus, Aratius, Nazares, Iustianus alter Germani filius, et Ioannes cognomine Heluo. Porro Scholasticum praefecit omnibus, unum e numero Eunuchorum Palatii. Barbarorum partem offendit hic exercitus ad Adrianopolin, urbem Thraciae mediterraneam, ac dierum iter quinque Byzantio dissitam. Iam Barbari progredi non poterant. Etenim captivorum ac pecudum innumerabilem vim cum opibus cuiusquemodi abducebant. Quare eo loci haerentes, ad pugnam ita se expediebant, nihil ut hosti suboleret. Ac Slaveni quidem

περιέβαλε μέγα τι χρῆμα, θεάτρῳ δὲ καὶ ἱπποδρόμῳ ἐκαλλωπίζετο καὶ τοῖς ἄλλοις ἅπασιν, οἷσπερ πόλεως μέγεθος δείκνυσθαι εἴωθε. νῦν δὲ δὴ αὐτῶν ἄλλο οὐδὲν ἀπολέλειπται, ὅτι μὴ τῆς κατασκευῆς τὰ ἐδάφη.

C Ὥστε εἰκότως θαυμάσειεν ἄν τις τῶν Κόλχους φαμένων Τραπεζουντίοις ὁμόρους εἶναι. ταύτῃ μὲν γὰρ ἂν καὶ τὸ δέρας H 320 ξὺν τῇ Μηδείᾳ συλήσας Ἰάσων οὐκ ἐπὶ τὴν Ἑλλάδα καὶ τὰ πάτρια ἤθη φυγὼν φαίνοιτο, ἀλλ' ἔμπαλιν ἐπὶ Φᾶσίν τε ποταμὸν καὶ τοὺς ἐνδοτάτω βαρβάρους. λέγουσι μὲν οὖν ὡς κατὰ τοὺς Τραϊανοῦ τοῦ Ῥωμαίων αὐτοκράτορος χρόνους κατάλογοι Ῥωμαίων στρατιωτῶν ἐνταῦθά τε καὶ μέχρι ἐς Λαζοὺς καὶ Σαγίδας ἵδρυντο. τὰ δὲ νῦν ἄνθρωποι ἐνταῦθα οἰκοῦσιν οὔτε τοῦ Ῥωμαίων οὔτε τοῦ Λαζῶν βασιλέως κατήκοοι ὄντες, πλήν γε δὴ ὅτι Χριστιανοῖς οὖσιν οἱ Λαζῶν ἐπίσκοποι τοὺς ἱερεῖς καθίστανται σφίσι. καὶ αὐτοὶ ἔνσπονδοί τε καὶ φίλοι ἀμφοτέροις ἐθέ- D λουσιν εἶναι, τούς τε ἐξ ἑκατέρων παρὰ τοὺς ἑτέρους ἀεὶ στελλομένους παραπέμψαι διηνεκῶς ὡμολόγησαν. ὃ δὴ φαίνονται καὶ ἐς ἐμὲ δρῶντες. ἀκάτοις γὰρ ἰδίαις τοὺς παρ' ἑτέρου βασιλέως ἐς τὸν ἕτερον στελλομένους ἀγγέλους ναυτιλλόμενοι παραπέμπουσι. φόρου μέντοι ὑποτελεῖς οὐδαμῇ γεγένηνται ἐς τόδε τοῦ χρόνου. τούτων δὲ τῶν χωρίων ἐν δεξιᾷ ὄρη τε λίαν ἀπότομα ἀποκρέμαται καὶ χώρα ἔρημος ἐπὶ πλεῖστον διήκει. καὶ αὐτῆς

3. ἀπολέλειπται] ἀπολείπεται Reg. 6. τραπεζουντίοις ἰσομόρους H. ibid. δέρας L. δέρρας P. 7. τῇ L. αὐτῇ P. 11. Σαγίδας] σαννίτας H. 12. οὔτε — οὔτε] οὐδὲ — οὐδὲ P. 15. ἐθέλουσιν] ἐθέλοντες L. 22. ἀποκρέμαται] ἀποκρέμανται H.

urbis: quae olim civibus frequens, cinctaque moenibus maximis, theatrum ac Circum habuit, caeteraque ornamenta omnia, quae urbis amplitudinem probare solent: iam nihil eorum superest, nisi structurae vestigia.

Eos igitur merito miretur quispiam, qui Colchos Trapezuntiis confines esse asseverant. Nam si ita se res haberet, Iason rapto cum Medea vellere, non in Graeciam patriamque fugisse, sed ad Phasin et penitus repositos Barbaros rediisse videretur. Memoriae proditum est Romana illic praesidia sub Traiano Aug. ad Lazos usque et Sagidas stativa habuisse. Iam huius regionis incolae nec Rom. Imperatori, nec Regi Lazorum parent; solummodo, cum Christiani sint, Sacerdotes accipiunt a Lazorum Episcopis. Utrisque iuncti foedere et amicitia, ultro citroque commeantium deductores fore se promiserunt: quod illos hac etiam aetate praestare constat. Missos enim ab altero Principe ad alterum internuntios suis ipsi scaphis devehunt deducuntque, neutri ad hanc diem vectigales. A parte eorum dextera montes admodum praerupti pendent,

δὴ ὕπερθεν οἱ Περσαρμένιοι καλούμενοι ᾤκηνται, καὶ Ἀρμένιοι οἱ Ῥωμαίων κατήκοοί εἰσι μέχρι ἐς τοὺς Ἰβηρίας ὅρους διήκοντες.

Ἐκ δὲ Ἀψαροῦντος πόλεως ἐς Πέτραν τε πόλιν καὶ τοὺς Λαζῶν ὅρους, οὗ δὴ τελευτᾷ ὁ Εὔξεινος πόντος, μιᾶς ἐστιν P 569 ἡμέρας ὁδός. ἀπολήγων δὲ ὁ πόντος ἐνταῦθα μηνοειδῆ τίθεται τὴν ἀκτήν. καὶ ὁ μὲν τοῦ μηνοειδοῦς τούτου διάπλους ἐς πεντήκοντά τε καὶ πεντακοσίους μάλιστα σταδίους διήκει, τὰ δὲ αὐτοῦ ὄπισθε ξύμπαντα Λαζική τέ ἐστι καὶ ὠνόμασται. μετὰ δὲ αὐτοὺς κατὰ τὴν μεσόγαιαν Σκυμνία τε καὶ Σουανία ἐστί. ταῦτα δὲ τὰ ἔθνη Λαζῶν κατήκοα τυγχάνει ὄντα. καὶ ἄρχοντας μὲν οἱ τῇδε ἄνθρωποι τῶν ὁμογενῶν τινας ἔχουσιν, ἐπειδὰν δὲ τῶν ἀρχόντων τινὶ ἐπιγένηται ἡ τέλειος ἡμέρα τοῦ βίου, ἕτερον αὐτοῖς ἀντικαθίστασθαι πρὸς τοῦ Λαζῶν βασιλέως ἐς ἀεὶ εἴθισται. ταύτης δὲ τῆς χώρας ἐκ πλαγίου μὲν παρ' αὐτὴν μάλιστα τὴν Ἰβηρίαν Μέσχοι Ἰβήρων ἐκ παλαιοῦ κατήκοοι ᾤκηνται, τὰ οἰκία ἐν τοῖς ὄρεσιν ἔχοντες. ὄρη δὲ τὰ Μέσχων οὐ σκληρὰ οὐδὲ B καρπῶν ἄφορά ἐστιν, ἀλλ' εὐθηνοῦσιν ἀγαθοῖς ἅπασιν, ἐπεὶ καὶ οἱ Μέσχοι γεωργοὶ δεξιοὶ ἄλλως τε καὶ ἐς ἀμπελῶνας τυγχάνουσιν ὄντες. ταύτῃ δὲ τῇ χώρᾳ ὄρη ἐπίκειται ἄγαν τε ὑψηλὰ καὶ ἀμφιλαφῆ καὶ δεινῶς ἄβατα. καὶ ταῦτα μὲν ἄχρι ἐς τὰ Καυκάσια ὄρη διήκει· ὄπισθεν δὲ αὐτῶν πρὸς ἀνίσχοντα ἥλιον Ἰβηρία ἐστὶ, μέχρι ἐς Περσαρμενίους διήκουσα. διὰ δὲ τῶν

1. δὴ om. L. 9. μεσογαίαν P. ibid. Σκυμνία] σκυμία Reg. et H. 11. δὲ τῶν] δὴ τῶν L. 16. ἐν τοῖς] τοῖς om. L. 18. ἄλλως τε om. Vat. L. ibid. ἐς om. Vat. L. ibid. ἀμπελῶνας Vat. L. 19. ὄντες] ἐκεῖσε L.

ac longe porrigitur solitudo, ultra quam habitant Persarmenii, et qui ditioni Romanae subsunt Armenii, ad fines usque Iberiae.

Ab urbe Absarunte ad urbem Petram et Lazorum fines, ubi Pontus Euxinus desinit, diei iter unius est. Nactus ibi terminum Pontus sic oram sinuat, ut curvi huius littoris traiectus DL. pateat stadia. Huic praetenta plaga omnis, quam late patet, est ac dicitur Lazica. Interiores sunt Scymnia atque Suania, itaque a Lazorum dominatu pendent, ut incolae Principibus quibusdam popularibus suis pareant. Ubi Principum horum aliquis diem supremum obiit, Lazorum Rex alterum subrogare, et ipsis praeficere consuevit. Hinc a latere, proxime Iberiam, Meschi, iam inde antiquitus Iberibus subditi, in montibus habitant, non asperis nec sterilibus, sed omni fructuum genere feracissimis, accedente Meschorum in colendis agris ac praesertim vineis dexteritate. Montes celsissimi, vestiti nemoribus, aditusque difficillimi regioni huic imminent, et ad Caucasios montes excurrunt; ultra quos ab Oriente sita Iberia, evadit ad Persarmenios. Inter hos montes meat fluvius Phasis, natus e

ὁρῶν, ἃ ταύτῃ ἀνέχει, Φᾶσις ποταμὸς κάτεισιν, ἐκ τῶν Καυκασίων ἀρχόμενος καὶ κατὰ μέσον τὸ μηνοειδὲς τοῦ πόντου ἐκβάλλει. ταύτῃ τε ἤπειρον ἑκατέραν αὐτὸν διορίζειν τινὲς οἴονται. C τὰ μὲν γὰρ ἐν ἀριστερᾷ κατιόντος τοῦ ῥοῦ Ἀσία ἐστί, τὰ δὲ ἐν V 182 δεξιᾷ Εὐρώπη ὠνόμασται. κατὰ μὲν οὖν τὴν τῆς Εὐρώπης μοῖραν ξύμπαντα Λαζῶν τὰ οἰκία ξυμβαίνει εἶναι, ἐπὶ θάτερα δὲ οὔτε πόλισμά τι οὔτε ἄλλο τι ὀχύρωμα οὔτε κώμην τινὰ λόγου ἀξίαν Λαζοὶ ἔχουσι, πλήν γε δὴ ὅτι Πέτραν Ῥωμαῖοι ἐνταῦθα ἐδείμαντο πρότερον. κατὰ ταύτην δὲ τὴν Λαζικῆς μοῖραν ἀπέκειτο, ὥσπερ οἱ ἐπιχώριοι λέγουσι, καὶ τὸ δέρας ἐκεῖνο, οὗπερ D ἕνεκα οἱ ποιηταὶ τὴν Ἀργὼ ἀποτετορνεῦσθαι μυθολογοῦσι. λέγουσι δὲ ταῦτα, ἐμὴν γνώμην, ἀληθιζόμενοι ἥκιστα. οὐ γὰρ ἂν οἶμαι λαθὼν τὸν Αἰήτην Ἰάσων ἐνθένδε ἀπηλλάσσετο ξὺν τῇ Μηδείᾳ τὸ δέρας ἔχων, εἰ μὴ τά τε βασίλεια καὶ τὰ ἄλλα τῶν Κόλχων οἰκία διείργετο Φάσιδι ποταμῷ, ἵνα δὴ τὸ δέρας ἐκεῖνο κεῖσθαι ξυνέβαινεν, ᾧ δὴ καὶ οἱ ποιηταὶ παραδηλοῦσιν οἱ τὰ τοιαῦτα ἀναγραψάμενοι. ὁ μὲν οὖν Φᾶσις τῇδε φερόμενος, ἥπερ μοι δεδιήγηται, ἐς αὐτόν που λήγοντα ἐμβάλλει τὸν Εὔξεινον πόντον. τοῦ δὲ μηνοειδοῦς κατὰ μὲν τὴν μίαν ἀρχὴν, ἥ τῆς Ἀσίας ἐστὶ, Πέτρα ἡ πόλις ἐτύγχανεν οὖσα, ἐν δὲ δὴ τῇ ἀντιπέρας ἀκτῇ κατὰ τὴν τῆς Εὐρώπης μοῖραν Ἀψιλίων ἡ χώρα ἐστί· Λαζῶν δὲ κατήκοοί εἰσι καὶ Χριστιανοὶ γεγόνασιν ἐκ παλαιοῦ

1. ὁρῶν om. L. *ibid.* ἃ ταύτῃ] ἑκάτη L. 7. οὔτε — οὔτε — οὔτε] οὐδὲ ter P. *ibid.* πόλισμά τι] τε om. L. 9. δὲ τὴν] δέ που τὴν L. 10. δέρας L. δέρρας P hic et infra. 15. οἰκία] οἰκεῖα Reg. Idem vitium hic et supra in L. 21. τὴν τῆς] τῆς om. L.

Caucaso, seque in Pontum evolvit, lunatum eius littus medium secans. Unde fluxit eorum opinio, qui illo continentem utramque dividunt; et partes quidem a laeva amnis positas, Asiam, eas vero, quae sunt a dextera, Europam vocant. In parte, quae Europae attribuitur, habent Lazi sua omnia domicilia; in altera nec oppidum ullum, nec praesidium, nec vicus illis est alicuius momenti: hic solum Petram Romani antea aedificaverant. In hac parte Lazicae, si indigenas audimus, vellus illud asservabatur, cuius gratia constructam Argo fabulantur Poëtae. At illi, meo quidem iudicio, falluntur. Neque enim Aeetem, credo, latuisset Iasonis fuga, inde vellus cum Medea auferentis, nisi fluvius Phasis regiam ac caeteras Colchorum domos, ubi id vellus erat repositum, secluisset: quod et Poëtae, qui haec descripserunt, indicant. Profluens ita Phasis, ut declaravi, in extremum Pontum Euxinum irrumpit. In parte demum Asiae, ubi littus in cornua Lunae curvari incipit, sita erat urbs Petra: littus, quod e regione est in parte Europae, obtinent Apsilii,

οἱ Ἀψίλιοι, ὥσπερ καὶ τἄλλα ξύμπαντα ἔθνη, ὧνπερ ἐπεμνήσθην ἐς τόδε τοῦ λόγου.

γ'. Ταύτης δὲ τῆς χώρας καθύπερθεν ὄρος τὸ Καυκάσιόν ἐστι. τοῦτο δὲ τὸ ὄρος, ὁ Καύκασος, ἐς τοσόνδε ὕψους ἀνέχει, ὥστε δὴ αὐτοῦ τῶν μὲν ὑπερβολῶν οὔτε ὄμβρους οὔτε νιφετοὺς ἐπιψαύειν ποτέ. τῶν γὰρ νεφελῶν αὐτὰς ἁπασῶν καθυπερτέρας ξυμβαίνει εἶναι. τὰ δὲ μέσα μέχρι τῶν ἐσχάτων χιόνων ἔμπλεα διηνεκῶς ἐστι. καὶ ἀπ' αὐτοῦ οἱ πρόποδες ὑψηλοὶ ἐς ἄγαν τυγχάνουσιν ὄντες, οὐδέν τι καταδεέστερον τῶν ἐν τοῖς ὄρεσι τοῖς ἄλλοις σκοπέλων. τῶν δὲ τοῦ Καυκασίου ὄρους προπόδων οἱ μὲν πρός τε βορρᾶν ἄνεμον καὶ ἥλιον δύοντα τεταμένοι ἔς τε Ἰλλυριοὺς καὶ Θρᾴκας διήκουσιν, οἱ δὲ πρὸς ἀνίσχοντα ἥλιον καὶ ἄνεμον νότον ἐς τὰς διεξόδους ἐξικνοῦνται αὐτὰς, αἳ τὰ τῇδε ᾠκημένα Οὐννικὰ ἔθνη ἐς γῆν τὴν τῶν Περσῶν καὶ Ῥωμαίων ἄγουσιν. ὧνπερ ἄτερα μὲν Τζοὺρ ἐπικέκληται, ἡ δὲ δὴ ἑτέρα πύλη ἐκ παλαιοῦ Κασπία ἐκλήθη. ταύτην δὲ τὴν χώραν, ἣ ἐξ ὄρους τοῦ Καυκασίου ἄχρι ἐς τὰς Κασπίας κατατείνει πύλας, Ἀλανοὶ ἔχουσιν, αὐτόνομον ἔθνος, οἳ δὴ καὶ Πέρσαις τὰ πολλὰ ξυμμαχοῦσιν, ἐπί τε Ῥωμαίους καὶ ἄλλους πολεμίους στρατεύουσι. τὰ μὲν οὖν ἀμφὶ τῷ ὄρει τῷ Καυκασίῳ ταύτῃ πη ἔχει.

Οὖννοι δὲ, οἱ καὶ Σάβειροι καλούμενοι, ἐνταῦθα ᾠκηνται καὶ ἀλλ' ἄττα Οὐννικὰ ἔθνη. ἐνθένδε μὲν τὰς Ἀμαζόνας

P 570

H 321

B

C

1. ἐπεμνήσθην] ἐμνήσθην Reg. 4. ὕψους] ὕψος Reg. 5. δὴ] δι' L. 6. νεφελῶν] νεφῶν H. 8. διηνεκῶς] διηνεκές Reg. 12. πρός τε ἀνίσχοντα L. 17. ἐξ ὄρους] ἐξόδους Reg. 22. καλούμενοι] ἐπικαλούμενοι Reg.

sub Lazorum dominatu a multo iam tempore Christiani, quemadmodum aliae nationes omnes, quarum modo mentionem feci.

3. Est ultra regionem hanc Caucasus: qui mons in tantam altitudinem surgit, ut nec pluvia, nec nix eius culmina contingant unquam, utpote quibusvis nubibus altiora. A medio ad imum plenus est assidua nive: infimaeque ipsius partes non minus quam summi aliorum montium scopuli sese attollunt: atque hae quidem Septentrioni Solique occidenti obversae, ad Illyricum ad Thraciam procurrunt: illae vero in Orientem ac Meridiem vergentes, ad Portas evadunt, quae Hunnos vicinos in Persarum ac Romanorum oras inducunt: Tzur altera, altera veteri nomine Caspia dicitur. Tractum illum, qui a monte Caucaso ad portas Caspias pertingit, Alani tenent, nullius imperio subditi, Persarum plerumque socii, et in Romanos caeterosque eorum hostes arma soliti ferre. Hactenus de Caucaso.

Ibi Hunni, quos Sabiros appellant, et aliae quaedam gentes Hunnicae habitant. Egressas inde Amazonas, et castra ad Themiscyrum,

ὡρμῆσθαί φασιν, ἀμφὶ δὲ τὸ Θεμίσκυρον καὶ ποταμὸν τὸν Θερμώδοντα ἐνστρατοπεδεύσασθαι, ἧπέρ μοι ἔναγχος εἴρηται, οὗ δὴ πόλις ἐν τῷ παρόντι Ἀμισός ἐστι. τανῦν δὲ οὐδαμῇ τῶν ἀμφὶ τὸ Καυκάσιον ὄρος χωρίων Ἀμαζόνων τις μνήμη ἢ ὄνομα διασώζεται, καίτοι καὶ Στράβωνι καὶ ἄλλοις τισὶ λόγοι ἀμφ' αὐταῖς πολλοὶ εἴρηνται. ἀλλά μοι δοκοῦσι μάλιστα πάντων τά γε κατὰ τὰς Ἀμαζόνας ξὺν τῷ ἀληθεῖ λόγῳ εἰπεῖν, ὅσοι ἔφασαν οὐ πώποτε γένος γυναικῶν ἀνδρεῖον γεγονέναι, οὐδὲ ὄρει μόνῳ τῷ Καυκασίῳ τὴν τῶν ἀνθρώπων φύσιν θεσμῶν τῶν οἰκείων ἐξίστασθαι, ἀλλὰ βαρβάρους ἐκ τῶνδε τῶν χωρίων στρατῷ μεγάλῳ ξὺν γυναιξὶ ταῖς αὐτῶν ἰδίαις ἐπὶ τὴν Ἀσίαν στρατεῦσαι, στρατόπεδόν τε ἀμφὶ ποταμὸν Θερμώδοντα ποιησαμένους ἐνταῦθα μὲν τὰς γυναῖκας ἀπολιπεῖν, αὐτοὺς δὲ γῆν τῆς Ἀσίας τὴν πολλὴν καταθέοντας, ἱππιντιασάντων σφίσι τῶν τῇδε ᾠκημένων, ἅπαντας ἐξ ἀνθρώπων ἀφανισθῆναι, οὐδένα τε αὐτῶν τὸ παράπαν ἐπανήκειν ἐς τῶν γυναικῶν τὸ χαράκωμα, καὶ τὸ λοιπὸν ταύτας δὴ τὰς γυναῖκας, δέει τε τῶν περιοίκων καὶ ἀπορίᾳ τῶν ἀναγκαίων ἀναγκασθείσας, τό τε ἀρρενωπὸν ἀμφιέσασθαι οὔ τι ἐθελουσίας καὶ ἀνελομένας τὴν πρὸς τῶν ἀνδρῶν ἐν τῷ στρατοπέδῳ ἀπολελειμμένην τῶν ὅπλων σκευὴν, καὶ ταύτῃ ἐξωπλισμένας ὡς ἄριστα ἔργα τὰ ἀνδρεῖα ξὺν ἀρετῇ ἐπιδείξασθαι, διωθουμένης ἐς τοῦτο αὐτὰς τῆς ἀνάγκης, ἕως δὴ ὑπάσαις διαφθαρῆναι ξυνέπεσε. ταῦτα δὲ ὧδέ πη γεγονέναι καὶ ξὺν τοῖς ἀνδράσι

1. Θεμίσκυρον] Θερίσκουρον Reg. ut p. 567 b. 3. Ἀμισός] ἀμισσός H. 8. ἀνδρεῖον] ἀνδρείων L. 10. στρατῷ] στρατεύματι Reg. 18. ἀναγκαίων] ἐπιτηδείων Reg. 20. ἐξωπλισμένας L. ἐξοπλισαμένας P.

fluviumque Thermodontem, ubi nunc est urbs Amisus, ut paulo ante dixi, metatas ferunt. Hodie in locis Caucaso circumiectis nec nomen restat Amazonum, nec memoria, quamvis multa de his Strabo aliique nonnulli commemorent. Eorum autem videtur mihi verisimillima de Amazonibus sententia, qui affirmarunt, virile mulierum genus nunquam extitisse, nec naturam hominum a suis descivisse legibus in uno monte Caucaso; sed ingentem Barbarorum exercitum cum uxoribus illinc profectum expeditionem in Asiam suscepisse, et castris ad amnem Thermodontem positis, relictisque ibi uxoribus, cum magnam Asiae partem percurrissent, ab incolis adversos se offerentibus, caesos ad internecionem, neque ad uxorem castra reversum quemquam fuisse: has deinde vicinine metu et victus penuria adactas, induisse virilem animum habitumque, repugnante licet ingenio; ac sumptis armis, quae in castris mariti reliquerant, optime instructas, virilia facinora forti pectore edidisse, eas ad id compellente necessitate, donec omnes interierunt. Haec ita

τὰς Ἀμαζόνας στρατεύσασθαι καὶ αὐτὸς οἶμαι, τεκμηριούμενος οἷς δὴ καὶ χρόνῳ τῷ κατ' ἐμὲ ξυνηνέχθη γενέσθαι. τὰ γὰρ ἐπιτηδεύματα μέχρι ἐς τοὺς ἀπογόνους παραπεμπόμενα τῶν προγεγενημένων τῆς φύσεως ἴνδαλμα γίνεται. Οὔννων τοίνυν κατα-
5 δραμόντων πολλάκις τὴν Ῥωμαίων ἀρχὴν, τοῖς τε ὑπαντιάσασιν ἐς χεῖρας ἐλθόντων, τινὰς μὲν αὐτῶν πεσεῖν ἐνταῦθα τετύχηκε, μετὰ δὲ τῶν βαρβάρων τὴν ἀναχώρησιν Ῥωμαῖοι διερευνώμενοι B τῶν πεπτωκότων τὰ σώματα καὶ γυναῖκας ἐν αὐτοῖς εὗρον. ἄλλο μέντοι γυναικῶν στράτευμα οὐδαμῇ τῆς Ἀσίας ἢ τῆς Εὐρώπης
10 ἐπιχωριάζον ἐφάνη. οὐ μὴν οὐδὲ τὰ Καυκάσια ὄρη ἀνδρῶν ἔρημα γεγενῆσθαι πώποτε ἀκοῇ ἴσμεν. περὶ μὲν οὖν τῶν Ἀμαζόνων τοσαῦτα εἰρήσθω.

Μετὰ δὲ Ἀψιλίους τε καὶ τοῦ μηνοειδοῦς τὴν ἑτέραν ἀρχὴν ἐς τὴν παραλίαν Ἀβασγοὶ ᾤκηνται, ἄχρι ἐς τὰ Καυκάσια
15 ὄρη διήκοντες. οἱ δὲ Ἀβασγοὶ Λαζῶν μὲν κατήκοοι ἐκ παλαιοῦ ἦσαν, ἄρχοντας δὲ ὁμογενεῖς δύο ἐς ἀεὶ εἶχον. ὧν ἄτερος μὲν ἐς τῆς χώρας τὰ πρὸς ἑσπέραν, ὁ δὲ δὴ ἕτερος ἐς τὰ πρὸς ἀνι- C σχοντα ἥλιον ἵδρυτο. οἱ δὲ βάρβαροι οὗτοι μέχρι μὲν καὶ ἐς ἐμὲ ἄλση τε καὶ ὕλας ἐσέβοντο. θεοὺς γὰρ τὰ δένδρα βαρβάρῳ τινὶ
20 ἀφελείᾳ ὑπώπτευον εἶναι. πρὸς δὲ τῶν ἐν σφίσιν ἀρχόντων τὰ δεινότατα διὰ φιλοχρηματίας μέγεθος ἔπασχον. ἄμφω γὰρ αὐτῶν οἱ βασιλεῖς, ὅσους ἂν παῖδας ἐν τούτῳ τῷ ἔθνει ἀγαθούς τε

1. στρατεύσασθαι] στρατεύεσθαι H. 2. τὰ γὰρ] τὰ δὲ H.
5. ἀρχὴν om. L. 7. τῶν βαρβάρων τὴν] τὴν τῶν βαρβάρων L.
17. τῆς χώρας τὰ] τὰς χώρας τὰς Reg. 18. ἵδρυτο L. ἵδρυντο P. *ibid.* καὶ om. L.

gesta, et Amazonas ad bellum viros secutas esse, ex iis coniicio, quae contigerunt aetate mea: siquidem progenitorum natura in studiis atque artibus elucet ad nepotes transmissis. Saepe igitur accidit, ut cum Hunni per Imperium Romanum grassarentur, collata cum obviis manu pars eorum occumberet. Post Barbarorum discessum, Romani caesorum cadavera inspicientes, in his feminas repererunt. Porro nec in Asia nec in Europa alius praeterea mulierum exercitus visus est, nec montes Caucasios viris unquam viduatos audivimus. Atque haec de Amazonibus dicta sunto.

Trans Apsilios alterumque lunati recessus caput, oram habent maritimam Abasgi, adusque Caucasum pertinentes. Olim Lazorum ditione comprehendebantur, sub geminis Principibus popularibus suis: quorum alter occiduam regionis partem obtinebat, alter orientalem. Hi Barbari ad meam aetatem lucos et silvas coluerunt, barbara simplicitate arbores in Deorum ducentes numero. Summa autem eorum Principum avaritia importunissime vexabantur: cum ambo ipsorum Reges, quoscunque cer-

τὴν ὄψιν καὶ τὸ σῶμα καλοὺς ἴδοιεν, τούτους δὴ ὀκνήσει οὐδε-
μιᾷ ἐκ τῶν γειναμένων ἀφλοντες εὐνούχους τε ἀπεργαζόμενοι
ἀπεδίδοντο ἐς τῶν Ῥωμαίων τὴν γῆν τοῖς ὠνεῖσθαι βουλομένοις
H 322 χρημάτων μεγάλων. τούς τε αὐτῶν πατέρας ἔκτεινον εὐθύς, τοῦ
D μὴ αὐτῶν τινας τίσασθαί ποτε τῆς ἐς τοὺς παῖδας ἀδικίας τὸν
βασιλέα ἐγχειρεῖν, μηδὲ ὑπόπτους αὐτοῖς τῶν κατηκόων τινὰς
ἐνταῦθα εἶναι. ἥ τε τῶν υἱέων εὐμορφία σφίσιν ἐς τὸν ὄλεθρον
ἀπεκρίνετο. διεφθείροντο γὰρ οἱ ταλαίπωροι, παίδων θανάσι-
μον δεδυστυχηκότες εὐπρέπειαν. καὶ ἀπ' αὐτοῦ τῶν ἐν Ῥωμαίοις
εὐνούχων οἱ πλεῖστοι καὶ οὐκ ἤκιστα ἐν τῇ βασιλέως αὐλῇ γένος
Ἄβασγοι ἐτύγχανον ὄντες. ἐπὶ τούτου δὲ Ἰουστινιανοῦ βασι-
λεύοντος ἅπαντα Ἄβασγοῖς ἐπὶ τὸ ἡμερώτερον τετύχηκε μεταμπί-
σχεσθαι. τά τε γὰρ Χριστιανῶν δόγματα εἵλοντο καὶ αὐτοῖς
Ἰουστινιανὸς βασιλεὺς τῶν τινα ἐκ παλατίου εὐνοῦχον στείλας,
Ἄβασγον γένος, Εὐφραντὰν ὄνομα, τοῖς αὐτῶν βασιλεῦσι διαρρή-
P 572 δην ἐπεῖπε μηδένα τὸ λοιπὸν ἐν τούτῳ τῷ ἔθνει τὴν ἀρρενωπίαν
ἀποψιλοῦσθαι, σιδήρῳ βιαζομένης τῆς φύσεως. ὃ δὴ ἄσμενοι
Ἄβασγοι ἤκουσαν. καὶ τῇ τοῦ Ῥωμαίων βασιλέως διατάξει θαρ-
ροῦντες ἤδη τὸ ἔργον τοῦτο σθένει παντὶ διεκώλυον. ἐδεδίει γὰρ
αὐτῶν ἕκαστος μή ποτε παιδίου πατὴρ εὐπρεποῦς γένηται. τότε
δὴ Ἰουστινιανὸς βασιλεὺς καὶ ἱερὸν τῆς Θεοτόκου ἐν Ἄβασγοις
οἰκοδομησάμενος, ἱερεῖς τε αὐτοῖς καταστησάμενος, διεπράξατο

4. τούς τε] τούτους τε L. *ibid.* ἔκτεινον] ἔθυον L. 8. θανάσιμον L. θανασίμην P. 10. καὶ οὐκ L. Aberat καί. 14. εὐνοῦχον] εὐνούχων L. 15. εὐφραντὰν Reg. εὐφράντην L. εὐφρατὰν HP. 18. διατάξει] ἐπιτάξει Reg.

nerent, in ea gente formoso vultu et corpore decenti pueros, nulla interposita mora ex complexu parentum eos abstraherent, et adempta virilitate, emere volentibus magno pretio venderent in Romano Imperio. Eorum patres de medio protinus tollebant: ne quorumdam ex eo numero querelis permotus Imperator, factam ipsorum filiis iniuriam ulcisci aggrederetur, nec subditorum quemquam apud se haberent suspectum. Itaque in eorum perniciem cedebat elegans filiorum forma, ac misere peribant, exitiali prolis pulchritudine infelices. Hinc fiebat, ut spadonum inter Romanos agentium plurimi, etiam in Aula Imperatoria, Abasgi natione essent. Nunc autem principe Iustiniano, omnia Abasgis in mitius meliusque conversa sunt. Nam et Christianam religionem amplexi sunt, et Iustinianus Augustus misso ad eos quodam ex Eunuchis Palatii, Abasgo genere, nomineque Euphrata, ipsorum Regibus diserte edixit, ne cui posthac in ea gente virilitatem exciderent, naturam ferro violante. Quae lubentibus animis acceperunt Abasgi, ac iam freti mandato Imperatoris Romani, id ne fieret totis viribus obstiterunt. Timebat enim quisque ne formosi filii pater fieret. Tum quoque Iustinianus Augustus

ἅπαντα αὐτοὺς ἤδη τῶν Χριστιανῶν ἐκδιδάσκεσθαι, τούς τε βασιλεῖς ἄμφω Ἀβασγοὶ καθελόντες αὐτίκα ἐν ἐλευθερίᾳ βιοτεύειν ἐδόκουν. ταῦτα μὲν οὖν τῇδε ἐχώρησε.

δ'. Μετὰ δὲ τοὺς Ἀβασγῶν ὄρους κατὰ μὲν τὸ ὄρος τὸ V 184
Καυκάσιον Βροῦχοι ᾤκηνται, Ἀβασγῶν τε καὶ Ἀλανῶν μεταξὺ ὄντες. κατὰ δὲ τὴν παραλίαν πόντου τοῦ Εὐξείνου Ζῆχοι ἵδρυνται. τοῖς δὲ δὴ Ζήχοις τὸ μὲν παλαιὸν ὁ Ῥωμαίων αὐτοκράτωρ βασιλέα καθίστη, τὸ δὲ νῦν οὐδ' ὁτιοῦν Ῥωμαίοις ἐπακούουσιν οἱ βάρβαροι οὗτοι. μετὰ δὲ αὐτοὺς Σαγίδαι μὲν οἰκοῦσι, μοῖραν δὲ αὐτῶν τῆς παραλίας Ῥωμαῖοι ἐκ παλαιοῦ ἔσχον. φρούριά τε δειμάμενοι ἐπιθαλασσίδια δύο, Σεβαστόπολίν τε καὶ Πιτυοῦντα, δυοῖν ἡμέραιν ὁδῷ ἀλλήλοιν διέχοντα, φρουρὰν ἐνταῦθα στρατιωτῶν τὸ ἐξ ἀρχῆς κατεστήσαντο. τὰ C
μὲν γὰρ πρότερα κατάλογοι Ῥωμαίων στρατιωτῶν ἐς τὰ ἐπὶ τῆς ἀκτῆς πάντα χωρία ἐκ τῶν Τραπεζοῦντος ὁρίων ἄχρι ἐς τοὺς Σαγίδας εἶχον, ἧπέρ μοι εἴρηται· νῦν δὲ μόνα τὰ δύο ταῦτα φρούρια ἐλέλειπτο σφίσιν, οὗ δὴ τὰ φυλακτήρια καὶ ἐς ἐμὲ εἶχον, ἐπειδὴ Χοσρόης, ὁ Περσῶν βασιλεύς, Λαζῶν αὐτὸν ἐπαγαγομένων ἐς τὴν Πέτραν στράτευμα Περσῶν ἐνταῦθα στέλλειν ἐν σπουδῇ ἔσχε, τούς τε τὰ φρούρια ταῦτα καθέξοντας καὶ καθιζησομένους ἐν τοῖς ἐνταῦθα φυλακτηρίοις. ἅπερ ἐπεὶ οἱ Ῥωμαίων στρατιῶται προμαθεῖν ἴσχυσαν, προτερήσαντες τάς τε D

3. ἐχώρησε] ἐχώρησαν H. 5. Ἀλανῶν] ἀλαμανῶν H. 6. Ζῆχοι — Ζήχοις] ζῆχοι — ζήχοις Reg. 7. δὴ addidi ex L. ibid. τὸ μὲν παλαιὸν] μὲν τὸ παλαιὸν P. κατὰ μὲν παλαιὸν L. 9. Σαγίδαι] σαγίναι H. σαγῆναι L. 15. Σαγίδας] σαγίνας HL. 17. καὶ ἐς L. Aberat καὶ. 18. ἐπειδὴ δὲ P. δὲ om. L. ibid. αὐτὸν] αὐτῶν L. 19. ἐς om. L. 20. ἔσχε] εἶχε Reg. 22. προμαθεῖν] προσμαθεῖν L. ibid. τάς τε] τε τὰς H.

Deiparae templum apud Abasgos condidit, ibique sacerdotibus constitutis, effecit ut ritus omnes Christianorum edocerentur. Mox Abasgi sublatis Regibus, vitam agere liberam visi sunt. Haec ibi sic processere.

4. Trans Abasgorum fines, ad montem Caucasum, habitant Bruchi, inter Abasgos Alanosque interiecti. Ponti Euxini littus Zecchi insederunt: quibus Regem olim dabat Romanus Imperator: nunc Romanis nulla in re parent hi Barbari. Ipsis ulterior est Sagidarum regio: cuius partem maritimam occuparant olim Romani, extructisque in littore castris geminis, Sebastopoli et Pityunte, bidui procul dissitis invicem, ibi militare praesidium ab initio constituerant. Quondam enim, ut dixi, oram omnem maritimam, a Trapezuntis limite ad Sagidas Romani milites tenebant. Ipsis deinde nihil reliquum fuit, praeter illa duo castra: ubi praesidium habuerunt ad aevum istud: quando Chosroës Persarum Rex a Lazis Petram deductus, contendit eo mittere copias Persicas, quae castra caperent, et stationariis munirent. At Romani milites, re praeco-

οἰκίας ἐνέπρησαν καὶ τὰ τείχη ἐς τὸ ἔδαφος καθελόντες ἔς τε τὰς ἀκάτους μελλήσει οὐδεμιᾷ ἐσβάντες ἐς ἤπειρον εὐθὺς τὴν ἀντιπέρας καὶ Τραπεζοῦντα πόλιν ἐχώρησαν, ζημιώσαντες μὲν τῇ τῶν φρουρίων διαφθορᾷ τὴν Ῥωμαίων ἀρχήν, κέρδος δὲ αὐτοὶ ποισάμενοι μέγα, ὅτι δὴ τῆς χώρας ἐγκρατεῖς οὐ γεγόνασιν οἱ πολέμιοι. ἄπρακτοι γὰρ ἀπ' αὐτοῦ ἐς τὴν Πέτραν ἀνέστρεφον Πέρσαι. ταῦτα μὲν οὖν τῇδε ξυνηνέχθη γενέσθαι.

Ὑπὲρ δὲ Σαγίδας Οὐννικὰ ἔθνη πολλὰ ἵδρυνται. τὸ δ' ἐντεῦθεν Εὐλυσία μὲν ἡ χώρα ὠνόμασται, βάρβαροι δὲ αὐτῆς
P 573 ἄνθρωποι τά τε παράλια καὶ τὸν μεσόγειον ἔχουσι, μέχρι ἐς τὴν Μαιῶτιν καλουμένην λίμνην καὶ ποταμὸν Τάναϊν, ὃς δὴ ἐς τὴν λίμνην ἐσβάλλει. αὕτη δὲ ἡ λίμνη ἐς τὴν ἀκτὴν πόντου τοῦ Εὐξείνου τὰς ἐκβολὰς ποιεῖται. ἄνθρωποι δέ, οἳ ταύτῃ ᾤκηνται, Κιμμέριοι μὲν τὸ παλαιὸν ὠνομάζοντο, ταυροῦ δὲ Οὐτούργουροι καλοῦνται. καὶ αὐτῶν καθύπερθεν ἐς βορρᾶν ἄνεμον ἔθνη τὰ Ἀντῶν ἄμετρα ἵδρυνται. παρὰ δὲ τὸν χῶρον αὐτὸν, ὅθεν ἡ τῆς λίμνης ἐκβολὴ ἄρχεται, Γότθοι οἱ Τετραξῖται καλούμενοι ᾤκηνται, οὐ πολλοὶ ὄντες, οἳ δὴ τὰ Χριστιανῶν νόμιμα σεβόμενοι περιστέλλουσιν οὐδενὸς ἧσσον. Τάναϊν δὲ καλοῦσιν οἱ ἐπιχώριοι καὶ τὴν ἐκβολὴν ταύτην, ἐκ λίμνης ἀρξαμένην τῆς
B Μαιώτιδος ἄχρι ἐς τὸν Εὔξεινον πόντον, ἤπερ διήκει ἐς ὁδὸν ἡμερῶν, ὥς φασιν, εἴκοσιν. ἀλλὰ καὶ τὸν ἄνεμον, ὃς ἐνθένδε

8. Τὴν] ὕπερθεν Reg. *ibid.* Σαγίδας] σαγίνας HL. 16. Ἀντῶν] ἄντων H. 17. Τετραξῖται] τραπεζῖται H, et infra. 20. ἀρξαμένην] ἀρξάμενοι L.

gùita, aste earum adventum, incenderunt domos, ac sine mora conscensis scaphis in adversam continentem Trapezuntemque urbem celeriter evaserunt; castrorum iactura, quam Romanum Imperium fecit, magno hoc pensata lucro, quod illa regio in potestatem hostium minime venit: Persae enim re infecta indo Petram reversi sunt. Atque haec ita se habuerunt.

Ultra Sagidas, aiti sunt varii Hunnorum populi. Regio sequitur, quam appellant Eulysiam. Huius incolae Barbari qua maris littus, qua tractum mediterraneum obtinent, ad paludem usque Maeotim Tanaimque fluvium exonerantem se in eam paludem. Palus autem in Ponti Euxini littus evolvitur. Qui illic habitant, Clmmerii dicti olim, iam vocantur Uturguri. Ulteriora ad Septentrionem habent Antarum populi infiniti. Ubi se primum aperit alveus, quo palus effunditur, degunt Gotthi, Tetraxitae cognomine, qui quamvis pauci numero, nihilominus Christianorum leges et instituta religiose servant. Tanaim etiam vocant indigenae illum alveum, qui a palude Maeotide ad Pontum Euxinum pertinet, itinere, ut aiunt, diarum viginti. Quin et ventum, qui inde spirat, Ta-

πνεῖ, Ταναΐτην προσαγορεύουσιν. εἴτε δὲ τῆς Ἀρείου δόξης ἐγένοντό ποτε οἱ Γότθοι οὗτοι, ὥσπερ καὶ τὰ ἄλλα Γοτθικὰ H 323
ἔθνη, εἴτε καὶ ἄλλο τι ἀμφὶ τῇ δόξῃ αὐτοῖς ἤσκητο, οὐκ ἔχω εἰπεῖν, ἐπεὶ οὐδὲ αὐτοὶ ἴσασιν, ἀλλ' ἀφελείᾳ τε τανῦν καὶ ἀπραγμοσύνῃ πολλῇ τιμῶσι τὴν δόξαν. οὗτοι ὀλίγῳ πρότερον (λέγω δὲ, ἡνίκα πρῶτόν τε καὶ εἰκοστὸν ἔτος Ἰουστινιανὸς βασιλεὺς τὴν αὐτοκράτορα εἶχεν ἀρχὴν) πρέσβεις τέτταρας ἐς Βυζάντιον ἔπεμψαν, ἐπίσκοπον σφίσι τινὰ δεόμενοι δοῦναι· ἐπεὶ ὅστις μὲν αὐτοῖς ἱερεὺς ἦν, τετελευτήκει οὐ πολλῷ πρότερον, ἔγνωσαν δὲ ὡς καὶ Ἀβασγοῖς ἱερέα βασιλεὺς πέμψειε καὶ αὐτοῖς προθυμότατα C
Ἰουστινιανὸς βασιλεὺς ἐπιτελῆ ποιήσας τὴν δέησιν ἀπεπέμψατο. οἱ δὲ πρέσβεις οὗτοι δέει Οὔννων τῶν Οὐτουργούρων ἐς μὲν τὸ ἐμφανὲς, αὐτηκόων πολλῶν ὄντων, ἀποστοματίζοντες ὅτου δὴ ἕνεκα ἥκοιεν, ἄλλο οὐδὲν ὅτι μὴ τὰ ἀμφὶ τῷ ἱερεῖ βασιλεῖ ἤγγειλαν, ὡς λαθραιότατά τε ξυγγενόμενοι ἅπαντα φράζουσιν, ὅσα V 185
ξυνοίσειν τῇ Ῥωμαίων ἀρχῇ ἔμελλε, ξυγκρουομένων ἐς ἀλλήλους ἀεὶ τῶν σφίσι προσοίκων βαρβάρων. ὄντινα δὲ τρόπον οἱ Τετραξῖται καὶ ὅθεν ἀναστάντες ἐνταῦθα ἱδρύσαντο, ἐρῶν ἔρχομαι.

ε'. Πάλαι μὲν Οὔννων, τῶν τότε Κιμμερίων καλουμένων, πολύς τε ὅμιλος τὰ χωρία ταῦτα ἐνέμοντο, ὧν ἄρτι ἐμνήσθην, βασιλεύς τε εἷς ἅπασιν ἐφειστήκει. καί ποτέ τις αὐτῶν P 574

3. ἤσκητο] ἠσκεῖτο Reg. et H. ἤσκητο Hm. 4. ἀλλ' ἀφελείᾳ] PLm. ἀλλὰ φιλία HL. 7. αὐτοκράτορα εἶχεν ἀρχὴν Reg. αὐτοκρατορίαν εἶχε P. 10. πέμψειε Reg. ἔπεμψε P. 12. οὐτουγούρων L. 14. ἤγγειλαν] ἤνεγκαν L. 16. ξυνοίσειν] συνοίσειν L. 20. „πολύς τε] Fragmentum Pithoei πολύς τις." Malt. Sic L.

naitem appellant. An vero Arii sectam Gothi isti, quemadmodum caeterae gentes Gothicae, aliamve secuti unquam fuerint, affirmare nequeo, quando nec ipsi id sciunt, sed iam pietate admodum credula simpliciique religionem colunt. Haud pridem, nimirum anno vigesimo primo Imperii Iustiniani Augusti Legatos quatuor Byzantium miserunt, rogantes ut Antistite suo recens mortuo, aliquem sibi Episcopum daret. Audierant enim destinatum ab Imperatore fuisse Praesulem ad Abasgos. Eorum petitioni lubentissime concedens Iustinianus Augustus ipsos remisit. Cum vero Hunnos Uturguros hi Legati metuerent, palam quidem ac multis audientibus, legationis causam exponentes, de Praesule tantum mentionem fecerant Imperatori: at in arcano intimoque colloquio utilitates omnes declaraverant, quas Imperium Romanum capturum esset, si discordia inter vicinos sibi Barbaros aleretur. Quo demum pacto atque unde profecti Tetraxitae sedes ibi fixerint, iamiam dicturus sum.

5. Quae loca proxime memoravi, ea colebat olim multitudo ingens Hunnorum, qui tunc Cimmerii vocabantur, unique omnes Regi parebant. Aliquando his quidam praefuit, cui duo erant filii; Uturgur alter

τὴν ἀρχὴν ἔσχεν, ᾧ δὴ παῖδες ἐγένοντο δύο, ἄτερος μὲν Οὐτουργοὺρ ὄνομα, Κοντουργοὺρ δὲ ὁ ἕτερος. οἵπερ, ἐπειδὴ αὐτοῖν ὁ πατὴρ τὸν βίον ξυνεμετρήσατο, τήν τε ἀρχὴν ἄμφω ἐν σφίσιν αὐτοῖς διεδάσαντο καὶ τὴν ἐπωνυμίαν τοῖς ἀρχομένοις αὐτοῖς ἔδοσαν. οἱ μὲν γὰρ Οὐτούργουροι, οἱ δὲ Κοντούργουροι καὶ ἐς
B ἐμὲ ὀνομάζονται. οὗτοι μὲν ἅπαντες τῇδε ᾤκηντο, κοινὰ μὲν τὰ ἐπιτηδεύματα ξύμπαντα ἔχοντες, οὐκ ἐπιμιγνύμενοι δὲ ἀνθρώποις, οἳ δὴ τῆς τε λίμνης καὶ τῆς ἐνθένδε ἐκροῆς ἐς τὰ ἐπὶ θάτερα ἵδρυντο· ἐπεὶ οὔτε διέβαινόν ποτε τὰ ὕδατα ταῦτα οὔτε διαβατὰ εἶναι ὑπώπτευον, πρὸς τὰ εὐκολώτατα περίφοβοι ὄντες, τῷ μηδὲ ἀποπειράσασθαι αὐτῶν πώποτε, ἀλλ' ἀμελέτητοι τῆς διαβάσεως παντάπασιν εἶναι. λίμνην δὲ τὴν Μαιῶτιν καὶ τὴν ἐξ αὐτῆς ἐκβολὴν ὑπερβάντι εὐθὺς μὲν ἐς αὐτήν που τὴν ταύτης ἀκτὴν οἱ Τετραξῖται καλούμενοι Γότθοι τὸ παλαιὸν ᾤκηντο, ὧν
C ἐπεμνήσθην ἀρτίως· πολλῷ δὲ ἄποθεν Γότθοι τε καὶ Οὐισίγοτθοι καὶ Βανδίλοι καὶ τὰ ἄλλα Γοτθικὰ γένη ξύμπαντα ἵδρυντο. οἳ δὴ καὶ Σκύθαι ἐν τοῖς ἄνω χρόνοις ἐπεκαλοῦντο, ἐπεὶ πάντα τὰ ἔθνη, ἅπερ τὰ ἐκείνῃ χωρία εἶχον, Σκυθικὰ μὲν ἐπὶ κοινῆς ὀνομάζεται, ἔνιοι δὲ αὐτῶν Σαυρομάται ἢ Μελάγχλαινοι, ἢ ἄλλο τι ἐπεκαλοῦντο. προϊόντος δὲ τοῦ χρόνου φασὶν, εἴπερ ὁ λόγος ὑγιής ἐστι, τῶν μὲν Κιμμερίων νεανίας τινὰς ἐν κυνηγεσίῳ δια-

1. *Οὐτουργοὺρ*] *οὐτουγοὺρ* L. *οὐτιγοὺρ* Pm. 2. *Κοντουργοὺρ*] *κοντριγοὺρ* L. *ibid. αὐτοῖν* Reg. *αὐτοῖς* P. 3. *συμμετρήσατο* L. *ibid. ἐν σφίσιν* PLm. *ἐν* om. H. *ἐς σφίσιν* L. 4. *διεδάσαντο*] *διεσάσαντο* H. 5. *οὐτίγουροι, οἱ δὲ κουτρήγουροι* L. 6. *ᾤκηντο*] *ᾤκηνται* H. 9. *ἵδρυντο*] *ἵδρυνται* L. 15. *πολλῷ*] *πολλοὶ* H. *ibid. δὲ αὐτῶν ἄποθεν* L. 16. *ἵδρυντο*] *ᾤκηντο* Reg.

nomine, alter Cuturgur. Patre mortuo, regnum inter se ambo partiti, de suo nomine dixere subditos: inde alii Uturguri etiamnum, alii Cuturguri appellantur. Ibi omnes degebant, iisdem plane institutis utentes, nihilque habentes commercii cum populis trans paludem eiusque fauces habitantibus; cum eas aquas nec traiecissent unquam, nec traiici posse existimarent, rem facillimam ideo reformidantes, quod ipsis esset hactenus intentata, neglecto penitus transitu. Ut quis paludem eiusque meatum superavit, in ipso statim littore antiquas intrat sedes Gotthorum Tetraxitarum, de quibus modo memini. Hinc longius siti erant Gotthi, Visigotthi, Vandali, aliique omnes populi Gotthici: qui et Scythae quondam nominabantur, communi utique illarum partium gentibus appellatione: in quibus erant, qui Sauromatarum, vel Melanchlaenorum, aliove quopiam peculiari cognomento gauderent. Procedente tempore, ferunt, (si vera est fama) adolescentes quosdam Cimmerios venationi deditos,

τριβὴν ἔχειν, ἔλαφον δὲ μίαν πρὸς αὐτῶν φεύγουσαν ἐς τὰ ὕδατα ἐσπηδῆσαι ταῦτα. τούς τε νεανίας, εἴτε φιλοτιμίᾳ εἴτε φιλονει- D
κίᾳ τινὶ ἐχομένους, ἢ καί τι αὐτοὺς δαιμόνιον κατηνάγκασε, τῇ ἐλάφῳ ἐπισπέσθαι ταύτῃ, μηχανῇ τε αὐτῆς μεθίεσθαι οὐδεμιᾷ,
5 ἕως ξὺν αὐτῇ ἐς τὴν ἀντιπέρας ἀκτὴν ἵκοντο. καὶ τὸ μὲν διωκόμενον ὅ τι ποτ' ἦν εὐθὺς ἀφανισθῆναι· (δοκεῖ γάρ μοι ὡς οὐδὲ ἄλλου του ἕνεκα ἐνταῦθα ἐφάνη, ὅτι μὴ τοῦ γενέσθαι κακῶς τοῖς τῇδε ᾠκημένοις βαρβάροις) τοὺς δὲ νεανίας τοῦ μὲν κυνηγεσίου ἀποτυχεῖν, μάχης δὲ ἀφορμὴν καὶ λείας εὑρέσθαι.
10 ἐς ἦθη γὰρ τὰ πάτρια ὅτι τάχιστα ἐπανήκοντες ἔκθηλα πᾶσι Κιμ- P 575
μερίοις πεποίηνται ὅτι δὴ ταύτῃ βατὰ σφίσι τὰ ὕδατα εἴη. ἀνελόμενοι οὖν αὐτίκα τὰ ὅπλα πανδημεί τε διαβάντες ἐγένοντο μελλήσει οὐδεμιᾷ ἐν τῇ ἀντιπέρας ἠπείρῳ, Βανδίλων μὲν ἤδη ἐνθένδε ἀναστάντων ἐπί τε Λιβύης ἱδρυσαμένων, ἐν Ἱσπανίᾳ δὲ
15 Οὐισιγότθων οἰκησαμένων. Γότθοις οὖν τοῖς ἐς τὰ τῇδε ᾠκημένοις πεδία ἐξαπιναίως ἐπιπεσόντες πολλοὺς μὲν ἔκτειναν, τοὺς δὲ λοιποὺς ἐτρέψαντο ἅπαντας. ὅσοι τε αὐτῶν διαφυγεῖν ἴσχυσαν, ξὺν παισί τε καὶ γυναιξὶν ἐνθένδε ἀναστάντες ἀπέλιπον μὲν τὰ πάτρια ἤθη, διαπορθμευσάμενοι δὲ ποταμὸν Ἴστρον ἐν γῇ
20 τῇ Ῥωμαίων ἐγένοντο. καὶ πολλὰ μὲν τοὺς ταύτῃ ᾠκημένους δεινὰ ἔδρασαν, μετὰ δὲ δόντος βασιλέως ᾠκήσαντο ἐς τὰ ἐπὶ B
Θρᾴκης χωρία, καὶ τὰ μὲν ξυνεμάχουν Ῥωμαίοις, τάς τε ξυν-

3. δαιμόνιον αὐτοὺς L. 4. μεθίεσθαι αὐτῆς L. 5. αὐτῇ] αὐτοῖς L. 6. ὡς om. L. 7. „μὴ τοῦ Pith.“ Malt. Aberat τοῦ. 10. ἔκθηλα Reg. ἔνθηλα P. 15. γότθων οὖν τῶν ἐς τὰ τῇδε ᾠκημένων Reg. 17. αὐτῶν] αὐτοὺς Pith. et L. 20. τοὺς — ᾠκημένους] τοῖς — ᾠκημένοις H. 21. ᾠκήσαντο Reg. ᾤκησαν P. 22. Θρᾴκης] τραπέζης H. ibid. ξυντάξεις] συντάξεις L.

cum cerva, quam agitabant, in aquas illas insiluisset, eam secutos esse, sive laudis ac victoriae studio, sive divino quodam instinctu: nec destitisse, donec ad littus oppositum cum illa pervenissent: atque id quidem quodcunque demum fuerit quod insectabantur, repente evanuisse, eo tantum, credo, obiectum oculis, ut positis ibi Barbaris oriretur calamitas: adolescentes vero venationis consilio fraudatos, pugnae praedaeque opportunitatem nactos esse. Mox enim reversi in patriam, Cimmeriis omnibus significarunt, illic aquas vado transiri posse. Itaque sumptis confestim armis, cum omnibus copiis transgressi in adversam continentem evaserunt, cum inde egressi Vandali in Africa, et Visigotthi in Hispania iam habitarent. Tum Gotthos, qui regionis illius campos incolebant, adorti inopinato, multis caesis, reliquos omnes in fugam agunt. Quicumque elapsi sunt, inde cum liberis et uxoribus migrantes, liqueront patriam, traiectoque Istro flumine, in Romanorum fines se intulere. Ubi cum graviter incolas vexarent, sedes in Thracia ab Imperatore sibi

H 324 τάξεως ὥσπερ οἱ ἄλλοι στρατιῶται πρὸς βασιλέως κομιζόμενοι ἀνὰ
πᾶν ἔτος καὶ φοιδερᾶτοι ἐπικληθέντες· (οὕτω γὰρ αὐτοὺς τῇ
V 186 Λατίνων φωνῇ ἐκάλεσαν Ῥωμαῖοι, ἐκεῖνο, οἶμαι, παραδηλοῦν-
τες, ὅτι δὴ οὐχ ἡσσημένοι αὐτῶν τῷ πολέμῳ Γότθοι, ἀλλ' ἐπὶ
ξυνθήκαις τισὶν ἔνσπονδοι ἐγένοντο σφίσι. φοίδερα γὰρ Λατῖ-
νοι τὰς ἐν πολέμῳ καλοῦσι ξυνθήκας, ἤπερ μοι ἐν τοῖς ἔμπρο-
σθεν δεδήλωται λόγοις) τὰ δὲ καὶ πόλεμον πρὸς αὐτοὺς διέφερον
C οὐδενὶ λόγῳ, ἕως ᾤχοντο ἀπιόντες ἐς Ἰταλίαν, Θευδερίχου ἡγου-
μένου σφίσι. τὰ μὲν οὖν τῶν Γότθων τῇδε κεχώρηκεν.

Οὖννοι δὲ αὐτῶν τοὺς μὲν κτείναντες, τοὺς δὲ, ὥσπερ ἐρ-
ρήθη, ἐξαναστήσαντες τὴν χώραν ἔσχον. καὶ αὐτῶν Κουτούρ-
γουροι μὲν παῖδάς τε καὶ γυναῖκας μεταπεμψάμενοι ἐνταῦθα
ἱδρύσαντο, οὗ δὴ καὶ ἐς ἐμὲ ᾤκηνται. καὶ δῶρα μὲν πολλὰ πρὸς
βασιλέως ἀνὰ πᾶν ἔτος κομίζονται, καὶ ὡς δὴ διαβαίνοντες ποτα-
μὸν Ἴστρον καταθέουσιν ἐς ἀεὶ τὴν βασιλέως χώραν, ἔνσπονδοί
τε καὶ πολέμιοι Ῥωμαίοις ὄντες. Οὐτούργουροι δὲ ξὺν τῷ ἡγου-
D μένῳ ἐπ' οἴκου ἀπεκομίζοντο, μόνοι τὸ λοιπὸν ἐνταῦθα καθιζη-
σόμενοι. οἵπερ ἐπειδὴ λίμνης τῆς Μαιώτιδος ἀγχοῦ ἐγένοντο,
Γότθοις ἐνταῦθα τοῖς Τετραξίταις καλουμένοις ἐνέτυχον. καὶ
τὰ πρῶτα φραξάμενοι ταῖς ἀσπίσιν οἱ Γότθοι ἀντικρὺ τοῖς ἐπιοῦ-
σιν ὡς ἀμυνόμενοι ἔστησαν, σθένει τε τῷ σφετέρῳ καὶ χωρίου

2. τῇ Λατίνων] τότε λατίνων L. 10. ὥσπερ] ὅπερ Reg. *ibid.* ἐρρήθη Reg. ἐρρέθη P. 11. Κουτούργουροι] κουτρίγουροι Hl. 14. κομίζονται] κομίζουσι Reg. *ibid.* ὡς δὴ om. L. 16. Οὐτούργουροι] οὐτίγουροι L, quod ex Pith. affert Malt.

concessas occupaverunt. Ac partim quidem sociis iuvabant armis Romanos, annua, sicut caeteri milites, ab Imperatore accipientes stipendia, ac donati nomine Foederatorum. (Hoc enim Latino vocabulo affecerunt illos Romani; id, opinor, innuentes, non bello a se domitos Gothos, at certis pactionibus assumptos in societatem fuisse: siquidem pactiones, quae in bello fiunt, appellant Latini Foedera, ut in Libris superioribus dixi.) Alii vero bellum ipsis inferebant, nulla iniuria lacessiti, donec in Italiam commigrarunt, Theoderico duce. Hunc cursum habuere Gotthorum res.

Illis partim vita, partim patria expulsis, ut dictum est, regio in potestate Hunnorum fuit, atque illic Cuturguri, accitis liberis et uxoribus, consederunt: ubi etiamnum habitant, et quamvis multa singulis annis ab Imperatore dono accipiant, haud tamen absistunt eius provincias, transito Istro flumine, incursare, Romanorum simul socii, simul hostes. Uturguri cum suo Principe revertentes in patriam, ut eam deinceps tenerent soli, cum ad paludem Maeotidem accessissent, in Gothos Tetraxitas inciderunt. Ac primo quidem Gothi, muniti clypeis, stetere contra, ut impetum prohiberent, cum suis viribus tum loci firmitate

ἰσχύϊ θαρσοῦντες· αὐτοὶ γὰρ ἀλκιμώτατοί εἰσι τῶν τῇδε βαρβάρων. καὶ ἡ πρώτη τῆς Μαιώτιδος ἐκροή, οὗ δὴ τότε οἱ Τετραξῖται Γότθοι ἵδρυντο, ἐν κόλπῳ ξυνιοῦσα μηνοειδεῖ, περιβαλοῦσά τε αὐτοὺς ἐκ τοῦ ἐπὶ πλεῖστον, μίαν ἐπ' αὐτοὺς εἴσοδον οὐ λίαν εὐρεῖαν τοῖς ἐπιοῦσι παρείχετο. ὕστερον δὲ (οὔτε γὰρ Οὖννοι χρόνον τινὰ τρίβεσθαι σφίσιν ἐνταῦθα ἤθελον, οἵ τε Γότθοι τῷ τῶν πολεμίων ὁμίλῳ ἐπὶ πολὺ ἀνθέξειν οὐδαμῇ ἤλπιζον) ἐς λόγους ἀλλήλοις ξυνίασιν, ἐφ' ᾧ ἀναμιχθέντες κοινῇ ποιήσονται τὴν διάβασιν, καὶ οἱ Γότθοι ἱδρύσονται μὲν ἐν τῇ ἀντιπέρας ἠπείρῳ παρ' αὐτὴν τῆς ἐκβολῆς μάλιστα τὴν ἀκτήν, ἵνα δὴ καὶ ταχὺ ἵδρυνται, φίλοι δὲ καὶ ξύμμαχοι τὸ λοιπὸν Οὐτουργούροις ὄντες ἐπὶ τῇ ἴσῃ καὶ ὁμοίᾳ σφίσιν ἐνταῦθα βιώσονται τὸν πάντα αἰῶνα. οὕτω μὲν οὖν οἵδε οἱ Γότθοι τῇδε ἱδρύσαντο καὶ τῶν Κουτουργούρων, ὥσπερ μοι εἴρηται, ἀπολειμμένων ἐν τῇ γῇ ἐπὶ θάτερα τῆς λίμνης οὔσῃ μόνοι Οὐτούργουροι τὴν χώραν ἔσχον, πράγματα Ῥωμαίοις ὡς ἥκιστα παρέχόμενοι, ἐπεὶ οὐδὲ αὐτῶν ἄγχιστα ᾤκηνται, ἀλλ' ἔθνεσι πολλοῖς διειργόμενοι μεταξὺ οὖσιν ἀκουσίῳ ἀπραγμοσύνῃ ἐς αὐτοὺς ἔχονται.

P 576

B

Ὑπερβάντι δὲ λίμνην τε τὴν Μαιώτιδα καὶ ποταμὸν Τάναϊν ἐπὶ πλεῖστον μὲν τῶν τῇδε πεδίων Κουτούργουροι Οὖννοι, ᾗπέρ μοι ἐρρήθη, ᾠκήσαντο· μετὰ δὲ αὐτοὺς Σκύθαι τε καὶ

1. εἰσι] ἁπάντων εἰσὶ Reg. ibid. τῇδε om. Reg. 8. ἵδρυντο] ἵδρυνται Reg. 7. τῷ om. L. 12. οὐτιγούροις Reg. 14. κουτριγούρων HL. 15. οὐτίγουροι HL. 21. κουτρίγουροι Reg.

freti. Nam et Barbarorum, qui in illis partibus degunt, ipsi fortissimi sunt; et Maeotis, ubi in Pontum illabi incipit, quo in loco agebant tunc Tetraxitae, lunatum sinum efficiens, ac fere undique eos ambiens, eo venientibus unum, eumque haud adeo latum aditum dabat. Dein tamen, cum neque Hunni tempus ibi terere vellent, neque hostium multitudini se restituros Gotthi sperarent, colloquio habito, convenit, ut permisti una traiicerent, et Gotthi fixis in opposita continente sedibus ad littus alvei quo palus influit, ubi hodieque habitant, amici in posterum socique Uturgurorum, pari cum ipsis iure semper viverent. Sic igitur Gotthi isti domicilia ibi collocarunt, et Cuturguris, ut dixi, trans paludem relictis, soli Uturguri oras patrias retinuerunt, Romanis nihil negotii facessentes. Cum enim non sint eorum accolae, sed multis interpositis gentibus discludantur, inviti vim ab illis abstinent.

Ultra paludem Maeotidem fluviumque Tanaim, Hunni Cuturguri camporum aequora, ut modo dicebam, longe ac late insederunt. Post a Scythis et Tauris tenetur omnis illa regio, cuius pars etiamnum Tau-

Ταῦροι ξύμπασαν ἔχουσι τὴν ταύτῃ χώραν, ἥσπερ μοῖρά τις Ταυρικὴ καὶ νῦν ἐπικαλεῖται, ἵνα δὴ καὶ τῆς Ἀρτέμιδος τὸν νεὼν γεγονέναι φασὶν, οὗπέρ ποτε ἡ τοῦ Ἀγαμέμνονος Ἰφιγένεια προὔστη. καίτοι Ἀρμένιοι ἐν τῇ παρ' αὐτοῖς Ἀκιλισηνῇ καλου-
C μένῃ χώρᾳ τὸν νεὼν τοῦτον γεγονέναι φασὶ καὶ Σκύθας τηνι-
κάδε ξύμπαντας καλεῖσθαι τοὺς ἐνταῦθα ἀνθρώπους, τεκμηριού-
μενοι τοῖς ἀμφί τε Ὀρέστῃ καὶ πόλει Κομάνῃ δεδιηγημένοις μοι ἐς ἐκεῖνο τοῦ λόγου. ἀλλὰ περὶ μὲν τούτων λεγέτω ἕκαστος ὅς πῃ αὐτῷ βουλομένῳ ἐστί· πολλὰ γὰρ τῶν ἑτέρωθι γεγενημένων, ἴσως δὲ καὶ οὐδαμῇ ξυμπεπτωκότων, ἄνθρωποι προσποιεῖσθαι φιλοῦσιν ἐς πάτρια ἤθη, ἀγανακτοῦντες, ἢν μὴ τῇ δοκήσει τῇ αὐτῶν ἅπαντες ἔπωνται. μετὰ δὲ τὰ ἔθνη ταῦτα πόλις θαλασσία οἰκεῖται, Βόσπορος ὄνομα καὶ Ῥωμαίων κατήκοος γενομένη οὐ πολλῷ πρότερον. ἐκ δὲ Βοσπόρου πόλεως ἐς πόλιν Χερσῶνα ἰόντι, ἣ κεῖται μὲν ἐν τῇ παραλίᾳ, Ῥωμαίων δὲ καὶ αὐτὴ κατή-
D κοος ἐκ παλαιοῦ ἐστι, βάρβαροι, Οὐννικὰ ἔθνη, τὰ μεταξὺ ἅπαντα ἔχουσι. καὶ ἄλλα δὲ πολίσματα δύο ἀγχοῦ Χερσῶνος, Κῆποί τε καὶ Φανάγουρις καλούμενα, Ῥωμαίων κατήκοα ἐκ παλαιοῦ τε καὶ ἐς ἐμὲ ἦν. ἅπερ οὐ πολλῷ ἔμπροσθεν βαρβάρων
V 187 τῶν πλησιοχώρων ἑλθόντες τινὲς ἐς ἔδαφος καθεῖλον. ἐκ δὲ

1. ἥσπερ μοῖρά τις] ἧπερ μοῖρά τις H. ἥσπερ σειρά τις L. ἥσπερ σειρά τις Lm. 3. φασὶν] φησὶν L. ibid. οὗπερ] ἧπερ L. 4. Ἀκιλισηνῇ] κελεσηνῇ H. Ἐκιλεσηνὴ scribitur vol. I. p. 83. 84. In L verba Ἀρμένιοι — καλουμένῃ exciderunt. 5. χώρᾳ] σκύθας τε τῇ χώρᾳ L. ibid. καὶ Σκύθας] σκύθας τε L. 11. ἐς πάτρια] ὡς πάτρια Lm. 12. ἕπωνται] ἕκονται L. 13. καὶ om. L. 18. Φανάγουρις] φανούγουρις H. 20. ἑλθόντες L. ἐλόντες P.

rica dicitur: ubi Dianae templum fuisse perhibent, cui quondam Iphigenia Agamemnonis filia praefuit. Etsi Armenii Acilisenae suae (regionis id nomen est) fanum illud vendicant: ac praeterquam quod Scytharum appellationem omnibus earum partium incolis communem olim fuisse contendunt, praeterea coniecturam iis firmant, quae de Oreste et urbe Comana memoravi, cum eo loci me deduxit historia. At de his arbitratu quisque suo pronuntiet. Etenim sic sunt homines: multa, quae alibi, vel forte etiam nusquam contigerunt, arrogare patriae suae gaudent, graviter ferentes, nisi sententiam ipsorum omnes sequantur. Post eas gentes, urbs est maritima Bosporus, quae ante aliquot annos ad Romanam ditionem accessit. Ab urbe Bosporo ad urbem Chersonem, sitam in maris littore, et Romanis iam inde olim subditam, habent Barbari, utique Hunni, quidquid interiacet. Chersoni vicina sunt duo oppida, Cepi atque Phanaguris; quae cum ab longinquo aevo ad nostram memoriam Romanis paruissent, non ita pridem a finitimis Barbaris capta, ac

Χερσῶνος πόλεως ἐς τὰς ἐκβολὰς ποταμοῦ Ἴστρου, ὃν καὶ Δανούβιον καλοῦσιν, ὁδὸς μέν ἐστιν ἡμερῶν δέκα, βάρβαροι δὲ τὰ ἐκείνῃ ξύμπαντα ἔχουσιν. Ἴστρος δὲ ποταμὸς ἐξ ὀρέων μὲν τῶν Κελτικῶν ῥεῖ, περιὼν δὲ τὰς τῆς Ἰταλίας ἐσχατιάς, φερόμενός τε ἐπὶ τὰ Δακῶν καὶ Ἰλλυριῶν καὶ τὰ ἐπὶ Θρᾴκης χωρία, ἐκβάλλει ἐς τὸν Εὔξεινον πόντον. τὰ δὲ ἐνθένδε ἅπαντα μέχρι ἐς Βυζάντιον τοῦ Ῥωμαίων βασιλέως τυγχάνει ὄντα. ἡ μὲν οὖν τοῦ Εὐξείνου πόντου περίοδος ἐκ Καλχηδόνος μέχρι ἐς Βυζάντιον ταύτῃ πη ἔχει. ἐς ὅσον δὲ ἡ περίοδος ἥδε διήκει, ἅπαν μὲν ἐς τὸ ἀκριβὲς οὐκ ἔχω εἰπεῖν, βαρβάρων, ὥσπερ μοι ἐρρήθη, ᾠκημένων ἐνταῦθα τοσούτων τὸ πλῆθος, ἐπιμιξίας τε Ῥωμαίοις παρ' αὐτῶν τινος, ὅτι μὴ ὅσα κατὰ πρεσβείαν, ἴσως οὐδεμιᾶς οὔσης· ἐπεὶ οὐδὲ τοῖς πρότερον ταῦτα ἐγκεχειρηκόσι διαμετρήσασθαι ἐς τὸ ἀκριβές τι ξυμβαίνει εἰρῆσθαι. ἐκεῖνο μέντοι διαφανές ἐστιν, ὡς πόντου τοῦ Εὐξείνου τὰ ἐν δεξιᾷ εἴη ἂν ἐκ Καλχηδόνος ἐς ποταμὸν Φᾶσιν δυοῖν καὶ πεντήκοντα ὁδὸς ἡμερῶν εὐζώνῳ ἀνδρί· ᾧ δὴ οὐκ ἄπο τρόπου τεκμηριούμενος φαίη ἄν τις καὶ τὴν ἑτέραν τοῦ πόντου μοῖραν μέτρου τοῦδε εἶναι οὐ πολλῷ ἄποθεν.

ς'. Ἐπειδὴ δὲ ἀφικόμεθα ἐνταῦθα τοῦ λόγου, ἀναγράψασθαί οὔ μοι ἄπο καιροῦ ἔδοξεν εἶναι ὅσα δὴ ἀμφὶ τοῖς ὁρίοις τῆς τε Ἀσίης καὶ τῆς Εὐρώπης διαμάχονται πρὸς ἀλλήλους οἱ περὶ ταῦτα δεινοί. λέγουσι μὲν γάρ τινες αὐτῶν τὰ ἠπείρω ταύτα

H 325

P 577

B

C

1. δανούβιον L. Δάνουβιν P. 3. ὀρέων] ὁρίων Reg. 4. τῆς om. L. 5. τὰ — χωρία] τῶν — χωρίων L. 9. ἅπαν] ἅπαντα Hm. 10. μοι om. L. 11. τοσούτων L. τοσοῦτον P. 12. τινος] τινὰς L. 13. ἐπεὶ habent HL: om. P et Reg. 16. δυοῖν] δυεῖν L. 17. ᾧ] ὃ Reg. 19. Ἐπειδὴ] ἐπεὶ L. 22. περὶ om. L.

solo aequata sunt. Ab urbe Chersone ad ostia fluminis Istri, quem Danubium etiam vocant, iter est dierum decem, tractumque illum omnem Barbari tenent. Porro Ister e montibus Celticis labitur, extremam radit oram Italiae, Daciam, Illyricum Thraciamque praeterfluit, et in Pontum Euxinum sese immittit. Ora hinc tota ad Byzantium Imperatori Romano subest. Hic demum est Ponti Euxini a Calchedone ad Byzantium ambitus, cuius mensuram certam assignare nequeo: quando illum tot gentes Barbarae, ut dixi, circumcolunt, quae nullum, nisi forte per Legatos, cum Romanis commercium habent: neque accuratum quidquam ab iis accepimus, qui illa spatia commetiri prius aggressi sunt. Id sane liquet, in dextero Ponti Euxini littore a Calchedone ad fluvium Phasin dierum LII. iter esse expedito viro. Unde quispiam non male coniectans dixerit, partem alteram Ponti non abesse multum ab hac mensura.

6. Quandoquidem huc oratio delapsa est, ineptum non esse iudico ea referre, quae de Asiae atque Europae finibus inter se disputant harum rerum periti. Alii quidem fluvio Tanai utramque continentem dis-

διορίζειν ποταμὸν Τάναϊν, ἀπισχυριζόμενοι μὲν χρῆναι τὰς τομὰς φυσικὰς εἶναι, τεκμηριούμενοι δὲ ὡς ἡ μὲν θάλασσα προϊοῦσα ἐκ τῶν ἑσπερίων ἐπὶ τὴν ἑῴαν φέρεται μοῖραν, ποταμὸς δὲ Τάναϊς ἐκ τῶν ἀρκτῴων φερόμενος ἐς ἄνεμον νότον μεταξὺ ταῖν ἠπείροιν χωρεῖ· ἔμπαλιν δὲ τὸν Αἰγύπτιον Νεῖλον ἐκ μεσημβρίας ἰόντα πρὸς βορρᾶν ἄνεμον Ἀσίας τε καὶ Λιβύης μεταξὺ φέρεσθαι. ἄλλοι δὲ ἀπ' ἐναντίας αὐτοῖς ἰόντες οὐχ ὑγιᾶ τὸν λόγον ἰσχυρίζονται εἶναι. λέγουσι γὰρ ὡς τὰ μὲν ἠπείρω ταύτα τὸ ἐξ ἀρχῆς ὅ τε ἐν Γαδείροις διορίζει πορθμὸς ἀπ' ὠκεανοῦ ἐξιὼν καὶ ἡ προϊοῦσα ἐνθένδε θάλασσα, καὶ τὰ μὲν τοῦ πορθμοῦ καὶ τῆς θαλάσσης ἐν δεξιᾷ Λιβύη τε καὶ Ἀσία ὠνόμασται, τὰ δὲ ἐν ἀριστερᾷ πάντα Εὐρώπη ἐκλήθη μέχρι που ἐς λήγοντα τὸν Εὔξεινον καλούμενον πόντον. τούτων δὲ δὴ τοιούτων ὄντων ὁ μὲν Τάναϊς ποταμὸς ἐν γῇ τῆς Εὐρώπης τικτόμενος ἐκβάλλει ἐς λίμνην τὴν Μαιώτιδα, ἡ δὲ λίμνη ἐς τὸν Εὔξεινον πόντον τὰς ἐκβολὰς ποιεῖται οὔτε λήγοντα οὔτε μὴν κατὰ μέσον, ἀλλ' ἔτι πρόσω. τὰ δὲ εὐώνυμα τούτου δὴ τοῦ πόντου τῇ τῆς Ἀσίας λογίζεται μοίρᾳ, χωρὶς δὲ τούτων ποταμὸς Τάναϊς ἐξ ὀρέων τῶν Ῥιπαίων καλουμένων ἐξεισιν, ἅπερ ἐν γῇ τῇ Εὐρώπῃ ἐστὶν, ὥσπερ καὶ αὐτοὶ οἱ ταῦτα ἐκ παλαιοῦ ἀναγραψάμενοι ὁμολογοῦσι. τούτων δὲ τῶν Ῥιπαίων ὀρῶν τὸν ὠκεανὸν ὡς ἀπωτάτω ξυμβαίνει εἶναι. τὰ τοίνυν αὐτῶν τε καὶ Τανάϊδος ποταμοῦ ὄπισθεν ξύμπαντα Εὐρώπην ἐφ' ἑκάτερα ἐπάναγκες εἶναι. πόθεν οὖν ἄρα ποτὲ ἀρ-

3. φέρεται] στέλλεσθαι H. 5. χωρεῖ] χωρεῖν H. 14. 19. Malim τῇ Εὐρώπης. 18. ὀρέων Reg. ὀρῶν P. 20. οἱ L. καὶ οἱ P. 23. Εὐρώπην] εὐρωπαῖα Reg.

terminant, naturam in ea divisione sequendam esse asseverantes, eaque nixi ratione, quod mare ab Occasu ad Ortum se inferat: Tanais fluvius a Septentrione ad Austrum geminam continentem intermeet: ex adverso Nilus Aegyptius a Meridie ad Aquilonem inter Asiam labatur et Africam. Alii vero his refragantes, sententiam eorum falsam esse contendunt. Aiunt enim has continentes primum freto Gaditano, quod Oceanus efficit, et mari, inde porro se insinuante, distrahi: ac partem quidem, quae a dextera freto atque mari praetenditur, Africam et Asiam appellari: quidquid autem a sinistra obiacet, Europae nomine comprehendi, ad extremam usque oram Ponti Euxini. Itaque fluvium Tanain in Europa natum, prorumpere in paludem Maeotidem; hanc effundere se in Pontum, non extremum, nec medium, sed ultra; Asiaeque attribui regiones, quae ad Ponti laevam sitae sunt. Praeterea, cum flumen Tanais ex Riphaeis montibus oriatur, in Europa utique positis, ut constat veterum, qui de his scripserunt, confessione, cumque Oceanus longissime ab his absit Riphaeis montibus, statuunt necesse esse, quaecunque post eos montes Tanaimque summota sunt, ad Europam utrinque pertinent,

χεται ἤπειρον ἑκατέραν διορίζειν ὁ Τάναϊς οὐ ῥᾴδιον εἶναι εἰπεῖν. ἢν δέ τινα ποταμὸν διορίζειν ἄμφω τὰ ἠπείρω λεκτέον, οὗτος δὴ ἐκεῖνος ὁ Φᾶσις ἂν εἴη. καταντικρὺ γὰρ πορθμοῦ τοῦ ἐν Γαδείροις φερόμενος ταῖν ἠπείροιν κατὰ μέσον χωρεῖ, ἐπεὶ ὁ μὲν πορθμὸς ἐξ ὠκεανοῦ ἐξιὼν θάλασσαν τήνδε ἀπεργαζόμενος τὰ B ἠπείρω ταύτα ἐφ' ἑκάτερα ἔχει, ὁ δὲ Φᾶσις κατ' αὐτόν που λήγοντα μάλιστα ἰὼν τὸν Εὔξεινον πόντον ἐς τοῦ μηνοειδοῦς τὰ V 188 μέσα ἐκβάλλει, τὴν τῆς γῆς ἐκτομὴν ἀπὸ τῆς θαλάσσης διαφανῶς ἐκδεχόμενος. ταῦτα μὲν οὖν ἑκάτεροι προτεινόμενοι διαμάχονται. ὡς δὲ οὐ μόνος ὁ πρότερος λόγος, ἀλλὰ καὶ οὗτος, ὅνπερ ἀρτίως ἐλέγομεν, μήκει τε χρόνου κεκόμψευται καὶ ἀνδρῶν τινων παλαιοτάτων δόξῃ, ἐγὼ δηλώσω, ἐκεῖνο εἰδὼς ὡς ἐκ τοῦ ἐπὶ πλεῖστον ἄνθρωποι ἅπαντες, ἤν τινος φθάσωσι λόγου ἀρ- C χαίου πεποιημένοι τὴν μάθησιν, οὐκέτι ἐθέλουσι τῇ τῆς ἀληθείας ζητήσει ἐμφιλοχωροῦντες ταλαιπωρεῖν, οὐδὲ νεωτέραν τινὰ μεταμαθεῖν ἀμφ' αὐτῷ δόξαν, ἀλλ' ἀεὶ αὐτοῖς τὸ μὲν παλαιότερον ὑγιές τε δοκεῖ καὶ ἔντιμον εἶναι, τὸ δὲ κατ' αὐτοὺς εὐκαταφρόνητον εἶναι νομίζεται καὶ ἐπὶ τὸ γελοιῶδες χωρεῖ. πρὸς δὲ τούτοις τανῦν οὐ περὶ νοερῶν ἢ νοητῶν τινος ἢ ἀφανῶν ἄλλως γίνεται ζήτησις, ἀλλ' ὑπὲρ ποταμοῦ τε καὶ χώρας· ἅπερ ὁ χρόνος οὔτε ἀμείβειν οὔτε πη ἀποκρύψασθαι ἴσχυσεν. ἥ τε γὰρ πεῖ- H 326

1. εἶναι] οἶμαι Hoeschelius. 4. φερόμενος] φαινόμενος H. *ibid.* χωρεῖ] ἐχώρει L. 5. τήνδε L. δὲ τήνδε P. 8. ἐκτομὴν L. ἐντομὴν P. 12. δόξῃ om. L. 13. εἴ τινος φθάσαντες L. ἔφθασαν Lm. 14. πεποιημένον L. 18. νομίζεται εἶναι L. *ibid.* χωρεῖ] δοκεῖ H. 20. ὑπὲρ] ἢ περὶ L.

ac negant designari facile posse, unde Tanais utramque continentem dirimere incipiat: si quis autem sit amnis, cui conveniat eiusmodi munus discernendi partes Orbis terrarum, eum certe esse Phasin, cum e regione freti Gaditani labens, continentes interfluat. Quippe fretum, quod ex Oceano prorumpit, et mare istud infundit, hinc inde continentibus his ambitur, et Phasis prono ad extremum Pontum Euxinum cursu, exonerat se per medium littus, quod in Lunae cornua sinuatur; ita ut mari factam terrae divisionem manifeste ille excipiat ac prosequatur. His freti rationibus utrique inter se pugnant. Nec solum priorem illam sententiam, sed quam etiam proxime retuli, longinquitate aevi Scriptorumque antiquissimorum auctoritate commendari ostendam, haud ignarus plerosque omnes recepta olim opinione quapiam semel imbutos, in quaerendo accurate vero ingenium torquere nolle, nec sententiam recentiorem discere; at semper certum reverenterque amplectendum illis videri quidquid remotior vetustas tradidit: quod autem profert ipsorum aetas, nullo habendum numero, et ridiculis ascribendum. Accedit quod non rem aliquam a materiae concretione seiunctam, vel in sola positam intelligentia, admodumve obscuram investigamus, sed fluvium et regionem, quae

D ρα ἐγγὺς καὶ ἡ ὄψις ἐς μαρτυρίαν ἱκανωτάτη, οὐδέν τε παρεμποδισθήσεσθαι οἶμαι τοῖς τὸ ἀληθὲς εὑρέσθαι ἐν σπουδῇ ἔχουσιν. ὁ τοίνυν Ἁλικαρνασεὺς Ἡρόδοτος ἐν τῇ τῶν ἱστοριῶν τετάρτῃ φησὶ μίαν μὲν εἶναι τὴν γῆν ξύμπασαν, νομίζεσθαι δὲ εἰς μοίρας τε καὶ προσηγορίας τρεῖς διηρῆσθαι, Λιβύην τε καὶ Ἀσίαν καὶ Εὐρώπην φημί. καὶ αὐτῶν Λιβύης μὲν καὶ τῆς Ἀσίας Νεῖλον τὸν Αἰγύπτιον ποταμὸν μεταξὺ φέρεσθαι, τὴν δὲ δὴ Ἀσίαν τε καὶ Εὐρώπην διορίζεσθαι τὸν Κολχὸν Φᾶσιν. εἰδὼς δέ τινας ἀμφὶ Τανάϊδι ποταμῷ ταῦτα οἴεσθαι, καὶ τοῦτο ἐν ὑστέρῳ ἐπεῖ-
P 579 πε. καί μοι οὐκ ἄπο καιροῦ ἔδοξεν εἶναι αὐτὰ τοῦ Ἡροδότου τὰ γράμματα τῷ λόγῳ ἐνθεῖναι ὧδέ πη ἔχοντα „Οὐδὲ ἔχω συμβαλέσθαι ἀπὸ τοῦ μιῇ ἰούσῃ γῇ ὀνόματα τριφάσια κέαται, ἐπωνυμίην ἔχοντα γυναικῶν, καὶ ὁρίσματα αὐτῇ Νείλός τε ὁ Αἰγύπτιος ποταμὸς ἐτέθη καὶ Φᾶσις ὁ Κολχός. οἱ δὲ Τάναϊν ποταμὸν καὶ Μαιῶτιν καὶ πορθμήια τὰ Κιμμέρια λέγουσιν.“ ἀλλὰ καὶ ὁ τραγῳδοποιὸς Αἰσχύλος ἐν Προμηθεῖ τῷ λυομένῳ εὐθὺς ἀρχόμενος τῆς τραγῳδίας τὸν ποταμὸν Φᾶσιν τέρμονα καλεῖ γῆς τε τῆς Ἀσίας καὶ τῆς Εὐρώπης.

B Κἀκεῖνο δέ μοι ἐν τῷ παρόντι εἰρήσεται, ὡς τούτων δὴ τῶν τὰ τοιαῦτα σοφῶν οἱ μὲν τὴν Μαιῶτιν οἴονται λίμνην ἀπεργά-

1. παρεμποδισθήσεσθαι Reg. παραποδισθήσεσθαι P. 3. τετάρτῃ] Cap. 45. 5. διηρῆσθαι] διαιρεῖσθαι Reg. ibid. Ἀσίαν] ἀσίην L. 6. φημί om. L. 8. διορίζεσθαι] διορίζειν Reg. ibid. Κολχὸν] κολχικὸν H. 9. ταναΐδι ποταμῷ Reg. Τάναϊν ποταμὸν P. 10 αὐτὰ Reg. αὐτοῦ P. 11. συμβαλέσθαι Reg. ξυμβάλλεσθαι P. 15. καὶ Μαιῶτιν] τὸν μαιῶτιν L. 16. τραγῳδιοποιὸς H: illud Hm.

tempus nec mutare, nec recondere potuit: experimentum in promptu est; oculorum testimonio, omnium locupletissimo uti licet; neque impedimenti quidquam fore arbitror reperire verum satagentibus. Itaque Herodotus Halicarnassensis in libro IV. Historiarum unum quidem esse dicit terrarum Orbem universum, in tres vero divisum partes, totidem nominibus distinctas, Africam videlicet, Asiam et Europam: Nilum Aegypti fluvium Africam atque Asiam intercurrere: Asiam Europamque Phasi, amne Colchidis, separari. Cum autem sciret quosdam hoc ipsum opinari de Tanai, sententiam eorum subiecit. Ac mihi videtur postulare locus, ut Herodoti ipsius hic verba inseram, quae sic habent. *Nec possum assequi coniectura, cur, cum una terra sit, tria nomina, a feminis deducta, acceperit, eiusque partes Nilo Aegypti fluvio ac Phasi Colcho discretae fuerint. Sunt qui amnem Tanain, Maeotidem, et fretum Cimmerium assignent.* Aeschylus quoque Tragicus in Promethei soluti ipso statim exordio, fluvium Phasin Asiae et Europae terminum vocat.

Neque illud modo omittam, eorum, qui huius disciplinae consulti sunt, censere quosdam, a palude Maeotide oriri Pontum Euxinum, et

ζεσθαι τὸν Εὔξεινον πόντον, καὶ αὐτοῦ τὸ μὲν ἐν ἀριστερᾷ, τὸ δὲ ἐν δεξιᾷ τῆς λίμνης χωρεῖν, μητέρα δὲ διὰ τοῦτο τοῦ πόντου καλεῖσθαι τὴν λίμνην. ταῦτά τέ φασι τεκμηριούμενοι, ὅτι δὴ ἐκ τοῦ καλουμένου Ἱεροῦ ἡ τούτου δὴ τοῦ πόντου ἐκροὴ ἐπὶ Βυ-
5 ζαντίου καθάπερ τις ποταμὸς κάτεισι, καὶ ἀπ' αὐτοῦ πέρας εἶναι τοῦτο τοῦ πόντου οἴονται. οἱ δὲ τοῦ λόγου κατηγοροῦντες ἀποφαίνουσιν ὅτι δὴ μία τις ἐξ ὠκεανοῦ ξύμπασα ἡ θάλασσα οὖσα καὶ οὐδαμῇ ἐτέρωθεν ἀπολήγουσα ἐς γῆν τὴν Λαζῶν κατατείνει, πλήν γε εἰ μή τις, φασὶ, τὸ ἐν τοῖς ὀνόμασι διαλλάσσον ἐτε- C
10 ρότητα εἴπῃ, ὅτι δὴ τὸ ἐνθένδε ἡ θάλασσα πόντος ὠνόμασται. εἰ δὲ τὰ ῥεύματα ἐκ τοῦ Ἱεροῦ καλουμένου κάτεισιν ἐς Βυζάντιον, οὐδὲν τοῦτο πρᾶγμα. τὰ γὰρ ἐν πορθμοῖς ἅπασι ξυμπίπτοντα πάθη οὐδενὶ λόγῳ φαίνεται εἰκοντα, οὐδέ τις αὐτὰ φράσαι πώποτε ἱκανὸς γέγονεν. ἀλλὰ καὶ ὁ Σταγειρίτης Ἀριστοτέλης, σοφὸς
15 ἀνὴρ ἐν τοῖς μάλιστα, ἐν Χαλκίδι τῇ τῆς Εὐβοίας τούτου δὴ ἕνεκα γεγονὼς, κατανοῆσαι τὸν ταύτῃ πορθμὸν, ὅνπερ Εὔριπον ὀνομάζουσι, καὶ λόγον τὸν φυσικὸν ἐς τὸ ἀκριβὲς διερευνᾶσθαι βουλόμενος, ὅπως δὴ καὶ ὄντινα τρόπον ἐνίοτε μὲν τὰ τοῦ πορθμοῦ τούτου ῥεύματα ἐκ δυσμῶν φέρεται, ἐνίοτε δὲ ἐξ ἡλίου ἀνατο- D
20 λῶν, καὶ κατὰ ταῦτα πλεῖν τὰ πλοῖα ξύμπαντα ἐνταῦθα ξυμβαίνει, ἦν δέ ποτε τοῦ ῥοῦ ἐξ ἀνίσχοντος ἡλίου ἰόντος, ἀρξαμέ-

8. ἐτέρωθεν] ἐτέρωθι L. 9. τὸ ἐν] τὴν ἐν H. *ibid.* διαλλάσσον om. H. *ibid.* ἑτερότητα] ἑτερώτατον L. 11. κάτεισιν] κατίασιν H. ἐξίασιν Reg. 13. φαίνεται] φαίνονται H. 15. Χαλκίδι τῆς P. σχολῇ ἐπὶ H. χαλκίδι τῇ τῆς L. 16. κατανοῆσαι] κατανοῶν τε Reg.

partim ad laevam, partim ad dexteram fluere; eamque esse causam cur Ponti mater appelletur palus. Id coniectura hac fulciunt, quod Pontus, amnis instar, ab Hiero Byzantium versus decurrat: ideoque Ponti finem hic statuunt. Alii sententiam hanc refellentes, demonstrant, mare, quod unum est, totumque ab Oceano infunditur, ad Lazicam usque evadere, neque alibi postremum habere limitem: nisi quis forte, inquiunt, ex nominum dissimilitudine diversitatem rerum arguat: quod nempe mare hinc deinceps Pontus vocetur. Neque obstat illius ab Hiero Byzantium cursus. Nam quae in omnibus fretis accidunt, non videntur cadere in nostram intelligentiam, neque ea quisquam explicare aliquando potuit. Certe ipse Aristoteles Stagirites, singulari sapientia ac doctrina vir, cum huius rei gratia in Chalcidem Euboeae se contulisset, fretum, quod ibi est atque Euripus dicitur, contemplari volens, et causam naturalem diligenter scrutari, cur et quomodo freti illius fluenta iam ab Occasu, iam ab ortu Solis ferantur, navesque omnes eiusmodi sequantur lapsum: ac si quando aquis ab Oriente meantibus, et nautis de more vehi coeptis earum secundo agmine, adversi fluctus occurrerint, quod illic saepe

V 189 νων τε τῶν ναυτῶν ἐνθένδε ξὺν τῇ τοῦ ῥοθίου ἐπιρροῇ ναυτίλλεσθαι, ᾗπερ εἰώθει, ἀπ' ἐναντίας τὸ ῥεῦμα ἴῃ, ὅπερ ἐνταῦθα πολλάκις φιλεῖ γίνεσθαι, ἀναστρέφειν μὲν τὰ πλοῖα ταῦτα εὐθὺς ἔνθεν ὥρμηνται, τὰ δὲ ἄλλα ἐκ δυσμῶν ἐπὶ θάτερα πλεῖν, καίπερ αὐτοῖς τῶν ἀνέμων τινὸς ὡς ἥκιστα ἐπιπνεύσαντος, ἀλλὰ γαλήνης τε βαθείας τινὸς καὶ νηνεμίας ἐνταῦθα οὔσης· ταῦτα ὁ Σταγειρίτης ἐννοῶν τε καὶ ἀνακυκλῶν ἐπὶ χρόνου μῆκος, δυσθανατῶν ἐπὶ ξυννοίᾳ ἦει ἐς τὸ μέτρον τοῦ βίου. οὐ μὴν ἀλλὰ κἂν τῷ τὴν Ἰταλίαν τε καὶ Σικελίαν διείργοντι πορθμῷ πολλὰ τῷ
P 580 παραλόγῳ γίνεσθαι πέφυκε. δοκεῖ γὰρ ἐκ τοῦ Ἀδριατικοῦ καλουμένου πελάγους τὸ ῥεῦμα ἐκεῖσε ἰέναι. καίτοι ἐξ ὠκεανοῦ καὶ Γαδείρων ἡ τῆς θαλάσσης πρόοδος γίνεται. ἀλλὰ καὶ ἴλιγγοι ἐξαπιναίως ἐνταῦθα συχνοὶ ἀπ' οὐδεμιᾶς ἡμῖν φαινομένης αἰτίας τὰς ναῦς διαχρῶνται. καὶ διὰ τοῦτο οἱ ποιηταὶ λέγουσι πρὸς τῆς Χαρύβδεως ῥοφεῖσθαι τὰ πλοῖα, ὅσα ἂν τύχῃ τηνικάδε ὄντα
B ἐν τῷ πορθμῷ τούτῳ. οὗτοι δὴ ταῦτα πάντα οἴονται, τὰ πλείστῳ παραλόγῳ ἐν πᾶσι ξυμβαίνοντα τοῖς πορθμοῖς, ἐκ τῆς ἄγχιστα οὔσης ἑκατέρωθεν ἠπείρου ξυμβαίνειν. βιαζόμενον γάρ φασι τῇ στενοχωρίᾳ τὸ ῥόθιον ἐς ἀτόπους τινὰς καὶ λόγον οὐκ ἐχούσας ἀνάγκας χωρεῖν. ὥστε εἰ καὶ ὁ ῥοῦς ἐκ τοῦ Ἱεροῦ καλουμένου ἐς Βυζάντιον δοκεῖ φέρεσθαι, οὐκ ἄν τις τήν τε θά-

2. τὸ ῥεῦμα] αὐτὸ (αὐτοῦ H.) τὸ ῥεῦμα Reg. 3. πολλάκις ἐνταῦθα L. *ibid.* ἀναστρέφειν — πλεῖν] ἀναστρέφει — πλεῖ L. 4. ἔνθεν Reg. Vulgo ἐνθένδε. 8. ἐπὶ ξυννοίᾳ ἦει] σοφίας ἁψικτο Reg. *ibid.* οὐ μὴν ἀλλὰ] ἐπεὶ Reg. 10. παραλόγῳ] παραπλήσια addit Scaliger. 15. ῥοφεῖσθαι Reg. ῥοφᾶσθαι P. *ibid.* τύχῃ] τύχοι L. 16. δὴ ταῦτα πάντα] δὲ ταῦτα δὴ ἅπαντα Reg. *ibid.* τὰ πλεῖστα παραλόγως ἔμπασι L. 20. χωρεῖν] χωρεῖ Reg.

fit; tum repente hae naves eo redeant, unde profectae sunt; aliae vero ob Occasu in diversum tendant, quamvis nullo utantur vento; sed ibi tranquillitas summa sit atque malacia. In his considerandis ac mente volvendis cum temporis plurimum contrivisset Stagirites, moerore animi confectus obiit. Praeterea in freto, quod ab Italia Siciliam disiungit, multa praeter opinionem fieri solent. Nam eo videtur aqua affluere ex mari Adriatico, licet ex Oceano Gadibusque mare procedat: ac frequentes eo loci repentini vortices, quorum causa nos latet, naves hauriunt. Quamobrem si quae forte navigia fretum illud intraverint, ea poëtae a Charybdi sorberi perhibent. Horum autem omnium causam, quae in omnibus fretis longe praeter opinionem contingunt, illi, quorum sententiam trado, in viciniam refundunt geminae hinc inde continentis. Aiunt enim fluentem, iniquo coactum spatio, in difficultates adduci abhorrentes a communi sensu et inexplicabiles. Quare licet aqua ab Hiero Byzantium ferri videatur, non est tamen, cur hic mare Pontumque Euxinum

λος Περσῶν τῇ ἀρχῇ ἐκπορίζεσθαι διὰ σπουδῆς εἶχε. πόλει γοῦν Δάρας αὐτίκα ἐγκεχειρηκὼς ἀπεκρούσθη ἐνθένδε, ὥσπερ μοι εἴρηται, ἐς ἀπόγνωσίν τε τῆς τοῦ χωρίου ἐπικρατήσεως παντάπασιν ἦλθεν. οὐδὲ γὰρ αὐτὸ ἐξ ἐπιδρομῆς ἐξαιρήσειν τὸ λοιπὸν εἶχεν, οὕτω φυλασσομένων τῶν ἐκείνῃ φρουρῶν, οὐ μὴν οἰδὲ πολιορκῶν μηχανῇ τινι περιέσεσθαι αὐτῶν ἤλπιζε. τά τε γὰρ ἄλλα τῶν ἐπιτηδείων ἐς ἀεὶ ἐν πόλει Δάρας διαρκῶς ἐξεπίτηδες D ἐπικείμενά ἐστιν, ὅπως δὴ ἐς μέγα τι χρόνου διαρκέσειε μῆκος, καὶ πηγὴ ἄγχιστά πη φυομένη ἐν χώρᾳ κρημνώδει ποταμὸν ἀπεργάζεται μέγαν, ὅσπερ τῆς πόλεως εὐθὺ φέρεται· οὐ δυναμένων τῶν ἐπιβουλεύειν ἐφιεμένων ἑτέρωσέ πη αὐτὸν ἀποτρέπειν ἢ τρόπῳ τῷ ἄλλῳ διὰ τὴν δυσχωρίαν βιάζεσθαι. ἐπειδὰν δὲ τοῦ περιβόλου ἐντὸς γένηται, τήν τε πόλιν περιιὼν ξύμπασαν καὶ τὰς ταύτῃ δεξαμενὰς ἐμπλησάμενος εἶτα ἔξεισιν, ὡς ἀγχοτάτω τε τοῦ περιβόλου ἐς χάος ἐμπεσὼν ἀφανίζεται. καὶ ὅπη ποτὲ τὸ ἐνθένδε ἐκδίδωσιν οὐδενὶ γέγονε φανερὸν ἐς τόδε τοῦ χρόνου. τοῦτο δὲ τὸ χάος οὐκ ἐπὶ παλαιοῦ γεγονὸς ἔτυχεν, ἀλλὰ χρόνῳ πολλῷ ὕστε- P 582 ρον ἢ τὴν πόλιν Ἀναστάσιος βασιλεὺς ἐδείματο ταύτην, ἡ φύσις αὐτοῦ τοῦ χωρίου ἀπαυτοματίσασα ἔθετο, καὶ δι' αὐτὸ ξυμβαίνει τοῖς προσεδρεύειν ἐθέλουσιν ἀμφὶ πόλιν Δάρας πιέζεσθαι ὕδατος ἀπορίᾳ πολλῇ.

Ταύτης οὖν, ὥσπερ μοι εἴρηται, ἀποτυχὼν ὁ Χοσρόης τῆς πείρας ἐς ἔννοιαν ἦλθεν ὡς, ἢν καὶ πόλιν οἱ Ῥωμαίων ἑτέ-

2. ὥσπερ] ἥπερ Reg. 7. διαρκῶς] διηνεκῶς H. 8. ἐστιν ἐξεπ. διακείμενα L. 13. ἐντὸς] εὐθὺ L. 19. δι' αὐτὸ] διὰ τοῦτο Reg. 22. ὥσπερ μοι] ὅπερ L.

lit ad Persarum ditionem luculenta aliqua accessione augendam. Itaque protinus urbem Daram aggressus est: at inde, ut dixi, repulsus, expugnandi loci spem omnem abiecit. Nam nec subito impetu illum capere deinde poterat, stationariis munitum intentissimis; nec si obsideret, ullo modo eos se subacturum sperabat. Quippe urbs Dara consulto repositam semper habet cibariorum cuiusquemodi copiam, quae in multum tempus sufficiat, et fons in vicino praecipitio scatens magnum flumen efficit, quod recta ad urbem labitur; ita ut infesta nulla vi alio detorqueri, neque ullo pacto inhiberi possit, repugnante loci iniquitate. Intra muros admissus, postquam urbem totam pererravit, eiusque implevit receptacula, exit, ac sub moenibus voragine haustus sic latet, ut quo postea erumpat, nondum cuiquam compertum sit. Nec vetus est vorago illa; sed sponte eius opifex fuit natura loci, multis post annis, quam Anastasius Augustus urbem illam condidit. Quo fit ut qui urbem Daram obsidione cingunt, aquae penuria plurimum laborent.

Hoc igitur frustra, ut dicebam, conatus Chosroës, id secum reputavit, licet aliam forte quampiam Romanae ditionis urbem caperet, nun-

ἀπ' ἐναντίας αὐτῇ, ὀλλ' ἐκ πλαγίου ξυμβαίνει κεῖσθαι. ἀλλὰ περὶ μὲν τούτων γινωσκέτω τε καὶ λεγέτω ἕκαστος ὅπη αὐτῷ φίλον.

P 581 ζ'. Ὅτου δὲ ὁ Χοσρόης ἕνεκα Λαζικῆς μεταποιεῖσθαι διὰ σπουδῆς εἶχεν ἤδη μὲν πρόσθεν μοι ἐρρήθη· ὃ δὲ δὴ αὐτόν τε καὶ Πέρσας μάλιστα πάντων ἐς τοῦτο ἤνεγκεν, ἐνταῦθα δηλώσω, ὅτι δὴ καὶ χώραν τήνδε περιηγησάμενος ξύμπασαν σαφῆ τὸν περὶ τούτου πεποίηκα λόγον. πολλάκις οἱ βάρβαροι οὗτοι, Χοσρόου σφίσιν ἡγουμένου, στρατῷ μεγάλῳ ἐμβαλόντες ἐς Ῥωμαίων τὴν γῆν οὐκ εὐδιήγητα μὲν τοῖς πολεμίοις ἐπήνεγκαν πάθη, ὥσπερ V 190 μοι ἐν τοῖς ὑπὲρ αὐτῶν λόγοις ἐρρήθη, αὐτοῖς δὲ ὄφελος οὐδ' B ὁτιοῦν ἀπενεγκαμένοις ἐνθένδε τοῖς τε χρήμασι καὶ τοῖς σώμασι πρόσθεν κεκακωμένοις ξυνέπεσε. πολλοὺς γὰρ ἀποβεβληκότες ἀεὶ ἀπηλλάσσοντο ἐκ Ῥωμαίων τῆς γῆς. διὸ δὴ ἐς ἦθη ἐπανιόντες τὰ πάτρια Χοσρόῃ ὡς λωβαιότατα ἐλοιδοροῦντο καὶ διαφθορέα τοῦ Περσῶν γένους αὐτὸν ἀπεκάλουν. καί ποτε καὶ ἐκ Λαζικῆς ἐπανήκοντες, ἐπειδὴ ἐνταῦθα πάθεσιν ἔτυχον ὠμιληκότες ἀνηκέστοις τισί, ξυστήσεσθαί τε ἐκ τοῦ ἐμφανοῦς ἐπ' αὐτὸν ἔμελλον καὶ διαχρήσεσθαι θανάτῳ οἰκτίστῳ, εἰ μὴ προμαθὼν C ἐφυλάξατο θωπείᾳ πολλῇ τοὺς ἐν σφίσι λογιμωτάτους περιελθών. καὶ ἀπ' αὐτοῦ ἀπολογεῖσθαι τὴν κατηγορίαν ἐθέλων μέγα τι ὄφε-

2. ὅπη Reg. ὅπως P. 9. ἐμβαλόντες] ἐμβάλλοντες H. 10. ὥσπερ] ἅπερ L. 13. πρόσθεν LHm. πρὸς δὲ HP. *ibid.* κεκακωμένοις Hm. κεκακῶσθαι HP. 14. ἤθη] ἔθνη L. 15. χοσρόῃ L. Vulgo *Χοσρόην*. 19. διαχρήσασθαι L.

stitutis violare videatur. Nec vero ullum aliud littus adversum est mari: sed illi omnia obliqua sunt. Porro de his sentiat quisque et pronuntiet prout ipsi libuerit.

7. Cuius rei causa Lazicam Chosroës in ditionem suam subiungere contenderit, iam supra dixi: quid vero maxime illum Persasque ad id moverit, hic declarabo commode, quando lucem praefert enarratio, qua totam illam regionem paulo ante descripsi. Saepe quidem hi Barbari, duce Chosroë, Romanum Imperium ingressi cum magnis copiis, hostem calamitatibus infandis affecerant, quas in libris ea de re scriptis recensui. At ipsi non modo nullum inde lucrum retulerant, sed iacturam etiam fecerant pecuniarum et corporum. Semper enim ex finibus Romanorum excesserant, multis suorum desideratis. Quare in patriam reversi, clam Chosroi maledicebant, eumque gentis Persicae extinctorem vocabant. Aliquando ex Lazica reduces, cum ibi dira perpessi essent, aperta conspiratione ipsum crudeliter de medio tollere pararunt: fecissentque, nisi ille praemonitus periculum avertisset, multis blanditiis optimates deliniens. Atque ut reprehensionem elevaret, studium contu-

λος Περσῶν τῇ ἀρχῇ ἐκπορίζεσθαι διὰ σπουδῆς εἶχε. πόλει γοῦν Δάρας αὐτίκα ἐγκεχειρημένῃ ἀπεκρούσθη ἐνθένδε, ὥσπερ μοι εἴρηται, ἐς ἀπόγνωσίν τε τῆς τοῦ χωρίου ἐπικρατήσεως παντάπασιν ἦλθεν. οὐδὲ γὰρ αὐτὸ ἐξ ἐπιδρομῆς ἑξαιρήσειν τὸ λοιπὸν εἶχεν, οὕτω φυλασσομένων τῶν ἐκείνῃ φρουρῶν, οὐ μὴν οἰδὲ πολιορκῶν μηχανῇ τινι περιέσεσθαι αὐτῶν ἤλπιζε. τά τε γὰρ ἄλλα τῶν ἐπιτηδείων ἐς ἀεὶ ἐν πόλει Δάρας διαρκῶς ἐξεπίτηδες D ἐπικείμενά ἐστιν, ὅπως δὴ ἐς μέγα τι χρόνου διαρκέσειε μῆκος, καὶ πηγὴ ἄγχιστά πη φυομένη ἐν χώρᾳ κρημνώδει ποταμὸν ἀπεργάζεται μέγαν, ὅσπερ τῆς πόλεως εὐθὺ φέρεται· οὐ δυναμένων τῶν ἐπιβουλεύειν ἐφιεμένων ἑτέρωσέ πη αὐτὸν ἀποτρέπειν ἢ τρόπῳ τῳ ἄλλῳ διὰ τὴν δυσχωρίαν βιάζεσθαι. ἐπειδὰν δὲ τοῦ περιβόλου ἐντὸς γένηται, τήν τε πόλιν περιιὼν ξύμπασαν καὶ τὰς ταύτῃ δεξαμενὰς ἐμπλησάμενος εἶτα ἔξεισιν, ὡς ἀγχοτάτω τε τοῦ περιβόλου ἐς χάος ἐμπεσὼν ἀφανίζεται. καὶ ὅπη ποτὲ τὸ ἐνθένδε ἐκδίδωσιν οὐδενὶ γέγονε φανερὸν ἐς τόδε τοῦ χρόνου. τοῦτο δὲ τὸ χάος οὐκ ἐπὶ παλαιοῦ γεγονὸς ἔτυχεν, ἀλλὰ χρόνῳ πολλῷ ὕστε- P 582 ρον ἢ τὴν πόλιν Ἀναστάσιος βασιλεὺς ἐδείματο ταύτην, ἡ φύσις αὐτοῦ τοῦ χωρίου ἀπαυτοματίσασα ἔθετο, καὶ δι' αὐτὸ ξυμβαίνει τοῖς προσεδρεύειν ἐθέλουσιν ἀμφὶ πόλιν Δάρας πιέζεσθαι ὕδατος ἀπορίᾳ πολλῇ.

Ταύτης οὖν, ὥσπερ μοι εἴρηται, ἀποτυχὼν ὁ Χοσρόης τῆς πείρας ἐς ἔννοιαν ἦλθεν ὡς, ἢν καὶ πόλιν οἱ Ῥωμαίων ἑτέ-

2. ὥσπερ] ἥπερ Reg. 7. διαρκῶς] διηνεκῶς H. 8. ἐστιν ἐξεπ. διακείμενα L. 13. ἐντὸς] εὐθὺ L. 19. δι' αὐτὸ] διὰ τοῦτο Reg. 22. ὥσπερ μοι] ὅπερ L.

lit ad Persarum ditionem luculenta aliqua accessione augendam. Itaque protinus urbem Daram aggressus est: at inde, ut dixi, repulsus, expugnandi loci spem omnem abiecit. Nam nec subito impetu illum capere deinde poterat, stationariis munitum intentissimis; nec si obsideret, ullo modo eos se subacturum sperabat. Quippe urbs Dara consulto repositam semper habet cibariorum cuiusquemodi copiam, quae in multum tempus sufficiat, et fons in vicino praecipitio scatens magnum flumen efficit, quod recta ad urbem labitur; ita ut infesta nulla vi alio detorqueri, neque ullo pacto inhiberi possit, repugnante loci iniquitate. Intra muros admissus, postquam urbem totam pererravit, eiusque implevit receptacula, exit, ac sub moenibus voragine haustus sic latet, ut quo postea erumpat, nondum cuiquam compertum sit. Nec vetus est vorago illa; sed sponte eius opifex fuit natura loci, multis post annis, quam Anastasius Augustus urbem illam condidit. Quo fit ut qui urbem Daram obsidione cingunt, aquae penuria plurimum laborent.

Hoc igitur frustra, ut dicebam, conatus Chosroës, id secum reputavit, licet aliam forte quampiam Romanae ditionis urbem caperet, nun-

ραν τινὰ παραστήσασθαι δυνατὰ εἴη, ἀλλὰ καθίζεσθαι οὐ μή ποτε οἷός τε εἴη ἐν μέσῳ Ῥωμαίων, ὀχυρωμάτων τοῖς πολεμίοις ἀπολελειμμένων ὀπίσω πολλῶν. καὶ Ἀντιόχειαν γὰρ τούτου δὴ ἕνεκα ἐς ἔδαφος καθελὼν ἀπηλλάγη ἐκ Ῥωμαίων τῆς γῆς. διὸ
B δὴ μετεωρισθεὶς τὴν διάνοιαν ἐπὶ μακροτέρας ἐλπίδος ὠχεῖτο, διερευνώμενος ἀμήχανα ἔργα. ἀκοῇ γὰρ ἔχων ὄντινα τρόπον οἱ
H 328 ἐπ' ἀριστερᾷ πόντου τοῦ Εὐξείνου, οὗτοι δὴ βάρβαροι, ἀμφὶ τὴν Μαιῶτιν ᾠκηνται λίμνην καὶ ἀδεῶς κατατρέχουσι Ῥωμαίων τὴν γῆν, οὕτω καὶ Πέρσαις Λαζικὴν ἔχουσι πόνῳ οὐδενὶ δυνατὰ ἔσεσθαι ἔλεγεν, ἡνίκα ἂν βουλομένοις ᾖ, εὐθὺς Βυζαντίου ἰέναι,
οὐδαμῇ διαπορθμευομένοις τὴν θάλασσαν, ὡς καὶ τὰ ἄλλα βαρβαρικὰ ἔθνη, ἃ ταύτῃ ἵδρυται, ἐς ἀεὶ δρῶσι. διὰ ταῦτα μὲν Λαζικῆς Πέρσαι μεταποιοῦνται. ἐγὼ δὲ ὅθεν τὴν ἐκβολὴν τοῦ λόγου ἐποιησάμην ἐπάνειμι.

C η'. Χωριάνης μὲν οὖν καὶ ὁ Μήδων στρατὸς ἐστρατοπεδεύσαντο ἀμφὶ τὸν ποταμὸν Ἵππιν. ἐπειδὴ δὲ ταῦτα Γουβάζης τε, ὁ Κόλχων βασιλεύς, ἔμαθε καὶ Δαγισθαῖος, ὅσπερ ἡγεῖτο τοῦ Ῥωμαίων στρατοῦ, ἐς πάγκοινον βουλευσάμενοι ἦγον ἐπὶ τοὺς πολεμίους τό τε Ῥωμαίων καὶ Λαζῶν στράτευμα. γενόμενοί τε Ἵππιδος τοῦ ποταμοῦ ἐπὶ θάτερα καὶ αὐτοῦ ἐνστρατοπεδευσάμενοι τὰ παρόντα ἐν βουλῇ εἶχον, πότερα μένουσί τε αὐτοῖς
V 191 D καὶ δεχομένοις ἐπιόντας τοὺς ἐναντίους ξυνοίσει μᾶλλον ἢ ἐπὶ

1. δυνατὰ Reg. δυνατὸν P. 4. ἕνεκα] εἵνεκα H. ibid. καθελὼν] ἡνίκα ἐξεῖλεν add. H. 10. ἔλεγεν om. L. 11. οὐδαμῇ Reg. οὐδαμοῦ P. ibid. ὡς] ὥσπερ L. 12. ἃ om. L in textu. ibid. ἵδρυται] ἵδρυνται Hm. 16. τὸν om. L. 17. δαγισθέος L. 18. ἐς πάγκοινον] ἐπίκοινα Reg. 22. ἐναντίους] πολεμίους Reg.

quam tamen inter Romanos sedem sibi stabilem fore, si multa illi a tergo praesidia retinerent: quae causa fuerat, cur Antiochiam everteret, pedemque ex Romano solo efferret. Quare animo arduorumque facinorum cupiditate elatus, spem longius extendit. Etenim fama eductus, uti Barbari, qui a laeva Ponti Euxini paludem Maeotidem accolunt, Imperium Romanum libere incursent, ita Persis liberum ac promptum fore dicebat, occupata semel Lazica, Byzantium ire recta, quoties vellent, non traiecto mari, ut facere solent caeterae gentes Barbarae, quae in illis partibus habitant. Haec porro sunt, quae Persas ad Lazicam obtinendam inducunt: nunc unde deflexit oratio, illuc redeat.

8. Ergo Chorianes et Medorum exercitus castra ad fluvium Hippin metati sunt. Qua de re certiores facti Gubazes Colchorum Rex, ac Dagisthaeus exercitus Romani Dux, collatis consiliis, Romanorum Lazorumque copias in hostem ducunt. Ultra amnem Hippin progressi, castris ibi positis, cum re praesenti deliberant, satiusne sit presso pede

τοὺς πολεμίους σφίσιν ἰτέον, ὅπως δὴ θάρσους τοῦ σφετέρου ποιησάμενοι ἐπίδειξιν Πέρσαις, ἔνδηλά τε τοῖς ἐναντίοις καταστησάμενοι ὡς καταφρονήματι ἐπ' αὐτοὺς ἴωσι, τῆς τε ξυμβολῆς αὐτοὶ ἄρξονται καὶ δουλῶσαι τῶν ἀνθισταμένων τὸ φρόνημα ἱκανοὶ εἶεν. ἐπειδή τε ἡ γνώμη ἐνίκα τῶν ἐπὶ τοὺς πολεμίους παρακαλούντων, ὥρμηντο ἐπ' αὐτοὺς εὐθὺς ἅπαντες. ἐνταῦθα Λαζοὶ Ῥωμαίοις ξυντάσσεσθαι οὐκέτι ἠξίουν, προτεινόμενοι ὅτι P 583 δὴ Ῥωμαῖοι μὲν οὔτε πατρίδος οὔτε τῶν ἀναγκαιοτάτων προκινδυνεύοντες ἐς τὸν ἀγῶνα καθίστανται, αὐτοῖς δὲ ὑπέρ τε παίδων καὶ γυναικῶν καὶ γῆς τῆς πατρῴας ὁ κίνδυνός ἐστιν. ὥστε κἂν γυναῖκας τὰς σφετέρας ἐρυθριῷεν, εἰ σφίσι πρὸς τῶν ἐναντίων κρατεῖσθαι ξυμβαίη. ταύτῃ δὴ τῇ ἀνάγκῃ τὴν οὐκ οὖσαν αὐτοῖς ἀρετὴν αὐτοσχεδιάσειν ὑπώπτευον. πρῶτοι δὲ αὐτοὶ κατὰ μόνας ὤργων τοῖς πολεμίοις ὁμόσε ἰέναι, ὅπως αὐτοὺς μὴ ξυναράξωσιν ἐν τῷ ἔργῳ Ῥωμαῖοι, οὐχ ὁμοίως σφίσιν ἐς τὸν κίνδυνον προθυμούμενοι. ταῦτα νεανιευσαμένων Λαζῶν περιχαρὴς ὁ Γουβάζης γενόμενος μικρόν τε ἄποθεν Ῥωμαίων αὐτοὺς ξυγκαλέ- B σας τοιάδε παρεκελεύσατο „Παραίνεσιν μὲν ἐς εὐψυχίαν ὁρμῶσαν οὐκ οἶδα εἴ τινα δεῖ πρὸς ὑμᾶς, ὦ ἄνδρες, ποιεῖσθαι. οἷς γὰρ ἡ τῶν πραγμάτων ἀνάγκη τὴν προθυμίαν ἀνίστησι, παρακελεύσεως ἂν οὐδεμιᾶς προσδεῖν οἶομαι, ὅπερ καὶ ἡμῖν ἔν γε τῷ πα-

1. ὅπως] ὅπερ H. 3. τῆς τε] τε om. Reg. 4. αὐτῆς ἄρχοντες δουλῶσαι Reg. 8. ἀναγκαιοτάτων Hm. ἀναγκαίων P. 12. κρατεῖσθαι ξυμβαίη (ξυμβαίνει Reg.)] ξυμβαίνει κρατεῖν L. ibid. δὴ] γὰρ L. 15. ὁμοίως] ὅμοια L. 17. μικρόν τε] μικρὸν δὲ L. 21. ὅπερ καὶ L. ὥσπερ καὶ P. ibid. ἡμῖν] ὑμῖν Hm. omisso καὶ.

hostem opperiri, eiusque impetum excipere, quam ipsum invadere: ut Persis exhibentes speciem praesentis animi, ac generosum in petendis illis contemptum prae se ferentes, praelium lacessant, itaque animos adversariorum consternent. Eorum, qui in hostes impellebant, vincente sententia, ilicet cuncti adversum illos proficiscuntur. Tum recusare Lazi aciem cum Romanis unam componere, causam hanc afferentes, quod Martis aleam non subirent Romani pro patria ac summa sibi necessitudine coniunctis: ipsi vero pro liberis, uxoribus, ac focis dimicarent: ita ut conspectum vererentur coniugum, si ab hoste victi discederent. Qua necessitate factum iri putabant, ut fortis animus, quo carebant, adesset. Quocirca impatienter optabant, primi hostem seorsum aggredi, ne in re agenda a Romanis perturbarentur, haud pari secum ardore discrimen praelii adeuntibus. Hac Lazorum ferocia laetus Gubazes, illos non procul a Romanis convocatos eiusmodi oratione hortatus est. *Nescio, Viri, num apud vos verbis opus sit ad excitandos animos comparatis. Nulla enim hortatione egere illos existimo, quos animat accenditque*

ρόντι τετύχηκεν. ὑπὲρ γυναικῶν γὰρ καὶ παίδων καὶ γῆς τῆς πατρῴας καὶ ἁπλῶς εἰπεῖν ὑπὲρ τῶν ὅλων ὁ κίνδυνός ἐστιν, ὑπὲρ ὧν ἡμῖν ἐπίασι Πέρσαι. τοῖς δέ τι ἀφαιρεῖσθαι τῶν ὑπαρχόντων βιαζομένοις οὐδεὶς τῶν πάντων παραχωρεῖ, ἐπιμάχεσθαι τῶν προσηκόντων ἀναγκαζούσης τῆς φύσεως. οὐκ ἀγνοεῖτε δὲ ὡς Πέρσαις τὴν πλεονεξίαν οὐδὲν ἵστησιν, ἐν ἐξουσίᾳ γεγονόσι τοῦ δύνασθαι, οὐδὲ ἄρξουσι μόνον ἡμῶν ἢ τάξουσι φόρους ἢ τἆλλα κατηκόους ποιήσονται, εἴ τι μὴ ἐπιλελήσμεθα ὧν ὁ Χοσρόης ἐγκεχείρηκεν ἐφ' ἡμῖν οὐ πολλῷ πρότερον, ἣν νῦν περιέσωνται ἡμῶν τῷ πολέμῳ. ἀλλὰ μηδὲ ἄχρι τοῦ λόγου προϊέτω μοι τὰ τῆς Περσῶν πείρας, μηδὲ διαλιπέτω τὸ Λαζῶν ὄνομα. οὐ χαλεπὸς δέ, ὦ ἄνδρες, ἡμῖν ὁ πρὸς Μήδους ἀγών, πολλάκις αὐτοῖς καὶ ἐς χεῖρας ἐλθοῦσι καὶ ὑπερβαλλομένοις τῇ μάχῃ. τῷ γὰρ ξυνειθισμένῳ τὸ δύσκολον οὐδαμῇ πάρεστι, προδαπανηθείσης τῆς τοῦ ἔργου ταλαιπωρίας μελέτῃ καὶ πείρᾳ. ὥστε διὰ τοῦτο καὶ καταφρονεῖν τῶν πολεμίων, ἅτε νενικημένων ἐν ξυμβολαῖς καὶ οὐχ ὡς ὁμοίως θρασυνομένων ἡμᾶς δείσει. φρόνημα γὰρ δουλωθὲν ἅπαξ παλινδρομεῖν ἥκιστα εἴωθε. ταῦτα τοίνυν ἐκλογιζόμενοι μετὰ τῆς ἀγαθῆς ἐλπίδος τοῖς ἐναντίοις ὁμόσε χωρεῖτε."

1. γῆς addidi ex L. 3. ἡμῖν] ὑμῖν L. 5. δὲ add. L. 6. Πέρσαις] περσῶν L *ibid.* γεγονόσι om. L. 8. ὁ om. L. 9. ἐφ' ἡμῖν] ἐφ' ὑμῖν Hm. *ibid.* ἣν νῦν] ἢ οὖν L. *ibid.* περιέσωνται L. περιέσονται P. 10. ἡμῶν] ὑμῶν L. 11. διαλειπέτω L. 12. ἡμῖν] ὑμῖν L. 13. ὑπερβαλλομένους L. 14. ξυνειθιζομένῳ Reg. 17. ὡς om. L. *ibid.* ἡμᾶς] ἡμῶν L. ἡμῖν Scaliger.

rerum necessitas, qualis modo nobis incidit. Siquidem in hoc proelio, de uxoribus, liberis, patria, uno verbo, de summa rerum agitur, cuius gratia Persae nobis arma inferunt. At nemo omnium unus est, qui bonorum suorum partem aliquam vi auferentibus cedat, tueri quae ad ipsum pertinent cogente natura. Nec vos latet effraenem et impotentem esse cupiditatem Persarum, ubi semel potestatem nacta est. Profecto si nos iam debellabunt, haud contenti dominatione, vectigalia imponent, ac caetera in subditos exercebunt, sat cognita; nisi quid forte eorum, quae in nos Chosroes non ita pridem suscepit, obliti sumus. Agite vero, ne verbis tenus se mihi prodat vestra in adoriendis Persis alacritas, neque ignaviae notam subeat Lazorum nomen. Nec nobis grave sit pugnare cum Medis, postquam multa cum illis proelia secunda fecimus. Abest enim a consuetudine difficultas, sublata iam laboris molestia, exercitatione et usu. Est igitur cur hostem ideo contemnatis, quia saepe acie victus, vobis animo concedit. Nec vero redire solet animus, cum semel abscessit constrictus metu. Eiusmodi cogitationibus ac spe bona pleni hostem invadite.

Τοσαῦτα Γουβάζης εἰπὼν ἐξῆγε τὸ Λαζῶν στράτευμα, καὶ ἐτάξαντο ὧδε. πρῶτοι μὲν οἱ Λαζῶν ἱππεῖς τεταγμένοι ἀπ' ἐναντίας ἦεσαν, ὄπισθεν δὲ οὐκ ἄγχιστά πη, ἀλλ' ὡς ἀπωτάτω, ἡ Ῥωμαίων ἵππος αὐτοῖς εἵπετο. τούτων δὲ δὴ τῶν Ῥωμαίων ἡγοῦντο Φιλήγαγός τε, Γήπαις γένος, δραστήριος ἀνὴρ, καὶ Ἰωάννης Ἀρμένιος, διαφερόντως ἀγαθὸς τὰ πολέμια, Θωμᾶ υἱὸς, ὅνπερ ἐπίκλησιν ἐκάλουν Γούζην, οὗ δὴ κἀν τοῖς ἔμπροσθεν λόγοις ἐμνήσθην. ἐν ὑστέρῳ δὲ Γουβάζης τε ὁ Λαζῶν βα- P 584
σιλεὺς καὶ Δαγισθαῖος ὁ Ῥωμαίων στρατηγὸς ξὺν τοῖς ἀμφοτέ-
ρων πεζοῖς εἵποντο, λογισάμενοι ὡς, εἰ τοῖς ἱππεῦσι τραπῆναι ξυμβαίη, ἐς αὐτοὺς ῥᾷστα σωθήσονται. Ῥωμαῖοι μὲν οὖν καὶ Λαζοὶ τῷ τρόπῳ τούτῳ ἐτάξαντο, Χωριάνης δὲ ἄνδρας μὲν χιλίους τῶν οἱ ἑπομένων ἀπολεξάμενος τεθωρακισμένους τε καὶ τἆλλα ἐξωπλισμένους ὡς ἄριστα, πρόσω ἐπὶ κατασκοπῆ ἔπεμ-
ψεν, αὐτὸς δὲ παντὶ τῷ ἄλλῳ στρατῷ ὄπισθεν ἦει, φυλακτή- H 329
ριον ὀλίγων τινῶν ἐν στρατοπέδῳ ἀπολιπών. προτερήσασα δὲ ἡ Λαζῶν ἵππος ἀτιμάζει τὰς ἐπαγγελίας οἷς ἔδρασεν, ἐπὶ τῶν ἔργων διαβαλοῦσα τὰς πρόσθεν ἐλπίδας. τοῖς γὰρ τῶν πολεμίων B
προδρόμοις ἐντετυχηκότες ἐξαπιναίως, οὐκ ἐνεγκόντες τε τὴν αὐ- V 192
τῶν ὄψιν, στρέψαντες αὐτίκα τοὺς ἵππους, κόσμῳ οὐδενὶ ὀπίσω ἀνέστρεφον, τοῖς τε Ῥωμαίοις ἐπειγόμενοι ἀνεμίγνυντο, ἐς αὐτοὺς οὐκ ἀπαξιοῦντες καταφυγεῖν, οἷς δὴ ξυντάσσεσθαι τὰ πρότερα ὤκνουν. ἐπειδὴ δὲ ἀμφότεροι ἀλλήλων ἄγχιστα ἵκοντο,

7. *Γούζην*] *γοβίζην* H. 8. *τε ὁ* L. *τε καὶ ὁ* P. 11. *ξυμβαίη*] *ξυμβαίνει* Reg. 20. *στρέψαντες*] *τρέψαντες* Reg. 21. *ἐπειγόμενοι*] *ἐπιγινόμενοι* Reg.

Haec locutus Gubazes, Lazorum copias eduxit. Sic autem acies instructa erat, ut primi adversum hostes incederent Lazorum equites. Pone longo intervallo sequebatur equitatus Romanus: cuius ductores erant Philegagus, natione Gepaes, vir strenuus, et Ioannes, Armenius bellicosissimus, Thomae filius, cognomine Guzes, cuius mentionem feci in superioribus libris. Postremum locum obtinebant Gubazes Lazorum Rex, Romanorumque Dux Dagisthaeus cum utriusque gentis peditatu, eo consilio, ut si forte equites terga verterent, ad hunc facile se reciperent. Ita quidem Romani Lazique se ordinarunt. Chorianes vero loricatos caeterisque armis egregie munitos viros mille, quos e suis delegerat, exploratum praemisit, et cum reliquo exercitu subsecutus est, paucis ad castrorum custodiam relictis. At praevius Lazorum equitatus promissa factis contrariis turpiter fallit, spem pristinam damnans atque evertens re secus gesta. Nam cum in hostium praecursores repente incidisset, eorum conspectum non sustinens, illico flexis equis incomposite rediit, ac propere se Romanis admiscuit, non dubitans ad eos perfugere, quibuscum antea iungere aciem recusaverat. Postquam ad se in-

χειρῶν μὲν τὰ πρῶτα οὐδέτεροι ἦρχον οὐδὲ ξυνέμισγον, ἀλλὰ τῶν ἐναντίων ἑκάτεροι ἐπιόντων μὲν ἀνεπόδιζον, ὑποχωρούντων δὲ ἐπεβάτευον, ἔς τε ὑπαγωγὰς καὶ παλιώξεις καὶ ἀγχιστρόφους C μεταβολὰς πολύν τινα κατέτριψαν χρόνον.

Ἦν δέ τις Ἀρταβάνης ὄνομα ἐν τούτῳ τῷ Ῥωμαίων στρατῷ, Περσαρμένιος γένος, ὅσπερ ἐς Ἀρμενίους τοὺς Ῥωμαίων κατηκόους πολλῷ πρότερον ἀπηυτομοληκὼς ἔτυχεν, οὐχ ἁπλῶς, ἀλλὰ φόνῳ Περσῶν εἴκοσι καὶ ἑκατὸν ἀνδρῶν μαχίμων, Ῥωμαίοις τὴν ἐς αὐτοὺς πίστιν πεποιημένος ἐχέγγυον. Βαλεριανῷ γὰρ τότε στρατηγοῦντι ἐν Ἀρμενίοις ἐς ὄψιν ἐλθὼν ἄνδρας πεν- τήκοντα τῶν παρὰ Ῥωμαίοις οἱ αὐτῷ διδύναι ἐδεῖτο. τυχών τε ὧνπερ ἐβούλετο, ἐς φρούριον ἐν Περσαρμενίοις κείμενον ἦει. οὗ δὴ ἑκατόν τε καὶ εἴκοσι Περσῶν φυλακτήριον ὑπὸ τῷ φρουρίῳ αὐτὸν ξὺν τοῖς ἑπομένοις ἐδέξαντο, οὔπω ἔνδηλον ὄντα ὅτι δὴ D μεταπορευθεὶς τὴν πολιτείαν νεωτερίζει. ὁ δὲ τούς τε εἴκοσι καὶ ἑκατὸν κτείνας καὶ ξύμπαντα λησάμενος τὰ ἐν τῷ φρουρίῳ χρήματα, μεγάλα ὑπερφυῶς ὄντα, παρὰ Βαλεριανὸν καὶ τὸ Ῥωμαίων στράτευμα ἦει, πιστός τε σφίσιν ἀπ' αὐτοῦ φανεὶς Ῥωμαίοις τὸ λοιπὸν ξυνεστράτευεν. οὗτος Ἀρταβάνης ἐν ταύτῃ τῇ μάχῃ δύο ξὺν αὐτῷ τῶν Ῥωμαίων στρατιωτῶν ἐπαγόμενος ἐν με- ταιχμίῳ ἐγένετο, οὗ δὴ ἀφίκοντο καὶ τῶν πολεμίων τινές. ἐφ'

8. παλιώξεις] παλινδιώξεις Reg. 9. αὐτοὺς] αὐτὸν L. 10. πεντήκοντα ῥωμαίους οἱ L. Ῥωμαίους etiam ex Reg. affertur. 12. ἐν Περσ. L. Aberat ἐν. „Videtur addenda praepositio ἐν.“ MALT.

vicem accesserunt utrique, principio neutra acies in pugnam coorta est, nec signa contulit, utraque sic alternante, ut modo cederet irruentibus adversariis, modo recedentibus instaret. In huiusmodi cursibus recursibusque et reciprocis impressionibus multum temporis contritum est.

Quidam erat in Romano exercitu Persarmenius, Artabanes nomine: qui ad Armenios Romanis subditos multo ante transfugerat, non simplici modo, at Persarum bellatorum cxx. caede suam in Romanos fidem testatus. Cum enim Valerianum adisset, tunc temporis Magistrum militum per Armenias, ab eo viros quinquaginta Romanae ditionis petierat, ac voti compos, contulerat sese in Persarmeniae castellum: quo a Persis praesidiariis loci cxx. admissus cum comitatu, antequam constaret eum ad aliam Rempublicam transgressum nova tentare; illis cxx. caesis, ac direptis omnibus castelli opibus, sane magnis, ad Valerianum Romanumque exercitum venerat: ex illo perspecta ipsius fide, eum Romani militiae suae ascriptum deinceps habuerant. Hic Artabanes, cum ad istud certamen ventum esset, assumptis duobus Romanis militibus, inter utramque aciem stetit, eoque ex hostibus quidam progressi sunt. In

τὸν ἄνθρωπον δόρατι ἔκτεινεν, οὕτω τε Ῥωμαῖοι καὶ Λαζοὶ τοῦ στρατοπέδου τῶν πολεμίων ἐκράτησαν. καὶ τῶν βαρβάρων πλεῖστοι μὲν αὐτοῦ διεφθάρησαν, οἱ δὲ λοιποὶ ἀπεκομίσθησαν ἐς τὰ P 586
πάτρια ἤθη, ὡς ἑκάστῳ δυνατὰ γέγονεν. αὕτη μὲν οὖν ἡ Περσῶν ἐσβολὴ ἐς γῆν τὴν Κολχίδα γενομένη ἐς τοῦτο ἐτελεύτα. καὶ ἄλλη δὲ Περσῶν στρατιὰ τοὺς ἐν Πέτρᾳ φρουροὺς τῷ τε τῶν ἐπιτηδείων πλήθει καὶ πᾶσι τοῖς ἄλλοις ἐπιρρώσαντες ἀνεχώρησαν.

Θ'. Ἐν τούτῳ δὲ τάδε ξυνηνέχθη γενέσθαι. Λαζοὶ Λα- B
γισθαῖον ἐς βασιλέα διέβαλον, ἐς Βυζάντιον ἥκοντες, προδοσίαν τε καὶ μηδισμὸν ἐπιφέροντες. Πέρσαις γὰρ αὐτὸν ἰσχυρίζοντο ἀναπεισθέντα οὐ βεβουλῆσθαι καταπεπτωκότος τοῦ Πέτρας περιβόλου ἐπιβατεῦσαι, τούς τε πολεμίους φυλάκους μεταξὺ ψάμμου ἐμπλησαμένους καὶ αὐτῶν τὰς ἐπιβολὰς ἀντὶ λίθων ποιησαμένους τοῦ περιβόλου ὅσα καταπεπτώκει κρατύνασθαι ταύτῃ. ἔλεγόν τε ὡς Λαγισθαῖος, εἴτε χρήμασιν εἴτε ὀλιγωρίᾳ ἐς τοῦτο ἠγμένος, τὴν ἐπίθεσιν ἐς ἕτερόν τινα χρόνον ἀπέθετο, καὶ τοῦ καιροῦ τὴν ἀκμὴν ἐν τῷ παραυτίκα μεθῆκεν, ἧς γε οὐκέτι ἀντι- C
λαβέσθαι οἷός τε ἐγεγόνει. αὐτὸν οὖν βασιλεὺς ἐν τῷ οἰκήματι καθείρξας ἐτήρει. Βέσσαν δὲ, ἐξ Ἰταλίας οὐ πολλῷ ἔμπροσθεν ἥκοντα, στρατηγὸν Ἀρμενίων καταστησάμενος ἐς Λαζικὴν πέμ-

2. τῶν πολεμίων om. L. 4. μὲν οὖν HL. οὖν μὲν P. 6. ἄλλη δὲ] ἄλλη δὴ L. 10. διέβαλλον L. ibid. ἥκοντες] ἥκοντα Reg. 11. μηδισμὸν] ὀνειδισμὸν L. 12. τοῦ — περιβόλου Reg. τῷ — περιβόλῳ P. 15. ταύτῃ κρατύνασθαι L. 18. ἀντιλαβέσθαι] λαβέσθαι Reg. Vulgatum habet Suidas s. v. ἀκμή. 19. ἐγεγόνει Reg. et Suidas. ἐγένετο P.

repente confecit hominem: itaque Romani et Lazi castris hostilibus potiti sunt. Ibi caesis Barbarorum quamplurimis, reliqui, prout cuique licuit, in patriam remigrarunt. Eum habuit exitum haec in Colchidem irruptio Persarum: quorum alter etiam exercitus abscessit, cum Petrae praesidium uberi annona caeterisque rebus omnibus firmasset.

9. Interea Lazi, qui Byzantium venerant, Dagisthaei nomen de proditione, et cum Medis consensione ad Imperatorem detulerant, asseverantes illum, Persarum suasu, Petrae muros labe pervios noluisse invadere, spatiumque hostibus dedisse ruinas omnes muniendi, congestis lapidum vice culeis arena plenis. Dicebant Dagisthaeum, sive pecunia ad id inductum, sive negligentia, aggressionem reiecisse in aliud tempus, et rei bene gerendae opportunitatem tunc omisisse, quam postea recuperare non potuisset. Propterea Imperator ipsum custodia attineri iussit, et Bessam, qui ex Italia non ita pridem redierat, ornatum Magisterio militiae per Armenias, misit in Lazicam, ut agenti in illis parti-

ἀνεχαίτιζον, ἐπὶ τὰ τόξα ἔβλεπον ἅπαντες, ἐλπίδι θαρροῦντες
C ὡς πλήθει βελῶν ῥᾷστα τοὺς πολεμίους ἐς φυγὴν τρέψονται. καὶ
Ῥωμαῖοι ξὺν Λαζοῖς ἅπασι ταὐτὸ τοῦτο ἐποίουν. ἑκατέρωθέν
τε συχνὰ ἐς ἀλλήλους τοξεύματα ἤει, ἔκ τε ἀμφοτέρων πολλοὶ
ἔπιπτον. Πέρσαι μὲν οὖν καὶ Ἀλανοὶ μάλιστα ξυνεχῆ τὰ βέλη
πολλῷ ἔτι μᾶλλον ἢ οἱ ἐναντίοι ἠφίεσαν. ἀλλ' αὐτῶν τὰ πολλὰ
ἐς τὰς ἀσπίδας ξυνέβαινεν ἀποκρούεσθαι. ἐν τούτῳ δὲ τῷ πο-
λέμῳ Χωριάνῃ τῷ Περσῶν ἄρχοντι βεβλῆσθαι ξυνέβη. ὑφ'
ὅτου μέντοι οὗτος ἀνὴρ βληθείη, φανερὸν οὐδενὶ γέγονεν, ἐπεὶ
οὕτω πως ἐκ τοῦ ὁμίλου ἰὼν ὁ ἄτρακτος ἔς τε τοῦ ἀνθρώπου τὸν
αὐχένα παγεὶς εὐθυωρὸν αὐτὸν διεχρήσατο, ἑνός τε θανάτῳ
H 330 ἀνδρὸς ἥ τε μάχη ἐλύθη καὶ πρὸς Ῥωμαίους ἡ νίκη ἐχώρει. ὁ
D μὲν γὰρ ἐκ τοῦ ἵππου ἐς τὸ ἔδαφος ἐπὶ στόμα πεσὼν ἔκειτο, δρό-
V 193 μῳ δὲ πολλῷ ἐπὶ τὸ χαράκωμα οἱ βάρβαροι ἤεσαν, οἵ τε Ῥω-
μαῖοι ξὺν τοῖς Λαζοῖς ἐπισπόμενοι πολλοὺς ἔκτειναν, ἐλπίδα
ἔχοντες αἱρήσειν αὐτοβοεὶ τὸ τῶν ἐναντίων στρατόπεδον. ἀλλά
τις τῶν Ἀλανῶν ἐς εὐψυχίαν σώματος ἰσχύϊ ἥκων, τοξεύειν
τε συχνὰ ἐφ' ἑκάτερα διαφερόντως ἐξεπιστάμενος, ἐς τοῦ χάρα-
κος τὴν εἴσοδον στενοτάτην οὖσαν εἱστήκει, ἐμπόδιός τε τοῖς
ἐπιοῦσι παρὰ δόξαν ἐπὶ πλεῖστον ἐγίνετο. Ἰωάννης δὲ, ὁ τοῦ
Θωμᾶ παῖς, μόνος ὡς ἀγχοτάτω παρ' αὐτὸν ἥκων ἐξαπιναίως

1. θαρσοῦντες L. 4. συχνὰ] συχνῶς H: συχνὰ Hm. 5. ξυνεχῆ] συνεχῆ L. 6. ἠφίεσαν] ἀφίεσαν Reg. *ibid.* τὰ πολλὰ] τὰ om. L. 7. δὲ om. L. 9. γέγονεν] γέγονε L. *ibid.* ἐπεὶ οὕτω πως] τύχῃ γάρ τινι L. 12. ἐλύθη P. ἐκλίθη HL. „ἴσ. ἐλύθη" Hm. *ibid.* πρὸς τοὺς ῥωμαίους L. 15. ἔκτειναν] ἔκτεινον L. 17. ἐς εὐψυχίαν — ἰσχύϊ] εὐψυχίας πέρι — ἰσχύος L. Quo recepto εὖ ἥκων scribendum. 19. στενοτάτην] στεναταίτην L. 21. αὐτὸν L. αὐτῷ P.

equi sese efferrent. Ad arcus demum cuncti respiciunt, ea spe, fore ut sagittarum ingenti numero hostem facillime in fugam vertant. Idem Romani cum Lazis omnibus faciunt. Denso hinc inde telorum ingruente nimbo, multi in utraque acie cadunt. Crebriores quidem sagittas mittebant Persae, et Alani, quam adversarii; sed pleraeque scutis repellebantur. In hoc praelio Chorianes vulnus accepit, cuius auctor nescitur. Nam veniens ex conferta multitudine sagitta, ac cervici viri infixa, eum illico peremit. Unius caede dirempto certamine, Romanis cessit victoria. Nam simul ex equo ille in terram pronus volutus est, castra Barbari effuso cursu repetierunt. Instare cum Lazis Romani, et stragem edere, spe incensi, fore ut primo impetu castra hostium caperent. Verum Alanus quidam, forti animo et valenti corpore praeditus, ac peritissimus crebras impellendi sagittas utroque versus, castrorum aditu, qui erat angustissimus, occupato, diu praeter opinionem invadentibus restitit. Denique Ioannes, Thomae filius, proxime solus accedens, hasta de-

τὸν ἄνθρωπον δόρατι ἔκτεινεν, οὕτω τε Ῥωμαῖοι καὶ Λαζοὶ τοῦ στρατοπέδου τῶν πολεμίων ἐκράτησαν. καὶ τῶν βαρβάρων πλεῖστοι μὲν αὐτοῦ διεφθάρησαν, οἱ δὲ λοιποὶ ἀπεκομίσθησαν ἐς τὰ P 586
πάτρια ἤθη, ὡς ἑκάστῳ δυνατὰ γέγονεν. αὕτη μὲν οὖν ἡ Περσῶν ἐσβολὴ ἐς γῆν τὴν Κολχίδα γενομένη ἐς τοῦτο ἐτελεύτα. καὶ ἄλλη δὲ Περσῶν στρατιὰ τοὺς ἐν Πέτρᾳ φρουροὺς τῷ τε τῶν ἐπιτηδείων πλήθει καὶ πᾶσι τοῖς ἄλλοις ἐπιρρώσαντες ἀνεχώρησαν.

θ'. Ἐν τούτῳ δὲ τάδε ξυνηνέχθη γενέσθαι. Λαζοὶ Λα- B
γισθαῖον ἐς βασιλέα διέβαλον, ἐς Βυζάντιον ἥκοντες, προδοσίαν τε καὶ μηδισμὸν ἐπιφέροντες. Πέρσαις γὰρ αὐτὸν ἰσχυρίζοντο ἀναπεισθέντα οὐ βεβουλῆσθαι καταπεπτωκότος τοῦ Πέτρας περιβόλου ἐπιβατεῦσαι, τούς τε πολεμίους θυλάκους μεταξὺ ψάμμου ἐμπλησαμένους καὶ αὐτῶν τὰς ἐπιβολὰς ἀντὶ λίθων ποιησαμένους τοῦ περιβόλου ὅσα καταπεπτώκει κρατύνασθαι ταύτῃ. ἔλεγόν τε ὡς Λαγισθαῖος, εἴτε χρήμασιν εἴτε ὀλιγωρίᾳ ἐς τοῦτο ἠγμένος, τὴν ἐπίθεσιν ἐς ἕτερόν τινα χρόνον ἀπέθετο, καὶ τοῦ καιροῦ τὴν ἀκμὴν ἐν τῷ παραυτίκα μεθῆκεν, ἧς γε οὐκέτι ἀντι- C
λαβέσθαι οἷός τε ἐγεγόνει. αὐτὸν οὖν βασιλεὺς ἐν τῷ οἰκήματι καθείρξας ἐτήρει. Βέσσαν δὲ, ἐξ Ἰταλίας οὐ πολλῷ ἔμπροσθεν ἥκοντα, στρατηγὸν Ἀρμενίων καταστησάμενος ἐς Λαζικὴν πέμ-

2. τῶν πολεμίων om. L. 4. μὲν οὖν HL. οὖν μὲν P. 6. ἄλλη δὲ] ἄλλη δή L. 10. διέβαλλον L. ibid. ἥκοντες] ἥκοντα Reg. 11. μηδισμὸν] ὀνειδισμὸν L. 12. τοῦ — περιβόλου Reg. τῷ — περιβόλῳ P. 15. ταύτῃ κρατύνασθαι L. 18. ἀντιλαβέσθαι] λαβέσθαι Reg. Vulgatum habet Suidas s. v. ἀκμή. 19. ἐγεγόνει Reg. et Suidas. ἐγένετο P.

repente confecit hominem: itaque Romani et Lazi castris hostilibus potiti sunt. Ibi caesis Barbarorum quamplurimis, reliqui, prout cuique licuit, in patriam remigrarunt. Eum habuit exitum haec in Colchidem irruptio Persarum: quorum alter etiam exercitus abscessit, cum Petrae praesidium uberi annona caeterisque rebus omnibus firmasset.

9. Interea Lazi, qui Byzantium venerant, Dagisthaei nomen de proditione, et cum Medis consensione ad Imperatorem detulerant, asseverantes illum, Persarum suasu, Petrae muros labe pervios noluisse invadere, spatiumque hostibus dedisse ruinas omnes muniendi, congestis lapidum vice culeis arena plenis. Dicebant Dagisthaeum, sive pecunia ad id inductum, sive negligentia, aggressionem reiecisse in aliud tempus, et rei bene gerendae opportunitatem tunc omisisse, quam postea recuperare non potuisset. Propterea Imperator ipsum custodia attineri iussit, et Bessam, qui ex Italia non ita pridem redierat, ornatum Magisterio militiae per Armenias, misit in Lazicam, ut agenti in illis parti-

πει, ἄρχειν ἐπαγγείλας τοῦ ἐνταῦθα Ῥωμαίων στρατοῦ. οὗ δὴ καὶ Βενίλος, ὁ Βούζου ἀδελφὸς, ξὺν στρατῷ ἤδη σταλεὶς ἔτυχε καὶ Ὀδόναχός τε καὶ Βάβας ἐκ Θρᾴκης καὶ Οὐλίγαγος Ἔρουλος γένος. ὅ τε Ναβέδης ἐσβαλὼν ἐς Λαζικὴν στρατῷ ἄλλο μέν τι
D λόγου ἄξιον οὐδὲν ἔδρασεν, Ἀβασγοῖς δὲ ἀποστᾶσιν ἀπό τε Ῥωμαίων καὶ Λαζῶν ἐπιχωριάσας τῇ στρατιᾷ ταύτῃ, παῖδας τῶν ἐν σφίσι λογίμων ἐξήκοντα ἐν ὁμήρων λόγῳ πρὸς αὐτῶν ἔλαβε. τότε δὲ ποιούμενος ὁ Ναβέδης ὁδοῦ πάρεργον, καὶ Θεοδώραν Ὀψίτῃ ξυνοικήσασαν (ὃς ἐγεγόνει Γουβάζου μὲν θεῖος, Λαζῶν δὲ βασιλεὺς) εὑρὼν ἐν Ἀψιλίοις εἶλεν, ἔς τε τὰ Περσῶν ἤθη ἀπήνεγκε. Ῥωμαία δὲ γένος ἡ γυνὴ ἐτύγχανεν οὖσα, ἐπεὶ ἐκ παλαιοῦ οἱ Λαζῶν βασιλεῖς ἐς Βυζάντιον πέμποντες βασιλέως τε γνώμῃ ξυνιόντες ἐς κῆδός τισι τῶν ἀπὸ τῆς ξυγκλήτου βουλῆς γυναῖκας ἐνθένδε γαμετὰς ἐκομίζοντο. καὶ Γουβάζης ἀμέλει Ῥω-
P 587 μαίας γυναικὸς ἐγεγόνει γόνος. ὅτου δὲ ἕνεκα οἱ Ἀβασγοὶ οὗτοι ἐς ἀπόστασιν εἶδον, ἐγὼ δηλώσω.

Ἐπειδὴ βασιλεῖς τοὺς σφετέρους καθεῖλον, ἧπέρ μοι ἔναγχος δεδιήγηται, στρατιῶται Ῥωμαίων πρὸς βασιλέως στελλόμενοι, ἐπεχωριάζόν τε αὐτοῖς ἐκ τοῦ ἐπὶ πλεῖστον καὶ προσποιεῖσθαι τῇ Ῥωμαίων ἀρχῇ τὴν χώραν ἠξίουν, καινά τε αὐτοῖς ἅττα ἐπέταττον. οἷσπερ Ἀβασγοὶ βιαιοτέροις οὖσιν ἀτεχνῶς ἀπήχθοντο. δείσαντες οὖν μὴ Ῥωμαίων δοῦλοι τὸ λοιπὸν ἔσονται, τοὺς ἄρχον-

3. *Βάβας*] ὁ βάβας HL. *ibid.* *Οὐλίγαγγος* H. 13. *συγκλήτου* L. 15. *γόνος*] *γένος* L. 17. *μοι* om. L. 18. *βασιλέως* Maltretus. Vulgo *βασιλέων*. 21. *ἀπήχθοντο*] *ἤχθοντο* Reg.

bus exercitui Romano praeesset. Eodem cum copiis iam missi fuerant Buzis frater Benilus, Odonachus, Babas natione Thrax, et Uligagus Erulus. Lazicam ingressus Nabedes cum exercitu, nihil, quod esset operae pretium, fecit: tantum inter Abasgos, qui a Romanis Lazisque desciverant, versatus cum suis copiis, accepit obsides sexaginta filios Procerum illius gentis. Tum quoque Nabedes Theodoram, uxorem Opsitis, qui Gubazis patruus Lazorumque Rex fuerat, in Apsilia nactus, eam obiter ac praeter itineris institutum captam, abduxit in Persidem. Erat haec genere Romana mulier. Quippe iam inde olim Lazorum Reges per Legatos Byzantium missos affinitatem cum aliquibus Senatoribus de sententia Imperatoris iungebant, atque hinc ducebant uxores. Certe Gubazes Romanae erat feminae filius. Iam quae causa defectionis Abasgorum extiterit, declarabo.

Cum Reges suos, uti paulo ante narravi, de medio sustulissent, inter eos versati iamdiu milites, qui ab Rom. Imperatore missi fuerant, Romano Imperio regionem illam vendicare aggressi sunt, ac nova quaedam tributa irrogarunt. Iniquiorem vim gravissime ferentes Abasgi, veritique ne Romanis postmodum servirent, iterum sibi crearunt regulos,

τας αὖθις κατεστήσαντο σφίσιν, Ὀψίτην μὲν ὄνομα ἐς τῆς χώρας τὰ πρὸς ἀνίσχοντα ἥλιον, Σκεπαρνᾶν δὲ ἐς τὰ πρὸς ἑσπέραν. V 194
ἐς ἀγαθῶν γὰρ ἐκπεπτωκότες ἀπόγνωσιν τὰ πρότερον δόξαντα
σφίσι μοχθηρὰ εἶναι τῶν ἐπιγενομένων, ἅτε πονηροτέρων ὄντων, B
ὡς τὸ εἰκὸς, ἀντηλλάσσοντο, δύναμίν τε ἀπ' αὐτοῦ τὴν Ῥωμαίων δειμαίνοντες Πέρσαις ὡς λαθραιότατα προσεχώρησαν. ὅπερ ἐπεὶ βασιλεὺς Ἰουστινιανὸς ἤκουσε, Βέσσαν ἐκέλευε στράτευμα λόγου ἄξιον ἐπαγόμενον ἐπ' αὐτοὺς ἰέναι. ὁ δὲ πολλοὺς ἀπολεξάμενος τοῦ Ῥωμαίων στρατοῦ, ἄρχοντάς τε ἐπιστήσας αὐτοῖς Οὐλίγαγόν τε καὶ Ἰωάννην τὸν Θωμᾶ υἱὸν, αὐτίκα ἐπὶ τοὺς Ἀβασγοὺς ναυσὶν ἔπεμψεν. ἐτύγχανε δὲ ἄτερος μὲν τῶν ἐν Ἀβασγοῖς ἡγουμένων, Σκεπαρνᾶς ὄνομα, ἐν Πέρσαις τινὰ διατριβὴν ἔχων. μετάπεμπτος γὰρ ὀλίγῳ πρότερον παρὰ Χοσρόην ἀφῖκτο. ὁ δὲ δὴ ἕτερος, τὴν Ῥωμαίων μαθὼν ἔφοδον, τούς τε Ἀβασγοὺς ἅπαν- C
τας ἤγειρε καὶ ὑπαντιάζειν διὰ σπουδῆς εἶχε. H 331

Ἔστι δὲ χῶρος μετὰ τοὺς Ἀψιλίων ὅρους ἐν τῇ ἐς τὴν Ἀβασγίαν εἰσόδῳ τοιόσδε· ὄρος ὑψηλὸν ἐκ τῶν Καυκασίων ἀρχόμενον καὶ κατὰ βραχὺ ἐλασσούμενόν τε καὶ ὑπολῆγον ὥσπερ τις κλῖμαξ κατατείνει καὶ τελευτᾷ ἐς τὸν Εὔξεινον πόντον. καὶ φρούριον μὲν ἐχυρώτατον καὶ μεγέθους πέρι ἀξιολογώτατον ἐκ παλαιοῦ οἱ Ἀβασγοὶ ἐν τῇ ὑπωρείᾳ τοῦ ὄρους τούτου ἐδείμαντο. οὗ δὴ καταφεύγοντες ἐκκρούουσιν ἀεὶ τὰς τῶν πολεμίων ἐφόδους,

5. ἀντηλλάσσοντο L. ἀπηλλάσσοντο P. *ibid.* ἀπ'] ἀνὰ L. 6. ὅπερ] ἅπερ Reg. 8. ἀποδεξάμενος Reg. 9. Οὐλίγαγγον H. Et sic infra. 11. ναυσὶν ἔπεμψεν] ἦγεν H. *ibid.* ἀφῖκτο] Legebatur ἀφίκετο. 16. Ἀψιλίων] ἀψιλίας Reg. 20. ἐχυρώτατον] ὀχυρώτατον Reg. ἐχυρωτάτόν τε L.

Opsitem in parte exortiva, et Sceparnam ad Occidentem. Nimirum in desperationem delapsi, quae prius gravia iudicaverant, consequentibus gravioribus non immerito praeoptarunt, ac Romanae potentiae metu impulsi, in Persarum fidem occultissime se contulerunt. Qua de re factus certior Iustinianus Augustus Bessae mandavit ut validas in eos copias duceret. Ille multis e Romano lectis exercitu, Uligagum et Ioannem Thomae filium duces praeposuit, et mari in Abasgiam celeriter misit. Ac Principum quidem Abasgorum alter, Sceparnas nomine, tunc temporis in Perside morabatur, a Chosroë paulo ante accitus Alter vero, Romanorum adventu cognito, Abasgos omnes coëgit, seque ad occursum expediit.

Trans Apsiliorum fines, in Abasgiae aditu, locus est istiusmodi situ. Mons excelsus, et a Caucasiis propagatus, paulatim decrescit, ac scalarum instar inclinans dorsum, pertingit desinitque ad Pontum Euxinum. In ima parte eiusce montis olim Abasgi castrum validissimum amplissimumque condiderunt. Eo confugere solent, et prohibere incursus ho-

οὐδαμῇ ἐχόντων τὴν δυσχωρίαν βιάζεσθαι. μία δὲ εἴσοδός ἐστιν εἰσάγουσα ἔς τε τὸ φρούριον τοῦτο καὶ ἐς τὴν ἄλλην Ἀβασγῶν χώραν, ἥπερ ἀνδράσι ξύνδυο ἐρχομένοις ἀπόρευτος τυγχάνει
D οὖσα. μηχανῇ γὰρ οὐδεμιᾷ ἐστιν ὅτι μὴ κατ' ἄνδρα καὶ μόλις πεζεύοντα ἐνθένδε ἰέναι. τῆς τε ἀτραποῦ ταύτης ὑπέρκειται φάραγξ ἐς ἄγαν σκληρὰ ἐκ τοῦ φρουρίου διήκουσα μέχρι ἐς τὴν θάλασσαν. φέρεται δὲ καὶ προσηγορίαν τῆς φάραγγος ἀξίαν ὁ χῶρος, ἐπεὶ αὐτὸν ἑλληνίζοντες οἱ τῇδε ἄνθρωποι τὰ Τραχέα καλοῦσιν. ὁ μὲν οὖν Ῥωμαίων στόλος μεταξὺ ὁρίων τῶν τε Ἀβασγῶν καὶ Ἀψιλίων κατέπλευσεν, Ἰωάννης δὲ καὶ Οὐλίγαγος ἐς τὴν γῆν τοὺς στρατιώτας ἀποβιβάσαντες πεζῇ ἐχώρουν, οἵ τε ναῦται ταῖς ἀκάτοις ἁπάσαις παρὰ τὴν ἠόνα τῷ στρατῷ εἵποντο. ἐπειδὴ
P 588 δὲ τῶν Τραχέων ὡς ἀγχοτάτω ἐγένοντο, ἐξωπλισμένους τε ὁρῶσιν Ἀβασγοὺς ἅπαντας καὶ τῆς ἀτραποῦ ὕπερθεν, ἧς ἄρτι ἐμνήσθην, κατὰ τὴν φάραγγα ὅλην ἐν τάξει ἑστῶτας, ἀμηχανία τε πολλῇ εἶχοντο ὅπη θέσθαι τὰ σφίσι παρόντα οὐδαμῇ ἔχοντες, ἕως ἐν αὐτῷ πολλὰ λογισάμενος Ἰωάννης ἄκεσίν τινα τοῦ κακοῦ εὗρετο. τὸν γὰρ Οὐλίγαγον ξὺν τῷ ἡμίσει τοῦ στρατοῦ ἐνταῦθα ἐάσας αὐτὸς τοὺς ἄλλους ἐπαγόμενος τὰς ἀκάτους ἐπλήρου. ἐρέσσοντές τε χῶρον τὸν τῶν Τραχέων περιῆλθόν τε καὶ διέβησαν ὅλον καὶ κατὰ νώτου τῶν πολεμίων ταύτῃ ἐγένοντο. ἄραντες οὖν τὰ σημεῖα ἐς αὐτοὺς ἦεσαν. Ἀβασγοὶ δὲ τοὺς πολεμίους

2. εἰσάγουσά ἐστιν L. 3. ξύνδυο] ξυνδύο P. συνδύο L. 9. τῶν τε] τε τῶν H. 10. δὲ καὶ L. τε καὶ P. 16. ὅπη om. L. 18. εὗρετο Reg. εὕρατο P.

stium, difficultate loci insuperabili. Unus est ad castrum hoc et reliquam Abasgiam aditus, isque angustior, quam ut virorum par capiat aequis frontibus incedentium. Nam illac nonnisi singuli, et quidem pedibus, vix ire possunt. Subiacet ea semita convalli asperrimae, quae a castro ad mare usque evadit, et sibi conveniens dat loco nomen: eum enim Graeco vocabulo Thrachea [id est Aspera] appellant. Ergo Romana classe inter Abasgorum et Apsiliorum fines appulsa, Ioannes atque Uligagus, cum militibus in terram expositis iter agebant: nautae cum scaphis omnibus littus legentes exercitum sequebantur. Cum proxime Trachea ventum est, apparent Abasgi omnes armati, ac supra tramitem, cuius modo memini, in tota convalle stantes, instructa acie. Haesere diu, ignari quid consilii pro re caperent: donec Ioannes, attente secum meditatus, malo remedium invenit. Relicto enim ibi cum dimidia parte copiarum Uligago, ipse cum altera conscendit scaphas. Remigando flectunt, ac praetervehuntur Trachea, itaque a tergo hostium subeuntes, adversum illos sublatis vexillis tendunt. Abasgi ingruentem utrinque ho-

σφίσιν ἑκατέρωθεν ἐγκειμένους ὁρῶντες ἐς ἀλκὴν μὲν οὐκέτι ἔβλε- B
πον, οὐδὲ τὴν τάξιν ἐφύλασσον, ἐς ὑπαγωγὴν δὲ ξὺν πολλῇ ἀκο-
σμίᾳ τραπόμενοι πρόσω ἐχώρουν, οὕτω τῷ δέει καὶ τῇ ἀπ' αὐτοῦ
ἀμηχανίᾳ συμποδιζόμενοι ὥστε οὔτε τὴν πατρῴαν σφίσι δυσχω-
ρίαν ἔτι διαγινώσκειν ἐδύναντο οὔτε πη εὐπετῶς ἐνθένδε ἴέναι.
Ῥωμαῖοι δὲ αὐτοῖς ἑκατέρωθεν ἐπισπόμενοί τε καὶ καταλαβόντες
πολλοὺς ἔκτειναν. δρόμῳ τε ξὺν τοῖς φεύγουσιν ἐς τὸ φρούριον
ἀφικόμενοι ἀνακεκλιμένης ἔτι ἐπιτυγχάνουσι τῆς ταύτῃ πυλίδος.
οἱ γὰρ φύλακες ἐπιθεῖναι τὰς θύρας οὐδαμοῦ ἴσχυον, ἀλλὰ τοὺς
φεύγοντας ἔτι ἐδέχοντο. τῶν τε φυγόντων τοῖς διώκουσιν ἀνα-
μιχθέντων ἐπὶ τὰς πύλας ἴενται ἅπαντες, οἱ μὲν ἐπιθυμίᾳ τοῦ
σώζεσθαι, οἱ δὲ τοῦ τὸ φρούριον ἑξελεῖν. ἀνακεκλιμένας οὖν C
τὰς πύλας ὁρῶντες ξυνεισέβαλλον ἐς ταύτας ἀλλήλοις. οἱ γὰρ
πυλωροὶ οὔτε διακρίνειν ἀπὸ τῶν πολεμίων τοὺς Ἀβασγοὺς εἶχον
οὔτε τὰς πύλας ὑπερβιαζομένου τοῦ ὁμίλου ἐπιτιθέναι. καὶ οἱ
μὲν Ἀβασγοὶ ἄσμενοι ἐντὸς τοῦ περιβόλου γενόμενοι ξὺν τῷ
φρουρίῳ ἡλίσκοντο, Ῥωμαῖοι δὲ τῶν ἐναντίων κεκρατηκέναι οἰό-
μενοι πόνῳ δυσκολωτέρῳ ἐνταῦθα ὠμίλουν. τῶν γὰρ οἰκιῶν
συχνῶν τε οἰσῶν καὶ οὐ λίαν διεχουσῶν ἀλλήλων, ἀλλὰ καὶ τρό-
πον τείχους πανταχόθεν ξυμπεφραγμένων, Ἀβασγοὶ ἐς αὐτὰς
ἀναβάντες καὶ σθένει παντὶ ἀμυνόμενοι, τοὺς πολεμίους κατὰ V 195

1. ὁρῶντες] ἰδόντες Reg. 3. πρόσω ἐχώρουν, οὕτω] προσεχώρουν, οὕτως L. 4. οὔτε — οὔτε] Vulgo οὐδὲ — οὐδὲ. o
9. ἴσχυον] εἶχον Reg. 11. ἴενται] Vulgo ἴενται. ἴοντο Hm. 13. εὑρόντες συνεισέβαλον L. 20. συμπεφραγμένων L.

stem conspicati, omisso resistendi consilio, turbare ordines, et fuga incomposita loco cedere, ita metu districti, ut nec soli patrii salebras visu discernere, nec se illinc expedire facile possent. Romani hinc inde instant, multosque assecuti interimunt. Cursu ad castrum usque progressi cum fugientibus, patentem adhuc eius portam offendunt. Neque enim ut fores obderent, adduci custodes poterant, fusa suorum agmina adhuc expectantes. Fugientes insequentibus permisti erant, et cuncti ad portam enitebantur, alios evadendi, alios occupandi castri extimulante studio. Itaque portam videntes patefactam, irruperunt promiscue; cum nequirent custodes, nec ab hostibus Abasgos secernere, nec valvas claudere prae impetu multitudinis. Abasgi, quamvis libenter suis moenibus se commiserant, tenebantur tamen cum castro. Romanis vero, qui debellatum esse cum hostibus rebantur, maior ibi labor se obtulit. Cum enim domorum inter se parum distantium densa series undique murorum instar munita esset; Abasgi illas ingressi, ac totis viribus obsistentes, in hostes tela desuper mittebant, metu hinc et terrore, illinc uxo-

Ὑπὸ τοῦτον δὲ τὸν χρόνον Χοσρόῃ ξυνέβη μηδὲ τὸν γόνον τῇ ἀπανθρωπίᾳ τῇ αὐτοῦ ἀνέπαφον μεῖναι. τῶν γάρ οἱ παίδων
P 590 ὁ πρεσβύτατος Ἀνατώζαδος ὄνομα (δύναται δὲ τοῦτο τῇ Περσῶν φωνῇ ἀθανατίζων) προσκεκρουκὼς αὐτῷ ἔτυχεν, ἄλλα τε πολλὰ τῇ ἐς τὴν δίαιταν παρανομίᾳ ἐξαμαρτὼν καὶ ταῖς γυναιξὶ τοῦ πατρὸς ὀκνήσει οὐδεμιᾷ ἐς εὐνὴν ξυνιών. τὰ μὲν οὖν πρῶτα φυγῇ τὸν παῖδα τοῦτον ὁ Χοσρόης ἐζημίωσεν. ἔστι δέ τις ἐν Πέρσαις Οὐαζαΐνη χώρα, ἀγαθὴ μάλιστα, οὗ δὴ πόλις Βηλαπατῶν καλουμένη οἰκεῖται, ἑπτὰ ἡμερῶν ὁδῷ Κτησιφῶντος διέχουσα. ἐνταῦθα τοῦ πατρὸς ἀπαγγείλαντος Ἀνατώζαδος οὗτος
V 196 διατριβὴν εἶχε. τότε δὲ τῷ Χοσρόῃ χαλεπώτατα νοσῆσαι ξυνέβη, ὥστε καὶ ἐλέχθη ἐξ ἀνθρώπων ἀφανισθῆναι· νοσώδης γὰρ ἦν ὁ Χοσρόης φύσει. ἀμέλει καὶ τοὺς ἰατροὺς πανταχόθεν πολ-
B λάκις ἀμφ' αὐτὸν ἤγειρεν, ἐν οἷς καὶ Τριβοῦνος ὁ ἰατρὸς ἦν, Παλαιστῖνος γένος. ὁ δὲ Τριβοῦνος οὗτος λόγιος μὲν ἦν καὶ τὰ ἐς τέχνην τὴν ἰατρικὴν οὐδενὸς ἧσσων, ἄλλως τε σώφρων τε καὶ θεοφιλὴς καὶ τῆς ἐπιεικείας ἐς ἄκρον ἦκων. καί ποτε Χοσρόην κακῶς τοῦ σώματος ἔχοντα ἰασάμενος ἀπηλλάγη ἐκ τῆς Περσῶν χώρας, δῶρα πολλά τε καὶ λόγου ἄξια πρὸς τοῦ ἀνθρώπου κεκομισμένος. ἡνίκα τοίνυν ἡ ταύτῃ προτέρα ἐκεχειρία ἐγένετο, Ἰου-

1. *μηδὲ τῶν γότθων τῇ ἀνθρωπία* L. 2. *μεῖναι* Reg. *εἶναι* P. 3. *Ἀνατώζαδος*] *ἀνασώζαδος* Reg. 6. *ξυνιών*] *συναὼν* L. 8. *Βηλαπατῶν* Reg. *Λαπατὼ* P. 10. *Ἀνατώζαδος*] *ἀνασώζαδος* L. 12. *νοσώδης — φύσει* Reg. *νοσώδους — φύσεως* P. 14. *οἷς* Reg. *τοῖς* P. *ibid. Τριβοῦνος*] Locum de Tribuno citat Suidas s. h. v. 15. *Παλαιστῖνος* Suidas. *Παλαιστινὸς* P. *παλαιστηνὸς* L. *ibid. λόγιος*] *λόγιμος* H. 18. *τῆς περσῶν* L et Suidas. Vulgo *τῆς τῶν Περσῶν*. 20. *ταύτης* L a pr. m. *ibid. πρότερα* om. L.

Sub idem tempus contigit ut Chosrois inhumanitatem vel ipsa eius proles experiretur. Filiorum illius natu maximus, Anatozadus nomine, quod Persice idem est ac *Donans immortalitatem*, ipsum offenderat, praeter alia multa licentissimae vitae flagitia, non veritus cum uxoribus paternis concumbere. Ac primo Chosroës filium hunc multavit exilio. Est Vazaine Persidis regio imprimis fertilis, et in ea urbs Lapato, a Ctesiphonte dierum septem itinere dissita. Hic iussu patris degebat Anatozadus. Interea Chosroës morbum adeo gravem contraxit, ut ipsius obitum fama nuntiaret. Erat enim natura valetudinarius Chosroës. Profecto medicos saepe undique cogebat: quo in numero fuit Tribunus, genere Palaestinus, vir eruditus, nec cuiquam secundus artis Medicae peritia, singulari idem moderatione, pietate in Deum egregia, summaque mansuetudine praeditus. Aliquando, cum Chosroëm male se habentem sanasset, e Perside rediit, multis ac magnificis donis ab ipso auctus. Quando autem hae priores induciae pactae sunt, a Iustiniano Au-

στινιανὸν βασιλέα Χοσρόης τὸν ἰατρὸν τοῦτον ξυνδιαιτησόμενον αὐτῷ ἐς ἐνιαυτὸν ᾔτησε δοῦναι. τῆς τέ οἱ ξυνδιαιτήσεως ἐπιτελεσθείσης, ὥσπερ μοι ἔμπροσθεν εἴρηται, ἐκέλευε τὸν Τριβοῦνον ὁ Χοσρόης αἰτεῖσθαι ὅτου ἂν δέηται. ὁ δὲ ἄλλο οὐδὲν ᾔτει τῶν C πάντων χρημάτων ἢ ὥστε οἱ Ῥωμαίων τῶν αἰχμαλώτων τινὰς Χοσρόην ἀφεῖναι. ὁ δέ οἱ ἄλλους τε τρισχιλίους ἀφῆκε καὶ ὅσους πρὸς ὄνομα ἐξητήσατο ἐν τοῖς αἰχμαλώτοις λογίμους ὄντας, κλέος τε μέγα ἐκ τοῦ ἔργου τούτου ἐς πάντας ἀνθρώπους ὁ Τριβοῦνος ἔσχε. ταῦτα μὲν οὖν τῇδε ξυνηνέχθη γενέσθαι.

Ἐπειδὴ δὲ Ἀνατώζαδος τὰ Χοσρόῃ τῷ πατρὶ ἀμφὶ τῇ νόσῳ ξυμπεσόντα ἔγνω, τῆς βασιλείας ἐπιβατεύων, νεώτερα πράγματα ἔπρασσε. τοῦ τε πατρὸς οἱ ῥαΐσαντος, οὐδέν τι ἧσσον τήν τε πόλιν αὐτὸς ἀποστήσας καὶ ὅπλα ἀντάρας ἐς τὸν πόλεμον ἀκμάζων ἦει. ταῦτα ὁ Χοσρόης ἀκούσας στρατιάν τε καὶ στρα- H 333 τηγὸν Φάβριζον ἐπ᾽ αὐτὸν ἔπεμψε. νικήσας οὖν τῇ μάχῃ ὁ Φά- D βριζος ὑποχείριόν τε τὸν Ἀνατώζαδον πεποιημένος παρὰ Χοσρόην οὐ πολλῷ ὕστερον ἤνεγκε. καὶ ὃς τοὺς τοῦ παιδὸς ὀφθαλμοὺς ἐλωβήσατο, οὐ τὰς ὄψεις ἀφελόμενος, ἀλλὰ τὰ βλέφαρα τά τε ἄνω καὶ τὰ κάτω ἀκοσμίᾳ πολλῇ ἀντιστρέψας. περόνην γὰρ σιδηρᾶν πυρακτώσας τινὰ καὶ ταύτῃ μυόντοιν τοῖν τοῦ παιδὸς ὀφθαλμοῖν ἔξω χρίσας, οὕτω δὴ τῶν βλεφάρων τὸν κόσμον λωβήσασθαι ἔσχε. ταῦτα δὲ Χοσρόης τούτου δὴ ἕνεκα ἐποίει μό-

1. *συνδιαιτησόμενον* L et Suidas. 2. *ξυνδιαιτήσεως*] *αἰτήσεως* Suidas. 3. *ἐκέλευε*] *ἐκέλευσε* L et Suidas. 5. *τινὰς*] *τινὰ* H. 6. *ἄλλους τε* Suidas. Aberat *τε*. 7. *λογίμους*] *λογίους* Suidas. 10. *Ἀνατώζαδος*] *ἀνασώζαδος* L. 12. *οἱ* om. L. 16. *Ἀνατώζαδον*] *ἀνασώσανδον* Reg. hic et p. 591 a. 21. *λωβήσασθαι*] *βιάσασθαι* L.

gusto Chosroës postulavit, ut medicum hunc apud se anno uno manere sineret. Elapso illo domesticae consuetudinis spatio, uti supra diximus, institit Tribuno Chosroës, ut quidquid opus haberet posceret. Ille pro omni pecunia nihil aliud petiit, nisi captivorum Romanorum aliquot libertatem. Dimisit ei Chosroës non modo ex nobilitate bello capta quoscumque nominatim petierat, sed alios ad tria millia: unde apud omnes magnam Tribunus gloriam est consecutus. Haec hactenus.

Ubi Chosroëm patrem suum teneri morbo audiit Anatozadus, potestatem sibi regiam arrogans, res novas moliri coepit. Deinde confirmata patris valetudine, nihilo is minus urbem ad defectionem induxit, sumptisque armis, bellum iuvenili ardore ferox suscepit. His Chosroës auditis, in eum copias misit, Phabrizo duce: qui victum acie Anatozadum cepit, nec multo post ad Chosroëm duxit. Ille oculos filii mutilavit, non illata coecitate, sed palpebris supra infraque foedissime inversis. Nempe clausis ipsius oculis candentem acum ferream forinsecus admovens, pal-

νον, ὅπως ἂν τῷ πωδὶ ἀναστέλληται ἡ ἐπὶ τῇ βασιλείᾳ ἐλπίς. ἄνδρα γὰρ λώβῃ ἐχόμενον οὐκέτι ὁ νόμος ἐφίησι βασιλέα καθίστασθαι Πέρσαις, ὥσπερ μοι καὶ τοῖς ἔμπροσθεν λόγοις ἐρρήθη.

P 591 ια'. Τῷ μὲν οὖν Ἀνατωζάδῳ τά τε τῆς τύχης καὶ τὰ τοῦ τρόπου ἐς τοῦτο ἐτελεύτα· τὸ δὲ πέμπτον ἔτος τῆς ἐκεχειρίας διήνυστο. καὶ Πέτρον μὲν ἄνδρα πατρίκιον, τὴν τοῦ μαγίστρου ἀρχὴν ἔχοντα, παρὰ Χοσρόην Ἰουστινιανὸς βασιλεὺς ἔστελλεν, ἐφ' ᾧ τὰς σπονδὰς ἀμφὶ τῇ ἑῴᾳ παντάπασι διοικήσεται. ὁ δὲ αὐτὸν ἀπεπέμψατο, ἔψεσθαί οἱ ἄνδρα οὐκ ἐς μακρὰν ὑποσχόμενος τὸν ταῦτα διαθησόμενον, ὅπη ἑκατέροις ξυνοίσειν μέλλει. Ἰσδιγούναν τε αὖθις οὐ πολλῷ ὕστερον ἔπεμψεν, ὑφρυάζοντά τε
B καὶ ἀλαζονείᾳ τινὶ ἀμυθήτῳ ἐχόμενον, οὗ δὴ ὅ τε τῦφος καὶ τὸ φύσημα φορητὸν εἶναι Ῥωμαίων οὐδενὶ ἔδοξεν. ἐπήγετο δὲ τήν τε γυναῖκα καὶ τοὺς παῖδας καὶ τὸν ἀδελφὸν, ἑπομένων τε θεραπόντων πάμπολυ πλῆθος. εἴκασεν ἄν τις ἐς παράταξιν τοὺς ἄνδρας ἰέναι. ἔφοντο δὲ αὐτῷ καὶ δύο τῶν ἐν Πέρσαις λογιμωτάτων, οἳ δὴ καὶ διαδήματα ἐπὶ τῶν κεφαλῶν χρυσᾶ ἐφόρουν. ἔδακνέ τε τοὺς ἐν Βυζαντίῳ ἀνθρώπους, ὅτι δὴ αὐτὸν
V 197 C Ἰουστινιανὸς βασιλεὺς οὐ κατὰ πρεσβευτὴν, ἀλλὰ πολλῷ ἔτι μᾶλλον φιλοφροσύνης τε καὶ μεγαλοπρεπείας ἠξίωσε. Βραδου-

1. ὅπως] ὅπερ H. *ibid.* ἐπὶ τῇ HL. τῇ om. P. 3. μοι om. L. 5. Τῷ] Legebatur Τὰ. 9. διοικήσεται] διοικήσωνται L. 12. Ἰσδιγούναν] Ἰσδιγούσναν Reg. Ἰσδιαγούναν H. *ibid.* ὑφρυάζοντα] Suidas s. v. ὑφρυάζω. 14. ἔδοξεν L. ἔδοξεν εἶναι P. 15. τοὺς παῖδας] τὰς παῖδας L. 16. ἐς] εἰς L. 21. Βραδουνίων] βαδίκιος Reg. βραδίκιος H.

pebris decus abstulit. Quod eo solum animo fecit Chosroës, ut filio regnandi spem eriperet. Nam regnum Persicum lex mutilo deferri vetat; quemadmodum in superioribus libris commemoravi.

11. Huc fortuna atque indoles Anatozadi eruperunt, exiitque annus induciarum quintus. Tunc Petrum Patricium, eumdemque Magistrum Officiorum, ad Chosroëm Iustinianus Augustus legavit, ut de pace Orientis omnino constitueret. At ille hunc remisit, pollicitus, subsecuturum virum, qui rem componeret, prout rationibus conduceret utriusque gentis. Nec multo post, destinavit iterum Isdigunam, grandi virum supercilio, et arrogantia, supra quam dici potest, elatum: cuius fastus ac tumor Romanis omnibus intolerabilis videbatur. Uxorem, liberos et fratrem ducebat secum, comitante famulorum ingenti agmine: dixisses illos instructa acie ad proelium progredi. Aderant ei comites duo e primaria Persidis nobilitate, aurea diademata capitibus gestantes. Id vero Byzantios maxime urebat, quod multo benignius ac magnificentius quam pro Legati conditione Iustinianus Augustus ipsum haberet. Non iterum

κίων μέντοι ξὺν αὐτῷ οὐκέτι ἐς Βυζάντιον ἦλθεν, ἐπεὶ Χοσρόην φασὶν αὐτὸν ἐξ ἀνθρώπων ἀφανίσαι, ἄλλο οὐδὲν τῷ ἀνθρώπῳ ἐπενεγκόντα, πλήν γε δὴ ὅτι ὁμοτράπεζος τῷ Ῥωμαίων βασιλεῖ γέγονεν. οὐ γὰρ ἄν, ἔφη, ἑρμηνεύς γε ὢν ἐς τοῦτο ἀξιώματος πρὸς βασιλέως ἀφίκετο, εἰ μὴ καταπροδοὺς ἔτυχε τὰ Περσῶν πράγματα. τινὲς δὲ τὸν Ἰσδιγοΐναν αὐτὸν διαβαλεῖν φασιν, ὡς D λάθρα Ῥωμαίοις ἐς λόγους ἔλθοι. τὰ δὲ πρῶτα ὁ πρεσβευτὴς οὗτος βασιλεῖ ἐντυχὼν οὐ μικρὸν ἀμφὶ τῇ εἰρήνῃ, οὐ μέγα εἶπεν, ἀλλ' ἠτιᾶτο Ῥωμαίους ἐς τὴν ἐκεχειρίαν ἠδικηκέναι, Ἀρέθαν τε καὶ Σαρακηνοὺς τοὺς Ῥωμαίων ἐνσπόνδους Ἀλαμουνδάρῳ ἐν σπονδαῖς λιμήνασθαι φάσκων, ἄλλα τε οὐκ ἀξιόλογα φέρων ἐγκλήματα, ὥσπερ μοι ἐπιμνησθῆναι οὐ τοι ἀναγκαῖον ἔδοξεν εἶναι.

Ἐν μὲν οὖν Βυζαντίῳ ταῦτα ἐπράσσετο. Βέσσας δὲ παντὶ P 592 τῷ Ῥωμαίων στρατῷ Πέτρας ἐς πολιορκίαν καθίστατο. Ῥωμαῖοί τε ἀμφὶ τὸ τεῖχος διώρυσσον, ἵνα δὴ καὶ Δαγισθαῖος τὰ πρύτερα τὴν διώρυχα πεποιημένος τὸν περίβολον ταύτῃ καθεῖλεν. ὅτου δὲ δὴ ἕνεκα ἐς τὸν αὐτὸν χῶρον ὤρυσσον, ἐγὼ δηλώσω. οἱ τὴν πόλιν τὸ ἐξ ἀρχῆς ταύτην δειμάμενοι, ἐπὶ Πέτρας μὲν ἔθεντο ἐκ τοῦ ἐπὶ πλεῖστον τὰ τοῦ περιβόλου θεμέλια, ἐνιαχῇ δὲ καὶ ὑπὲρ χώματος αὐτὰ ξυνέβαινε κεῖσθαι. ἦν δέ τις τοῦ τείχους μοῖρα ἐς τῆς πόλεως τὰ πρὸς ἑσπέραν οὐ λίαν εὐρεῖα, ἧς δὴ ἑκα- B τέρωθεν ἐπὶ Πέτρας τινὸς σκληρᾶς τε καὶ ἀμηχάνου τοῦ περιβό-

1. ἐς βυζάντιον οὐκέτι L. 6. Ἰσδιγούναν] ἰσδιγοῦσδαν Reg. ibid. διαβαλεῖν] διαβάλλειν L. 13. Βέσσας] βέσας H, et infra. 14. Ῥωμαῖοί τε] ῥωμαῖοι μὲν οὖν L 18. ταύτην] ταύτῃ L. 22. ἀμηχάνου] ἀμηχάνου ὁρίσεσθαι (h. e. ὁρύσσεσθαι) L.

cum eo Byzantium Braducio venit: quem ferunt interfectum a Chosroë, hinc tantummodo reum arguente, quod eum Imperator Rom. mensae participem suae fecisset. *Neque enim*, aiebat, *honore tanto Interpres affectus esset a Caesare, nisi rem Persicam prodidisset.* Sunt qui eius nomen de clandestino cum Romanis colloquio ab Isdiguna delatum dicant. Cum primum Legatus hic in congressum et colloquium venit Imperatoris, de pace nec paucis nec multis egit: tantum questus est violatas a Romanis inducias; quarum tempore nondum exacto, Arethas et Saraceni, Romanorum socii, Alamundarum vexassent. Alia quaedam leviora obiecit, silentio, ut equidem censeo, praetermittenda.

Dum haec aguntur Byzantii, Bessas cum omnibus Romanorum copiis Petram obsidet. Ac moenia quidem Romani suffoderunt in ea parte, qua prius excavata a Dagisthaeo, murus eo loci collapsus fuerat: cur autem ibi cuniculum egerint, modo dicam. Qui primi hanc urbem aedificarunt, murorum fundamenta fere omnia locarunt in rupe: alicubi aggeri superposuerunt. Qua spectat urbs Occidentem, erat pars quaedam muri non admodum lata, ad cuius latera silex aspera ferroque impenetrabilis fun-

λου τὰ θεμέλια ἐτεκτήνατο. ταύτην τοίνυν τὴν μοῖραν Δαγισθαῖός τε τὰ πρότερα καὶ τανῦν Βέσσας διώρυσσον ὁμοίως, οὐκ ἐφιείσης τῆς τοῦ χωρίου φύσεως σφίσι περαιτέρω ἰέναι, ἀλλὰ τὸ τῆς διώρυχος μῆκος ξυμμετρούσης τε αὐτοῖς καὶ πρυτανευούσης εἰκότως. ἡνίκα οὖν Πέρσαι μετὰ τὴν Δαγισθαίου ὑπαγωγὴν τὸ καταπεπτωκὸς τοῦ τείχους ἀνοικοδομήσασθαι ἤθελον, οὐ κατὰ τὰ πρότερα τὴν οἰκοδομίαν πεποίηνται, ἀλλὰ τρόπῳ τοιῷδε. κάχλικος τὸν κενωθέντα ἐμπλησάμενοι χῶρον δοκοὺς παχείας αὐτοῦ ὕπερθεν ἔθεντο, ἅσπερ ἐνδελεχέστατα ξύσαντες ὁμαλάς τε παντάπασι καταστησάμενοι ἔζευξαν μὲν ἐς ἀλλήλας ἐς μέγα τι
C εὖρος, κρηπῖδας δὲ αὐτὰς ἀντὶ θεμελίων ποιησάμενοι τοῦ περιβόλου καθύπερθεν αὐτῶν ἐτεκτήναντο τὴν οἰκοδομίαν ἐμπείρως. ὅπερ οὐ ξυνιέντες Ῥωμαῖοι ἔνερθεν τῶν θεμελίων ποιεῖσθαι τὴν
H 334 θώρυχα ᾤοντο. καὶ τὸν χῶρον κενώσαντες ὅλον ἐκ τῶν δοκῶν, ὥνπερ ἐπεμνήσθην ἀρτίως, ἐπὶ πλεῖστον τῆς γῆς τὸν μὲν περίβολον κατασεῖσαι κατὰ πολλὰ ἴσχυσαν, μοῖρά τε αὐτοῦ ἐξαπίναιος κατεπεπτώκει, οὐ μέντοι οὔτε πη ἐπὶ θάτερον τὸ πεπτωκὸς τοῦτο ἐκλίθη οὔτε τις αὐτῷ τῶν λίθων ἐπιβολὴ ξυνεταράχθη, ἀλλ' ἀκραιφνὲς ὅλον εὐθείᾳ τινὶ καταβάσει, ὥσπερ ἐκ μηχανῆς, ἐς τὸν κενωθέντα χῶρον καταβὰν ἕστη, καὶ τὴν οἰκείαν ἐφύλασσε χώραν, οὐκ ἐς ὕψος, ὅσον τὰ πρότερα, ἀλλ' ἔτι ἧσσον. κενω-

3. ἐφιείσης Suidas s. v. πρυτανευούσης. ἀφείσης Reg. Vulgo ἐνδιδούσης. 4. συμμετρούσης L. ibid. αὐτοῖς] αὐτῆς Reg. αὐτὸ H. 5. ὑπαγωγὴν] ἀπαγωγὴν H. 7. πρότερα] πρότερον L. ibid. ἀλλὰ om. L. 12. οἰκοδομίαν Reg. οἰκοδομὴν P. 13. ξυνιέντες] ξυνέντες L. 16. πολλὰ] πολὺ L. ibid. αὐτοῦ] αὐτῶν L. 17. οὔτε — οὔτε] οὐδέ — οὐδέ P. 19. εὐθείᾳ τινὶ] εὐθὺς Reg. 20. χῶρον] τόπον Reg.

damenta muri sustinebat. Eam igitur partem ut Dagisthaeus antea, sic Bessas modo subegit ligonibus, non sinente eos ulterius progredi natura loci, sed commetiente et idoneis terminis definiente cuniculi longitudinem. Cum autem Dagisthaeus obsidionem solvisset, ruinas muri instaurare volentes Persae, non pristinum servarant structurae modum; at hunc inierant. Spatio, quod inanitum fuerat, oppleto glarea, crassas trabes imposuerant, ac dolatas optime et complanatas inter se ita vinxerant, ut latissima earum esset compages. Hac basi pro fundamento posita, murum apte superstruxerant. Id cum nescirent Romani, se fundamenta suffodere existimabant. E spatio, quod trabibus, quarum modo memini, suberat, egesta magna terrae vi, murum quidem late quassarunt, ac repente eius pars succidit: neutro tamen procubuit ruina, nec series lapidum confusa est; verum integra ad perpendiculum defluens, et, tanquam ex machina, in sedem vacuam demissa stetit, suumque locum tenuit, non iam aeque ac prius edita, sed humilior. Itaque trabes, subtracto peni-

θέντος οὖν παντὸς τοῦ τῶν δοκῶν ἔνερθε χώρου ὑφιζάνειν αὐτὰς D
ἐνταῦθα ξὺν τῇ ὑπὲρ αὐτὰς οἰκοδομίᾳ πάσῃ ξυνέβη. τοῖς δὲ
Ῥωμαίοις οὐδ' ὡς ἐσβατὸν ἐγεγόνει τὸ τεῖχος. ὁ γὰρ τῶν Περ-
σῶν ὅμιλος, ἡνίκα πολὺς ξὺν τῷ Μερμερόῃ ἐνταῦθα ἦλθε, μέγα
5 τι χρῆμα τῇ πρόσθεν οἰκοδομίᾳ ἐνθέμενοι ὑψηλὸν ἐς ἄγαν τὸν
περίβολον ἐτεκτήναντο. Ῥωμαῖοι μὲν οὖν, ἐπειδὴ τοῦ περιβό-
λου τὸ κατασεισθὲν αὖθις ἑστηκὸς εἶδον, διηποροῦντό τε καὶ
ἀμηχανίᾳ πολλῇ εἴχοντο. οὔτε γὰρ διορύσσειν ἔτι ἠδύναντο, ἐς
τοῦτο ἀποκεκρυμμένης τῆς κατώρυχος σφίσι, κριῷ τε χρῆσθαι
10 οὐδαμῇ εἶχον, ἐπεὶ ἐν τῷ ἀνάντει ἐτειχομάχουν. ἡ δὲ μηχανὴ
αὕτη ἐφέλκεσθαι οὐχ οἵα τέ ἐστιν ὅτι μὴ ἐν χωρίῳ ὁμαλῷ τε καὶ
λίαν ὑπτίῳ.

Τύχῃ δέ τινι ξυνεκόρησεν ἐν τούτῳ τῷ Ῥωμαίων στρατῷ P 593
εἶναι βαρβάρων τῶν Σαβείρων ὀλίγους τινὰς ἐξ αἰτίας τοιᾶσδε.
15 οἱ Σάβειροι, ἔθνος μέν ἐστιν Οὐννικὸν, ᾤκηνται δὲ ἀμφὶ τὰ
Καυκάσια ὄρη, πάμπολυ πλῆθος μὲν ἐς ἄγαν ὄντες, ἐς ἀρχὰς V 198
δὲ πολλὰς ἐπιεικῶς διῃρημένοι. τούτων δὲ τῶν ἀρχόντων οἱ μέν
τινές εἰσι τῷ Ῥωμαίων αὐτοκράτορι, οἱ δὲ τῷ Περσῶν βασιλεῖ
ἐκ παλαιοῦ γνώριμοι. τοῖν τε βασιλέοιν ἑκάτερος χρύσιον εἰώθει
20 τακτὸν τοῖς αὐτοῦ ἐνσπόνδοις προΐεσθαι, οὐκ ἐπέτειον μέντοι,
ἀλλ' ἡνίκα ἂν ἐς τοῦτο αὐτὸν ἡ χρεία ἐνάγοι. τότε οὖν Ἰουστι-
νιανὸς βασιλεὺς τῶν Σαβείρων τούς οἱ ἐπιτηδείους ἐς τὴν ὁμαι-

2. ξὺν τῇ om. L. 7. τὸ κατασεισθὲν] τοῦ κατασεισθέντος καὶ θεμένου Reg. 9. χρῆσθαι κριῷ τε H. 10. ἐν τῷ] ἐν μὲν τῷ L. 14. Σαβείρων] σαβήρων Reg. 15. Σάβειροι] σάβηροι L. 21. ἐς τοῦτο] εἰς τοῦτο L. ibid. ἐνάγοι] ἀνάγοι Reg.

tus solo, cui incumbebant, cum structura omni sibi imposita, inibi subsederunt. Ac ne id quidem Romanis ascensum ad murum praebuit. Etenim Persae magno illuc numero antea secuti Mermeroëm, non mediocri accessione moenia extulerant. Romani, ubi convulsam muri partem stare de integro viderunt, ignari quo se verterent, aestuabant. Nam nec subducere terram amplius poterant, cuniculo ita obruto; nec uti ariete, cum in acclivi murum oppugnarent: illa autem machina trahi nequiret, nisi in loco plano ac molliter iacenti.

Casu quodam contigit ut in hoc Romanorum exercitu nonnulli Barbari Sabiri agerent, ista de causa. Sabiri, gens Hunnica, ad Caucasum habitant, frequentissimi, et in multos principatus rite divisi. Principum alii cum Imperatore Romano, alii cum Persarum Rege amicitia veteri coniuncti sunt. Ac solet uterque Rex certum auri modum sociis largiri suis, non quotannis, sed quando ad id necessitate compellitur. Tunc igitur Iustinianus Augustus Sabiros sibi amicos ad socianda secum

B χιλίαν παρακαλῶν ἔστειλέ τινα τὸν τὰ χρήματα παρ' αὐτοὺς κομιοῦντα. ὁ δὲ (πολεμίων γὰρ μεταξὺ ὄντων, ἐς ὄρη τὰ Καυκάσια ἰέναι ξὺν τῷ ἀσφαλεῖ ἄλλως τε καὶ χρήματα ἐπαγόμενος οὐδαμῇ εἶχεν) ἀφικνεῖται μὲν παρά τε Βέσσαν καὶ τὸ Ῥωμαίων στρατόπεδον, ὅπερ ἐς τὴν Πέτρας πολιορκίαν καθίστατο, παρὰ δὲ τοὺς Σαβείρους πέμψας ἐκέλευσεν αὐτῶν τινας ὅτι τάχιστα τοὺς τὰ χρήματα ληψομένους παρ' αὐτὸν ἥκειν, οἵ τε βάρβαροι τρεῖς ἀπολεξάμενοι τῶν ἐν σφίσιν ἀρχόντων, ξὺν ὀλίγοις τισὶν ἐς Λαζικὴν εὐθὺς ἔπεμψαν· οἳ δὴ ἐνταῦθα γενόμενοι ξὺν τῷ Ῥω-
C μαίων στρατῷ ἐς τήνδε τὴν τειχομαχίαν κατεστήσαντο. οὗτοι γὰρ ἐπειδὴ Ῥωμαίους εἶδον ἀπογνόντας, ἐς τειχομαχίαν κατέστησαν ἑαυτούς. καὶ Ῥωμαίων ἀπορουμένων καὶ μὴ ἐχόντων ἔν αὐτοῖς τὸ παρὸν θέσθαι, Σάβειροι μηχανήν τινα ἐπετεχνήσαντο, οἷα οὔτε Περσῶν οὔτε Ῥωμαίων τινὶ, ἐξ οὗ γεγόνασιν ἄνθρωποι, ἐς ἔννοιαν ἦλθε, καίτοι τεχνιτῶν μὲν πολὺς ὅμιλος ἐν ἑκατέρᾳ πολιτείᾳ γέγονέ τε ἀεὶ καὶ ταυῦν ἐστιν. ἐς χρείαν δὲ πολλάκις ἐς τὸν πάντα αἰῶνα κατέστησαν τῆς μηχανῆς ἑκάτεροι ταύτης, ἐς ἐρύματά τε, τειχομαχοῦντες ἐν χωρίοις σκληροῖς καὶ δυσβάτοις τισὶ, κείμενα· ἀλλ' αὐτῶν οὐδενὶ τὸ ἐνθύμημα τοῦτο γεγένη-
D ται, ὥσπερ τούτοις δὴ τοῖς βαρβάροις ταυῦν γέγονεν· οὕτως ἀεὶ προϊόντι τῷ χρόνῳ ξυννεωτερίζειν τῶν πραγμάτων τὰς ἐπινοίας

4. *Βέσσαν*] *βέσαν* H. *τὸν βέσσαν* L. 5. *Πέτρας*] *πέτραν* L. 6. *Σαβείρους*] *σαβήρους* L. 10. *κατεστήσαντο*] *κατέστησαν* Reg. et H. *κατεστήσαντο* Hm. 11. *γὰρ* om. L. *ibid. ἀπογνόντας — μηχανήν*] *ἀπογνόντας τε καὶ ἀπορουμένους τὸ παρὸν θέσθαι μηχανήν* Reg. 14. *οὔτε — οὔτε*] *οὐδὲ — οὐδὲ* P. 15. *τεχνιτῶν* L. *τεχνητῶν* P. 20. *ὥσπερ*] *ὅπερ* L. 21. *συννεωτερίζειν* L.

arma invitans, ad eos quemdam, qui pecuniam deferret, misit. Is vero, non valens tuto ad Caucasum, praesertim cum pecunia, penetrare, eo quod hostes regionem interpositam obtinerent, postquam ad Bessam, et Romanas copias Petram obsidentes pervenit, per nuntium Sabiris significavit, ut quamprimum ad se venirent ipsorum quidam, accepturi pecuniam. Extemplo Barbari delectos tres e Proceribus suis in Lazicam destinant cum nonnullis: qui post suum illuc adventum, Romanis permisti copiis, murorum oppugnationi manum admoverunt. Ad id autem operam contulerunt animadversa Romanorum desperatione. His certe haerentibus, et quo pacto sibi in praesenti consulerent ignorantibus, Sabiri machinam fabricati sunt, qualis post hominum memoriam nec Persarum, nec Romanorum cuiquam in mentem venit: quamvis in utroque Imperio nunquam defuerit, nec iam desit ingens opificum numerus, et saepe in omni aetate eiusmodi machina utrique opus habuerint ad verberandas munitiones in locis asperis et aditu difficilibus positas. At eorum nemo inventum hoc unquam peperit, sicut iam isti Barbari. Is

φιλεῖ τῶν ἀνθρώπων ἡ φύσις. κριὸν γὰρ αὐτοσχεδιάζουσιν οἱ Σάβειροι οὗτοι, οὐχ ἥπερ εἰώθει, ἀλλὰ καινουργήσαντες ἑτέρῳ τῷ τρόπῳ. οὐ γὰρ δοκοὺς ἐς τὴν μηχανὴν ταύτην, οὐκ ὀρθὰς, οὐκ ἐγκαρσίας ἐμβέβληνται, ἀλλὰ ῥάβδους παχείας τινὰς ἐς ἀλλήλας ξυνδέοντες, καὶ αὐτὰς ὀντὶ τῶν δοκῶν πανταχόθι ἐναρμοσάμενοι, βύρσαις τε τὴν μηχανὴν καλύψαντες ὅλην τὸ τοῦ κριοῦ διεσώσαντο σχῆμα, μίαν δοκὸν μόνην, ἥπερ εἴθισται, κατὰ μέσην τὴν μηχανὴν ἀλύσεσιν ἀναρτήσαντες χαλαραῖς τισιν, ἥπερ τὸ ἄκρον ὀξὺ γεγενημένον καὶ σιδήρου περικαλυφθὲν ὥσπερ βέλους ἀκὶς ἔμελλε συχνὰ κατὰ τοῦ περιβόλου ἐμβάλλεσθαι. οὕτω P 594 δὲ κούφην τὴν μηχανὴν ἀπειργάσαντο, ὥστε οὐκέτι αὐτὴν πρὸς ἀνδρῶν τῶν ἔνδον ὄντων ἑλκεσθαι ἢ διωθεῖσθαι ἀναγκαῖον ἐγίνετο, ἀλλ' ἄνδρες τεσσαράκοντα, οἳ καὶ τὴν δοκὸν ἀνασύρειν τε καὶ κατὰ τοῦ περιβόλου ἐμβάλλεσθαι ἔμελλον, ἔνδον τῆς μηχανῆς ὄντες καὶ ὑπὸ τῶν βυρσῶν καλυπτόμενοι ἔφερον τὸν κριὸν ἐπὶ τῶν ὤμων οὐδενὶ πόνῳ. τρεῖς μὲν οὖν οὗτοι οἱ βάρβαροι H 335 μηχανὰς τοιαύτας εἰργάσαντο, τὰς δοκοὺς ξὺν τῷ σιδήρῳ ἐκ τῶν κριῶν ἀφελόμενοι, οὓς δὴ Ῥωμαῖοι ἐν παρασκευῇ ἔχοντες οὐχ οἷοί τε ἦσαν ἐς τὸ τεῖχος ἑλκεῖν· ὑποδύντες δὲ αὐτῶν ἑκάστην B οὐχ ἧσσους ἢ κατὰ τεσσαράκοντα στρατιῶται Ῥωμαῖοι ἀριστίνδην ἀπολεχθέντες ὡς ἀγχοτάτω τοῦ τείχους ἔθεντο. ἑκατέρωθεν δὲ μηχανῆς ἑκάστης ἕτεροι ἵσταντο, τεθωρακισμένοι τε καὶ

2. Σάβειροι] σάβηροι L. *ibid.* ἥπερ L. ὥσπερ P. 11. ἀπηργάσαντο L. ἀπειργάσαντο Lm. 20. ἀριστίνδην L. ἀριστείνδην P.

nempe est humani mos ingenii, ut pariter cum tempore ad novas rerum inventiones semper progrediatur. Ex tempore Sabiri isti arietem excitarunt, non consueto, sed novo quodam alio modo. Neque enim rectis transversisque trabibus compegerunt hanc machinam, verum crassioribus virgis inter se nexis, et in omni latere aptatis trabium loco, totam machinam coriis ita circumtexerunt, ut speciem arietis retinuerint, una admodum trabe in medio catenis laxis, ut assolet, suspensa; cuius caput in mucronem desinens, et ferro circummunitum, non secus ac teli cuspis, muros crebro impulsu verberaturum erat. Porro adeo levem fecere hanc machinam, ut eam a viris intus dispositis trahi agive necesse non esset; sed viri quadraginta, qui trabem retracturi et in murum impulsuri erant, arietariam machinam humeris expeditissime gestarent, intus protecti coriis. Tres igitur hi Barbari machinas eiusmodi struxerunt, trabibus cum suo ferro detractis ex arietibus, quos Romani, a se comparatos, nequibant ad moenia trahere: tum earum quamque ingressi milites Romani minimum quadraginta ex fortissimis delecti, illos muro admoverunt. Ad machinae cuiusque latera stabant alii, loricis galeisque egregie muniti,

κράνεσι τὰς κεφαλὰς ἐς τὸ ἀκριβὲς κεκαλυμμένοι καὶ κοντοὺς ἔχοντες, ὥνπερ τὰ ἄκρα σιδηρίοις ἀγκιστροειδέσιν ἐρήρειστο, τούτου δὴ παρισκευασμένων αὐτοῖς ἕνεκα, ὅπως, ἐπειδὰν ἡ τοῦ κριοῦ ἐς τὸν περίβολον ἐμβολὴ ξυγχέῃ τὰς τῶν λίθων ἐπιβολὰς, τούτοις δὴ τοῖς κοντοῖς περιαιρεῖν τε τοὺς ξυγχεομένους τῶν λίθων καὶ ἀπορριπτεῖν δυνατοὶ εἶεν. Ῥωμαῖοι μὲν οὖν ἔργου εἴχοντο καὶ τὸ τεῖχος ἤδη συχναῖς ταῖς ἐμβολαῖς κατεσείετο, οἱ δὲ τῶν μηχανῶν ἐφ' ἑκάτερα ὄντες τοῖς ἀγκιστροειδέσι κοντοῖς τῶν
C λίθων τοὺς ξυνταρασσομένους ἀπὸ τῆς κατὰ τὴν οἰκοδομίαν ξυνθήκης ἐρρίπτουν, ἀλώσεσθαί τε ἡ πόλις αὐτίκα δὴ μάλα ἐπίδοξος ἦν. οἱ δὲ Πέρσαι ἐπενόουν τάδε. ξύλινον πύργον, ὅσπερ
V 199 αὐτοῖς ἐκ παλαιοῦ παρεσκεύαστο, καθύπερθεν τοῦ περιβόλου ἐτίθεντο, ἀνδρῶν ἔμπλεων τῶν ἐν σφίσι μαχιμωτάτων, ἥλοις τε σιδηροῖς καὶ θώραξι τάς τε κεφαλὰς καὶ τὸ ἄλλο σῶμα περιβαλλόντων. ἀγγεῖα δὲ θείου τε καὶ ἀσφάλτου ἐμπλησάμενοι καὶ
D φαρμάκου, ὅπερ Μῆδοι μὲν νάφθαν καλοῦσιν, Ἕλληνες δὲ Μηδείας ἔλαιον, πυρί τε ταῦτα ὑφάψαντες ἐπὶ τὰς μηχανὰς τῶν κριῶν ἔβαλλον, ἅσπερ ὀλίγου ἐμπιπράναι πάσας ἐδέησεν. ἀλλ' οἱ περὶ ταύτας, ὥσπερ μοι ἐρρήθη, ἑστῶτες, τοῖς κοντοῖς, ὥνπερ ἐπεμνήσθην ἀρτίως, ἐνδελεχέστατα περιαιροῦντες τὰ βαλλόμενα καὶ περικαθαίροντες ἅπαντα ἐς τὸ ἔδαφος ἐκ τῶν μηχανῶν εὐθὺς ἐρρίπτουν. οὐκ ἐπὶ πολὺ δὲ πρὸς τὸ ἔργον τοῦτο ἀνθέξειν

8. τούτου] τούτων Reg. *ibid.* ἕνεκα] ἥνεκαν L. 6. ἀπορρίπτειν L. 16. νάφθαν] Suidas s. h. v. et s. φάρμακον. 18. ἅσπερ] ἃς παρ' L corr. *ibid.* ὀλίγου L. ὀλίγῳ P. 19. περὶ ταύτας] παρὰ ταῦτα L. 21. καὶ περικαθαίροντες τὰ βαλλόμενα L.

atque instructi contis, quorum cuspides uncis ferreis praefixae erant, eo consilio, ut cum arietis caput, muro impactum, structuram eius convulsisset, lapides confusos dimovere his contis ac proiicere possent Ergo rem aggressis Romanis, iam murus crebris impressionibus quatiebatur, et qui hinc inde astabant machinis, lapides sedibus suis emotos excutiebant contis, eratque opinio urbem continuo expugnatum iri. At Persae istud excogitarunt. Turrim ligneam, iamdiu paratam, moenibus imposuerunt, ac viris complerunt pugnacissimis, qui pectoribus loricas, capitibus ac reliquo corpori tegmina induerant clavis ferreis horrida. Vascula sulphure, bitumine et veneno, quod Medi Naphthan, Graeci Medeae oleum vocant, plena, atque igni concepto ardentia, in arietarias machinas mittebant; sic ut cunctae tantum non conflagraverint. Sed enim qui illis, uti dixi, astabant, contis, quorum modo memini, depellentes ac repurgantes quae iacta fuerant, e machinis omnia confestim humi devolvebant: quanquam haud diu labori huic suffecturos se et restituros

ὑπώπτευον. τὸ γὰρ πῦρ οὗ προσψαύσειεν ἐνεπίμπρα αὐτίκα, εἰ μὴ εὐθυωρὸν ἀποβληθείη. ταῦτα μὲν οὖν ἐπράσσετο τῇδε.

Βέσσας δὲ αὐτὸς τεθωρακισμένος καὶ ἅπαν ἐξοπλίσας τὸ στράτευμα κλίμακας πολλὰς ἐς τὸ πεπτωκὸς τοῦ τείχους προῆγε. καὶ λόγῳ τοσαῦτα παραθαρρύνας, ὅσα μὴ ἀμβλῦναι τοῦ καιροῦ τὴν ἀκμὴν, ἔργοις τῆς παρακελεύσεως τὸ λοιπὸν ἔνειμεν. ἀνὴρ γὰρ πλέον ἢ ἑβδομήκοντα γεγονὼς ἔτη καὶ παντάπασιν ἄξωρος ὢν ἤδη πρῶτος ἐπέβη τῆς κλίμακος. ἐνταῦθα μάχη καὶ ἀρετῆς ἐπί- P 595
δειξις γίνεται Ῥωμαίοις τε καὶ Πέρσαις οἵαν ἔγωγε κατὰ τοῦτον τὸν χρόνον οὐδαμῇ οἶμαι ξυνενεχθῆναι. τὸ μὲν γὰρ βαρβάρων πλῆθος εἰς δισχιλίους καὶ τριακοσίους ξυνῆγεν, Ῥωμαῖοι δὲ ἐς ἑξακισχιλίους ἐτύγχανον ὄντες. καὶ αὐτῶν ἑκατέρωθεν ὅσοι οὐ διεφθάρησαν τραυματίαι σχεδόν τι γεγόνασιν ἅπαντες, ὀλίγους τε λίαν ἐπ' ἀθῴοις τοῖς σώμασι περιεῖναι ξυνέβη. Ῥωμαῖοι μὲν οὖν τὴν ἀνάβασιν ἐβιάζοντο δυνάμει τῇ πάσῃ, Πέρσαι δὲ αὐτοὺς πόνῳ πολλῷ ἀπεκρούοντο. ἀμφοτέρωθεν δὲ κτεινομένων πολλῶν οὐ μακράν που ἐγένοντο τοῦ ἀπεῶσθαι τὸν κίνδυνον Πέρσαι. ὠθισμοῦ γὰρ πολλοῦ ἐν τῇ τῶν κλιμάκων ὑπερβολῇ γεγενημένου ἄλλοι τε Ῥωμαίων συχνοὶ, ἅτε πολεμίοις καθύπερθεν οὖσι μα- B
χόμενοι, ἔθνησκον καὶ Βέσσας ὁ στρατηγὸς ἐς τὸ ἔδαφος ἐκπε-

3. Βέσσας] βέσας H, et infra saepius. 4. τοῦ L. τοῦτο τοῦ P. ibid. προῆγε L. 5. τοσαῦτα — ὅσα] τοσοῦτον — ὅσον L. ibid. παραθαρρύνας Reg. παραθαρσύνας P. 6. τὸ λοιπὸν] τὰ λοιπὰ Reg. 7. ἔτη] ἐτῶν L. 8. μάχη] μέχρι L. 10. γὰρ om. L. 13. γεγόνασι πάντες L. 20. ἐκπεσὼν] πεσὼν L.

putabant. Nam quidquid ignis contingeret, nisi eodem puncto temporis excuteretur, id protinus absumebat. Ita quidem haec agebantur.

Bessas vero ipse loricatus, armatis omnibus copiis, ad muri partem collapsam scalas applicuit, et cum suos verbis eatenus animasset, ut hebescere non sineret occasionis vim, exhortationis reliquum impendit factis. Vir enim annis maior septuaginta, ac plane iam exoletus, scalas primus ascendit. Tum Persae et Romani in pugnam coorti sunt cum ea significatione virtutis, cui parem, mea quidem sententia, aetas haec nusquam vidit. Siquidem collectis Barbaris ad duo millia et trecentos, Romanis ad sex millia, ex utrisque, qui non interierunt, vulnerati sunt fere omnes, nec nisi oppido pauci illaeso corpore superfuerunt. Itaque ascensum Romani totis viribus tentabant: eos Persae labore multo repellebant. Cadentibus utrinque plurimis, nihil propius factum est, quam ut Persae periculum amolirentur. Nam cum in summis scalis magna vi sese invicem truderent, et Romani cum hoste superiorem locum tenente pugnarent, magno his numero pereuntibus, Bessas Magister militum de-

σὼν ἔκειτο. καὶ τότε δὴ κραυγῆς ἐξαισίας πρὸς ἀμφοτέρων γεγενημένης οἱ μὲν βάρβαροι πανταχόθεν ξυρρέοντες ἐπ' αὐτὸν ἔβαλον, οἱ δὲ δορυφόροι ξυνέστησάν τε σπουδῇ ἀμφ' αὐτὸν καὶ κράνη μὲν ἐν ταῖς κεφαλαῖς ἔχοντες, θώρακας δὲ ἀμπεχόμενοι πάντες, ἔτι μέντοι καθύπερθεν ταῖς ἀσπίσι φραξάμενοι καὶ ἐν χρῷ ξυνιόντες ἀλλήλοις, ὀροφῆς αὐτῷ σχῆμα ἐποίουν καὶ τόν τε στρατηγὸν ὡς ἀσφαλέστατα ἔκρυψαν καὶ τὰ βαλλόμενα παντὶ σθένει ἀπεκρούοντο. καὶ πάταγος μὲν τῶν ἀεὶ πεμπομένων τε καὶ ταῖς ἀσπίσιν ἢ τοῖς ἄλλοις ὅπλοις ἀποκαυλιζομένων βελῶν πολὺς ἐγεγόνει, κραυγῇ δὲ καὶ ἄσθματι καὶ ταλαιπωρίᾳ ἕκαστος εἶχετο. Ῥωμαῖοί τε ἅπαντες τῷ στρατηγῷ ἀμύνειν ἐν σπουδῇ ἔχοντες ἔβαλλον ἐς τὸ τεῖχος, οὐδένα ἀνιέντες καιρὸν, καὶ ταύτῃ τοὺς πολεμίους ἀνέστελλον. τότε δὴ ὁ Βέσσας (οὐδὲ γὰρ ἐξανίστασθαι εἶχε, τῆς ὁπλίσεως ἀντιστατούσης, ἄλλως τε καὶ τοῦ σώματός οἱ οὐκ εὐσταλοῦς ὄντος, ἦν γὰρ οὗτος ἀνὴρ εὐσαρκός τε καὶ, ὅπερ ἐρρήθη, ἐσχατογέρων) οὐκ ἐς ἀμηχανίαν ἐξέπεσε, καίπερ ἐς τοσοῦτον κινδύνου ἥκων, ἀλλὰ βουλεύεταί τι ἐκ τοῦ αἰφνιδίου, ᾧπερ αὐτόν τε καὶ τὰ Ῥωμαίων πράγματα διασώσασθαι ἔσχεν. τοῖς γὰρ δορυφόροις ἐπέστελλε σύρειν τε αὐτὸν ἐκ ποδὸς καὶ ὡς ἀπωτάτω τοῦ τείχους ἐφέλκειν. οἱ δὲ κατὰ ταῦτα ἐποίουν. καὶ αὐτὸν οἱ μὲν ἔσυρον, οἱ δὲ ξὺν αὐτῷ ὑπεχώρουν, τὰς μὲν ἀσπίδας ὑπερθεν ἐπ' ἀλλήλους ἔχοντες, τοσαύτην δὲ

8. ἔβαλλον L. 4. θάρακα L. 6. ξυνιόντες] ξυνειέντες Vat. *ibid.* καὶ τόν τε] τε καὶ τὸν Hm. 9. καὶ ταῖς] κἀν ταῖς HL. 12. ἔβαλον L. *ibid.* καὶ ταύτῃ] καὶ om. L. 18. ᾧπερ] ὅπερ Reg. 19. αὐτὸν] αὐτῶν L. 21. οἱ δὲ ξὺν] καὶ αὐτοὶ δὲ ξὺν H.

lectus humi concidit. Utrinque tunc sublato clamore ingenti, confluentes undique Barbari, in eum tela coniecere. Circumfusi mox Protectores, galeis omnes ac loricis induti, obtentis desuper scutis, iunctisque inter se lateribus, testudine tanquam tecto Magistrum militum occultabant tutissime, et missilia omni ope prohibebant. Magnus erat telorum crepitus; cum usque et usque ingruentia, clypeis aliisve armis defringerentur. Clamore quisque, sublimi anhelitu et labore se conficiebat. Rursus Romani omnes Magistrum militiae tueri satagentes, iactis in muros sine ulla intermissione telis hostem reprimebant. Tum Bessas, praegravato armis corpore per se parum agili ob nimiam obesitatem, et quam extremam fuisse dixi senectutem, non valens surgere; quamvis in tantum discrimen adductus esset, nihilominus mente constitit, atque ex tempore consilium cepit, quo se ipse remque Romanam servavit. Etenim Protectoribus imperavit, ut se e vestigio raptarent, et procul a moenibus traherent. Illi dicto audientes partim eum trahebant, alii cum ipso recedebant, sublatis continuatisque inter se scutis, et in gressu modum

ποιούμενοι βάδισιν, ὅσον ἐκεῖνος ἐσύρετο, ὡς μὴ ἀπαρακάλυ- H 336
πτος γεγονὼς πρὸς τῶν πολεμίων βληθείη. ἐπειδὴ δὲ ὁ Βέσσας
ἐν τῷ ἀσφαλεῖ ἐγεγόνει, ἐξανίστατό τε καὶ παρακελευσάμενος ἐπὶ
τὸ τεῖχος ἤει, τῆς τε κλίμακος ἐπιβατεύσας αὖθις ἐπὶ τὴν ἀνά-
βασιν ὥρμητο. ἐπισπόμενοι δὲ Ῥωμαῖοι ἅπαντες ἔργα ἐς τοὺς
πολεμίους ἐπεδείκνυντο ἀρετῆς ἄξια. περίφοβοί τε γενόμενοι
Πέρσαι καιρὸν σφίσι τινὰ τοὺς ἐναντίους διδόναι ἤτουν, ὅπως
ξυσκευασάμενοι ἀπαλλάσσωνται τὴν πόλιν ἐνδόντες. Βέσσας δὲ
δολώσεις αὐτοὺς ἐπιτεχνᾶσθαι ὑποτοπάζων, ὅπως μεταξὺ κρα- P 596
τύνωνται τὸ τοῦ περιβόλου ὀχύρωμα, τὴν μὲν ξυμβολὴν κατα- V 200
παύειν ἔφη οὐχ οἷός τε εἶναι, τοὺς δὲ ἀμφὶ τῇ ὁμολογίᾳ βουλο-
μένους αὐτῷ ξυγγενέσθαι, τῶν στρατοπέδων μαχομένων, οὐδέν
τι ἧσσον εἰς ἑτέραν τινὰ ξὺν αὐτῷ ἰέναι τοῦ τείχους μοῖραν, δεί-
ξας τὸ χωρίον αὐτοῖς. τῶν δὲ οὐκ ἐνδεχομένων τὸν λόγον γίνε-
ται μὲν αὖθις καρτερά τις μάχη καὶ ὠθισμὸς πολύς, ἔτι δὲ ἀγ-
χωμάλου τῆς ξυμβολῆς οὔσης ξυνηνέχθη τὸ τεῖχος ἑτέρωθι, οὗ-
περ διορύξαντες Ῥωμαῖοι πρότερον ἔτυχον, ἐξαπιναίως καταπε-
σεῖν. ἐνταῦθα οὖν πολλοὶ ἐξ ἀμφοτέρων ξυνέρρεον. καὶ Ῥω-
μαῖοι μὲν πλήθει τοὺς πολεμίους παρὰ πολὺ ὑπεραίροντες, καί- B
περ διχα διῃρημένοι, πολλῷ ἔτι μᾶλλον βάλλοντές τε καὶ ὠθοῦν-
τες καρτερώτατα τοῖς ἐναντίοις ἐνέκειντο. Πέρσαι δὲ οὐκέτι
ὁμοίως ἀντεῖχον, ἑκατέρωθι βιαζόμενοι, ἀλλὰ διαιρεθεῖσα ἡ

5. ἅπαντες] πάντες Hm. 8. συσκευασάμενοι L. ibid. δὲ] τε L. 9. ἐπιτεχνάσασθαι Reg. ὑποτεχνᾶσθαι H. 12. αὐτῷ] αὐτοῖς H. 15. τις] ἡ H. ibid. ἀγχωμάλου] ἀγχομάχου Reg. 16. οὗπερ δὴ ὀρύξαντες L.

servabant aequalem ei, quo ille trahebatur; ne, si pateret, ab hostibus feriretur. Receptus in tutum Bessas surgit, astantesque hortatus, ad muros vadit, et pede scalis imposito, ascensum iterum ardenter molitur. Romani sequuntur omnes, ac facinora in hostes edunt viris fortibus digna. Conterriti Persae, nonnihil petunt spatii ad convasandum, ut dedita urbe discedant. At Bessas, haec ab illis dolose fingi coniiciens, ut hoc interim spatio muros firmarent, se quidem impressionem abrumpere non posse dixit: iis autem, qui de compositione secum agere vellent, quamvis pugna ferveret, licere nihilominus ad aliam secum ire murorum partem, quam indicabat. Illis dicta respuentibus, certamen redintegratum crudescit, seque acriter utrique trudunt. Adhuc Marte pugnabatur ancipiti, cum alia pars muri, quam prius Romani suffoderant, repente corruit. Utrinque eo multi confluere. Ac Romani quidem hostibus longe numero superiores, quamvis bipartito divisi, magis ac magis torquendo iacula trudendoque, validissime adversariis instabant. Persae vero hinc atque illinc appetiti, non ita iam repugnabant: sed eorum apparebat

ὀλιγανθρωπίαν ἐς ἄμφω τὰ μέρη διαφανὴς ἦν. οὕτω δὲ πονουμένων ἀμφοτέρων ἔτι τῶν στρατευμάτων καὶ οὔτε Περσῶν ἀποκρούεσθαι δυναμένων ἐγκειμένους σφίσι τοὺς πολεμίους οὔτε Ῥωμαίων βιάζεσθαι παντάπασι τὴν εἴσοδον οἵαν τε ὄντων, νεανίας ἀνὴρ, Ἀρμένιος γένος, Ἰωάννης ὄνομα, Θωμᾶ υἱὸς, ὅπερ ἐπίκλησιν ἐκάλουν Γούζην, τὰ μὲν καταπεπτωκότα τοῦ περιβόλου καὶ τοὺς ἐνταῦθα ὠθισμοὺς εἴασεν, Ἀρμενίων δὲ τῶν οἱ ἑπομένων ἐπαγαγόμενος ὀλίγους τινὰς διὰ τοῦ κρημνώδους, ᾗπερ ἅπαντες τὴν πόλιν ἀνάλωτον εἶναι ὑπώπτευον, βιασάμενος ἀνέβη τοὺς ταύτῃ φρουρούς. κατά τε τὰς ἐπάλξεις γενόμενος ἕνα Περσῶν τῶν τῇδε ἀμυνομένων, ὅσπερ μαχιμώτατος ἐδόκει εἶναι, δόρατι ἔκτεινεν. ἐσβατά τε Ῥωμαίοις ξυνηνέχθη τὰ τῇδε.

Πέρσαι δὲ, οἳ ἐν πύργῳ τῷ ξυλίνῳ εἱστήκεσαν, μέγα τι χρῆμα τῶν πυρφόρων ἀγγείων ὑφῆψαν, ὅπως τῶν βαλλομένων τῷ περιόντι καταφλέξαι αὐτοῖς ἀνδράσι τὰς μηχανὰς οἷοί τε ὦσιν, οὐ δυναμένων τῶν ἀμυνομένων ἅπαντα τοῖς κοντοῖς διωθεῖσθαι. πνεῦμα δὲ νότου σκληρόν τε καὶ ὑπερφυὲς ἄγαν ἐξαπιναίως ἐξ ἐναντίας αὐτοῖς ξὺν πολλῷ πατάγῳ ἐπέπεσεν, τῶν τοῦ πύργου σανίδων ἀμηγέπη μιᾶς ἥψατο. οὐ ξυνιέντων δὲ αὐτίκα τῶν ἐνταῦθα Περσῶν· (πόνῳ γὰρ καὶ θορύβῳ καὶ δέει καὶ ταραχῇ ἀμέτρῳ εἶχοντο ἅπαντες, ἥ τε ἀνάγκη αὐτοῖς παρῃ-

1. πονουμένων] κοπιωμένων H. 2. οὔτε — οὔτε] οὐδὲ — οὐδὲ P. 3. ἐγκειμένων σφίσι τῶν πολεμίων L. 6. Γούζην] γοφβούζην H: illud Hm. 8. ἐπαγόμενος Reg. ἐπαγόμενος P. ibid. ᾗπερ L. οὗπερ P. 12. ἐσβατά] ἐσβατόν Reg. ibid. τὰ τῇδε] τρόπῳ τοιῷδε Reg. 21. παρῃρείτο] παρῃτεῖτο H.

paucitas, copiis bifariam distributis. Dum utrique ita confligunt, ut nec Persae imminentem sibi hostem repellere, nec Romani aditum prorsus perrumpere valeant; Ioannes, adolescens Armenius, idemque Thomae filius cognomento Guzes, a muri labe et iis, qui invicem ibi se propellebant, digreditur, assumptaque ex Armeniis, quorum Dux erat, exigua manu, cum ea subit per praecipitium, qua urbem non posse capi omnes existimabant. Custodibus illic dispositis illata vi, ascendit; cumque ad murorum pinnas evasisset, Persam, unum ex numero propugnatorum illius partis, qui bellicosissimus videbatur, occidit hasta, et eo Romanis aditum fecit.

Interea Persae, qui in turri lignea stabant, igniferа vasa quamplurima accenderunt, ut missilium eiusmodi maiori copia machinas cum viris comburerent, non sufficientibus, propugnatoribus omnia contis avertere. Subito Auster vehementissimus magno cum murmure illis ex adverso ingruens, turris asserem igni corrupit. Persis non statim animum advertentibus, cum omnes labore, tumultu, formidine, et nimia perturbatione essent impliciti, ac sensum ipsis necessitas auferret, convalescens pau-

ρεῖτο τὴν αἴσθησιν) ἡ φλὸξ κατὰ βραχὺ αἰρομένη τῷ τε τῆς Μηδείας ἐπωνύμῳ ἐλαίῳ καὶ οἵσπερ ἄλλοις ἐξήρτυτο τὸν πύργον ὅλον καὶ Πέρσας τοὺς ἐνταῦθα ἐνέπρησεν. ἐξηνθρακωμένοι τε ἅπαντες ἔπεσον, οἱ μὲν ἐντὸς τοῦ περιβόλου, οἱ δέ που ἐκτὸς, ἵνα δὴ αἵ τε μηχαναὶ καὶ οἱ ἀμφ' αὐτὰς Ῥωμαῖοι εἱστήκεσαν· οὕτω δὲ καὶ οἱ ἄλλοι Ῥωμαῖοι, ὅσοι δὴ ἐς τοῦ περιβόλου τὰ κα- P 597
ταπεπτωκότα ἐμάχοντο, ἐνδιδόντων σφίσι τῶν πολεμίων ἔς τε ὀλιγωρίαν ἐμπεπτωκότων, ἐντὸς τοῦ περιβόλου ἐγένοντο, καὶ κατ' ἄκρας ἡ Πέτρα ἑάλω. τῶν μὲν οὖν Περσῶν ἐς πεντακοσίους ἐς τὴν ἀκρόπολιν ἀναδραμόντες καὶ τὸ ἐκείνῃ καταλαβόντες ὀχύρωμα ἡσυχῇ ἔμενον, τοὺς δὲ ἄλλους Ῥωμαῖοι, ὅσους οὐκ ἔκτειναν ἐν τῇ ξυμβολῇ, ἐζώγρησαν ἅπαντας ἐς τριάκοντα καὶ ἑπτακοσίους μάλιστα ὄντας. καὶ αὐτῶν ὀκτὼ μὲν καὶ δέκα ἀκραιφνεῖς εὗρον, οἱ δὲ λοιποὶ ἅπαντες τραυματίαι ὄντες ἐτύγχανον. ἔπεσον δὲ καὶ Ῥωμαίων πολλοί τε καὶ ἄριστοι, καὶ Ἰωάννης ὁ Θωμᾶ υἱὸς, λίθῳ τὴν κεφαλὴν ἐν τῇ ἐς τὴν πόλιν εἰσόδῳ πρός B
του τῶν βαρβάρων βληθεὶς ἔργα τε θαυμαστὰ ἐς τοὺς πολεμίους ἐπιδειξάμενος.

ιβ'. Τῇ δὲ ἐπιγενομένῃ ἡμέρᾳ οἱ Ῥωμαῖοι τῶν βαρβάρων C
τοὺς τὴν ἀκρόπολιν καταλαβόντας πολιορκοῦντες λόγους προὔφε- V 201
ρον, τήν τε σωτηρίαν αὐτοῖς προτεινόμενοι καὶ τὰ πιστὰ δώσειν ὑπὲρ τούτων ὁμολογοῦντες, ταύτῃ Πέρσας καραδοκοῦντες σφᾶς αὐτοὺς ἐγχειριεῖν σφίσιν. οἱ δὲ αὐτῶν οὐκ ἐνδεχόμενοι τοὺς λό-

2. ἐξήρτυντο L. ἐξηρτύετο P. 4. δέ που] δὲ τούτου Reg.
6. ἐς] ἐκ H. *ibid.* τὰ om. L. 15. Ῥωμαίων] ῥωμαῖοι Reg.
19. οἱ om. L. 20. τοὺς ἐς τὴν ἀκρ. καταλιπόντας Reg.

latim flamma, oleo, quod a Medea nomen habet, et aliis, quae vires ipsi dabant, turrim totam ac Persas in ea collocatos cremavit. Combusti omnes ceciderunt, partim intra moenia, partim extra, ubi machinae et Romani circa illas positi stabant. Sic demum Romani caeteri, qui ad muri labem pugnabant, cedentibus et ardorem remittentibus adversariis, moenia penetrarunt, et Petra vi capta est. Persae quingenti ad urbis arcem intento cursu, eiusque munitionibus occupatis, illic se tenuerunt. Reliquos Romani, quos congressu non sustulerant, vivos omnes ceperunt, numero summum DCCXXX. Horum integros XVIII. invenerunt: caeteri erant saucii. E Romanis multi iique fortissimi occubuerunt; inter quos fuit Ioannes Thomae filius, qui in hostes miris facinoribus editis, in capite a Barbaro quodam vulneratus est lapide, dum urbem ingrederetur.

12. Postridie Romani obsessis Barbaris, qui arcem occupaverant, in eam sententiam verba fecerunt, ut illis incolumitatem obtulerint, ac promiserint fidem publicam, summa spe incensi fore ut Persas ad deditionem ea via pellicerent. At illi a sermone se avertentes, ad vim specta-

γους ἐς ἀντίστασιν εἶδον, καίπερ οὐκ ἐπὶ πολὺ ἀνθέξειν τῇ ταλαιπωρίᾳ οἰόμενοι, ἀλλὰ δι' ἀρετὴν θανατῶντες. Βέσσας δὲ αὐτοὺς ἀποστῆσαι τῆς γνώμης ἐθέλων ἀντικαταστῆσαί τε ἐς τὴν τῆς σωτηρίας ἐπιθυμίαν, τῶν τινα Ῥωμαίων στρατιωτῶν ὡς πλησιαίτατα αὐτοῖς διιέναι κελεύει, παραινεσίν τέ τινα ἐς τοὺς
D ἀνθρώπους ποιήσασθαι, δηλώσας ὅσα δὴ ἐς αὐτοὺς εἰπεῖν βούλοιτο. καὶ ὃς ἀγχοτάτω γενόμενος ἔλεξε τοιάδε ,,Τί πεπονθότες
H 337 ἐφ' ὑμῖν αὐτοῖς, ὦ βέλτιστοι Πέρσαι, τὸν ὄλεθρον διατείνεσθε τοῦτον, ἐπιτηδεύοντες τὰ θανάσιμα σπουδῇ ἀλογίστῳ καὶ τῆς ἀρετῆς τὰ ἐπιτηδεύματα διαφανῶς ἀτιμάζοντες; οὐ γάρ ἐστιν ἀνδρεῖον τὸ τοῖς ἀμηχάνοις ἀντιστατεῖν, οὐδὲ ξυνετὸν τὸ μὴ βούλεσθαι τοῖς κεκρατηκόσιν ὑπείκειν· οὐδὲ μὴν ἄδοξον τὸ τύχῃ τῇ παρούσῃ ἑπομένους βιῶναι. ἀνάγκη γὰρ οὐδὲ ἀγαθῆς τινος ἐλπίδος τυχοῦσα τὴν ἀτιμίαν ἐκφεύγει δικαίως, ἣν καὶ τῶν ἔργων ἐπιβάληται τὰ αἰσχρότατα. κακῷ γὰρ τῷ ἀμηχάνῳ τὸ σύγγνω-
P 598 μον ἕπεσθαι πέφυκε. μὴ τοίνυν τὴν ἀπόνοιαν ἐν προὔπτῳ ζηλοῦτε κινδύνῳ, μηδὲ τῆς σωτηρίας τὴν ἀλαζονείαν ἀλλάξασθε, ἀλλ' ἐνθυμεῖσθε ὡς ἀναβιώσεσθαι μὲν τοὺς τετελευτηκότας ἀδύνατον, οἱ δὲ περιόντες καὶ χρόνῳ διαθήσονται σφᾶς αὐτοὺς ὕστερον, ἤν γε τοῦτο κρεῖσσον εἶναι δοκῇ. βουλεύσασθε οὖν τὴν ὑστάτην βουλὴν καὶ περισκοπεῖσθε τὰ ξύμφορα, ἐκεῖνο εἰδότες, ὡς ταῦτα

1. ἐπὶ πολὺ] ἔτι πω Reg. 3. ἀποστῆσαι] ἀποστῆναι L. 5. πλησιέστατα αὐτοῖς εἶναι L. 7. ὃς] ὡς L. 11. ἀνδρεῖον] ἀνδρεῖων L. ibid. ξυνετὸν] ξυνετῶν L. 13. ἑπομένοις L. 15. ἐπιβάληται] περιβάλληται Reg. 17. ἀλλάξησθε H. 21. εἰδότες] εἰδόντες L.

bant: quamvis labori haud diu se restituros putarent: verum enimvero fortiter mori cupiebant. Tum Bessas in animo habens a proposito illos abducere, et ad vitae amorem revocare, militi cuidam Romano imperat, ut e proximo illos hortetur, ac profert quae ipsis referri velit. Is, cum proxime accessisset, ita disseruit: *Quid tantum mali vobis accidit, praeclari Persae, ut contendatis ad interitum, causam eius parantes temeritate praecipiti, et manifesto contemptu studii virtutis bellicae. Neque enim fortiter facit, qui contra vim ineluctabilem obfirmat sese; nec sapienter, qui victoribus cedere renuit. At nec turpe est, in vitae cursu praesentem fortunam sequi. Necessitas enim, quae bonae spei nihil habet, merito infamiam effugit; licet res, caeteroquin indignissimas, admittat: quippe malum inevitabile veniam secum afferre solet. Nolite igitur in evidenti discrimine stulta certare pertinacia, nec saluti praeponite vanam animi ostentationem: sed cogitate, non posse mortuos restituere se in vitam: superstitibus autem integrum fore postea pro reditu suo pacisci, si id satius esse videbitur. Itaque postremum deliberate, ad utilitates vestras intenti, et memores optima esse illa consilia, quae qui ceperint,*

ἂν τῶν βουλευμάτων τὰ βέλτιστα εἴη ἐν οἷς τὸ μεταμέλειν τοῖς βουλευσαμένοις ἐν ἐξουσίᾳ ἔσται. ὡς ἡμεῖς ὑμᾶς γε καὶ ζυγομαχοῦντας οἰκτείρομεν καὶ θανατώντων φειδόμεθα καὶ πρὸς τὸν βίον ἐνδιαθρυπτομένους τε καὶ βλακεύοντας ἐλεεῖν ἀξιοῦμεν, ἢ Ῥωμαίοις Χριστιανοῖς νόμος. ἄλλο τε ὑμῖν περιοῦσι προσέσται B οὐδέν, πλήν γε δὴ ὅτι τὴν πολιτείαν ἐπὶ τὰ βελτίω μεταβαλόντες Ἰουστινιανὸν ἀντὶ Χοσρόου κύριον ἕξετε· ὑπὲρ γὰρ τούτων ὑμῖν καὶ τὰ πιστὰ δώσειν ὁμολογοῦμεν. μὴ τοίνυν ὑμᾶς αὐτοὺς διαχρήσησθε, παρὸν σώζεσθαι. οὐ γὰρ εὐτυχὲς ἐμφιλοχωρεῖν τοῖς δεινοῖς ἐπ' οὐδεμιᾷ τὸ παράπαν ὀνήσει, ἐπεὶ οὐκ ἀνδραγαθίζεσθαι, ἀλλὰ θανατᾶν τοῦτό γε. γενναῖος δὲ ὃς ἂν ἐγκαρτερῇ τὰ δεινότατα, ἡνίκα τι προσδοκᾷ ἀπ' αὐτοῦ χρήσιμον. οὐ γὰρ ἐπαινοῦσι τὴν ἑκούσιον τελευτὴν ἄνθρωποι, ἔνθα δή τις ἐπίκειται κρείσσων τῷ κατ' αὐτὴν κινδύνῳ ἐλπὶς, ἀλλὰ βίαιος μὲν καC ταστροφὴ ἄχρηστος καὶ ἄνοια προπετὴς, τὸ δὲ εἰς θάνατον θράσος ἀνόητον τοῦ δραστηρίου πρόσχημα οὐκ εὐπρεπὲς τοῖς γε σώφροσιν εἶναι δοκεῖ. καίτοι καὶ τοῦτο ἐκλογίζεσθαι χρὴ, μή τι δόξητε καὶ εἰς τὸ θεῖον ἀγνωμονεῖν. εἰ γὰρ ἀπολεῖν ἐβούλετο, ὦ ἄνδρες, ὑμᾶς οὐκ ἂν, οἶμαι, παραδεδώκει τοῖς διασώζειν ἐφιεμένοις. τὰ μὲν οὖν παρ' ἡμῶν τοιαῦτά ἐστι. βου-

2. ὑμᾶς γε] γε ὑμᾶς L. 4. ᾗ Reg. ὡς P. 5. περιοῦσι om. e Reg. 8. διαχρήσεσθε H. διαχρήσησθαι L. διαχρήσασθε P. 9. εὐτυχὲς] τυχὸν H. 11. θανατᾶν L. θανατοῦν P. 14. κατ' αὐτὴν Reg. κατὰ ταύτην P. *ibid.* βίαιος] βίου Reg. 15. καὶ ἄνοια] καὶ om. L. 16. ἀνόητον θράσος L. 18. ἀπολεῖν] ἀπόλλειν H: illud Hm. 20. μὲν οὖν om. L. *ibid.* βουλεύσεσθαι Reg. βουλεύσησθε P. βουλεύσησθε H.

emendare possunt poenitentia. Sic vero vos, quamvis refractarios, miseramur, sic optantibus mori parcimus, sic vitam habentibus ludibrio ac lucem contemnentibus benigne facimus, ut Romanorum Christianorum instituta ferunt. Porro datam vobis incolumitatem unum et consequetur, ut ad Remp. meliorem traducti, Iustinianum pro Chosroe dominum habeatis: quae nos fide publica vobis confirmaturos recipimus. Quare, cum vobis liceat esse salvis, nolite vos ipsi perdere. Neque enim praeclarum est, in asperis, quae nihil omnino prosint, alacriter versari: cum id non generosum facinus, sed mera moriendi libido sit. Fortis est, qui dura, unde aliquem expectat fructum, constanter subit ac tolerat. Nec laudant homines mortem voluntariam, quando periculo, cuius causa appetitur, spes maior est: at violentus interitus inutilis et praeceps amentia iudicatur. Insana demum ad mortem ultro obeundam audacia nihil aliud sapientibus videtur esse, nisi foeda quaedam larva strenuitatis. Illud etiam reputandum cavendumque, ne quid ingrati animi vitio peccare in Deum videamini. Nam si vobis decrevisset exitium, o viri, nequaquam vos, ut equidem

λεύσεσθε δὲ ὑμεῖς δηλονότι, ἄνπερ ζῆν ἀξίους ὑμῖν ξυμβαίνῃ εἶναι."

Ἡ μὲν παραίνεσις ταύτῃ πη εἶχε. Πέρσαι δὲ τοὺς λόγους οὐδὲ ὅσον ἀκοῇ δέχεσθαι ἤθελον, ἀλλ' ἐθελοκωφοῦντες ὅτι δὴ
V 202 οὐκ ἐπαΐοιεν προσεποιοῦντο. καὶ τότε, τοῦ στρατηγοῦ ἐγκελευ-
D σαμένου, Ῥωμαῖοι πῦρ τῇ ἀκροπόλει ἐμβέβληνται, τῷ τρόπῳ τούτῳ ἐνδώσειν τὰ σώματα σφίσι τοὺς πολεμίους οἰόμενοι. τῆς δὲ φλογὸς ἐπὶ μέγα χωρούσης οἱ βάρβαροι, τοῦ πάθους αὐτοῖς ἐν ὀφθαλμοῖς ὄντος, ἐξεπιστάμενοι ὅτι δὴ σφίσιν αὐτίκα δὴ μάλα τετεφρῶσθαι ξυμβήσεται, ἐλπίδα οὐδεμίαν ἔχοντες, οὐδὲ εἰδότες καθ' ὅ τι σωθήσονται ἀμυνόμενοι, οὐδ' ὡς ὑποχείριοι τοῖς πολεμίοις γενέσθαι ἤθελον, ἀλλὰ ξὺν τῇ ἀκροπόλει εὐθὺς ἅπαντες, θαυμάζοντος τὰ ποιούμενα τοῦ Ῥωμαίων στρατοῦ, καταφλεγόμενοι διεφθάρησαν. δι' ὅσης τε σπουδῆς ὁ Χοσρόης Λαζικὴν ἦγε, τηνικάδε φανερὸν γέγονεν· ὃς γε στρατιώτας μὲν τοὺς πάν-
P 599 των λογιμωτάτους ἀπολεξάμενος ἐν τῷ τῆς Πέτρας κατεστήσατο φυλακτηρίῳ, ὅπλα δὲ κατέθετο ἐνταῦθα τοσαῦτα τὸ πλῆθος, ὥστε λησαμένων αὐτὰ Ῥωμαίων στρατιώτῃ ἑκάστῳ πέντε ἀνδρῶν ἐπιβαλεῖν σκευὴν, καίτοι κἂν τῇ ἀκροπόλει πολλὰ καυθῆναι ξυνέβη. εὕρηται δὲ καὶ σίτου καὶ τεταριχευμένων κρεῶν μέγα τι χρῆμα καὶ τῶν ἄλλων ἐπιτηδείων, ὅσα δὴ ἔμελλε πενταετὲς τοῖς πολιορκουμένοις ἅπασιν ἐπαρκέσειν. οἶνον δὲ οὐκ ἔτυχον ἐνταῦθα

1. ἄνπερ] ὥνπερ Reg. *ibid.* ζῆν om. Reg. *ibid.* ξυμβαίνει L. 6. ῥωμαίοις — ἐμβέβληται L. 10. εἰδότες L. εἰδόντες HP. 17. κατέθεντο Reg. *ibid.* ἐνταῦθα om. L. 19. ξυνέβη καυθῆναι L. 22. ἅπασιν] πᾶσιν L.

censeo, iis tradidisset, qui servare vos cuperent. Hic noster est in vos animus: iam inter vos consulite, et num vita digni sitis videte.

Ita quidem hortator ille disseruit. Persae vero monita ne auribus quidem accipere voluerunt: sed pervicacia obsurdescentes, nihil audire se simularunt. Tum Romani, iussu Magistri militum, ignes arci inūcere, hoc modo hostem ad deditionem perpulsum iri existimantes. Crescente admodum flamma, Barbari mortem prae oculis habebant, nec dubitabant, quin mox abituri essent in cineres: nulla spes erat reliqua, nec sciebant quo defensionis genere saluti consulerent: nihilominus in manus hostium venire recusarunt, et miranto Romano exercitu, omnes puncto temporis cum arce incendio deleti sunt. Tunc apparuit, quam cordi esset Laxica Chosroi, qui milites legisset omnium praestantissimos, et in Petrae praesidio collocasset; ibique tantam reposuisset armorum vim, ut, cum in praedam Romanis ea cessissent, cuique militi virorum quinque armatura obtigerit: quamvis multa in arce conflagrarint. Praeterea magnus inventus est frumenti numerus, et carnium sale conditarum caeteraeque rei cibariae copia, quae omnibus quinquennio obsessis sufficisset. Vinum

καταθέμενοι Πέρσαι, πλήν γε ὅτι τόν τε ὀξίνην καὶ διαρκῆ κύαμον. ἐπεὶ δὲ καὶ ὕδωρ ἐκ τοῦ ὀχετοῦ ἐπιρρέον ἐνταῦθα Ῥωμαίοις εὗρον, ἐν θαύματι μεγάλῳ γενόμενοι διηποροῦντο, ἕως τὸν πάντα λόγον ἀμφὶ τοῖς κρυφίοις ὀχετοῖς ἔμαθον. ὅ τι δὲ τοῦτ' ἔστιν B
αὐτίκα δηλώσω.

Ἡνίκα Πέτραν ὁ Χοσρόης ἑλὼν τῇδε τὸ φυλακτήριον κατεστήσατο, εὖ εἰδὼς ὡς Ῥωμαῖοι προσεδρεύσουσιν αὐτῇ μηχανῇ πάσῃ, εὐθύς τε διελεῖν τὴν ὀχεταγωγίαν μελλήσει οὐδεμιᾷ ἐγχειρήσουσιν, ἐπενόει τοιάδε. τοῦτο δὴ τὸ ὕδωρ, ὅπερ ἐς τὴν πόλιν εἰσήγετο, ἐς τρεῖς διελὼν μοίρας κατώρυχά τε βαθεῖαν κομιδῇ ποιησάμενος, ὀχετοὺς ἐτεκτήνατο τρεῖς, τὸν μὲν ἕνα κάτω ἐς τῆς κατώρυχος ταύτης τὰ ἔσχατα, κόπρῳ δὲ αὐτὸν καὶ λίθοις καλύψας ἄχρι ἐς τὰ τῆς κατώρυχος μέσα· κἀνταῦθα κατακρύ- H 338
ψας τὸν δεύτερον, ὕπερθε τὸν τρίτον ἐδείματο, ὑπὲρ γῆς τε ὄντα C
καὶ ὁρατὸν πᾶσιν· ὥστε τριώροφον ἐγκεκρυμμένως τὸν ὀχετὸν εἶναι. ὅπερ οὐ ξυνιέντες κατ' ἀρχὰς τῆς πολιορκίας Ῥωμαῖοι τοῦτον δὴ τὸν διαφανῆ ὀχετὸν διελόντες, ἐπιπρόσθέν τε οὐκ ἐπεξαγαγόντες τὸν ἐπὶ διώρυχα πόνον, ἀλλὰ τὸ ἔργον πρὸ τῆς ἐνθένδε ἀπωλείας ἀποπαυσάμενοι, ᾤοντο ἐνδεῖν τοῖς πολιορκουμένοις τὸ ὕδωρ, σφαλλούσης αὐτοῖς τὴν διάνοιαν τῆς περὶ τὸ πο-

1. ὀξίνην] ὀξύνην H. *ibid.* κύαμον om. L. 4. τοῦτ'] τοῦτο L. 7. προσεδρεύσουσι μὲν L. 8. ὀχεταγωγίαν Vat. et L. ὀχετηγίαν P. 12. δὲ αὐτὸν om. L. 13. ἐνταῦθά τε κρύψας Reg. 14. τὸν δεύτερον om. L. *ibid.* ὕπερθεν L. 15. ἐγκεκρυμμένως] κεκρυμμένους L. 16. ὥνπερ οὐ ξυνέντες L. 18. διώρυχα] διώρυχος Reg. *ibid.* τὸ ἔργον] τοῦ ἔργου L. 19. ἀποπαυσόμενοι L. 20. σφαλλούσης] Vulgo σφαλούσης. σφαλείσιν Reg. *ibid.* περὶ] παρὰ Reg.

sibi non providerant Persae; sed tantum acetum, et satis siliquae, [ex qua vinum conficerent.] Ubi aquam Romani in urbe ex canali structili manantem viderunt, vehementi admiratione defixi haesere, donec ars occultis canalibus adhibita patuit: quod quid rei sit, modo dicam.

Quando Chosroës Petram a se expugnatam praesidio munit, pro certo habens Romanos eam viribus omnibus obsessuros, statimque admoturos manum intercidendo propere aquaeductui, haec excogitavit. Aquam, quae in urbem inducebatur, tripertito divisit, ductaque fossa altissima, canales construxit tres: unum quidem in ima fossa: quem cum ad mediam usque fossam coeno lapidibusque texisset, ibidem alterum abdidit. Tertium vero isti imposuit ab humo extantem, subiectumque oculis omnium: ita ut aquaeductus triplici concameratione distinctus occulte esset. Cuius rei inscii Romani, obsidionis initio, rupto canali illo, qui apparebat, fossam altius non subegerunt: sed prius abeuntes incepto, quam opus penitus destruxissent, sibi persuaserunt aqua iam carere ob-

νεῖσθαι ὀλιγωρίας. τῆς δὲ προσεδρείας μηκυνομένης, τῶν τε-
νας πολεμίων λαβόντες Ῥωμαῖοι ἔμαθον ἐκ τοῦ ὀχετοῦ τοὺς πο-
λιορκουμένους ὑδρεύεσθαι. κατορύξαντες τοίνυν τὸν χῶρον εὑρί-
σκουσι τὸν δεύτερον ὀχετὸν ἐνταῦθά πη ὄντα, καὶ τοῦτον διελόν-
D τες αὐτίκα ᾤοντο ταύτῃ πᾶσαν κατειργάσθαι τῶν πολεμίων τὴν 5
δύναμιν, οὐδὲ τοῖς δευτέροις ἐν τῇ ἀπ' αὐτῶν διδασκαλίᾳ παι-
δευθέντες τὰ πρότερα. ἐπεὶ δὲ καὶ τὴν πόλιν ἑλόντες ἐπιῤῥέον,
ὥσπερ μοι ἐῤῥήθη, ἐκ τοῦ ὀχετοῦ τὸ ὕδωρ εἶδον, ἐθαύμαζόν τε
καὶ ἀπορίᾳ πολλῇ εἶχοντο. τὸ δὲ γεγονὸς παρὰ τῶν αἰχμαλώτων
ἀκούσαντες, τῆς τε τῶν πολεμίων ἐς τὰ ἔργα ἐπιμελείας καὶ τῆς 10
σφετέρας παρὰ τοὺς πόνους ὀλιγωρίας ὑπίσω τῶν πραγμάτων
ἠσθάνοντο. τοὺς μὲν οὖν αἰχμαλώτους ἅπαντας ὁ Βέσσας εὐ-
θὺς βασιλεῖ ἔπεμψε, τὸν δὲ Πέτρας περίβολον ἐς ἔδαφος καθεῖ-
λεν, ὡς μὴ πράγματα οἱ πολέμιοι σφίσιν αὖθις παρέχωνται. καὶ
P 600 αὐτὸν βασιλεὺς ἀποδεξάμενος τῆς ἀρετῆς ἐπῄνεσεν ἐς τὰ μάλιστα 15
καὶ τῆς εὐβουλίας, ὅτι δὴ ὅλον καθεῖλε τὸ τεῖχος. γέγονεν οὖν
ὁ Βέσσας αὖθις οἷς τε εὐημέρησεν οἷς τε ἀρετῆς πεποίηται δήλω-
σιν ἀπόβλεπτος ἐς πάντας ἀνθρώπους. ἡνίκα μὲν γὰρ ἐπὶ τῷ
Ῥώμης φυλακτηρίῳ ἐτέτακτο, ἐλπίδα Ῥωμαῖοι πολλὴν ἐπ' αὐτῷ
εἶχον, ἅτε ἀνδρειότατα διαγεγονότι τὰ πρότερα. ἐπεὶ δὲ αὐτῷ 20
ἐνταῦθα δεδυστυχηκέναι ξυνέπεσε, Ῥώμης τε οὕτω τοῖς Γότθοις
ἁλούσης, ὥσπερ μοι ἐν τοῖς ἔμπροσθεν λόγοις ἐῤῥήθη, καὶ διε-
V 203 φθαρμένου ἐκ τοῦ ἐπὶ πλεῖστον Ῥωμαίων τοῦ γένους, βασιλεὺς

14. παρέχωνται L corr. παρέχονται P. 15. ἀποδεξάμενος] ἀποδεδεγμένος Reg. 18. τῷ Ῥώμης] τῆς ῥώμης Hm. 21. δεδυστυχηκέναι] διαδεδυστυχηκέναι L.

sessos, inerti incuria falsam illis offerente opinionem. Dum protrahitur obsidio, Romani, nonnullis hostium captis, ab ipsis resciunt, obsessos ex aquaeductu haurire. Quamobrem locum aggressi fodere, suppositam canalem alterum offendunt, eoque inciso, de hostibus actum existimant, nullum a prioribus ad consequentia documentum trahentes. Postea potiti urbe, ut manantem, quemadmodum dixi, ex canali aquam viderunt, obstupuerunt, suspensi ignoratione causae. Quam a captivis edocti, hostium in operibus moliendis diligentiam, suamque in suscepto labore negligentiam, re iam peracta cognoverunt. Protinus Bessas captivos omnes ad Imperatorem misit, ac Petrae moenia diruit, ne Persae negotium denuo facesserent. Assensus Imperator, mirifice virtutem eius laudavit, et sapientiam, quod muros funditus evertisset. Sic Bessas, re feliciter ac fortiter gesta, quem amiserat splendorem nominis ubique recuperavit. Is certe, cum Romae praesidio praefectus esset, Romanis pristina fortitudine magnam de se spem concitaverat. Ibi vero male bello administrato, itaque, ut in superioribus libris narravi, capta a Gothis Roma,

μὲν Ἰουστινιανὸς οὕτω δὴ ἐς Βυζάντιον ἀναστρέψαντα στρατηγὸν B
κατεστήσατο ἐπὶ Πέρσας αὐτόν. διέσυρόν τε τὴν πρᾶξιν ὡς εἰ-
πεῖν ἅπαντες καὶ τὰ βασιλεῖ βεβουλευμένα ἐχλεύαζον, εἰ τῷ Βέσ-
σα τούτῳ, Γότθων τε ἡσσηθέντι κατὰ κράτος καὶ τυμβογέροντι
γεγενημένῳ, πόλεμον τὸν Μηδικὸν ἐγχειρίσειεν ἐπὶ δυσμαῖς βίου.
ἀλλὰ τούτων σχεδόν τι ἅπασι δεδογμένων, εὐτυχίᾳ τε καὶ ἀρετῇ
τοιᾷδε τῷ στρατηγῷ τῷδε ξυνηνέχθη χρῆσθαι. οὕτως ἄρα οὐχ
ἧπερ τοῖς ἀνθρώποις δοκεῖ, ἀλλὰ τῇ ἐκ τοῦ θεοῦ ῥοπῇ πρυτα-
νεύεται τὰ ἀνθρώπεια, ὃ δὴ τύχην εἰώθασι καλεῖν οἱ ἄνθρωποι,
οὐκ εἰδότες ὅτου δὴ ἕνεκα ταύτῃ πρόεισι τὰ ξυμβαίνοντα, ἧπερ
αὐτοῖς ἔνδηλα γίνεται. τῷ γὰρ παραλόγῳ δοκοῦντι εἶναι φιλεῖ C
τὸ τῆς τύχης προσχωρεῖν ὄνομα. ἀλλὰ ταῦτα μὲν ὥς πη ἑκά-
στῳ φίλον, ταύτῃ δοκείτω.

ιγ'. Μερμερόης δὲ, δείσας μή τι Πέτρᾳ τε καὶ Πέρσαις D
τοῖς τῇδε ἀπολελειμμένοις φλαῦρον διὰ χρόνου μῆκος ξυμβαίη,
ἄρας παντὶ τῷ στρατῷ ἐνταῦθα ἦει, ἐπεὶ αὐτὸν ὁ καιρὸς μετὰ
τὴν τοῦ χειμῶνος ὥραν ἐς τοῖτο ἐνῆγε. μεταξὺ δὲ τὰ ξυμπε-
σόντα μαθὼν ἅπαντα τῆς μὲν ὁδοῦ ταύτης τὸ παράπαν ἀπέ-
σχετο, εὖ εἰδὼς ὅτι δὴ ἐκτὸς ποταμοῦ Φάσιδος ἄλλο τι χωρίον

2. τε τὴν] δὲ τὴν Hm. 6. δεδογμένων] δεδομένων L. 8. ἧπερ] ὅσα H. ibid. τοῦ θεοῦ] τοῦ om. L et Suidas s. v. τύχη. 9. ἀνθρώπεια L et Suidas. ἀνθρώπινα P. ibid. καλεῖν εἰώθασιν Suidas. ibid. οἱ om. L et Suidas. 10. ταύτῃ] τῳ Suidas. ibid. ἧπερ] εἴπερ L et Suidas. 11. ἔνδηλα] οὐκ ἔνδηλα Suidas. ibid. παραλόγῳ] ἀλόγῳ Suidas. 12. ὄνομα προσχωρεῖν L et Suidas, nisi quod Suidas προχωρεῖν. 17. τὴν om. L. ibid. ἐς] εἰς L. 19. ὅτι δὴ om. L.

et extincta parte maxima civium, cum Byzantium rediisset, nihilominus Iustinianus Augustus ipsi in Persas belli imperium esse iussit. Nemo fere erat quin id culparet, rideretque Imperatoris consilium, quod Bessae, a Gotthis foede victo ac seni capulari, iam sub occasum vitae, bellum Persicum dedisset. Haec erat communis fere opinio, cum se feliciter animosum Magister ille militum praebuit. Nimirum res mortalium, non pro ipsorum sensu, sed Dei nutu ac providentia administrantur: quod homines ideo Fortunam vocare solent, quia causam ignorant cursus, quem in eventis vident: nam vulgo Fortuitum dicitur, quod praeter opinionem videtur accidere. Verum de his ad arbitrium quisque suum sentiat.

13. Interea veritus Mermeroës, ne quid mali longa dies afferret Petrae Persisque in ea urbe relictis, moverat cum omnibus copiis, eoque contendebat, anni tempestate, quae hiemi successerat, invitatus. At per id tempus plane cognitis, quae Petrae contigerant, institutum iter abrupit, haud ignarus, trans fluvium Phasin nullum esse locum,

Λαζοῖς ὅτι μὴ τὸ ἐν Πέτρᾳ οὐκ ἦν. ἀναστρέψας δὲ καὶ καταλαβὼν τὰς ἐξ Ἰβηρίας ἐπὶ γῆν τὴν Κολχίδα εἰσόδους, ἵνα δὴ ὁ Φᾶσις διαβατός ἐστιν, αὐτόν τε πεζῇ διαμείψας καὶ οὐχ ἥκιστα ποταμὸν, Ῥέοντα ὄνομα, οὐδὲ αὐτὸν ἐκεῖ ναυφίπορον ὄντα, τοῦ τε Φάσιδος ἐν δεξιᾷ ταύτῃ γενόμενος ἐπὶ πόλιν Ἀρχαιόπολιν ὄνο-
P 601 μα, ἣ πρώτη τε καὶ μεγίστη ἐν Λαζοῖς ἐστιν, ἐπῆγε τὸ στράτευμα ξύμπαν μάλιστα. ἦσαν δὲ ὀλίγων χωρὶς ἱππεῖς ἅπαντες, καὶ αὐτοῖς ἐλέφαντες ὀκτὼ εἵποντο. ἐφ' ὧν δὴ ἔμελλον ἐνιστάμενοι Πέρσαι τοὺς πολεμίους ὥσπερ ἐκ πύργων κατὰ κορυφῆς ἐνθένδε βάλλειν. ὥστε εἰκότως ἄν τις Περσῶν τὴν ἐς τοὺς πόνους τυλαιπωρίαν τε καὶ ἐπιτέχνησιν ἀγασθείη, οἵ γε τὴν ἐξ Ἰβηρίας ἐς τὴν Κολχίδα ὁδὸν φέρουσαν, κρημνώδεσί τε νάπαις καὶ δυσχωρίαις λοχμώδεσι πανταχόθι ξυνεχομένην, ὕλαις τε οὕτως ἀμφιλαφέσι καλυπτομένην, ὡς καὶ ἀνδρὶ εὐζώνῳ δοκεῖν ἀπόρευτον τὰ πρότερα εἶναι, οὕτως ὁμαλὴν κατεστήσαντο ὥστε οὐχ ὅσον
B αὐτῶν τὴν ἵππον ὅλην πόνῳ οὐδενὶ ἐνθένδε ἰέναι, ἀλλὰ καὶ τῶν ἐλεφάντων ὅσους βούλοιντο ἐπαγομένους ταύτῃ στρατεύειν. ἦλθον δὲ αὐτοῖς καὶ ξύμμαχοι Οὖννοι ἐκ τῶν Σαβείρων καλουμένων δισχίλιοί τε καὶ μύριοι. ἀλλὰ δείσας ὁ Μερμερόης μὴ ἐς πλῆθος
H 339 τοσοῦτον ὄντες οἱ βάρβαροι οὗτοι μήτε τι αὐτῷ ὑπακούειν ἐπαγγέλλοντι ἐθελήσωσιν, ἀλλὰ καὶ τι ἀνήκιστον ἐς τὸ Περσῶν στράτευμα ὀρύσωσι, τετρακισχιλίους μὲν ξυστρατεύεσθαι σφίσιν εἴα-

1. οὐκ ἦν] οἰκεῖ L. εἶναι Lm. 4. ἐκεῖ] ἐκεῖνον L. 7. ξύμπαν μάλιστα om. L. 8. ἐνιστάμενοι] ἱστάμενοι L. 9. κορυφῆς Reg. κορυφὴν P. 15. ὁμαλὴν] ὁμαλῆ L. 16. τὴν ἵππον αὐτῶν L. 18. σύμμαχοι L. 22. ὀράσσωσι L. ὀράσσουσι P. ibid. μὲν om. L.

quem Laxi incolerent, nisi Petram. In reditu, occupatis faucibus, quae ex Iberia in Colchidem ducunt, ubi Phasis vadosus est, huius vadum transiit, itemque fluvii, qui Rheon dicitur, et ipse navibus ibi impar ferendis. Itaque cum esset a dextra Phasidis, universum exercitum Archaeopolin duxit; quae urbs primaria est ac maxima Lazicae. Equites erant omnes, paucis exceptis, eosque elephanti octo sequebantur: quibus invecti Persae, tela inde, tanquam e turribus, in hostem supposituri missuri erant. Quare merito quis miretur laboriosam Persarum industriam; qui viam ex Iberia ad Colchos, ubique deruptis saltibus et fruticosis salebris implicitam, silvisque adeo densis obtectam prius, ut viro expedito videretur insuperabilis, ita complanarint, ut non modo equestres eorum copiae inde omnes facillime veniant, sed elephantos etiam, quotquot volunt, ad bellum agant. Ipsis etiam aderant socii, ex Hunnis Sabiris ad duodecim millia. At timens Mermeroës, ne tot numero Barbari detrectarent imperium, ac Persarum exercitum ingenti malo afficerent, retentis quatuor eorum millibus, caeteros luculento sti-

σε, τοὺς δὲ λοιποὺς χρήμασι πολλοῖς δωρησάμενος ἐς τὰ πάτρια ἦθη ἀφῆκεν ἰέναι. ὁ δὲ Ῥωμαίων στρατὸς δισχίλιοι μὲν καὶ μύριοι ἦσαν, οὐ μὴν ἀγηγερμένοι ἐς ταυτὸ ἅπαντες, ἀλλ' ἐν μὲν τῷ ἐν Ἀρχαιοπόλει φυλακτηρίῳ τρισχίλιοι ἦσαν, ὧν Ὀδόναχός τε C
5 καὶ Βάβας ἦρχον, ἄμφω ἀγαθοὶ τὰ πολέμια· οἱ δὲ δὴ ἄλλοι ἐντὸς τῶν ἐκβολῶν ποταμοῦ Φάσιδος ἐνστρατοπεδευσάμενοι ἔμενον, ἐκεῖνο διανοούμενοι, ὥστε ἤν πη ἐπισκήψῃ ὁ τῶν πολεμίων στρατὸς, αὐτοὶ ἐνθένδε ἐξανιστάμενοι βοηθοῖεν δυνάμει τῇ πάσῃ. ἦρχον δὲ αὐτῶν Βενῖλος τε καὶ Οὐλίγαγος. ξυνῆν δὲ αὐτοῖς καὶ
10 Οὐαράζης ὁ Περσαρμένιος, ἄρτι ἐξ Ἰταλίας ἥκων. ᾧ δὴ Τζά- V 204
νοι ὀκτακόσιοι εἵποντο. Βέσσας γὰρ, ἐπειδὴ τάχιστα τὴν Πέτραν εἶλε, πονεῖν μὲν ἔτι οὐδαμῇ ἤθελεν, ἐς δὲ Ποντικούς τε καὶ Ἀρμενίους ἀποχωρήσας ἐπεμελεῖτο ὡς ἔνι μάλιστα τῶν ἀπὸ τῆς ἀρχῆς αὐτοῦ πόρων, ταύτῃ τε τῇ σμικρολογίᾳ τὰ Ῥωμαίων D
15 αὖθις πράγματα ἔσφηλεν. εἰ γὰρ εὐθὺς τότε νενικηκὼς, ἥπερ μοι εἴρηται, καὶ τὴν Πέτραν ἑλὼν ἐς τὰ Λαζῶν τε καὶ Ἰβήρων ὅρια ἦλθε καὶ τὰς ἐκείνῃ δυσχωρίας ἐφράξατο, οὐκ ἄν μοι δοκεῖ ἔτι Περσῶν στράτευμα ἐς Λαζικὴν ἦει. νῦν δὲ ὁ στρατηγὸς οὗτος τοῦ πόνου τούτου ὀλιγωρήσας μόνον οὐχὶ τοῖς πολεμίοις Λα-
20 ζικὴν αὐτοχειρὶ παρέδωκε, τῆς ἐκ βασιλέως ὀργῆς ὀλίγα φροντίσας. εἰώθει γὰρ Ἰουστινιανὸς βασιλεὺς ἐπιχωρεῖν τὰ πολλὰ τοῖς ἄρχουσιν ἁμαρτάνουσι, καὶ ἀπ' αὐτοῦ ἔς τε τὴν δίαιταν καὶ τὴν πολιτείαν ἐκ τοῦ ἐπὶ πλεῖστον παρανομοῦντες ἠλίσκοντο.

9. *Οὐλίγαγος*] οὐλίγαγγος H. οὐλιγαγὸς Hm. 20. *αὐτοχειρίᾳ* H. *ibid. παραδέδωκε* Reg.

pendio donatos remisit in patriam. Constabat Romanus exercitus duodecim millibus: sic tamen ut non unum in locum omnes coacti essent: sed tria millia Archaeopoli praesidium agitarent, Odonacho et Baba ducibus, viris bello egregiis; reliqui cis ostia fluvii Phasidis stativa haberent, eo consilio, ut si quo hostis iret infestus, ipsi inde moverent castra, ac totis viribus suppetias ferrent. His Benilus et Uligagus imperabant, aderatque Varazes Persarmenius, ex Italia recens, qui secum Tzanos DCCC. ducebat. Bessas autem, statim ut Petram cepit, dimissis laboribus bellicis, Pontum et Armenias obiens, in colligendis provinciarum suarum vectigalibus operam posuit: qua sordida cupiditate rem Romanam iterum accidit. Nam si continuo post victoriam, de qua dixi, et Petrae expugnationem, ad Lazorum Iberumque confinia se contulisset, ac munisset eorum angustias, non amplius, mea quidem sententia, Persarum exercitus in Lazicam penetrasset. Iam vero hic Magister militiae, dum in ea parte laborare negligit, propemodum manu sua Lazicam hosti tradidit, irae Imperatoris admodum securus. Solebat enim Iustinianus Augustus Praefectorum peccatis multum indulgere: quo fiebat, ut saepius contra vitae institutum et in Remp. palam delinquerent.

Ἦν δὲ Λαζῶν φρούρια δύο πρὸς αὐτοῖς μάλιστα τοῖς Ἰβηρίας ὁρίοις, Σκάνδα τε καὶ Σαραπανίς. ἅπερ ἐν δυσχωρίαις
P 602 κείμενα χαλεπαῖς τισι καὶ ὅλως δυσκόλοις δυσπρόσοδα ὑπερφυῶς ὄντα ἐτύγχανε. ταῦτα Λαζοὶ μὲν τὸ παλαιὸν πόνῳ πολλῷ ἐφρούρουν, ἐπεὶ ἐνταῦθα τῶν ἐδωδίμων τὸ παράπαν οὐδὲν φύεται, ἀλλὰ φέροντες ἄνθρωποι ἐπὶ τῶν ὤμων τὰ ἐπιτήδεια ἐσκομίζονται. βασιλεὺς δὲ Ἰουστινιανὸς κατ' ἀρχὰς τοῦδε τοῦ πολέμου Λαζοὺς ἀναστήσας ἐνθένδε Ῥωμαίων φρουρὰν στρατιωτῶν κατεστήσατο. οἳ δὴ οὐ πολλῷ ὕστερον, πιεζόμενοι τῶν ἀναγκαίων τῇ ἀπορίᾳ, τὰ φρούρια ταῦτα ἐξέλιπον, ἐπεὶ αὐτοὶ μὲν ἐλύμοις ἀποζῆν ὥσπερ οἱ Κόλχοι ἐς πλείονα χρόνον, οὐκ εἰωθὸς σφίσιν, ὡς ἥκιστα εἶχον, Λαζοὶ δὲ αὐτοῖς μακρὰν ὁδὸν πορευόμενοι φέ-
B ροντές τε τὰ ἐπιτήδεια πάντα οὐκέτι ἀντεῖχον. Πέρσαι δὲ αὐτὰ καταλαβόντες ἔσχον, ἔν τε ταῖς σπονδαῖς αὐτὰ Ῥωμαῖοι ἀπέλαβον τὰς ἀντιδόσεις Βώλου τε τοῦ φρουρίου καὶ τοῦ Φαραγγίου πεποιημένοι, ὥσπερ μοι ταῦτα ἐν τοῖς ἔμπροσθεν λόγοις πάντα ἐρρήθη. Λαζοὶ μὲν οὖν ταῦτα τὰ φρούρια ἐς ἔδαφος καθεῖλον, ὡς μὴ αὐτὰ Πέρσαι ἐπιτειχίσματα κατὰ σφῶν ἔχοιεν. Πέρσαι δὲ αὐτοῖν θάτερον, ὅπερ Σκάνδα καλοῦσιν, αὖθις οἰκοδομησάμενοι ἔσχον, ὅ τε Μερμερόης ἐπίπροσθεν ἦγε τὸν Μήδων στρατόν.

2. Σαραπανίς] σεραπανίς H. 6. ἐπὶ τῶν ὤμων] ἀνὰ τὸν ὦμον H. ibid. ἐσκομίζονται] ἐσκομίζοντο Reg. 7. τοῦδε om. L. 11. πλείονα] πλείω Reg. 15. Βόλον τε τὸ φρούριον καὶ τὸ φράγγιον L.

Ad Iberiae fines habebant Lazi castella duo, Scandam et Sarapanin: quae in montium faucibus asperis ac plane confragosis sita, difficillimos habebant aditus. Ea quondam Lazi custodiebant labore multo, ob soli malignitatem, ex quo nihil vescum nascitur: verum homines eo cibaria comportant humeris. Belli huius initio Iustinianus Augustus, amotis inde praesidiis Laxicis, Romana substituerat: quae postmodum, urgente victus penuria, his castellis excesserunt: cum nec panico, cui minime assueverant, vitam tolerare diutius possent, ut Colchi; nec iam Lazi cibariis omnibus per longa itinera ferendis sufficerent. Eadem a Persis occupata, Romani facta pace receperant, restitutis vicissim Bolo castello Pharangioque, ut in superioribus libris plenius commemoravi. Lazi igitur castellum utrumque exciderunt, ne inde a Persis oppugnarentur. Persae vero eorum alterum, quod Scandam vocant, reaedificarunt occuparuntque praesidio, ac Mermeroës Medorum exercitum ulterius duxit.

Ἦν δὲ πόλις ἐν τῷ πεδίῳ, Ῥοδόπολις ὄνομα, ἥπερ ὑπαντιάζει πρώτη τοῖς ἐς τὴν Κολχίδα ἐξ Ἰβηρίας ἐσβάλλουσιν, εὐέφοδός τε καὶ ἐπιμαχωτάτη ἐς τὰ μάλιστα. διὸ δὴ αὐτὴν οὐ C πολλῷ πρότερον δείσαντες Λαζοὶ τὴν Περσῶν ἔφοδον ἐς ἕδαφος καθεῖλον. ὅπερ ἐπεὶ οἱ Πέρσαι ἔμαθον, εὐθὺ Ἀρχαιοπόλεως ἦεισαν. γνοὺς δὲ ὁ Μερμερόης τοὺς πολεμίους ἀμφὶ τὰς ἐκβολὰς ἐνστρατοπεδεύεσθαι ποταμοῦ Φάσιδος ἐπ' αὐτοὺς ἤλαυνεν. ἄμεινον γάρ οἱ ἔδοξεν εἶναι τούτους πρότερον ἐξελόντι οὕτω δὴ ἐς τῆς Ἀρχαιοπόλεως τὴν πολιορκίαν καθίστασθαι, ὡς μὴ ὄπισθεν αὐτοὶ ἰόντες κακουργήσωσι τὸ Περσῶν στράτευμα. ὡς ἀγχοτάτω δὲ τοῦ Ἀρχαιοπόλεως περιβόλου γενόμενος ἠσπάσατο ἐρεσχελῶν τε τοὺς ταύτῃ Ῥωμαίους, καίτοι νεανιευσάμενος ὡς αὐτίκα δὴ μάλα ἐπανήξει σφίσι. βουλομένῳ γάρ οἱ αὐτῷ ἔφασκεν εἶναι Ῥωμαίους τοὺς ἄλλους προσειπεῖν πρότερον, οἳ δὴ ἐνστρατοπεδεύονται ἀμφὶ ποταμὸν Φᾶσιν. οἱ δὲ ἀποκρινάμενοι D εἶναι μὲν αὐτὸν ἐκέλευον ὅπῃ βούλοιτο, ἰσχυρίσαντο μέντοι ὡς, ἢν τοῖς ἐκείνῃ Ῥωμαίοις ἐντύχῃ, οὐ μή ποτε αὐτοῖς ἐπανήξει. ταῦτα ἐπεὶ οἱ τοῦ Ῥωμαίων στρατοῦ ἄρχοντες ἔμαθον, κατωρρώδησάν τε καὶ ἥσσους οἰόμενοι εἶναι ἢ φέρειν τῶν ἐπιόντων τὴν δύναμιν ἐς τὰς σφίσι παρεσκευασμένας ἀκάτους ἐμβάντες ποταμὸν Φᾶσιν διεπορθμεύσαντο ἅπαντες, τῶν σφίσι παρόντων ἐπιτηδείων, ὅσα μὲν διακομίζειν οἷοί τε ἦσαν, ἐν ταῖς ἀκάτοις ἐν-

1. ὑπαντιάζει] ὑπηντίαζε L. 2. ἐς τὴν Κολχίδα] ἐν τῇ κολχίδι Reg. 8. οὐ om. L. 13. μάλα] μᾶλλον L. 18. στρατοῦ ἄρχοντες] ἄρχοντες τοῦ στρατοῦ L. 19. τε καὶ] καὶ om. L.

Rhodopolis, urbs in planitie sita, primaque obvia irrumpentibus ex Iberia in Colchidem, aditu captuque valde facilis erat. Quamobrem Lazi illam solo nuper aequaverant, Persarum adventum veriti. Quo Persae audito, recta Archaeopolin iter intenderunt. Mermeroës vero, ubi accepit castra hostes metatos esse ad fluvii Phasidis ostia, eo progredi constituit: quippe satius videbatur hos prius profligare, itaque demum Archaeopolis obsidionem capessere; ne ipsi a tergo subeuntes, Persarum copiis detrimenti aliquid importarent. Propter Archaeopolis moenia transiens, Romanos urbis incolas salutavit cavillans, et iactanter denuntians, actutum eo se rediturum: velle se prius alloqui Romanos, qui ad fluvium Phasin stativa haberent. Tum illi suo responso ire ipsum iubent quocunque volet: caeterum affirmant nunquam ad se reversurum, si in Romanos illos inciderit. De his certiores facti exercitus Romani Duces, cohorruerunt, seque impares rati sustinendae aggressorum impressioni, scaphis, quae praesto erant, conscensis, fluvium Phasin traiecere omnes, cum quidquid annonae sibi comparatae avehere poterant,

θέμενοι, τὰ δὲ ἄλλα ἐς τὸν ποταμὸν ἐμβεβλημένοι, ὅπως μὴ αὐτοῖς οἱ πολέμιοι τρυφᾶν δύνωνται. γενόμενος οὖν ἐνταῦθα
H 340 παντὶ τῷ στρατῷ ὁ Μερμερόης οὐ πολλῷ ὕστερον, ἔρημόν τε παντάπασιν ἰδὼν τὸ τῶν πολεμίων στρατόπεδον ἤσχαλλέ τε καὶ
P 603 ἀπορούμενος ἐδυσφορεῖτο. καύσας τε τὸ Ῥωμαίων χαράκωμα καὶ τῷ θυμῷ ζέων ἀνέστρεφέ τε αὖτίκα καὶ τὸ στράτευμα ἐπὶ τὴν Ἀρχαιόπολιν ἦγε.

B ιδ'. Κεῖται δὲ Ἀρχαιόπολις ἐπὶ λόφου τινὸς σκληροῦ ἐς
V 205 ἄγαν, καὶ ποταμὸς αὐτὴν παραρρεῖ ἐξ ὀρῶν κατιών, ἅπερ τῆς πόλεως καθύπερθέν ἐστι. πύλαι δὲ αὐτῇ αἱ μὲν κάτω εἰσί, φέρουσαι παρὰ τοῦ λόφου τὴν ὑπώρειαν, οὐκ ἀπρόσοδοι μέντοι, ἀλλ' ὅσον ἄνοδον ἐκ τοῦ πεδίου τινὰ ἐς αὐτὰς οὐχ ὁμαλῆν εἶναι· αἱ δὲ ἄνω ἐς τὸ κρημνῶδες ἐξάγουσαι αὐτὰς δυσπρόσοδοι ἐς ἄγαν. χῶροι γὰρ λοχμώδεις πρὸ τούτων τῶν πυλῶν εἰσιν, ἐπὶ πλεῖστον διήκοντες. ἐπεί τε ὕδατος ἄλλου τοῖς τῇδε ᾠκημένοις οὐδαμῇ
C μέτεστι, τεῖχη δύο ἐνθένδε οἱ τὴν πόλιν δειμάμενοι ἄχρι ἐς τὸν ποταμὸν ἐτεκτήναντο, ὅπως ἂν σφίσιν ἐν τῷ ἀσφαλεῖ τὸ τοῦ ποταμοῦ ὕδωρ ἀρύεσθαι δυνατὰ εἴη, Μερμερόης οὖν παντὶ σθένει τειχομαχεῖν ἐνταῦθα σπουδάζων τε καὶ διατεινόμενος ἐποίει τάδε. πρῶτα μὲν τοῖς Σαβείροις ἐπήγγειλε κριοὺς παμπληθεῖς ἐργάζεσθαι, οἵους ὄν φέρειν ἀνθρωποι ἐπὶ τῶν ὤμων δυνατοὶ εἶεν, ἐπεὶ μηχανὰς μὲν τὰς ξυνειθισμένας τρόπῳ οὐδενὶ

6. ἀνέστρεφε τε] ἀνέστρεφεν L. ibid. φέρουσαι] φέρουσι Reg. 20. Σαβείροις] σαβήροις Reg. ἐπήγγειλε] ἐπήγγελε L. 10. αἱ μὲν] αἳ μὲν Reg. 12. ὁμαλὴν] ὁμαλῆ L a pr. m. Et sic L pene constanter. ibid.

imposuissent in scaphas, caeteris in flumen proiectis, ne hostes illis gauderent. Quo cum omnes copias paulo post duxisset Mermeroës, atque hostium castra vidisset penitus vacua, rem iniqne tulit, secum dolens ac pendens animi. Subinde Romanorum castris flamma deletis, ira ardens rediit, et copias Archaeopolin duxit.

14. Sita est Archaeopolis in colle asperrimo, eamque fluvius alluit, qui ex montibus urbi imminentibus labitur. Eius portae inferiores ad collis radices ducunt, haud inaccessae: via solum, qua ex campo ad eas itur, non plana est. Superiores portae exitus habent praecipites, atque aditus difficillimos: quippe latissima fruteta obiacent. Et quoniam incolis nihil aquae, nisi fluvialis, suppetit, urbis conditores geminum murum ad flumen usque exstruxerant, ut ex eo lympha sine periculo hauriatur. Hanc partem totis oppugnare viribus decrevit Mermeroës, et consilium urgens, haec egit. Primo quidem Sabiris curam demandavit, arietes fabricandi quamplurimos, quibus portandis hominum humeri sufficerent; eo quod ad murum imo in monte positum consuetas machinas nullo modo

ἐς Ἀρχαιοπόλεως τὸν περίβολον ἐπάγεσθαι εἶχε, κατὰ τὸν ὄρους πρόποδα κείμενον. ἠκηκόει δὲ ὅσα τοῖς Ῥωμαίων ἐνσπόνδοις Σαβείροις ἀμφὶ τὸ Πέτρας τεῖχος ἐργασθείη οὐ πολλῷ ἔμπροσθεν, καὶ τοῖς ἐπινενοημένοις ἑπόμενος τὴν ἐκ τῆς πείρας ὠφέλειαν μετῄει. οἱ δὲ τὰ ἐπαγγελλόμενα ἐποίουν. κριούς τε αὐτίκα συχνοὺς ἐτεκτήναντο, ἥπερ μοι ἔναγχος Ῥωμαίοις εἰργάσθαι Σαβείρους ἐρρήθη. ἔπειτα δὲ τοὺς μὲν Δολομίτας καλουμένους κατὰ τῆς πόλεως τὰ κρημνώδη στέλλει ἐνοχλεῖν ἐπιστείλας τοὺς ταύτῃ πολεμίους δυνάμει τῇ πάσῃ. οἱ δὲ Δολομῖται οὗτοι βάρβαροι μέν εἰσιν, ᾠκημένοι ἐν Πέρσαις μέσοις, οὐ μὴν κατήκοοι γεγόνασι βασιλέως τοῦ Περσῶν πώποτε. ἱδρυμένοι γὰρ ἐν ὄρεσιν ἀποτόμοις τε καὶ ὅλως ἀβάτοις αὐτόνομοι ὄντες ἐκ παλαιοῦ διαγεγόνασιν ἐς τόδε τοῦ χρόνου· μισθαρνοῦντες δὲ ἀεὶ ξυστρατεύουσι Πέρσαις ἐπὶ πολεμίους τοὺς σφετέρους ἰοῦσι. καὶ πεζοὶ μέν εἰσιν ἅπαντες, ξίφος τε καὶ ἀσπίδα φέρων ἕκαστος καὶ ἀκόντια ἐν ταῖς χερσὶ τρία. θεῖν δὲ λίαν ἔν τε τοῖς κρημνοῖς καὶ τῶν ὀρῶν ταῖς ὑπερβολαῖς ἐξεπίστανται, ὥσπερ ἐν πεδίῳ ὑπτίῳ. καὶ διὰ τοῦτο Μερμερόης αὐτοὺς τῇδε τειχομαχεῖν ἔταξεν, αὐτὸς δὲ παντὶ τῷ ἄλλῳ στρατῷ ἐπὶ πύλας τὰς κάτω τούς τε κριοὺς καὶ τοὺς ἐλέφαντας ἐπαγόμενος ἦει. οἱ μὲν οὖν Πέρσαι ξὺν τοῖς Σαβείροις ἐς τὸ τεῖχος συχνὰ βάλλοντες, τοῖς τε τοξεύμασι καλύψαντες τὸν ταύτῃ ἀέρα, οὐ μακρὰν που ἐγένοντο ἀναγκάσαι τοὺς ἐνταῦθα Ῥωμαίους ἐκλιπεῖν τὰς ἐπάλξεις. οἱ δὲ

7. 9. δολομήτας et δολομῆται H. 10. ᾠκημένοι] ᾠκισμένοι Reg. 13. συστρατεύουσι L. 16. δὲ] τε L. 17. ὑπερβολαῖς] ἐπιβολαῖς H.

quiret appellere, et auditis quae Sabiri Romanorum socii paulo ante fecissent ad Petrae moenia, recentibus inventis studens, eorum usu iuvari vellet. Illi dicto audientes, protinus multos arietes iis similes moliti sunt, quos, ut diximus, Sabiri Romanis excitaverant. Dein vero Dolomitas ad urbis latus praecipitiis impendens mittit, iubetque hostes totis ibi viribus fatigare. Barbari sunt hi Dolomitae, et quamvis in Perside habitent, nunquam tamen Regi Persarum fuere subditi. Cum enim montes abruptos penitusque invios colant, ab omni vetustate ad hanc diem suis vixere legibus, nec nisi mercede conducti, Persis in hostes ipsorum militant. Omnes pedibus merent: gladium quisque et scutum gestat, ternaque in manibus iacula, nec minus expedite currunt in confragosis et verticibus montium, quam in camporum aequore. Quamobrem Mermeroës oppugnandam his partem illam assignavit: ipse cum reliquis copiis arietes et elephantos ad portas inferiores promovit. Ergo Persae et Sabiri, cum tela in muros tam crebra mitterent, ut sagittarum nube coelum illic obducerent, Romanos eius partis propugnatores tantum non

ὀλομῖται τὰ δοράτια ἐκ τῶν κρημνῶν ἐκτὸς τοῦ περιβόλου ἐσακοντίζοντες πολλῷ ἔτι μᾶλλον τοὺς κατ' αὐτοὺς πολεμίους ἐλύ-
B πουν. πανταχόθι τε Ῥωμαίοις τὰ πράγματα πονηρά τε καὶ κινδύνων ἔμπλεα ἐγεγόνει, ἔσχατα ἐσχάτων κακὰ πάσχουσι.

Τότε δὴ Ὀδόναχός τε καὶ Βάβας, εἴτε ἀρετὴν ἐνδεικνύ- 5
μενοι εἴτε τῶν στρατιωτῶν ἀποπειρᾶσθαι βουλόμενοι, ἢ καί τι αὐτοὺς θεῖον ἐκίνησεν, εἴασαν μὲν τῶν στρατιωτῶν ὀλίγους τινὰς, οἷς δὴ ἐπέστελλον ἀπὸ τῶν ἐπάλξεων τοὺς τειχομαχοῦντας ἀμύνεσθαι, τοὺς πλείστους δὲ ξυγκαλέσαντες βραχεῖάν τινα παρακέλευσιν ἐποιήσαντο καὶ ἔλεξαν τοιάδε „Τὸν μὲν παρόντα 10
κίνδυνον, ἄνδρες ξυστρατιῶται, καὶ τὴν περιλαβοῦσαν ἡμᾶς ἀνάγκην ὁρᾶτε. δεῖ δὲ ἡμᾶς τούτοις δὴ τοῖς κακοῖς ὡς ἥκιστα εἴκειν. τοὺς γὰρ ἐς ἀπόγνωσιν σωτηρίας ἐλθόντας τοῦτο ἂν διασώσασθαι δύναιτο μόνον, τὸ μὴ τῆς σωτηρίας ἐφίεσθαι· ἐπεὶ τῷ φιλοψύχῳ τὸ διαφθείρεσθαι ἐκ τοῦ ἐπὶ πλεῖστον ἕπεσθαι πέ- 15
C φυκε. καὶ τόδε δὲ ὑμᾶς ἐννοεῖν ἐν τοῖς παροῦσι δεινοῖς δεήσει, ὡς ἐκ τῶν ἐπάλξεων τῶνδε ἀμυνομένοις τοῖς πολεμίοις οὐκ ἐν
V 206 βεβαίῳ τὰ τῆς σωτηρίας ἡμῖν κείσεται, ἣν καὶ τὴν ἀγωνίαν ὡς προθυμότατα διενέγκωμεν. μάχη γὰρ ἐκ διεστηκότων ξυνισταμένη ἀνδραγαθίζεσθαι οὐδενὶ ξυγχωρεῖ, ἀλλ' ἐς τὸ τῆς τύχης 20
ὡς τὰ πολλὰ περιίσταται κράτος. ἢν μέντοι ἡ ξυμβολὴ ξυσταδὸν γένηται, τά τε τῆς προθυμίας ἐκ τοῦ ἐπὶ πλεῖστον κρατήσει καὶ μετὰ τῆς ἀνδρείας ἡ νίκη χωρήσει. ἄνευ δὲ τούτων εὐημε-

9. ἀμύνεσθαι] ἀμύνασθαι L. 10. τοιάδε] τάδε Reg. 11. συστρατιῶται L. ibid. παραλαβοῦσαν L. ibid. ἡμᾶς L. ὑμᾶς P. 13. ἐς] εἰς L. 14. δύναιτο L. δύναται P. 16. ὑμᾶς] ἡμᾶς L. 20. „τύχης] Ita correxi, cum scriptum esset ψυχῆς. " Malt. In τύχης consentire videtur L. 21. ξυσταδὸν] ξυνσταδὸν L.

coëgerunt pinnas deserere: Dolomitae vero ex aspretis, quae sunt extra moenia, iacula torquentes, oppositos sibi hostes multo acrius infestabant. Pessimo ubique loco atque in praecipiti erant res Romanorum extrema iam patientium.

Tunc Odonachus et Babas, sive ostendendae virtutis propriae, sive militis probandi gratia, seu divino quodam instinctu, paucis ad pinnas relictis militibus, iussisque oppugnatores inde propellere, maximam partem convocarunt, brevique hortatione hac usi sunt. *Videtis, Commilitones, quo iam discriminis ac necessitatis redacti simus: quibus malis cedere vos minime decet. Saluti desperantibus una salus est nullam salutem optare: siquidem vitae amorem exitium plerumque sequitur. Id quoque his in angustiis cogitandum vobis est; quandiu hinc e pinnis hosti repugnabimus, quamvis animosissime certemus, in dubio tandiu salutem fore. Etenim pugna eminus inita, nemini copiam exerendae virtutis facit, utpote saepius in arbitrio Fortunae sita. Cum autem collato*

ῥήσαντες μὲν ἐν τῇ ξυμβολῇ οἱ ἀπὸ τοῦ περιβόλου μαχόμενοι H 341
οὐδὲν ἄν τι τῆς εὐημερίας ἀπόναιντο μέγα, ἐπεὶ ἐν μὲν τῷ παραυτίκα τοὺς πολεμίους σφίσιν' ἐπεῖσθαι ξυμβαίνει, ἐς δὲ τὴν ὑστεραίαν ὁ κίνδυνος αὖθις ἐν ἀκμῇ γίνεται, καὶ κατὰ μικρὸν σφα-
5 λέντες αὐτοῖς, ὡς τὸ εἰκός, ξυνδιαφθείρονται τοῖς ὀχυρώμασιν. D
ἐκ χειρὸς δὲ τοὺς ἐναντίους νενικηκότες ἐν τῷ ἀσφαλεῖ τὴν σωτηρίαν τὸ λοιπὸν ἕξουσιν. ὧν ἐνθυμηθέντες ἴωμεν ἐπὶ τοὺς πολεμίους προθυμίᾳ τῇ πάσῃ, τὴν ἄνωθεν ἐπικουρίαν ἐπαγαγόμενοι, εὐέλπιδές τε τῇ προσπεσούσῃ ταινῦν ἀπογνώσει γεγενημένοι. τοὺς
10 γὰρ ἐλπίδα σωτηρίας τινὸς ἐν σφίσιν αὐτοῖς οὐδαμῇ ἔχοντας τὸ θεῖον ἀεὶ διασώζεσθαι μάλιστα εἴωθε."

Τοσαῦτα Ὀδόναχός τε καὶ Βάβας παρακελευσάμενοι τάς τε πύλας ἀνέῳγον καὶ τὸ στράτευμα δρόμῳ ἐξῆγον, ὀλίγων ἀπολελειμμένων ἐνταῦθά τινων ἐξ αἰτίας τοιᾶσδε. τῶν τις Λαζῶν
15 τῇ προτεραίᾳ, λόγιμος μὲν ὢν ἐν τούτῳ τῷ ἔθνει, ἐν Ἀρχαιοπόλει δὲ ᾠκημένος, ἔπρασσε πρὸς Μερμερόην ἐπὶ τῇ πατρίδι προδοσίας πέρι. ὁ δέ οἱ ἄλλο οὐδὲν ἐπήγγελλε χαρίζεσθαι Πέρ- P 605
σαις, πλήν γε δὴ ὅπως, ἡνίκα ἐς τειχομαχίαν καθιστῶνται, τὰ οἰκία ἐμπρήσῃ λάθρα, οἷς δὴ ὅ τε σῖτος καὶ τὰ λοιπὰ τῶν ἐπιτη-
20 δείων ἀπέκειτο. ἐπέστελλε δὲ ταῦτα, δυοῖν γενήσεσθαι τὸ ἕτερον λογισάμενος· ἢ γὰρ Ῥωμαίους περὶ τὸ πῦρ τοῦτο σφαδάζοντάς τε καὶ διατριβὴν ποιουμένους ἐνδώσειν σφίσι κατ' ἐξουσίαν ἐπιβατεύειν τοῦ περιβόλου, ἢ τειχομαχοῦντας ἀποκρούεσθαι

8. ἐπεῖσθαι] ἐπαιωρεῖσθαι Reg. 5. συνδιαφθείρονται L. 8. τὴν ἄνωθεν] τὴν om. L. 15. ὢν om. L. 19. ἐμπρήσαι H. ibid. οἷς δή] ἣν δὲ L. 20. ἀπέκειτο om. L.

pede confligitur, praevalet erectus animus, et generositatem victoria comitatur. Praeterea, qui rem feliciter gerunt dimicantes e moenibus, levem ii fructum ex prospero successu referunt. Nam hoste tum repulso, postridie recrudescit conflictus, ac paulatim sublapsi, cum suis munitionibus certo pereunt: qui si hostem vicissent cominus, certa in posterum incolumitate fruerentur. Quibus recte expensis, toto animo in hostes erumpamus, divina freti ope, et hoc ipso deplorato rerum nostrarum statu confisi. Enimvero qui spem salutis nullam in se repositam habent, eos maxime Deus servare solet.

Ita suos hortati Odonachus et Babas, reclusis portis, copias citato cursu educunt, paucis intus relictis, istam ob causam. Pridie, nobilis quidam Lazus, cui erat Archaeopoli domicilium, de prodenda patria egerat cum Mermeroë. Hic autem ipsi mandaverat, unam hanc iniret a Persis gratiam, ut cum muros oppugnari coeptos videret, clam ignem inferret horreis, in quibus frumentum caeteraque annona asservabatur. Quod quidem praescripsit, horum alterum putans effectum iri, aut ut Romani circa incendium solliciti occupatique, spatium Persis darent supe-

βουλομένους Πέρσας ταῦτα δὴ τὰ οἰκία ἐν ὀλιγωρίᾳ ποιήσεσθαι· καιομένων δὲ τῷ τρόπῳ τούτῳ τοῦ τε σίτου καὶ τῶν ἄλλων ἐπιτηδείων πόνῳ σφῶς οὐδενὶ πολιορκίᾳ ἐν χρόνῳ ὀλίγῳ Ἀρχαιό-
B πολιν ἐξαιρήσεσθαι. τοιαύτῃ μὲν γνώμῃ ὁ Μερμερόης τούτῳ δὴ τῷ Λαζῷ ταῦτα ἐπέστειλεν· ὁ δέ οἱ τὴν ἐπίταξιν ὡμολόγει ἐπιτελῆ δράσειν. ἡνίκα γοῦν τὴν τειχομαχίαν ἀκμάζουσαν εἶδε, πῦρ ὡς λαθραιότατα τοῖς βωματίοις τούτοις ἐνῆψε. αἰρομένην δὲ τὴν φλόγα ἐξαπιναίως Ῥωμαῖοι ἰδόντες ὀλίγοι μέν τινες ἐβοήθουν ἐνταῦθα, καὶ πόνῳ πολλῷ τὸ πῦρ ἔσβεσαν ἀμηχέπη λυμηνάμενον, οἱ δὲ λοιποὶ ἅπαντες, ὥσπερ ἐρρήθη, ἐπὶ τοὺς πολεμίους ἐχώρησαν. ἐμπεσόντες δὲ αὐτοῖς ἐκ τοῦ αἰφνιδίου καὶ τῷ ἀπροσδοκήτῳ ἐκπλήξαντες πολλοὺς ἔκτεινον, οὔτε ἀμυ-
C νομένους οὔτε χεῖρας αὐτοῖς ἀνταίρειν τολμῶντας. Πέρσαι γὰρ ὀλίγους κομιδῇ τοὺς πολεμίους ὄντας ἐπεξιέναι σφίσιν ἐν ἐλπίδι οὐδεμιᾷ ἔχοντες ἀλλήλων διεστηκότες ὡς ἐς τειχομαχίαν ἐτετάχατο ξὺν τῇ ἀκοσμίᾳ. καὶ οἱ μὲν ἐπὶ τῶν ὤμων τοὺς κριοὺς φέροντες ἄνοπλοί τε καὶ τὰ ἐς μάχην ἀπαράσκευοι, ὡς τὸ εἰκός, ἦσαν, οἱ δὲ δὴ ἄλλοι τὰ τόξα ἐντεταμένα ἐν χερσὶν ἔχοντες ξυστασὸν ἠγκειμένους τοὺς πολεμίους ἀμύνεσθαι μηχανῇ οὐδεμιᾷ εἶχον. οὕτω δὴ κόπτοντες Ῥωμαῖοι ἐπιστροφάδην αὐτοὺς διε-
χρῶντο. ξυνέβη δὲ τότε καὶ τῶν ἐλεφάντων ἕνα πληγέντα, ὡς

1. ποιήσασθαι L. 4. ἐξαιρήσειν L. 6. γοῦν om. L. *ibid.* εἶδε] ἴδῃ L. 7. ἐνῆψε] ἀνάψας L. 11. αὐτοῖς] αὐτοὺς L. 12. οὔτε — οὔτε] οὐδὲ — οὐδὲ P. 18. ξυστασὸν] συστασὸν L. 21. πληγέντα] πληγῆναι H.

randi muri; aut Persarum impressioni prohibendae intenti, curam horreorum deponerent, itaque frumento ac caeteris commeatibus igne corruptis, obsessam Archaeopolin brevi tempore et nullo negotio in suam Persae ditionem redigerent. Eo spectabant mandata, quae Lazo Mermeroës dedit, et recepit ille se confecturum. Simul igitur oppugnationem fervere vidit, ignem furtim subdidit horreis. A Romanis deprehensa repente flamma iam subvolante, illuc nonnulli cucurrere subsidio, et ignem late grassantem difficillime restinxerunt: caeteri omnes effuderunt se in hostes, ut dictum est, factoque subito impetu, ac terrore vi improvisa incusso, multos occiderunt nec resistentes, neque arma audentes tollere. Etenim Persae, cum non sperarent fore ut hostes, quorum numerus admodum exiguus esset, erumperent, dispersi incompositique se ad murum invadendum parabant. Atque hi quidem arietarias machinas gestantes humeris, inermes et proinde ad pugnam imparati erant. Alii vero intentos arcus in manibus habentes, instantem pede collato hostem propellere nequibant. Itaque Romani nunc hos nunc illos caedere et leto sternere. Tum forte elephantum unus, accepto, ut

ἔνιοί φασιν, ἢ ἀπὸ ταὐτομάτου ξυνταραχθέντα, περιστρέφεσθαί τε καὶ οὐδενὶ κόσμῳ ἀναχαιτίζειν, καὶ τοὺς μὲν ἐπιβάτας ῥιπτεῖν, τῶν δὲ δὴ ἄλλων τὴν τάξιν ἐκλύειν. καὶ ἀπ' αὐτοῦ οἱ μὲν D
βάρβαροι ἀνεπόδιζον, Ῥωμαῖοι δὲ ἀδεέστερον τοὺς ἐν ποσὶν ἀεὶ
5 διεχρῶντο. θαυμάσειε δ' ἄν τις ἐνταῦθα δικαίως, εἰ Ῥωμαῖοι μὲν, ἐξεπιστάμενοι καθ' ὅ τι χρὴ ἀποκρούσασθαι τῶν πολεμίων τὴν διὰ τῶν ἐλεφάντων ἐπίθεσιν, τῶν θεόντων οὐδὲν ἔδρασαν, τοῖς παροῦσι δηλονότι ξυνταραχθέντες, ἀπὸ ταὐτομάτου δὲ τὸ τοιοῦτον σφίσι ξυννενέχθη γενέσθαι. ὅ τι δὲ τοῦτ' ἔστιν, αὐτίκα
10 ἐγὼ δηλώσω.

Ἡνίκα Χοσρόης τε καὶ ὁ Μήδων στρατὸς ἐτειχομάχουν ἀμφὶ τὸν Ἐδέσσης περίβολον, τῶν τις ἐλεφάντων, ἐπιβεβηκό- V 207
τος οἱ ὁμίλου πολλοῦ τῶν ἐν Πέρσαις μαχιμωτάτων, ἀγχοῦ τοῦ περιβόλου γενόμενος ἐπίδοξος ἦν ὅτι δὴ δι' ὀλίγου βιασάμενος P 606
15 τοὺς ἀπὸ τοῦ ἐκείνῃ πύργου ἀμυνομένους, ἅτε κατὰ κορυφὴν συχνὰ βαλλομένους, τὴν πόλιν αἱρήσει. ἐδόκει γάρ τις μηχανὴ τὸ τοιοῦτον ἑλέπολις εἶναι. ἀλλὰ Ῥωμαῖοι χοῖρον αὐτίκα ἐκ τοῦ πύργου ἐπικρεμάσαντες τὸν κίνδυνον τοῦτον διέφυγον. κραυγμὸν γάρ τινα, ὧν, ὡς τὸ εἰκὸς, ἠρτημένος, ἐνθένδε ὁ χοῖρος
20 ἠφίει, ὅνπερ ὁ ἐλέφας ἀχθόμενος ἀνεχαίτιζέ τε καὶ κατὰ βραχὺ

1. ἀπὸ ταὐτομάτου L. ἀπ' αὐτομάτου P. 2. καὶ οὐδενὶ κόσμῳ] οὐδενὶ κόσμῳ καὶ L. ibid. ῥιπτεῖν] ῥίπτειν L. 3. οἱ μὲν] μὲν οἱ H. 9. τοιοῦτον] τοσοῦτον ex Reg. affert. Malt.: nisi Hoeschelium potius dicere voluit, cuius in ed. τοσοῦτον scriptum, τοιοῦτον autem in margine positum est. 10. ἐγὼ om. L. 12. Ἐδέσσης] Ἔδεσσης P hic et infra. 17. αὐτίκα om. L. 18. κραυγμὸν γάρ τινα] καὶ κραυγῆς γάρ τινος Vat. et L. 19. ὧν — ἠρτημένος] καὶ ὧν (κἄλων Lm) ὡς εἰκὸς ἠρτημένων L. ibid. ὁ χοῖρος ἐνθένδε L. 20. ὅνπερ om. L. ibid. ἀνεχαίτιζέ τε] ἀναχαιτίζων L.

nonnulli referunt, vulnere, vel sponte efferatus, circumegit sese, et cum maxima perturbatione retrectans, excussis sessoribus, caeterorum ordines rupit. Ex eo Barbari referre pedem: Romani impunius obvios quosque confiocre. His merito miretur quispiam Romanos, qui cum artem callerent repellendi impetus ab hoste dati cum elephantis, quod illa praescribebat prorsus omiserint, turbati utique praesenti motu, idque ultro ipsis acciderit: quod quid sit, mox exponam.

Quo tempore Chosroës Medorumque exercitus Edessae muros aggressi sunt, admotus illis elephas quidam, complures vehens Persas pugnatores egregios, speciemque exhibens machinae, quam helepolin vocant, videbatur brevi urbem expugnaturus, iis, qui ex turri illic posita resistebant, coactis se subducere venientium desuper telorum grandini. At statim Romani suspenso e turri porco, discrimin evaserunt. Suspensus enim porcus grunnitum, ut fit, edidit acutiorem: quo efferatus

ἀναποδίζων ὀπίσω ἐχώρει. ἐκεῖνο μὲν οὖν ταύτῃ ἐχώρησε. νῦν δὲ τὸ παρειμένον τῇ Ῥωμαίων ὀλιγωρίᾳ ἡ τύχη ἐπλήρου. ἀλλ' ἐπειδὴ Ἐδέσσης ἐμνήσθην, οὐ σιωπήσομαι τὸ ἐκείνῃ τέρας πρὸ
B τοῦδε τοῦ πολέμου ξυνενεχθέν. ἡνίκα γὰρ ὁ Χοσρόης λύειν
H 342 ἔμελλε τὰς ἀπερύντους καλουμένας σπονδάς, γυνή τις ἐν πόλει βρέφος ἐκύει τὰ μὲν ἄλλα ἐπιεικῶς ἀνθρωπόμορφον, δύο δέ τοι κεφαλὰς ἔχον. ὃ δὴ φανερὸν τοῖς ἀποβεβηκόσι γέγονεν. Ἔδεσσά τε γὰρ καὶ ἡ ἑῴα σχεδόν τι πᾶσα καὶ πρὸς ἡ πολλὴ Ῥωμαίων ἀρχὴ βασιλεῦσι περιμάχητος δυοῖν γέγονε. ταῦτα μὲν οὖν τῇδε ξυνέπεσεν. ἐγὼ δὲ ὅθενπερ ἐξέβην ἐπάνειμι.

Τῆς δὲ ταραχῆς οὕτως ἐπιπεσούσης τῷ Μήδων στρατῷ, ὅσοι δὴ αὐτῶν ὄπισθεν ἐτετάχατο, τὴν μὲν ταραχὴν τῶν ἔμ-
C προσθεν ὄντων θεώμενοι, τὸ δὲ ξυμβεβηκὸς οὐδαμῇ πεπυσμένοι, κατωρρώδησαν, ἔς τε ὑπαγωγὴν ξὺν πολλῇ ἀκοσμίᾳ ἐτράποντο. ταὐτὸ δὲ τοῦτο καὶ οἱ Δολομῖται παθόντες (ἐξ ὑπερδεξίων γὰρ τὰ ποιούμενα πάντα ἑώρων) αἰσχράν τινα φυγὴν ἔφευγον, ἥ τε τροπὴ λαμπρὰ ἐγεγόνει. καὶ τετρακισχίλιοι μὲν τῶν βαρβάρων αὐτοῦ ἔπεσον, ἐν τοῖς καὶ τῶν ἀρχόντων τρεῖς τετύχηκεν εἶναι, τέσσαρα δὲ τῶν Περσικῶν σημείων Ῥωμαῖοι εἷλον, ἅπερ εὐθὺς ἐς Βυζάντιον βασιλεῖ ἔπεμψαν. ἵππους δέ φασιν αὐτῶν οὐχ ἧσσους ἢ ἐς δισμυρίους ἀπολωλέναι, οὐ βληθέντας οὐδὲ πληγέντας πρὸς τῶν πολεμίων, ἀλλὰ μακρὰν μὲν ὁδὸν πορευθέντας,

8. ἐπειδὴ] ἐπεὶ δὴ L. 7. τοῖς ἀποβεβηκόσι φανερὸν L. 9. δυοῖν] δυεῖν L. δὴ Lm. 11. τῷ — στρατῷ] τῶν — στρατῶν L. στρατιωτῶν Lm. 18. ἐν τοῖς] ἐν οἷς L.

elephas restitit; tum pedem sensim referens excessit. Ita quidem hoc ibi contigit: iam vero quod Romanorum negligentia praetermissum fuerat, fortuna supplevit. Et quando mentio Edessae incidit, prodigium, quod in ea urbe ante bellum hoc accidit, silentio non praeteribo. Paulo prius quam pacem Chosroës perpetuam solveret, mulier quaedam foetum enixa est, humana quidem forma caetera praeditum, sed bicipitem: quo quid portenderetur, eventus docuit. Non modo enim Edessa ac totus propemodum Oriens, at magna etiam Imperii Romani pars, in contentionem Principum duorum venit. Haec ibi: ego vero ad propositum redeo.

Dum sic miscentur Medorum agmina, quicunque a tergo locati erant, animadversa antecedentium conturbatione, necdum cognita ipsius causa, pavore consternati incompositissime retrocedunt. Eodem *modo* territi, qui ex edito spectabant haec omnia Dolomitae, in pedes turpiter se coniecerunt. Effusa iam palam fuga, ceciderunt Barbarorum quatuor millia, in quibus Duces fuere tres. Romani signa Persica cepere quatuor, et Byzantium protinus miserunt Imperatori. Ferunt eorum equos ad viginti minimum millia periisse; non telis fixos, nec vul-

κόπῳ δὲ ὠμιληκότας ἐν ταύτῃ πολλῷ, τροφῶν δὲ, ἐπεὶ ἐν Λα- D
ζικῇ ἐγένοντο, ὡς ἥκιστα ἐς κόρον ἐλθόντας, οὕτω τε λιμῷ καὶ
ἀσθενείᾳ πιεζομένους πολλῇ διεφθάρθαι.

Ταύτης δὲ τῆς πείρας ὁ Μερμερόης ἀποτυχὼν παντὶ τῷ
στρατῷ ἐς Μουχείρησιν ἀπεχώρησεν, ἐπεὶ καὶ Ἀρχαιοπόλεως
ἀποτυχόντες, Λαζικῆς τῆς ἄλλης τὴν ἐπικράτησιν ἐκ τοῦ ἐπὶ
πλεῖστον οἱ Πέρσαι εἶχον. Ἀρχαιοπόλεως δὲ ἡ Μουχείρησις
μιᾶς ἡμέρας ὁδῷ ἀπέχει, πολλὰς καὶ πολυανθρώπους κώμας
ἔχουσα. καὶ γῆς τῆς Κολχίδος αὕτη μάλιστα ἡ ἀρίστη ἐστίν·
ἐπεὶ καὶ οἶνος ἐνταῦθα καὶ οἱ ἄλλοι καρποὶ ἀγαθοὶ φύονται,
καίτοι τά γε ἄλλα τῆς Λαζικῆς οὐ ταύτῃ ἔχει. ταύτην παραρ- P 607
ρεῖ τὴν χώραν ποταμὸς, Ῥέων ὄνομα, οὗ δὴ τὸ φρούριον ᾠκο-
δόμησαν ἐκ παλαιοῦ Κόλχοι, οὗπερ ὕστερον αὐτοὶ τὸ πλεῖστον
ἐς ἔδαφος καθεῖλον, ἐπεὶ ἐν πεδίῳ κείμενον ἐς ἄγαν ὑπτίῳ εὐέ-
φοδον σφίσιν ἔδοξεν εἶναι. Κοτυάειον δὲ τότε τὸ φρούριον ὠνο-
μάζετο τῇ Ἑλλήνων φωνῇ, νῦν μέντοι Κουτατίσιον αὐτὸ κα-
λοῦσι Λαζοὶ τῇ τῆς φωνῆς ἀγνοίᾳ τὴν τοῦ ὀνόματος διαφθείρον-
τες ἁρμονίαν. ταῦτα μὲν Ἀρριανὸς οὕτως ἱστόρησεν. ἕτεροι
δέ φασι πόλιν τε γεγονέναι ἐν τοῖς ἄνω χρόνοις τὸ χωρίον καὶ
Κυταΐαν καλεῖσθαι· ἐνθένδε τὸν Αἰήτην ὡρμῆσθαι, καὶ ἀπ᾽

5. μοχείρησιν Reg. hic et infra. 8. ἡμέρας μιᾶς L. 12. δὴ τὸ] δὴ καὶ L. 15. κοτυάειον H. Κοτιαΐον P. ibid. τὸ om. L. 16. Κουτατίσιον] κοτάϊν Reg. κουτατοῦσιν H. Apud Agathiam p. 105, 8 ἐς Κοτάϊσιν, p. 150, 22. ἐκ Κοταϊσίου. 20. Κυταΐαν] κοίταιον H. κυταίαν Hm. ibid. Αἰήτην] ἀέτιον L: illud Lm. ibid. ὡρμῆσθαι Reg. ὁρμᾶσθαι P.

neratos ab hostibus, sed quoniam ex quo in Lazicam labore gravissimo longinquae viae exhausti, pervenerant, minus pabuli quam par erat habuerant; hinc factum ut eos fames imbecillitasque summa oppresserint.

Post conatum hunc irritum, Mermeroës cum omnibus copiis Muchiresin petiit, adhuc Persis in ditione sua partem maximam Lazicae retinentibus, opera quamvis perdita ad Archaeopolin: unde Muchiresis diei iter unius abest, multos habens ac frequentes incolis vicos. Est hic ager felicissimus Colchidis: quippe vinum ac varia mitium genera fructuum progignit: quod nusquam alibi in Lazica videre est. Regionem hanc alluit fluvius Rheon: ubi Colchi veteres castellum condiderant, cuius partem maximam idcirco ipsorum posteri diruerunt, quod cum in campo planissimo situm esset, illud aditu captuque facile iudicarent. Cotyaium quondam voce Graeca castellum id appellabatur: nunc idem Lazi Cutatisium vocant, ignoratione linguae rectam nominis pronunciationem depravantes. Ita quidem haec Arrianus memoriae prodidit: alii vero olim ibi fuisse memorant urbem Cytaïam, Aeetae patriam, eoque

ἀναποδίζων ὀπίσω ἐχώρει. ἐκεῖνο μὲν οὖν ταύτῃ ἐχώρησε. νῦν δὲ τὸ παρειμένον τῇ Ῥωμαίων ὀλιγωρίᾳ ἡ τύχη ἐπλήρου. ἀλλ' ἐπειδὴ Ἐδέσσης ἐμνήσθην, οὐ σιωπήσομαι τὸ ἐκείνῃ τέρας πρὸ
B τοῦδε τοῦ πολέμου ξυνενεχθέν. ἡνίκα γὰρ ὁ Χοσρόης λύειν
H 342 ἔμελλε τὰς ἀπερύντους καλουμένας σπονδὰς, γυνή τις ἐν πόλει βρέφος ἐκύει τὰ μὲν ἄλλα ἐπιεικῶς ἀνθρωπόμορφον, δύο δέ τοι κεφαλὰς ἔχον. ὃ δὴ φανερὸν τοῖς ἀποβεβηκόσι γέγονεν. Ἔδεσσά τε γὰρ καὶ ἡ ἑῴα σχεδόν τι πᾶσα καὶ πρὸς ἡ πολλὴ Ῥωμαίων ἀρχὴ βασιλεῦσι περιμάχητος δυοῖν γέγονε. ταῦτα μὲν οὖν τῇδε ξυνέπεσεν. ἐγὼ δὲ ὅθενπερ ἐξέβην ἐπάνειμι.

Τῆς δὲ ταραχῆς οὕτως ἐπιπεσούσης τῷ Μήδων στρατῷ, ὅσοι δὴ αὐτῶν ὄπισθεν ἐτετάχατο, τὴν μὲν ταραχὴν τῶν ἔμ-
C προσθεν ὄντων θεώμενοι, τὸ δὲ ξυμβεβηκὸς οὐδαμῇ πεπυσμένοι, κατωρρώδησαν, ἔς τε ὑπαγωγὴν ξὺν πολλῇ ἀκοσμίᾳ ἐτράποντο. ταὐτὸ δὲ τοῦτο καὶ οἱ Δολομῖται παθόντες (ἐξ ὑπερδεξίων γὰρ τὰ ποιούμενα πάντα ἑώρων) αἰσχράν τινα φυγὴν ἔφευγον, ἥ τε τροπὴ λαμπρὰ ἐγεγόνει. καὶ τετρακισχίλιοι μὲν τῶν βαρβάρων αὐτοῦ ἔπεσον, ἐν τοῖς καὶ τῶν ἀρχόντων τρεῖς τετύχηκεν εἶναι, τέσσαρα δὲ τῶν Περσικῶν σημείων Ῥωμαῖοι εἷλον, ἅπερ εὐθὺς ἐς Βυζάντιον βασιλεῖ ἔπεμψαν. ἵππους δέ φασιν αὐτῶν οὐχ ἧσσους ἢ ἐς δισμυρίους ἀπολωλέναι, οὐ βληθέντας οὐδὲ πλη-
γέντας πρὸς τῶν πολεμίων, ἀλλὰ μακρὰν μὲν ὁδὸν πορευθέντας,

3. ἐπειδὴ] ἐπεὶ δὴ L. 7. τοῖς ἀποβεβηκόσι φανερὸν L. 9. δυοῖν] δυοῖν L. δὴ Lm. 11. τῷ — στρατῷ] τῶν — στρατῶν L. στρατιωτῶν Lm. 18. ἐν τοῖς] ἐν οἷς L.

elephas restitit; tum pedem sensim referens excessit. Ita quidem hoc ibi contigit: iam vero quod Romanorum negligentia praetermissum fuerat, fortuna supplevit. Et quando mentio Edessae incidit, prodigium, quod in ea urbe ante bellum hoc accidit, silentio non praeteribo. Paulo prius quam pacem Chosroës perpetuam solveret, mulier quaedam foetum enixa est, humana quidem forma caetera praeditum, sed bicipitem: quo quid portenderetur, eventus docuit. Non modo enim Edessa ac totus propemodum Oriens, at magna etiam Imperii Romani pars, in contentionem Principum duorum venit. Haec ibi: ego vero ad propositum redeo.

Dum sic miscentur Medorum agmina, quicunque a tergo locati erant, animadversa antecedentium conturbatione, necdum cognita ipsius causa, pavore consternati incompositissime retrocedunt. Eodem modo territi, qui ex edito spectabant haec omnia Dolomitae, in pedes turpiter se coniecerunt. Effusa iam palam fuga, ceciderunt Barbarorum quatuor millia, in quibus Duces fuere tres. Romani signa Persica cepere quatuor, et Byzantium protinus miserunt Imperatori. Ferunt eorum equos ad viginti minimum millia perlisse; non telis fixos, nec vul-

κόπῳ δὲ ὠμιληκότας ἐν ταύτῃ πολλῷ, τροφῶν δὲ, ἐπεὶ ἐν Λα- D
ζικῇ ἐγένοντο, ὡς ἥκιστα ἐς κόρον ἐλθόντας, οὕτω τε λιμῷ καὶ
ἀσθενείᾳ πιεζομένους πολλῇ διεφθάρθαι.

Ταύτης δὲ τῆς πείρας ὁ Μερμερόης ἀποτυχὼν παντὶ τῷ
στρατῷ ἐς Μουχείρησιν ἀπεχώρησεν, ἐπεὶ καὶ Ἀρχαιοπόλεως
ἀποτυχόντες, Λαζικῆς τῆς ἄλλης τὴν ἐπικράτησιν ἐκ τοῦ ἐπὶ
πλεῖστον οἱ Πέρσαι εἶχον. Ἀρχαιοπόλεως δὲ ἡ Μουχείρησις
μιᾶς ἡμέρας ὁδῷ ἀπέχει, πολλὰς καὶ πολυανθρώπους κώμας
ἔχουσα. καὶ γῆς τῆς Κολχίδος αὕτη μάλιστα ἡ ἀρίστη ἐστίν·
ἐπεὶ καὶ οἶνος ἐνταῦθα καὶ οἱ ἄλλοι καρποὶ ἀγαθοὶ φύονται,
καίτοι τά γε ἄλλα τῆς Λαζικῆς οὐ ταύτῃ ἔχει. ταύτην παραρ- P 607
ρεῖ τὴν χώραν ποταμὸς, Ῥέων ὄνομα, οὗ δὴ τὸ φρούριον ᾠκο-
δόμησαν ἐκ παλαιοῦ Κόλχοι, οὗπερ ὕστερον αὐτοὶ τὸ πλεῖστον
ἐς ἔδαφος καθεῖλον, ἐπεὶ ἐν πεδίῳ κείμενον ἐς ἄγαν ὕπτιῳ εὐέ-
φοδον σφίσιν ἔδοξεν εἶναι. Κοτυάειον δὲ τότε τὸ φρούριον ὠνο-
μάζετο τῇ Ἑλλήνων φωνῇ, νῦν μέντοι Κουτατίσιον αὐτὸ κα-
λοῦσι Λαζοὶ τῇ τῆς φωνῆς ἀγνοίᾳ τὴν τοῦ ὀνόματος διαφθείρον-
τες ἁρμονίαν. ταῦτα μὲν Ἀρριανὸς οὕτως ἱστόρησεν. ἕτεροι
δέ φασι πόλιν τε γεγονέναι ἐν τοῖς ἄνω χρόνοις τὸ χωρίον καὶ
Κυταΐαν καλεῖσθαι· ἐνθένδε τὸν Αἰήτην ὡρμῆσθαι, καὶ ἀπ'

5. *μοχείρησιν* Reg. hic et infra. 8. *ἡμέρας μιᾶς* L. 12. *δὴ τὸ*] *δὴ καὶ* L. 15. *κοτυάειον* H. *Κοτιαΐον* P. *ibid. τὸ* om. L. 16. *Κουτατίσιον*] *κοτάϊν* Reg. *κουτατοῦσιν* H. Apud Agathiam p. 105, 8 *ἐς Κοτάϊσιν*, p. 150, 22. *ἐκ Κοταΐσιον*. 20. *Κυταΐαν*] *κοίταιον* H. *κυταίαν* Hm. *ibid. Αἰήτην*] *ἀέτιον* L: illud Lm. *ibid. ὠρμῆσθαι* Reg. *ὁρμᾶσθαι* P.

neratos ab hostibus, sed quoniam ex quo in Lazicam labore gravissimo longinquae viae exhausti, pervenerant, minus pabuli quam par erat habuerant; hinc factum ut eos fames imbecillitasque summa oppresserint.

Post conatum hunc irritum, Mermeroës cum omnibus copiis Muchiresin petiit, adhuc Persis in ditione sua partem maximam Lazicae retinentibus, opera quamvis perdita ad Archaeopolin: unde Muchiresis diei iter unius abest, multos habens ac frequentes incolis vicos. Est hic ager felicissimus Colchidis: quippe vinum ac varia mitium genera fructuum progignit: quod nusquam alibi in Lazica videre est. Regionem hanc alluit fluvius Rheon: ubi Colchi veteres castellum condiderant, cuius partem maximam idcirco ipsorum posteri diruerunt, quod cum in campo planissimo situm esset, illud aditu captuque facile iudicarent. Cotyaium quondam voce Graeca castellum id appellabatur: nunc idem Lazi Cutatisium vocant, ignoratione linguae rectam nominis pronunciationem depravantes. Ita quidem haec Arrianus memoriae prodidit: alii vero olim ibi fuisse memorant urbem Cytaiam, Aeetae patriam, eoque

αὐτοῦ τοὺς ποιητὰς αὐτόν τε Κυταϊέα καὶ γῆν τὴν Κολχίδα Κυταΐδα καλεῖν. τοῦτο Μερμερόης ταῦν οἰκοδομήσασθαι ἐν
B σπουδῇ ἔχων, ἐπεὶ οὐδεμίαν παρασκευὴν τοῦ ἔργου εἶχεν, ἅμα δὲ καὶ ὁ χειμὼν ἤδη ἐνέκειτο, ξύλινα τοῦ φρουρίου ὅσα κατεπεπτώκει ὡς τάχιστα ποιησάμενος αὐτοῦ ἔμενε. τοῦ δὲ Κουταϊσίου ἄγχιστα φρούριον ὀχυρώτατόν ἐστιν, Οὐχειμέριον ὄνομα· ἐν ᾧ δὴ φυλακτήριον ἐς τὸ ἀκριβὲς οἱ Λαζοὶ εἶχον. μετεῖχον δὲ σφίσι τῆς τοῦ φρουρίου φυλακῆς καὶ Ῥωμαῖοι στρατιῶται ὀλίγοι τινές. ὁ μὲν οὖν Μερμερόης τῷ παντὶ στρατῷ ἐντεῦθα
V 208 καθῆστο, γῆς τε τῆς Κολχίδος τὰ κάλλιστα ἔχων, ἐμπέδιός τε τοῖς ἐναντίοις γενόμενος ἐς τὸ Οὐχειμέριον φρούριον τῶν ἐπαη-
C δείων τι ἐσκομίζεσθαι, ἢ ἐς χώραν τὴν τε Σουανίαν καὶ τὴν Σκυμνίαν καλουμένην ἰέναι, καίπερ σφίσιν αὐτῆς κατηκόου οὔσης. πολεμίων γὰρ ἐν Μουχειρήσει διόντων, Λαζοῖς τε καὶ Ῥωμαίοις ὁδοῦ ἀποκεκλεῖσθαι τῆς ἐς τὰ ταύτῃ χωρία ξυμβαίνει. τὰ μὲν οὖν στρατόπεδα ἐπὶ Λαζικῆς ἐφέρετο τῇδε.

D ιε'. Ἐν δὲ Βυζαντίῳ ὁ Χοσρόου πρεσβευτὴς Ἰσδιγούνας ἀμφὶ τῇ εἰρήνῃ ἐς λόγους Ἰουστινιανῷ βασιλεῖ ξυνιὼν πολύ τε χρόνου κατέτριψε μῆκος. πολλά τε διαφιλονεικήσαντες ἐν

1. *Κυταϊέα*] *κοιτία* Reg. *κοίτην* H. *ibid. τὴν* om. L. *ibid. Κυταΐδα*] *κοιταΐδα* Reg. *κοιταΐτιδα* H. 5. *Κουτατισίου*] *κόδος* taις L, δος a m. rec. 6. *ἀχυρώτατον* L. *ibid. Οὐχειμέριον*] *οὐθιμέριος* Reg. Et sic paullo post. 11. *γενόμενος*] *γινόμενος* L. 13. *αὐτοῖς κατηκόοις οὖσι* L. 14. *Μουχειρήσει*] *Μουχειρήσοι* P. *μοχειρήσει* Reg. *μοχειρήσι* L. *μουχαιρίσι* H. Conf. supra p. 566 b. Apud Agath. p. 105, 8. 171, 17. *ἐς Μουχείριον*. p. 150, 22. *ἐκ Μουχιρίσιδος*. *ibid. διόντων* L. 17. *Ἰσδιγούνας* L. *Ἰσδιαγούνας* H. 18. *ἐς*] *εἰς* L.

factum ut et hunc poëtae Cytaiensem, et Colchidem Cythaidem denominaverint. Ad locum hunc instaurandum modo animum appellens Mermeroës, cum ab operis materia esset imparatus, iamque hiems appeteret, quamprimum castelli ruinas omnes ligneis obstruxit munimentis, seque inibi tenuit. Cutatisio proximum est Uchimerium, castellum validissimum, in quo Lazi sedulam agebant custodiam cum exigua Romanorum militum manu. Itaque illic Mermeroës cum universo exercitu stativa habebat, obtinens partem optimam Colchidis, atque hostes sic intercludens, ut nec Uchimerium commeatus illos inferre, neque in Suaniam Scymniamque ditionis suae provincias, ire possent. Quoties enim habent hostes Muchiresin, Lazis ac Romanis praeclusum est iter in ea loca. Is erat in Lasica rei bellicae status.

15. Byzantii Chosrois Legatus Isdigunas sermones de pace cum Iustiniano Augusto diutissime contulit. Post multam disceptationem tandem convenit, ut induciis utrumque regnum quinquennio ganderet,

ὑστάτῳ ξυνέβησαν, ἐφ' ᾧ πενταετῆ μὲν τὴν ἐκεχειρίαν ἐν τῇ ἑκατέρου βασιλέως ἐπικρατείᾳ εἶναι, φοιτῶντας δὲ παρ' ἀλλήλους ἑκατέρωθεν καὶ ἀδεῶς ἐπικηρυκευομένους ἐν τούτῳ τῷ χρόνῳ, τά τε ἀμφὶ Λαζικῇ καὶ Σαρακηνοῖς διάφορα διοικήσασθαι. ξυνέκειτο δὲ Πέρσας πρὸς Ῥωμαίων λαβεῖν ὑπὲρ μὲν τῆς ἐκεχειρίας τῶν πέντε τούτων ἐνιαυτῶν κεντηνάρια χρυσοῦ εἴκοσιν, ὑπὲρ δὲ μηνῶν ὀκτωκαίδεκα, οὓς δὴ μετὰ τὴν προτέραν ἐκεχειρίαν ἐς ταύτην διαδραμεῖν μεταξὺ ἔτυχεν, ἕως ἑκάτεροι παρ' ἀλλήλους ἐπρέσβευον, ἕτερα κεντηνάρια ἑξ. ἐπὶ τούτῳ γὰρ ἔφασκον Πέρσαι καὶ τοὺς ὑπὲρ τῶν σπονδῶν λόγους ξυγκεχωρηκέναι γενέσθαι. ταῦτα δὲ τὰ εἴκοσι κεντηνάρια Ἰσδιγούνας μὲν αὐτόθεν ἠξίου κομίζεσθαι, βασιλεὺς δὲ ἤθελεν ἕκαστον ἔτος τέσσαρα δοῦναι, τούτου δὴ ἕνεκα, τοῦ μὴ παραβῆναι τὰς ξυνθήκας Χοσρόην ἐνέχυρον ἔχειν. ὕστερον μέντοι τὸ ξυγκείμενον ἅπαν χρυσίον Ῥωμαῖοι Πέρσαις εὐθὺς ἔδοσαν, τοῦ μὴ δοκεῖν δασμοὺς ἀνὰ πᾶν ἔτος αὐτοῖς ἀποφέρειν. τὰ γὰρ αἰσχρὰ ὀνόματα, οὐ τὰ πράγματα, εἰώθασιν ἄνθρωποι ἐκ τοῦ ἐπὶ πλεῖστον αἰσχύνεσθαι. ἦν δέ τις ἐν Πέρσαις Βερσαθοῦς ὄνομα, λόγιμός τε διαφερόντως καὶ Χοσρόῃ βασιλεῖ ἐς τὰ μάλιστα φίλος. ὅνπερ ποτὲ Βαλεριανὸς ἐν Ἀρμενίοις παραπεπτωκότα ἐν ξυμβολῇ δοριάλωτον εἶλεν, ἔς τε Βυζάντιον αὐτίκα βασιλεῖ ἔπεμψε. καὶ αὐτῷ χρόνος πολὺς φυλαττομένῳ ἐνταῦθα ἐτρίβη. βου-

P 608

H 343

B

1. πενταετῆ] πεντάετες L. 4. τάς τε — διαφορὰς H: τά τε — διάφορα Hm. 5. Πέρσας] πέρσαις L. 11. Ἰσδιγούσνας Reg. 12. ἕκαστον]·ἐς ἕκαστον L. 13. τέσσαρα] τέτταρα L. 18. „Βερσαθοῦς] βερσαβοῦς H. βερσαβᾶς Reg.“ Malt. Immo βερσαθοῦς H. βερσαβᾶς Hm et L. 21. δοριάλωτον] δορυάλωτον P. 22. φυλασσομένῳ L.

eoque interim spatio Oratores ultro citroque libere commeantes, controversiam, quae de Lazica esset ac Saracenis, componerent. Haec autem accessit conditio, ut pro his induciis quinquennalibus Persae a Romanis auri centenaria xx. acciperent, itemque alia sex, pro XVIII. mensibus, qui inter priores inducias atque istas intercurrissent; quod tempus mutuis impensum esset legationibus: neque enim gratis a se permissa dicebant Persae colloquia pacificatoria. Porro illud Isdigunas urgebat, ut xx. centenaria iam tum asportaret: quatuor dare singulis annis Imperator volebat, ut haberet pignus, quo teneretur Chosrois in pactione servanda fides. Deinde tamen Romani abiecta omni cunctatione integram pacti summam auri solverunt, ne tributum annuum ipsis pendere viderentur; sic ferente hominum more, ut indignis plerumque erubescant vocabulis, non rebus ipsis. Persa quidam erat, nomine Bersathus, summo vir loco natus, Chosroique carissimus, quem olim Valerianus in Armenia victum acie ceperat, ac Byzantium extemplo miserat

λομένῳ τε ἦν τῷ Χοσρόῃ χρημάτων ὑπὲρ αὐτοῦ προῖεσθαι πλῆθος, ὅπως τὸν Βερσαθοῦν ἐπανήκοντα ἴδῃ ἐς τὰ Περσῶν ἤθη. ἀλλὰ νῦν ἐξαιτησαμένου αὐτὸν Ἰσδιγούνα Ἰουστινιανὸς βασιλεὺς τὸν ἄνδρα ἀφῆκεν. ἐπηγγέλλετο γὰρ βασιλεῖ ὁ πρεσβευτὴς οὗτος ἀναπείσειν Χοσρόην, ἐκ τῆς Λαζικῆς ἀναστῆσαι τὸ Περσῶν στράτευμα. ἐγένετο δὲ ἡ ἐκεχειρία ἥδε Ῥωμαίοις τε καὶ C Πέρσαις, πέμπτον τε καὶ εἰκοστὸν ἐνιαυτὸν Ἰουστινιανοῦ βασιλέως τὴν αὐτοκράτορα ἀρχὴν ἔχοντος. ταύταις δὲ ταῖς σπονδαῖς Ῥωμαίων οἱ πλεῖστοι ἐπιεικῶς ἤχθοντο. καὶ εἰ μὲν δικαίαν τινὰ ἢ ἀλόγιστον ἐποιοῦντο τὴν μέμψιν, οἷά γε τὰ τῶν ἀρχομένων, οὐκ ἔχω εἰπεῖν.

Ἔλεγον δὲ ὅτι δὴ Λαζικῆς βεβαιότατα πρὸς Περσῶν ἀρχομένης αἱ ξυνθῆκαι αὗται γεγόνασιν, ὡς μή τις πενταετὲς αὐτοῖς ἐνοχλήσῃ, ἀλλ' ἀδεέστερόν τε καὶ ἀπονώτερον γῆς τῆς Κολχίδος τὰ κάλλιστα πάντα τοῦτον τὸν χρόνον ἐνοικεῖν δύνωνται. ὅθεν αὐτοὺς τὸ λοιπὸν ἐξελάσαι οὐδεμιᾷ Ῥωμαῖοι ἐς ἅπαντα τὸν αἰῶνα μηχανῇ ἔξουσιν, ἀλλὰ καὶ τὸ Βυζάντιον ἐνθένδε Πέρσαις D εὐέφοδον τὸ λοιπὸν ἔσται. ταῦτ' οὖν ἀποσκοποῦντες οἱ πολλοὶ ἠσχάλλον καὶ δυσφορούμενοι διεποροῦντο. καὶ ὅτι Πέρσαις μὲν τὸ ἐκ παλαιοῦ σφίσιν ἐν σπουδῇ γεγονὸς, δόξαν τε οὔτε πολέμῳ κρατεῖν οὔτε τῳ ἄλλῳ τρόπῳ δυνατὸν ἔσεσθαι, λέγω δὲ, ὅπως ἐς δασμοῦ ἀπαγωγὴν ὑπόφοροι αὐτῶν Ῥωμαῖοι ἔσονται,

2. Βερσαθοῦν] βερσαβᾶν L. βαρσαβᾶν Hm. 3. ἰσγούνα L. ἰσδιγούνα Hm. 4. ἄνδρα] ἄνθρωπον Reg. 13. πενταετὲς] πεννάετες L. 14. ἐνοχλήσῃ] ἐνοχλήσει Reg. 16. οὐδεμιᾷ — μηχανῇ] οὐδεμίαν — μηχανὴν Reg. 18. ταῦτ'] ταῦτα L.

Imperatori. Iam illum diu hic asservatum, cum vellet Chosroës magno redimere pretio, ut in patriam videret reducem, petente Isdigusa Iustinianus Augustus dimisit. Etenim Legatus hic affirmabat, inductum iri Chosroëm illius suasu, ut Persarum exercitum revocaret ex Lazica. Annum vero XXV. Imperii agebat Iustinianus Augustus, cum Romani et Persae has inducias pepigerunt, plerisque invisas Romanis: qui num eas recte culpaverint, an secus pro more subditorum, non habeo dicere.

Haec autem vulgo iactabantur; firmato iam Persarum dominatu in Lazica, factam hanc esse pactionem, ne quis eos quinquennio interpellaret; sed toto illo tempore optima quaeque Colchidis loca liberius atque otiosius incolerent: unde postea a Romanis nullo unquam modo eiici possent: quin etiam ipsis Byzantium aditu facile deinceps foret. Multos eiusmodi consideratio torquebat distringebatque indignabundos. Fremebant etiam, quod rem ad quam Persae iam inde olim aspiraverant, nec bello aliave quapiam ratione consequi se posse duxerant, nimirum ut Romanos vectigales haberent, firmissime iam inducias no-

ἰσχυρότατα ἐν τῷ παρόντι τῷ τῆς ἐκεχειρίας ὀνόματι ἐκρατύναντο. τάξας γὰρ ὁ Χοσρόης Ῥωμαίοις κεντηναρίων ἐπέτειον τεσσάρων δασμὸν, οὗπερ γλιχόμενος ἐξ ἀρχῆς διαφανῶς ἦν, ἐς V 209
ἕνδεκα ἔτη τανῦν καὶ μῆνας ἓξ εὐπρεπεῖ λόγῳ, ἓξ καὶ τεσσαράκοντα κεντηνάρια τῇ τῆς ἐκεχειρίας κεκόμισται σκήψει, ὄνομα τῷ δασμῷ τὰς σπονδὰς θέμενος, καίπερ ἐπὶ Λαζικῆς βιαζόμενός τε καὶ πολεμῶν, ᾗπερ ἐρρήθη. οὗπερ Ῥωμαῖοι σφᾶς αὐ- P 609
τοὺς ῥύσασθαι ἐς τὸν ἔπειτα χρόνον ἐλπίδα τὸ λοιπὸν οὐδεμίαν εἶχον, ἀλλὰ φόρου ὑποτελεῖς Πέρσαις ᾖσθοντο οὐ κεκρυμμένως γεγενημένοι. ταῦτα μὲν οὖν ταύτῃ ἐπέπρακτο. Ἰσδιγούνας χρήματά τε περιβαλλόμενος, ὅσα οὐδεὶς πρέσβεων πώποτε, καὶ πάντων, οἶμαι, πλουσιώτατος Περσῶν γεγονὼς ἐπ' οἴκου ἀπεκομίσθη, ἐπεὶ αὐτὸν βασιλεὺς Ἰουστινιανὸς ἐτετιμήκει τε ἐν τοῖς μάλιστα καὶ χρήμασι μεγάλοις δωρησάμενος ἀπεπέμψατο. μόνος B
δὲ πρέσβεων ἁπάντων οὗτος ἐς πεῖραν φυλακῆς οὐδεμιᾶς ἦλθεν, ἀλλ' αὐτός τε καὶ ὅσοι αὐτῷ βάρβαροι εἵποντο πολλοὶ ἐς ἄγαν ὄντες ἐν πολλῇ ἐξουσίᾳ ἐγένοντο, ἐπὶ χρόνου μῆκος ἐντυγχάνειν τε καὶ ξυγγίνεσθαι οἷς ἂν βούλοιντο, καὶ τῆς πόλεως πανταχόσε περιπάτους ποιεῖσθαι, ὠνεῖσθαί τε καὶ ἀποδίδοσθαι ὅσα ἦν βουλομένοις σφίσι, καὶ ξυμβόλαια ποιεῖσθαι πάντα ἐργασίᾳ τε τῇ περὶ ταῦτα ἐνδιατρίβειν ξὺν πάσῃ ἀδείᾳ, καθάπερ ἐν πόλει αὐ-

3. ἐξ ἀρχῆς] τὸ ἐξ ἀρχῆς L. 7. οὗπερ] ὥνπερ L. 10. Ἰσδιγούνας] ἰσδιγούσας L. 12. Περσῶν om. L. 13. ἰουστινιανὸς βασιλεὺς L. ibid. ἐτετιμήκει] τετίμηκε Reg. 19. περιπάτους ποιεῖσθαι Reg. Vulgo περιιοῦσιν, quod περιιόντες dici debuisse monet Malt.

mine sibi asseruissent. Etenim Chosroës, quod aperte antea concupiverat, annuo centenariorum quatuor tributo Romanis irrogato, iam spatio annorum XI. et mensium sex, centenaria XLVI. specioso induciarum obtentu accepit, tributo nomen imponens pacificae compositionis; quamvis in Lazica vim exerceret, ac bellum gereret, ut dictum est. Romani igitur spe deposita fore unquam ut onus illud excuterent, eo se redactos intelligebant, ut palam Persarum essent stipendiarii. His ita transactis, Isdigunas tanta pecunia septus, quantam nullus unquam Legatus habuit, atque omnium, ut equidem reor, Persarum ditissimus, domum rediit. Ipsum enim Iustinianus Augustus honore affecit maximo, et ingenti donatum auro, remisit. Legatorum omnium nemini, praeterquam huic, custodiarum experti esse licuit. Nam cum ipse, tum quotquot eum comitabantur, plurimi sane numero Barbari, summam habuere perdiu libertatem coëundi agendique quibuscum vellent. Per omnes itabant regiones urbis: emebant vendebantque quidquid esset collibitum: nullo exclusi commercio, cum omni securitate, ut in urbe sua, negotiabantur;

C τῶν ἰδίᾳ, Ῥωμαίων αὐτοῖς οὐδενὸς ἑπομένου, ἢ ξυνόντος ὅλως ἢ τηρεῖν ἀξιοῦντος, ᾗπερ εἰώθει.

Ἐν τούτῳ τῷ χρόνῳ τετύχηκέ τι τῶν οὔπω πρότερον, ὅσα γε ἡμᾶς εἰδέναι, γεγονότων ξυνενεχθῆναι. τοῦ μὲν γὰρ ἔτους μετόπωρον ἦν, αὐχμὸς δὲ καὶ πνιγμὸς ὥσπερ θέρους μέσου ἐγέ- 5
νετο θαυμαστὸν ὅσον· ὥστε ἀμέλει ῥόδων μὲν πλῆθος, ἅτε ἦρος ὄντος, ἐφύη, τῶν εἰωθότων οὐδενὶ τὸ παράπαν διαλλασσόντων. καρποὺς δὲ τὰ δένδρα σχεδόν τι ἅπαντα νέους τινὰς αὖθις ἤνεγκε, κἀν ταῖς ἀμπέλοις οὐδέν τι ἧσσον ἐγένοντο βό-
D τρυες, καίπερ τοῦ τρυγητοῦ γεγενημένου ἡμέραις ἤδη οὐ πολ- 10
λαῖς ἔμπροσθεν. οἷς δὴ οἱ ταῦτα δεινοὶ τεκμηριούμενοι προὔλεγον ἀπροσδόκητον μέγα τι ἔσεσθαι, οἱ μὲν ἀγαθὸν, οἱ δὲ τοὐναντίον. ἐγὼ δὲ ταῦτα μὲν κατά τι ξυμβεβηκὸς γεγονέναι οἶμαι, νότων ἐπὶ πλεῖστον ἀνέμων, ᾗπερ εἰώθει, ἐπιπεσόντων καὶ θέρ-
μης ἐνθένδε παρὰ τὰ ξυνειθισμένα πολλῆς τε καὶ οὐ κατὰ φύσιν 15
τῆς ὥρας ἐπιγενομένης τῇ χώρᾳ. εἰ δέ τι, ὥσπερ οὗτοί φασι, καὶ σημαίνει παρὰ δόξαν ἐσόμενον, βεβαιότατα ἐκ τῶν ἀπαβησομένων εἰσόμεθα.

P 610 ις'. Ἐν ᾧ δὲ τάδε ἀμφὶ ταῖς σπονδαῖς Ῥωμαίοις τε καὶ Πέρσαις ἐν Βυζαντίῳ ἐπράσσετο, ἐν τούτῳ ἐπὶ Λαζικῆς τάδε 20
H 344 ξυνηνέχθη γενέσθαι. Γουβάζης μὲν ὁ Λαζῶν βασιλεὺς Ῥω-
μαίοις εὐνοϊκῶς ἔσχεν, ἐπεὶ οἱ Χοσρόην, ὥσπερ μοι ἐν τοῖς ἔμ-

7. ἐφύη L. ἐφύει P. 10. πολλαῖς] πολλῷ L. 11. „ταῦτα] ταύτῃ Reg.“ Malt. Immo ταύτῃ H, ταῦτα Hm. ex Reg. 15. περὶ L. περὶ P. 16. φασι L. φασιν P. 20. Λαζικῆς] Λαζικῇ L. 21. Γουβάζης] βυβάζης L. ibid. μὲν om. L.

nemine Romanorum, ut mos erat, adiuncto comite; nemine in eorum consuetudinem immisso, qui ipsos observaret.

Id temporis res nunquam antea, quod equidem sciam, visa, accidit. Autumnus, perinde atque aestas adulta, mirum in modum aestuoso calore ferbuit: sic sane ut, non secus ac vere, passim rosae natae sint, consuetis omnino similes. Novos fructus arbores fere omnes protulere iterum; et quamvis iam vindemia paucis ante diebus collecta esset, nihilominus uvae in vitibus provenere. Quae coniectura interpretantes eiusmodi rerum periti, eventurum magnum aliquid nec opinatum, hi laetum, illi adversum, praedicebant. Ego vero id forte inde factum existimo, quod Auster, ut fit, diutius spirans, terram magis solito ac supra modum, quem tempestatis illius natura postulat, tepefecerit. Si quid autem, ut isti dicunt, inopinatum portenditur, id nos optime docebit exitus.

16. Cum ita Romani ac Persae inter se inducias Byzantii pangerent, hic erat rerum status in Lazica. Gubazes quidem Lazorum Rex Romanis studebat, ex quo vitae suae insidias a Chosroë paratas, ut in

προσθιν λόγοις ἐρρῄθη, ἐπιβουλεύειν θάνατον ἤσθετο. τῶν δὲ ἄλλων Λαζῶν οἱ πλεῖστοι ἀνήκεστα πρὸς τῶν Ῥωμαίων στρατιωτῶν δεινὰ πάσχοντες καὶ διαφερόντως τοῖς ἄρχουσι τοῦ στρατοῦ ἀχθόμενοι ἐμήδιζον ἐκ τοῦ ἐπὶ πλεῖστον, οὐ τὰ Περσῶν ἀσπαζόμενοι, ἀλλ' αὐτοὺς ἀπαλλαξείοντες τῆς Ῥωμαίων ἀρχῆς B καὶ τῶν δυσχερῶν τὰ τέως μὴ παρόντα αἱρούμενοι. ἦν δέ τις ἐν Λαζοῖς οὐκ ἀφανὴς ἀνὴρ Θεοφόβιος ὄνομα, ὅσπερ τῷ Μερμερόῃ λαθραιότατα ἐς λόγους ξυμμίξας φρούριόν οἱ ἐνδώσειν τὸ Οὐχειμέριον ὡμολόγησεν. ὁ δὲ αὐτὸν ἐλπίσι μεγάλαις ἐπάρας ἐς τὴν πρᾶξιν ὥρμησε ταύτην, φίλον μὲν αὐτὸν ἐν τοῖς μάλιστα Χοσρόῃ βασιλεῖ ἐκ τοῦ ἔργου τούτου ἰσχυρισάμενος ἔσεσθαι, Πέρσαις δὲ ἀνώγραπτον ἐπ' εὐεργεσίᾳ ἐς τὸν πάντα αἰῶνα, καὶ V 210 ἀπ' αὐτοῦ δόξῃ τε καὶ πλούτῳ καὶ δυνάμει γενήσεσθαι μέγαν. C οἷς δὴ ὁ Θεοφόβιος ἐπαρθεὶς πολλῷ ἔτι μᾶλλον εἰς τὸ ἔργον ἠπείγετο. καὶ ἦν γὰρ οὐδεμία ἐπιμιξία Ῥωμαίοις τε καὶ Λαζοῖς τότε, ἀλλ' οἱ μὲν Πέρσαι πολλῇ ἐξουσίᾳ πανταχόσε περιήρχοντο τῶν ταύτῃ χωρίων, Ῥωμαίων δὲ καὶ Λαζῶν οἱ μὲν παρὰ ποταμὸν Φᾶσιν ἐλάνθανον, οἱ δὲ Ἀρχαιόπολιν ἢ ἄλλο τι τῶν ἐκείνῃ ὀχυρωμάτων καταλαβόντες ἐκρύπτοντο· καὶ Γουβάζης αὐτὸς, ὁ Λαζῶν βασιλεὺς, ἐς τῶν ὀρῶν τὰς ὑπερβολὰς ἡσυχῇ ἔμενε. πόνῳ γοῦν ὁ Θεοφόβιος οὐδενὶ ἴσχυσε τὴν ὑπόσχεσιν τῷ Μερμερόῃ ἐπιτελέσαι. ἐν γὰρ τῷ φρουρίῳ γενόμενος ἔφασκε Λαζοῖς D

4. ἐμήδιζον] ἐγόγγυζον Reg. 5. αὐτοὺς om. L. 8. οἱ om. L. 9. Οὐχειμέριον] οὐθίμερος L. 11. Χοσρόῃ βασιλεῖ] χοσρόην βασιλέα L. 13. γενήσεσθαι] αὐτὸν γενήσεσθαι L. 14. ὁ om. L. 21. γοῦν om. L. 22. ἐπιτελέσαι] ὑποτελέσαι Reg.

superioribus libris narravi, detexerat. Caeterorum autem Lazorum bona pars a Romanis militibus male habita, ac praesertim exercitus Ducibus offensa, iamdiu inclinabat ad Persas, non propensa in eos voluntate, sed eo animo, ut a Romano dominatu se vindicaret, praesentibus malis futura praeoptans. Theophobius, vir inter Lazos non obscuro genere, Mermeroi, in clandestino colloquio, Uchimerium castellum se traditurum promisit. Quo ille ipsum impulit, spe magna eius animum efferens, affirmansque id eo facto consecuturum, ut in intimis esset Chosrois, et Persarum monumentis beneficii nomine ascriberetur ad sempiternam memoriam: unde ipsi gloria, opes, potentiaque ingens accederet. Elatus his Theophobius, multo aerius coepto institit. Tunc temporis nullum Romani ac Lazi commercium inter se habebant: at Persa impunissime qualibet vagante, alii ad fluvium Phasin, alii Archaeopoli, vel si quem praeterea occupaverant munitum regionis illius locum, latebant, ipseque adeo Gubazes Lazorum Rex tenebat sese in verticibus montium. Quare nihil habuit negotii Theophobius in persolvenda Mermeroi promissi fide. Cum ad castellum se contulisset, Laxis ac Romanis illic praesidium agi-

τε καὶ Ῥωμαίοις, οἳ τὸ ἐνταῦθα φυλακτήριον εἶχον, ὡς ἅπας μὲν ὁ Ῥωμαίων στρατὸς ἀπολώλει, Γουβάζῃ δὲ βασιλεῖ καὶ Λαζοῖς τοῖς ἀμφ' αὐτὸν ἅπασι διαφθαρείη τὰ πράγματα, Κολχὶς δὲ ξύμπασα πρὸς Περσῶν ἔχοιτο, καὶ οὐδέ τις ἐλπὶς ἐς Ῥωμαίους ποτὲ ἢ τὸν Γουβάζην ἀνασωθήσεσθαι τῆς χώρας τὸ κράτος. τὰ μὲν γὰρ πρότερα κατὰ μόνας ταῦτα τὸν Μερμερόην διαπεπρᾶχθαι, μυριάδας τε πλέον ἑπτὰ ἐπαγόμενον Περσῶν μαχίμων ἀνδρῶν καὶ βαρβάρους Σαβείρους παμπληθεῖς· νῦν δὲ
P 611 καὶ βασιλέα Χοσρόην στρατῷ ἀμυθήτῳ ἐνθάδε ἥκοντα ἐξαπιναίως αὐτοῖς ἀναμεμίχθαι καὶ οὐκ ἂν τὸ λοιπὸν οὐδὲ αὐτὴν Κόλχων τῇ στρατιᾷ ταύτῃ τὴν γῆν ἐπαρκέσειν. ταῦτα τερατευσάμενος Θεοφόβιος, ἐς δέος μέγα καὶ ἀμηχανίαν κατεστήσατο τοὺς ἐνταῦθα φρουρούς. καὶ αὐτὸν ἐλιπάρουν πρὸς Θεοῦ τοῦ πατρῴου ἱκετεύοντες τὰ παρόντα ὅση δύναμις εὖ θέσθαι σφίσι. καὶ ὃς αὐτοῖς ὡμολόγει πρὸς τοῦ Χοσρόου ἀμφὶ τῇ σωτηρίᾳ τὰ πιστὰ οἴσειν, ἐφ' ᾧ τὸ φρούριον ἐνδώσουσι Πέρσαις. ἐπεί τε τοὺς ἀνθρώπους ταῦτα ἤρεσκεν, αὐτίκα ἐνθένδε ἀπαλλαγεὶς αὖθίς τε τῷ Μερμερόῃ ἐς ὄψιν ἦκων ἅπαντα ἔφραζεν. ὁ δὲ Περσῶν τοὺς δοκιμωτάτους ἅπαντας ἀπολεξάμενος ξὺν αὐτῷ ἐς τὸ
B Οὐχειμέριον ἔπεμψε, τά τε πιστὰ παρεξομένους ἀμφί τε τοῖς χρήμασι καὶ τῇ σωτηρίᾳ τοῖς τῇδε φρουροῖς καὶ τὸ φρούριον τοῦτο καθέξοντας. οὕτω μὲν Πέρσαι τὸ Οὐχειμέριον φρούριον

4. ἐς Ῥ. — Γουβάζην] ῥωμαίοις ποτὲ ἢ τῷ γουβάζῃ Reg. 8. ἀνδρῶν om. L. ibid. σαβήρους L. 15. καὶ ὃς αὐτοῖς] καὶ αὐτὸς Reg. 19. τοὺς δοκιμωτάτους ἅπαντας] ἄνδρας τοὺς δοκιμωτάτους Reg. 20. Οὐχειμέριον] οὐθιμέρεος L hic et infra.

tantibus asseveravit, Romanum omnem exercitum interiisse; Regis Gubazis et Lazorum ipsum sequentium res accisas iacere; a Persis totam teneri Colchidem, nec sperandum fore ut in Romanorum vel Gubazis potestatem rediret unquam; rem hactenus gessisse Mermeroëm separate, ducentem secum septuaginta amplius millia Persarum bello praestantium, Barbarorumque Sabirorum ingentem numerum; iam ipsum quoque Regem Chosroëm advenisse cum exercitu innumerabili, seque illis repente admiscuisse, nec solum Colchicum tot copiis postmodum suffecturum. Hoc prodigioso mendacio Theophobius castelli custodes in gravem metum summasque angustias coniecit; sic ut ipsum obsecraverint per Deum patrium, iam pro virili parte res suas loco optimo collocaret. Spopondit ille, fidem se publicam ipsis a Chosroë impetraturum, si modo Persis castellum dederent: et ab iis probata conditione, inde continuo digressus, iterumque ad Mermerois admissus conspectum, rem pandit ordine. Is omnium delectu habito, qui inter Persas eminebant, illos cum ipso Uchimerium misit, ut fidem darent praesidiariis, salvas eum vita fortunas fore, et castellum occuparent. Ita Persae Uchimerio potiti,

ἔσχον καὶ Λαζικῆς τὴν ἐπικράτησιν ἰσχυρότατα ἐκρατύναντο. οὐ μόνον δὲ Λαζικὴν ταύτῃ ὑποχειρίαν πεποίηνται Πέρσαι, ἀλλὰ καὶ Σκυμνίαν τε καὶ Σουανίαν, ἐκ δὲ Μουχειρήσιδος ἄχρι ἐς Ἰβηρίαν ἅπαντα Ῥωμαίοις τε καὶ τῷ Λαζῶν βασιλεῖ ξύμπαντα τὰ ἐκείνῃ χωρία τῷ τρόπῳ τούτῳ ἐγένετο. ἀμύνεσθαί τε τοὺς πολεμίους οὔτε Ῥωμαῖοι οὔτε Λαζοὶ εἶχον, ἐπεὶ οὐδὲ καταβαίνειν ἐκ τῶν ὀρῶν ἢ ἐκ τῶν ὀχυρωμάτων ἐτόλμων οὐδέ πη τοῖς πολεμίοις ἐπεξιέναι.

Μερμερόης δὲ τῆς τοῦ χειμῶνος ἐγκειμένης ὥρας ξύλινον C μὲν τεῖχος ἐν Κοντατισίῳ ἐτεκτήνατο, φρουράν τε Περσῶν τῶν μαχίμων οὐχ ἧσσον ἢ τρισχιλίων ἐνταῦθα καταστησάμενος, ἔν τε τῷ Οὐχειμερίῳ ἄνδρας αὐτάρκεις ἀπολιπών. οἰκοδομησάμενος δὲ καὶ τὸ ἄλλο Λαζῶν φρούριον, ᾧ δὴ καλοῦσι Σαράπανιν, πρὸς αὐτοῖς μάλιστα τοῖς ἐσχάτοις ὁρίοις Λαζικῆς κείμενον, αὐτοῦ ἔμενεν. ἔπειτα δὲ Ῥωμαίους τε καὶ Λαζοὺς ἀγείρεσθαί τε μαθὼν καὶ ἀμφὶ τὰς ἐκβολὰς ἐνστρατοπεδεύεσθαι ποταμοῦ Φάσιδος, παντὶ τῷ στρατῷ ἐπ' αὐτοὺς ᾔει. ὅπερ ἐπεὶ Γουβάζης τε καὶ οἱ τοῦ Ῥωμαίων στρατοῦ ἄρχοντες ἔμαθον, οὐχ ὑποστάντες τῶν πολεμίων τὴν ἔφοδον διελύθησάν τε καὶ διεσώζοντο ὅς πη ἑκάστῳ δυνατὰ γέγονεν. ὅ τε Γουβάζης ἀναδραμὼν ἐς D τῶν ὀρῶν τὰς ὑπερβολὰς διεχείμαζε ξύν τε τοῖς παισὶ καὶ τῇ γυ- H 345 ναικὶ καὶ τοῖς ἐς τὰ μάλιστα ἐπιτηδείοις, τῇ μὲν ἀμηχανίᾳ τῶν

2. μόνον] μόνην L. ibid. ταύτην] ταύτῃ H. ibid. οἱ πέρσαι ὑποχ. κεπ. L. 3. μουχειρίσιδος L. 5. τε τοὺς] δὲ τοὺς L. 7. ἢ ἐκ τῶν] ἢ τῶν L. ibid. ὀχυρωμάτων Reg. ἐχυρωμάτων P. ibid. ἐτόλμων L. ἐτόλμουν P. ibid. οὐδ' ἐπὶ τοὺς πολεμίους L. οὐδ'. ἐπὶ ex Reg. affert Malt. 10. Κοντατισίῳ] κόταϊ Reg. σκόταις H. 12. τε τῷ Οὐχειμερίῳ] τε οὐθιμέρεος L. τε τῷ οὐχειμέρεος H. 13. Σαράπανιν] σαράπαλιν L. 19. διεσώζοντο] διεσώθησαν L.

suam in Lazica ditionem firmissime stabilierunt: nec Lazicam tantum eo modo sibi subdidere, sed aditum etiam Romanis ac Lazorum Regi praecluserunt in Scymniam et Suaniam, regionemque omnem, quae a Muchiriside ad Iberiam usque pertinet. Porro hostem arcere nec Romani nec Lazi poterant; cum ne degredi quidem e montibus, vel e munitis locis in eum erumpere auderent.

Mermeroës, instante hieme, muro ligneo, Persarumque bellatorum tribus minimum millibus Cutatisium muniit, et idoneum reliquit praesidium Uchimerii. Cumque aliud castellum (Sarapanin vocant) in extremis situm Lazicae finibus, instaurasset, ibi consedit. Deinde compertum habens Romanos ac Lazos coire, et ad fluvii Phasis ostia habere castra, omnes eo copias duxit. Quod simul ac Gubazes et Romani Duces exercitus audierunt, non expectato hostium adventu, digressi sunt, et quo cuique licuit evaserunt. Gubazes, cursu verticibus mon-

παρόντων κακῶν διαμαχόμενος πρὸς τὴν ἀπὸ τῆς ὥρας ἀνάγκην, ἐλπίδι δὲ τῇ ἐκ τοῦ Βυζαντίου ἐς τὸν μέλλοντα χρόνον θαρσῶν, ταύτῃ τε τὴν τύχην παρηγορῶν τὴν τότε παροῦσαν, οἷά γε τὰ ἀνθρώπεια, καὶ καραδοκῶν τὰ βελτίω. καὶ οἱ ἄλλοι δὲ Λαζοὶ τῇ πρὸς βασιλέα Γουβάζην αἰδοῖ τὴν τοῦ χειμῶνος ὥραν οὐδέν τι ἧσσον ἐν τοῖς σκοπέλοις κατέτριβον, δύσκολον μὲν ἐνταῦθα οὐδὲν πρὸς τῶν πολεμίων δειμαίνοντες, ἐπεὶ τοῖς ἐπιβουλεύου-
V 211 σιν, ἄλλως τε καὶ κατὰ τὸν χειμῶνα, ταῦτα τὰ ὄρη ἀμήχανά
P 612 τε καὶ ὅλως ἀπρόσοδα ξυμβαίνει εἶναι, λιμῷ δὲ καὶ ψύχει καὶ τῇ ἄλλῃ κακοπαθείᾳ δυσθανατῶντες. ὁ δὲ Μερμερόης οἰκία τε πολλὰ κατ' ἐξουσίαν ᾠκοδομήσατο ἐν ταῖς κατὰ τὴν Μουχειρησιν κώμαις καὶ τὰ ἐπιτήδεια πανταχόθι καταστησάμενος τῶν τῇδε χωρίων, τῶν τε αὐτομόλων περιπέμπων τινὰς ἐς τῶν ὁρῶν τὰς ἀκρωρείας καὶ τὰ πιστὰ παρεχόμενος ἐπαγαγέσθαι πολλοὺς ἴσχυσεν· οἷς δὴ καὶ τῶν ἀναγκαίων ἀπορουμένοις ἐχορήγει συχνὰ καὶ ὡς οἰκείων ἐπεμελεῖτο, τά τε ἄλλα διῳκεῖτο ξὺν ἀδείᾳ πολλῇ, ἅτε τῆς χώρας γεγονὼς κύριος. καὶ πρὸς Γουβάζην ἔγραψε τάδε „Δύο ταῦτα ῥυθμίζει τοῖς ἀνθρώποις βίον, δύναμίς τε καὶ
B φρόνησις. οἱ μὲν γὰρ τῷ δυνατῷ περιόντες τῶν πέλας αὐτοί τε βιοτεύουσι κατ' ἐξουσίαν καὶ ὅπη βούλονται τοὺς καταδεεστέρους ἐς ἀεὶ ἄγουσιν, οἱ δὲ διὰ τὴν ἀσθένειαν δεδουλωμένοι τοῖς κρείττοσι, τῷ ξυνετῷ τὴν ἀδυναμίαν ἰώμενοι, θωπείᾳ τοὺς κρα-

2. τῇ ἐκ om. L. 4. ἀνθρώπεια L. ἀνθρώπινα P. 8. καὶ κατὰ] καὶ τοῖς κατὰ L. 10. κακοπαθίᾳ L. *ibid.* δυσθανατῶντες L. δυσθανατοῦντες P. 11. μοχείρησιν B. 19. γὰρ om. L. 20. βιωτεύουσι H.

tium occupatis, cum liberis, uxore et maxime familiaribus, non modo inopiae, qua circumventus erat, sed tempestati etiam incommodissimae resistebat, et spe venturi Byzantio auxilii subnixus, ac praesentem levans calamitatem humanorum casuum comparatione, meliora ardentissime expectabat. Caeteri Lazi, Regem Gubazem reveriti, haud minus constanter hiemem agebant in scopulis, adversi illic nihil ab hostibus ideo timeates, quoniam vim afferre volentibus, praesertim hieme, hi montes insuperabiles sunt ac penitus inaccessi: verum enimvero fame, frigore aerumnisque omnibus vita in extremum adducebatur. Tum Mermerōes in vicis Muchirisidis domos multas extruxit libere, locisque illis omnibus provisa annona, ac per quosdam transfugas, circa montium iuga dimissos, data fide publica, ad se multos pellexit: quibus re cibaria defectis, prospexit affatim, ac tanquam suis curam impendit. Pro suo in totam illam regionem imperio, libere compositis rebus caeteris, ad Gubazem in hanc sententiam scripsit. *Potentia prudentiaque res duae sunt, quae praeclare constituunt hominum vitam. Nam qui sunt finitimis potentiores, suum ad arbitrium vivunt, et quocumque volunt, semper ad-*

τοῦντας μετίασι καὶ οὐδέν τι ἧσσον ἐν τοῖς οἰκείοις βιοῦν δύνανται, πάντων ἀπολαύοντες τῇ κολακείᾳ, ὥνπερ αὐτοῖς διὰ τὴν ἀσθένειαν στερεῖσθαι ξυμβαίνει. καὶ ταῦτα οὐ παρὰ μὲν τῶν ἐθνῶν τισι σφίσι φέρεται οὕτως, παρὰ δὲ τοῖς ἄλλοις οὐ ταύτῃ πη ἔχει, ἀλλ' ἀνθρώποις ὡς εἰπεῖν ἅπασι. πανταχόθι γὰρ τῆς C οἰκουμένης ὥσπερ ἄλλο τι ἐμπέπηγε φύσει. καὶ σὺ τοίνυν, ὦ φίλε Γουβάζη, ἢν μὲν οἵῃ περιέσεσθαι Περσῶν τῷ πολέμῳ, μὴ δὴ μέλλε μηδέ σοι ἐμπόδιον γινέσθω μηδέν. εὑρήσεις γὰρ ἡμᾶς τῆς Λαζικῆς ἔνθα ἂν βούλοιο ὑφισταμένους τε τὴν σὴν ἔφοδον καὶ ἀντιπαρατεττομένους ὅπερ χώρας τῆσδε ὅση δύναμις· ὥστε παρέσται σοι διαγωνιζομένῳ ἀνδραγαθίζεσθαι πρὸς ἡμᾶς. ὡς μὲν γὰρ ἀδύνατος εἶ Περσῶν τῇ δυνάμει ἀντιτάσσεσθαι καὶ αὐτὸς οἶδας. σὺ δέ, ὦ ἀγαθέ, τὸ δεύτερον διαχείριζε, τὸ γνῶθι σαυτόν, καὶ προσκύνει τὸν σαυτοῦ δεσπότην Χοσρόην, ἅτε βασιλέα καὶ νενικηκότα καὶ κύριον. αἴτιος τέ σοι τῶν πεπραγμένων ἥλεως εἶναι, ὅπως ἂν τὸ λοιπὸν δυνατὸς εἴῃς τῶν ἐνοχλούντων ἀπηλλύχθαι κακῶν. ὡς ἔγωγε ἀναδέχομαί τε βα- D σιλέα Χοσρόην ἥλεών τέ σοι γενήσεσθαι καὶ τὰ πιστὰ δώσειν, καὶ ὁμήρους σοι παρέχομαι παῖδας τῶν ἐν Πέρσαις λογίμων ἀρχόντων, ὡς τά τε ἄλλα καὶ τὴν σωτηρίαν καὶ τὴν βασιλείαν τὴν σὴν τὸν πάντα αἰῶνα ἐν ἀσφαλείᾳ ἕξεις. εἰ δέ σοι τούτων οὐδέ-

3. οὐ παρὰ Reg. οὐ περὶ P. *ibid.* μὲν om. L. 4. τισι] τι L. *ibid.* οὕτως] ὅπως L. 5. τῆς om. L. 7. οἵῃ L. οἷει P. 9. ἔνθα] ἐνθάδε Reg. *ibid.* βούλοιο P cum Reg. βούλει H. 12. ὡς μὲν γὰρ ἀδύνατος εἶ] εἰ μέντοι ἀδύνατος ὢν Reg. 18. τέ σοι] τί σοι H. 19. παρέχομαι] παρεχόμενον L.

ducunt oplis minoribus praeditos. Quos autem sua tenuitas valentioribus obnoxios facit, sapientia medentes imbecillitati, eos, qui rerum potiuntur, obsequio sibi conciliant, nec vetat quidquam ipsos apud se vivere, blanda observantia in integrum restitutos, unde infirmitate dejecti sunt. Neque haec uni cuidam conveniunt populo, neque apud alios aliter, sed apud omnes omnino eodem se modo habent: cum ubique terrarum, appendicis instar, adiuncta naturae sint. At tu, care Gubaze, si te bello Persas victurum putas, rumpe moras, nec te quidquam teneat. Nos enim quacumque voles in parte Lazicae offendes ad impetum tuum excipiendum paratos, et solum, quod tenemus, adversa acie pro viribus tuentes: itaque facultas erit, nobiscum fortiter dimicandi. Verum resistere te non posse Persarum viribus satis ipse intelligis. Quare alterum arripe, praeclare vir, et pertractans celebre illud, Nosce te ipsum, Chosroem adora subditus, et Regem, victorem, dominumque agnosce. Praeteritorum veniam pete, ut posthac vitam traducas, aerumnis, quibus premeris, liberam. Ego vero tibi Regem Chosroem placatum iri, ac fidem daturum recipio: et Ducum inter Persas praestan-

τερον βουλομένῳ ἐστὶν, ἀλλὰ σὺ ἔς τινα ἑτέραν ἀπιὼν χώραν δὸς τοῖς διὰ τὴν σὴν ἀβουλίαν ταλαιπώροις γενομένοις Λαζοῖς ἀναπνεῦσαί ποτε καὶ ἀπὸ δυσχόλων τῶν αὐτοῖς ἐγκειμένων ἀνενεγκεῖν, μηδὲ αὐτοῖς ἀπέραντον ὄλεθρον τόνδε προστρίβεσθαι βούλου ἐπὶ σφαλερᾶς τῆς ἐλπίδος ὀχούμενος· λέγω δὲ τῆς Ῥωμαίων ἐπικουρίας. οὐ γάρ σοι τιμωρεῖν ποτε δυνατοὶ ἔσονται, ὥσπερ οὐδὲ ἄχρι ἐς τὴν ἡμέραν δεδύνηνται τήνδε. Μερμερόης
P 613 μὲν ταῦτα ἔγραψε. Γουβάζην δὲ οὐδ' ὡς ἔπειθεν, ἀλλ' ἐν τοῖς ὀρῶν κολωνοῖς ἔμενε, καραδοκῶν τὴν τῶν Ῥωμαίων ἐπικουρίαν καὶ τῷ ἐς τὸν Χοσρόην ἔχθει ὡς ἥκιστα ἐς τὴν Ῥωμαίων ἀπόγνωσιν ἐγκλίνειν ἐθέλων. οἱ γὰρ ἄνθρωποι τὴν διάνοιαν ἐκ τοῦ ἐπὶ πλεῖστον πρὸς ἣν τοῦ βουλήματος ἁρμόζονται χρείαν, καὶ λόγῳ μὲν τῷ ἀρέσκοντι αὐτοὺς ἀεὶ προσχωροῦσι, καὶ προσίενται τὰ ἐξ αὐτοῦ πάντα, οὐ διασκοπούμενοι μὴ ψευδῆς εἴη, τῷ δὲ λυποῦντι χαλεπῶς ἔχοντες ἀπιστοῦσιν, οὐ διερευνώμενοι
B μὴ ἀληθὴς εἴη.

ιζ'. Ὑπὸ τοῦτον τὸν χρόνον τῶν τινες μοναχῶν ἐξ Ἰν-
V 212 δῶν ἥκοντες, γνόντες τε ὡς Ἰουστινιανῷ βασιλεῖ διὰ σπουδῆς εἴη μηκέτι πρὸς Περσῶν τὴν μέταξαν ὠνεῖσθαι Ῥωμαίους, ἐς βασιλέα γενόμενοι οὕτω δὴ τὰ ἀμφὶ τῇ μεταξῃ διοικήσεσθαι ὡμολόγουν, ὡς μηκέτι Ῥωμαῖοι ἐκ Περσῶν τῶν σφίσι πολεμίων

1. ἔς τινα] ἐς τὴν H. 3. ποτε] τότε L. 9. ἐν τοῖς κολονοῖς L. ibid. τῶν] ἐκ Reg. 11. ἐγκλίνειν] ἐκκλίνειν L. 13. προσίενται] προσίεται Hm. 14. ψευδὴς] ψευδὲς H: ψευδὴς Hm. 17. τουτων τῶν χρόνων L. 19. ἐς βασιλέα] ἐκ βασιλέως L.

tium liberos offero huius obsidis conditionis, fore ut vita ac regno tuo rebusque caeteris tuto semper fruare. Si neutrum vis, alio facesse, et Lazos, inconsiderantia tua miseros, aliquando tandem respirare, seque ab instantibus malis expedire sine, neque ipsos calamitate hac perpetua attere, spe vana inductus mittendi a Romanis subsidii. Nam ut nondum, sic nunquam tibi subvenire poterunt. His Mermerois litteris e sententia minime dimotus Gubazes, in montium iugis magna tenebatur expectatione Romani auxilii; atque odio, quo Chosroëm prosequebatur, spem, quam posuerat in Romanis, alebat. Enimvero plerumque homines rationem voluntati accommodant et servire cogunt: ac si qua placet opinio, ad eam accedunt semper, et quidquid offert sequuntur, non attendentes an subsit error. Rursus si qua molesta est, illam inique ferunt, eique fidem abrogant, omittentes quaerere, num vera sit.

17. Sub idem tempus, venerunt ex India quidam Monachi, et cum Iustinianum Augustum satagere intellexissent, ne sericum a Persis Romani amplius mercarentur, convento Imperatori promiserunt, rei sericariae ita se provisuros, ut nunquam Romani a Persis hostibus suis

ἢ ἄλλου τευ ἔθνους τὸ ἐμπόλημα τοῦτο ποιήσωνται· χρόνου H 346
γὰρ κατατρῖψαι μῆκος ἐν χώρᾳ, ἧπερ Ἰνδῶν ἔθνη τὰ πολλά εἰ-
σιν, ἥπερ Σηρίνδα ὀνομάζετω, ταύτῃ τε ἐς τὸ ἀκριβὲς ἐκμε-
μαθηκέναι ὁποία ποτὲ μηχανῇ γίνεσθαι τὴν μέταξαν ἐν γῇ τῇ
5 Ῥωμαίων δυνατὰ εἴη. ἐνδελεχέστατα δὲ διερευνωμένῳ βασιλεῖ C
καὶ ἀναπυνθανομένῳ εἰ ὁ λόγος ὑγιὴς εἴη ἔφασκον οἱ μοναχοὶ
σκώληκάς τινας τῆς μετάξης δημιουργοὺς εἶναι, τῆς φύσεως
αὐτοῖς διδασκάλου τε οὔσης καὶ διηνεκῶς ἀναγκαζούσης ἐργά-
ζεσθαι. ἀλλὰ τοὺς μὲν σκώληκας ἐνθάδε ζῶντας διακομίζειν
10 ἀμήχανα εἶναι, τὴν δὲ αὐτῶν γονὴν εὔπορόν τε καὶ ῥᾴδιον ὅλως.
εἶναι δὲ τῶνδε τῶν γονῶν ᾠὰ ἑκάστου ἀνάριθμα. ταῦτα δὲ τὰ
ᾠὰ χρόνῳ πολλῷ τῆς γονῆς ὕστερον κόπρῳ καλύψαντες ἄνθρω-
ποι, ταύτῃ τε διαρκῆ θερμήναντες χρόνον ζῷα ποιοῦσι. ταῦτα D
εἰπόντας ὁ βασιλεὺς μεγάλοις τοὺς ἄνδρας ἀγαθοῖς δωρήσασθαι
15 ὁμολογήσας τῷ ἔργῳ πείθει ἐπιρρῶσαι τὸν λόγον. οἱ δὲ γενόμε-
νοι ἐν Ἰνδίᾳ αὖθις τά τε ᾠὰ μετήνεγκαν ἐς Βυζάντιον, ἐς σκώ-
ληκάς τε αὐτὰ τρόπῳ ᾧπερ ἐρρήθη μεταπεφυκέναι διαπραξάμε-
νοι τρέφουσί τε συκαμίνου φύλλοις, καὶ ἀπ' αὐτοῦ γίνεσθαι μέ-
ταξαν τὸ λοιπὸν κατεστήσαντο ἐν Ῥωμαίων τῇ γῇ. τότε μὲν
20 οὖν τά τε κατὰ τὸν πόλεμον πράγματα Ῥωμαίοις τε καὶ Πέρσαις P 614
καὶ τὰ ἀμφὶ μετόξῃ ταύτῃ πη ἔσχον.

ω

1. ποιήσονται L. 2. ἥπερ] ὑπὲρ L. *ibid.* εἰσιν] οὖσι L.
3. Σηρίνδα] ἠρίνδα H. 5. διερευνωμένῳ Vat. διερευνῶντι P.
13. διαρκῆ — χρόνον] διαρκῶς — χρόνῳ H. διαρκῶς etiam Lm.
16. Ἰνδίᾳ] σηρίνδῃ Reg. 17. αὐτὰ L. αὐτοὺς P. *ibid.* ᾧπερ]
ὥσπερ L.

aliave quapiam gente eiusmodi mercimonium peterent: diu se in Serinda, quam vocant, regione Indorum populis frequenti, moratos esse, et conficiendi in orbe Romano serici rationem ibi perdidicisse. Crebris autem interrogationibus percontanti Imperatori, itane se res haberet? dixere Monachi, quosdam esse vermes serici opifices, natura magistra in opus semper incumbere subigente: deferri quidem huc vivos non posse vermes, sed expedite et facile generari: singulorum partuum ova esse innumera: haec homines multo post tempore, quam sunt edita, integere fimo, et quandiu satis est tepefacta sic fovere, ut animalia progignant. Quae cum illi enuntiassent, liberalibus Imperatoris promissis inducti ut re verba firmarent, Indiam repetierunt. Unde cum ova asportassent Byzantium, servata, de qua dictum est, ratione, ea novo ortu mutarunt in vermes, quos mori foliis alunt. Hinc coepta ars conficiendi postea serici in Romano Imperio. Tum quidem Romani ac Persae rem bellicam eo, quo dixi, perduxerunt, seque ita habuit, quod ad sericum spectat.

Μετὰ δὲ τὴν τοῦ χειμῶνος ὥραν ἀφικόμενος παρὰ Χοσρόην ξὺν τοῖς χρήμασιν Ἰσδιγούνας τὰ ξυγκείμενα σφίσιν ἐσήγγειλε. καὶ ὃς τὰ μὲν χρήματα κεκομισμένος τὴν ἐπιχείρησιν μελλήσει οὐδεμιᾷ ἐπεσφράγιζε, Λαζικῆς δὲ μισθίεσθαι οὐδαμῇ ἤθελεν. ἀλλὰ καὶ τοῖς χρήμασι τούτοις Οὔννων τῶν Σαβείρων ἑταιρισάμενος μέγα τι χρῆμα ξὺν Πέρσαις τισὶ τῷ Μερμερόῃ εὐθὺς ἔπεμψεν. ᾧ δὴ ἐπέστελλεν ἄρχου ἔχεσθαι δυνάμει τῇ πάσῃ, καὶ μὴν καὶ ἐλέφαντάς οἱ πολλοὺς ἔστειλε. Μερμερόης δὲ παντὶ τῷ Περσῶν τε καὶ Οὔννων στρατῷ ἐκ Μουχειρίσεως ἀναστὰς ἐπὶ τὰ Λαζῶν ὀχυρώματα ἦει, τοὺς ἐλέφαντας ἐπαγόμενος. Ῥωμαίοις δὲ οὐδαμῇ ὑπηντίαζον, ἀλλ' ἀμφὶ τὰς ἐκβολὰς Φάσιδος ποταμοῦ, Μαρτίνου ἡγουμένου σφίσι, χωρίου ἰσχύϊ σφᾶς αὐτοὺς ἀσφαλέστατα κρατυνάμενοι ἡσυχῇ ἔμενον. ξυνῆν δὲ αὐτοῖς καὶ Γουβάζης ὁ Λαζῶν βασιλεύς. οὗτος δὲ ὁ Μήδων στρατὸς, τύχης αὐτῷ ξυμβάσης τινὸς, οὐδὲν ἄχαρι οὔτε Ῥωμαίων οὔτε Λαζῶν τινα ἔδρασε. τὰ μὲν γὰρ πρῶτα ὁ Μερμερόης ἐν φρουρίῳ τῳ μυθῶν τὴν Γουβάζου ἀδελφὴν εἶναι, ἐπ' αὐτῷ ἐπῆγε τὸ στράτευμα ὡς ἑλοντι ῥᾳστα μηχανῇ πάσῃ. κατερώτατα δὲ ἀμυνομένων τῶν ἐνοίκων φρουρῶν καὶ χωρίου σφίσι ξυλλαμβανούσης τῆς φύσεως ἄπρακτοι ἐνθένδε ἀποκρουσθέντες οἱ βάρβαροι ἀνεχώρησαν· ἔπειτα ἐπὶ Ἀβασγοὺς σπουδῇ ἴεντο. Ῥωμαῖοι

2. ξὺν] σὺν L. *ibid.* Ἰσδιγούνας L. *ibid.* ἐσήγγελε L. 4. ἐπεσφράγισε L. 5. σαβήρων L. 9. τῷ om. L. *ibid.* μουχειρίσεως L. 16. τινα L. τινι P. *ibid.* τοῦτα μὲν πρῶτα L. 17. τῳ Reg. τινὶ P. 19. χωρίου] χωρίων H. 20. τῆς φύσεως] ὀχυρώματι add. HL. *ibid.* ἀποκρουσθέντες] ἀποκλεισθέντες H. 21. ἀβασγοὺς H. Ἀβάσγους P. *ibid.* σπουδῇ] σπεύδειν H. *ibid.* ἴεντο] Vulgo ἴεντο. ἰόντο L.

Acta autem hieme, Isdigunas reversus ad Chosroëm cum pecunia, pacta conventa exposuit. Ille accepto auro, sine mora confirmavit inducias: Lazica tamen decedere noluit: sed eadem illa pecunia allectis Hunnorum Sabirorum numerosis auxiliis, ea cum nonnullis Persarum copiis Mermeroi extemplo misit, mandavitque ut pro viribus coepta usgeret: elephantos etiam multos adiecit. Mermeroes autem cum universo Persarum Hunnorumque exercitu movit ex Muchirisido, et secum elephantos ducens, firmiora petiit Lazorum loca. Romani nusquam obvii, ad fluvii Phasis ostia, Martino duce, se continebant, situ loci valido optime muniti: una aderat Gubazes Lazorum Rex. Perro hic Medorum exercitus, casu quodam, nihil damni nec Romano nec Lazo cuiquam intulit. Ac primo quidem certior factus Mermeroës, Gubazis sororem in quodam castello agere, illuc eo duxit animo copias, ut id machinis omnibus expugnaret. Verum fortissime repugnantibus praesidiariis, eosque adiuvante loci natura, repulsi inde Barbari, infecta re abierunt. Deinde in Abasgiam contendentibus, Romani, qui Tzibili prae-

δὲ οἱ ἐν Τζιβιλῷ φρουρὰν ἔχοντες τὴν δίοδον καταλαμβάνοντες στενοτάτην τε καὶ κρημνώδη οὖσαν, ἥπερ μοι ἔμπροσθεν εἴρηται, τὸ παράπαν τε ἀδιέξοδον, ἐμπάδιοι σφίσιν ἐγένοντο. διὸ δὴ οὐκ ἔχων ὁ Μερμερόης καθ' ὅ τι τοὺς ἀνθιστωμένους βιάσηται, ὑπῆγεν ὀπίσω τὸ στράτευμα, ἐπί τε Ἀρχαιόπολιν ὡς πολιορκήσων αὐτίκα ἦει. τοῦ τε περιβόλου ἀποπειρασάμενος, ἐπεὶ οὐδὲν προὐχώρει, ἀνέστρεφεν αὖθις. Ῥωμαῖοι δὲ ἀναχωροῦσιν V 213
ἐπισπόμενοι τοῖς πολεμίοις ἐν δυσχωρίᾳ πολλοὺς ἔκτεινον, ἐν τοῖς καὶ τῶν Σαβίρων τὸν ἄρχοντα ξυνηνέχθη πεσεῖν. μάχης D
τε καρτερᾶς ἀμφὶ τὸν νεκρὸν γενομένης ὕστερον Πέρσαι περὶ λύχνων ἀφὰς βιασάμενοι τοὺς ἐναντίους ἐτρέψαντο, ἐπί τε Κουταΐσιον καὶ Μουχίρησιν ἀπεχώρησαν. ταῦτα μὲν οὖν Ῥωμαίοις τε καὶ Πέρσαις ἐπέπρακτο τῇδε.

Τὰ μέντοι ἐπὶ Λιβύης ἅπαντα Ῥωμαίοις εὖ τε καὶ καλῶς καθειστήκει. τῷ γὰρ Ἰωάννῃ, ὅνπερ ἐνταῦθα Ἰουστινιανὸς βασιλεὺς στρατηγὸν κατεστήσατο, εὐτυχήματα λόγου τε καὶ ἀκοῆς κρείσσω ξυνηνέχθη γενέσθαι. ὃς δὴ ἕνα τῶν ἐν Μαυρουσίοις ἀρχόντων ἑταιρισάμενος, Κουτζίναν ὄνομα, τά τε πρότερα μάχῃ τοὺς ἄλλους ἐνίκησε καὶ οὐ πολλῷ ὕστερον Ἀντάλαν τε καὶ Ἰάβδαν, οἳ Μαυρουσίων τῶν ἐν Βυζακίῳ τε καὶ Νουμιδίᾳ τὸ P 615
κράτος εἶχον, ὑποχειρίους πεποίηται, ἔπεσόντό τε αὐτῷ ἐν ἀνδρα-

1. Τζιβιλῷ] τζιβούλῃ Reg. τζιβίλῃ H. 2. στενοτάτην] Vulgo στενωτάτην. 4. βιάσηται] βιάζηται Reg. 8. ἐν τοῖς] ἐν οἷς Reg. 9. σαβήρων L. 10. τὸν νεκρὸν] τῷ νεκρῷ L. 11. Κουτατίσιον] κόταις Reg. κούταις H. 12. Μουχίρησιν] μοχήρεσιν L. 16. βασιλεὺς Ἰουστινιανὸς L. 17. Μαυρουσίοις] νουμηδίοις H: illud Hm. 19. ἀντάλλαν L. 20. Ἰάβδαν] ἰαύδαν H.

sidium agitabant, sese opposuerunt, occupato aditu, quem, ut supra dixi, summae angustiae et praecipitia efficiunt insuperabilem. Quare non valens Mermeroës resistentes depellere, retro egit exercitum, atque e vestigio Archaeopolin sese contulit, obsidionem illius meditans. At frustra tentatis moenibus, maturavit reditum. Romani abscedentibus instantes hostibus, in angustiis cecidere non paucos; inter quos Dux Sabirorum occubuit. Circa huius cadaver acriter dimicatum est: demum Persae sub serotinum crepusculum, hoste vi in fugam acto, Cutatisium et Muchiresin repetiere. Sed de his hactenus, quae Romani ac Persae inter se gesserunt.

In Africa vero omnia Romani praeclare constituta habebant. Siquidem Ioanni, cui Iustinianus Augustus illarum partium Magisterium militare detulerat, successus contigerunt maiores fama et audientium fide. Is socio Cutzina, uno ex Maurorum principibus, primum caeteros acie vicit; nec multo post, Antalam et Iabdam, qui Mauris Byzacenis ac Numidis praeerant, ita sibi subdidit, ut ipsum tanquam mancipia as-

πόδων λόγῳ. καὶ ἀπ' αὐτοῦ πολέμιον Ῥωμαίοις οὐδὲν ὑπὸ τοῦτον τὸν χρόνον ἔν γε Λιβύῃ ἐγένετο. τοῖς μέντοι φθάσασι πολέμοις τε καὶ στάσεσιν ἔρημος ἀνθρώπων ἡ χώρα ἐκ τοῦ ἐπὶ πλεῖστον οὖσα διέμεινεν.

B ιη'. Ἐν ᾧ δὲ ταῦτα ἐπράσσετο τῇδε, ἐν τούτῳ τάδε ξυνηνέχθη ἐν Εὐρώπῃ γενέσθαι. Γήπαιδες μέν, ὥσπερ μοι ἐν τοῖς ἔμπροσθεν λόγοις ἐρρήθη, τὰς σπονδὰς θέμενοι πρὸς Λαγγοβάρδας, τοὺς σφίσι πολεμίους ὄντας, ἐτύγχανον. παντάπασι
H 347 δὲ οὐχ οἷοί τε ὄντες τὰ διάφορα πρὸς αὐτοὺς διαλῦσαι πολεμιτέα σφίσιν οὐ πολλῷ ὕστερον ᾠοντο εἶναι. Γήπαιδες μὲν οὖν καὶ Λαγγοβάρδαι πανδημεὶ ἐπ' ἀλλήλους τῷ πολέμῳ ἀκμάζοντες ἦεσαν. ἡγεῖτο δὲ τῶν μὲν Γηπαίδων Θορισίν, τῶν δὲ Λαγγοβαρδῶν Αὐδουὶν ὄνομα. καὶ αὐτῶν ἑκατέρῳ ἀνδρῶν μυριάδες
a πολλαὶ εἵποντο. ἤδη μὲν οὖν ἄγχιστά πη ἀμφότεροι ἦλθον,
C οὔπω δὲ τὰ στρατόπεδα πρὸς ἀλλήλων καθεωρῶντο. δείματα δὲ τὰ πανικὰ καλούμενα ἐξαπιναίως ἑκατέροις ἐπιπεσόντα φείγοντας ἀπ' αἰτίας οὐδεμιᾶς ἅπαντας ὀπίσω ἀπήνεγκε, μόνων τῶν ἀρχόντων αὐτοῦ ἀπολελειμμένων ξὺν ὀλίγοις τισίν. οἵπερ αὐτοὺς ἀνθέλκειν τε καὶ τῆς ὑπαγωγῆς ἀναχαιτίζειν ἀποπειρασάμενοι οὐδὲν ἦνυον οὔτε θωπείαις οἰκτραῖς οὔτε ἀπειλαῖς φοβεραῖς χρώμενοι. περιδεὴς οὖν γεγονὼς Αὐδουὶν οἷς οἱ περί τε αὐτῷ διασκεδαννύμενοι ἀκόσμως ἦσαν οὕτως (οὐ γὰρ ἤδει τοὺς πολεμίους τὴν ὁμοίαν κεκληρῶσθαι τύχην) τῶν οἱ ἑπομένων τινὲς

7. λαγοβάρδας L hic et infra. 12. Θορισὶν] Θορησὶν H. Et sic infra. 15. καθεωρῶντο] καθωρῶντο H. 17. ἀπήνεγκε] ἀπήνεγκαν Reg. 20. οὔτε — οὔτε] οὐδὲ — οὐδέ P. 21. οἷς — οὕτως] ὁρῶν διασκεδαννυμένους ἀκόσμως Reg.

sectarentur. Quo fiebat, ut id temporis fruerentur otio Romani in Africa, praeteritis bellis et seditionibus adhuc late desolata.

18. Dum illa agerentur in his partibus, interea haec in Europa contigerunt. Pacem quidem, de qua dixi in superioribus libris, Gepaedes cum Langobardis hostibus suis fecerant. Quoniam tamen ortam inter se litem nequibant omnino discernere, arma haut multo post resumenda existimarunt. Itaque Gepaedes et Langobardi, bello accenso, cum omnibus copiis adversi vadunt, imperante Thorisino Gepaedibus, Auduino Langobardis: utrumque multae virorum myriades sequebantur. Iam erant in propinquo acies, non tamen in conspectu, cum terror paucus, quem appellant, derepente ipsis iniectus, omnes temere retro fugere compulit, solis Principibus cum paucis admodum remanentibus: qui illos retrahere, et qua blanditiis submissis, qua minis terribilibus a fuga revocare conati, nihil profecerunt. Attonitus Auduinus eiusmodi suorum consternatione, necdum compertum habens idem hostibus accidisse, quos-

ἐπὶ πρεσβείᾳ παρὰ τοὺς ἐναντίους εὐθὺς ἔπεμψε τὴν εἰρήνην αἰτησομένους. οἵπερ, ἐπεὶ παρὰ τὸν ἄρχοντα τῶν Γηπαίδων Θορισὶν ἀφικόμενοι τὰ πρασσόμενα εἶδον, ἔκ τε τῶν ἐν σφίσιν αὐ- D
τοῖς τετυχηκότων κατενόησαν τὰ τοῖς πολεμίοις ξυνενεχθέντα καὶ τῷ Θορισὶν ἐς ὄψιν ἐλθόντες ἀνεπυνθάνοντο αὐτοῦ ὅπη ποτὲ οἱ γῆς τῶν ἀρχομένων τὸ πλῆθος εἴη. καὶ ὃς τῶν ξυμπεπτωκότων οὐδὲν ἀρνηθεὶς „Πεφεύγασιν οὐδενὸς διώκοντος αὐτοὺς“ ἔφη. οἱ δὲ ὑπολαβόντες „Ταὐτὸ τοῦτο“ φασὶ „καὶ Λαγγοβάρδαι πεπόνθασιν. ἀληθιζομένῳ γάρ σοι, ὦ βασιλεῦ, οὐδέν τι τῶν ἡμετέρων ἀποκρυψόμεθα. οὐκοῦν ἐπειδὴ τὰ γένη ταῦτα διολωλέναι ὡς ἥκιστα βουλομένῳ τῷ Θεῷ ἐστι καὶ ἀπ' αὐτοῦ διέλυσε τὴν παράταξιν, σωτήριον ἀμφοτέροις ἐπιβαλὼν δέος, φέρε δὴ καὶ ἡμεῖς ἐπιχωρήσωμεν τῇ τοῦ Θεοῦ γνώμῃ, τὸν πόλεμον κατα- P 616
λύοντες.“ „Ἔστω, γενέσθω ταῦτα“ ὁ Θορισὶν ἔφη. δυοῖν τε οὕτως ἐνιαυτοῖν ἐκεχειρίαν πεποίηνται, ὅπως μεταξὺ ἐπικηρυκευόμενοί τε καὶ παρ' ἀλλήλους ἀεὶ φοιτῶντες ἅπαντα ἐς τὸ ἀκριβὲς τὰ διάφορα διαλύσωσι. τότε μὲν οὖν οὕτως ἑκάτεροι ἀνεχώρησαν.

Ἐν δὲ τῇ ἐκεχειρίᾳ ταύτῃ οὐχ οἷοί τε γεγενημένοι ἐς τῶν V 214
ἀντιλεγομένων τὴν διάλυσιν ἀλλήλοις ξυμβῆναι, αὖθις ἐπὶ τὰ πολέμια ἔργα χωρεῖν ἔμελλον. δειμαίνοντές τε Γήπαιδες τὴν Ῥωμαίων ἀρχὴν (ἐπίδοξοι γὰρ ἦσαν ὡς Λαγγοβάρδαις ξυντάξον- B

4. καὶ τῷ] τῷ om. L. 6. εἴη L. ᾖει P. 7. Πεφεύγασιν] φεύγουσιν L. ibid. αὐτοὺς om. L. 13. ἐπιχωρήσωμεν] ἐπιχειρήσωμεν Reg. 16. τὸ ἀκριβὲς] τἀκριβὲς L. 21. πολέμια L. πολεμητέα P.

dam e suis asseclis illico ad eos legat, pacem petituros: qui cum pervenissent ad Thorisinum Gepaedum principem, quo res loco essent viderunt, suoque ex casu eum, quem hostes paterentur, intellexere. Tum coram quaerunt ex Thorisino, ubi tandem terrarum sit subditorum multitudo? Is nihil eorum, quae contigissent, inficians, *Fugerunt*, inquit, *nemine persequente*. Mox illi, *Idem*, aiunt, *passi sunt Langobardi. Tibi enim Rex, vera fatenti, plane enuntiabimus quae ad nos attinent. Cum igitur salvas Deus has gentes velit, easque in procinctu stantes dissipaverit, salutari ipsis incusso metu; age, et nos in divinam sententiam concedamus, bellum dirimentes.* Tum Thorisinus, *Esto*, inquit, *sic fiat*. Itaque annorum duorum induciae factae sunt; ut interea loci, legationibus reciprocis, litem omnem accurate componerent. Sic utrique tunc recesserunt.

Harum induciarum tempore, quoniam controversias inter se tollere minime poterant, ad bellum instaurandum se compararunt. Cum autem esset opinio laturos opem Langobardis Romanos, ab his timentes sibi

ται) τῶν τινας Οὔννων ἐς τὴν ὁμαιχμίαν ἐπαγαγέσθαι διενοοῦντο. ἔπεμψαν οὖν παρὰ τῶν Κουτουργούρων τοὺς ἄρχοντας, οἳ δὴ ἐνθένδε ᾠκηνται λίμνης τῆς Μαιώτιδος, καὶ αὐτῶν ἠξίουν πόλεμον τὸν πρὸς Λαγγοβάρδας ξυνδιενεγκεῖν σφίσιν. οἱ δὲ αὐτοῖς δισχιλίους τε καὶ μυρίους εὐθὺς ἔπεμψαν, ὧν ἄλλοις τε ἡγοῦντο καὶ Χινίαλος, ἀνὴρ διαφερόντως ἀγαθὸς τὰ πολέμια. Γήπαιδες δὲ τούτων δὴ τῶν βαρβάρων τῇ παρουσίᾳ ἐν τῷ παρόντι ἀχθόμενοι, ἐπεὶ οὔπω τῆς μάχης ἐνεστήκει καιρὸς, ἀλλ' ἐνιαυτὸς τοῖς ξυνθήκαις ἔτι ἐλέλειπτο, πείθουσιν αὐτοὺς κατα- C θεῖν μεταξὺ τὴν βασιλέως γῆν, πάρεργον τῆς σφετέρας ἀκμῆς πεποιημένοι τὴν ἐς Ῥωμαίους ἐπιβουλήν. ἐπεὶ δὲ Ῥωμαῖοι τὴν διάβασιν ποταμοῦ Ἴστρου ἐς τὸ ἀκριβὲς ἔν τε Ἰλλυριοῖς καὶ τοῖς ἐπὶ Θρᾴκης χωρίοις ἐφρούρουν, αὐτοὶ τούτους δὴ τοὺς Οὔννους ἐν χώρᾳ τῇ κατ' αὐτοὺς διαπορθμεύσαντες ποταμὸν Ἴστρον ἐς τὰ Ῥωμαίων ἤδη ἀφίεσαν. καὶ οἱ μὲν πάντα σχεδόν τι ἐλῄσαν- το τὰ ἐκείνῃ χωρία, βασιλεὺς δὲ Ἰουστινιανὸς ἐπενόει τάδε. πέμ- ψας παρὰ Οὔννων τῶν Οὐτουργούρων τοὺς ἄρχοντας, οἳ δὴ ἐπέκεινα λίμνης ᾠκηνται τῆς Μαιώτιδος, ἐμέμφετό τε καὶ ἔδι- D κον αὐτῶν ἐπικάλει τὴν ἐς Κουτουργούρους ἀπραγμοσύνην, εἰ-

1. *ἐπαγαγέσθαι* L. *ἐπάγεσθαι* P. 2. *Κουτουργούρων*] *κουτριγούρων* L. 4. *ξυνδιενεγκεῖν* Reg. *ξυνενεγκεῖν* P. 6. *χινιαλὼν* H. *χινιαλῶν* L. 9. *ἔτι*] *ἤδη* H. 10. *τὴν — γῆν*] *τῆς — γῆς* Reg. 12. *Ἰλλυριοῖς*] Vulgo *Ἰλλυρίοις*. 14. *διαπορθμεύσαντες* H et Reg. *διαπορθμεύσαντας* P. *διαπόρθμευσάν τε* L. *ibid. ἐς τὰ*] Vulgo *ἐς τε τὰ*. *ἐς τε — ἀφίεσαν* om. L. 15. *οἱ μὲν* om. L. 17. *Οὐτουργούρων*] *οὐτιγούρων* Reg. 19. *Κουτουργούρους*] *κουτριγούρους* Reg. cum Suida s. v. *ἀπραγμοσύνη*. Et sic liber ille infra quoque constanter.

Gepaedes, Hunnorum aliquos in societatem sibi asciscere statuerunt. Quamobrem legatione missa ad Principes Cuturgurorum, qui cis paludem Maeotidem habitant, eos rogarunt, ut arma secum in Langobardos caperent. Confestim illi armaturum miserunt duodecim millia, quibus praeter alios imperabat Chialalus, vir bellica laude clarissimus. Gepaedes, horum barbarorum praecipitem adventum graviter ferentes, quod certaminis tempus nondum appeteret, sed annus adhuc superesset pactis induciis, persuaserunt, ut hoc interim spatio eras incursarent ditionis Imperatoriae, essetque intempestivae ipsorum operae diverticulum illa in Romanos suscepta via. Et quoniam scribus Romanorum custodia in Illyrico et Thracia claudebatur Istri fluminis transitus, illi qua eram oppositam spectant, hos Hunnos istro amne transmissos, in Romanorum sedes induxerunt. Ab iis loca omnia fere omnia vastata sunt: quando Iustinianus Augustus hoc consilium iniit. Ad Principes Hunnorum Uturgurorum trans paludem Maeotidem habitantium, legatione missa, quaeritat, eosque incusat, quod nihil in Cuturgures moveant, desidia capti in-

περὶ τὸ τοὺς φίλους διαφθειρομένους περιοφᾶν τοῖς τῶν ἔργων ἀδυνατάτοις καταλέγειν δηῆσει. αὐτῶν γὰρ Κουτεάργουροι, ἔφη, πλησιόχωροι ὄντες ἀφροντιστήσαντες, καὶ ταῦτα ἐκ Βυζαντίου χρήματα μεγάλα κομιζόμενοι ἀνὰ πᾶν ἔτος, τρόπῳ οὐδενὶ τῆς ἐς Ῥωμαίους ἀδικίας οὐ θέλουσιν ἀποπαύεσθαι, ἀλλ' ὁσημέραι καταθέουσί τε καὶ ληΐζονται αὐτοὺς οὐδενὶ λόγῳ. τούτων δὲ οὗτοι οὐδὲν τὸ μέρος περδαίνοντες, οὐδὲ τῆς Ἰλείας Κουτουργούρους διαλαγχάνοντες, οὐ προσποιοῦνται κεκακωμένους Ῥωμαίους, καίπερ αὐτοῖς φίλοι ἐκ παλαιοῦ ἐς τὰ μάλιστα ὄντες. ταῦτα σημήνας τοῖς Οὐτουργούροις Ἰουστινιανὸς βασιλεὺς καὶ χρήμασι μὲν αὐτοὺς δωρησάμενος, ὑπομνήσας δὲ ὅσων δώρων καὶ πρότερον πολλάκις πρὸς αὐτοῦ ἔτυχον, ἀναπείθει σφᾶς ἔφοδον αὐτίκα ἐς τῶν Κουτουργούρων τοὺς ὑπολελειμμένους ποιήσασθαι. οἱ δὲ Γότθων τῶν σφίσι προσοίκων, οἳ δὴ Τετραξῖται καλοῦνται, δισχιλίους ἐς ξυμμαχίαν ἐπαγόμενοι διέβησαν πανδημεὶ ποταμὸν Τάναϊν. ἦρχε δὲ αὐτῶν Σανδίλ, ἀνὴρ ξυνετώτατος μὲν καὶ πολέμων πολλῶν ἔμπειρος, ἐς ἀλκὴν δὲ καὶ ἀνδρείαν ἱκανῶς πεφυκώς. ἐπεὶ δὲ τοῦ ποταμοῦ τὴν διάβασιν ἐποιήσαντο, τῶν Κουτουργούρων πολλοῖς ὑπαντιάσασιν ἐς χεῖρας ἦλθον. ὥνπερ ἰσχυρότατα τοὺς ἐπιόντας ἀμυνομένων ἐπὶ μακρότατον μὲν ἡ

P 617

H 348

B

1. περιοφᾶν] περιοφῶεν H. 4. ἀνὰ πᾶν ἔτος χρ. μ. κομ. L. 8. κεκακωμένους Reg. κακουμένους P. 9. αὐτοῖς] οἱ αὐτῷ H. 10. Οὐτουργούροις] ποντουγούροις L. *ibid.* καὶ om. L. *ibid.* χρήματα μὲν αὐτοῖς L. χρήμασι μὲν αὐτοῖς H. 11. δώρων] δωρεῶν Reg. 14. Τετραξῖται] τραπεζῖται H. 15. συμπαζίαν L. 16. Σανδὶλ] ξανθὴλ H. 17. δὴ καὶ om. L. *ibid.* ἱκανῶς L corr. ἱκανὸς LP. ἱκανὴν, quod ex Reg. affert Malt., legitur in H. 18. ἐπεὶ] ἐπειδὴ L.

iusta: siquidem facinoribus iniquissimis annumeranda eorum est negligentia, qui amicos perire sinunt. Ostendit, Cuturgures vicinos superbe efferri contempta, et quamvis Byzantio grandem pecuniam quotannis accipiant, nolle tamen a Romanis scelestam vim abstinere; sed eos infestare quotidianis incursibus, ac sine causa diripere: Uturgures autem nihil inde lucri capere, et cum in praedae partem non vocentur a Cuturguris, Romanis deesse male habitis, quibuscum veteri, eoque arctissimo amicitiae vinculo iuncti sunt. Cum haec Iustinianus Augustus Uturguris significasset, ac denande pecuniam revocasset in mentem quot quantisque ipsos antea effecisset muneribus, demum pervicit, ut Cuturgures residuos bello protinus peterent. Ii vero, Gotthorum Tetraxitarum, quorum fines contingunt, adiunctis sibi duobus millibus, fluvium Tanain cum omnibus copiis traiecere. Ipsis praeerat Sandil, singulari prudentia vir, longo exercitus bellorum usu, et animo fortitudineque insigni praeditus. Transmisso flumine, cum Cuturguris, magno numero occurrentibus, manus conserunt. Illis impetum fortissime sustinentibus,

μάχη ἐγεγόνει, μετὰ δὲ Οὐτούργουροι τρεψάμενοι τοὺς ἐναντίους πολλοὺς ἔκτειναν. ὀλίγοι δέ τινες φεύγοντες, ὅπη αὐτῶν ἑκάστῳ δυνατὰ γέγονε, διεσώθησαν. καὶ αὐτῶν οἱ πολέμιοι παῖδάς τε καὶ γυναῖκας ἀνδραποδίσαντες ἐπ' οἴκου ἀπεκομίσθησαν.

C ιϑ'. Τούτων δὴ τῶν βαρβάρων τότε πρὸς ἀλλήλους διαμαχομένων ἦπέρ μοι εἴρηται, τοῦ τε κινδύνου σφίσι κατὰ τὴν ἀγωνίαν ἀκμάζοντος, εὐτυχίᾳ χρῆσθαι Ῥωμαίοις ξυνηνέχθη πολλῇ. ὅσοι γὰρ αὐτῶν ὑπὸ Κουτουργούρους ἐν αἰχμαλώτων λόγῳ
V 215 ὄντες ἐτύγχανον, ἐς μυριάδας, ὥς φασι, ξυνιόντες πολλὰς, ἐν τῷ πόνῳ τούτῳ διαλαθόντες, ἐνθένδε τε κατὰ τάχος ἐξαναστάντες καὶ οὐδενὸς σφίσιν ἐπισπομένου ἐς τὰ πάτρια ἤθη ἀφίκοντο, καὶ νίκης ἀλλοτρίας ἐν τοῖς ἀναγκαιοτάτοις ἀπώναντο. βασιλεὺς δὲ Ἰουστινιανὸς Ἀράτιον στρατηγὸν στείλας παρά τε Χινίαλον καὶ Οὔννους τοὺς ἄλλους, ἀγγεῖλαι μὲν ἐκέλευε τὰ σφίσιν ἐν
D γῇ τῇ σφετέρᾳ αὐτῶν ξυνενεχθέντα, χρήματα δὲ αὐτοῖς προϊέμενον πεῖσαι ἀπαλλάσσεσθαι ὅτι τάχιστα ἐκ Ῥωμαίων τῆς γῆς. οἱ δὲ τῶν τε Οὐτουργούρων τὴν ἔφοδον γνόντες καὶ χρήματα μεγάλα πρὸς τοῦ Ἀρατίου κεκομισμένοι ξυνέβησαν μήτε φόνον ἔτι ἐργάσεσθαι μήτε ἀνδραποδιεῖν μηδένα μήτε τι ἄλλο ἄχαρι δράσειν, ἀλλὰ τὴν ἀναχώρησιν ἅτε διὰ φίλων ποιήσεσθαι τῶν τῇδε ἀνθρώπων. ξυνέκειτο δὲ καὶ τοῦτο, ὥστε, εἰ μὲν δυνατοὶ εἶεν

1. Οὐτούργουροι] κουτούργουροι H. οὐτίγουροι Hm. οὐτιγοῦροι L. *ibid.* τρεψάμενος] στρεψάμενοι L. 5. δὴ] δὲ L. 10. διαλαθόντες] διαλανθάνοντες H. 11. καὶ οὐδενὸς] καὶ om. L. 17. Οὐτουργούρων] οὐτιγούρων L. οὐτιγούρων Hm. 18. 19. μήτε ter] μηδὲ ter P. 20. ποιήσεσθαι L. ποιήσασθαι P. 21. καὶ om. L. *ibid.* εἶεν L. εἶναι P.

diutissime pugnatum est. Tandem Uturguri, versis in fugam hostibus, ingentem fecere stragem; paucis, qua cuique sors effugium dedit, elapsis: quorum captis uxoribus liberisque, domum redierunt.

19. His tunc Barbaris inter se, ut dixi, depugnantibus, praeliique ingravescente pericule, Romanis fortuna 'mirifice favit. Eorum enim quicunque a Cuturguris in servitutem abstracti fuerant, quorum numerus ad multas myriadas evasisse fertur, eius pugnae beneficio latentes, inde fuga celeri in patriam redierunt, nemine insequente, fructumque ex aliena victoria capere maximum. Iustinianus vero Augustus Aratio Duci ad Chinialum Hunnosque caeteros misso mandavit, ut illis res in ipsorum patria gestas ederet, promptumque ex Romanorum finibus discessum profuso auro persuaderet. Illi, cognita Utargurorum irruptione, multaque ab Aratio accepta pecunia, pacti sunt, nullam se posthac facturos caedem, neminem abducturos captivum, neque aliud quidquam detrimenti importaturos; sed abscessuros ita, ut se regionis illius incolis amicos praestarent. Convenit etiam, ut si hi Barbari post suum reditum

οἱ βάρβαροι οὗτοι ἐν γῇ τῇ πατρῴᾳ ἐπανιόντες ἱδρύεσθαι, μένειν τε αὐτοῦ καὶ πίστεως τῆς ἐς Ῥωμαίους τὸ λοιπὸν ἔχεσθαι· ἢν δέ γε αὐτοῖς ἐνταῦθα μένειν ἀδύνατα ᾖ, ἐπανιέναι μὲν αὖθις αὐτοὺς ἐς γῆν τὴν Ῥωμαίων, βασιλέα δὲ σφᾶς δωρήσασθαί τισι τῶν ἐπὶ τῆς Θρᾴκης χωρίων, ἐφ' ᾧ ἐνταῦθα ἐνοικησάμενοι ἔν- P 618
σπονδοί τε τὸν πάντα αἰῶνα Ῥωμαίοις ἔσονται καὶ τὴν χώραν ἐς τὸ ἀκριβὲς ξυμφυλάξουσιν ἐκ πάντων βαρβάρων.

Ἤδη δὲ καὶ Οὔννων τῶν ἡσσημένων ἐν τῇ ξυμβολῇ καὶ διαφυγόντων τοὺς Οὐτουργούρους δισχίλιοι ἦλθον ἐς Ῥωμαίων τὴν γῆν, παῖδάς τε καὶ γυναῖκας ἐπαγόμενοι. ἡγοῦντο δὲ αὐτῶν ἄλλοι τε καὶ Σιννίων, ὅσπερ ξὺν Βελισαρίῳ πολλῷ πρότερον ἐπί τε Γελίμερα καὶ Βανδίλους ἐστράτευσε, γίνονταί τε Ἰουστινιανοῦ βασιλέως ἱκέται. καὶ ὃς αὐτοὺς ὑπεδέξατο προθυμίᾳ τῇ πάσῃ, ἔν τε χωρίοις ἱδρίσασθαι τοῖς ἐπὶ Θρᾴκης ἐκέλευσεν. B
ἅπερ ἐπεὶ Σανδὶλ, ὁ τῶν Οὐτουργούρων βασιλεὺς, ἔμαθε, παρωξυσμένος καὶ περιωργισμένος, εἰ αὐτὸς μὲν Κουτουργούρους ὁμογενεῖς ὄντας ἀδικίας τῆς εἰς Ῥωμαίους τινύμενος ἐξ ἠθῶν ἀναστήσειεν αὐτοὺς τῶν πατρίων, οἱ δὲ βασιλέως σφᾶς ἐνδεξαμένου ἐνοικησάμενοι ἐν Ῥωμαίων τῇ γῇ πολλῷ ἄμεινον βιοτεύουσιν, ἔπεμψε πρέσβεις ἐς βασιλέα τὰ πεπραγμένα ὀνειδιοῦντας, οὐκ ἐπιστολὴν αὐτοῖς τινα ἐγχειρίσας, ἐπεὶ γραμμάτων

3. ἐνταῦθα] ἐν ταύτῃ Reg. 4. τὴν] Vulgo τῶν. 5. ἐνοικησάμενοι Reg. οἰκησάμενοι P. 9. οὐττιγούρους L. οὐτιγούρους Hm. Et sic infra. 11. Σιννίων] σινίων L. σισινίων H. 12. ἐστράτευσε Reg. ἐστράτευε P. 13. ἱκέται L. οἰκέται P. 14. τοῖς] τῆς L. 15. Σανδὶλ]·σανδελὰ H: illud Hm. 16. Κουτουργούρους] κουτριγούρους L. 19. βιοτεύουσιν] βιωτεύουσιν LHm. βιοτεύσουσιν H. 20. ἔπεμψεν οὖν Hm. 21. τινα ἐγχειρίσας αὐτοῖς L.

sedes patrias tenere possent, manerent illic, ac datam Romanis fidem usque servarent: sin ibi nequirent consistere, ad Romanos reverterentur, ipsisque attribueret Imperator agros in Thracia, ubi positis domiciliis, perpetuo devincti Romanis foedere, cum illis regionem sedulo defenderent a quibuslibet Barbaris.

Iam vero Hunnorum, qui acie victi Uturgurос evaserant, duo millia cum liberis atque uxoribus ad Romanos se receperunt. Unus erat ex eorum Ducibus Sinnio; is qui iampridem in Africa Belisario adversus Gelimerem et Vandalos militaverat. Ipsos Iustinianus Augustus supplices famularemque offerentes operam, benignissime accepit, et in Thracia considere iussit. Huius rei nuntio exacerbatus Uturgurorum Rex Sandil, iraque incensus, quod ipse quidem Cuturguros, eiusdem secum generis homines, sedibus patriis exegisset, admissam in Romanos iniuriam ulciscendo: illi vero ab Imperatore excepti, iamque soli Romani incolae, multo suavius viverent: ad Imperatorem Legatos misit, acta

πανταπασιν Οὔννοις ἀνήκοοί τε καὶ ἀμελέτητοι ἐς τόδε εἰσὶ καὶ οὔτε γραμματικήν τινα ἔχουσιν οὔτε τῳ περὶ τὰ γράμματα πόνῳ ξυναύξονται αὐτοῖς τὰ παιδία, βαρβαρικώτερον δὲ ἅπαντα ἀποστομοῦντας, ὅσα δὴ αὐτὸς ἐπέστελλε σφίσιν. ἀφικόμενοι οὖν οἱ πρέσβεις ἐς ὄψιν Ἰουστινιανῷ βασιλεῖ λέγειν οἱ ἔφασαν δι' αὐτῶν ὡς ἐν ἐπιστολῇ τάδε βασιλέα Σανδίλ. „Παροιμίαν τινὰ ἐκ παιδὸς ἀκηκοὼς οἶδα, καὶ εἴ τι μὴ αὐτῆς ἐπιλέλησμαι, τοιαύτη τις ἡ παροιμία τυγχάνει οὖσα. τὸ θηρίον ὁ λύκος τῆς μὲν τριχὸς, φασὶν, ἴσως ἄν τι καὶ παραλλάξαι οὐκ ἀδύνατος εἴη, τὴν μέντοι γνώμην οὐ μεταστρέψει, οὐκ ἀφαιρήσης αὐτῷ μεθαρμοσαμένῳ τῆς φύσεως. οὕτως ὁ Σανδὶλ τῶν πρεσβυτέρων ἐκήκοα, πλαγίῳ τινὶ παραθηλούντων τὰ ἀνθρώπινα λόγῳ. οἶδα δέ τι καὶ ἀπὸ τῆς πείρας μαθὼν, οἷα εἰκὸς ἦν ἀγροικιζόμενον βάρβαρον ἐκμαθεῖν, τοὺς κύνας οἱ νομέες ἐπιτιθέους ὄντας ἀναρρύμενοι οὐκ ἀπημελημένως οἴκοι ἐκτρέφουσιν. εὐγνῶμον δὲ τοῖς σιτίζουσι ζῷον ὁ κύων καὶ τὰ ἐς χάριν μνημονικώτατος. πράσσεται οὖν ταῦτα τοῖς νομεῦσι τούτου δὴ ἕνεκα, τοῦ τῶν λύκων ἐπιόντων ποτὲ διακρούεσθαι τὰς ἐκείνων ἐφόδους τοὺς κύνας παραστάτας τε καὶ σωτῆρας τοῖς πρυβατίοις καθισταμένους.

2. οὔτε — οὔτε] οὐδὲ — οὐδέ P. 3. ἀποστομοῦντας L. 4. ἐπέστελλε] ἐπιστείλειε L. 6. ὡς om. L. *ibid.* βασιλέα] βασιλεὺς L. *ibid.* Σανδὶλ] σανδὴλ H. 7. καὶ εἴ τι] ἄρτι H. 9. φασὶν] φησὶν Reg. *ibid.* ἄν τι καὶ om. L. 10. μεταστρέψει] μεταστρέψαι Reg. μεταστρέψαι L. *ibid.* οὐκ ἀφανῶς αὐτὸ μεθαρμοσαμένων φησὶν ὁ σανδὴλ H: sed correctum in Hm. 12. λόγῳ παρ. τὰ ἀν. L. 13. ἀγροικιζομένων βαρβάρων L. 14. ἐπιτιθέους] ἐπιτηδείους H. 15. ἐκτρέφουσιν Reg. τρέφουσιν P. *ibid.* εὐγνῶμον L corr. εὐγνώμων P. 16. μνημονικώτατον L. 17. πράσσεσθαι L. 19. παραστάντας Reg. *ibid.* καθημένους L.

exprobraturos, nulla ipsis data epistola. Quippe Hunni etiamnum rudes plane sunt litterarum, quas ne auribus quidem admittunt, neque eorum pueri in labore litterario adolescunt. Quare omnia Regis sui mandata more Barbarico relaturi erant memoriter Legati illi: qui ubi in conspectum venerunt Iustiniani Augusti, ei dixerunt, sic ore suo, veluti epistola, Regem Sandilem loqui. *Olim puer proverbium didici, quod iactari audiebam, idque eiusmodi est, si bene memini. Pilum quidem, aiunt, lupus ferum animal mutare fortasse poterit; ingenium vero nunquam mutabit, abnuente natura emendationem. Id ego Sandil accepi a senioribus, oblique innuentibus, quae hominibus convenirent. Ea quoque tenui edoctus usu, quae me Barbarum rure degentem discere oportuit. Lactentes catulos asumunt pastores, ac domi diligenter nutriunt. Alioribus autem gratum se canis exhibet, et accepti beneficii unice memorem. Haec ea consilio pastores agunt, ut si quando lupi ingruerint, eorum impetum canes repellant, adiutores custodesque ovilibus additi: id quod ubique terra-*

καὶ ταῦτα ἐν γῇ τῇ πάσῃ γίνεσθαι οἶμαι. τεθέαται γὰρ τῶν πάντων οὐδεὶς οὔτε ποίμνῃ πόνους ἐπιβουλεύσαντας οὔτε λύκους ἀμυνομένους αὐτοῖς πώποτε, ἀλλ' ὥσπερ τινὰ τοῦτον ἡ φύσις θεσμὸν νομοθετήσασα ἔθετο. οἶμαι δὲ κἀν τῇ βασιλείᾳ τῇ σῇ, εἰ καὶ πραγμάτων ἐκ τοῦ ἐπὶ πλεῖστον ἁπάντων, τάχα δέ που καὶ τῶν ἀμηχάνων περιουσίαν ξυμβαίνει εἶναι, παράλλαξιν τούτων τινὰ οὐδαμῇ γίγνεσθαι. ἢ οὖν τοῖς πρέσβεσι τοῖς ἐμοῖς δείξατε ὅπως ἄν τι καὶ τῶν οὐκ εἰωθότων ἐπὶ γήραος οὐδ' μάθοιμεν· εἰ δὲ ἀραρότως ταῦτα P 619 πανταχῇ πέφυκεν, οὐ καλόν σοί ἐστι Κουτουργούρων τὸ γένος ξεναγεῖσθαι, οἶμαι, τεθολωμένον ἐπαγαγομένῳ γειτόνημα, καὶ οὓς ὄντας ὑπερφίους οὐκ ἤνεγκας, τούτους ἐνδήμους πεποιημένῳ. αὐτοὶ γὰρ τρόπον ἐς Ῥωμαίους τὸν οἰκεῖον ἐνδείξονται οὐ V 216 πολλῷ ὕστερον, καὶ τούτου χωρὶς οὔτε πολέμιος ἐπιλείψει διαφθείρων τὴν τῶν Ῥωμαίων ἀρχήν, ἐλπίδι τοῦ ἠσσηθεὶς ἀμείνων ἔσεσθαι· παρὰ σοί, οὔτε φίλος περίεστιν Ῥωμαίοις, ἐμπόδιός ποτε τοῖς καταθέουσι γῆν τὴν ὑμετέραν ἐσόμενος, δέει τοῦ μή, B ἐπειδὰν φέρηται παρὰ τῆς τύχης τὰ κράτιστα, τοὺς ἡσσημένους ἐπιδεῖν ἐπιφανέστερον αὐτοὺς παρ' ὑμῖν πράσσοντας, εἴ γε ἡμεῖς

1. ταῦτα] ταύτη L. *ibid.* οἶομαι L. 2. πόνους] λύκους L a m. sec. 3. αὐτοῖς πώποτε] αὐτὴν πάντοτε L. 5. οἶμαι] οἱ L. ἄδε Lm. *ibid.* εἰ καὶ] οὐ δὴ L. 7. γίνεσθαι L. 8. ἢ οὖν] Vulgo ἤγουν. 10. καλῶς L. *ibid.* σοι ἐς κουτριγούρων L et Hm, nisi quod Hm ἐς τὸ. 11. ἐπαγαγομένῳ Reg. ἐπαγομένῳ P. *ibid.* γειτόνημα] Imitatur locum Platonicum Leg. IV. p. 705 a. 12. τούτους] τοῦτον Reg. *ibid.* πεποιημένος L. 13. αὐτοί γε γὰρ L. Fort. αὐτοί τε γάρ. 15. τῶν om. L. *ibid.* ἠσσηθεὶς L. ἠσσῆσθαι P. 19. ἐπειδὴ ἐπιφανώτερον H, et ἐπιφανώτερον L a pr. m.

rum fieri arbitror. Nam gregi nec insidiari cures, nec lupos unquam opitulari quisquam vidit, quasi lex ea quaedam esset, a natura canibus, ovibus et lupis posita. Neque in tuo Imperio, quamvis rebus cuiusque fere generis, et forte a communi intelligentia remotissimis abundet, aliter haec se habere existimo. Di faxint, meis Legatis ostenditis, ut in ipso senectutis limine discamus aliquid inusitatum. Sin autem ea ubique recte a natura comparata sunt, te, meo quidem iudicio, minime decet, hospitio Cuturgures excipere, foedam asciscendo vicinitatem, et illis de habitatione accommodando, quos externos ac procul positos non tulisti. At illi indolem suam Romanis brevi probabunt. Praeterea, si hostis erit Cuturgurus, in perniciem Romani Imperii semper incumbet, spe adductus fore ut vel victus meliorem apud te locum obtineat: neque ita Romanos amabit, ut provincias vestras incursantibus esse unquam opponat, veritus, ne ubi rem felicissime gesserit, splendidius a vobis tractari illos videat, quos domue-

μὲν ἐν χώρᾳ ἐρήμῳ τε καὶ ἄλλως ἀγόνῳ τὰ διαιτητήρια ἔχομεν, τοῖς δὲ Κουτουργούροις σιτωνεῖν τε κἀν τοῖς οἰνῶσι κατακραιπαλᾶν ἐν ἐξουσίᾳ ἐστὶ καὶ παροψίδας αἱρεῖσθαι πάσας. πάντως δέ πη καὶ βαλανείων αὐτοῖς μέτεστι. καὶ χρυσοφοροῦσιν οἱ πλανῆται καὶ ἱματίων οὐκ ἀμοιροῦσι λεπτῶν τε καὶ πεποικιλμένων καὶ κατακεκαλυμμένων χρυσῷ. καίτοι Κουτούργουροι μὲν Ῥωμαίων ἀνάριθμα πλήθη ἐξηνδραποδικότες τὰ πρότερα μετήνεγκαν ἐς γῆν τὴν σφετέραν. οἷς δὴ τὰ ἀνδραποδώδη πάντα ἐπέχειν οὐ πάρεργον τοῖς καταρύτοις ἐγίνετο, ἀλλὰ καὶ μάστιγας οὐχ ἡμαρτηκόσιν ἐντεῖναι καὶ θανατοῦν ἴσως πρόχειρον ἦν, καὶ ὅσα ἄλλα δεσπότῃ βαρβάρῳ ὅ τε τρόπος καὶ ἡ ἐξουσία ἐφίησιν. ἡμεῖς δὲ πόνοις τε ἡμετέροις καὶ κινδύνοις ἐς ψυχὴν φέρουσι τύχης αὐτοὺς ἀπαλλάξαντες τῆς τότε κρατούσης τοῖς γειναμένοις ἀπέδομεν, διαπονήματα ἡμῖν τοῦ πολέμου γεγενημένους. ὧν δὴ τὰς ἀμοιβὰς πρὸς ὑμῶν ἀπ' ἐναντίας ἑκάτεροι κεκομίσμεθα, εἴ γε ἡμεῖς μὲν ἀπολαύομεν ἔτι τῶν πατρίων κακῶν, οἱ δὲ τοῖς δι' ἀρετὴν ἡμετέραν ἀποφυγοῦσι τὴν αὐτῶν δούλωσιν χώρας τῆς ἐκείνων ἰσομοιροῦντες διαλαγχάνουσι." τοσαῦτα μὲν Οὐτουργούρων οἱ πρέσβεις εἶπον. βασιλεὺς δὲ αὐτοὺς πολλὰ τιθασεύσας καὶ δώρων πλήθει παρηγορήσας οὐκ ἐς μακρὰν ἀπεπέμψατο. ταῦτα μὲν οὖν τῇδε ξυνηνέχθη γενέσθαι.

1. ἀγόνῳ] ἀγῶνος H 2. τοῖς δὲ] τοῖς γὰρ H. 6. κατακεκαλυμμένων] καταλελειμένων L. κατειλημένων Lm. 9. τοῖς καταρύτοις P cum Vat. τοῖς κατακράτοις HL. τῆς κατακρατήσεως Scaliger 15. ὑμῶν] ἡμῶν L. 16. τοῖς] τὴν H. 18. οὐτιγούρων L. 19. τιθασεύσας] τιθασσεύσας P.

rit. Siquidem nos in sterili solitudine degimus, dum Cuturguris annonam curare licet, et in cellis vino expleri, et patinas deligere, quascumque lubet: nec balneis excluduntur: quin etiam auro radiant erronei illi, nec vestibus carent tenuibus atque auro illusis: postquam in patriam transtulerunt innumerabiles Romanorum captivorum catervas: a quibus omnia mancipiorum munia non leviter exigebantur scelesti; at eos, cum nihil deliquissent, verberibus, immo etiam morte facile multabant, et quidquid Barbaro domino ingenium ac licentia suggerunt, exercebant. Nos autem laboribus nostris cum extremo coniunctis discrimine, eos calamitate, qua tunc premebantur, eximimus, parentibusque reddidimus, exantlatis ipsorum causa belli aerumnis. Talibus utrorumque meritis vices reddidistis plane contrarias. Siquidem nos in miseria patriae versamur adhuc: Cuturguros vero aequaliter participes agrorum suorum habent illi ipsi, qui eorum iugum evaserunt virtute nostra. Haec cum dixissent Uturgurorum Legati, eos multis Imperator blanditiis donisque amplissimis delinitos, haud multo post remisit. Sed haec hactenus.

κ'. Κατὰ δὲ τὸν χρόνον τοῦτον τῷ τε Οὐάρνων ἔθνει καὶ P 620
στρατιώταις νησιώταις, οἳ δὴ ἐν νήσῳ τῇ Βριττίᾳ καλουμένῃ
ᾤκηνται, πόλεμος καὶ μάχη ἐγένετο ἐξ αἰτίας τοιᾶσδε. Οὔαρ-
νοι μὲν ὑπὲρ Ἴστρον ποταμὸν ἵδρυνται, διήκουσι δὲ ἄχρι τε ἐς
ὠκεανὸν τὸν ἀρκτῷον καὶ ποταμὸν Ῥῆνον, ὅσπερ αὐτούς τε διο-
ρίζει καὶ Φράγγους καὶ τἄλλα ἔθνη, ἃ ταύτῃ ἵδρυνται. οὗτοι
ἅπαντες, ὅσοι τὸ παλαιὸν ἀμφὶ Ῥῆνον ἑκατέρωθεν ποταμὸν
ᾤκηντο, ἰδίου μέν τινος ὀνόματος ἕκαστοι μετελάγχανον, ὧν δὴ
ἔθνος ἓν Γερμανοὶ ὀνομάζονται, ἐπὶ κοινῆς δὲ Γερμανοὶ ἑκα- B
λοῦντο ἅπαντες. Βριττία δὲ ἡ νῆσος ἐπὶ τούτου μὲν τοῦ ὠκεα-
νοῦ κεῖται, τῆς ἠόνος οὐ πολλῷ ἄποθεν, ἀλλ' ὅσον ἀπὸ στα-
δίων διακοσίων καταντικρὺ τῶν τοῦ Ῥήνου ἐκβολῶν μάλιστα,
Βρεττανίας δὲ καὶ Θούλης τῆς νήσου μεταξύ ἐστιν. ἐπεὶ Βρετ-
τανία μὲν πρὸς δύοντά που κεῖται ἥλιον κατὰ τῆς Ἱσπανῶν τὰ
ἔσχατα χώρας, ἀμφὶ σταδίους οὐχ ἧσσον ἢ ἐς τετρακισχιλίους
τῆς ἠπείρου διέχουσα, Βριττία δ' ἐς τῆς Γαλλίας τὰ ὄπισθεν,
ἃ δὴ πρὸς ὠκεανὸν τετραμμένα, Ἱσπανίας δηλονότι καὶ Βρεττα-
νίας πρὸς βορρᾶν ἄνεμον. Θούλη δὲ, ὅσα γε ἀνθρώπους εἰδέ- C
ναι, ἐς ὠκεανοῦ τοῦ πρὸς τῇ ἄρκτῳ τὰ ἔσχατα κεῖται. ἀλλὰ τὰ
μὲν ἀμφὶ Βρεττανίᾳ καὶ Θούλῃ ἐν τοῖς ἔμπροσθέν μοι λόγοις ἐρ-
ρήθη· Βριττίαν δὲ τὴν νῆσον ἔθνη τρία πολυανθρωπότατα

2. *Βριττίᾳ*] βρυτίᾳ H. 3. *Οὔαρνοι*] οὔαροι H. 4. *διήκουσιν ἄχρι ἐς* L. 5. *καὶ ποταμὸν*] ποταμόν τε L. 7. *ἅπαντες*] πάντες Hm. 8. *ᾤκηντο*] ᾤκηνται Reg. *ibid.* *ὧν — ἅπαντες*] ὃ δὴ ἔθνος γερμανοὶ ὀνομάζονται ἐπίκοινον εἰληχότες τὸ ὄνομα Reg. 10. *μὲν τοῦ*] τοῦ om. L. 12. *διακοσίων*] τριακοσίων L. 13. *Βρεττανίας*] βρετανίας L. Et infra. *ibid.* *Βρεττανία*] βρετανεία L. 16. *δ'* L. *δὲ* P. 20. *βρεττανίᾳ καὶ Θούλῃ* Reg. *Βρεττανίαν καὶ Θούλην* P.

20. Per id tempus milites, qui Brittiam insulam colunt, dimicarunt cum Varnis, ex ea causa, quam hic subiiciam, exorto bello. Trans fluvium Istrum habitant Varni, pertinentque ad Oceanum usque Borealem, et Rhenum amnem, qui ipsos ac Francos, aliasque vicinas gentes disterminat. Quicunque olim utramque Rheni ripam accolebant, propriis singuli gaudebant nominibus. Earum nationum una nominatur Germanorum vocabulo, omnibus quondam communi. Brittia autem insula in hoc Oceano sita est, haud amplius cc. stadiis procul a littore, contra ipsa Rheni ostia, inter Brittanniam ac Thulen insulam. Etenim Brittannia ad Solem occidentem posita, qua extremam Hispaniam spectat, a continente stadia circiter quatuor millia distat. Brittia ultimis obiacet Galliae partibus, quae ad Oceanum vergunt, a latere scilicet Aquilonari Hispaniae Brittanniaeque. Thule, quantum mortales compertum habent, ad extremum Oceanum Septentrionalem summota est. Sed de Brittannia ac Thule in superioribus libris disserui. Porro Brittiam insulam natio-

ἔχουσι, βασιλεύς τε εἷς αὐτῶν ἑκάστῳ ἐφέστηκεν. ὀνόματα δὲ
V 217 κεῖται τοῖς ἔθνεσι τούτοις Ἀγγίλοι τε καὶ Φρίσσονες καὶ οἱ τῇ νήσῳ ὁμώνυμοι Βρίττωνες. τοσαύτη δὲ ἡ τῶνδε τῶν ἐθνῶν πολυανθρωπία φαίνεται οὖσα ὥστε ἀνὰ πᾶν ἔτος κατὰ πολλοὺς ἐν-
D ἥνδε μετανιστάμενοι ξὺν γυναιξὶ καὶ παισὶν ἐς Φράγγους χωροῦσιν. οἱ δὲ αὐτοὺς ἐνοικίζουσιν ἐς γῆς τῆς σφετέρας τὴν ἐρημοτέραν δοκοῦσαν εἶναι, καὶ ἀπ' αὐτοῦ τὴν νῆσον προσποιεῖσθαί
H 350 φασιν. ὥστε ἀμέλει οὐ πολλῷ πρότερον ὁ Φράγγων βασιλεὺς ἐπὶ πρεσβείᾳ τῶν οἱ ἐπιτηδείων τινὰς παρὰ βασιλέα Ἰουστινιανὸν
P 621 ἐς Βυζάντιον στείλας ἄνδρας αὐτοῖς ἐκ τῶν Ἀγγίλων ξυνέπεμψε, φιλοτιμούμενος ὡς καὶ ἡ νῆσος ἥδε πρὸς αὐτοῦ ἄρχεται. τὰ μὲν οὖν κατὰ τὴν Βριττίαν καλουμένην νῆσον τοιαῦτά ἐστιν.

Τῶν δὲ Οὐάρνων ἀνήρ τις οὐ πολλῷ πρότερον, Ἑρμεγίσκλος ὄνομα, ἦρχεν. ὅσπερ τὴν βασιλείαν κρατύνασθαι διὰ σπουδῆς ἔχων, τὴν Θευδιβέρτου ἀδελφὴν τοῦ Φράγγων ἄρχοντος γυναῖκα γαμετὴν ἐποιήσατο. ἐτετελευτήκει γὰρ αὐτῷ ἔναγχος ἡ πρότερον ξυνοικοῦσα γυνή, παιδὸς ἑνὸς γενομένη μήτηρ, ὃν καὶ ἀπέλιπε τῷ πατρὶ Ῥαδίγερα ὄνομα, ᾧ δὴ ὁ πατὴρ παρθένου κόρης, γένους Βριττίας, ἐμνήστευσε γάμον, ἥσπερ ἀδελφὸς βασιλεὺς ἦν τότε Ἀγγίλων τοῦ ἔθνους, χρήματα μεγάλα τῷ τῆς
B μνηστείας αὐτῇ δεδωκὼς λόγῳ. οὗτος ἀνὴρ ξὺν Οὐάρνων τοῖς

1. ἐφέστηκε. καὶ ὄνομα L. 2. Φρίσσονες] φρίξανες H. 3. Βρίττωνες] βρίττονες L. 10. Ἀγγίλων] ἀγγέλων Reg. 13. Οὐάρνων] οὐάρων Reg. ibid. ἑρμεγίσκλος H. μέγισκλος L. 15. ἐτετελευτήκει L. τετελευτήκει P. 18. ἀπέλιπε L. ibid. Ῥαδίγερα] ῥάγιδι L. ῥαδιόλῳ H. 19. γάμον, ἥσπερ] γάμῳ, ἥπερ H. 20. Ἀγγίλων] ἀγγέλων L.

nes tres numerosissimae, suo quoque sub Rege, habitant: Angli, Frisones, cognominesque insulae Brittones. Tanta est hominum multitudo, ut inde singulis annis non pauci cum uxoribus liberisque migrent ad Francos, qui in suae ditionis solo, quod desertum videtur, sedes illis ascribunt: ex quo fieri dicitur, ut sibi quoddam ius in insulam arrogent. Certe Francorum Rex non ita pridem, cum nonnullos ex intimis Byzantium Legatos ad Iustinianum Augustum mitteret, Anglos illis adiunxerat, ambitiose ostendens, se huic etiam insulae dominari. Hactenus de insula Brittia.

Haud multo ante Varnis imperaverat Hermegiscius. Is regnum firmare satagens, Theodeberti Francorum Regis sororem matrimonio sibi iunxerat, recens mortua priori coniuge, unici parente filii, cui nomen Radiger. Hunc pater sibi relictum despondit puellae virgini, natione Brittiae, cuius frater tunc temporis Rex Anglorum erat, et sponsaliorum nomine grandem ei pecuniam dedit. Aliquando cum Varnorum pri-

λογιμωτάτοις ἐν χωρίῳ τῷ ἱππευόμενος ὄρνιν τινὰ ἐπὶ δένδρου τε καθημένην εἶδε καὶ πολλὰ κρώζουσαν. εἴτε δὲ τῆς ὄρνιθος τῆς φωνῆς ξυνεὶς εἴτε ἄλλο μέν τι ἐξεπιστάμενος, ξυνεῖναι δὲ τῆς ὄρνιθος μαντευομένης τερατευσάμενος, τοῖς παροῦσιν εὐθὺς ἔφασκεν ὡς τεθνήξεται τεσσαράκοντα ἡμέραις ὕστερον. τοῦτο γὰρ αὐτῷ τὴν τῆς ὄρνιθος δηλοῦν πρόρρησιν. „Ἐγὼ μὲν οὖν προορώμενος" ἔφη „ὅπως δὴ ὡς ἀσφαλέστατα ξὺν τῇ ἀπραγμοσύνῃ βιώσεσθε, τοῖς τε Φράγγοις ἐς κῆδος ξυνῆλθον, γυναῖκα ἐνθένδε τὴν ἐμοὶ ξυνοικοῦσαν ἐπαγαγόμενος, καὶ τῷ παιδὶ τῷ ἐμῷ περιβέβλημαι τὴν Βριττίαν μνηστήν. ἀλλὰ νῦν, ἐπεὶ ἐγὼ μέν γε τεθνήξεσθαι ὑποτοπάζω αὐτίκα μάλα, εἰμὶ δὲ ἄπαις ἄρσενός τε καὶ θήλεος γόνου, ὅσα γε τὰ ἐκ γυναικὸς τῆσδε, πρὸς δὲ καὶ ὃ παῖς ἀνυμέναιός τε καὶ ἄνυμφος ἔτι νῦν ἐστι, φέρε ὑμῖν ἐπικοινώσωμαι τὴν ἐμὴν διάνοιαν, καὶ εἴ τι ὑμῖν οὐκ ἀξύμφορον δόξειεν εἶναι, ὑμεῖς δὲ αὐτὴν, ἐπειδὰν ἀφίκωμαι τάχιστα ἐς τὸ μέτρον τοῦ βίου, τύχῃ ἀγαθῇ κατακυροῦντες διαπεραίνετε. οἶμαι τοίνυν Οὐάρνοις ξυνοίσειν τὴν κηδείαν ἐς Φράγγους μᾶλλον ἢ ἐς τοὺς νησιώτας ποιεῖσθαι. Βρίττιοι μὲν γὰρ οὐδὲ ὅσον ἐπιμίγνυσθαι ὑμῖν οἷοί τέ εἰσιν, ὅτι μὴ ὀψέ τε καὶ μόλις· Οὔαρνοι δὲ καὶ Φράγγοι τουτὶ μόνον τοῦ Ῥήνου τὸ ὕδωρ μεταξὺ ἔχουσιν, ὥστε καὶ αὐτοὺς ἐν γειτόνων μὲν ὡς πλησιαίτατα ὄντας ἡμῖν, ἐς C

2. καθήμενον Reg. ibid. κρώζουσαν] κράζοντα Reg. 2. 3. 6. τῆς ὄρνιθος] τοῦ ὄρνιθος Reg. 4. μαντευομένης] μαντευομένου Reg. 5. ἡμέραις] ἡμέρας L. 8. βιώσεσθε] Vulgo βιώσησθε. ibid. συνῆλθον L. 9. ἐπαγόμενος L. 11. μὲν γε] μέν γε μὲν L. Scrib. μὲν ἐμὲ. ibid. μάλα] δὴ μάλα L. 12. ἐκ om. L. 14. ἐπικοινώσωμαι] ἐπικοινώσομαι P. ἐπικοινώσωμεν L. ibid. εἴ τι] οὔτοι L. ibid. ἀσύμφορον L. 21. ἡμῖν] ὑμῖν L.

moribus in agro equitans, volucrem quamdam arbori insidentem, et importunius crocitantem vidit. Tum sive cantum alitis intelligeret, sive alius cuiuspiam rei apprime conscius, avis omen sibi cognitum mentiretur, illico dixit astantibus, se quadragesimo post die fato cessurum: id enim sibi avis augurio significari: dein haec subdit. *Equidem providentiam eo contuli, ut in otio tutissimo viveretis: ideoque cum Francis affinitatem contraxi, petita mihi ductaque inde uxore, et filio meo sponsam Brittiam dedi. Iam vero, quando me brevi moriturum intelligo, nec virilem aut femineam prolem ullam suscepi ex ista coniuge, necdum etiam nuptiis alligatus est filius meus; agite, quod impertio vobis consilium, audite, ac si utile iudicabitis, vos, simul ac de vita decessero, feliciter id confirmate atque perficite. Censeo igitur Varnorum rationibus magis conducere Francorum quam insulanorum affinitatem. Commercium enim vobiscum Brittii inire nequeunt, nisi sero ac difficulter: at Varnos inter et Francos nihil nisi fluvius hic Rhenus interest. Quare cum in proximo*

δυνάμεως δὲ κεχωρηκότας μέγα τι χρῆμα ἐν προχείρῳ ἔχειν εὖ ποιεῖν τε ὑμᾶς καὶ λυμαίνεσθαι, ἡνίκα ἂν αὐτοῖς βουλομένοις εἴη. λυμανοῦνται δὲ πάντως, ἢν μὴ τὸ κῆδος αὐτοῖς ἐμπόδιον ἔσται. βαρεῖα γὰρ φύσει τοῖς ἀνθρώποις ὑπερβάλλουσα αὐτοὺς τῶν πλησιοχώρων δύναμις γίνεται καὶ πρὸς ἀδικίαν ἑτοιμοτάτη, ἐπεὶ γείτονι δυνατῷ ῥᾴδιον ἐπὶ τοὺς πέλας οὐδὲν ἀδικοῦντας ἐκπορίζεσθαι πολέμου αἰτίας. ὅτε τοίνυν ταῦτα οὕτως ἔχει, παρείσθω μὲν ὑμῖν τοῦ παιδὸς τοῦδε νησιῶτις μνηστὴ χρήματα πάντα, ὅσα παρ' ἡμῶν κεκομισμένη τούτου δὴ ἕνεκα ἔτυχε, τῆς ὕβρεως ἀπενεγκαμένη μισθὸν, ᾗ νόμος ἀνθρώπων ὁ κοινὸς βούλεται· Ῥαδίγερ δὲ ὁ παῖς ξυνοικιζέσθω τῇ μητρυιᾷ τὸ λοιπὸν τῇ αὐτοῦ, καθάπερ ὁ πάτριος ἡμῖν ἐφίησι νόμος."

P 622 Ὁ μὲν ταῦτα εἰπὼν τῇ τεσσαρακοστῇ ἀπὸ τῆς προρρήσεως ἡμέρᾳ νοσήσας τὴν πεπρωμένην ἀνέπλησεν. ὁ δὲ τοῦ Ἑρμεγίσκλου υἱὸς, Οὐάρνων τὴν βασιλείαν παραλαβὼν, γνώμῃ τῶν ἐν βαρβάροις τοῖσδε λογίμων ἀνδρῶν ἐπιτελῆ ἐποίει τὴν τοῦ τετελευτηκότος βουλὴν καὶ τὸν γάμον αὐτίκα τῇ μνηστῇ ἀπεῖπε καὶ τῇ μητρυιᾷ ξυνοικίζεται. ἐπειδὴ δὲ ταῦτα ἡ τοῦ Ῥαδίγερος μνηστὴ ἔμαθεν, οὐκ ἐνεγκοῦσα τὴν τοῦ πράγματος ξυμφορὰν, τίσασθαι αὐτὸν τῆς ἐς αὐτὴν ὕβρεως ὥρμητο. τίμιον γὰρ οὕτω τοῖς ἐκείνῃ βαρβάροις σωφροσύνη νομίζεται εἶναι ὥστε δὴ μόνου

2. ὑμᾶς L. ἡμᾶς P. 7. ὅτε] ὅτι P. *ibid.* παρείσθω μὲν] παριστῶμεν Hm. παρίστω μὲν L. 11. ῥαδίγις Reg. 14. ἑρμισίσκλου L. 15. Οὐάρνων] οὐράνων L. 16. λογίμων] ἐλλογίμων L. 17. ἀπεικὼν τῇ Reg. 18. Ῥαδίγερος] ῥάβιγος L. ῥαδίγεροδος H. 19. συμφορὰν L. *ibid.* τίσασθαι] τίθεσθαι L a m. pr. 20. ἐς αὐτὴν] ἑαυτῆς H. εἰς αὐτὴν Hm. 21. σωφροσύνην νομίζεσθαι H.

sint, ac plurimum polleant, illis promptum est, bene nobis ac male facere quando volent. Omnino autem infesti erunt, nisi ipsos teneat coniunctio necessitudinis. Nam ita comparata est hominum natura, ut graviter ferant finitimorum potentiam maiorem sua, eaque sit ad iniuriam inferendam paratissima; quippe vicinus opibus valens belli causas facile praebere potest confinibus innocentibus. Quae cum ita sint, insulanae filii mei sponsae remittite nuntium, et quidquid pecuniae a nobis sponsaliorum nomine illa accepit, servare sinite, idque habere sibi ignominiae pretium, prout communis lex hominum iubet. Radiger autem filius novercam suam, quemadmodum nobis lex patria permittit, uxorem ducat.

Haec locutus, quadragesimo post praedictionem die morbo obiit. Hermegiscli filius, regno Varnorum suscepto, de sententia Procerum gentis illius Barbarae, consilium demortui exequitur, ac statim repudiata sponsa, cum noverca connubium init. Quae cum accepisset sponsa Radigeris, non ferens rei indignitatem, ad dedecoris ulciscendi cupiditatem exarsit. Tanti enim pudicitiam faciunt illi Barbari, ut eam pro-

παρ' αὐτοῖς ξυντετυχηκότος ὀνόματος γάμου, μὴ ἐπιγενομένου τοῦ ἔργου, δοκεῖ πεπορνεῦσθαι γυνή. τὰ μὲν οὖν πρῶτα πέμψασα πρὸς αὐτὸν ἐπὶ πρεσβείᾳ τῶν οἱ ἐπιτηδείων τινὰς ἀνεπυνθάνετο ὅτου δὴ ὑβρίσειεν ἐς αὐτὴν ἕνεκα, οὔτε πεπορνευμένην V 218
B
οὔτε τι ἄλλο εἰργασμένην εἰς αὐτὸν ἄχαρι. ἐπεὶ δὲ ἀνύτειν οὐδὲν ταύτῃ ἐδύνατο, τὸ ἀρρενωπὸν ἀνελομένη ἐπὶ τὰ πολέμια ἔργα ἐχώρει. ναῦς οὖν αὐτίκα τετρακοσίας ἀγείρασα, στράτευμά τε αὐταῖς ἐνθεμένη οὐχ ἧσσον ἢ μυριάδων δέκα μαχίμων ἀνδρῶν, αὐτὴ ἐξηγεῖτο ἐπὶ τοὺς Οὐάρνους τῇ στρατιᾷ ταύτῃ. ἐπήγετο δὲ καὶ τῶν ἀδελφῶν τῶν ἑαυτῆς ἕνα, ξυνδιοικησόμενον αὐτῇ τὰ πάροντα, οὐχ ὡς μέντοι τὴν βασιλείαν ἔχειν, ἀλλ' ἔτι ἐν ἰδιώτου τελοῦντα μοίρᾳ. ἄλκιμοι δέ εἰσι πάντων μάλιστα βαρβάρων ὧν ἡμεῖς ἴσμεν οἱ νησιῶται οὗτοι, ἔς τε τὰς ξυμβολὰς πεζοὶ ἴασιν. οὐ γὰρ ὅσον εἰσὶ τοῦ ἱππεύεσθαι ἀμελέτητοι, ἀλλ' οὐδὲ ἵππον ὅ τι ποτέ ἐστιν ἐπίστασθαι σφίσι ξυμβαίνει, ἐπεὶ H 351
ἵππον ἐν ταύτῃ τῇ νήσῳ οὐδ' ὅσα κατ' εἰκόνα τεθέανται. οὐ C
γάρ ποτε τὸ ζῷον τοῦτο ἔν γε Βριττίᾳ γεγονὸς φαίνεται. εἰ δέ ποτε αὐτῶν τισιν ἐπὶ πρεσβείᾳ ἢ ἄλλου του ἕνεκα Ῥωμαίοις ἢ Φράγγοις ἢ ἄλλῳ τῳ ἵππους ἔχοντι ἐπιχωριάσαι ξυμβαίη, ἐντεῦθά τε ἵπποις ὀχεῖσθαι αὐτοῖς ἐπάναγκες εἴη, ἀναθρώσκειν μὲν ἐπ' αὐτοὺς οὐδεμιᾷ μηχανῇ ἔχουσιν, ἕτεροι δὲ αὐτοὺς μετεωρίζοντες ἄνθρωποι ἐπὶ τοὺς ἵππους ἀναβιβάζουσιν, ἀπαλλάσσε-

1. ὀνόματος om. L. 5. εἰς αὐτὸν L. αὐτῷ P. ibid. ἀνύτειν] Vulgo ἀνύττειν. ibid. οὐδὲν ταύτῃ] ταῦτα οὐδαμῶς Reg. 6. ἐπὶ τὰ L. τὰ om. P. 7. στράτευμα L. στρατεύματα P. 9. Οὐάρνους] οὐράνους L. ibid. ἐπήγετο] ὑπήγετο L. 10. ἑαυτῆς] αὐτῆς L. 11. ὡς L. ὃς P. ibid. ἔχειν L. εἶχεν P. ibid. ἀλλ' ἔτι Reg. ἀλλά γε τὸν P. 16. τεθέανται] θεῶνται Reg. 19. ἐπιχωριάσαι] ἐπιχωριάσασθαι L.

stituisse videatur femina, cui solum nomen pacti coniugii, non res ipsa contigerit. Ac primo per quosdam ex familiaribus suis, quos ad ipsum legavit, causam quaesiit, cur foede abdicaretur, quae nec passa stuprum esset, nec sponsum ulla re violasset. Qua via cum nihil proficeret, virilem induens animum, bellum parat. Mox igitur coactis navibus cccc. et in eas impositis bellatorum minimum centum millibus, exercitum hunc duxit ipsa in Varnos, assumpto ad res secum administrandas fratrum suorum uno, non Rege illo, sed privato. Sunt autem insulani isti Barbarorum omnium, quos novimus, fortissimi. Pedibus praeliantur, non solum equitandi rudes, sed ignari etiam quid rei tandem sit equus: cuius ne imaginem quidem in ea insula viderunt. Hoc enim animal in Brittia nunquam conspicitur; ac si quando legationis vel cuiusquam alterius rei gratia cum Romanis aut Francis, aliove quopiam habente equos versentur, et necesse tum habeant equitare, in equos insilire nesciunt,

σθαί τε βουλομένους ἐντεῦθεν αὖθις αἴροντες ἐπὶ τῆς γῆς κατατίθενται. οὐ μὴν οὐδὲ Οὔαρνοι ἱππόται εἰσὶν, ἀλλὰ πεζοὶ καὶ αὐτοὶ ἅπαντες. οὗτοι μὲν οὖν οἱ βάρβαροι τοιοίδε εἰσί. περίεστι δὲ οὐκ ἦν ἐν τούτῳ τῷ στόλῳ, ἀλλὰ αὐτερέται πάντες. οὐδὲ ἱστία τούτοις δὴ τοῖς νησιώταις τυγχάνει ὄντα, ἀλλ' ἐρέσσοντες ἀεὶ ναυτίλλονται μόνον.

b Ἐπειδὴ δὲ κατέπλευσαν ἐς τὴν ἤπειρον, παρθένος μὲν, ἥπερ αὐτῶν ἦρχε, χάρακα ἐχυρὸν πηξαμένη παρ' αὐτὴν μάλιστα τὴν ἐκβολὴν ποταμοῦ Ῥήνου ξὺν ὀλίγοις τισὶν αὐτοῦ ἔμεινε, παντὶ δὲ τῷ ἄλλῳ στρατῷ τὸν ἀδελφὸν ἐπὶ τοὺς πολεμίους ἐξηγεῖσθαι κελεύει. ἐστρατοπεδεύοντο δὲ Οὔαρνοι τότε τῆς τε ὠκεανοῦ ῥόνος καὶ Ῥήνου ἐκβολῆς οὐ πολλῷ ἄποθεν. οὓς δὴ ἀφικομένων κατὰ τάχος Ἀγγίλων ξυνέμιξαν μὲν ἀμφότεροι ἐς χεῖρας ἀλλήλοις, ἡσσῶνται δὲ κατὰ κράτος Οὔαρνοι. καὶ αὐτῶν πίπτουσι μὲν πολλοὶ ἐν τούτῳ τῷ πόνῳ, οἱ λοιποὶ δὲ ξὺν τῷ βασιλεῖ ἐς ὑπαγωγὴν τρέπονται ἅπαντες, οἵ τε Ἀγγίλοι τὴν δίωξιν ἐπ' αὐτοῖς δι' ὀλίγου πεποιημένοι, ἧ θέμις πεζοῖς, εἰς τὸ στρατόπεδον
P 623 ἀπεχώρησαν. οὕσπερ ἐκάκιζεν ἐπανήκοντας ἐς αὐτὴν ἡ παρθένος, τῷ τε ἀδελφῷ ἐλοιδορεῖτο πικρότατα, οὐδὲν τῇ στρατιᾷ λόγου ἄξιον ἰσχυριζομένη πεπρᾶχθαι, ἐπεὶ μὴ ἀγάγοιεν αὐτῇ ζῶντα Ῥαδίγερα. καὶ αὐτῶν ἀπολεξαμένη τοὺς μάλιστα μαχιμωτάτους εὐθὺς ἔστειλεν, ἀπαγγείλασα δορυάλωτον ἀγαγεῖν τὸν ἄνδρα μηχανῇ πάσῃ. οἱ δὲ τὴν αὐτῆς ἐπιτελοῦντες ἐπίταξιν περιήρχοντο

8. χάρακα] χαράκωμα L. 9. ἔμεινε Reg. ἀπέμεινε P. ἔμενε L. 12. ῥόνος] ῥοῦς L. 13. Ἀγγίλων] ἀγγείλων L. 16. αὐτοῖς] αὐτοὺς L. 21. Ῥαδίγερα] ῥάδιγιν L. 22. δορυάλωτον] δορυάλωτον P. 23. ἐπιτελοῦντες] ὑποτελοῦντες L.

sed in eos ab aliis sustolluntur, et cum degredi volunt, iterum sublati reponuntur humi. Itidem Varni non equites sunt; sed pedites omnes. At tales quidem sunt isti Barbari. Remiges erant cuncti in ea classe, nulla servitia nautica. Neque hi velis insulani, sed remis tantum quovis tempore navigant.

Postenquam appulere in continentem, dux virgo ad ipsa Rheni ostia ducto et communito vallo, ibi sese cum paucis tenuit, eamque dedit fratri provinciam, ut caeteras omnes copias in hostem educeret. Tum castra Varni metati erant non procul Oceani littore atque ostiis Rheni: quo cum Angli celeriter pervenissent, conserto proelio, Varni magna vi profligantur, multisque pugnando amissis, reliqui omnes cum Rege fugiunt. Angli non longius, ut ferebat conditio peditum, eos insecuti, in castra se receperunt. Virgo ad se reduces aspere accipit, convitiisque acerbissimis fratrem proscindit, affirmans ab exercitu nihil actum quod esset operae pretium, cum sibi non adduxissent vivum Radigerem. Bellicosissimorum delectu habito, confestim eos mittit, iubetque nihil non

διερευνώμενοι ξύμπαντα ἐς τὸ ἀκριβὲς τὰ ἐκείνῃ χωρία, ἕως ἐν ὕλῃ ἀμφιλαφεῖ κρυπτόμενον Ῥαδίγερα εὗρον· δήσαντές τε αὐτὸν τῇ παιδὶ ἀπεκόμισαν. καὶ ὁ μὲν αὐτῆς ἐν ὀφθαλμοῖς εἱστήκει, τρέμων τε καὶ τεθνήξεσθαι αὐτίκα δὴ μάλα ὑποτοπάζων θανάτῳ B
5 οἰκτίστῳ· ἡ δὲ αὐτὸν ἐκ τοῦ παραδόξου οὔτε ἀπέκτεινεν οὔτε τι ἄλλο ἄχαρι ἔδρασεν, ἀλλὰ καὶ ὀνειδίσασα τὴν ἐς αὐτὴν ὕβριν ἀνεπυνθάνετο τοῦ ἀνθρώπου ὅτου δὴ ἕνεκα ἠλογηκὼς τὰ ξυγκείμενα ἑτέρᾳ γυναικὶ ἐς εὐνὴν ξυνέλθοι, καὶ ταῦτα οὐ πεπορνευμένης αὐτῷ τῆς μνηστῆς. καὶ ὃς τὴν αἰτίαν ἀπολογούμενος τὰς
10 τοῦ πατρὸς ἐντολὰς καὶ τὴν τῶν ἀρχόντων σπουδὴν προὔφερεν, ἱκεσίους τε προὐτείνετο λόγους καὶ λιταῖς ἀνέμισγε τὴν ἀπολογίαν πολλαῖς, ἐς τὴν ἀνάγκην ἀναφέρων τὸ ἔγκλημα. βουλομένῃ τε αὐτῇ ξυνοικισθήσεσθαι ὡμολόγει καὶ τὰ οὐκ ἐν δίκῃ τὸ πρότερόν οἱ αὐτῷ πεπραγμένα τοῖς ἐπιγινομένοις ἰάσασθαι. ἐπεί τε τὴν C
15 παῖδα ταῦτα ἤρεσκε, καὶ τῶν τε δεσμῶν ἀφεῖτο Ῥαδίγερ τῆς τε ἄλλης φιλοφροσύνης ἠξίωτο, ἀποπέμπεται μὲν τὴν Θευδιβέρτου εὐθὺς ἀδελφὴν, τὴν τε Βριττίαν ἐγήματο. ταῦτα μὲν τῇδε κεχώρηκεν.

Ἐν ταύτῃ δὴ τῇ Βριττίᾳ νήσῳ τεῖχος ἐδείμαντο μακρὸν οἱ
20 πάλαι ἄνθρωποι, δίχα τέμνον αὐτῆς πολλήν τινα μοῖραν, ὅτι ἡ γῆ καὶ ὁ ἀὴρ καὶ τἄλλα πάντα οὐχ ὁμοίως ἐφ' ἑκάτερά ἐστι. τὰ

2. Ῥαδίγερα] ῥάδιγιν L. 3. αὐτῆς] αὐτοῖς L. 6. ἀλλὰ καὶ] καὶ om. L. 7. ἠλογηκὼς L. ἠλογικὼς P. 10. ἀρχόντων] ἀρχομένων L. 13. ξυνοικισθήσεσθαι Vat. L. ξυνοικίσεσθαι P. 14. ἐπιγεννησομένοις ἰάσεσθαι L. ibid. τε] δὲ L a m. sec. 15. καὶ om. L. ibid. Ῥαδίγερ] ῥάδιγις L. 16. Θευδεβέρτου L.

movere, ut hominem captum adducant. Illi dicto audientes, regionem sedulo lustrare omnem, donec in denso nemore latentem Radigerem deprehenderunt, vinctumque obtulerunt puellae: ante cuius oculos stetit ille tremens expectatione imminentis mortis miserrimae. At ipsa praeter spem nec supplicio capitali in eum animadvertit, nec durius quidquam statuit; sed factam sibi iniuriam exprobrare satis habens, illum interrogat, quid causae fuerit, cur solutis sponsalibus, feminam alteram toro sociaverit, idque cum sponsa vacaret probro? Ille factum excusans, patris mandatum, Procerumque instantiam causatur; enixe supplicat; ac defensioni obsecrationes plurimas inserit, culpam ascribens necessitati: maritum eius, si modo velit, fore se pollicetur, et priora delicta consequentibus officiis emendaturum. Assensa his puella, exuitur vinclis Radiger, humanissimeque habetur. Mox remissa Theodeberti sorore, Brittiam sibi copulat matrimonio. Hunc res exitum habuit.

In ea insula Brittia murum longum veteres aedificarunt, qui partem eius magnam ab altera dividit; eo quod soli caelique affectiones caeteraque omnia utrobique diversa sint. Etenim plaga, quae a muro ad

μὲν γὰρ τοῦ τείχους πρὸς ἀνίσχοντα ἥλιον εὐεξία τε ἀέρων ἐστὶ
V 219 ξυμμεταβαλλομένη ταῖς ὥραις, θέρους μὲν μετρίως ἀλεεινή, ψυ-
χεινὴ δὲ χειμῶνος. καὶ ἄνθρωποι μὲν πολλοὶ ᾤκηνται κατὰ
D ταὐτὰ βιοτεύοντες τοῖς ἄλλοις ἀνθρώποις, τά τε δένδρα καρποῖς
ἐν ἐπιτηδείῳ γινομένοις ὡραῖον ἀνθεῖ, τά τε λήια τῶν ἄλλων οὐ-
δὲν καταδεέστερον τέθηλεν. ἀλλὰ καὶ ὕδασιν ἡ χώρα ἐναβρυνο-
μένη διαρκῶς φαίνεται. πρὸς δύοντα δὲ πᾶν τοὐναντίον, ὥστε
ἀμέλει ἀνθρώπῳ μὲν οὐδὲ ἡμιώριον δυνατόν ἐστιν ἐνταῦθα βιῶ-
ναι, ἔχις δὲ καὶ ὄφεις ἀναρίθμητοι καὶ ἄλλων θηρίων παντοδα-
πῶν γένη διακεκλήρωται τὸν χῶρον ἐκεῖνον. καὶ, τὸ δὴ παρα-
λογώτατον, οἱ ἐπιχώριοι λέγουσιν ὡς, εἴ τις ἄνθρωπος τὸ τεῖχος
ἀμείψας ἐπὶ θάτερα ἴοι, εὐθυωρὸν θνήσκει, τὸ λοιμῶδες τῶν
ἐκείνῃ ἀέρων ὡς ἥκιστα φέρων, τοῖς τε θηρίοις ἐνθάδε ἰοῦσιν
P 624 ὁ θάνατος εὐθὺς ὑπαντιάζων ἐκδέχεται. ἐνταῦθα δέ μοι γενο-
μένῳ τῆς ἱστορίας ἐπάναγκές ἐστι λόγου μυθολογίᾳ ἐμφερεστά-
του ἐπιμνησθῆναι, ὃς δή μοι οὔτε πιστὸς τὸ παράπαν ἔδοξεν εἶ-
ναι, καίπερ ἀεὶ πρὸς ἀνδρῶν ἐκφερόμενος ἀναρίθμων, οἳ δὴ τῶν
μὲν πρασσομένων αὐτουργοί, τῶν δὲ λόγων αὐτήκοοι ἰσχυρίζοντο
γεγονέναι, οὔτε παριτέος παντάπασιν, ὡς μὴ τά γε ἀμφὶ Βριτ-

2. συμμετα— L. *ibid.* φύχεινεμῶνος L. φυχρὰ δὲ χειμῶνος Scaliger. 3. πολλοὶ ᾤκηνται] πολυάρηνται L. 4. βιοτεύοντες H: βιοτεύοντες Hm. *ibid.* τά τε] καὶ τά τε L. 8. ἀνθρώπῳ μὲν L. μὲν ἀνθρώπῳ P. 9. δὲ καὶ] ἐπεὶ καὶ H. *ibid.* ἀναρίθμητοι] ἀνάριθμοι Reg. *ibid.* παντοδαπὰ L. 12. ἴοι] ἦει L. 16. πιστὸς Reg. ἐπὶ P. *ibid.* ἔδοξεν Reg. ἀληθὴς ἔδοξεν P. 19. παριτέος Reg. παριτέον P. παραιτητέος H.

solem orientem porrigitur, caeli salubritate iustis anni vicibus inducta gaudet: aestate, temperate calida est; hieme, frigida: abundat incolis, qui vitam itidem ut caeteri mortales agunt. Arbores fructibus in tempore nascentibus praeclare nitent, et laetae segetes aeque ut alibi veniunt: aquarum etiam ubertate ea regio gloriatur. Ad Occidentem vero contrarium plane accidit; ita ut homini ne semihoram quidem ibi vivere liceat. Tractum illum viperae serpentesque innumerabiles, ac ferae venenatae cuiusque generis obtinent: et, quod a communi sensu remotissimum est, perhibent indigenae, si homo quispiam superato muro illoc transeat, eodem temporis puncto expirare, oppressum aura pestilenti. Animantes quoque eo transgredientes illico mors obvia excipit. Et quando in hanc historiae partem delapsus sum, rem simillimam fabulae commemorare necesse est: quam nec veram omnino iudico, quamvis ab innumeris prodatur viris, qui se in eorum quae fierent partem venisse, et quae dicerentur audisse asseverant; nec prorsus praetermittendam

τίᾳ τῇ νήσῳ ἀναγραφόμενος ἀγνοίας τινὸς τῶν τῇδε ξυμβαινόντων διηνεκῶς ἀπενέγκαιμι δόξαν.

Λέγουσιν οὖν τὰς τῶν ἀποβιούντων ἀνθρώπων ψυχὰς ἐς H 352
τοῦτο ἀεὶ διακομίζεσθαι τὸ χωρίον. ὅντινα δὲ τρόπον, αὐτίκα
δηλώσω, σπουδαιότατα μὲν ἀπαγγελλόντων ἀκηκοὼς πολλάκις B
τῶν τῇδε ἀνθρώπων, ἐς ὀνειρώδη δέ τινα δύναμιν ἀποκεκρίσθαι νενομικὼς τὰ θρυλούμενα. παρὰ τὴν ἀκτὴν τῆς κατὰ τὴν Βριττίαν τοῦ ὠκεανοῦ νήσου κώμας παμπληθεῖς ξυμβαίνει εἶναι. οἰκοῦσι δὲ αὐτὰς ἄνθρωποι σαγηνεύοντές τε καὶ γῆν γεωργοῦντες καὶ ἐπ' ἐμπορίαν ναυτιλλόμενοι ἐς τήνδε τὴν νῆσον, τὰ μὲν ἄλλα Φράγγων κατήκοοι ὄντες, φόρου μέντοι ἀπαγωγὴν οὐδεπώποτε παρασχόμενοι, ὑφειμένου αὐτοῖς ἐκ παλαιοῦ τοῦδε τοῦ ἄχθους, ὑπουργίας τινὸς, ὥς φασιν, ἕνεκα, ἥ μοι ἐν τῷ παρόντι λελέξεται. λέγουσιν οἱ ταύτῃ ἄνθρωποι ἐκ περιτροπῆς ἐπικεῖσθαι τὰς τῶν ψυχῶν παραπομπὰς σφίσιν. ὅσους οὖν τῇ ἐπιγενησομένῃ νυκτὶ C
ἐς τὸ ἐπιτήδευμα τοῦτο τῇ τῆς ὑπουργίας διαδοχῇ ἰτέον ἐστὶν, οὗτοι δὴ ἐπειδὰν τάχιστα ξυσκοτάζῃ, ἐς τὰς οἰκίας τὰς αὐτῶν ἀναχωροῦντες καθεύδουσι, προσδεχόμενοι τὸν ξυναγωγέα τοῦ πράγματος. ὡρὶ δὲ νύκτωρ τῶν μὲν θυρῶν σφίσιν ἀρυσσομένων αἰσθάνονται, φωνῆς δέ τινος ἀφανοῦς ἐπαΐουσιν ἐπὶ τὸ ἔργον αὐτοὺς ξυγκαλούσης. αὐτοί τε ὀκνήσει οὐδεμιᾷ ἐκ τῶν στρω-

1. ἀγνοίας] ἀγνοίαν L. 2. ἀπενέγκαιμι] ἀπενέγκωμαι H. 3. Λέγουσιν] Hanc narrationem excerpsit Tzets. ad Lycophr. 1204. 6. ὀνειρώδη] ὀνείρων δὴ Reg. P. θρυλούμενα] θρυλλούμενα P. ibid. ἀκτὴν τοῦ κατὰ τὴν βριττίαν ὠκεανοῦ L. 8. νῆσον Hm. νῆσον P. 10. ἐμπορίαν] ἐμπορία L. 11. οὐδεπώποτε] οὔτε πώποτε P. οὐ πώποτε L. 17. ξυσκοτάζῃ] ξυσκοτάζει P. ξυσκοτάζῃ L corr. 18. συναγωγέα L. 19. νύκτωρ] τῶν νυκτῶν L. 20. ἀφανοῦς] διαφανῶς Reg.

reor; ne in rebus insulae Brittiae describendis, earum aliquam ignorasse videar.

Ferunt igitur mortuorum hominum animas eo loci deportari consuevisse: quod quo modo fiat, mox declarabo, prout saepe ipse audivi ab illarum partium incolis ea valde serio referentibus; quae vulgo licet iactata, in facultatem aliquam somnificam refundenda existimo. Littus regionis, quae Brittiae Oceani insulae respondet, plurimi praetexerunt vici; in quibus habitant piscatores, agricolae, et alii, qui in eam insulam commercii gratia navigant, Francorum quidem Regibus caetera subditi, at semper vacui tributo; hoc onere levati iam inde olim, cuiusdam, ut aiunt, ministerii gratia, de quo nunc dicam. Narrant indigenae, se id habere munus, ut in orbem sua quisque vice deducat animas. Quare, qui ad id praestandum sequenti nocte se conferre debent, officii vice sibi tradita, ii primis tenebris in suas reversi aedes, dant se somno, rei praesidem expectantes. Intempesta nocte pulsari fores, se-

μάτων ἐξανιστάμενοι ἐπὶ τὴν ἠόνα βαδίζουσιν, οὐ ξυνιέντες μὲν ὁποία ποτὲ ἀνάγκη αὐτοὺς ἐς τοῦτο ἐνάγει, ἀλλ' ὅμως ἀναγκαζόμενοι. ἐνταῦθα δὲ ἀκάτους παρεσκευασμένας ὁρῶσιν ἐρήμους τὸ παράπαν ἀνθρώπων, οὐ τὰς σφετέρας μέντοι, ἀλλ' ἑτέρας
D τινὰς, ἐς ἃς δὴ ἐσβάντες τῶν κωπῶν ἅπτονται. καὶ τῶν βάρεων αἰσθάνονται ἀχθομένων μὲν ἐπιβατῶν πλήθει, ἄχρι δὲ ἐς σανίδος τε ἄκρας καὶ τῶν κωπῶν τὴν χώραν τῷ ῥοθίῳ βεβαπτισμένων, ἀποδεουσῶν τε τοῦ ὕδατος ὅσον οὐδὲ δάκτυλον ἕνα, αὐτοὶ μέντοι οὐδένα θεῶνται, ἀλλὰ καὶ μίαν ἐρέσσοντες ὥραν ἐς τὴν Βριττίαν καταίρουσι. καίτοι ταῖς ἀκάτοις ἡνίκα ταῖς αὐτῶν ἰδίαις ναυτίλλονται, οὐχ ἱστίοις χρώμενοι, ἀλλ' ἐρέσσοντες ἐς νύκτα τε καὶ ἡμέραν, μόλις ἐνταῦθα διαπορθμεύονται· ἐς τὴν νῆσον δὲ καταπλεύσαντες ἀποφορτιζόμενοι ἀπαλλάσσονται αὐτίκα δὴ μάλα, τῶν βάρεων σφίσι κούφων τε γινομένων ἐκ τοῦ αἰφνιδίου κἀκ τοῦ ῥοθίου ἐπαιρομένων ἔν τε τῷ ὕδατι καταδυομένων οὐδέν τι ἄλλο, πλήν γε ὅσα ἐς τὴν τρόπιν αὐτήν. καὶ αὐτοὶ μὲν ἀνθρώπων οὐδένα ὁρῶσιν οὔτε ξυμπλέοντα οὔτε ἀπαλλασσόμενον
P 625 τῆς νηὸς, φωνῆς δὲ ἀκούειν τινὸς ἐνθένδε φασὶ τοῖς ὑποδεχομένοις ἀπαγγέλλειν δοκούσης πρὸς ὄνομα τῶν ξυμπεπλευκότων αὐτοῖς ἕκαστον, τά τε ἀξιώματα ἐπιλεγούσης οἷς πρώην ἐχρῶντο καὶ πατρόθεν αὐτοὺς ἀνακαλούσης. ἦν δὲ καὶ γυναῖκες ξυνδιαπορθμευσάμεναι αὐτοῖς τύχωσι, τῶν ἀνδρῶν ἀποστοματίζουσι τὰ ὀνόματα οἷσπερ ξυνοικοῦσαι ἐβίων. ταῦτα μὲν οὖν οἱ τῇδε

1. ἠόνα] ἠϊόνα P. 5. καὶ τῶν] τῶν om. L. 7. σανίδος] σανίδας L. ibid. τῷ ῥοθίῳ L. Aberat τῷ. 19. συμπ— L. 20. οἷς] ἧς L.

que ad opus obscura voce acciri audiunt. Abiecta omni cunctatione corripiunt sese e stratis, et ad littus vadunt, ignari quidem qua tandem ad id vi impellantur, sed tamen coacti. Paratas ibi scaphas vident, hominibus penitus vacuas, non suas, verum alias quasdam: quibus conscensis, apprehendunt remos, et naves sentiunt vectoribus tot onustas, ut ad summam usque tabulam et columbaria immersae, supra aquam vix digito extent. Neminem ipsi conspiciunt, neque hora plus remigando appellunt in Brittiam: quamvis, cum navigiis vehuntur suis, nec velis utuntur, sed remis, vix eo traiiciant noctis unius ac diei spatio. Delati in insulam, simul factam exscensionem intelligunt, discedunt, exoneratis repente navibus, itaque emersis, ut in aquam nonnisi carina tenus depressae sint. Nullum hominem vident, nec navigantem secum, nec navi egredientem: solum asserunt audire se inde vocem, quae vectorum singulorum nomina tradere excipientibus, et diguitates pristinas recensere, patrisque addito nomine ipsos compellare videatur. Si quae feminae una transfretaverint, viros, quibuscum matrimonio iunctae vixerint, no-

ἄνθρωποι ξυμβαίνειν φασίν. ἐγὼ δὲ ἐπὶ τὸν πρότερον λόγον ἐπάνειμι.

κα'. Οὕτω μὲν οὖν τὰ κατὰ τοὺς πολεμίους ἐν χώρᾳ ἑκάστῃ ξυνηνέχθη γενέσθαι. ὁ δὲ Γοτθικὸς πόλεμος ἐφέρετο ὧδε. Βελισάριον μὲν ἐς Βυζάντιον μεταπεμψάμενος βασιλεὺς, ἥπερ μοι ἐν τοῖς ἔμπροσθεν λόγοις ἐρρήθη, διὰ τιμῆς ἦγε, καὶ οὐδὲ Γερμανοῦ τετελευτηκότος πέμπειν αὐτὸν διενοεῖτο ἐς τὴν Ἰταλίαν, ἀλλὰ καὶ στρατηγὸν τῆς ἑῴας ὄντα, τῶν βασιλικῶν σωματοφυλάκων ἄρχοντα καταστησάμενος, αὐτοῦ κατεῖχεν. ἦν δὲ τῷ ἀξιώματι πρῶτος ὁ Βελισάριος Ῥωμαίων ἁπάντων, καίτοι τινὲς αὐτῶν πρότεροι ἀνάγραπτοί τε ἐς πατρικίους γεγόνασι καὶ ἐς αὐτὸν ἀναβαβήκεσαν τῶν ὑπάτων τὸν δίφρον. ἀλλὰ καὶ ὡς αὐτῷ τῶν πρωτείων ἐξίσταντο πάντες, αἰσχυνόμενοι κατὰ τῆς ἀρετῆς τῷ νόμῳ χρῆσθαι καὶ τὸ ἀπ' αὐτοῦ δικαίωμα περιβάλλεσθαι, ταῦτά τε βασιλέα κομιδῇ ἤρεσκεν. Ἰωάννης δὲ ὁ Βιταλιανοῦ διεχείμαζεν ἐν Σάλωσι. προσδεχόμενοί τε αὐτὸν ἐν Ἰταλίᾳ τοῦτον δὴ τὸν χρόνον οἱ τοῦ Ῥωμαίων στρατοῦ ἄρχοντες ἄπρακτοι ἦσαν. καὶ ὁ χειμὼν ἔληγε, καὶ τὸ ἑκκαιδέκατον ἔτος ἐτελεύτα τῷ πολέμῳ τῷδε, ὃν Προκόπιος ξυνέγραψε.

Τῷ δὲ ἐπιγενομένῳ ἔτει Ἰωάννης μὲν διενοεῖτο ἐκ Σαλώνων τε ἐξανίστασθαι καὶ τῷ στρατῷ ἐξηγεῖσθαι ὅτι τάχιστα ἐπὶ Τω-

3. Οὕτω] τὰ L. ibid. τὰ om. L. 5. μεταπεμψάμενος] παραπεμψάμενος H. 7. ἐς τὴν Ἰτ. διενοεῖτο L. 11. αὐτῶν] αὐτοὶ L. 18. ἑκαιδέκατον] ἑπτακαιδέκατον Reg. 19. τῷ πολέμῳ om. L. 20. ἔτει] ἐνιαυτῷ Reg. 21. Τωτίλαν] τοντίλαν L.

minatim inclamant. Haec ibi indigenae fieri produnt: ego vero ad res libri proxime superioris revertor.

21. Is quidem erat in regionibus singulis, quas recensui, rei bellicae status: bellum vero Gotthicum sic procedebat. Cum, ut antea dixi, Belisarium Imperator Byzantium revocasset, eum habuit honorifice; haud tamen statuit in Italiam mittere post obitum Germani; sed ipsum, iam Magistrum militum Orientis, corporis custodibus sui praeposuit, tenuitque apud se. Dignitate praestabat Romanis omnibus Belisarius; etsi inter eos non deerant, qui ante ipsum ascripti fuissent Patriciis, et ad sellam Consularem evecti. Nihilominus primas illi concedebant omnes, prohibiti virtutis reverentia, quo minus legis beneficio uterentur, suumque ius retinerent: id quod valde Imperatori placebat. Ioannes autem, Vitaliani ex sorore nepos, Salonis hiemabat: cuius expectatione hoc anno suspensi in Italia exercitus Romani Duces, cessarunt. Porro hiemis exitus annum clausit decimum sextum huius belli, cuius historiam Procopius scripsit.

Anno sequenti, cum esset Ioannis consilium Salonis movere, et sine mora adversus Totilam Gotthosque educere copias, vetuit Impera-

τίλαν τε καὶ Γότθους. βασιλεὺς δὲ αὐτὸν διεκώλυεν, αὐτοῦ τε μένειν ἐπέστελλεν, ἕως Ναρσῆς ὁ εὐνοῦχος ἀφίκηται. αὐτὸν γὰρ τοῦδε αὐτοκράτορα καταστήσασθαι τοῦ πολέμου ἐβούλευσεν. ὅτου δὲ δὴ ἕνεκα ταῦτα βουλομένῳ βασιλεῖ εἴη διαρρήδην μὲν τῶν πάντων οὐδενὶ φανερὸν γέγονε· βασιλέως γὰρ βούλευμα ἔκπυστον ὅτι μὴ αὐτοῦ ἐθελουσίου ἀμήχανά ἐστι γενέσθαι· ἃ
H 353 δὲ ὑποπτεύοντες ἄνθρωποι ἔλεγον, ἐγὼ δηλώσω. ἔννοια Ἰου-
P 626 στινιανῷ βασιλεῖ γέγονεν ὡς οἱ ἄλλοι τοῦ Ῥωμαίων στρατοῦ ἄρχοντες Ἰωάννῃ ὑπακούειν ὡς ἥκιστα ἐθελήσουσιν, οὐκ ἀξιοῦντες καταδεέστερόν τι αὐτοῖς τὸ ἀξίωμα εἶναι. καὶ ἀπ' αὐτοῦ ἔδεισε μὴ διχοστατοῦντες τῇ γνώμῃ ἢ ἐθελοκακοῦντες τῷ φθόνῳ ξυγχέωσι τὰ πρασσόμενα. ἤκουσα δέ ποτε καὶ τόνδε τὸν λόγον ἀπαγγέλλοντος Ῥωμαίου ἀνδρὸς, ἡνίκα ἐπὶ Ῥώμης διατριβὴν εἶχον· ἦν δὲ οὗτος ἀνὴρ τῶν ἀπὸ τῆς ξυγκλήτου βουλῆς. ἔλεγεν οὖν ὁ Ῥωμαῖος οὗτος ὡς ἄρχοι μὲν Ἰταλίας ποτὲ Ἀταλάριχος ὁ Θευδερίχου θυγατριδοῦς, βοῶν δέ τις ἀγέλη ἐς Ῥώμην ὑπὸ
B τοῦτον τὸν χρόνον ἀμφὶ δεῖλην ὀψίαν ἐξ ἀγροῦ ἥκει διὰ τῆς ἀγορᾶς, ἣν φόρον Εἰρήνης καλοῦσι Ῥωμαῖοι. ἐνταῦθα γάρ πη ὁ τῆς Εἰρήνης νεὼς κεραυνόβλητος γενόμενος ἐκ παλαιοῦ κεῖται. ἔστι δέ τις ἀρχαία πρὸ ταύτης δὴ τῆς ἀγορᾶς κρήνη, καὶ βοῦς ἐπὶ ταύτης χαλκοῦς ἕστηκε, Φειδίου, οἶμαι, τοῦ Ἀθηναίου ἢ Λυσίππου ἔργον. ἀγάλματα γὰρ ἐν χώρῳ τούτῳ πολλὰ τούτοιν

9. ἰωάννῃ ὑπακούειν Reg. ἰωάννου ἐπακούειν P. 10. αὐτοῖς] αὐτοῦ Reg. 12. ποτε om. L. 14. συγκλήτου L. 15. ἄρχοι] ἄρχειν H. 16. τις ἀγέλη] τινὰ ἀγέλην Reg. 17. ἥκει] ἦκεν Reg. 22. γὰρ ἐν]· δ' ἐν H.

tor, iussitque Narsetis Eunuchi adventum ibi expectare, in animo habens hunc bello praeficere: quae cur ipsi constituta sic fuerint, nemo liquido novit. Nam Imperatoris consilium emanare nequit in vulgus, nisi ipsi velit. Vulgares tantum suspiciones hic referam. Videbat, aiunt, Iustinianus Augustus Ioannis imperium detrectaturos exercitus Romani caeteros Duces, honore illi cedere recusantes. Propterea verebatur, ne vel in studia scissi contraria, vel per invidiam remissius agentes, omnia miscerent. Istud etiam aliquando, cum Romae degerem, a Senatore Romano accepi. Narrabat, regnante in Italia Atalarico, qui matrem habuit filiam Theoderici, die quodam, vesperi, armentum boum ex agro Romam abductum, transisse per forum Pacis, sic a Romanis dictum, quod in eo sit Pacis templum, olim de caelo tactum. Pro foro illo vetus quidam est fons, cui bos aeneus insistit, Phidiae, credo, Atheniensis vel Lysippi opus. Nam factae utriusque manu statuae visuntur multae eo loci: ubi et alterum Phidiae opus extat, testante au-

δὴ τοῖν ἀνδροῖν ποιήματά ἐστιν. οὗ δὴ καὶ Φειδίου ἔργον ἕτερον· τοῦτο γὰρ λέγει τὰ ἐν τῷ ἀγάλματι γράμματα. ἐνταῦθα καὶ τὸ τοῦ Μύρωνος βοίδιον. ἐπιμελὲς γὰρ ἐγεγόνει τοῖς πάλαι Ῥωμαίοις τῆς Ἑλλάδος τὰ κάλλιστα πάντα ἐγκαλλωπίσματα Ῥώμης ποιήσασθαι. ἕνα δὲ ταῦρον ἔφη τῶν τηνικάδε παριοντων εὐνοῦχον τῆς τε ἀγέλης ἀπολειπόμενον καὶ ταύτης δὴ τῆς κρήνης C ἐπιβατεύσαντα καθύπερθε βοὸς τοῦ χαλκοῦ στῆναι. τύχῃ δέ τινι παριόντα τινὰ, Τοῦσκον γένος, κομιδῇ ἄγροικον δόξαντα εἶναι, ξυμβάλλοντα τὸ ποιούμενον φάναι (εἰσὶ γὰρ μαντικοὶ καὶ ἐς ἐμὲ Τοῦσκοι) ὡς εὐνοῦχός ποτε καταλύσει τὸν ἄρχοντα Ῥώμης. καὶ τηνικαῦτα μὲν ὅ τε Τοῦσκος ἐκεῖνος καὶ ὁ παρ' αὐτοῦ λόγος γέλωτα ὤφλε. πρὸ γὰρ τῆς πείρας ἀεὶ ἄνθρωποι τὰς προρρήσεις φιλοῦσι χλευάζειν, οὐκ ἀναχαιτίζοντος αὐτοὺς τοῦ ἐλέγχου, τῷ μήτε ἀποβεβηκέναι τὰ πράγματα μήτε τὸν περὶ αὐτῶν λόγον V 221 εἶναι πιστὸν, ἀλλὰ μύθῳ τινὶ γελοιώδει ἐμφερῆ φαίνεσθαι. νῦν δὲ δὴ ἅπαντες τὸ ξύμβολον τοῦτο τοῖς ἀποβεβηκόσιν ὑποχωροῦντες θαυμάζουσι. καὶ διὰ τοῦτο ἴσως ἐπὶ Τωτίλαν ἐστρατήγει D Ναρσῆς, ἢ στοχαζομένης τοῦ ἐσομένου τῆς βασιλέως γνώμης, ἢ πρυτανευούσης τὸ θέον τῆς τύχης. ὁ μὲν οὖν Ναρσῆς στρατεύματά τε λόγου ἄξιον καὶ χρήματα μεγάλα πρὸς βασιλέως κεκομισμένος ἐστέλλετο. ἐπειδὴ δὲ ξὺν τοῖς ἑπομένοις ἐν μέσῃ Θρᾴκῃ ἐγένετο, χρόνον τινὰ ἐν Φιλιππουπόλει ἀποκεκλεισμένος τῆς ὁδοῦ

1. ποιήματα] πεποιημένον H. ibid. ἔργον ἕτερον] ἑτέρων ἔργων L. 3. βοίδιον] βοΐδιον P. 6. εὐνοῦχον] εὐνούχων Vat. 7. καθύπερθεν L. 9. καὶ ἐς ἐμὲ] οἶμαι H. 11. τηνικαῦτα] τηνικάδε Reg. 13. αὐτοὺς] αὐτοῖς H. 14. αὐτῶν] αὐτοῦ H. 15. μύθῳ] μύθων Hm. 16. δὲ δὴ] δὲ om. L. 17. τοτίλαν L. 22. φιλίππου πόλει L.

ctorem inscriptione statuae: ibidem est Myronis bucula. Nimirum prisci Romani id diligenter curarunt, ut excellentissima quaeque ornamenta Graeciae Roma possideret. Addebat Senator ille, taurum castratum, qui unus erat ex numero tunc praetereuntium, relicto armento, inscensoque fonte, supra bovem stetisse aeneum: illac forte praeteriisse quemdam, natione Tuscum, et specie valde agrestem: mox rem coniectando (ut sunt Tusci etiamnum dediti divinationibus) dixisse, tempus fore, cum Eunuchus Romae dominum profligaret. Tum quidem de Tusco illo eiusque verbis risus hominum fuit, qui praedictiones ante eventa vulgo solent explodere, contrario nullo argumento revicti, eo quod res nondum evenerit, nec sermo fide dignus, sed ridiculae fabulae similis esse videatur. Hodie vero omen illud mirantur omnes, exitu convicti. Atque ideo forte Narseti bellum in Totilam datum est; sive futurum Imperator coniectura colligeret, sive fortuna quod erat opus facto decerneret. Ergo Narses, cum et florentem exercitum, et multam pecuniam ab Augusto accepisset, profectus est. In mediam Thraciam

ἔμεινε. στράτευμα γὰρ Οὐννικὸν ἐπισκῆψαν τῇ Ῥωμαίων ἀρχῇ ἅπαντα ἠγόν τε καὶ ἔφερον, οὐδενὸς σφίσιν ἀντιστατοῦντος. ἐπειδὴ δὲ αὐτῶν οἱ μέν τινες ἐπὶ Θεσσαλονίκην, οἱ δὲ τὴν ἐπὶ τὸ Βυζάντιον ἦσαν, μόλις ἐνθένδε ἀπαλλαγεὶς ἐπίπροσθεν ᾔει.

P 627 κβ'. Ἐν ᾧ δὲ ὁ μὲν Ἰωάννης ἐπὶ Σαλώνων Ναρσῆν ἔμενε, Ναρσῆς δὲ Οὔννων τῇ ἐφόδῳ ξυμποδιζόμενος σχολαίτερον ᾔει, ἐν τούτῳ ὁ Τωτίλας προσδεχόμενος τὴν Ναρσοῦ στρατιὰν ἐποίει τάδε. ἄλλους τε Ῥωμαίους καὶ τινας τῶν ἀπὸ τῆς ξυγκλήτου βουλῆς ἐν Ῥώμῃ καθίστη, τοὺς λοιποὺς ἐπὶ Καμπανίας ἐάσας. καὶ αὐτοὺς ἐκέλευεν ὅση δύναμις ἐπιμελεῖσθαι τῆς πόλεως, ἐνδεικνύμενος ὅτι δὴ αὐτῷ μεταμέλει τῶν οἳ ἐς Ῥώμην εἰργασμένων τὰ πρότερα, ἐπεὶ ἐμπρήσας αὐτῆς πολλὰ ἔτυχεν, ἄλλως τε καὶ ὑπὲρ Τίβεριν ποταμόν. οἱ δὲ καθεστῶτες ἐν αἰχμαλώτων

B λόγῳ καὶ περιῤῥημένοι χρήματα πάντα, μὴ ὅτι τῶν κοινῶν, ἀλλ' οὐδὲ τῶν ἰδίᾳ σφίσι προσηκόντων μεταποιεῖσθαι δυνατοὶ ἦσαν. καίτοι ἀνθρώπων μάλιστα πάντων ὧν ἡμεῖς ἴσμεν φιλοπόλιδες Ῥωμαῖοι τυγχάνουσιν ὄντες, περιστέλλειν τε τὰ πάτρια πάντα καὶ διασώζεσθαι ἐν σπουδῇ ἔχουσιν, ὅπως δὴ μηδὲν ἀφανίζηται Ῥώμῃ τοῦ παλαιοῦ κόσμου. οἵ γε καὶ πολύν τινα βεβαρβαρωμένοι αἰῶνα τάς τε πόλεως διεσώσαντο οἰκοδομίας καὶ τῶν ἐγκαλλωπισμάτων τὰ πλεῖστα, ὅσα οἷόν τε ἦν, χρόνῳ τε τοσοῦ-

2. ἠγέ τε καὶ ἔφερε Reg. 6. συμποδιζόμενος L. 7. τοντίλας L. 8. συγκλήτου L. 9. καθίστη] καθίστησι Reg. 11. τῶν οἱ] οἱ om. L. 13. καὶ οἱ ὑπὲρ L. *ibid.* οἱ δὲ om. L. 15. δυνατοὶ ἦσαν μεταποιεῖσθαι L. 17. πάντα] πάντη L. 19. κόσμου τοῦ παλαιοῦ φώμῃ L. *ibid.* οἵ γε καὶ — ταύτῃ ἔχει (628 c) om. L.

cum sole progressus, aliquandiu Philippopoli substitit, intercluso itinere turmis Hunnorum, qui facta in Romanum Imperium irruptione, agebant ferebantque omnia, nemine repugnante. At ubi partim Thessalonicam, partim Byzantium discesserunt, aegre illinc expeditus, porro perrexit.

22. Dum Ioannes Narsetem opperitur Salonis, et Narses, Hunnorum grassatione impeditus, lentius iter facit; interea haec agit Totilas, copias Narsetis expectans. Cum Romanos alios, tum Senatores nonnullos Romam revocat, relictis caeteris in Campania, atque urbem pro virili parte curare iubet, prae se ferens poenitentiam violatae tum Romae, cum eius partem non exiguam, praesertim trans fluvium Tiberim, flamma delevisset. Illi mancipiorum loco rituque habiti, et fortunis exuti omnibus, nullam rei nec publicae, nec privatae partem recuperare poterant: tametsi supra omnes, quos equidem novimus, urbis studiosi suae Romani, res omnes patrias retinere et conservare satagunt, ne quid antiqui decoris Romae depereat. Et quamvis diu dominationem Barbaricam passi sint, urbis tamen aedificia servarunt, et quamplurima, quoad eius

τῳ τὸ μῆκος καὶ τῷ ἀτημελεῖσθαι δι' ἀρετὴν τῶν πεποιημένων
ἀντέχει. ἔτι μέντοι καὶ ὅσα μνημεῖα τοῦ γένους ἐλέλειπτο ἔτι, C
ἐν τοῖς καὶ ἡ ναῦς Αἰνείου, τοῦ τῆς πόλεως οἰκιστοῦ, καὶ εἰς
τόδε κεῖται, θέαμα παντελῶς ἄπιστον. νεώσοικον γὰρ ποιησά-
μενοι ἐν μέσῃ τῇ πόλει, παρὰ τὴν τοῦ Τιβέριδος ὄχθην, ἐν-
ταῦθά τε αὐτὴν καταθέμενοι, ἐξ ἐκείνου τηροῦσιν. ἥπερ ὁποία
ποτέ ἐστιν αὐτὸς θεασάμενος ἐρῶν ἔρχομαι. μονήρης δὲ ἡ ναῦς
ἥδε καὶ περιμήκης ἄγαν τυγχάνει οὖσα, μῆκος μὲν ποδῶν εἴκοσι H 364
καὶ ἑκατόν, εὖρος δὲ πέντε καὶ εἴκοσι, τὸ δέ γε ὕψος τοσαύτη
ἐστὶν ὅσον αὐτὴν ἐρίσσεσθαι μὴ ἀδύνατα εἶναι. ξύλων δὲ κόλ- D
λημα οὐδὲ ἓν τὸ παράπαν ἐνταῦθά ἐστιν οὐδὲ σιδήρων ἄλλῃ τινὶ
μηχανῇ τὰ ξύλα τοῦ πλοίου εἰς ἄλληλά πῃ ἐρήρεισται, ἀλλὰ μο-
νοειδῆ ξύμπαντά ἐστι λόγου τε καὶ ἀκοῆς κρείσσω καὶ μόνῳ γε-
γονότα, ὅσα γε ἡμᾶς εἰδέναι, ἐν τῷδε τῷ πλοίῳ. ἥ τε γὰρ τρό-
πις μονοφυὴς οὖσα ἐκ πρύμνης ἄκρας ἄχρι ἐς τὴν πρῷραν διήκει,
κατὰ βραχὺ μὲν θαυμασίως ἐπὶ τὸ κοῖλον ὑποχωροῦσα, καὶ αὖ
πάλιν ἐνθένδε κατὰ λόγον εὖ μάλα ἐπὶ τὸ ὀρθόν τε καὶ διατετα- P 628
μένον ἐπανιοῦσα. τά τε παχέα ξύμπαντα ξύλα ἐς τὴν τρόπιν
ἐναρμοσθέντα (ἅπερ οἱ μὲν ποιηταὶ δρυόχους καλοῦσιν, ἕτεροι
δὲ νομέας) ἐκ τοίχου μὲν ἕκαστον θατέρου ἄχρι ἐς τῆς νεὼς διή-
κει τὸν ἕτερον τοῖχον. ὑφιζάνοντα δὲ καὶ αὐτὰ ἐξ ἑκατέρας
ἄκρας καμπὴν ποιεῖται διαφερόντως εὐπρόσωπον, ὅπως ἂν τὴν V 222

14. τρόπις] τροπὶς P, et infra τροπίν. 15. πρῷραν] πράραν P.
19. δρυόχους Maltretus. Libri διόχους.

fieri potuit, ornamenta: quibus eam firmitatem industria artificum dedit, ut nec tanta aevi longinquitate, nec curae intermissione detrita fuerint. Immo vero stant adhuc, relicta posteris monumenta, quibus gentis origo proditur. In his navis Aeneae, conditoris urbis, etiamnum extat; opinione omnino maius spectaculum. Eam habet navale media in urbe ad Tiberis ripam constructum: iam quae sit ipsius forma, ego testis oculatus exponam. Agebatur uno remorum ordine navis illa, sane ingens: pedes longa centum viginti, lata viginti quinque, alta eatenus, ut remis impelli possit. Lignis constat, quorum nullum coagmentatum est e duobus, nec partibus inter se ferro nexis compactum: at sunt omnia simplicia; quod cum famam, tum audientium opinionem excedit, neque alibi, quod equidem sciam, quam in hoc navigio visitur. Carina, unius truncus arboris, ab extrema puppi ad proram usque pertinet, molli flexu alveum mirifice subiens, et inde rursus aptissime subrigens sese ad pluteum. Costae vero omnes, seu ligna crassiora carinae inserta, quae Poëtae Graeci δρυόχους, caeteri νομεῖς appellant, eiusmodi sunt, ut singulae ab uno navis latere pervadant ad alterum: et ipsae ab utroque margine subsidentes, concinnam admodum curvaturam efficiunt, pro ambitu quem habet alveus navis: sive natura ad id quod erat opus suam

νῆα κοίλην ἀποστερνοῦσθαι ξυμβαίη, εἴτε τῆς φύσεως κατὰ τὴν τῆς χρείας ἀνάγκην τά τε ξύλα διακοψάσης καὶ ξυναρμοσαμένης τὰ πρότερα τὸ κύρτωμα τοῦτο εἴτε χειροποιήτῳ τέχνῃ τε καὶ μηχανῇ ἄλλῃ τῆς τῶν νομέων ἀνωμαλίας ἐν ἐπιτηδείῳ γεγε-
B νημένης. σανίς τε πρὸς ἐπὶ τούτοις ἑκάστη ἐκ πρύμνης ἄκρας ἐς τῆς νηὸς ἐξικνεῖται τὴν ἑτέραν ἀρχήν, μονοειδὴς οὖσα καὶ κέντρα σιδηρᾶ τούτου ἕνεκα προσλαβοῦσα μόνον, ὅπως δὴ ταῖς ἁρμοῖς ἐναρμοσθεῖσα τὸν τοῖχον ποιεῖ. οὕτω μὲν ἡ ναῦς ἥδε πεποιημένη κρείσσω παρέχεται τοῦ λόγου τὴν ὄψιν, ἐπεὶ τῶν ἔργων τὰ πλεῖστα παραλόγῳ ξυμβαίνοντα οὐκ εὐδιήγητα τίθεται τοῖς ἀνθρώποις ἀεὶ τῶν πραγμάτων ἡ φύσις, ἀλλὰ ταῖς ἐπινοίαις τὰ ξυνειθισμένα νικῶσα καὶ τοῦ λόγου κρατεῖ. τούτων δὲ δὴ τῶν ξύλων οὐδὲν οὔτε σέσηπεν οὔτε τι ὑποφαίνει ὡς σαπρὸν εἴη, ἀλλ' ἀκραιφνὴς πανταχόθι οὖσα ἡ ναῦς, ὥσπερ ὑπόγυιον τῷ
C τεχνίτῃ τῷ αὐτῆς, ὅστις ποτὲ ἦν, νεναυπηγημένη, ἔρρωται καὶ ἐς ἐμὲ θαυμαστὸν ὅσον. τὰ μὲν οὖν ἀμφὶ τῇ τοῦ Αἰνείου νηῒ ταύτῃ ἔχει.

Τωτίλας δὲ πλοῖα μακρὰ ἐς τριακόσια Γότθων πληρώσας ἐς τὴν Ἑλλάδα ἐκέλευεν ἰέναι, ληίζεσθαί τε τοὺς παραπίπτοντας ἐπιστείλας δυνάμει τῇ πάσῃ. οὗτος δὲ ὁ στόλος ἄχρι ἐς τὴν Φαιάκων χώραν, ἣ νῦν Κέρκυρα ἐπικαλεῖται, οὐδὲν ἄχαρι ἐργάζεσθαι ἔσχε. νῆσον γὰρ οὐδεμίαν ἐν τῷδε τῷ διάπλῳ οἰκου-

5. „πρὸς ἐπὶ τούτοις] Idem praepositionis pleonasmus alibi, de quo in Notis ad Siracidem." Hoeschel. Vid. indicem s. v. πρός. 18. Τωτίλας — μακρὰ] καὶ πλοῖα μακρὰ τουτίλας L. ibid. δὲ] δὴ L. 22. τῷδε om. L.

operam accommodans, ligna illa reciderit, itaque antea sinuarit: sive artis manus et instrumenta aptam illam obliquitatem statuminibus dederint. Praeterea unaquaeque tabula ab extrema puppi ad alteram navigii extremitatem pertingit, ex uno deserta caudice, eoque solum claves ferreos admisit, ut costis affixa, latus componat. Ea navis huius structura spectaculum praebet inenarrabile. Et vero sic rerum natura fert, ut nunquam possint homines plane verbis exprimere maximam partem operum, quae a communi ratione remota sunt; at cum ea superat, quae cogitare consuevimus, dicendi quoque facultatem excedit. Illorum autem lignorum nullum est putre, nullum cariem sensit: tota navis perinde integra, ac si modo ab artifice suo, quicunque ille fuerit, fabricata prodiret, stat adhuc mirum valde in modum. Hactenus de navi Aeneae.

Totilas vero, cum longas naves trecentas Gotthis implesset, misit eos in Graeciam, et obviis quibusque vastitatem, quoad possent, inferre iussit. Ea classis ad Phaeaciam usque (Corcyram hodie vocant) nihil nocere potuit. Nam in traiectu a freto, cuius latus Charybdis obtinet,

μένην ξυμβαίνει εἶναι ἐκ τοῦ κατὰ τὴν χάρυβδιν πορθμοῦ μέχρι ἐς τὴν Κέρκυραν, ὥστε πολλάκις ἐγὼ ἐνταῦθα γενόμενος διηπορούμην ὅπη ποτὲ ἄρα τῆς Καλυψοῦς ἡ νῆσος εἴη. ταύτης γὰρ τῆς θαλάσσης οὐδαμῇ νῆσον τεθέαμαι, ὅτι μὴ τρεῖς, οὐ πολλῷ D ἄποθεν τῆς Φαιακίδος, ἀλλ' ὅσον ἀπὸ σταδίων τριακοσίων ἄγχιστά πη ἀλλήλων οὔσας, βραχείας κομιδῇ καὶ οὐδὲ ἀνθρώπων ἐχούσας οἰκία οὔτε ζῴων οὔτε ἄλλων τὸ παράπαν οὐδέν. Ὀθονοὶ δὲ καλοῦνται ταῦν αἱ νῆσοι αὗται. καὶ φαίη ἄν τις τὴν Καλυψὼ ἐνταῦθα γενέσθαι, καὶ ἀπ' αὐτοῦ τὸν Ὀδυσσέα γῆς τῆς Φαιακίδος ὄντα οὐ πολλῷ ἄποθεν ἢ σχεδία, ὡς φησιν Ὅμηρος, ἤ ἄλλῳ τῳ τρύπῳ νηός τινος χωρὶς ἐνθένδε διαπορθμεύσασθαι. ἀλλὰ ταῦτα ἡμῖν ὅσον τεκμηριοῦσθαι εἰρήσθω. τοῖς γὰρ παλαιοτάτοις ἐς τὸ ἀκριβὲς ἐναρμόσασθαι τὸν ἀληθῆ λόγον P 629 οὐ ῥᾴδιον, ἐπεὶ ὁ πολὺς χρόνος τά τε τῶν χωρίων ὀνόματα καὶ τὴν ἀμφ' αὐτοῖς δόξαν ἐκ τοῦ ἐπὶ πλεῖστον μεταβάλλειν φιλεῖ. τὸ πλοῖον ὀμέλει, ὅπερ ἐν γῇ τῇ Φαιακίδι ἐκ λίθου λευκοῦ πεποιημένον παρὰ τὴν ταύτῃ ἀκτὴν ἕστηκεν, ἐκείνην τινὲς εἶναι τὴν ναῦν οἴονται, ἣ τὸν Ὀδυσσέα ἐς τὴν Ἰθάκην ἐκόμισεν, ἡνίκα ξεναγεῖσθαι αὐτὸν ἐνταῦθα ξυνέβη. καίτοι οὐ μονοειδὲς τὸ πλοῖον τοῦτ' ἔστιν, ἀλλὰ ἐκ λίθων ὅτι μάλιστα πολλῶν ξύγκειται. καὶ γράμματα ἐν αὐτῷ ἐγκεκόλαπται καὶ διαρρήδην βοᾷ

7. οἰκεῖα ἐχούσας L. *Ibid.* οὔτε — οὔτε] οὐδὲ — οὐδὲ P. 9. ἐνταῦθα] ἐντεῦθεν H. 10. Ὅμηρος] Odyss. ε. 33. 11. νηός] νηώς P. νεώς H. νηώς Hm. 12. ἡμῖν] μὲν H. 15. αὐτοῖς] αὐτῆς L. 16. Φαιακίδι] φαιάκων Reg. 17. παρὰ τὴν ταύτης ἀκτὴν ἐκεῖνό τινες οἴονται εἶναι, ὃ τὸν ὀδυσσέα Reg. 20. τοῦτ'] τοῦτο L.

ad Corcyram, nulla est insula, quae ab hominibus incolatur. Quare mihi saepe illac pervecto haerere contigit, cum insulam Calypsus quaererem. In eo certe mari tres solum vidi insulas, stadiis non amplius trecentis dissitas a Phaeacide, inter se proximas, ac perexiguas: quae et hominum et pecudum cultu, rebus denique omnibus vacant: Othones insulas iam eas appellant: atque hic forte habitasse Calypsum quispiam dixerit, eamque fuisse causam, cur Ulysses non procul a terra Phaeacide positus, Schedia, ut ait Homerus, aliove quopiam modo, sine navi inde transmiserit. Haec a nobis, quantum coniectura assequi possumus, dicta sunto. Neque enim facile est de rebus vetustissimis tam vere loqui, ut omnia bene cohaereant; cum longa dies non modo vocabula, sed notitiam quoque locorum mutare plurimum soleat. Sunt qui existiment, navim ex lapide candido, quae in Phaeaciae littore visitur, eam esse, quae Ulyssem vexit in Ithacam, cum illic exceptus fuisset hospitio. Attamen navigium illud non est uniusmodi; sed multis lapidibus constat, ac notas incisas habet, quae diserte testantur, id olim positum

τῶν τινα ἐμπόρων ἐν τοῖς ἄνω χρόνοις ἱδρύσασθαι τὸ ἀνάθημα
B τοῦτο Διὶ τῷ Κασίῳ. Δία γὰρ Κάσιον ἐτίμων ποτὲ οἱ τῇδε
ἄνθρωποι, ἐπεὶ καὶ ἡ πόλις, ἐν ᾗ τὸ πλοῖον τοῦτο ἕστηκεν, ἐς
τόνδε τὸν χρόνον Κασώπη ἐπικαλεῖται. τοῦτον δὲ τὸν τρόπον
ἐκ λίθων πολλῶν καὶ ἡ ναῦς ἐκείνη πεποίηται, ἣν Ἀγαμέμνων
ὁ τοῦ Ἀτρέως τῆς Εὐβοίας ἐν Γεραιστῷ ἀνέθηκε τῇ Ἀρτέμιδι,
ἀφοσιούμενος κἀν τούτῳ τὴν ἐς αὐτὴν ὕβριν, ἡνίκα διὰ τὸ τῆς
H 355 Ἰφιγενείας πάθος τὸν ἀπόπλουν ἡ Ἄρτεμις ξυνεχώρει τοῖς Ἕλλη-
σιν. ἃ δὴ γράμματα ἐν πλοίῳ τούτῳ ἢ τηνικάδε ἢ ὕστερον ξυ-
σθέντα δηλοῖ ἐν ἑξαμέτρῳ. ὧν τὰ μὲν πλεῖστα ἐξίτηλα χρόνῳ
C τῷ μακρῷ γέγονε, τὰ δὲ πρῶτα καὶ ἐς τόδε διαφαίνεται λέ-
γοντα ὧδε

Νῆα μέλαιναν ἱδρύσατο τῇδ' Ἀγαμέμνων,
Ἑλλήνων στρατιῆς σῆμα πλοϊζομένης.

καὶ ἐν ἀρχῇ ἔχει „Τύννιχος ἐποίει Ἀρτέμιδι Βολοσίᾳ." οὕτω
V 223 γὰρ τὴν Εἰλείθυιαν ἐν τοῖς ἄνω χρόνοις ἐκάλουν, ἐπεὶ καὶ βο-
λὰς τὰς ὠδῖνας ὠνόμαζον. ἐμοὶ δὲ αὖθις ὅθενπερ ἐξέβην ἰτέον.

Ἐπειδὴ ἐς τὴν Κέρκυραν οὗτος ὁ Γότθων στόλος ἀφίκετο,
αὐτήν τε ἦγον καὶ ἔφερον ἐξ ἐπιδρομῆς καὶ ὅσαι ἄλλαι αὐτῇ νῆ-
σοι ἐπίκεινται, αἵ Συβόται καλοῦνται· διαβάντες δὲ καὶ ἐς τὴν
ἤπειρον ἐξαπίνης ἅπαντα ἐληΐζοντο τὰ ἀμφὶ Δωδώνην χωρία

4. *Κασώπη*] *Κασιώπη* Scaliger. *ibid. τοῦτον δὲ — ἐμοὶ δὲ αὖθις* om. L. 6. *Γεραιστῷ*] Scribebatur *Γερεστῷ*. 15. *ἐν ἀρχῇ* PHm. *ἐν ἀρχῆς* H. *ibid. Τύννιχος* Welcker. Syll. epigr. p. 226. Vulgo *Τήνιχος*. *ibid. Βολοσίᾳ*] *Βολοσίᾳ* Etym. M. p. 205, 25. 17. *ἐνόμαζον* Etym. M. Legebatur *ἐνόμιζον*. 20. *Συβόται*] *συμβόντα* Reg. *σύνται* H. *ibid. ἐς*] *αἷς* L.

ab institore quodam, et Iovi Casio consecratum. Quippe Iovem Casium illius orae incolae quondam venerebantur; ex quo nomen etiamnum manet urbi Cassiopae, ubi stat ea navis. Similiter ex multis lapidibus compacta est illa, quam Atrei filius Agamemnon Geraesti in Euboea Dianae dicavit, expiare pergens factam ipsi iniuriam: quo tempore Diana, placata casu Iphigeniae, liberam Graecis navigationem concessit. Res declarat inscriptio huic navi vel tunc vel postea insculpta, constansque hexametro, cuius partem maximam vetustas delevit: duo primi versus adhuc extant in haec verba: *Navem nigram posuit hic Agamemnon Monumentum navigantis Graecorum exercitus.* Quibus ista praefixa sunt: *Tenichus faciebat Dianae Bolosiae.* Sic olim appellabant Lucinam: eo quod dolores partus *βολάς*, sive Deae iactus, esse ducerent. Sed unde sum digressus, eo nunc redeundum.

Gotthi, appulsa in Corcyram classe, eam cursim caeterasque omnes insulas adiacentes, quas appellant Sybotas, vastarunt, transvectique in

καὶ διαφερόντως Νικόπολίν τε καὶ Ἄγχισον, οὗ δὴ Ἀγχίσην, τὸν D
Αἰνείου πατέρα, ἐξ Ἰλίου ἁλούσης ξὺν τῷ παιδὶ πλέοντά φασιν
οἱ ἐπιχώριοι ἐξ ἀνθρώπων ἀφανισθῆναι καὶ τὴν ἐπωνυμίαν τῷ
χωρίῳ δοῦναι. περιόντες δὲ τὴν παραλίαν ὅλην καὶ ναυσὶν
Ἑλλήνων ἐντυχόντες πολλαῖς αὐτοῖς φορτίοις ἁπάσας εἷλον. ἐν
ταῖς εἶναι ξυνέβη καὶ τῶν νηῶν τινας, αἳ τῇ Ναρσοῦ στρατιᾷ
ἐκ τῆς Ἑλλάδος τὰ ἐπιτήδεια ἔφερον. ταῦτα μὲν οὖν τῇδε ξυν-
ηνέχθη γενέσθαι.

κγ'. Τωτίλας δὲ πολλῷ πρότερον Γότθων στράτευμα ἐς P 630
Πικηνοὺς ἐτύγχανε πέμψας, ἐφ' ᾧ δὴ τὸν Ἀγκῶνα ἐξελοῦσιν·
οἷς δὲ ἄρχοντας τοὺς ἐν Γότθοις ἅπασι δοκιμωτάτους ἐπέστησε,
Σκιπούαρ τε καὶ Γίβλαν καὶ Γουνδοῦλφ, ὅσπερ Βελισαρίου δο-
ρυφόρος ἐγεγόνει ποτέ. τινὲς δὲ αὐτὸν Ἰνδοῦλφ ἐκάλουν. οἷς
δὴ καὶ πλοῖα μακρὰ ἑπτὰ καὶ τεσσαράκοντα ἔδωκεν, ὅπως τὸ
φρούριον κατὰ γῆν τε καὶ θάλασσαν πολιορκοῦντες ῥᾷόν τε καὶ
ἀπονώτερον τὴν αὐτοῦ ἐπικράτειαν θήσονται. χρόνου δὲ ταύτῃ B
τῇ προσεδρείᾳ τριβέντος συχνοῦ, ξυνέβαινε τοὺς πολιορκουμέ-
νους τῇ τῶν ἀναγκαίων ἀπορίᾳ πιέζεσθαι. ἅπερ ἐπεὶ Βαλερια-
νὸς ἔμαθεν, ἐπὶ Ῥαβέννης διατριβὴν ἔχων, ἀμύνειν τε κατὰ
μόνας τοῖς ἐν τῷ Ἀγκῶνι Ῥωμαίοις οὐχ οἷός τε ὢν, πέμψας πρὸς
Ἰωάννην τὸν Βιταλιανοῦ ἀδελφιδοῦν ἐπὶ Σαλάνων ὄντα ἔγραψε
τάδε „Ὅτι μόνος ἡμῖν ὁ Ἀγκὼν τοῦ κόλπου ἐντὸς ἀπολέλειπται,

1. Ἄγχισον] ἀγχίαλον HL. 2. πλέοντα] πλέοντας L. 4. ναυσὶ ῥωμαίων Reg. 6. ταῖς] αἷς Reg. 9. τουτίλλας L. 10. πικηνοὺς Hm. Πικήνους P. πικινοὺς H. 12. Γίβλαν] γίβαλ Reg. ibid. Γουνδοῦλφ] γουνδοὺλ H. σουνδοὺλ L. 13. Ἰνδοῦλφ] ἰνδοὺλ HL. 16. αὐτοῦ] ἑαυτοῦ L. 17. συνέβαινε L. 22. μόνος ὁ ἀγκὼν ἡμῖν L. ibid. ἐντὸς] τοῦ ἐντὸς L.

continentem, circumiecta Dodonae loca populati sunt subita vi, quam praecipue senserunt Nicopolis et Anchisus; ubi Anchisen Aeneae patrem, capto ex Ilio cum filio navigantem, vivere desiisse, et loco dedisse nomen indigenae memorant. Oram omnem maritimam legentes, in Graecorum naves inciderunt non paucas, et omnes cum aeneribus ceperunt. In eo fuere numero naves aliquot, quae cibaria Narsetis copiis e Graecia advehebant. Haec ibi ita se habuerunt.

23. Iam multo ante Totilas in Picentes Gotthorum exercitum miserat, Anconam expugnare iussum, eique Duces praefecerat Gotthorum omnium spectatissimos, Scipuarem, Giblam atque Gundulphum, sive, ut quidam appellabant, Indulfum, qui olim Protector fuerat Belisarii. Hi naves etiam longas XLVII. a Totila acceperant, ut castellum terra marique obsessum, eo facilius ac minori negotio caperent. Iam longe obsidio protracta fuerat, cum ea cinctos urgere coepit cibariorum penuria. Qua de re certior factus Valerianus, qui Ravennae tunc mora-

καὶ αὐτὸς οἶσθα, εἴπερ ἔτι μὴν ἀπολέλειπται. οὕτω γὰρ τοῖς ἐν τούτῳ Ῥωμαίοις πικρότατα πολιορκουμένοις τὰ πράγματα ἔχει
C ὥστε δέδοικα μὴ βοηθοῦντες ἔξωροι ὦμεν, ὀπίσω τοῦ καιροῦ τὴν σπουδὴν ἔχοντες, ξωλόν τε τὴν ὑπὲρ αὐτοῦ προθυμίαν ποιούμενοι. ἀλλὰ παύσομαι. ἡ γὰρ τῶν πολιορκουμένων ἀνάγ- 5
κη μακροτέραν τὴν ἐπιστολὴν οὐκ ἐᾷ γίνεσθαι τὸν χρόνον ἐφ' ἑαυτὴν ἀκριβῶς σφίγγουσα καὶ ὁ κίνδυνος ὀξυτέραν τοῦ λόγου τὴν ἐπικουρίαν ζητῶν." ταύτην Ἰωάννης ἀναλεξάμενος τὴν
ἐπιστολὴν, καίπερ αὐτῷ πρὸς βασιλέως ἀπορρηθὲν, αὐτοκέλευστος ἐτόλμα ἴέναι, τῶν οἱ πρὸς αὐτοκράτορος ἐπηγγελμένων 10
D προὐργιαιτέραν τὴν ἀπὸ τῆς τύχης στενοχωρίαν πεποιημένος. ἄνδρας τε ἀπολεξάμενος, οὓς πάντων μάλιστα ἀγαθοὺς τὰ πολέμια ᾤετο εἶναι, καὶ αὐτῶν ὀκτὼ καὶ τριάκοντα πλοῖα μακρὰ ἐμπλησάμενος πλεόντά τε ὡς τάχιστα καὶ πρὸς πόλεμον τὸν ἐν θαλάσσῃ ὡς ἄριστα πεποιημένα, ἔνιά τε αὐτοῖς τῶν ἐπιτηδείων 15
ἐνθέμενος, ἄρας ἐκ Σαλώνων τῷ Σκαρδῶνι προσέσχε. οὗ δὴ καὶ Βαλεριανὸς ξὺν ναυσὶ δώδεκα οὐκ ἐς μακρὰν ἦλθεν.

Ἐπειδὴ δὲ ἀλλήλοις ξυνέμιξαν, κοινολογησάμενοί τε καὶ τὰ σφίσι ξύμφορα δόξαντα εἶναι βεβουλευμένοι, ἐνθένδε μὲν

1. καὶ] Legebatur ὡς. ibid. μὴν] δὴν HL. ibid. γὰρ] γοῦν H. τοὺς ἐν τῷ ῥωμαίους — πολιορκουμένους L a pr. m. 3. βοηθοῦντες] φοβηθέντες L. ibid. ὀπίσω] ἐπίσου L. 4. ξωλον — ζητῶν om. L. 9. αὐτοκέλευστος L. 12. μάλιστα πάντων L. 16. „Σκαρδῶνι] στόλῳ Reg. Fortasse legendum Πόλῃ, cuius est supra facta mentio p. 488 b." Malt. ἀγκῶνι H. 19. βεβουλημένοι L.

batur, cum opem Romanis, qui Anconae erant, afferre per se solus non posset, ad Ioannem Vitaliani nepotem, Salonis agentem, litteras misit in hanc sententiam scriptas. *Scis ipse citra sinum Ionium nihil nobis reliquum esse praeter Anconam; si tamen haec adhuc restat. Romanorum enim, qui illic arctissime obsidentur, res eo loci deductae sunt, ut verear, ne intempestivum afferamus auxilium, et collata serius opera studium frustretur nostrum. Hic desino: longiorem enim epistolam scribere vetat obsessorum necessitas, sibi tempus totum arripiens, et periculum opem postulans dicto promptiorem.* Ioannes, lecta hac epistola, sponte sua, contra quam Imperator vetuerat, proficisci non dubitavit; angustiarum, in quas fortuna rem adduxisset, habendam potius rationem ducens, quam mandatorum Principis. Virorum delectu habito, quos omnium bellicosissimos iudicabat, his naves longas implevit XXXVIII. expeditissimas, et ad proelium maritimum optime factas: cumque nonnihil annonae in eas imposuisset, Salonis profectus, Scardonem appulit: quo Valerianus cum navibus XII. paulo post venit.

Postquam vires iunxere, colloquio inter se inito, quid opus facto esset deliberarunt. Inde digressi, ad continentis adversae oppidum ap-

ἀποπλέουσιν, ἐς δὲ ἤπειρον τὴν ἀντιπέρας κατάραντες ἐς χωρίον P 631
ὁρμίζονται, ὃ δὴ Σινογαλλίαν Ῥωμαῖοι καλοῦσι, τοῦ Ἀγκῶνος
οὐ πολλῷ ἄποθεν. ὅπερ ἐπεὶ οἱ Γότθων στρατηγοὶ ἔμαθον,
πλεῖα μαχρὰ καὶ αὐτοὶ τὰ σφίσι παρόντα, ἐπτὰ καὶ τεσσαρά-
κοντα ὄντα, Γότθων τῶν λογίμων αὐτίκα ἐπλήρουν. τὸ δὲ
ἄλλο στράτευμα ἐπὶ τῇ προσεδρείᾳ τοῦ φρουρίου ἀπολιπόντες V 224
εὐθὺ τῶν πολεμίων ἐχώρουν. ἡγεῖτο δὲ τῶν μὲν ἐπὶ τῇ πολιορ-
κίᾳ μεμενηκότων ὁ Σκιπούαρ, τῶν δὲ δὴ ἐν ταῖς ναυσὶν ὄντων
Γίβλας τε καὶ Ἰνδούλφ. ἐπειδή τε ἄγχιστα ἀλλήλων ἐγένοντο,
τάς τε ναῦς ἑκάτεροι ἀνεκώχευον καὶ ξυναγαγόντες αὐτὰς ἐς ὀλί-
γον παραίνεσιν ἐς τοὺς στρατιώτας ἐποιοῦντό τινα. πρῶτοί
τε Ἰωάννης καὶ Βαλεριανὸς ἔλεξαν τοιάδε „Μηδεὶς ὑμῶν, ὦ B
ξυστρατιῶται, ὑπὲρ τοῦ Ἀγκῶνος τούτου μόνου καὶ τῶν ἐν
αὐτῷ πολιορκουμένων Ῥωμαίων ἀγωνιεῖσθαι ταὐτὸν οἰέσθω, μη-
δὲ ἄχρι τοῦδε ἀποκριθήσεσθαι ἡμῖν τὰ τῆς ξυμβολῆς τῇδε, H 356
ἀλλὰ ξύμπαν, ὡς ξυνελόντας εἰπεῖν, τὸ τοῦ πολέμου κεφάλαιον
ἐνταῦθα ἑστάναι, ἔνθα τε ἂν ἀποκλῖναι ξυμβαίη τὴν μάχην,
ξυγκυροῦσθαι αὐτῇ καὶ τῆς τύχης τὸ πέρας. οὕτωσὶ γὰρ περὶ
τῶν παρόντων σκοπεῖθε· πολλή τις ἐπὶ ταῖς δαπάναις ἀπόκειται
τοῦ πολέμου ῥοπή, τούς τε τῶν ἐπιτηδείων σπανίζοντας ἡττᾶ-
σθαι τῶν πολεμίων ἐπάναγκες. λιμῷ γὰρ οὐκ οἶδεν ἡ ἀρετὴ
ξυνοικίζεσθαι, πεινῆν τε καὶ ἀνδραγαθίζεσθαι οὐκ ἀνεχομένης

2. ὃ δὴ Σινογαλλίαν P cum Scaligero. ὃ δρησὸν οἱ ἐκ γαλίας H. 9. Γίβλας] γιβάλ L. *ibid.* Ἰνδούλφ] ἶλδούφ H. γουνδούλφ L. 11. πρῶτοι] πρῶτον Reg. 13. μόνου τούτου L. 14. ταὐτὸν] τονῦν H: illud Hm. 15. τὰ τῆς ξυμβολῆς τῇδε] τὴν ξυμβολὴν τήνδε Reg. 16. συνελόντας L. 18. ξυγκυροῦσθαι Reg. συγκυροῦσθαι L. ξυγκληροῦσθαι P. 19. παρόντων σκοπεῖται ἡ τοῦ πολέμου ῥοπὴ H. *ibid.* σκοπεῖσθε Reg. σκοπεῖτε P.

plicant, quod a Romanis dicitur Senogallia, nec procul Ancona distat. Gotthorum Duces, eorum adventu cognito, mox naves et ipsi longas, quae praesto erant, numero XLVII. Gotthorum flore complent, caeterisque copiis ad castelli obsidionem relictis, ad hostem recta tendunt. Eorum, qui ad obsidionem remanserant, dux erat Scipuar: navigantium, Giblas atque Indulphus Cum ad se invicem accessissent, utrique navium cursu inhibito, et coacta classe, concionem ad milites habuerunt: ac priores sic orsi sunt Ioannes et Valerianus. *Nemo vestrum, Commilitones, pro Ancona solum et obsessis ibi Romanis dimicaturum se modo putet, eoque duntaxat spectare hoc proelium; sed ut omnia uno verbo complectamur, belli summam in illo positam esse, et ad quos pugnae victoria inclinaverit, eos pariter fortunae metam assecuturos. Hanc enim de re praesenti cogitationem suscipite. Ad bellum gerendum momenti plurimum habet sumptuum copia, et qui penuria victus laborant,*

τῆς φύσεως. τούτων δὲ τοιούτων ὄντων ἄλλο μὲν οὐδὲν ἐχό-
C ρωμεν ἡμῖν ἐκ τοῦ Δρυοΐντος ἐς Ῥάβενναν ἀπολέλειπται, ὅπη
ἂν τὰ ἐδώδιμα ἡμῖν τε καὶ ἵπποις ἡμετέροις ἀποκεῖσθαι δεή-
σει, οὕτω τε οἱ πολέμιοι κρατοῦσι τῆς χώρας ὥστε φίλιον οὐδὲν
μεμένηκεν ἡμῖν ἐνταῦθα χωρίον, ὅθεν ἄν καὶ κατὰ βραχὺ τῶν
τι ἐπιτηδείων ἐκπορίζεσθαι χρή. ἐς δὲ τὸν Ἀγκῶνα ἡμῖν ἡ
προσοδοκία μεμένηκε πᾶσα, τοῦ καὶ τοῖς ἐξ ἠπείρου τῆς ἀντιπέ-
ρας καταίρουσιν ἐνταῦθα πρυσχεῖν δυνατοὺς εἶναι καὶ ἀσφάλειαν
ἔχειν. οὐκοῦν εὐημερήσαντες ἐν τῇ ξυμβολῇ σήμερον καὶ βασι-
λεῖ τὸν Ἀγκῶνα, ὡς τὸ εἰκὸς, κρατυνάμενοι τάχα ἂν καὶ τἄλλα
τοῦ πρὸς Γότθους πολέμου ἐν ἐλπίσιν ἀγαθαῖς τὸ λοιπὸν ἔξομεν.
D σφαλέντες δὲ ἐν ταύτῃ τῇ μάχῃ, ἄλλο μέντοι πικρὸν οὐκ ἂν εἴ-
ποιμεν, ἀλλὰ δοίη τὴν Ἰταλίας ἐπικράτησιν ὁ θεὸς Ῥωμαίοις
διηνεκῆ εἶναι. κἀκεῖνο δὲ ὑμῖν λογίζεσθαι ἄξιον, ὡς κακοῖς ἐν
τῷ ἔργῳ γινομένοις ὑμῖν οὐδὲ ἀποφεύγειν ἔξόν. οὔτε γὰρ τὴν
γῆν ἕξετε πρὸς τῶν ἐναντίων κατειλημμένην οὔτε τὴν θάλασσαν
πλώιμον, οὕτω θαλασσοκρατούντων τῶν πολεμίων, ἀλλὰ πε-
ριέστηκεν ὑμῖν ἡ τῆς σωτηρίας ἐλπὶς ἐν ταῖς χερσὶν οὖσα καὶ
ξυμμεταβαλλομένη τοῖς κατὰ τὴν ἀγώνισιν ἔργοις. ἀνδραγαθί-
ζεσθε τοίνυν ὅση δύναμις, τοῦτο ἐκεῖνο ἐκλογιζόμενοι, ὡς ἥσση-
θέντες μὲν ἐν τῷ παρόντι τὴν ὑστάτην ἥτταν κληρώσεσθε, νε-

1. οὐδὲν om. L. 8. τοῖς ἵπποις P. τοῖς om. L. *ibid.* ἵπποις om. H: habet Hm. 7. τοῦ] ὅπου L. 8. καὶ ἀσφάλειαν] ἐν ἀσφαλεῖ L. 9. ἔχειν] ἔχει L corr. *ibid.* σήμερον] τήμερον L. 10. κρατυνόμενοι L. *ibid.* τἀ ἄλλα L. 13. ῥωμαίων διηνεκὴς L. 14 κἀκεῖνο λογίζεσθαι ἡμῖν L. *ibid.* ὑμῖν] ἡμῖν L. 15. ὑμῖν] ἡμῖν L. 21. κληρωθήσεσθε Reg.

ab hoste vincantur necesse est. Neque enim contubernales sunt fames ac vis bellica; non sinente natura, ut vir exhaustus inedia se fortem praebeat. Haec ita se habent: nos vero ab Hydrunte ad Ravennam nullum alium iam reliquum habemus munitum locum, ubi reponendi sint nobis equisque nostris commeatus; itaque hostis in ditione sua has oras tenet, ut ne vicus quidem supersit amicus nobis, unde rei cibariae aliquantulum suppetat. Sustinet Ancona quidquid est spei, fore ut, ex opposita continente delati, possimus huc applicare et in tutum recipi. Quare si nobis hodierna pugna feliciter cesserit, Ancona sub Augusti imperio, ut par est, stabilita, non temere posthac sperabimus plenam victoriam belli Gothici. Sin victi discesserimus ex hoc certamine, hoc tantum (ne quid praeterea dicamus gravius) fecit Deus, dominatu Italiae non carent aeternum Romani. Id quoque reputare convenit, re seguiter gesta, nullum fore vobis effugium. Nam nec viam terra praebebit, ab hostibus occupatu, nec navigabile erit mare, in quo itidem vic dominantur. In manibus residet salutis spes, secutura vices rerum, quae edentur in proelio. Ergo quantum in vobis est animi virtusque, exprimite; et cogi-

νικηκότες δὲ μετὰ τῶν ἄγαν εὐδαιμόνων ξὺν τῇ εὐκλείᾳ τετάξεσθε."

Ἰωάννης μὲν καὶ Βαλεριανὸς τοσαῦτα εἶπον. καὶ οἱ Γάτ- P 632
θων δὲ ἄρχοντες τοιάνδε τὴν παράκλησιν ἐποιήσαντο „Ἐπειδὴ πάσης ἀπεληλαμένοι τῆς Ἰταλίας καὶ πολύν τινα χρόνον οὐκ ἴσμεν ἐν ὁποίοις ποτὲ μυχοῖς ἦσαν οἱ κατάρατοι γῆς ἢ τῆς θαλάσσης διαλαθόντες, ταυῦν ἡμῖν τετολμήκασιν ἐς χεῖρας ἰέναι, καὶ ὡς ἀναμαχόμενοι ἐφ' ἡμῶς ἥκουσιν, ἐπίναγκες αὐτοῖς τὸ ἐκ τῆς ἀβουλίας ἐγγενόμενον θράσος ἀναχαιτίζειν προθυμίᾳ τῇ πάσῃ, ὡς μὴ ἐνδιδόντων ἡμῶν τὰ τῆς ἀπονοίας αὐτοῖς ἐς μέγα χωρεῖν. ἀμαθία γὰρ οὐ κατ' ἀρχὰς ἀναστελλομένη ἀναβαίνει μὲν ἐπ' ἄπειρον τάλμαν, ἐς ἀνηκέστους δὲ τῶν παραπιπτόντων τελευτᾷ ξυμφοράς. δείξατε τοίνυν αὐτοῖς ὅτι τάχιστα ὡς Γραικοί τε εἰσι καὶ ἄνανδροι φύσει καὶ ἠσσημένοι θρασύνονται, μηδὲ ξυγ- B
χωρήσητε τὴν διάπειραν αὐτοῖς πρόσω ἰέναι. ἀνανδρία γὰρ καταφρονηθεῖσα ἐπὶ παρρησίαν ἐξάγεται μείζω, ἐπεὶ τῷ προϊέναι τὸ θράσος ἄοκνον γίνεται. ἐπὶ πολὺ δὲ ἀνθέξειν αὐτοὺς ἀνδραγαθιζομένους ὑμῖν μηδαμῶς οἴεσθε. φρόνημα γὰρ τῇ δυνάμει τῶν αὐτῷ χρωμένων μὴ ξυμμετρούμενον πρὸ μὲν τοῦ ἔργου ἐπαιρόμενον ἐν ἀκμῇ φαίνεται, ἀρξαμένης δὲ τῆς ξυμβολῆς καταρρεῖν εἴωθεν. ὅτε τοίνυν ταῦτα οὕτως ἔχει, ἀναμνήσθητε μὲν ὄντινα τρόπον οἱ πολέμιοι πολλάκις ἀποπειρασάμενοι τῆς

6. ἦσαν] οἵδε (sic) L. ibid. γῆς] τῆς γῆς L. 8. ἀναμαχόμενοι L. ibid. ἥκουσιν L. ἥκασιν P. 13. συμφοράς L. 17. θράσος] θάρσος L. 19. συμμετρούμενον L.

tate, si cladem iam accipietis, eam ultimam fore; sin victoriam referetis, eximiam vos felicitatem et gloriam adepturos.

Haec Ioannes et Valerianus. Gotthorum vero Duces hortatione hac usi sunt. *Quandoquidem scelesti illi, qui ex omni Italia pulsi, et in maris terraeque ignotos nobis recessus contrusi, perdiu latuerant, iam audent nobiscum conferre manum, seque certamini offerunt; inconsultam eorum audaciam omni ope reprimamus necesse est; ne ipsorum temeritas indulgentia nostra plurimum crescat. Nam nisi praeceps insolentia principio coerceatur, in audaciam infinitam evadit, neque alium habet exitum, quam eorum, in quos incurrit, extremam calamitatem. Quamprimum igitur efficite, ut noverint se esse Graeculos, natura effeminatos, qui victi ferociant; nec sinite conatum ipsorum longius progredi. Siquidem ignavia, cui per negligentiam parcitur, in maiorem licentiam erumpit, et insolens confidentia processu ipso evadit impigra. Nec diu restituros vobis animose certantibus existimate. Spiritus enim, cui vires eorum, in quibus inest, parum respondent, elatus quidem ante, quam res geratur, speciem vigoris promit; inito autem conflictu, dilabi solet. Quae cum ita sint, tenete memoria, uti hostes damno saepe suo virtu-*

ἀρετῆς τῆς ὑμετέρας ἀπήλλαξαν, ἐκλογίζεσθε δὲ ὡς οὐκ ἀμείνους ἐκ τοῦ αἰφνιδίου γεγενημένοι ἐφ' ἡμᾶς ὥρμηνται, ἀλλὰ τὰ
C παραπλήσια τοῖς προλαβοῦσι τετολμηκότες, τὴν ὁμοίαν καὶ νῦν κληρώσονται τύχην."

V 225 Τοσαῦτα καὶ οἱ τῶν Γότθων ἄρχοντες παρακελευσάμενοι καὶ τοῖς πολεμίοις ὑπαντιάσαντες μελλήσει οὐδεμιᾷ ἐς χεῖρας ἦλθον. ἦν δὲ ἡ ναυμαχία ἐς ἄγαν ἰσχυρὰ, πεζομαχίᾳ ἐμφερὴς οὖσα. τάς τε γὰρ ναῦς μετωπηδὸν ἀντιπρῴρους ταῖς τῶν ἐναντίων ἑκάτεροι στήσαντες τὰ τοξεύματα ἐς ἀλλήλους ἀφίεσαν, καὶ αὐτῶν ὅσοι ἀρετῆς τι μετεποιοῦντο, ἄγχιστά πη ἀλλήλων γενόμενοι ἐν χρῷ τε ξυνιόντες ἀπὸ τῶν καταστρωμάτων ξυνέμισγον, ξίφεσί τε καὶ δόρασιν, ὥσπερ ἐν πεδίῳ, μαχόμενοι. καὶ τὰ προοίμια τοῦ ἀγῶνος τοῦδε τοιαῦτα ἐγεγόνει. ὕστερον δὲ οἱ βάρβαροι ἀπειρίᾳ τοῦ ναυμαχεῖν ξὺν πολλῇ ἀταξίᾳ τὴν ξυμβολὴν τήνδε
D διέφερον· οἱ μὲν γὰρ αὐτῶν οὕτως ἀπ' ἀλλήλων διίσταντο ὥστε διδόναι τοῖς πολεμίοις αὐτοὺς κατὰ μόνας ἐμβάλλειν, οἱ δὲ συχνοὶ ἐς ταὐτὸ ξυνιόντες πρὸς ἀλλήλων ἀεὶ τῇ τῶν πλοίων στενο-
H 357 χωρίᾳ ξυνεποδίζοντο. εἴκασεν ἄν τις φορμηδὸν αὐτοῖς τὰ τῶν πλοίων ἱκρία ξυγκεῖσθαι. καὶ οἱδὲ τοξεύειν ἐς τῶν ἐναντίων τοὺς διεστῶτας ἐδύναντο, ὅτι μὴ ὀψέ τε καὶ μόλις, οἱδὲ ξίφεσιν ἢ δόρασι χρῆσθαι, ἡνίκα ἂν σφίσιν ἐγκειμένους αὐτοὺς ἴδοιεν,

1. ὑμετέρας] ἡμετέρας L. 2. ἡμᾶς] ὑμᾶς L. 5. παρακελευσάμενοι om. L. 7. ἦν δὲ] ἦν τε L. *ibid.* πεζομαχίᾳ ἐμφερὴς PHm. πεζομαχίας ἰσχυροτέρα H. 10. αὐτῶν] αὐτὸν L. 11. χρῷ τε] τε om. L. 12. καὶ τὰ] τὰ μὲν L. 14. ἀπειρίᾳ] ἀπορίᾳ Reg. 15. διέφερον] ἔφερον L: illud Lm. *ibid.* αὐτῶν οὕτως] αὐτῷ τούτῳ H. 16. ἐμβάλλειν] ἐκβάλλειν Reg. 20. ἐδύναντο] ἠδύναντο L.

tem experti vestram abecesserint; et pro certo habete eos non auctos repente maiori animo huc venisse; at simile praeteritis hoc eorum ausum, pari iam exitu mulctatum iri.

Ita suos hortati classis Gothicae Ductores, occurrunt hosti, nullaque interposita mora congrediuntur. Erat navale certamen acerrimum, ac pedestri simile. Nam utrique, adversis inter se proris ac frontibus stantes, sese invicem sagittis petebant. Animosissimi quique comminus e foris miscebant proelium; et collato pede, non secus atque in campo, ensibus atque hastis pugnabant. Principium hoc certaminis fuit. Deinde Barbari, cum essent naumachiae rudes, incompositissime dimicarunt. Nam alii tanto intervallo distabant inter se, ut singulos seorsum invadere liceret hosti: rursus alii conferti, in spatium iniquius redactis navibus, mutuo sibi erant impedimento. Dixisses tegetum instar compactos intextosque navium malos. Nec nisi aegre tardeque admodum in hostes dissitos sagittas expedire Barbari, nec gladiis hastisve uti poterant,

ἀλλὰ κραυγῇ τε καὶ ὠθισμῷ ἐν σφίσιν αὐτοῖς διηνεκῶς εἶχοντο, ξυγκρούοντές τε ἀεὶ ἐς ἀλλήλους καὶ τοῖς κοντοῖς αὖθις διωθούμενοι οὐδενὶ κόσμῳ, καὶ πῃ μὲν ξυμφέροντες τῇ στενοχωρίᾳ τὸ μέτωπον, πῃ δὲ ἀποφοιτῶντες πολλῷ ἄποθεν ἐπὶ πονηρῷ τῷ P 633
σφετέρῳ ἑκάτεροι. τάς τε παρακελεύσεις αὐτῶν ἕκαστος ἐς τοὺς ἄγχιστα ὄντας ξὺν ὁλολυγῇ πολλῇ ἐποιοῦντο, οὐκ ἐπὶ τοὺς πολεμίους, ἀλλ' ὅπως τὰς διαστάσεις αὐτοὶ ἀπ' ἀλλήλων ἐργάζωνται. ἠσχολημένοι τε τῇ ἐς ἀλλήλους ἀμηχανίᾳ τῆς κατὰ σφῶν νίκης αἰτιώτατοι τοῖς πολεμίοις ἐγίνοντο. οἱ δὲ Ῥωμαῖοι ἀνδρείως μὲν τὰ ἐς τὴν ξυμβολήν, ἐμπείρως δὲ τὰ ἐς τὴν ναυμαχίαν διαχειρίζοντες, τά τε πλοῖα μετωπηδὸν στήσαντες, καὶ οὔτε κατὰ πολὺ διεστῶτες ἀλλήλων οὔτε μὴν ἄγχιστα ξυνιόντες περαιτέρω τῆς χρείας, ἀλλὰ ξυμμέτρους ἀεὶ τάς τε ξυνόδους καὶ διαστάσεις ποιούμενοι, ἦν μὲν ναῦν πολεμίαν ἀποσκεδαννυμένην τῶν ἄλλων B
ἐθεῶντο, κατέθυον ἐμβάλλοντες οὐδενὶ πόνῳ, εἰ δέ που ξύγχυσιν ἐς τῶν πολεμίων τινὰς ἴδοιεν, ἐνταῦθα τά τε τοξεύματα συχνὰ ἔπεμπον καὶ ἡνίκα σφίσιν ἐπιπέσοιεν, ἀτάκτοις οὖσι καὶ ξυντριβέσι γεγενημένοις τῷ τῆς ἀταξίας καμάτῳ ἐκ χειρὸς αὐτοὺς διεχρῶντο. ἀπειρηκότες οὖν οἱ βάρβαροι πρός τε τὰ τῆς τύχης ἐναντιώματα καὶ τὰς κατὰ τὴν μάχην ἁμαρτάδας ξυμπεπτωκυίας, οὐκ εἶχον καθ' ὅ τι μαχέσονται, οὐδὲ ναυμαχοῦντες, οὐ μέντοι οὐδὲ καθάπερ ἐν πεζομαχίᾳ ἐπὶ τῶν καταστρωμάτων ἑστῶ-

2. τοῖς κοντοῖς] τοὺς κοντοὺς L: illud Lm. 3. ξυμφέροντες L. 4. πονηρῷ] πονήρῳ P. 5. ἑκάτεροι L. ἑκατέρῳ P. ἑκάτερα H. 7. αὐτοὶ] αὐτοῖς L. 13. συμμέτρους L. *ibid.* συνόδους L. 16. τά τε L. Aberat τά. 18. συντριβέσι L. 21. μαχέσονται] μαχήσονται Reg.

cum propius instantes cernerent: sed vociferantes trudebant usque alteros alteri, collidentes se invicem, et contis repellentes perturbatissime: modo in arctum cogebant frontem, modo huc illucque procul discedebant cum detrimento. Singuli vicinos magno eiulatu cohortabantur, non utique in hostem, verum ut aptis spatiis abiungerentur. Denique mutua districti imperitia, hostibus suis praecipuam victoriae causam praebuerunt. At Romani, cum et arma viriliter, et artem naumachiariam scite tractarent, navium proris obversis hosti, nec longius distracti, nec propius quam opus erat coeuntes, verum idoneis intervallis iam colligentes navigia, iam diducentes, si quam hostium navim avulsam a caeteris cernerent, facto impetu facile submergebant. Sicubi confusos viderent Barbaros, eo sagittarum nimbum mittebant: propiusque adorti inordinatos ac perturbatione laborantes, cominus interimebant. Adversa fortuna, et iis, quae pugnando deliquerant, fracti Barbari, nesciebant quo pacto proelium sustinerent. Non iam naumachiam edebant; non stabant in foris tanquam si terra pugnarent; sed dimisso certamine, in periculo

τες, ἀλλὰ ῥᾳστάντες τὴν ἀγώνισιν ἐπικινδύνως ἠτρέμιζον, ἐπὶ τῇ τύχῃ καταλιπόντες. διὸ δὴ ἐς ὑπαγωγὴν οἱ Γότθοι αἰσχρὰν
C ξὺν πολλῇ ἀκοσμίᾳ ἐτράποντο, καὶ οὔτε ἀλκῆς οὔτε φυγῆς τινος εὑρεποῦς οὔτε του μεμνημένοι ἄλλου μεταξὺ πλοίων τῶν πολεμίων ὡς τὰ πολλὰ σκεδαννύμενοι διηποροῦντο. καὶ αὐτῶν τινες ναυσὶν ἕνδεκα διέφυγόν τε καὶ διαλαθόντες ἐσώθησαν, οἱ δὲ λοιποὶ ἅπαντες ὑπὸ τοῖς πολεμίοις ἐγένοντο. ὧν δὴ Ῥωμαῖοι πολλοὺς μὲν αὐτοχειρὶ διέφθειραν, πολλοὺς δὲ αὐταῖς ναυσὶ καταδύοντες ἔκτεινον· τῶν δὲ στρατηγῶν Ἰνδοὺλφ μὲν ξὺν ταῖς ἕνδεκα ναυσὶ διαλαθὼν ἔφυγε, τὸν δὲ δὴ ἕτερον ἐζώγρησαν Ῥωμαῖοι. κἄπειτα οἱ ἐν ταῖς ἕνδεκα ναυσὶν ἐς τὴν γῆν ἀποβάντες τὰ μὲν πλοῖα εὐθὺς ἔκαυσαν, ὡς μὴ ὑπὸ τῶν πολεμίων ταῖς χερσὶ γένωνται, αὐτοὶ δὲ πεζῇ ἐς τὸ στρατόπεδον ἐκομίσθησαν,
D ὃ τοὺς ἐν Ἀγκῶνι ἐπολιόρκει. φράσαντές τε αὐτοῖς τὰ ξυμπεσόντα εὐθυωρὸν ξὺν αὐτοῖς τὴν ἀναχώρησιν ἐποιήσαντο, τὸ στρατόπεδον τοῖς πολεμίοις ἀπολιπόντες, καὶ ὁρόμῳ τε καὶ θορύβῳ πολλῷ ἐς Αὔξιμον πόλιν ἐγγύς πη οὖσαν ἀνέδραμον. Ῥωμαῖοι δὲ ἀφικόμενοι ἐς τὸν Ἀγκῶνα οὐ πολλῷ ὕστερον τό τε στρατόπεδον τῶν πολεμίων ἀνδρῶν ὡς ἔρημον αἱροῦσι καὶ τὰ ἐπιτήδεια τοῖς ἐν τῷ φρουρίῳ ἐσκομίσαντες ἀπέπλευσαν ἐνθένδε. καὶ Βαλεριανὸς μὲν ἐπὶ Ῥαβέννης ἐχώρησεν, Ἰωάννης δὲ ἐς Σάλω-

2. καταλιπόντες Reg. καταφυγόντες P. 3. οὔτε — οὔτε] οὐδὲ — οὐδὲ P. 4. μεμνημένοι om. L. 6. τε om. L. *ibid.* διαλαβόντες HL. 8. πολλοὺς μὲν αὐτοχειρὶ Ῥωμαῖοι διέφθειραν L: unde διέφθειραν sumpsi pro vulgato διέφθειρον. *ibid.* αὐτοχειρὶ] αὐτοχειρίᾳ H. 9. Ἰνδοὺλφ] Ἰλδοὺφ H. γουνδοὺλ L. 10. διαλαθὼν] λαθὼν L. *ibid.* τοὺς δὲ δὴ ἑτέρους Reg. 11. κἄπειτα] καὶ ἔπειτα L. 13. πεζῇ] πεζοὶ Reg. 14. ὃ] ᾧ L. *ibid.* ἐπολιόρκει] ἐπολιόρκουν L.

terpebant, fortunae fidei se committentes. Deinde nullo servato ordine, cum terga turpiter verterent, virtutis honestique discessus et cuiusvis rei praeclarae immemores, inter hostium naves dispersi magnam partem haeserunt. Nonnulli clam evasere, cum navigiis elapsi undecim, reliqui omnes in potestatem hostium venerunt. Horum multos Romani suis confecere manibus; complures cum navibus mersos aquis extinxere: Ducem alterum cepere vivum: Indulfus furtim excessit, cum illis undecim navibus: quas qui agebant, subinde facta excensione, ipsas illico corrupere igni, ne venirent in manus hostium: tum pedibus ad copias, quae Anconam obsidebant, se contulerunt, et narrata clade, extemplo cum illis migrarunt, castris hosti relictis, seque in urbem vicinam Auximum effuso cursu ac tumultuose receperunt. Haud multo post Romani Anconam perveçti, vacua hostium castra occupant, et commeatibus in castellum illatis, inde solvunt: ac Valerianus quidem Ravennam, Ioan-

νας ἀνέστρωψεν. αὖτη διαφερόντως ἡ μάχη τό τε φρόνημα καὶ τὴν δύναμιν Τωτίλα τε καὶ Γότθων κατέλυσεν.

κδ'. Ὑπὸ δὲ τὸν αὐτὸν χρόνον τῇδε Ῥωμαίοις ἐν Σικελίᾳ V 226
τὰ πράγματα εἶχε. Λιβέριος μὲν ἐνθένδε βασιλεῖ ἐς Βυζάντιον P 634
μετάπεμπτος ἦλθεν, Ἀρταβάνης δὲ, τοῦτο βασιλεῖ δεδογμένον, παντὸς ἦρχε τοῦ ἐν Σικελίᾳ Ῥωμαίων στρατοῦ. ὃς δὴ Γότθους ἐν τοῖς ἐκείνῃ φρουρίοις ἀπολελειμμένους, ὀλίγους κομιδῇ ὄντας, πολιορκῶν, μάχῃ τε αὐτῶν τοὺς ἐπεξιόντας νικήσας ἐς πᾶσάν τε ἀπορίαν τῶν ἀναγκαίων καταστησάμενος ὕστερον ὁμολογίᾳ ξύμπαντας εἷλεν. οἷς οἱ Γότθοι περίφοβοί τε γεγενημένοι καὶ τοῖς κατὰ τὴν ναυμαχίαν ξυμπεπτωκόσι περιαλγοῦντες τὸν πόλε- B
μον ἀπεγίνωσκον, ἤδη δυσέλπιδες τὸ παράπαν γεγενημένοι, λογιζόμενοί τε ὡς ἐν τῷ παρόντι δὴ αἰσχρῶς ἠσσημένοι τῶν πολεμίων καὶ παντάπασι διεφθαρμένοι, ἤν τις Ῥωμαίοις βοήθεια καὶ κατὰ βραχὺ ἐπιγένηται, τρόπῳ οὐδενὶ ἀντέχειν αὐτοὺς οὐδὲ χρόνου ῥοπήν τινα ἱκανοὶ ἔσονται, ἢ ἐπὶ τῆς Ἰταλίας ἑστήξειν. οὐ μὴν οὐδὲ κατὰ πρεσβείαν διαπράξασθαί τι ἐκ βασιλέως ἐν ἐλπίδι εἶχον. πολλάκις γὰρ ἐς αὐτὸν πρέσβεις ὁ Τωτίλας ἐτύγχανε πέμψας. οἳ, ἐπεὶ ἐς ὄψιν Ἰουστινιανῷ βασιλεῖ ἦλθον, ἀνεδί- H 358
δαξαν μὲν ὡς τῆς Ἰταλίας τὰ μὲν πλεῖστα κατέλαβον Φράγγοι, C
ἡ δὲ λοιπὴ ἔρημος ἀνθρώπων τῷ πολέμῳ ἐπὶ πλεῖστον γεγένηται, Σικελίας δὲ καὶ Δαλματίας, αἵπερ ἀκραιφνεῖς ἔτι διέμειναν μό-

4. τὰ πράγματα εἶχεν ἐν σικελίᾳ L. 6. τοῦ ἐν σικελίᾳ om. L. 13. ἐν om. L. 14. Ῥωμαίοις] ῥωμαίων H. 15. αὐτοὺς] αὐτοῖς L corr. 18. τοντίλλας L. 19. ἐπεὶ om. L. 20. πλεῖστα] πολλὰ Reg.

nes vero Salonas rediit. Haec demum pugna spiritus et vires cum Totilae, tum Gottborum, maxime contudit.

24. Eodem intervallo Romana res hunc in Sicilia successum habuit. Cum Liberium inde revocasset Byzantium Imperator, Romanis copiis omnibus, quae erant in Sicilia, Artabanem praefecit. Is Gotthos in praesidiis Insulae relictos, oppido paucos, obsedit, et certamine victis, qui erumpere ausi sunt, omnes fame extrema ad deditionem compulit. Territi his Gotthi, et dolore afflicti, quem accepta proelio navali clades attulerat, ad bellum nihil habebant animi, iam plane desperantes, ac reputantes secum, si modo, cum ipsi foede victi profligatique cecent, Romanis nonnihil subsidii mitteretur, fieri non posse, ut vel temporis punctum obsisterent, vel in Italia manerent. Nec spes erat, fore ut Augustum ad pactionem aliquam legatione pertraherent. Saepe enim ad eum destinati a Totila Oratores, cum ad ipsius conspectum admissi fuissent, demonstraverant, maximam partem Italiae a Francis teneri; reliquam fere totam bello desolatam esse; Sicilia ac Dalmatia, quae so-

ναι, Ῥωμαίοις ἐξίστανται Γότθοι, δασμούς τε καὶ φόρους ὑπὲρ τῆς ἐρήμου ἀποφέρεσθαι ὁμολογοῦσιν ἀνὰ πᾶν ἔτος καὶ ξυμμαχήσειν ἐφ' οὓς ἂν βασιλεὺς βούλοιτο καὶ τἄλλα κατήκοοι αὐτῷ ἔσεσθαι. ἀλλὰ βασιλεὺς μάθησιν οὐδεμίαν τῶν λεγομένων ποιούμενος τοὺς πρέσβεις ἅπαντας ἀπεπέμπετο, πρὸς τὸ Γότθων
D ὄνομα χαλεπῶς ἔχων, ἄρδην τε αὐτοὺς τῆς Ῥωμαίων ἀρχῆς ἐξελάσαι διανοούμενος. ταῦτα μὲν οὖν τῇδε ξυνηνέχθη γενέσθαι.

Θευδίβερτος δὲ, ὁ Φράγγων ἀρχηγὸς, οὐ πολλῷ ἔμπροσθεν ἐξ ἀνθρώπων ἠφάνιστο νόσῳ, Λιγουρίας τε χωρία ἄττα καὶ Ἄλπεις Κουτίας καὶ Βενετιῶν τὰ πολλὰ οὐδενὶ πόνῳ ἐς ἀπαγωγὴν φόρου ὑποτελῆ ποιησάμενος. τὴν γὰρ ἀσχολίαν τῶν μαχομένων οἰκείαν οἱ Φράγγοι εὐκαιρίαν πεποιημένοι τοῖς ἐκείνων περιμαχήτοις αὐτοὶ ἀκινδύνως ἐπλούτουν. καὶ Γότθοις μὲν πο-
P 635 λίσματα ὀλίγα ἐν Βενετίαις διέμεινε. τὰ μὲν γὰρ ἐπιθαλασσίδια χωρία Ῥωμαῖοι, τὰ δὲ ἄλλα ὑποχείρια σφίσιν ἅπαντα πεποίηντο Φράγγοι. Ῥωμαίων τε καὶ Γότθων πόλεμον τόνδε ἧπερ μοι εἴρηται πρὸς ἀλλήλους διαφερόντων καὶ πολεμίους οὐ δυναμένων ἐπικτᾶσθαι καινοὺς, Γότθοί τε καὶ Φράγγοι ἐς λόγους ἀλλήλοις ξυνίασι, καὶ ξυνέκειτο, μέχρι μὲν ἂν Γότθοι πρὸς Ῥωμαίους τὸν πόλεμον διαφέροιεν, ἑκατέρους ὧν περιεγένοντο ἐγ-
κρατεῖς ἡσυχῇ μένειν, μηδέν τε σφίσι πρὸς ἀλλήλους πολέμιον

1. ἐξίσταντο L. 2. ἀποφέρειν Reg. *ibid.* συμμαχήσειν ἐφ' ἃς L. 6. αὐτοὺς] αὐτὸ L. 8. ἀρχηγὸς] βασιλεὺς Reg. 10. Κουτίας] σκουτίας H. 12. εὐκαιρίαν] εὐπορίαν L. *ibid.* ἐκείνων] ἐκείνῃ L corr. 13. γότθους L. 14. Βενετίαις] βενετίοις L. *ibid.* τὰ μὲν] Legebatur τά τε. 15. πεποίηντο] Legebatur πεποίηνται. 16. Γότθων] τῶν γότθων L. 20. ἑκατέρους] ἔχοντας ἑκατέρους L. *ibid.* ὧν περιεγένοντο] ὥνπερ ἐγένοντο Reg.

lae restarent integrae, Romanis Gotthos cedere: pro relicta sibi solitudine tributum annuum ac vectigal obtulerant: et in quoscunque vellet Imperator, se belli socios planeque subditos promiserant. At Imperator dicta respuens, Legatos omnes remiserat, Gotthorum nomen perosus, et in animo habens illos ex Romano Imperio prorsus exterminare. Ibi rerum hic status erat.

Paulo ante, Francorum Rex Theodebertus morbo obierat, cum sibi nullo negotio tributaria fecisset nonnulla Liguriae loca, Alpes Cottias, agrique Veneti partem maximam. Etenim Franci, arrepta belli, quo Romani Gotthique erant impliciti, opportunitate, sine discrimine ditionem suam iis locis auxerunt, de quibus illi pugnabant. Venetorum pauca oppida Gotthis supererant: nam Romani maritima, Franci caetera occuparant. Dum hoc bellum ut dixi, Romani Gotthique inter se gererent, nec novos hostes in se auderent excire, colloquio Gotthos inter ac Francos instituto convenerat, ut quae haberent utrique, his quiete potirentur, nec se invicem armis lacesserent, quamdiu Romanis Gotthi bellum

εἶναι. ἦν δέ γε βασιλέως ποτὲ Ἰουστινιανοῦ περιέσεσθαι Τωτίλαν τῷ πολέμῳ ξυμβαίη, τηνικάδε Γότθους τε καὶ Φράγγους διοικήσασθαι ταῦτα, ὅπη ἂν ξυνοίσειν ἑκατέροις δοκῇ. ἀλλὰ ταῦτα μὲν τῇδε ξυνέκειτο. τὴν δὲ Θευδιβέρτου ἀρχὴν διεδέξατο Θευδίβαλδος ὁ παῖς. βασιλεύς τε Ἰουστινιανὸς Λεόντιον, τὸν B Ἀθανασίου γαμβρὸν, ἄνδρα ἐκ βουλῆς, πρεσβευτὴν παρ' αὐτὸν ἔπεμψεν ἔς τε ὁμαιχμίαν παρακαλῶν ἐπὶ Τωτίλαν τε καὶ Γότθους καὶ χωρίων ἐκστῆναι τῶν ἐπὶ τῆς Ἰταλίας αἰτούμενος, ὥνπερ Θευδίβερτος οὐ δέον ἐπιβατεῖσαι διὰ σπουδῆς ἔσχε.

Λεόντιος δὲ, ἐπειδὴ παρὰ Θευδίβαλδον ἀφίκετο, ἔλεξεν ὧδε „Ἴσως μέν τι καὶ ἄλλοις παρὰ τὰς ἐλπίδας τισὶ τετυχηκέναι ξυνέπεσεν, ὁποῖον δὲ Ῥωμαίοις τανῦν πρὸς ὑμῶν γεγονέναι ξυνέβη, οὐδενὶ οἶμαι ξυνενεχθῆναί ποτε τῶν πάντων ἀνθρώπων. βα- V 227 σιλεὺς μὲν γὰρ Ἰουστινιανὸς οὐ πρότερον κατέστη ἐς πόλεμον τόν- δε, οὐδὲ Γότθους πολεμησείων ἔνδηλος γέγονεν, ἕως αὐτῷ Φράγ- γοι φιλίας τε καὶ ξυμμαχίας ὀνόματι χρήματα μεγάλα κεκομισμέ- C νοι τὴν ἀγωνίαν ξυλλήψεσθαι ὡμολόγησαν. οἱ δὲ οὐχ ὅπως τι δρᾶν τῶν ὡμολογημένων ἠξίωσαν, ἀλλὰ καὶ προσηδικήκασι Ῥω- μαίους τοιαῦτα οἷα οὐδ' ἄν τις ὑποπτεῦσαι ῥᾴδιον ἔσχεν. ὁ γὰρ πατὴρ ὁ σὸς Θευδίβερτος χώρας ἐπιβατεῦσαι ὑπέστη, οὐδὲν αὐτῷ προσῆκον, ἦσπερ βασιλεὺς πόνῳ τε πολλῷ καὶ κινδύνοις πολέ-

1. *Τωτίλαν*] τουτίλλαν L, hic et infra saepe. 2. συμβαίη L. 3. ξυνήσειν — δοκεῖ L. 3. 4. Θευδεβέρτου — Θευδίβαρτος L. 7. ἔς L. εἰς P. 9. ἐπιβατεῦσαι διὰ σπουδῆς L et Suidas s. v. ἐπιβῆναι et οὐ δέον. Vulgo ἐπιβατεύσας (sic P et Vat.: ἐπιστρατεύσας H) ἐν σπονδαῖς. 11. ἄλλοις] ἄλλο H. 13. ξυνηνέχθη πώποτε πάντων Reg. 15. αὐτῷ] αὐτὸ L. 16. τε καὶ ξυμμαχίας om. L. 21. τε om. L.

inferrent: ac si bello vinceret Iustinianum Augustum Totilas; tum Gethi et Franci transigerent, prout e re esse communi videretur. Haec erant pacta conventa. Postquam vero in Regnum Theodeberto successit Theodebaldus filius, ad eum Iustinianus Augustus Legatum misit Leontium, Athanasii generum ac Senatorem, postulans, ut arma secum adversus Totilam et Gotthos iungeret, cederetque locis, quae Theodebertus in Italia contra ius foederis occupasset.

Ubi ad Theodebaldum venit Leontius, ita disseruit: *Sunt forte, quibus aliquid contra expectationem acciderit; qualia vero a vobis in Romanos admissa sunt nemini praeterea contigisse unquam crediderim. Etenim Iustinianus Augustus non ante ad bellum istud adiecit animum, nec se arma in Gotthos movere prius ostendit, quam Franci auxilia promisissent, amicitiae et societatis nomine accepta ingenti pecunia. At illi, adeo non promissi partem implevere aliquam, ut Romanis iniuriam tantam intulerint, quantam vel suspicari nemo facile possit. Neque enim dubitavit pater tuus Theodebertus in provincias contra ius fasque involare, quas Im-*

μου, καὶ ταῦτα Φράγγων ἐκποδὼν ἑσταμένων, κύριος γέγονε. διόπερ τανῦν ἐς ἡμᾶς ἥκω, οὐχ ὅπως μέμψομαι ἢ αἰτιάσομαι, ἀλλ' αἰτησόμενός τε καὶ παραινέσων ὅσα ξυνοίσειν ὑμῖν αὐτοῖς μέλλει. λέγω δέ, ὅπως βεβαιότατα μὲν διασώζητε τὴν ὑπάρχουσαν ὑμῖν εὐπραξίαν, ξυγχωρήσητε δὲ Ῥωμαίοις ἔχειν τὰ αὐτῶν; D ἴδια. τοὺς γὰρ δύναμιν περιβεβλημένους μεγάλην καὶ βραχέων τινῶν οὐχ ὁσία κτῆσις ἀφαιρεῖσθαι πολλάκις τὰ παρόντα αὐτοῖς ἴσχυσεν, ἐπεὶ τὸ εὔδαιμον τῷ ἀδίκῳ ἐς ταὐτὸ ξυνιέναι οὐδαμῇ εἴωθε. καὶ μὴν καὶ ὅπως ἡμῖν τὸν πρὸς Τωτίλαν ξυνδιενέγκητε πόλεμον, τὴν τοῦ πατρὸς ὑποτελοῦντες ὁμολογίαν. τοῦτο γὰρ E ἂν πρέπον γνησίοις παισὶ πάντων μάλιστα, ἐπανορθοῦν μέν, εἴ τι τοῖς γεναμένοις ἡμαρτῆσθαι ξυμβαίνει, περιστέλλειν δὲ καὶ κρατύνεσθαι ὅσα δὴ αὐτοῖς ἄριστα εἰργασται. ἐπεὶ καὶ τῶν ἀνθρώπων ταῦτα διαφερόντως εὐκτὰ τοῖς ξυνετωτάτοις ἂν εἴη, ὅπως δὴ αὐτῶν τὰ μὲν τῶν ἐπιτηδευμάτων ἄριστα οἱ παῖδες ζη- 5 λοῖεν, εἰ δέ τι αὐτοῖς οὐκ ὀρθῶς πέπρακται, μὴ ὑπ' ἄλλου του P 636 τὸ τοιοῦτον ἢ ὑπὸ τῶν παίδων ἄμεινον ἔσεσθαι. καίτοι ἐχρῆν H 359 ὑμᾶς ἀκλήτους Ῥωμαίοις πόλεμον τόνδε ξυνάρασθαι. πρὸς Γότθους γὰρ ἡμῖν ὁ ἀγών ἐστιν, οἳ τὸ ἐξ ἀρχῆς ἐχθροί τε καὶ ἄλλως ἄπιστοι γεγόνασι Φράγγοις, ἄσπονδά τε αὐτοῖς καὶ ἀκήρυκτα 10 πολεμοῦντες τὸν ἅπαντα αἰῶνα. οἳ δὴ νῦν μὲν θέᾳ τῷ ἐξ ἡμῶν

2. μέμψομαι ἢ αἰτιάσομαι L. 4. βεβαιοτάτην L. 5. συγχωρήσητε L. 7. αὐτοῖς ἴσχυσεν] αὐτοῖς ἐκ παλαιοῦ ἀγαθοῦ ἴσχυσεν L. 8. ταὐτὸ] ταὐτὸν L. 10. ὁμολογίαν ὑποτελοῦντες L. 11. πάντων] τῶν πάντων L. 12. γεναμένοις] γονομένοις L. 13. τῶν om. L. 14. συνετωτάτοις L. 16. του om. L. 21. ἅπαντα] πάντα L.

perator labore multo bellicisque periculis, idque sine Francorum ope, in ditionem suam subiunxerat. Quare huc modo veni, ut, omissis querelis et criminationibus, ea petam ac moneam, quae vobis ipsis profutura sint: nimirum ut vestram stabiliatis optime felicitatem, et Romanos sinatis habere sua. Certe potentissimos evertit saepe fortunis omnibus iniusta rerum alicuius possessio. Nec vero dives prosperitas cum iniquitate coire solet. Praeterea postulo, ut socia nobiscum arma ferat in Totilam, itaque fidem paternam liberet. Quippe veros iustosque liberos maxime decet, si quid parentes peccaverint, id corrigere; firmare autem et rata facere, quidquid praeclare constituerint. Hoc in primis optandum sapientissimis viris, ut studiorum, quibus dediti cum laude fuerint, imitatores relinquant filios: ac rursus, si quid perperam egerint, id emendet nemo, praeterquam ipsorum liberi. Quin etiam vos, non invitatos, inire cum Romanis oportuit societatem huius belli, quo Gothos petimus, veteres Francorum hostes, et omnino ipsis infidos, ac bellum impacato atque inexpiabili odio inferre solitos. Nunc quidem impulsi metu, quem incutimus, adulari vobis non re-

οὐκ ἀπαξιοῦσι κολακικοὶ ἐς ὑμᾶς εἶναι· εἰ δέ ποτε ἡμῶν ἀπαλλαγεῖεν, οὐκ ἐς μακρὰν τὴν ἐς Φράγγους ἐνδείξονται γνώμην. πονηροὶ γὰρ ἄνθρωποι τὸν αὐτῶν τρόπον ἀμείβειν μὲν οὐκ εὐτυχοῦντες, οὐ πράσσοντες κακῶς δύνανται, ἀποκρύπτειν δὲ αὐτὸν ἐκ τοῦ ἐπὶ πλεῖστον ἐν κακοπαθείαις εἰώθασιν, ἄλλως τε ἢν καὶ B τῶν πέλας τινὸς δέωνται, τῆς χρείας αὐτοὺς ξυγκαλύπτειν ἀναγκαζούσης τὴν μοχθηρίαν. ὧν ἐνθυμηθέντες ἀνανεοῦτε μὲν τὴν ἐς βασιλέα φιλίαν, ἀμύνεσθε δὲ τοὺς ἄνωθεν ὑμῖν δυσμενεῖς δυνάμει τῇ πάσῃ."

Λεόντιος μὲν τοσαῦτα εἶπε. Θευδίβαλδος δὲ ἀμείβεται ὧδε „Ξυμμάχους μὲν ἐπὶ Γότθους ἡμᾶς οὐκ ὀρθῶς οὐδὲ τὰ δίκαια ποιοῦντες καλεῖτε. φίλοι γὰρ ἡμῖν τανῦν Γότθοι τυγχάνουσιν ὄντες. εἰ ἀβέβαιοι Φράγγοι ἐς αὐτοὺς εἶεν, οὐδὲ ὑμῖν ποτε πιστοὶ ἔσονται. γνώμη γὰρ ἄπαξ μοχθηρὰ ἐς τοὺς φίλους ὀρθεῖσα ἐκτρέπεσθαι τῆς δικαίας ὁδοῦ ἐς ἀεὶ πέφυκεν. ὧν μέντοι ἐπεμνήσθητε χωρίων ἕνεκα, τοσαῦτα ἐροῦμεν, ὡς ὁ πατὴρ οὑμὸς Θευδίβερτος οὔτε βιάσασθαι πώποτε τῶν ὁμόρων τινὰ ἐν σπουδῇ ἔσχεν οὔτε κτήμασιν ἀλλοτρίοις ἐπιπηδᾶν. τεκμήριον C δέ· οὐ γάρ εἰμι πλούσιος. οὐ τοίνυν οὐδὲ τὰ χωρία ταῦτα Ῥωμαίοις ἀφελόμενος, ἀλλὰ Τωτίλα ἔχοντος ἤδη αὐτὰ καὶ διαρρήδην ἐνδιδόντος καταλαβὼν ἔσχεν, ἐφ' ᾧ ἐχρῆν μάλιστα βασιλέα Ἰουστινιανὸν ξυνήδεσθαι Φράγγοις. ὁ γὰρ τούς τι ἀφελομένους

2. ἐνδείξονται] δείξονται L. 4. οὐ πράσσοντες] καὶ πράσσοντες L. 6. συγκαλύπτειν L. 11. ὧδε] τῷδε Suidas s. v. Θευδίβαλδος: sed ὧδε s. v. ἀμείβεσθαι. ibid. συμμάχους L. 17. οὑμὸς] ὁ ἐμὸς Reg. ibid. οὔτε — οὔτε] οὐδὲ — οὐδὲ P. 21. ἐχρῆν] χρῆν Reg. 22. συνήδεσθαι L.

nunt: at si quando a nobis se expedierint, quo in Francos animo sint, brevi ostendent. Enimvero homines improbi nec in prospera, nec in adversa fortuna ingenium mutare valent; licet duris in rebus occultare maxime consueverint; praesertim si finitimorum opera indigent; quo tempore perversitatem tegere necessitas cogit. His perpensis, cum Imperatore amicitiam renovate, ac totis viribus ultum ite veterem hostem.

Haec Leontius: cui Theodebaldus ita respondit. *Ad societatem belli in Gothos nos recte, nec iure nos invitatis: iam enim nobis amicitia coniuncti sunt: quibus si fidem Franci fefellerint, nec vobis unquam praestabunt. Deprehensus enim semel animus in prava adversus amicos fraude, semper deflectere de recto solet. Quod ad loca attinet, quorum mentionem fecisti, satis habeo dicere, numquam eo patrem meum Theodebertum spectasse, ut finitimorum cuiquam afferret vim, aut in alienas possessiones involaret. Id ex eo coniice, quod mihi non magnas opes reliquit. Neque ille ea loca Romanis eripuit; sed a Totila, qui iam illa obtinuerat, palam tradita occupavit: quo nomine Francis maxime gratulari Iustinianum*

τῶν αὐτοῦ κτημάτων ἰδίων, ὑφ' ἑτέρων τινῶν βιασθέντας ὁρᾷ εἰκότως ἂν χαίροι, τὴν δίκην ἐκτετικέναι ὀρθῶς καὶ δικαίως τὸν αὐτὸν ἠδικηκότας οἰόμενος, ἢν μὴ ἐς τοὺς βιασαμένους αὐτὸς φθονερὸς γένηται, ἐπὶ τῷ προσποιεῖσθαι τὰ τῶν ἐχθρῶν δικαιώματα, οἷς ἐς φθόνον ὡς τὰ πολλὰ περίστασθαι εἰώθασιν ἄνθρωποι. δικασταῖς μέντοι ἐπιτρέπειν οἷοί τε ἐσμὲν τὴν περὶ
D τούτου διάγνωσιν. ὥστε εἴ τι Ῥωμαίους ἀφελέσθαι τὸν πατέρα τὸν ἐμὸν φανερὸν γένηται, τοῦτο ἡμᾶς ἀποτινύναι μελλήσει οὐδεμιᾷ ἐπάναγκες εἴη. ὑπέρ τε τούτων πρέσβεις ἐς Βυζάντιον στελήσονται παρ' ἡμῶν οὐ πολλῷ ὕστερον." τοσαῦτα εἰπὼν τόν τε Λεόντιον ἀπεπέμψατο καὶ πρεσβευτὴν Λεύδαρδον, ἄνδρα Φράγγον, τέταρτον αὐτὸν παρὰ βασιλέα Ἰουστινιανὸν ἔστειλε. καὶ οἱ μὲν ἐς Βυζάντιον ἀφικόμενοι ἔπρασσον οὗ ἕνεκα ἦλθον.

V 228 Τωτίλας δὲ νήσους τὰς Λιβύῃ προσηκούσας καταλαβὼν διὰ σπουδῆς εἶχε. στόλον οὖν αὐτίκα νηῶν ἀγείρας καὶ στρατευμα τούτοις ἐνθέμενος ἀξιόχρεων ἔς τε Κουρσικὴν καὶ Σαρδὼ
P 637 στέλλει. οἱ δὲ τὰ μὲν πρῶτα ἐς Κουρσικὴν ἀποπλεύσαντες, οὐδενὸς αὐτοῖς ἀμυνομένου, τὴν νῆσον ἔσχον, μετὰ δὲ καὶ Σαρδὼ κατέλαβον. ἄμφω δὲ τὰ νήσω ὁ Τωτίλας ὑποτελεῖς ἐς ἀπαγωγὴν φόρου πεποίηται. ὅπερ Ἰωάννης μαθὼν, ὃς τοῦ ἐν Λιβύῃ Ῥωμαίων στρατοῦ ἦρχε, στόλον τε νηῶν καὶ στρατιωτῶν πλῆ-

3. αὐτὸς om. L. 4. ἐπὶ τῷ] ἐπὶ τὸ Reg. 6. μέντοι] γὰρ H. 7. τούτου] τούτων Reg. 8. ἡμᾶς] ὑμᾶς H. 20. τὰ νήσω Reg. τὰς νήσους L. ibid. ἐς] ἐν H.

Augustum decuit. Nam qui rerum raptores suarum ab aliis spoliatos videt, is meritam factae sibi iniuriae poenam ipsos luisse arbitratus, iure laetatur, nisi forte vindicibus ipse invideat, amplectendo potius quae pro se hostes allegare possint, eo comparata, ut in animis hominum plerumque invidiam excitent. Caeterum iudicibus disceptationem rei permittere utrique possumus: ut si quid patrem meum Romanis abstulisse constiterit, sine mora cogamur id restituere. Sed de his Legatos Byzantium mittemus brevi. His dictis, remisit Leontium; et Leudardum, genere Francum, ad Iustinianum Augustum legavit cum tribus aliis. Atque illi cum pervenissent Byzantium, rem, cuius gratia venerant, ex sententia confecerunt.

Totilas vero, cum adiunctas ditioni Africae insulas affectaret, statim classem collegit, impositoque iusto exercitu, in Corsicam et Sardiniam misit. Ille in Corsicam primum expositus, nemine prohibente, insulam occupavit, ac deinde Sardiniam: tum utramque insulam Totilas vectigalem fecit. Quod ubi accepit Ioannes, militiae Magister in Africa,

θος ἐς Σαρδὼ ἔπεμψεν. οἵπερ ἐπειδὴ Καρνάλεως πόλεως ἄγχιστα ἵκοντο, ἐνστρατοπεδευσάμενοι ἐς πολιορκίαν καθίστασθαι διενοοῦντο. τειχομαχεῖν γὰρ οὐκ ᾤοντο οἷοί τε εἶναι, ἐπεὶ Γότθοι ἐνταῦθα φυλακτήριον διαρκὲς εἶχον. ἐπειδὴ δὲ ταῦτα οἱ βάρβαροι ἔγνωσαν, ἐπεξελθόντες ἐκ τῆς πόλεως καὶ τοῖς πολεμίοις ἐξαπιναίως ἐπιπεσόντες τρεψύμενοί τε αὐτοὺς οὐδενὶ πόνῳ πολλοὺς ἔκτειναν. οἱ δὲ λοιποὶ φεύγοντες, ἐν μὲν τῷ παραυτίκα ἐς τὰς ναῦς διεσώθησαν, ὀλίγῳ δὲ ὕστερον ἐνθένδε ἀπάραντες ἐς Καρχηδόνα παντὶ τῷ στόλῳ ἀφίκοντο. ἐνταῦθά τε διαχειμάσαντες ἔμενον, ἐφ' ᾧ δὴ ἅμα ἦρι ἀρχομένῳ παρασκευῇ πλείονι ἐπί τε Κουρσικὴν καὶ Σαρδὼ αὖθις στρατεύσωσι. ταύτην δὲ τὴν Σαρδὼ τανῦν Σαρδινίαν καλοῦσιν. ἐνταῦθα φύεσθαι ξυμβαίνει πόαν ἧς δὴ ἀπογευομένοις ἀνθρώποις αὐτίκα σπασμὸς θανάσιμος ἐπιγίνεται, ἀφ' οὗ δὴ τελευτῶσιν οὐ πολλῷ ὕστερον, γέλωτα γελᾶν ὑπὸ τοῦ σπασμοῦ δοκοῦντές τινα, ὅνπερ ὁμωνύμως τῇ χώρᾳ Σαρδώνιον καλοῦσι. τὴν δὲ Κουρσικὴν οἱ πάλαι ἄνθρωποι Κύρνον ἐκάλουν. ἐνταῦθα ὥσπερ ἄνθρωποι νάννοι γίνονται, οὕτω δή τινων ἵππων ἀγέλαι εἰσὶ τῶν προβάτων ὀλίγῳ μειζόνων. ταῦτ' οὖν τοιαῦτά ἐστι.

κε'. Σκλαβηνῶν δὲ πολὺς ὅμιλος Ἰλλυριοῖς ἐπισκήψαντες πάθη ἐνταῦθα οὐκ εὐδιήγητα διειργάσαντο. βασιλεὺς δὲ Ἰου-

1. *Καρνάλεως*] καράλεως Reg. 3. *οἷοι*] οἷον Reg. 12. *Σαρδινίαν*] σαρδανίαν Reg. σαρδήνιαν H. *Σαρδηνίαν* P. 14. *ἀφ' οὗ*] οἷ L. 16. *Σαρδώνιον*] σαρδωνίαν H: illud Hm. 17. *νάννοι*] „γρ. πιτζάδαι et πίθηκες" Hm. *πίθηκες* L, *πίθηκοι* L corr. 18. *προβάτων*] προβατίων Reg. 19. *μειζόνων* Reg. *μείζονες* P. *ibid. ταῦτ'*] ταῦτα μὲν L. 21. *διειργάσαντο*] εἰργάσαντο L.

classem in Sardiniam cum copiis destinat: quae cum ad urbem Calarim accessissent, castris positis, obsidionem meditabantur, impares se oppugnandis moenibus iudicantes, eo quod ibi praesidium Gotthi satis validum haberent. Re Barbari cognita, ex urbe erumpunt, subitoque impetu hostibus facile in fugam versis, multos conficiunt: caeteri ad naves tum evasere: nec multo post inde profecti cum omni classe pervenerunt Carthaginem, ibique hiemarunt, primo vere bellum iterum in Corsicam et Sardiniam portaturi maiori cum apparatu. Olim Sardo, nunc Sardinia appellatur haec insula: ubi herba nascitur, quam qui degustant, continuo letiferam patiuntur convulsionem, cuius subinde vi sic intereunt, ut ridere videantur; convulsione risum efficiente eiusmodi, quem de insulae nomine Sardonium dicunt. Corsicam vero vocarunt veteres Cyrnum: hic ut sunt homines nani, sic armenta quaedam equorum, paulo grandiorum ovibus, videre est. Haec hactenus.

25. Cum Sclavenorum ingens multitudo, facta in Illyricum irruptione, infanda perpetraret, in eos Iustinianus Augustus misit exerci-

στινανὸς στράτευμα ἐπ' αὐτοὺς ἔπεμψεν, οὗ δὴ ἄλλοι τε καὶ ὁ Γερμανοῦ παῖδες ἦγοῦντο. οἵπερ τῷ πλήθει τῶν πολεμίων παρὰ πολὺ ἐλασσούμενοι χωρῆσαι μὲν αὐτοῖς ὁμόσε οὐδαμῇ ἴσχυσαν. ὄπισθεν δὲ ἀεὶ μένοντες τῶν βαρβάρων τοὺς ἀπολειπομένους ἐσι-
D νοντο. καὶ πολλοὺς μὲν αὐτῶν ἔκτεινον, τινὰς δὲ καὶ ζωγρή-
H 360 σαντες βασιλεῖ ἔπεμψαν. οὐδὲν μέντοι ἧσσον οἱ βάρβαροι οὕτω τὰ δεινὰ ἔδρασαν. ἐν ταύτῃ τε τῇ λεηλασίᾳ χρόνου τε μέγα κατατρίψαντες μῆκος τὰς μὲν ὁδοὺς νεκρῶν ἔπλησαν ἀπάσας, ἐξανδραποδίσαντες δὲ ἀνάριθμα πλήθη καὶ ληισάμενοι ξύμπαντα, οὐδενὸς σφίσιν ἀντιστατοῦντος, ἐπ' οἴκου ἀπεκομίσθησαν ξὺν πάσῃ τῇ λείᾳ. οὐδὲ γὰρ διαπορθμευομένους ποταμὸν Ἴστρον
P 638 ἴσχυσαν σφᾶς ἐνδρεῦσαι Ῥωμαῖοι ἢ ἄλλῳ τῳ βιάσασθαι κρύπτῃ, ἐπεὶ Γήπαιδες αὐτοὺς μισθαρνήσαντες ὑπεδέξαντο καὶ διεπόρθμευσαν οὐ μακρόμισθοι γεγενημένοι. ἐπὶ κεφαλῇ γὰρ ἑκάστῃ κατὰ στατῆρα χρυσοῦν ἡ μίσθωσις ἦν. διόπερ βασιλεὺς ἐδυσ-
φορεῖτο, οὐκ ἔχων τὸ λοιπὸν ὅπῃ ποτὲ αὐτοὺς ἀναστέλλῃ διαβαίνοντας ποταμὸν Ἴστρον, ἐφ' ᾧ ληίσονται τὴν Ῥωμαίων ἀρχὴν καὶ ἀλφηστίαν τὴν ἀποπορείαν ποιουμένους ἐνθένδε, ἤθελέ τε τούτων δὴ ἕνεκα Γηπαίδων τῷ ἔθνει εἰς συνθήκας κατασταῖ-
ναί τινας.

Ἐν τούτῳ δὲ Γήπαιδές τε καὶ Λαγγοβάρδαι αὖθις πολεμι-
B σείοντες ἐπ' ἀλλήλους ἦσαν. Γήπαιδές τε δύναμιν τὴν τῶν Ῥω-

1. οὗ] οἷς H. 3. ὁμόσε L. αὐτίον P. 8. ἔκλεψαν] ἀνέκλεψαν Reg. 10 ξὺν] σὺν L. 14. οὐ om. H et Reg. ibid. μακρόμισθοι Reg μικρομισθίους γεγενημένους H. 18. καὶ om. L. ibid. τὴν] ὡς τὴν HL. 22. τῶν om. L.

tum, cui, praeter alios, Germani filii praecerant. Hi numero longe hostibus inferiores, obviam illis obsistere non poterant; sic autem subibant a tergo, ut postremos carperent. Multis caesis, nonnullos cepere vivos, et ad Imperatorem miserunt. Nihilo tamen minus grassabantur hi Barbari. Fuit haec populatio impendio diuturnior; ita ut cadaveribus vias omnes constraverint, et cum infinita captivorum multitudine praedaque omni, quam cuncta vastando collegerant, domum redierint, nemine prohibente. Neque enim ad Istri fluminis trajectum illis insidias Romani struere, nec vim ullam afferre poterant: propterea quod a Gepaedibus excepti transvehebantur, pacto transmissionis pretio non exiguo: quippe aureum staterem unum pendebant in capita. Ex eo anxius Imperator, quod iam illos inhibere non posset, sive fluvium Istrum transirent, Romanum direpturi Imperium, sive hinc repente excederent; hac de causa pacisci cum Gepaedibus cupiebat.

Interea loci Gepaedes et Langobardi inter se bellum reparabant. Tum Gepaedes, nondum accepto nuntio irati ab Augusto cum Lango-

μαίων δειμαίνοντες (ἀνήκοοι γὰρ οὐδαμῇ ἦσαν ὡς Ἰουστινιανὸς βασιλεὺς ὁμαιχμίαν ἐνωμότως πρὸς Λαγγοβάρδας πεποίηται) φίλοι καὶ ξύμμαχοι Ῥωμαίοις γενέσθαι ἐν σπουδῇ ἔσχον. πρέσβεις οὖν ἐς Βυζάντιον εὐθὺς πέμπουσι, βασιλέα καὶ αὐτὸν ἐς τὴν ὁμαιχμίαν παρακαλοῦντες. καὶ ὃς αὐτοῖς μελλήσει οὐδεμιᾷ ἐπὶ τῇ ξυμμαχίᾳ τὰ πιστὰ ἔδωκε. δεηθέντων δὲ τῶν πρέσβεων V 229 τῶνδε καὶ τῶν ἀπὸ τῆς συγκλήτου βουλῆς ἄνδρες δυοκαίδεκα ὅρκια δόντες, ταύτας αὐτοῖς τὰς ξυνθήκας ἐπέρρωσαν. οὐ πολλῷ δὲ ὕστερον Λαγγοβάρδαις κατὰ τὸ ξυμμαχικὸν δεομένοις στρατιὰν εἰς ξυμμαχίαν ἐπὶ Γήπαιδας Ἰουστινιανὸς βασιλεὺς ἔπεμψεν, ἐπενεγκὼν Γήπαισι Σκλαβηνῶν τινας ἐπὶ πονηρῷ Ῥωμαίων μετὰ C τὰς ξυνθήκας διαβιβάσαι ποταμὸν Ἴστρον. ἡγοῦντο δὲ τῆς στρατιᾶς ταύτης Ἰουστῖνός τε καὶ Ἰουστινιανὸς οἱ Γερμανοῦ παῖδες καὶ Ἀράτιός τε καὶ Σουαρτούας, ὃς πρὸς Ἰουστινιανοῦ μὲν ἄρχειν Ἐρούλοις κατέστη πρότερον, ἐπαναστάντων δὲ οἱ τῶν ἀπὸ Θούλης τῆς νήσου ἡκόντων, ὥσπερ μοι ἐν τοῖς ἔμπροσθεν λόγοις ἐρρήθη, ἐς βασιλέα τε ἀφίκετο φεύγων καὶ Ῥωμαίοις στρατηγὸς τῶν ἐν Βυζαντίῳ καταλόγων εὐθὺς γέγονε, καὶ Ἀμαλαφρίδος, Γότθος ἀνήρ, Ἀμαλαφρίδης μὲν θυγατριδοῦς, τῆς Θευδερίχου τοῦ Γότθων βασιλέως ἀδελφῆς, Ἑρμενεφρίδου δὲ υἱὸς τοῦ Θορίγγων ἡγησαμένου. ὅνπερ Βελισάριος μὲν ξὺν Οὐιτ- D τιγιδι ἐς Βυζάντιον ἤγαγε, βασιλεὺς δὲ Ῥωμαίων ἄρχοντα κατε-

2. λαγγοβάρδους H. *ibid.* πεποίηται] πεποίηκε Reg. 4. Βυζάντιον] βυζαντίους Reg. *ibid.* αὐτὸν L. αὐτοὶ P. 8. ταύτη οἱ αὐτῆς τῆς ξυνθήκης L. 11. πονήρῳ P. 14. Σουαρτούας] σουαρτοῦαι HL. *ibid.* πρὸς] πρὸ Hm. 19. Ἀμαλαφρίδος] ἀμαλαφρίδας HL. 20. Ἑρμενεφρίδου] ἑρμενίφρου HL. 21. Οὐιττιγιδι] ἰουτιγιδι H. ἰουβιτόριδι L.

bardis foederis, Romanorum vires veriti, ad eorum amicitiam et societatem aspirabant enixe. Quamobrem missa confestim Byzantium legatione, rogatus Imperator ut cum ipsis quoque foedus pangeret, extemplo data fide illud percussit, idemque Senatores duodecim iureiurando firmarunt petentibus Legatis. Haud multo post, quae adversum Gepaedes Langobardi sociali iure postulabant, misit auxilia Iustinianus Augustus, Gepaedes insimulans, quod in Romanorum perniciem, post foedus ictum, Sclavenorum agmen Istrum fluvium transportassent. Copias illas ducebant Iustinus ac Iustinianus Germani filii, Aratius et Suartuas, cui quidem antea Iustinianus principatum Erulorum decreverat: is vero, ut in superioribus libris narravi, eorum, qui ex insula Thule venerant, rebellione pulsus, ad Imperatorem confugerat, ac subinde creatus fuerat Magister militum in praesenti. E numero Ducum erat Amalafridus, vir Gotthus, ex filia nepos Amalafridae sororis Theoderici Gotthorum Regis, et filius Hermenefridi Regis Thoringorum. Hunc Amalafridum cum Vittige Byzantium deportatum a Belisario, Romanorum Ducem Impera-

πήσατο, καὶ τὴν αὐτοῦ ἀδελφὴν Αὐδουὶν τῷ Λαγγοβάρδων ἄρχοντι κατηγγύησε. τοῦ δὲ στρατοῦ τούτου οὐδεὶς παρὰ Λαγγοβάρδας ἀφίκετο, ὅτι μὴ οὗτος Ἀμαλαφρίδος ξὺν τοῖς ἑπομένοις. οἱ γὰρ ἄλλοι ἐν Ἰλλυριοῖς ἀμφὶ πόλιν Οὐλπιάναν βασιλέως ἐπαγγείλαντος διατριβὴν ἔσχον, στάσεως ἐνταῦθα πρὸς τῶν οἰκητόρων γεγενημένης, ὧνπερ ἕνεκα σφίσιν αὐτοῖς οἱ Χριστιανοὶ διαμάχονται, ἥπερ μοι ἐν λόγοις τοῖς ὑπὲρ τούτων γεγράψεται. οἱ μὲν οὖν Λαγγοβάρδαι πανδημεὶ ξὺν τῷ Ἀμαλαφρίδῳ ἐς τὰ Γηπαίδων ἤθη ἀφίκοντο, ὑπαντιασάντων δὲ τῶν Γηπαίδων σφίσι καὶ μάχης καρτερᾶς γενομένης ἡσσῶνται Γήπαιδες, καὶ αὐτῶν ταμπληθεῖς φασιν ἐν τῷ πόνῳ τούτῳ ἀποθανεῖν. Αὐδουὶν τε, ὁ τῶν Λαγγοβαρδῶν βασιλεύς, τῶν οἱ ἑπομένων τινὰς ἐς Βοιώτιον πέμψας εὐαγγέλια μὲν Ἰουστινιανῷ βασιλεῖ ἐδήλου, νενικημένων τῶν πολεμίων, ἐμέμφετο δὲ οὐ παραγενέσθαι οἱ κατὰ τὸ ξυμμαχικὸν τὸν τοῦ βασιλέως στρατὸν, καίπερ Λαγγοβαρδῶν τοσούτων τὸ πλῆθος ἔναγχος ἐσταλμένων ἐφ' ᾧ Ναρσῇ ξυστρατεύσωσιν ἐπὶ Τωτίλαν τε καὶ Γότθους. ταῦτα μὲν οὖν ἐφέρετο τῇδε.

Ἐν τούτῳ δὲ τῷ χρόνῳ σεισμοὶ κατὰ τὴν Ἑλλάδα ἐπικτόντες ἑξαίσιοι τήν τε Βοιωτίαν καὶ Ἀχαΐαν καὶ τὰ περὶ κόλπον τὸν Κρισαῖον κατέσεισαν. καὶ χωρία μὲν ἀνάριθμα, πόλεις δὲ ἑκτὼ ἐς ἔδαφος καθεῖλον, ἐν ταῖς Χαιρώνειά τε καὶ Κορώνεια

3. Ἀμαλαφρίδος] ἀμαλαφρίδας HL. 8. Ἀμαλαφρίδῳ] ἀμαλαφρίδᾳ H ἀμαλαφρίδη L. 13. ἐδήλου] ἐδήλουν L. 16. ἐσταλμένων] ἐπαρμένων L. 21. Κρισαῖον] κρησσαῖον H. 22. κορώνη ἦν καὶ πάτρα HL.

tor creavit, et sororem eius Auduino Langobardorum Regi collocavit. Illius exercitus nemo ad Langobardos pervenit, nisi Amalafridus cum suis. Nam caeteri in Illyrico ad urbem Ulpianam Imperatoris iussu constiterunt, ob incolarum seditionem, ortam ex Christianorum controversiis de Religione, ut referam in libris, quos de illis conscribam. Ergo Langobardi cum omnibus copiis et Amalafrido Gepaedum fines ingressi, factos sibi obvios acerrimo fundunt praelio, eorumque, ut perhibent, partem maximam caedunt. Tunc Auduinus, Langobardorum Rex, quosdam e suis asseclis Byzantium destinat, laetum cladis hostilis nuntium Iustiniano Aug. allaturos; eum simul incusans, quod non ex pacto foederis affuissent ipsius copiae; quamvis nuper tot numero Langobardi profecti essent, Narseti in Totilam et Gotthos militarem operam navaturi. Haec ibi acta.

Per id tempus extitere in Graecia maximi terraemotus, et Boeotiam, Achaiam, circumiectasque sinui Crisaeo oras sic concusserunt, ut vicos innumeros atque urbes octo solo adaequaverint; in his fuere Chae-

καὶ Πάτραι καὶ Ναύπακτος ὅλη, ἔνθα δὴ καὶ φόνος γέγονεν ἀν- B
θρώπων πολύς. καὶ χάος δὲ τῆς γῆς πολλαχῇ ἀποσχισθείσης γε-
γένηται. τὰ δὲ διαιρεθέντα ἔνια σχίσματα μὲν αὖθις ἐς ταὐτὸ
ξυνιόντα τὸ πρότερον τῇ γῇ σχῆμά τε καὶ εἶδος ἀπέδωκεν, ἔστι
δὲ οὖ καὶ διεστηκότα μεμένηκεν· ὥστε οὐδὲ ἀλλήλοις ἐπιμίγνυ-
σθαι οἱ τῇδε ἄνθρωποί εἰσι δυνατοὶ ὅτι μὴ περιόδοις πολλαῖς
χρώμενοι. ἐν δέ γε τῷ πορθμῷ, ὅπερ μεταξὺ Θεσσαλίας τε
καὶ Βοιωτίας ξυμβαίνει εἶναι, γέγονέ τις ἐκ τοῦ αἰφνιδίου τῆς
θαλάσσης ἐπιρροὴ ἀμφί τε πόλιν τὴν Ἐχιναῖον καλουμένην καὶ
τὴν ἐν Βοιωτοῖς Σκάρφειαν. πόρρω τε τῆς ἠπείρου ἀναβᾶσα H 361
καὶ κατακλύσασα τὰ ἐκείνῃ χωρία ἐς ἔδαφος καθεῖλεν εὐθύς.
χρόνος τε πολὺς ἐπιχωριαζούσῃ τῇ ἠπείρῳ ἐτρίβη, ὥστε τοῖς ἀν- C
θρώποις πεζῇ ἰοῦσι βατὰς ἐπὶ πλεῖστον γενέσθαι τὰς νήσους, αἵ-
περ ἔνδοθεν τοῦ πορθμοῦ τούτου τυγχάνουσιν οὖσαι, τοῦ τῆς
θαλάσσης δηλονότι ῥοθίου ἐκλείποντος μὲν τὴν αὐτοῦ χώραν,
ἐπιπολάζοντος δὲ παρὰ δόξαν τῇ γῇ ἄχρι ἐς τὰ ὄρη, ἃ ταύτῃ
ἀνέχει. ἡνίκα δὲ τῇ θαλάσσῃ ἐς τὰ οἰκεῖα ἐπανιέναι ξυνέπεσεν,
ἰχθύες ἐν τῇ γῇ ἀπελείποντο, ὧνπερ ἡ ὄψις ἀήθης παντάπασιν
οὖσα τοῖς τῇδε ἀνθρώποις τερατώδης τις ἔδοξεν εἶναι. οὓς δὴ
ἐδωδίμους εἶναι οἰόμενοι ἀνείλοντο μὲν ὡς ἐψήσοντες, θέρμης
δὲ αὐτῶν τῆς ἐκ τοῦ πυρὸς ἁψαμένης ἐς ἰχῶράς τε καὶ σηπεδό-
νας οὐ φορητὰς τὸ σῶμα ὅλον ἀποκεκρίσθαι ξυνέπεσεν. ἀμφὶ

2. πολλαχῇ] πολλάκις L a pr. m. 3. σχίσματα L corr. σχίσμα L a pr. m. σχῆμα P. 6. πολλαῖς] πολλάκις H. 7. Θεσσαλίας] μεσαλίας H. μεγαλίας L a pr. m. 9. Ἐχιναῖον] ἐχιναίων L. 10. Σκάρφειαν] Vulgo Σκάρφιαν. 13. πεζῇ] πεζοῖς Reg. ibid. αἵπερ] καίπερ L et Pm. 14. ἔνδοθεν] ἐντεῦθεν HL. ἐνθένδε Pm. 16. ἐς τὰ] εἰς τὰ L. 18. ἀπελείποντο L. ἀπελίποντο P.

ronia, Coronia, Patrae, et Naupactus, quae tota corruit. Ingens periit hominum numerus: discessit multis in locis terra, et alicubi iterum coiens, pristinam faciem recepit. Est ubi adhuc hiatus extet, ita ut incolae, nisi longo utantur circuitu, commercio misceri nequeant. Mare in recessu, quem Thessaliam inter ac Boeotiam efficit, repente circa urbem Echinaeum et Scarphiam Boeotiae longe se effudit in continentem, et late restagnans aedificia momento sedibus erult. Diu campos sic inundavit, ut insulae, quae sunt in eo sinu, pedibus adiri potuerint, deflexo utique maris cursu e loco suo, praeterque opinionem super terram effuso ad montes usque, qui prope eminent. Cum aquas mare revocavit, restiterunt in agris pisces, quorum conspectum plane inusitatum portenti loco habuerunt indigenae. Eosdem rati edules esse, capiebant quos coquere vellent: at ubi calor ignis ipsos afflaverat, deliquescebant, et in saniem abibant toti intolerabilem. Qua in parte terra nomen scis-

δὲ τὰ ἐκείνῃ χωρία, οὗ δὴ σχίσμα ὠνόμασται καὶ σεισμὸς ὑπερμεγέθης ἐπιπεσὼν πλείω φόνον ἀνθρώπων ἢ ἐν πάσῃ τῇ ἄλλῃ
D Ἑλλάδι εἰργάσατο, μάλιστα δὲ ἐπί τινα ἑορτήν. πανηγυρίζον-
V 230 τες γὰρ ἔτυχον ἐκ πάσης τῆς Ἑλλάδος ἐνταῦθα τότε τούτου δὴ ἕνεκα ξυνειλεγμένοι πολλοί. ἐν δὲ Ἰταλίᾳ τάδε ξυνέπεσε. Κρο- 5
τωνιᾶται καὶ στρατιῶται οἱ τὸ φυλακτήριον ταύτῃ ἔχοντες, ὃν Παλλάδιος ἦρχε, πικρότατα πρὸς Γότθων πολιορκούμενοι καὶ πιεζόμενοι τῶν ἀναγκαίων τῇ ἀπορίᾳ, πολλάκις μὲν λαθόντις τοὺς πολεμίους, ἔπεμψαν ἐν Σικελίᾳ, μαρτυρόμενοι τοὺς ἐνταῦθα τοῦ Ῥωμαίων στρατοῦ ἄρχοντας καὶ διαφερόντως τὸν Ἀρταβά- 10
νην, ὡς εἰ μὴ βοηθοῖεν ὅτι τάχιστα σφίσιν, οὗτοι ἐθελουσίως σφᾶς τε αὐτοὺς καὶ τὴν πόλιν οὐ πολλῷ ὕστερον τοῖς πολεμίοις ἐνδώσουσιν. οὐδεὶς δὲ αὐτοῖς ἐπικουρήσων ἐνθένδε ἦλθε. καὶ ὁ χειμὼν ἔλαγε, καὶ τὸ ἑπταικαιδέκατον ἔτος ἐτελεύτα τῷ πολέμῳ 15
P 640 τῷδε, ὃν Προκόπιος ξυνέγραψε.

κϛ'. Βασιλεὺς δὲ μαθὼν τὰ ἐν Κρότωνι πρασσόμενα πέμψας εἰς τὴν Ἑλλάδα ἐκέλευσε τοὺς ἐν Θερμοπύλαις φρουροὺς ἴς τε τὴν Ἰταλίαν πλεῖν κατὰ τάχος καὶ τοῖς ἐν Κρότωνι πολιορκουμένοις βοηθεῖν δυνάμει τῇ πάσῃ. οἱ δὲ κατὰ ταῦτα ἐποίουν. ἄραντες δὲ σπουδῇ πολλῇ καὶ πνεύματος ἐπιφόρου ἐπιτυχόντες ἀπροσδόκητοι τῷ Κροτωνιατῶν λιμένι προσέσχον. οἵ τε βάρβαροι ἐξαπιναίως τὸν στόλον ἰδόντες αὐτίκα δὴ μάλα ἐς δέος μέγα ἐμπεπτωκότες θορύβῳ πολλῷ τὴν πολιορκίαν διέλυσαν. καὶ αὖ-

1. σχίσμα] σχῆμα Reg. 4. γὰρ ἔτυχον] ἔτυχον γὰρ H. 5. ξυνειλεγμένοι] ξυννενεγμένοι L. 6. οὗ παλλάδιος HL. 9. μαρτυρούμενοι L. 14. ἑπταικαιδέκατον] ὀκτωκαιδέκατον Reg. 20. ἄραντες] ἀράμενοι Reg.

surae servat, horribilis motus maiorem edidit stragem hominum, quam in omni reliqua Graecia, praesertim die festo, cuius celebrandi causa ex universa Graecia multi convenerant. Haec autem in Italia contigerunt. Crotoniatae cum suo militari praesidio, cui Palladius praerat, dira a Gothis obsidione et cibariorum inopia pressi, insciente hoste miserunt saepe in Siciliam denuntiatum exercitus Romani Ducibus, in primis Artabani, ni suppetias ocius ferrent, se, quamvis invitos, cum urbe in fidem potestatemque hostium brevi concessuros: at inde nullus auxilio venit. Interea abiit hiems, quae annum clausit decimum septimum huius belli a Procopio scripti.

26. Certior factus Imperator quid Crotone ageretur, mittit in Graeciam, qui praesidium ad Thermopylas agitantibus edicant suo nomine, ut in Italiam actutum navigent, et Crotone obsessis omni ope succurrant. Illi dicto audientes, quam maturrime profecti, ac vento secundo usi, Crotonis portum appulerunt inopinato. Barbari, visa repente classe, gravi metu correpti, protinus obsidionem cum magna perturbatione sol-

τῶν οἱ μέν τινες ναυσὶν ἐς τὸν Ταραντίνων λιμένα διέφυγον, οἱ δὲ πεζῇ ἰόντες ἐς ὄρος τὸ Σκύλαιον ἀνεχώρησαν· ἃ δὴ ξυνενε- B
χθέντα πολλῷ ἔτι μᾶλλον ἐθούλωσε Γότθων τὸ φρόνημα. καὶ
ἀπ' αὐτοῦ Ῥάγναρίς τε, Γότθος ἀνὴρ δόκιμος μάλιστα, ὃς
5 τοῦ ἐν Ταράντοις φυλακτηρίου ἦρχε, καὶ Μόρρας, ὅσπερ ἐφει-
στήκει τοῖς ἐν Ἀχεροντίᾳ φρουροῖς, Πακουρίῳ τῷ τοῦ Περανίου
τῶν ἐν Δρυοῦντι Ῥωμαίων ἄρχοντι, γνώμῃ τῶν σφίσιν ἑπομέ-
νων, ἐς λόγους ἦλθον, ἐφ' ᾧ δὴ ἀμφὶ τῇ σωτηρίᾳ τὰ πιστὰ
πρὸς Ἰουστινιανοῦ βασιλέως λαβόντες Ῥωμαίοις σφᾶς τε αὐτοὺς
10 ἐγχειρίσουσι ξὺν τοῖς ἑπομένοις καὶ τὰ ὀχυρώματα, ὥνπερ ἐπὶ
τῇ φυλακῇ καταστάντες ἐτύγχανον. ἐπὶ ταύτῃ μὲν οἵν τῇ ὁμο- C
λογίᾳ Πακούριος ἐπὶ Βυζαντίου κομίζεται.

Ναρσῆς δὲ ἐκ Σαλώνων ἄρας ἐπὶ Τωτίλαν τε καὶ Γότθους
ἦει παντὶ τῷ Ῥωμαίων στρατῷ, μεγάλῳ ὑπερφυῶς ὄντι. χρή-
15 ματα γὰρ κεκομισμένος ἐπιεικῶς μεγάλα πρὸς βασιλέως ἐτύγχα-
νεν. ἀφ' ὧν δὴ ἔμελλε στρατιάν τε ἀξιολογωτάτην ἀγεῖραι καὶ
ταῖς μὲν ἄλλαις ἐπαρκέσειν τοῦ πολέμου ἀνάγκαις, τοῖς δὲ δὴ
ἐπὶ τῆς Ἰταλίας στρατιώταις ἐκλῦσαι τὰ πρόσθεν ὀφλήματα πάν-
τα, ἐφ' οἵσπερ αὐτοῖς ὑπερήμερος χρόνου πολλοῦ βασιλεὺς ἐγε-
20 γόνει, οὐ κομιζομένοις ἐκ τοῦ δημοσίου, ᾗπερ εἰθίσται, τὰς D
σφίσι τεταγμένας ξυντάξεις· ἔτι μέντοι καὶ αὐτῶν βιάσασθαι

2. δὲ πεζῇ ἰόντες P cum Vat. δ' ἐπεξιόντες HL. 3. ἐθούλωσε] Legebatur ἐθούλευσε. ἐθούλωσαν L. 4 Ῥάγναρις] γατθάρης Reg. 5. Ταράντοις] ταράντης L. Fort. Τάραντι. ibid. Μόρρας] μόρρει L. 6. σὺν Πακουρίῳ Hoeschelius. ibid. τῷ περανίῳ τῷ ἐν L. 10. ἐγχειρίσουσι] ἐγχειρίζουσι Reg. 12. Βυζαντίου] βυζάντιον Reg. 13. Τωτίλαν L. 17. τοῖς — στρατιώταις] τοὺς — στρατιώτας Suidas s. v. ὑπερήμερος. 19. βασιλεὺς] βασιλεῖ H. βασιλέως Hm.

verunt. Pars navibus in portum Tarentinum, alii pedibus ad montem Scyllaeum se receperunt. Qui casus consternationem Gotthorum auxit: eoque factum est, ut Ragnaris, natione Gotthus, vir spectatissimus, qui praesidio Tarentino praeerat, ac Morrhas praefectus praesidio Acherontiae, cum Pacurio Peranii filio, Romanorum Hydrunte morantium Duce, de suorum sententia collocuti, promiserint, si a Iustiniano Augusto salutis fidem acciperent, se suosque Romanis deditionem facturos, ac sibi commissas tradituros munitiones: cuius compositionis causa Pacurius Byzantium petiit.

Narses vero Salonis profectus, adversus Totilam et Gotthos universum ducebat exercitum, sane maximum. Grandem enim acceperat ab Imperatore pecuniam, qua copias colligeret florentissimas, omnes belli necessitates expediret, et agenti in Italia militi vetera persolveret debita, quae longe ultra tempus legitimum Imperator distulerat, cum decreta stipendia ex aerario non procederent, ut mos erat. Habebat etiam,

τῶν παρὰ Τωτίλαν ἀπηυτομοληκότων τὰς γνώμας, ὥστε δὴ αὐτοὺς τοῖς χρήμασι τούτοις χειροήθεις γεγενημένους τὴν ἐπὶ τῇ πολιτείᾳ μεταγνῶναι προαίρεσιν. λίαν γὰρ τὰ πρότερα πόλεμον τόνδε ἀπημελημένως διαφέρων Ἰουστινιανὸς βασιλεὺς ἀξιολογωτάτην αὐτοῦ πεποίηται τὴν παρασκευὴν ἐν ὑστάτῳ. ἐπειδὴ γὰρ
P 641 αὐτόν οἱ ὁ Ναρσῆς ἐγκείμενον εἶδεν, ἐφ' ᾧ ἐς Ἰταλίαν στρατεύοι, φιλοτιμίαν ἐνδέδεικται στρατηγῷ πρέπουσαν, οὐκ ἄλλως βασιλεῖ ἀπαγγέλλοντι ὑπηρετήσειν ὁμολογήσας, ἢν μὴ τὰς δυνάμεις ἀξιομάχους ἐπάγεσθαι μέλλῃ. χρήματά τε οὖν καὶ σώματα καὶ ὅπλα
H 362 τῷ τρόπῳ τούτῳ ἐπαξίως πρὸς τοῦ βασιλέως κεκόμισται τῆς Ῥωμαίων ἀρχῆς, καὶ προθυμίαν αὐτὸς ἀοκνοτάτην ἐπιδεξάμενος ἀξιόχρεων στρατιὰν ἐξήγειρεν. ἔκ τε Βυζαντίου ἐπηγάγετο Ῥωμαίων στρατιωτῶν μέγα τι χρῆμα κἀκ τῶν ἐπὶ Θρᾴκης χωρίων ἔκ τε Ἰλλυριῶν πολλοὺς ἤθροισε. καὶ Ἰωάννης δὲ ξύν τε τῷ οἰ-
V 231 κείῳ στρατεύματι καὶ τῷ πρὸς Γερμανοῦ τοῦ κηδεστοῦ ἀπολελειμμένῳ ξὺν αὐτῷ ἦει. καὶ Αὐδουὶν, ὁ Λαγγοβαρδῶν ἡγούB μενος, χρήμασι πολλοῖς ἀναπεισθεὶς Ἰουστινιανῷ βασιλεῖ καὶ τῇ τῆς ὁμαιχμίας ξυνθήκῃ, πεντακοσίους τε καὶ δισχιλίους τῶν οἱ ἑπομένων ἀπολεξάμενος ἄνδρας ἀγαθοὺς τὰ πολέμια ἐς ξυμμαχίαν αὐτῷ ἔπεμψεν, οἷς καὶ θεραπείαν μαχίμων ἀνδρῶν ἔδωκε πλέον ἢ τρισχιλίων. εἵποντο δὲ αὐτῷ καὶ τοῦ Ἐρούλων ἔθνους πλέον ἢ τρισχίλιοι, ἱππεῖς ἅπαντες, ὧν ἄλλοι τε καὶ Φιλιμοὺθ ἦρχον, καὶ Οὔννοί τε παμπληθεῖς καὶ Δαγισθαῖος ξὺν τοῖς ἑπο-

1. τωτίλλαν L. 12. ἐξήγειρεν] ἐξήγειρον H: illud Hm.
20. ἔπεμψεν] ἔπεμψαν L. ibid. οἷς] σὺν οἷς Hoeschelius.
21. Post τρισχιλίων in L signum lacunae.

quo sibi eorum animos, qui ad Totilam transfugerant, ita conciliaret, ut auro deliniti, ad Rempub. studia referrent sua. Negligentius quidem antea Iustinianus Augustus in hoc bellum incubuerat: postmodum vero ad id omnia praeclarissime instruxit, cum Narses ab eo se plurimum impelli videns ad expeditionem Italicam, ambitionem prae se tulit dignam belli Imperatore, aperte professus morem se non gesturum mandanti talia Augusto, nisi copias bello gerendo pares ducturus esset. Quo pacto pecuniam, viros et arma ab Imperatore pro Imperii Romani dignitate consecutus, summa navitate et diligentia iustum exercitum conscripserat. Romanorum militum vim magnam ex urbe Byzantio Thraciaque asciverat: multos coëgerat ex Illyrico. Aderat Ioannes cum suis copiis, et cum illis, quas Germanus ipsius socer reliquerat. Auduinus Langobardorum Rex, a Iustiniano Augusto multa pecunia et foederis sanctione inductus, delectu suorum habito, bis mille ducentos bellatores egregios auxilio miserat, hisque in famulatum addiderat amplius tria pugnatorum millia. Equitum quoque Erulorum plus tria millia sequebantur, duce cum nonnullis aliis Philemutho; et Hunni quamplurimi, et Dagisthaeus

μένοις ἐκ τοῦ δεσμωτηρίου διὰ τοῦτο ἀπαλλαγείς, καὶ Καβάδης, Πέρσας ἔχων αὐτομόλους πολλοὺς, ὁ Ζάμου μὲν υἱὸς, Καβάδου δὲ τοῦ Περσῶν βασιλέως υἱωνὸς, οὗπερ ἐν τοῖς ἔμπροσθεν λόγοις ἐμνήσθην, ἅτε δὴ Χαναράγγου σπουδῇ διαφυγόντος τε C Χοσρόην τὸν θεῖον καὶ πολλῷ πρότερον ἀφικομένου ἐς τὰ Ῥωμαίων ἤθη· καὶ Ἄσβαδος, νεανίας τις, Γήπαις γένος, διαφερόντως δραστήριος, ὁμογενεῖς τετρακοσίους ξὺν αὐτῷ ἔχων, ἄνδρας ἀγαθοὺς τὰ πολέμια· καὶ Ἄρουθ, Ἐρούλος μὲν τὸ γένος, ἐκ παιδὸς δὲ Ῥωμαίων τὴν δίαιταν στέρξας καὶ τὴν παῖδα Μαυρικίου τοῦ Μούνδου γυναῖκα γαμετὴν ποιησάμενος, αὐτός τε μαχιμώτατος ὢν καὶ πολλοὺς τοῦ Ἐρούλων ἔθνους ἑπομένους ἔχων ἐν πολέμου κινδύνοις ὡς μάλιστα δοκιμωτάτους· Ἰωάννης τε, ὁ φαγᾶς τὴν ἐπίκλησιν, οὗπερ ἐν τοῖς ἔμπροσθεν λόγοις ἐμνήσθην, Ῥωμαίων ἐπαγόμενος ὅμιλον ἀνδρῶν μαχίμων. ἦν δὲ μεγαλοδωρότατος ὁ Ναρσῆς καὶ πρὸς τὸ εὖ ποιεῖν τοῖς δεομένοις ὀξὺς D ἐς ἄγαν, δύναμίν τε πολλὴν περιβεβλημένος ἐκ βασιλέως ἀδεέστερον ἐς τὰ σπουδαζόμενα ἐχρῆτο τῇ γνώμῃ. καὶ ἀπ' αὐτοῦ πολλοὶ ἐν τοῖς ἔμπροσθεν χρόνοις ἄρχοντές τε καὶ στρατιῶται εὐεργέτου αὐτοῦ ἔτυχον. ἐπεὶ οὖν ἀπεδέδεικτο στρατηγὸς ἐπὶ Τωτίλαν τε καὶ Γότθους, ὡς ἀσμενέστατα ἕκαστοι στρατεύεσθαι ὑπ' αὐτῷ ἤθελον, οἱ μὲν ἐκτίνειν οἱ ἐθέλοντες παλαιὰς χάριτας, οἱ δὲ καραδοκοῦντες, ὡς τὸ εἰκὸς, μεγάλων ἀγαθῶν παρ' αὐτοῦ

4. *Χαναράγγου*] *χαναρέγγου* L. 5. *ἀφικομένων* L. 6. *Ἄσβαδος*] Vulgo *Ἀσβάδος*. 8. *Ἄρουθ*] *Ἄρους* Reg. 9. *παῖδα* om. L. 20. *τωτίλλαν* L. 21. *ἐκτίνειν* L corr. *ἐκτείνειν* P.

cum suis, eius rei gratia dimissus e carcere. Persas multos transfugas ducebat Cabades, Zamis filius, et Cabadis Persarum Regis nepos, qui, ut in libris superioribus retuli, exitium sibi a Chosroe patruo decretum effugerat Chanarangis opera, seque ad Romanos multo ante receperat. Asbadus quoque, Gepaes adolescens strenuissimus, populares suos CD. viros bello praestantes habebat secum. Una ibat plurimorum dux Erulorum, quorum virtus in belli periculis enituerat, vir fortissimus Aruthus, et ipse Erulus, qui a puero Romanorum vivendi rationem amaverat, et filiam Mauritii, qui patrem habuit Mundum, uxorem duxerat. Ioannes etiam cognomine Heluo, cuius mentio supra incidit, agmen Romanorum, virorum fortium, agebat. Porro Narses munificentissimus erat, et ad levandos indigentes promptissimus: cumque ab Imperatore septus magnis fuisset opibus, ea, quae ipsi erant in studio, pleniori arbitrio exercebat. Et quoniam multi, Duces iuxta ac milites, liberalitatem eius iam ante experti fuerant, simul expeditionis in Totilam et Gotthos dux est summus renuntiatus, certatim singuli ad militandum sub ipso paratissimos se ostenderunt; partim studio pensandi pristina be-

τεύξεσθαι. μάλιστα δὲ αὐτῷ Ἔρουλοί τε καὶ οἱ ἄλλοι βάρβαροι εὐνοϊκῶς εἶχον, διαφερόντως πρὸς τοῦ ἀνθρώπου εὖ πεπονθότες.

P 642 Ἐπειδὴ δὲ Βενετίων ὡς ἀγχοτάτω ἐγένετο, παρὰ τῶν Φράγγων τοὺς ἡγεμόνας, οἳ τῶν ἐκείνῃ φυλακτηρίων ἦρχον, ἄγγελον στείλας ἠτεῖτο τὴν ὁδὸν σφίσιν ἅτε φίλοις οὖσι παρέχεσθαι. οἱ δὲ τοῦτο Ναρσῇ ἐπιτρέψειν οὐδεμιᾷ μηχανῇ ἔφασαν, ἐς μὲν τὸ ἐμφανὲς τὴν αἰτίαν οὐκ ἐξενεγκόντες, ἀλλ', ὡς ἔνι μάλιστα, τοῦ Φράγγων ἕνεκα ξυμφόρου, ἢ τῆς ἐς Γότθους εὐνοίας τὴν κωλύμην ποιεῖσθαι, σκῆψιν δέ τινα οὐ λίαν εὐπρόσωπον δόξασαν εἶναι προβεβλημένοι, ὅτι δὴ Λαγγοβάρδους τοὺς σφίσι πολεμιωτάτους οἵτος ἐπαγόμενος ἥκει. ἐπὶ τούτοις διαπορουμένῳ τὴν ἀρχὴν τῷ Ναρσῇ καὶ Ἰταλῶν τῶν οἱ παρόντων
B ἀμφὶ τῷ πρακτέῳ πυνθανομένῳ ἐπήγγελλόν τινες ὡς εἰ καὶ Φράγγοι παρήσουσι σφᾶς τήνδε τὴν ὁδὸν ποιεῖσθαι, ἀλλ' ἐς Ῥάβενναν ἐνθένδε κομίζεσθαι οὐδαμῇ ἔξουσιν, οὐδὲ τὴν πορείαν ταύτην ποιεῖσθαι ὅτι μὴ ἄχρι ἐς πόλιν Βερώνην. Τωτίλαν γὰρ ἀπολεξάμενον εἴ τι δόκιμον ἦν ἐν τῷ Γότθων στρατῷ, στρατηγόν τε αὐτοῖς καταστησάμενον Τεΐαν τὸν Γότθον, ἄνδρα διαφερόντως ἀγαθὸν τὰ πολέμια, στεῖλαι ἐς πόλιν Βερώνην Γότ-C θων κατήκοον οὖσαν, ἐφ' ᾧ Ῥωμαίων τῷ στρατῷ διακωλύσει

4. ἐγένετο] ἐγένοντο L. ibid. παρὰ] περὶ L: παρὰ Lm. 8. μὲν τὸ] μέντοι τὸ L. 11. δόξασαν] δόξαν L. 14. ἐπήγγελλον] ἐπήγγελον P et Hm. ἐσήγγελλον H. 16. οὐδαμῇ] οὐδαμῶς L. 17. Βερώνην L. Βερόνην P. Et sic infra. ibid. τωτίλλαν L. 21. Ῥωμαίων τῷ] τῷ ῥωμαίων L. ibid. διακωλύσει] διακωλύσοι Reg.

neficia; partim spe, procul dubio, inducti, ab ipso magna consequendi. In primis Erulos caeterosque Barbaros sibi ille devinxerat singulari munificentia.

Cum proxime agrum venisset Venetum, misso nuntio ad Francorum Duces, qui loca illa tenebant praesidiis, postulavit, ut sibi, tanquam amicis, transitum darent. Illi Narseti se nullo id pacto permissuros respondent; nullaque facta mentione utilitatis Francorum, vel suae in Gotthos benevolentiae, quae vera erat causa cur se, quoad possent, opponerent; praetextum hunc parum speciosum confingunt, quod secum Narses Langobardos duceret, capitales Francorum hostes. Dubitanti initio Narseti, atque ex astantibus Italis, quid opus facto esset, quaerenti, dixere quidam, quamvis transitum Franci permitterent, non posse tamen exercitum inde Ravennam tendere, nec longius ea via, quam ad urbem Veronam progredi, eo quod Totilas delectum exercitus Gotthici florem, duce Teïa, Gottho bellicosissimo, Veronam, Gotthicae ditionis urbem, misisset, ut pro viribus transitum Romanis copiis intercluderet.

τὴν πάροδον, ὅσα γε δυνατά. καὶ ἦν δὲ οὕτως. ἐπειδή τε ὁ Τεΐας ἐγένετο ἐν πόλει Βερώνῃ, τὴν ἐκείνῃ δίοδον τοῖς πολεμίοις ἀπέφραξε πᾶσαν, ἀδιεξοδά τε καὶ ὅλως ἄπορα πανταχόσε ἀμφὶ ποταμὸν Πάδον τὰ χώρια εἶναι ἀνάγκῃ χειροποιήτῳ σκευωρησάμενος, καὶ πῃ μὲν λόχμας τε καὶ τάφρους καὶ φάραγγας τεκτηνάμενος, πῃ δὲ τέλμινάς τε ὡς βαθυτάτας καὶ χώρους τεναγώδεις τινὰς αὐτὸς τῷ Γότθων στρατῷ ἐφύλασσεν ἐς τὸ ἀκριβές, ὡς ὁμόσε χωρῆσαι Ῥωμαίοις, ἤν τι ἀποπειρῶνται τῆς ἐνθένδε ὁδοῦ. ταῦτα δὲ Τωτίλας ἐμηχανᾶτο, οἰόμενος διὰ μὲν τῆς παραλίας κόλπου τοῦ Ἰονίου Ῥωμαίοις μήποτε δυνατὰ ἔσεσθαι τὴν πορείαν ποιεῖσθαι, ἐπεὶ ναυσίποροι ποταμοὶ παμπληθεῖς ἐνταῦθα ἐκβολὰς ἔχοντες ἀπόρευτα παντάπασι παρέχονται εἶναι τὰ ἐκείνῃ χωρία· ναῦς δὲ αὐτοὺς τοσαύτας τὸ πλῆθος ὡς ἥκιστα ἔχειν, ὥστε δὴ ἀθρόους παντὶ τῷ στρατῷ διαπορθμεύεσθαι τὸν Ἰόνιον κόλπον, ἢν δέ γε κατ' ὀλίγους ναυτίλλωνται, αὐτὸς ἂν τῷ καταλοίπῳ στρατῷ τῶν Γότθων τοὺς ἑκάστοτε ἀποβαίνοντας πόνῳ οὐδενὶ ἀναστείλειε. τοιαύτῃ μὲν οὖν γνώμῃ ὅ τε Τωτίλας ἐπήγγελλε ταῦτα καὶ ὁ Τεΐας ἐποίει. Ναρσῆ δὲ λίαν ἀμηχανοῦντι Ἰωάννης ὁ Βιταλιανοῦ, τῶν τῇδε χωρίων ἐμπείρως ἔχων, παρῄνει παντὶ τῷ στρατῷ μὲν κατὰ τὴν παραλίαν ἰέναι, κατηκόων σφίσιν ὄντων, ὡς προδεδήλωται, τῶν τῇδε ἀνθρώπων, παρακολουθεῖν δὲ τῶν νηῶν τινας καὶ ἀκάτους πολλάς. ἐπειδὰν γὰρ ὁ στρατὸς ἐπὶ ταῖς τῶν ποταμῶν ἐκβολαῖς γένωνται, γέφυραν ἐκ τῶν ἀκάτων τούτων τῷ τοῦ ποταμοῦ ῥοθίῳ ἐναρμοσάμενοι, ῥᾷον

9. τωτίλλας L. 14. ἀθρόους L corr. et Hm. Vulgo ἀθρόον.
17. τωτίλλας ἐπήγγελε L. 22. ἐπειδὰν] ἐπεὶ μὲν L.

Sic res erat. Ac Teïas quidem, ubi Veronam attigit, aditus omnes illius tractus obstruxit hosti, et loca omnia fluvio Pado circumiacentia plane invia reddidit artis vi: hic aggessit arbores, fossas duxit, et praecipitiis abrupit solum: illic altas lacunas fecit ac coenosas voragines. Tum eo diligenter intendit cum Gotthorum exercitu, ut cum Romanis confligeret, si viam illac tentarent. Haec Totilas idcirco moliebatur, quia sibi persuadebat non posse Romanos iter facere secundum littus sinus Ionii, ubi multorum fluminum navigabilium ostia viam prorsus abnuerent; neque illos tot habere navigia, ut simul copias omnes sinum Ionium traiicerent: si pauci simul navigarent, se facile cum reliquis Gotthorum copiis turmas singulas excensu prohibiturum. Eo spectabat Totilas, cum ea dedit mandata, quae Teïas executus est. Narseti autem in summas adducto angustias, Ioannes Vitaliani nepos, locorum peritus, auctor fuit, ut cum universo exercitu per oram maritimam, Romanis adhuc, ut supra dictum est, subditam, iter haberent: sequerentur naves aliquot, et scaphae plurimae: quo fieret, ut cum ad fluminum

ἂν καὶ ἀπονώτερον ποιήσαιντο τὴν διάβασιν. ὁ μὲν Ἰωάννης ταῦτα παρῄνει, πείθεται δὲ Ναρσῆς, καὶ τῷ τρόπῳ τούτῳ παντὶ τῷ στρατῷ ἐπὶ Ῥαβέννης κομίζεται.

P 643 κζ'. Ἐν ᾧ δὲ ταῦτα ἐπράσσετο τῇδε, ἐν τούτῳ τάδε ξυνηνέχθη γενέσθαι. Ἰλδιγισὰλ Λαγγοβάρδης ἀνὴρ, οὗπερ ἐν τοῖς ἔμπροσθεν λόγοις ἐμνήσθην, αὐτῷ τοῦ Αὐδουὶν ὄντος ἐχθροῦ, ὃς τούτων δὴ τῶν βαρβάρων ἡγεῖτο (αὐτῷ γὰρ τὴν ἀρχὴν κατὰ γένος προσήκουσαν Αὐδουὶν βιασάμενος ἔσχεν) ἐξ ἠθῶν ἀποδρὰς τῶν πατρίων ἐπὶ Βυζαντίου κομίζεται. οὗ δὴ αὐτὸν ἀφικόμενον Ἰουστινιανὸς βασιλεὺς ἐν τοῖς μάλιστα φιλοφροσύνης ἠξίωσεν, ἄρχοντά τε κατεστήσατο ἑνὸς τῶν ἐπὶ τοῦ παλατίου φυλακῆς τεταγμένων λόχων, οὕσπερ σχολὰς ὀνομάζουσιν. εἴ-

B ποντο δὲ αὐτῷ τοῦ Λαγγοβαρδῶν ἔθνους ἄνδρες ἀγαθοὶ τὰ πολέμια οὐχ ἧσσους ἢ τριακόσιοι, οἳ δὴ μίαν πρῶτον ἐπὶ Θρᾴκης δίαιταν εἶχον. τὸν Ἰλδιγισὰλ οὖν Αὐδουὶν μὲν πρὸς βασιλέως Ἰουστινιανοῦ ἐξῃτεῖτο, ἅτε φίλος τε Ῥωμαίοις καὶ ξύμμαχος ὤν, μισθὸν τῆς φιλίας τὴν προδοσίαν αὐτῷ τοῦ ἱκέτου εἰσπραττόμενος. ὁ δὲ τρόπῳ οὐδενὶ ἐδίδου. χρόνῳ δὲ ὕστερον Ἰλδιγισὰλ, ἐνδεέστερον ἢ κατὰ τὴν ἀξίαν αὐτοῦ καὶ τὴν Ῥωμαίων δόξαν ἐπικαλῶν οἱ αὐτῷ τήν τε τιμὴν καὶ τὰ ἐπιτήδεια εἶναι, δυσφο-

C ρουμένῳ ἐπὶ πλεῖστον ἐῴκει· ὃ δὴ Γόαρ κατενόησε, Γότθος ἀνὴρ, πάλαι τε δοριάλωτος ἐν τῷδε τῷ πολέμῳ ἐκ Δαλματίας

1. ποιήσαιντο] ἐποιήσαντο Hm. 5 Ἰλδιγισὰλ] ἐνδιγισὰλ HL hic et infra. 6. λόγοις om L. 8. ἀποδρὰς om. L. 11. παλατίου] ποταμίου L. 12. ὅπερ σχολῆς L. 17. ἱκέτου] οἰκέτου HL. 20. τήν τε] τε om. L. 22. δορυάλωτος P.

ostia pervenisset exercitus, facto ex scaphis ponte fluvium iungerent, et facilius expeditiusque transirent. Haec fuit Ioannis sententia; quam amplexus Narses, cum omnibus copiis Ravennam eo modo contendit.

27. Dum ibi sic ea fierent, interea haec contigerunt. Ildigisal, vir Langobardus, cuius antea memini, inimicitias habens cum Barbarorum, popularium suorum, Rege Auduino, qui Regnum ipsi iure hereditario debitum vi occuparat; patria profugus, Byzantium se contulerat. Eo cum pervenisset, humanissime illum acceperat Imperator, ac Ducem creaverat unius Scholae: sic vocant catervas militum ad Palatii custodiam destinatas. Langobardos ducebat minimum trecentos, bellica virtute praeditos; qui una prius commorati in Thracia fuerant. Ab Imperatore Iustiniano petierat Auduinus, ut sibi, utpote Romanorum amico et socio, traderetur Ildigisal; et clientis proditionem exegerat in praemium amicitiae: verum Augustus abnuerat. Postea queri Ildigisal coepit, quod infra meritum suum ac Romanorum splendorem stipendiis et honore afficeretur; ita ut graviter offensum prae se animum ferret. Id animadvertit Goar, homo Gotthus; qui olim bellum cum Romanis gerente Vittige,

ἐνταῦθα ἦκων, ἡνίκα τὸν πόλεμον Οὐίττιγις ὁ Γότθων βασιλεὺς πρὸς Ῥωμαίους διέφερε. θυμοειδὴς δὲ ὢν καὶ δραστήριος ἄγαν πρὸς τύχην τὴν παροῦσαν ζυγομαχῶν διαγέγονει. ἐπειδὴ δὲ Γότθοι μετὰ τὴν Οὐιττίγιδος ἐπικράτησιν ἐς ἀπόστασιν εἶδον, βασιλεῖ οἱ πάλαι ἀντάραντες, κακουργῶν ἐπὶ τῇ πολιτείᾳ διαφανῶς ἤλω. φυγῇ δὲ ζημιωθεὶς τῆς Αἰγύπτου ἐς ταὐτὸν κομίζεται, καὶ χρόνος αὐτῷ πολὺς ἐν τῇ ποινῇ ταύτῃ ἐτρίβη. ἀλλ' ὕστερον D οἰκτισάμενος βασιλεὺς κατήγαγεν ἐς Βυζάντιον· οὗτος ὁ Γόαρ τὸν Ἰλδιγισὰλ ἰδὼν ἀσχάλλοντα, ἥπερ μοι εἴρηται, ἐνδελεχέστατα νουθετῶν ἀναπείθει δρασμῷ χρήσασθαι, ξὺν αὐτῷ ὁμολογήσας ἐκ Βυζαντίου ἀπαλλαγήσεσθαι. ἐπειδὴ δὲ αὐτοῖς ἡ βουλὴ ἤρεσκε, φεύγουσι μὲν ἐξαπιναίως ξὺν ὀλίγοις τισὶν, ἐς δὲ Ἄπρων ἀφικόμενοι τὴν Θρᾳκῶν πόλιν ἀναμίγνυνται Λαγγοβάρδαις τοῖς τῇδε οὖσι. τοῖς τε βασιλικοῖς ἱπποφορβίοις κατατυχόντες μέγα τι χρῆμα ἵππων ἐνθένδε ἐπαγόμενοι πρόσω ἐχώρουν. ὥνπερ ἐπειδὴ βασιλεὺς ἤσθετο, ἔς τε Θρᾴκην ὅλην καὶ Ἰλλυριοὺς στείλας ἄρχουσί τε πᾶσι καὶ στρατιώταις ἐπέστελλε τοῖς V 233 δραπέταις τούτοις σθένει παντὶ ὑπαντιάσαι. καὶ πρῶτα μὲν Οὔννων τῶν Κουτουργούρων καλουμένων ὀλίγοι τινὲς (οἳ δὴ ἐξ ἠθῶν τῶν πατρίων ἐξαναστάντες, ἥπερ μοι οὐ πολλῷ ἔμπροσθεν δεδιήγηται, δόντος βασιλέως ἐπὶ τῆς Θρᾴκης ἱδρύσαντο) τοῖς P 644

1. *Οὐίτιγις* Hm. *Ἰουίτιγις* L. 3. *Γότθοι μετὰ*] *γότθων κατὰ* Hm. *κατὰ* etiam L. 4. *Οὐιτίγιδος* P. *Ἰουτίγιδος* L. *ibid. ἐπικράτειαν* L. *ibid. βασιλεῖ*] *βασιλέων* L. 9. *Ἰλδιγισὰλ*] *Ἰλδιγίγαλ* L. 11. *ἐς βυζάντιον* L a pr. m. 16. *Ἰλλυριούς*] *Ἰλλυρικοὺς* L. 19. *Οὔννων*] *οὖν* Reg. *ibid. κουτριγούρων* Reg.

captivus hue abductus fuerat e Dalmatia. Utque erat animo vir fervido acerrimoque, praesentem fortunam impatienter ferebat. Post debellatum Vittigem, cum Gotthi, qui prius arma contra Imperatorem tulerant, defectionem moliti essent, convictus et ipse fuerat initae in Rempublicam machinationis, multatusque exilio in Aegyptum una migraverat. Hac in poena diu relictum miseratus postmodum Imperator, Byzantium revocaverat. Iste igitur Goar Ildigisalem, ut dixi, dolore percitum animadvertens, assiduis urget monitis, ac fugam suadet, se una Byzantio excessurum pollicitus. Probato consilio, repente cum nonnullis elapsi, ut Apros urbem Thraciae attigere, Langobardis illic degentibus admiscent sese, et Caesarea equilia nacti, inde magna equorum vi abacta, porro pergunt. Simul haec Imperator cognovit, per Thraciam totam atque Illyricum dimittit nuntios, Ducibusque omnibus ac militibus iniungit, ut pro virili parte fugitivis istis occurrant. Ac primo quidem exigua manus Hunnorum Cuturgurorum, qui relicta patria, ut paulo ante narravi, in Thracia consederant, imperatoris permissu; cum his fugitivis congressa,

φεύγουσι τούτους ἐς χεῖρας ἦλθον. ἡσσηθέντες δὲ μάχῃ τινὲς
B μὲν πίπτουσιν, οἱ δὲ λοιποὶ τραπόμενοι οὐκέτι ἐδίωκον, ἀλλ'
αὐτοῦ ἔμενον. οὕτω τε Θράκην ὅλην διεληλύθασιν Ἴλδιγισάλ
τε καὶ Γόαρ ξὺν τοῖς ἑπομένοις, οὐδενὸς ἐνοχλοῦντος. ἐν Ἰλλυ-
ριοῖς δὲ γενόμενοι Ῥωμαίων στρατὸν εὗρον ἐπὶ τῷ σφῶν πονηρῷ
ξὸν ἐπιμελείᾳ ξυνειλεγμένον. τοῦ δὲ στρατοῦ τούτου ἄλλοι τέ
τινες καὶ Ἀράτιός τε καὶ Ῥεκίθαγγος καὶ Λεωνιανὸς καὶ Ἀριμοὺθ
ἦρχον, οἳ δὴ ἐτύγχανον τὴν ἡμέραν ἱππεύσαντες ὅλην. ἔς τε
χῶρον ὑλώδη ἀφικόμενοι περὶ λύχνων ἀφὰς ἔστησαν, ὡς αὐλι-
σόμενοί τε καὶ διανυκτερεύσοντες ἐνταῦθα τὴν νύκτα ἐκείνην. Σ
τοῖς μὲν οὖν στρατιώταις ἐπέστελλον οἱ ἄρχοντες οὗτοι τά τε
H 864 ἄλλα καὶ ἵππων τῶν σφετέρων ἐπιμελεῖσθαι καὶ παρὰ τὸν ταύτῃ
C ῥέοντα ποταμὸν αὐτοὺς ἀναψύχειν, παρηγοροῦντας τὸν τῆς ὁδοῦ
κόπον. αὐτοί τε κατὰ τρεῖς ἢ τέτταρας ἕκαστος δορυφόρους ἐπα-
γόμενοι ἀποκεχρυμμένως τοῦ ποταμοῦ ἔπινον· δίψει γὰρ, ὡς τὸ
εἰκὸς, χαλεπῇ εἶχοντο. οἱ δὲ ἀμφὶ Γόαρ καὶ Ἴλδιγισὰλ ἀγχοῦ
που ὄντες καὶ σκοποὺς πέμψαντες ταῦτα ἔγνωσαν. ἀπροσδόκη-
τοί τε πίνουσιν αὐτοῖς ἐπιστάντες ἅπαντας ἔκτειναν, καὶ τὸ λοι-
πὸν ἀδείστερον σφίσιν αὐτοῖς τὰ ἐς τὴν πορείαν ἧπερ ἐβούλοντο
διῳκήσαντο. ἄναρχοι γὰρ οἱ στρατιῶται γενόμενοι διηποροῦντό Σ
τε καὶ παντάπασιν ἀμηχανοῦντες ὀπίσω ἀπήλαυνον. Γόαρ μὲν
οὖν καὶ Ἴλδιγισὰλ οὕτω διαφυγόντες ἐς Γήπαιδας ἦλθον.

2. οἱ λοιποὶ δὲ L. 3. ἐνδιγισάλ HL. 4. Ἰλλυριοῖς] Ἰλλυριῷ Reg. 5. πονηρῷ] πονήρῳ P. 7. ῥικίθαγγος καὶ λιωνιανὸς καὶ ἀριθμοὺθ L. 12. παρὰ] περὶ Reg. 13. αὐτοὺς] αὐτοῦ L. 16. Ἴλδιγισάλ] ἐνδιγίσαλον Hm. ἐνδίγισχλον L. 19. ἧπερ om. L. ᾗ Lm. 22. Ἴλδιγισάλ] ἐνδιγισὰλ LHm.

acie vincitur: caesis nonnullis, fusi caeteri, insectandi consilium abiiciunt, ibique manent. Itaque Ildigisal et Goar cum sociis totam Thraciam pervaserunt, obsistente nemine, et Illyricum ingressi, Romanum exercitum offenderunt, accurate collectum in suam ipsius perniciem. Copias illas cum alii ducebant, tum Aratius, Rhecithangus, Leonianus et Arimuthus. Diem totam equitaverant: cumque in locum silvosum primis tenebris venissent, ibi constiterunt, ut noctem illam quieti traducerent. Ac militibus quidem hi Duces, praeter alia, id quoque mandarunt, ut suos curarent equos, seque in fluvio illac perfluente refrigerantes, levarent laborem viae. Ipsorum vero quisque tribus quatuorve assumptis Protectoribus, seorsum, loco in abdito, fluminis aquam bibebat: gravem enim, ut res ferebat, sitim collegerant. Ut id Goar atque Ildigisal, qui prope aderant, per exploratores cognoverunt, bibentes adorti de improviso, omnes occidunt, eoque facto reliquam viam sibi plane expediunt. Milites enim, amissis Ducibus, anxii, consiliique omnino inopes, retro commearunt; atque ita cum Goare elapsus Ildigisal ad Gepaedes pervenit.

Ἐτύγχανε δὲ καί τις ἐκ Γηπαίδων, Οὐστρίγοτθος ὄνομα, ἐς Λαγγοβάρδας φυγῶν τρόπῳ τοιῷδε. Ἐλεμοῦνδος μὲν ὁ Γη- D
παίδων γεγονὼς βασιλεὺς οὐ πολλῷ ἔμπροσθεν ἐξ ἀνθρώπων ἠφάνιστο νόσῳ, τούτου δὴ οἱ μόνου τοῦ Οὐστριγότθου ἀπολε-
λειμμένου παιδὸς, ὅνπερ ὁ Θορισὶν βιασάμενος (μειράκιον γὰρ ἦν ἔτι) τὴν ἀρχὴν ἔσχε. διὸ δὴ ὁ παῖς οὐκ ἔχων τὸν ἠδικηκότα καθ' ὅ τι ἀμύνηται, ἐξ ἠθῶν ἀναστὰς τῶν πατρίων ἐς Λαγγο-
βάρδας Γήπαισι πολεμίους ὄντας ἀπιὼν ᾤχετο. ἐγένοντο δὲ Γήπαισιν ὀλίγῳ ὕστερον πρός τε βασιλέα Ἰουστινιανὸν καὶ τὸ
Λαγγοβαρδῶν ἔθνος διαλλαγαί, ὅρκοις τε ἀλλήλους δεινοτά-
τοις κατέλαβον ἢ μὴν τὸ λοιπὸν φιλίαν τὴν ἐς ἀλλήλους ἀπέραν- P 645
τον διασώσασθαι. ἐπειδή τε αὐτοῖς τὰ ἐς τὰς διαλλαγὰς βε-
βαιότατα ξυνετελέσθη, βασιλεύς τε Ἰουστινιανὸς καὶ Ἀὐδουὶν ὁ τῶν Λαγγοβαρδῶν ἡγούμενος παρὰ Θορισὶν τὸν Γηπαίδων ἄρ-
χοντα πέμψαντες τὸν Ἰλδιγισάλ, ἅτε κοινὸν ἐχθρὸν, ἐξῃτοῦντο, τὴν ἐς τὸν ἱκέτην τὸν αὐτοῦ προδοσίαν δεόμενοι δήλωσιν τῆς ἐς αὐτοὺς φιλίας ποιήσασθαι πρώτην. καὶ ὃς τοῖς Γηπαίδων λο-
γίμοις κοινολογησάμενος τὰ παρόντα σπουδῇ ἀνεπυνθάνετο εἰ ποιητέα οἱ τὰ πρὸς τοῖν βασιλέοιν αἰτούμενα εἴη. οἱ δὲ ἄντικρυς
μὴ ποιήσειν ἀπεῖπον, κρεῖσσον ἀπισχυρισάμενοι εἶναι Γηπαίδων τῷ ἔθνει αὐταῖς τε γυναιξὶ καὶ γόνῳ παντὶ διολωλέναι αὖτίκα δὴ B
μάλα ἢ ἀνοσίοις ἐπ' ἀσεβήματι γενέσθαι τοιούτῳ. ταῦτα ἀκού-

2. Ἐλεμοῦνδος] οὐελεμοῦντος HL. 4. τούτου] τούτων L. 9. πρός τε βασιλεῖ ἰουστινιανῷ καὶ τῷ λαγγοβαρδῶν ἔθνει Reg. 13. τε] δὲ L. δὴ Lm. 15. Ἰλδιγισάλ] ἰηδιγησὰλ L. 18. κοινολογησάμενος] ἐπικοινωσάμενος Reg. 22. ἀκουσίως L.

Tum etiam quidam, cui nomen Ustrigotthus, ad Langobardos ex Gepaedibus profugus se receperat: quod ita contigit. Elemundus Gepaedum Rex morbo paulo ante extinctus, unigenam filium reliquerat hunc Ustrigotthum: quo facile exturbato (adhuc enim erat adolescentulus) regnum Thorisinus obtinuit. Ille, cum auctorem iniuriae ulcisci non posset, e patria ad Langobardos Gepaedum hostes concessit. Haud multo post pepigere pacem Gepaedes cum Iustiniano Augusto et Langobardis, sanctissime iurata utrinque perpetua amicitia. Postquam inter eos gratia firmissimo foedere coiit, Iustinianus Augustus et Auduinus Langobardorum Rex ad Thorisinum Gepaedum Regem miserunt, qui Ildigisalem, communem hostem, deposcerent, ut amici erga se animi primum esset indicium proditio supplicis. Is vero, cum Gepaedum proceribus communicato consilio, intente quaesiit, annuendum esset necne utriusque Principis postulatis? Aperte illi tum intercedere, satius esse asseverantes, momento interire Gepaedes cum uxoribus omnique sobole, quam tali piaculo inquinari. His Thorisinus auditis, aestuabat dubitatione. Nam nec rem exequi invitis subditis poterat; nec bellum, labore

σας ὁ Θορισὶν ἐς ἀμηχανίαν ἐξέπιπτεν. οὔτε γὰρ ἀκουσίων τῶν ἀρχομένων ἐπιτελέσαι τὸ ἔργον εἶχεν οὔτε ἀνακυκλεῖν πόλεμον, πόνῳ τε καὶ χρόνῳ πεπαυμένον πολλῷ, πρός τε Ῥωμαίους καὶ Λαγγοβάρδας ἔτι ἤθελεν. ὕστερον μέντοι ἐπενόει τάδε. πέμψας παρὰ τὸν Αὐδουὶν ἐξῃτεῖτο τὸν Ἐλεμούνδου υἱὸν Οὐ-
5 στριγοτθον, ἐπὶ τὴν ὁμοίαν αὐτῷ ἁμαρτάδα ὁρμῶν, τῶν τε ἑκετῶν ἀνταλλάσσεσθαι τὴν προδοσίαν παρακαλῶν. τῇ γὰρ τῆς
C ἑμφεροῦς ἀτοπίας ὀκνήσει τὴν ἐπίταξιν αὐτῶν ἀναχαιτίσειν εἶχεν, ἀλλ' Αὐδουὶν αὐτὸν μηδεμιᾷ μελλήσει τῇ παρανομίᾳ καὶ ὁμολογίᾳ λήψεσθαι. τούτων τε αὐτοῖς δεδογμένων ἐξεπιστάμενοι ὡς
10 V 234 οὔτε Λαγγοβάρδαι οὔτε Γήπαιδες ἐθέλουσι τοῦ μιάσματος μεταλαχεῖν σφίσιν, ἐς μὲν τὸ ἐμφανὲς οὐδὲν ἔδρασαν, ἑκάτερος δὲ δόλῳ τὸν θατέρου ἐχθρὸν ἔκτεινεν. ὄντινα μέντοι τρόπον, ἀφίημι λέγειν. οὐ γὰρ ὁμολογοῦσιν ἀλλήλοις οἱ ἀμφ' αὐτῶν λόγοι, ἀλλὰ κατὰ πολὺ διαλλάσσουσιν οἷά γε τῶν πραγμάτων τὰ
15 λαθραιότατα. τὰ μὲν οὖν κατὰ Ἰλδιγισὰλ καὶ Οὐστριγοτθον ἐς τοῦτο ἐτελεύτα.

D κη'. Τοῖς δὲ ἀμφὶ Ναρσῆν ἀφικομένοις ἐς Ῥάβενναν πόλιν ἀνεμίγνυντο Βαλεριανὸς καὶ Ἰουστῖνος οἱ στρατηγοί, καὶ εἴ τι ἄλλο στράτευμα Ῥωμαίων ταύτῃ ἐλέλειπτο. ἐπειδὴ δὲ αὐτοῖς
20 ἐννέα ἡμερῶν χρόνος ἐς Ῥάβενναν ἐτέτριπτο, Οὐσδρίλας, Γότ-

4. τάδε] τοιάδε Reg. 7. οἰκετῶν ἀπαλλάσσεσθαι H. ἀπαλλάσσεσθαι etiam L a pr. m., qui τε ἑκετῶν om. 10. τούτων τε] τούτων δὲ H. ibid. ἐξεπιστάμενος L. 11. οὔτε — οὔτε] οὐδὲ — οὐδὲ P. 12. σφίσιν] φησὶν L: illud Lm. ibid. μὲν] μὲν οὖν L. 14. ἀλλήλοις] ἀλλήλων Reg. ibid. αὐτῶν] αὐτὸν L. 16. Ἰλδιγισὰλ] ἰδιγισὰλ L. ἰλδιγιγὰλ Hm.

multo diuturnoque extinctum, in Romanos ac Langobardos volebat reparare. Deinde rationem hanc iniit. Missa ad Auduinum legatione, Ustrigotthum Elemundi filium repetiit, ad scelus par impellens, hortansque ut sibi invicem proderent quos accepissent in suam fidem. Quo pacto id consecutus est, ut Langobardorum petitionem retunderet obiecta difficultate similis indignitatis, statimque Auduinum ipsum iniqua conventione implicaret. Qua facta, cum probe scirent, nec Langobardos nec Gepaedes piaculi participes esse velle, nihil quidem egerunt palam, sed alter alterius inimicum dolo sustulit. Caedis peractae modum omitto scribere, non consentientibus qui illum referunt, sed inter se plurimum discrepantibus; ut fit, cum de rebus agitur occultissimis. Hos demum exitus habuerunt Ildigisal et Ustrigotthus.

28. Postquam cum exercitu Ravennam advenit Narses, ei se adiunxerunt Valerianus ac Iustinus Magistri militiae, et quicumque Romani milites ibi supererant. Ea in urbe dies manserant novem; cum Usdrilas, natione Gotthus, vir bellica laude clarissimus, idemque Prae-

θος ἀνὴρ, διαφερόντως ἀγαθὸς τὰ πολέμια, τοῦ ἐν Ἀριμήνῳ φυλακτηρίου ἄρχων, πρὸς Βαλεριανὸν ἔγραψε τάδε „Πάντα ταῖς P 646
φήμαις καταλαβόντες, τοῖς τε φάσμασιν ἤδη ξύμπασαν Ἰταλίαν συσχόντες καὶ ὀφρυάσαντες οὐχ ὅσα γε τὰ ἀνθρώπεια, ταύτῃ τε Γότθους, ὥσπερ οἴεσθε, δειδιξάμενοι, εἶτα κάθησθε νῦν ἐν Ῥαβέννῃ· ὥστε τῷ μὲν ἀποκεκρύφθαι ὡς ἥκιστα τοῖς πολεμίοις ἔνδηλοι εἶναι ξυμφρουροῦντες ἔτι τὸ φρόνημα τοῦτο, βαρβάρων δὲ παμμίκτῳ ὁμίλῳ τὴν οὐδαμόθεν προσήκουσαν ὑμῖν κατατρίβοντες χώραν. ἀλλ' ἀνάστητε ὅτι τάχιστα καὶ πολεμίων ἔργων τὸ λοιπὸν ἅπτεσθε, δείξατέ τε ὑμᾶς αὐτοὺς Γότθοις, μηδὲ ἀναρτήσητε μακροτέραις ἐλπίσιν ἡμᾶς, προσδεχομένους ἐκ παλαιοῦ τὸ θέαμα." ἡ μὲν γραφὴ τοσαῦτα ἐδήλου. ἐπειδὴ δὲ B
ταῦτα Ναρσῆς ἀπενεχθέντα εἶδε, Γότθων τῆς ἀλαζονείας κατα- H 365
γελάσας, καθίστατο εὐθὺς παντὶ τῷ στρατῷ ἐς τὴν ἔξοδον, φρουρὰν ξὺν Ἰουστίνῳ ἐν Ῥαβέννῃ ἀπολιπών. γενόμενοί τε πόλεως Ἀριμήνου ἄγχιστα, εὗρον οὐκ εὐπετῆ σφίσι τὸ ἐνθένδε τὴν δίοδον οὖσαν, Γότθων περιῃρηκότων τὴν ἐκείνῃ γέφυραν οὐ πολλῷ πρότερον. ὁ γὰρ ποταμὸς ὁ τὴν Ἀρίμηνον παραρρέων ἀνδρὶ μὲν ἀόπλῳ ἐνὶ πεζῇ ἰόντι μόλις διαβατὸς γίνεται διὰ τῆς γεφύρας πόνῳ τε καὶ ταλαιπωρίᾳ πολλῇ, καὶ ταῦτα μηδενὸς ἐνοχλοῦντος ἢ τὴν δίοδον ἀναστέλλοντος· πλήθει δὲ ἀνθρώπων καὶ διαφερόντως ἐξωπλισμένων, ἄλλως τε καὶ πολεμίων ἀντιστατούντων,

4. ὀφρυάξαντες Reg. 6. ὥστε om. HL. *ibid.* τῷ] τὸ L. *ibid.* ὡς] ὥστε Scaliger. 7. ἔνδηλοι P et Scaliger. ἔνδηλον HL. *ibid.* ξυμφρουροῦντες] ξυμφοροῦντες Reg. 12. ἐπειδὴ] ἐπεὶ Hm. 13. καταγελάσας L corr. et P. γελάσας HL. 19. πεζῇ] πεζῷ Reg. 21. ἀνθρώπων] ἀνδρῶν Reg. 22. ἀντιστατούντων] ἐνστρατηγούντων Reg.

fectus praesidii Ariminensis, ad Valerianum scripsit in hanc sententiam. *Postquam omnia occupastis rumoribus, totamque Italiam ingentis potentiae spectris complexi, ac fastu humanam supra conditionem elati, Gothos, ut creditis, concussistis terrore; nunc Ravennae residetis. Certe ita latendo, ostenditis hostibus, vestros illos spiritus iam concidisse, et confusa Barbarorum multitudine regionem atteritis, in quam nullum habetis ius. Agitedum, actutum movete; exercete nunc bellum; subite Gotthorum oculos, nec nos spe longiori suspendite iamdiu cupidos videndi vestri.* Haec significabat epistola; quam Narses oblatam sibi cum perlegisset, Gotthorum vaniloquentiam ridens, statim se in viam dedit cum omnibus copiis, relicto Ravennae praesidio cum Iustino. Proxime urbem Ariminum, transitum difficilem offendunt, utroque pontis latere a Gotthis paulo ante acciso. Iam sane pontem fluvii, qui Ariminum alluit, vix labore multo unus pedes inermis transgreditur, licet nemo obturbet, adituve prohibeat: hominum autem turbae, in primis armato-

C τρόπῳ ὁτῳοῦν ἐνταῦθα διαπορθμεύσασθαι ἀδύνατά ἐστι. διὸ-
περ ὁ Ναρσῆς ἐν τῷ γεφύρας χώρῳ γενόμενος ξὺν ὀλίγοις τισὶν
ἀπορούμενος ἐπὶ πλεῖστον διεσκοπεῖτο ὁπόθεν ἄν ποτε πόρον τινὰ
τῷ πρύγματι εὕροι. οὗ δὴ καὶ Οὐσδρίλας τινὰς ἐπαγαγόμενος
ἱππέων ἦλθε, μή τι τῶν πρασσομένων αὐτὸν διαλάθοι. τῶν δέ
τις Ναρσῇ ἐπισπομένων τὸ τόξον ἐντείνας ἐπ' αὐτοὺς ἔβαλλεν,
ἑνί τε τῶν ἵππων κατατυχὼν εὐθὺς ἔκτεινεν. οἵ τε ἀμφὶ τὸν
Οὐσδρίλαν τότε μὲν ἐνθένδε κατὰ τάχος ἀπαλλαγέντες ἐντὸς τοῦ
περιβόλου ἐγένοντο, αὐτίκα δὲ καὶ ἄλλους ἐπαγαγόμενοι τῶν σφίσι
μαχιμωτάτων διὰ πύλης ἑτέρας ἐπ' αὐτοὺς ἴεντο, ὡς ἀπροσδό-
κητοί τε αὐτοῖς ἐπιπεσόντες καὶ τὸν Ναρσῆν διαχρησόμενοι αὐτί-
D κα δὴ μάλα. ἐπὶ θάτερα γὰρ τοῦ ποταμοῦ διερευνώμενος τῇ
στρατιᾷ τὴν διάβασιν ἤδη ἀφῖκτο. ἀλλὰ τῶν τινες Ἐρούλων
τύχῃ αὐτοῖς τινι ἐνταῦθα ὑπαντιάσαντες κτείνουσί τε τὸν Οὐσδρί-
λαν, καὶ ὅστις ποτὲ ἦν ἐπιγνωσθέντα παρὰ Ῥωμαίου ἀνδρὸς τὴν
κεφαλὴν ἀφαιρούμενοι, ἐς τὸ Ῥωμαίων στρατόπεδον ἦλθον,
καὶ Ναρσῇ ἐπιδείξαντες τῇ προθυμίᾳ ἐπέρρωσαν πάντας, τεκμη-
ριουμένους τῷ ξυμβεβηκότι τὰ ἐκ τοῦ θεοῦ Γότθοις πολέμια εἶ-
ναι· οἵ γε τῶν πολεμίων τῷ στρατηγῷ ἐνεδρεύσαντες αὐτοὶ οὐκ
ἐξ ἐπιβουλῆς ἢ προνοίας τινὸς τὸν ἄρχοντα σφῶν ἐξαπιναίως
ἀφῄρηντο. Ναρσῆς δὲ, καίπερ Οὐσδρίλα πεπτωκότος, ὃς τοῦ
ἐν Ἀριμήνῳ φυλακτηρίου ἦρχε, πρόσω ἤπειγε τὸ στράτευμα.

4. Οὐσδρίλας] οὐδρίλας L. *ibid.* ἐπαγόμενος L. 5. αὐτὸν] αὐτῷ L. 7. εὐθὺς] εὐθὺ H: εὐθὺς Hm. 8. Οὐσδρίλαν] οὐσδρίλλαν L. 9. ἐπαγόμενοι L. 10. ἴεντο] ἵεντο P. 14. αὐτοῖς] αὐτούς HL: αὐτοῖς Hm. 15. παρὰ] περὶ L a pr. m. 16. ἐς] εἰς L. 22. ἤπειγε τὸ] ἠγείγετο L. ἀπῆγε τὸ vel ἐπῆγε τὸ om.

rum, iter est omnino insuperabile; maxime si hostes obsistant. Quocirca Narses ad pontem cum paucis progressus, haesit diu, viam quaerens, qua consilium explicaret. Eo quoque Usdrilas manum equitum eduxit, ne quid eorum, quae agerentur, ipsum lateret. Tum quidam Narsetis assecla, intento arcu, in illos sagittam impulit, qua confixus equorum unus illico occubuit. Mox Usdrilas eiusque comites digressi inde, commiserunt se urbi, et sine mora accitis aliis e numero fortissimorum, porta altera se in Romanos eiecerunt, quasi primo, eoque improviso impetu oppressuri Narsetem essent. Iam enim is ad partem alteram fluvii se contulerat, quaerens traiectum copiis. At Eruli quidam illis forte obviam facti, Usdrilam interemerunt, et cum a Romano agnitum obtruncassent, ad Romanum exercitum reversi, ostenso Narseti capite, erexere omnium animos, ex eo casu intelligentium Gotthis Deum infensum esse: qui cum insidiarentur summo hostium Duci, suum ipsi Ducem subito amisissent, non ex insidiis, neque ex destinato occisum. Narses vero, etsi de medio sublatus erat praesidii Ariminensis Prae-

οὐδὲ γὰρ Ἀρίμηνον ἢ ἄλλο τι χωρίον πρὸς τῶν πολεμίων ἐχόμε- P 647
νον ἐνοχλεῖν ἤθελεν, ὡς μή τις αὐτῷ τρίβοιτο χρόνος, μηδὲ τῷ V 235
παρέργῳ τῆς χρείας ἡ σπουδαιοτάτη διείργοιτο πρᾶξις. τῶν δὲ
πολεμίων, ἅτε πεπτωκότος σφίσι τοῦ ἄρχοντος, ἠσυχαζόντων
τε καὶ οὐκέτι ἐμποδίων καθισταμένων ὁ Ναρσῆς ἀδείστερον γε-
φύρᾳ τὸν ποταμὸν ζεύξας διεβίβασε πόνῳ οὐδενὶ τὸν στρατὸν
ἅπαντα. ὁδοῦ δὲ τῆς Φλαμινίας ἐνθένδε ἀφίμενος ἐν ἀριστερᾷ
ἦει. Πέτρας γὰρ τῆς περτούσης καλουμένης, ἧς πέρι μοι ἐν
τοῖς ἔμπροσθεν δεδιήγηται λόγοις, τὸ τοῦ ὀχυρώματος καρτερὸν
χωρίον φύσει, κατειλημμένον τοῖς ἐναντίοις πολλῷ πρότερον, B
ἀπόρευτα Ῥωμαίοις καὶ παντάπασιν ἀδιέξοδα, ὅσα γε κατὰ τὴν
Φλαμινίαν ὁδὸν, ὄντα ἐτύγχανεν. ὁδὸν οὖν ὁ Ναρσῆς διὰ
ταῦτα τὴν ἐπιτομωτέραν ἀφεὶς τὴν βάσιμον ἦει.

κθ'. Τῷ μὲν οὖν Ῥωμαίων στρατῷ τά γε ἀμφὶ τῇ πο- C
ρείᾳ ταύτῃ πη εἶχε. Τωτίλας δὲ πεπυσμένος ἤδη τὰ ἐν Βενε-
τίαις ξυνενεχθέντα Τεΐαν μὲν τὰ πρῶτα καὶ τὴν ξὺν αὐτῷ στρα-
τιὰν προσδεχόμενος ἐν τοῖς ἐπὶ Ῥώμης χωρίοις ἡσυχῇ ἔμενεν·
ἐπειδὴ δὲ παρῆσαν, μόνοι τε δισχίλιοι ἱππεῖς ἐλείποντο ἔτι, τού-
τους δὴ οὐκ ἀναμείνας ὁ Τωτίλας, ἀλλὰ παντὶ ἄρας τῷ ἄλλῳ
στρατῷ ὡς τοῖς πολεμίοις ἐν ἐπιτηδείῳ ὑπαντιάσων ἦει. ἐν δὲ
τῇ ὁδῷ ταύτῃ τά τε τῷ Οὐσδρίλᾳ ξυμπεπτωκότα καὶ Ἀρίμηνον
τοὺς πολεμίους διαβεβηκέναι μαθὼν, ὅλην μὲν Τουσκίαν ἀμεί-

8. ἦσπέρ μοι L. *ibid.* ἐν — λόγοις om. L. 10. χωρίον — πρό-
τερον om. L. 11. ἀπόρευτά τε Hoeschelius. 14. τῇ πορείᾳ]
τὴν πορείαν Reg. 15. τουτίλλας L. 19. τουτίλας L. 21. τά
τε] τάδε H: τά τε Hm.

fectus Usdrilas, nihilo tamen minus processit. Neque enim consilium erat, Ariminum aliumve quempiam locum aggredi insessum ab hostibus, ne quid temporis tereretur, neu quod maxime urgendum erat opus, id rei levioris accessio impediret. Dum Praefecto orbati hostes se oppido tenent, nec moram obiiciunt, impune Narses ponte fluvium iungit, ac nullo negotio totum traducit exercitum, omissaque via Flaminia ad laevam tendit. Cum enim Petra pertusa, ut vocant, quam in superioribus libris descripsi, locus natura munitissimus, ab hoste pridem teneretur, via Flaminia Romanis plane occlusa erat. Quare Narses, relicto breviori itinere, id, quo transitus patebat, ingressus est.

29. Ita quidem Romanus exercitus procedebat: Totilas vero, auditis iam quae contigerant in agro Veneto, primum ad Romam constitit, Teiam copiasque eius opperiens. Deinde, ut advenerunt, praeter equitum duo millia, quae nondum aderant, his Totilas minime expectatis, eo consilio cum reliquo omni exercitu profectus est, ut hostibus opportune occurreret. Cum autem eos, caeso Usdrila, transiisse Ariminum cognovisset in via, totamque emensus Tusciam, montem Apenninum at-

ψας, ἐν ὄρει δὲ τῷ Ἀπεννίνῳ καλουμένῳ γενόμενος, αὐτοῦ ἐνστρατοπεδευσάμενος, ἔμεινεν ἄγχιστα κώμης, ἥνπερ οἱ ἐπιχώριοι Ταγίνας καλοῦσιν. ἥ τε Ῥωμαίων στρατιὰ Ναρσοῦ ἡγουμένου οὐ πολλῷ ὕστερον ἐν τῷ ὄρει καὶ αὐτοὶ τῷ Ἀπεννίνῳ ἐνστρατοπεδευσάμενοι ἔμενον, σταδίους ἑκατὸν μάλιστα τοῦ τῶν ἐναντίων στρατοπέδου διέχοντες, ἐν χωρίῳ ὁμαλῷ μὲν, ἄγχιστα δέ πη τάφους περιβεβλημένῳ πολλούς, ἵνα δὴ στρατηγοῦντά ποτε Ῥωμαίων Κάμιλλον τῶν Γάλλων ὅμιλον διαφθεῖραι μάχῃ νενικηκότα φασί. φέρει δὲ καὶ εἰς ἐμὲ μαρτύριον τοῦ ἔργου τὴν προσηγορίαν ὁ χῶρος καὶ διασώζει τῇ μνήμῃ τῶν Γάλλων τὸ πάθος, βοῦστα Γαλλώρων καλούμενος. βοῦστα γὰρ Λατῖνοι τὰ ἐκ τῆς πυρᾶς καλοῦσι λείψανα. τύμβοι τε τῇδε γεώλοφοι τῶν νεκρῶν ἐκείνων παμπληθεῖς εἰσιν. αὐτίκα δὲ στελλας ἐνθένδε Ναρσῆς τῶν οἱ ἐπιτηδείων τινὰς παραίνεσιν ἐπήγγειλε ποιεῖσθαι τῷ Τωτίλᾳ καταθέσθαι μὲν τὰ πολέμια, βουλεύεσθαι δ' εἰρηναῖά ποτε, διαριθμοῦντα ὅτι δὴ αὐτὸς, ἀνθρώπων ἄρχων ὀλίγων τέ τινων καὶ ἐξ ὑπογυίου νόμῳ οὐδενὶ ξυνειλεγμένων, πάσῃ τῇ Ῥωμαίων ἀρχῇ ἐπὶ πλεῖστον διαμάχεσθαι οὐκ ἂν δύναιτο. ἔφη δὲ αὐτοῖς καὶ τοῦτο, ὥστε δὴ αὐτὸν, εἰ πολεμησείοντα ᾔδοιεν, μελλήσει οὐδεμιᾷ ἐγκελεύεσθαι ταύτῃ διορίσαι τινὰ ἡμέραν τῇ μάχῃ. ἐπειδὴ γοῦν οἱ πρέσβεις οὗτοι τῷ Τωτίλᾳ ἐς

P 648
H 366

2. ἔμεινεν] ἔμενον L. 4. οὐ πολλῷ] οὐ om. L. 6. διέχοντες addidi ex L. 7. δέ om. HL. *ibid.* τάφους om. HL: habet Lm. 8. Κάμιλλον] κάλλιον L: illud Lm. 11. γαλλώρων L. Γαλλόρων P. 12. τύμβοι] τύμβοις L. τύμβοι L corr. *ibid.* τῇδε] τῇ HL. οἱ L corr. 15. Τωτίλᾳ] τοντίλλᾳ HL. *ibid.* δ' om. L. 16. διαριθμοῦντα] διαριθμῶν HL. 17. καὶ ἐξ ὑπογυίου] καὶ ὑπόγυιον L: illud Lm. 21. Τωτίλᾳ] τοντίλλᾳ HL.

tigisset, castris proxime vicum, quem indigenae Taginas appellant, positis, ibi consedit. Nec multo post Romanus quoque exercitus, Narsete duce, castra in monte Apennino metatus est, centum ad summum stadiis procul a castris hostium, plano quidem in loco, sed multis ciacto tumulis prope extantibus: ubi quondam a Camillo, Romani duce exercitus, victas acie et caesas ferunt Gallorum copias: id quod suo locus nomine etiamnum testatur, et memoriam cladis Gallorum servat, Busta Gallorum dictus. Busta enim Latini vocant rogi reliquias, et plurimi visuntur hic mortuorum illorum tumuli, terra aggesta editi. Inde mox Narses quosdam e suis familiaribus destinat, iubetque hortari Totilam, ut, armis depositis, aliquando tandem consilia pacis agitet, cum animo reputans, se, recentibus ac temere contractis copiolis succinctum, non posse diu resistere Romano Imperio universo. Hoc etiam mandatum adiecit, si ipsum belli libidine teneri animadverterent, statim iuberent diem proelii constituere. Praescripta accurarunt Legati, ad conspectum admissi Totilae: eumque /is ferociter ac superbe denuntiasset, omnino

ὄψιν ἦλθον, τὰ ἐπιτεταγμένα ἐποίουν. καὶ ὁ μὲν νεανιευόμενος ἐκομψεύετο ὡς τρόπῳ αὐτοῖς παντὶ πολεμητέον εἴη, οἱ δὲ ὑπολαβόντες „Ἀλλ᾽, ὦ γενναῖε" ἔφασαν „τόν τινα καιρὸν τῇ ξυμ- B
βολῇ τίθει". καὶ ὃς „Αὐτίκα ὀκτὼ ἡμερῶν ξυμμίξομεν." οἱ
5 μὲν οὖν πρέσβεις παρὰ τὸν Ναρσῆν ἐπανήκοντες τὰ ξυγκείμενα σφίσιν ἐπήγγελλον, ὁ δὲ Τωτίλαν δολώσειν ὑποτοπάζων ἐπινοεῖν παρεσκευάζετο ὡς τῇ ὑστεραίᾳ μαχούμενος. καὶ ἔτυχέ γε τῆς τῶν πολεμίων ἐννοίας. ἡμέρᾳ γὰρ τῇ ἐπιγενομένῃ αὐτάγγελος παντὶ τῷ στρατῷ παρῆν ὁ Τωτίλας. ἤδη δὲ ἀλλήλοις ἑκά-
10 τεροι ἀντεκάθηντο, οὐ πλέον ἢ δυοῖν διέχοντες τοξευμάτων βολῶν.

Ἦν γέ τι γεώλοφον ἐνταῦθα βραχύ, ὃ δὴ καταλαβεῖν ἀμφότεροι διὰ σπουδῆς εἶχον, ἐν ἐπιτηδείῳ σφίσιν οἰόμενοι κεῖ- V 236
σθαι, ὅπως τε βάλλειν τοὺς ἐναντίους ἐξ ὑπερδεξίων ἔχοιεν καὶ C
15 ὅτι χῶροι λοφώδεις, ᾗπέρ μοι δεδήλωται, ἐνταῦθά πη ἦσαν, ταύτῃ τοι κυκλώσασθαί τινας τῶν Ῥωμαίων στρατόπεδον κατὰ νώτου ἰόντας ἀμήχανον ἦν, ὅτι μὴ διὰ μιᾶς τινος ἀτραποῦ, ἣ παρὰ τὸ γεώλοφον ἐτύγχανεν οὖσα. διὸ δὴ περὶ πλείονος αὐτὸ ποιεῖσθαι ἀμφοτέροις ἐπάναγκες ἦν, Γότθοις μὲν, ὅπως ἐν τῇ
20 ξυμβολῇ κυκλωσάμενοι τοὺς πολεμίους ἐν ἀμφιβόλῳ ποιήσονται, Ῥωμαίοις δὲ, ὅπως δὴ ταῦτα μὴ πάθοιεν. ἀλλὰ προτερήσας Ναρσῆς πεντήκοντα ἐκ καταλόγου πεζοὺς ἀπολέξας ἀωρὶ νύκτωρ ὡς καταληψομένους τε καὶ καθέξοντας αὐτοὺς ἔστειλε. καὶ οἱ

4. τίθει L. τιθεῖς P. 6. ἐπήγγελον L a pr. m. et H. *ibid.* τοντίλλαν HL. 9. τοντίλλας HL. 12. τι] τοι HL. 19. γότθοις μὲν L. Aberat μὲν. 20. ποιήσονται L corr.

ipsis pugnandum esse, subiecere continuo: *Agedum, praeclare vir: quodnam certamini tempus praestituis?* At ille, *Statim*, inquit, *ut octiduum effluxerit, praeliemur.* Reversi ad Narsetem Legati, pacta renantiant. Hic structam a Totila fraudem suspicans, perinde se accinxit, ac si pugnam initurus esset postridie: neque ab hostium consilio aberravit. Etenim sequenti die Totilas, adventus famam sui praevertens, affuit cum omni exercitu: utrique tum constitere adversi, nec dissiti longius duplici sagittae iactu.

Ibi collis erat modicus, quem occupare utrique vehementer optabant; tum quod commodus videbatur feriendis ex edito hostibus, tum quia, cum ager, ut dixi, tumulosus esset, a tergo circumveniri non poterat Romanus exercitus, nisi per tramitem subiectum colli. Quare erat cur utrique multum in eo ponerent; Gotthi quidem, ut inter pugnandum circumventis hostibus, eos telis hinc inde peterent; Romani vero, ne id paterentur. Eo Narses pedites quinquaginta ex cohorte delectos, intempesta nocte mittere occupat, locumque obtinere ac tueri iubet. Ad quem illi cum evasissent, nemine hostium prohibente, ibi quierunt.

D μὲν οὐδενὸς σφίσι τῶν πολεμίων ἐμποδὼν ἱσταμένου ἐνταῦθα γενόμενοι ἡσυχῇ ἦσαν. ἔστι δέ τις χωμάρρους τοῦ γεωλόφου ἀπέρροσθεν, παρὰ μὲν τὴν ἀτραπόν, ἧς ἄρτι ἐμνήσθην, τοῦ δὲ χώρου κατάντικρυ οὗ ἐστρατοπεδεύσαντο Γότθοι, οὗ δὴ οἱ πεντήκοντα ἕστησαν, ἐν χρῷ μὲν ξυνιόντες ἀλλήλοις, ἐς φάλαγγα δὲ ὡς ἐν στενοχωρίᾳ ξυντεταγμένοι. μεθ' ἡμέραν δὲ τὸ γεγονὸς ἰδὼν Τωτίλας ἀπώσασθαι αὐτοὺς ἐν σπουδῇ εἶχεν. ἵππον τε ἱππέων εὐθὺς ἐπ' αὐτοὺς ἔπεμψεν, ἐξελεῖν ὅτι τάχιστα ἐνθένδε αὐτοὺς ἀποστείλας. οἱ μὲν οὖν ἱππῆς θορύβῳ τε πολλῷ καὶ κραυγῇ ἐπ' αὐτοὺς ἴεντο, ὡς αὐτοβοεὶ ἐξαιρήσοντες, οἱ δὲ ἐς ὀλίγον ξυντεταγμένοι καὶ ταῖς ἀσπίσι φραξάμενοι ἕστησαν. εἶτα
P 649 οἱ μὲν Γότθοι σπουδῇ ἐπιόντες ξυνταράξαντες αὐτοὺς ἤλαυνον. οἱ δὲ πεντήκοντα, τῶν τε ἀσπίδων τῷ ὠθισμῷ καὶ τῶν δορατίων τῇ ἐπιβολῇ πυκνοτάτῃ οὔσῃ καὶ οὐδαμῇ ξυγκεχυμένῃ ὡς καρτερώτατα τοὺς ἐπιόντας ἠμύνοντο, ἐξεπίτηδές τε πάταγον ταῖς ἀσπίσιν ἐποίουν, ταύτῃ μὲν τοὺς ἵππους ἀεὶ δεδιττόμενοι, τοὺς δὲ ἄνδρας ταῖς τῶν δορατίων αἰχμαῖς. καὶ οἵ τε ἵπποι ἀνεχαιτίζοντο τῇ τε δυσχωρίᾳ καὶ τῶν ἀσπίδων τῷ πατάγῳ λίαν ἀχθόμενοι καὶ διέξοδον οὐκ ἔχοντες, οἵ τε ἄνδρες ἠπορεῦντο, ἀνθρώποις τε οὕτω ξυμφραξαμένοις μαχόμενοι καὶ τρέπῳ οὐδενὶ
B κρουσθέντες τε τὴν πρώτην ὀπίσω ἐχώρουν. καὶ αὖθις ἀπεπει-

4. οὗ ἐστρ. Hl. οὗ om. L. 7. τοντίλλας Hl. 8. ἐνθένδε] ἐνθένδεν P. 10. ἵεντο] ἵστο P. 19. οὐκ ἔχοντες] οὐκ om. L. *ibid.* ἠποροῦντο] ἀπεπορεύοντο Hl. 21. ἐμπελευόμενοι] ἐπελευόμενοι H.

Celli praeiacet torrens, praetextus tramite, cuius mentionem proxime feci. Erant autem Getthorum castra loco opposita, in quo stabant quinquageni illi, adeo densi, ut se contingerent, scutoque compositi, quantum per angustias loci licebat. Simul Totilae id lux aperuit, omne eo studium contulit, ut inde illos deiiceret. Itaque turmam equitum confestim mittit, iubetque eos quamprimum deturbare. Tum equites multo cum fremitu et clamore invehi, quasi ipsos prime impetu eversuri essent. Hi vero densatis ordinibus, protecti clypeis stabant, cum Getthi, admissis equis, confuse impressionem fecerunt. At illam quinquageni viri, scuta collidendo, crebroque et apposite vibrando hastas, validissime exceperunt; sic, ut equos, de industria consrepantium clypeorum assiduo sonitu, et vires intentarum cuspidibus hastarum terrerent. Retro equi cedebant, loci iniquitate et scutorum crepitu efferati, positusque exclusi transitu: equites quo se verterent nesciebant, cum hominibus adeo munitis minimeque cedentibus pugnantes, frustraque imperitantes equis contumacibus. Hac prima repulsi conflictione, viam con-

ρασάμενοι καὶ ταὐτὰ πάσχοντες ἀνεπόδιζον. πολλάκις τε οὕτως ἀπαλλάξαντες οὐκέτι ἠνόχλουν, ἀλλ' ἑτέραν ἴλην Τωτίλας δὴ εἰς τὸ ἔργον τοῦτο ἀντικαθίστη. ὥνπερ ὁμοίως τοῖς προτέροις ἀπαλλαγέντων ἕτεροι ἐς τὴν πρᾶξιν καθίσταντο. πολλάς τε ἴλας ὁ Τωτίλας οὕτως ἀμείψας ἐπὶ πάσαις τε ἄπρακτος γεγονὼς εἶτα ἀπεῖπεν. οἱ μὲν οὖν πεντήκοντα κλέος ὑπὲρ ἀρετῆς ὑπήνεγκαν μέγα, δύο δὲ αὐτῶν διαφερόντως ἐν τῷ πόνῳ τούτῳ ἠρίστευσαν, Παῦλός τε καὶ Αὐσίλας, οἳ δὴ ἐκπεπηδηκότες τῆς φάλαγγος δήλωσιν ἀρετῆς μάλιστα πάντων πεποίηνται. τοὺς μὲν γὰρ ἀκινάκας σπασάμενοι κατέθεντο ἐς τὸ ἔδαφος, τὰ δὲ τόξα ἐντεινόμενοι ἔβαλον ἐπικαιριώτατα στοχαζόμενοι τῶν πολεμίων. C καὶ πολλοὺς μὲν ἄνδρας, πολλοὺς δὲ ἵππους διεχρήσαντο, ἕως ἔτι εἶχον τοὺς ἀτράκτους αὐτοῖς αἱ φαρέτραι. ἐπειδὴ δὲ ἅπαντα αὐτοὺς τὰ βέλη ἤδη ἐπελελοίπει, οἱ δὲ τά τε ξίφη ἀνελόμενοι καὶ τὰς ἀσπίδας προβεβλημένοι κατὰ μόνας τοὺς ἐπιόντας ἠμύνοντο. ἐπειδάν τε ἱππευόμενοι τῶν ἐναντίων τινὲς ξὺν τοῖς δόρασιν ἐπ' αὐτοὺς ἴοιεν, οἱ δὲ τοῖς ξίφεσι παίοντες ἀπεκαύλιζον τῶν δοράτων εὐθὺς τὰς αἰχμάς. πολλάκις δὲ αὐτῶν οὕτω δὴ ἀναστελλόντων τὰς τῶν πολεμίων ἐπιδρομὰς ξυνηνέχθη τὸ θατέρου ξίφος (ἦν δὲ οὗτος ἀνὴρ Παῦλος ὀνόματι) συγκεκάμφθαι τῇ ἐς τὰ ξύλα ξυνεχεῖ τομῇ καὶ τὸ παράπαν ἄχρεῖον εἶναι. D ὅπερ αὐτίκα μὲν προσουδίζει χαμαί, χερσὶ δὲ ἀμφοτέραις ἐπιλα- H 367

2. ἠνόχλουν Reg. ἐνόχλουν P. *ibid.* τοντίλας HL hic et infra. *ibid.* δὴ om. P, habet L. δὲ H. 3. ἀντικαθίστη Scaliger. Legebatur ἀντικαθέστη. 18. τὰς αἰχμὰς] ταῖς αἰχμαῖς L a pr. m. et H. 21. συνεχεῖ L.

vertunt. Adorti iterum, eodemque modo excepti, pedem iterum referunt. Ita saepe digressi irriti, absistunt eos lacessere. In idem ausum submisso a Totila altero agmine, et similiter pulso, tertium subit. Sic Totilas, multis per vices suffectis turmis, operaque a cunctis perdita, tandem coepto abiit. Hinc quinquaginta illi magnam retulere fortitudinis laudem: sed rem melius caeteris in hoc certamine gesserunt duo, Paulus et Ausilas: qui ex acie progressi, virtutis significatione supra omnes se commenderunt. Cum enim districtos acinaces humi deposuissent, intentis arcubus in hostes scitissime collimando, sagittas sic emittebant, ut viros equosque multos confecerint, quandiu sagittas habuere in pharetris. His omnino exhaustis, eduxere gladios, et seorsum soli obiectis clypeis impetum sustinuerunt. Si qui equitum in eos cum hastis se invehebant, statim illi ensibus recidebant earum cuspides. Hostium crebros incursus dum ita reprimunt, secandis usque lignis retusus est Pauli gladius, ac prorsus inutilis evasit. Hoc ille protinus abiecto humi, hastas ambabus manibus apprehensas, aggressoribus extorquebat.

βόμενος τῶν δοράτων ἀφῄρητο τοὺς ἐπιόντας. τέτταρά τε δόρατα οὕτω τοὺς πολεμίους διαφανῶς ἀφελόμενος αἰτιώτατος γέγονε τοῦ τὴν πρᾶξιν αὐτοὺς ἀπογνῶναι. διὸ δὴ αὐτὸν καὶ ὑπασπιστὴν αὑτοῦ ἴδιον ἀπὸ τοῦ ἔργου τούτου Ναρσῆς τὸ λοιπὸν κατεστήσατο.

V 237 P 650 λ'. Ταῦτα μὲν οὖν τῇδε κεχώρηκεν. ἑκάτεροι δὲ παρεσκευάζοντο εἰς παράταξιν. καὶ Ναρσῆς τὸ στράτευμα ἐν χώρῳ ὀλίγῳ ξυναγαγὼν τοιάδε παρεκελεύσατο „Τοῖς μὲν ἐξ ἀντιπάλου τῆς δυνάμεως ἐς ἀγωνίαν τοῖς πολεμίοις καθισταμένοις παρακελεύσεώς τε ἂν ἴσως δεήσειε πολλῆς καὶ παραινέσεως τὴν προθυμίαν ὁρμώσης, ὅπως δὴ ταύτῃ τῶν ἐναντίων πλεονεκτοῦντες κατὰ νοῦν μάλιστα τῆς παρατάξεως ἀπαλλάξωσιν· ὑμῖν δέ, ὦ ἄνδρες, οἷς καὶ τῇ ἀρετῇ καὶ τῷ πλήθει καὶ τῇ ἄλλῃ παρασκευῇ πάσῃ πολλῷ τῷ διαλλάσσοντι πρὸς καταδεεστέρους ἐστὶν ἡ μάχη, B οὐδὲν ἄλλο προσδεῖν οἶομαι ἢ τῷ θεῷ ἴλεῳ ἐς ξυμβολὴν τήνδε καθίστασθαι. εὐχῇ τοίνυν αὐτὸν ἐνδιελεχέστατα ἐς ξυμμαχίαν ἐπαγόμενοι πολλῷ τῷ καταφρονήματι ἐπὶ τούτων δὴ τῶν λῃστῶν τὴν ἐπικράτησιν ἴεσθε, εἴ γε δοῦλοι βασιλέως τοῦ μεγάλου τὸ ἐξ ἀρχῆς ὄντες καὶ δραπέται γεγενημένοι τύραννόν τε αὐτοῖς ἀγελαῖόν τινα ἐκ τοῦ συρφετοῦ προστησάμενοι ἐπικλοπώτερον συνταράξαι τὴν Ῥωμαίων ἀρχὴν ἐπὶ καιροῦ τινος ἴσχυσαν. καίτοι τούτους γε ἡμῖν οὐδὲ ἀντιπαρατάσσεσθαι νῦν τὰ εἰκότα λογιζομένους ὑπώπτευσεν ἄν τις. οἱ δὲ θράσει θανατῶντες ἀλογίστῳ

18. ἴεσθε] ἴεσθε HmP. ἴεσθαι HL. 23. ἀλογίστῳ] ἀλογίστως H.

Quo modo, cum palam hastas quatuor eripuisset hostibus, praecipua causa extitit, cur incepto desperanter absisterent. Facinoris illius ergo eum Narses in Scutariorum suorum numero deinceps habuit.

30. His ita gestis, utrique ad pugnam se accinxerunt: tum Narses coactas in angustum copias, his fere verbis hortatus est. *Qui ad dimicandum accedunt cum hoste viribus pari, eos forte verbis hortari pluribus et accendere necesse fuerit, ut adversariis hac saltem parte instructiores, ex sententia proelio defungantur. Vobis autem, o viri, quandoquidem cum hominibus, virtute, numero, et belli apparatu longe inferioribus certandum est, id unum iudico necessarium, ut pugnam hanc ineatis, Deo propitio. Huius ope enixis precibus impetrata, contemptu elati generosissimo, aggredimini profligare latrones istos: qui, postquam magno Imperatori, cui iam inde olim servierant, elapsi fuga se subduxerunt, assumpto ex plebe tyranno quodam gregario, Romanum Imperium turbarunt aliquandiu, impunius latrocinando. Certe merito iuspiam existimaret, eos, si quid saperent, nobis nunquam se oblaturos instructa acie. Verum illi inconsulta audacia perire volunt, et furiosa abrepti palam temeritate certam amplecti mortem non dubitant.*

τινὶ καὶ μανιώδη προπέτειαν ἐνδεικνύμενοι προὔπτον αὐτοῖς θά- C
νατον ἀνωρεῖσθαι τολμῶσιν, οὐ προβεβλημένοι τὴν ἀγαθὴν ἐλ-
πίδα, οὐδέ τι ἐπιγενήσεται σφίσιν αὐτοῖς ἐκ τοῦ παραλόγου καὶ
τοῦ παραδόξου καραδοκοῦντες, ἀλλὰ πρὸς τοῦ θεοῦ διαρρήδην
ἐπὶ τὰς ποινὰς τῶν πεπολιτευμένων ἀγόμενοι. ὧν γὰρ ἄνωθέν
τι κατεγνώσθη παθεῖν, χωροῦσιν ἐπὶ τὰς τιμωρίας αὐτόματοι.
χωρὶς δὲ τούτων ὑμεῖς μὲν πολιτείας εὐνόμου προκινδυνεύοντες
καθίστασθε εἰς ξυμβολὴν τήνδε, οἱ δὲ νεωτερίζουσιν ἐπὶ τοῖς νό-
μοις ζυγομαχοῦντες, οὐ παραπέμψειν τι τῶν ὑπαρχόντων ἐς δια-
δόχους προσδοκῶντές τινας, ἀλλ' εὖ εἰδότες ὡς συναπολεῖται D
αὐτοῖς ἅπαντα καὶ μετ' ἐφημέρου βιοτεύουσι τῆς ἐλπίδος. ὥστε
καταφρονεῖσθαι τὰ μάλιστά εἰσιν ἄξιοι. τῶν γὰρ οὐ νόμῳ καὶ
ἀγαθῇ πολιτείᾳ ξυνισταμένων ἀπολέλειπται μὲν ἀρετὴ πᾶσα,
διακέκριται δὲ, ὡς τὸ εἰκὸς, ἡ νίκη, οὐκ εἰωθυῖα ταῖς ἀρεταῖς
ἀντιτάσσεσθαι." τοιαύτην μὲν ὁ Ναρσῆς τὴν παρακέλευσιν
ἐποιήσατο. καὶ Τωτίλας δὲ τεθηπότας τὴν Ῥωμαίων στρατιὰν
τούς οἱ ἑπομένους ὁρῶν ξυγκαλέσας καὶ αὐτὸς ἅπαντας ἔλεξε τάδε.

„Ὑστάτην ὑμῖν παραινεσιν ποιησόμενος ἐνταῦθα ὑμᾶς,
ἄνδρες ξυστρατιῶται, ξυνήγαγον. ἄλλης γὰρ, οἶμαι, παρα-
κελεύσεως μετὰ τήνδε τὴν ξυμβολὴν οὐκ ἔτι δεήσει, ἀλλὰ τὸν
πόλεμον ἐς ἡμέραν μίαν ἀποκεκρίσθαι ξυμβήσεται πάντως. οὕτω
γὰρ ἡμᾶς τε καὶ βασιλέα Ἰουστινιανὸν ἐκνενευρίσθαι τετύχηκε P 651
καὶ περιῃρῆσθαι δυνάμεις ἁπάσας, πόνοις τε καὶ μάχαις καὶ τα-
λαιπωρίαις ὠμιληκότας ἐπὶ χρόνου παμμέγεθες μῆκος, ἀπειρη-
κέναι τε πρὸς τὰς τοῦ πολέμου ἀνάγκας, ὥστε, ἢν τῇ ξυμβολῇ

Nec vero spe tanta freti sunt, ut sibi extraordinarium quidquam et communi opinione maius eventurum expectent: sed ipsos Deus ad poenas anteactae vitae debitas aperte ducit. Nam quibus divina sententia supplicium aliquod decretum est, id sponte ipsimet adeunt. Praeterea vos pro bene morata et constituta Repub. in certaminis aleam venitis: illi in iugum legum se efferentes, novitati student: nec se fortunarum suarum partem aliquam heredibus ullis transmissuros sperant: at probe intelligentes omnia secum peritura, sic vivunt, ut spem non ultra diem producant. Quare contemptu maximo digni sunt. Etenim qui nec lege, nec laudabili instituto coeunt, eos virtus omnis deserit: proinde ab ipsis victoria procul abest; quippe quae virtutibus repugnare non soleat. Haec Narses. Totilas vero suos exercitus Romani admiratione defixos videns, advocata concione, sic verba fecit.

Huc vos collegi, Commilitones, extremum hortaturus. Nam post hoc proelium, nulla amplius, ut equidem censeo, militari concione opus erit: sed bello dies hic finem afferet. Et vero nos Iustinianumque Augustum debilitarunt atque exhauserunt viribus labores, certamina, aerumnae, in quibus diutissime versati sumus; itaque taedet difficultatum

τῇ νῦν τῶν ἐναντίων περιεσώμεθα, οὐδαμῶς ἀναμαχήσεσθαι λελείψεται Γότθοις, ἀλλὰ τὴν ἥσσαν ἑκατέροις σκῆψιν ἐς τὴν ἡσυχίαν εὐπρόσωπον διαρκῶς ἕξομεν. ἀπολέγοντες γὰρ ἄνθρωποι πρὸς τῶν πραγμάτων τὰ πονηρότατα ἐς αὐτὰ ἐπανιέναι οὐκέτι τολμῶσιν, ἀλλὰ καὶ σφόδρα ἴσως διωθουμένης αὐτοὺς ἐπὶ ταῦτα τῆς χρείας ταῖς γνώμαις ἀναχαιτίζονται, δεδισσομένης αὐτοῖς τὰς ψυχὰς τῆς τῶν κακῶν μνήμης. τοσαῦτα, ὦ ἄνδρες, ἀκηκοότες ἀνδραγαθίζεσθε μὲν τῷ παντὶ σθένει, μηδεμίαν ἐς ἄλλον τινὰ χρόνον ἀποτιθέμενοι τῆς ψυχῆς ἀρετὴν, ταλαιπωρεῖσθε δὲ ἀνάγκῃ τῇ πάσῃ, μηδὲ τὸ σῶμα ταμιευόμενοι ἐς κίνδυνον ἄλλον. ὅπλων δὲ ὑμῖν γινέσθω καὶ ἵππων οὐδεμία φειδὼ, ὡς οὐκέτι χρησίμων ἐσομένων ὑμῖν. ἅπαντα γὰρ προκατατρίψασα τὰ ἄλλα ἡ τύχη, μόνην τῆς ἐλπίδος τὴν κεφαλὴν ἐς τὴν ἡμέραν ἐφύλαξε ταύτην. τὴν εὐψυχίαν τοίνυν ἀσκεῖτε καὶ πρὸς εὐτολμίαν παρασκευάζεσθε. οἷς γὰρ ἡ ἐπὶ τριχὸς ἐλπὶς, ὥσπερ τανῦν ὑμῖν, ἕστηκεν, οὐδὲ χρόνου τινὰ βραχυτάτην ῥοπὴν ἀναπεπτωκέναι ξυνοίσει. παρεληλυθυίας γὰρ τῆς ἀκμῆς τοῦ καιροῦ ἀνόητος τὸ λοιπὸν ἡ σπουδὴ γίνεται, κἂν διαφερόντως ὑπέρογκος ᾖ, οὐκ ἐνδεχομένης τῶν πραγμάτων τῆς φύσεως ἀρετὴν ἔωλον, ἐπεὶ παρελθούσης τῆς χρείας ἔξωρα καὶ τὰ ἐπιγινόμενα ἐπάναγκες εἶναι. οἷμαι τοίνυν προσήκειν ὑμᾶς ἐπικαιριώτατα ἐν ἔργῳ λαβεῖν τὴν ἀγώνισιν, ὡς ἂν δυνήσησθε καὶ τοῖς ἀπ' αὐτῆς ἀγαθοῖς

5. αὐτοὺς L corr. et P. αὐτῆς H. 13. ἐς τὴν Pm. Aberat ἐς. 21. ὑμᾶς] ἡμᾶς L.

belli, ut si ex hoste reportemus victoriam hodierno proelio, nullam aliud Gothi facturi sint; utrisque speciosissimam quietis causam praebente clade. Nam homines in eos casus, quibus pessime iactati sunt, non audent iterum se dimittere: at si forte necessitate illuc vehementius impellantur, inde refugiunt eorum animi, memoria territi praeteritae calamitatis. His auditis, o viri, rem viriliter gerite, promentes totam pectoris vim; nec partem ullam fortitudinis reponite in tempus aliud. Quidquid difficultatis occurret, constanter subite, nec corpus in discrimen alterum reservate. Nolite armis equisve parcere, nulli posthac futuris usui. Siquidem Fortuna, protritis rebus omnibus, spei summam, in hunc diem unum adductam, servavit. Ergo generositatem exercete, vosque ad pugnandum animose accingite. Nam quorum spes, ut iam vestra, in pilo stat, illis vel momento brevissimo residere non expedit. Ubi enim effluxit occasio, frustra est operae contentio, quamvis maxima, abdicante rerum natura animositatem praeposteram: quippe elapsa semel oppartunitate, intempestiva sint, quae consequuntur, necesse est. Itaque eo vos incumbere debere arbitror, ut momenta ad bene pugnandum, quae se offerent, dextere arripiatis; quo possitis bona inde pro-

χρῆσθαι. ἐξεπίστασθέ τε ὡς ἐν τῷ παρόντι ἀξιώλεθρος μάλιστα ἡ φυγὴ γίνεται. φεύγουσι γὰρ ἄνθρωποι οἱ λείποντες τὴν τάξιν οὐκ ἄλλου του ἕνεκα ἢ ὅπως βιώσονται· ἢν δὲ θάνατον ἡ φυγὴ προὔπτον ἐπάγεσθαι μέλλῃ, ὁ τὸν κίνδυνον ὑποστὰς τοῦ φυγόντος πολλῷ ἔτι μᾶλλον ἐν ἀσφαλεῖ ἔσται. τοῦ δὲ τῶν πολεμίων ὁμίλου καταφρονεῖν ἄξιον, ἐξ ἐθνῶν ξυνειλεγμένων ὅτι μάλιστα πλείστων. ξυμμαχία γὰρ πολλαχόθεν ἐρανισθεῖσα οὔτε τὴν πίστιν οὔτε τὴν δύναμιν ἀσφαλῆ φέρεται, ἀλλὰ σχιζομένη D τοῖς γένεσι μερίζεται καὶ ταῖς γνώμαις εἰκότως. μηδὲ γὰρ οἴεσθε Οὔννους τε καὶ Λαγγοβάρδους καὶ Ἐρούλους ποτὲ, χρημάτων αὐτοῖς μεμισθωμένους οὐκ οἶδα ὁπόσων, προκινδυνεύσειν αὐτῶν ἄχρι ἐς θάνατον. οὐ γὰρ οὕτως αὐτοῖς ἡ ψυχὴ ἄτιμος ὥστε καὶ ἀργυρίου τὰ δευτερεῖα παρ' αὐτοῖς φέρεσθαι, ἀλλ' εὖ οἶδα ὡς μάχεσθαι τὰ ἐς τὴν ὄψιν ποιούμενοι ἐθελοκακήσουσιν αὐτίκα δὴ μάλα, ἢ κεκομισμένοι τὴν μίσθωσιν, ἢ τὴν ἐπίταξιν ὑποτετελεκότες τῶν ἐν σφίσιν ἀρχόντων. τοῖς γὰρ ἀνθρώποις καὶ τῶν πραγμάτων τὰ τερπνότατα δοκοῦντα εἶναι μὴ ὅτι πολέμια, ἢν μὴ κατὰ γνώμην αὐτοῖς πράσσηται, ἀλλὰ βιασθεῖσιν ἢ μισθαρνήσασιν ἢ ἄλλῳ τῳ ἀναγκασθεῖσιν, οὐκέτι αὐτοῖς ἐπὶ τὸ καταθύμιον ἀποκεκρίσθαι ξυμβήσεται, ἀλλὰ τῷ ἀναγκαίῳ μοχθηρὰ φαίνεται. ὧν ἐνθυμηθέντες προθυμίᾳ τῇ πάσῃ ὁμόσε τοῖς πολεμίοις χωρήσωμεν." P 652

12. ἄτιμος] ἄτιμον L a pr. m. et H. ibid. εὐψυχίαν] εὐτυχίαν H. εὐψυχίαν Hoeschel. in annot. ex Pers. 13. αὐτοῖς] αὐτοὺς L a pr. m.

fectura percipere. Illud etiam apprime teneatis velim, nihil iam esse perniciosius fuga. Qui suum deserentes ordinem terga dant, nihil aliud, nisi viam salutis, quaerunt. At si fugam certam consequatur exitium, qui pugnam sustinet, nae is longe tutior est quam qui fugit. Quod ad hostium multitudinem ex gentibus quamplurimis coactam attinet, ea vobis temnenda est: cum ex multis pretio conflata societas nec fidem, nec vires habeat stabiles: idque natura ferat, ut quanta gentium, tanta consiliorum diversitas in ea sit. Nec putate Hunnos, Langobardos, Eruloseque pecunia infinita conductos, pro ipsis ad extremum spiritum dimicaturos. Neque enim vitam adeo vilem habent, ut eam argento postferant: nec dubito quin servata pugnantium specie, de industria remisse agant, sive quia mercedem iam acceperunt, sive ut arcanis Ducum suorum mandatis obtemperent. Enimvero non solum hostilia, sed illa etiam, quae vulgo habentur suavissima, si ab hominibus, vi, pretio, aliove quopiam adactis modo, non autem sponte exerceantur, ipsis displicent, atque intolerabilia videntur ob adiunctam necessitatem. His imbuti cogitationibus, toto animi impetu hostem adoriamur.

λα'. *Τοσαῦτα μὲν καὶ ὁ Τωτίλας εἶπε. τὰ δὲ στρατεύματα ἐς μάχην ξυνῆγε καὶ ἐτάξαντο ὧδε. μετωπηδὸν μὲν ἀμφοτέρωθεν ἅπαντες ἔστησαν, ὡς βαθύτατόν τε καὶ περίμηκες τῆς φάλαγγος τὸ μέτωπον ποιησόμενοι. τῶν δὲ Ῥωμαίων κέρας μὲν τὸ ἀριστερὸν Ναρσῆς τε καὶ Ἰωάννης ἀμφὶ τὸ γεώλοφον εἶχον καὶ ξὺν αὐτοῖς εἴ τι ἄριστον ἐν τῷ Ῥωμαίων στρατῷ ἐτύγχανεν ὄν. ἑκατέρῳ γὰρ τῶν ἄλλων χωρὶς τῶν στρατιωτῶν, δορυφόρων τε καὶ ὑπασπιστῶν καὶ βαρβάρων Οὔννων, εἵπετο πλῆθος ἀριστίνδην συνειλεγμένων. κατὰ δεξιὸν Βαλεριανός τε καὶ Ἰωάννης ὁ φαγᾶς ξὺν τῷ Δαγισθαίῳ καὶ οἱ κατάλοιποι Ῥωμαῖοι ἐτάξαντο πάντες. πεζοὺς μέντοι τοξότας ἐκ τῶν καταλόγου στρατιωτῶν ὀκτακισχιλίους μάλιστα ἔστησαν κατ' ἄμφω τὰ καὶ τάδε. κατὰ μέσα τῆς φάλαγγος τούς τε Λαγγοβάρδας καὶ τὸ Ἐρούλων ἔθνος καὶ πάντας τοὺς ἄλλους βαρβάρους ὁ Ναρσῆς ἔταξεν, ἔκ τε τῶν ἵππων ἀποβιβάσας καὶ πεζοὺς εἶναι καταστησάμενος, ὅπως ἂν μὴ κακοὶ ἐν τῷ ἔργῳ γενόμενοι ἢ ἐθελοκακοῦντες, ἂν οὕτω τύχῃ, ἐς ὑπαγωγὴν ὀξύτεροι εἶεν. τὸ μέντοι πέρας κέρως τοῦ εὐωνύμου τῶν Ῥωμαίων μετώπου Ναρσῆς ἐγγώνιον κατεστήσατο, πεντακοσίους τε καὶ χιλίους ἱππεῖς ἐνταῦθα στήσας. προείρητο δὲ τοῖς μὲν πεντακοσίοις, ἐπειδὰν τάχιστα τῶν Ῥωμαίων τισὶ τραπῆναι ξυμβαίη, ἐπιβοηθεῖν αὐτοῖς ἐν σπουδῇ, τοῖς δὲ χιλίοις, ὁπηνίκα οἱ τῶν πολεμίων πεζοὶ ἔργα ἄρχωνται, κατόπισθέν τε αὐτῶν αὐτίκα γενέσθαι καὶ ἀμ-*

3. ἔστησαν κατ' PL ἔστησαν. καὶ H. 13. τάδε. κατὰ Maltretus. τάδε τὰ HL. *ibid.* μέσα Hm P. μέγα H. 17. ὑπαγωγὴν] ὑποταγὴν HL. 18. ἐγγώνιον] ἐγρώνιον HL. ἐγγώνιον Hm.

31. Secundum hanc Totilae orationem, uterque exercitus ad pugnam colit, sic dispositus. Ita omnes adversis frontibus stabant, ut aciei frons utriusque altissima esset atque oblonga. Laevum cornu Romanorum ad collem tenebant Narses ac Ioannes cum Romani flore exercitus. Uterque enim, praeter caeteros milites, hastatis scutatisque satellitibus plurimis, magnaque Hunnorum vi lectissimorum stipatus erat. Habebant cornu dexterum Valerianus, Ioannes Heluo, Dagistaeus ac reliqui Romani, peditum sagittariorum octo fere millibus ad utrumque latus locatis. Media in acie Langobardos, Erulos, caeterosque omnes Barbaros constituit Narses, iussitque ad pedes degredi, ne si meta, vel forte perfidia ardorem pugnae remitterent, ad fugam essent expeditiores. Sinistri Romanorum cornu extremitatem, quae erat in fronte aciei, produxit Narses in angulum, equitibus ibi positis mille quingentis: ac quingentis quidem edixit, ut, si quod Romanorum agmen verteretur in fugam, statim illi succurrerent; aliis vero mille, ut simul hostilis peditatus pugnare coepisset, a tergo subirent, quo interceptus

φιβόλους ποιήσασθαι. καὶ ὁ Τωτίλας δὲ τρόπῳ τῷ αὐτῷ τοῖς πολεμίοις ἐναντίαν τὴν στρατιὰν ξύμπασαν ἔστησε. καὶ περιὼν τὴν οἰκείαν παράταξιν τοὺς στρατιώτας παρεθάρσυνέ τε καὶ παρεκάλει ἐς εὐτολμίαν προσώπῳ καὶ λόγῳ. καὶ ὁ Ναρσῆς δὲ ταὐτὸ τοῦτο ἐποίει, ψέλιά τε καὶ στρεπτοὺς καὶ χαλινοὺς χρυσοῦς ἐπ' αὐτῶν μετεωρίσας καὶ ἄλλα ἄττα τῆς ἐς τὸν κίνδυνον D προθυμίας ὑπεκκαύματα ἐνδεικνύμενος. χρόνον δέ τινα μάχης V 239 οὐδέτεροι ἦρχον, ἀλλ' ἡσυχῇ ἀμφότεροι ἔμενον, προσδεχόμενοι τὴν τῶν ἐναντίων ἐπίθεσιν.

1 Μετὰ δὲ εἷς τοῦ Γότθων στρατοῦ, Κόκας ὄνομα, δόξαν ἐπὶ τῷ δραστηρίῳ διαρκῶς ἔχων, τὸν ἵππον ἐξελάσας, ἦλθεν ἄγχι τοῦ Ῥωμαίων στρατοῦ, προὐκαλεῖτό τε, εἴ τις βούλοιτο, πρὸς μονομαχίαν ἐπεξιέναι. ὁ δὲ Κόκας οὗτος, εἷς τῶν Ῥω- P 653 μαίων στρατιωτῶν ἐτύγχανεν ὢν τῶν παρὰ Τωτίλαν ἀπηυτομοληκότων τὰ πρότερα. καί οἱ αὐτίκα τῶν τις Ναρσοῦ δορυφόρων ἀντίος ἦλθε, γένος Ἀρμένιος, Ἀνζαλᾶς ὄνομα, καὶ αὐτὸς ἵππῳ ὀχούμενος. ὁ μὲν οὖν Κόκας ὁρμήσας πρῶτος ὡς τῷ δόρατι παίσων ἐπὶ τὸν πολέμιον ἵετο, καταστοχαζόμενος τῆς ἐκείνου γαστρός. ὁ δὲ Ἀνζαλᾶς ἐξαπιναίως τὸν ἵππον ἐκκλίνας ἀνόνητον αὐτὸν κατεστήσατο γενέσθαι τῆς οἰκείας ὁρμῆς. ταύτῃ τε αὐτὸς ἐκ πλαγίου τοῦ πολεμίου γενόμενος ἐς πλευρὰν αὐτοῦ τὴν ἀριστερὰν τὸ δόρυ ὦσε. καὶ ὁ μὲν ἐκ τοῦ ἵππου πεσὼν B ἐς τὸ ἔδαφος νεκρὸς ἔκειτο· κραυγὴ δὲ ἀπὸ τοῦ Ῥωμαίων στρα- H 369

3. παρεθράσυνε L. 5. ψέλια] Vulgo ψέλλια. 6. μετεωρήσας HL. 10. Κόκας] Δόκας Pers. 18. πολέμιον] πόλεμον H. *ibid.* ἵετο] Vulgo ἴετο. 19. Ἀνζαλᾶς] ἀνζαλεῖς L. ἀνζαλεὶς H.

utrinque oppugnaretur. Eodem dispositas modo copias omnes obiecit hostibus Totilas: tum aciem suam circumvolans, militibus subdebat animos, eosque vultu ac voce ad audendum excitabat. Idem agebat Narses, armillas, torques, fraena aurea, et alia quaedam pectoribus ad proelium accendendis idonea ostendens, hastilibus elata. Ab ineunda pugna aliquandiu utrique se cohibuerunt, et adversariorum impressionem expectantes, pede presso steterunt.

Deinde Cocas, vir strenuitatis laude clarissimus, ex acie Gothica provectus equo, ad Rom. exercitum accessit, unum aliquem poscens, qui secum vellet singulari certamine congredi. Erat Cocas ex Romanorum numero militum, qui ad Totilam ante desciverant. Mox unus ex Narsetis stipatoribus, Anzalas nomine, natione Armenius, sese adversum obtulit, equo et ipse vectus. Prior Cocas, capto impetu, in hostem irruit, ipsum hasta ferire meditans, in ventrem intenta. Equo Anzalas repente flexo declinat ictum, impetumque frustratur. Hac arte hosti oblique imminens, in latus eius sinistrum hastam adigit: ille excussus equo, exanimis humi sternitur. Ex acie Romana tollitur in-

τοῦ ὑπερφυὴς ἤρθη, οἰδ' ὡς μέντοι μάχης τινὸς οὐδέτεροι ἦρξαν. Τωτίλας δὲ μόνος ἐν μεταιχμίῳ ἐγένετο, οὐ μονομαχήσων, ἀλλὰ τὸν καιρὸν τοῖς ἐναντίοις ἐκκρούσων. Γότθων γὰρ τοὺς ἀπολελειμμένους δισχιλίους ἄγχιστα προσιέναι μαθὼν ἀπετίθετο ἐς τὴν αὐτῶν παρουσίαν τὴν ξυμβολήν, ἐποίει δὲ τάδε. πρῶτα μὲν οὖν ἠξίου τοῖς πολεμίοις ἐνδείκνυσθαι ὅστις ποτὲ εἴη. τήν τε γὰρ τῶν ὅπλων σκευὴν κατακόρως τῷ χρυσῷ κατειλημμένην ἠμπίσχετο καὶ τῶν οἱ φαλάρων κόσμος ἔκ τε τοῦ πίλου καὶ τοῦ δόρατος ἄλουργός τε καὶ ἄλλως βασιλεῖ πρέπων ἐκρέματο θαυμαστὸς ὅσος. καὶ αὐτὸς ὑπερφυεῖ ὀχούμενος ἵππῳ παιδιᾶν ἐν μεταιχμίῳ ἔπαιζε τὴν ἐνόπλιον ἐπισταμένως. τόν τε γὰρ ἵππον ἐν κύκλῳ περιελίσσων, ἐπὶ θάτερά τε ἀναστρέφων αὖθις κυκλοτερεῖς ἐποιήτο δρόμους. καὶ ἱππευόμενος μεθίει ταῖς αὔραις τὸ δόρυ, ἀπ' αὐτῶν τε κραδαινόμενον ἁρπάσας μέσον εἶτα ἐκ χειρὸς ἐς χεῖρα παραπέμπων συχνὰ ἐφ' ἑκάτερα, καὶ μεταβιβάζων ἐμπείρως, ἐφιλοτιμεῖτο τῇ ἐς τὰ τοιαῦτα μελέτῃ, ὑπτιάζων καὶ ἰσχιάζων καὶ πρὸς ἑκάτερα ἐγκλινόμενος, ὥσπερ ἐκ παιδὸς ἀκριβῶς τὰ ἐς τὴν ὀρχήστραν δεδιδαγμένος. ταῦτά τε ποιῶν πᾶσαν κατέτριψε τὴν δείλην πρωΐαν. ἐπὶ πλεῖστον δὲ τὴν τῆς μάχης ἀναβολὴν μηκύνειν ἐθέλων ἔπεμψεν ἐς τὸ Ῥωμαίων στρατόπεδον, φάσκων ἐθέλειν αὐτοῖς ἐς λόγους ξυμμῖξαι. Ναρ-

3. τοῖς ἐναντίοις addidi ex Suida s. v. ἐκκρούομενος. τοὺς ἐναντίους τούτων ἐκκρούσων ex Reg. affert Hoeschel. *ibid.* ἐκκρούσων] ἐκκρουόμενος Suidas. 10. παιδιὰν P. παιδείαν H. 11. τόν — ἵππον] τοῦ — ἵππου HL: illud Hm. 14. κραδαινόμενος L a pr. m. *ibid.* μέσον P cum Scaligero. μένος HL. 21. ἐθέλειν] ἐθέλων HL: illud Hm. *ibid.* ἐς λόγους P cum Scaligero. εὐλόγως HL.

gens in caelum clamor: neutri tamen coeriuntur ad pugnam. Unus admodum Totilas inter aciem utramque prodit, non ad singulare certamen; sed ducendi eximendique temporis gratia. Cum enim bis mille Gothos, quos desiderabat, in proximo esse audiret, proelium in eorum adventum extrahens, haec palam egit. Primum hostibus ostendere voluit, qui vir esset. Armis auro plurimo illitis indutus erat. Ex eius pilo atque hasta pendebant phalerae, purpura adeo ardenti insignes, ut Regi plane conveniret mirificus hic ornatus. Ipse equo eximio vectus, inter geminas acies armorum ludum scite ludebat. Equum enim circumagens ac reflectens utroqueversum, orbes orbibus impediebat: sic equitans hastam in auras iaculabatur, eamque, cum tremula relaberetur, arripiebat mediam, et ex altera manu in alteram saepe traiiciens ac dextere mutans, operam huic arti feliciter navatam ostentabat: resupinabat esse, et flexu multiplici nunc huc nunc illuc ita inclinabat, ut appareret diligenter ipsum a pueritia didicisse saltare. In hac ludicra exercitatione tempus omne matutinum contrivit, habensque in animo longius pugnam

σῆς δὲ φρενακίζειν αὐτὸν ἰσχυρίζετο, εἴ γε πολεμησείων τὰ πρότερα, ἡνίκα τοῦ προτείνεσθαι λόγους ἐξουσία εἴη, νῦν ἐν μεταιχμίῳ γενόμενος ἐς τοὺς διαλόγους χωροίη.

λβ'. Ἐν τούτῳ δὲ Γότθοις καὶ οἱ δισχίλιοι ἦκον· οὕσπερ P 654 ἐς τὸ χαράκωμα Τωτίλας ἀφικέσθαι μαθὼν, ἐπειδὴ καὶ ὁ καιρὸς ἐς ἄριστον ἦγεν, αὐτός τε ἐς σκηνὴν τὴν οἰκείαν ἐχώρησε καὶ Γότθοι διαλύσαντες τὴν παράταξιν ὀπίσω ἀνέστρεφον. ἐν δὲ τῇ καταλύσει τῇ αὐτοῦ γεγονὼς Τωτίλας τοὺς δισχιλίους ἤδη παρόντας εὗρε. τό τε ἄριστον πάντας αἱρεῖσθαι κελεύσας καὶ τὴν τῶν ὅπλων σκευὴν μεταμφιεσάμενος ἅπαντας ἐξωπλίσατο μὲν ἐς τὸ ἀκριβὲς ἐν στρατιωτῶν λόγῳ, εὐθὺς δὲ τὴν στρατιὰν ἐπὶ τοὺς πολεμίους ἐξῆγεν, ἀπροσδόκητος αὐτοῖς ἐπιπεσεῖσθαι οἰόμενος καὶ ταύτῃ αἱρήσειν. ἀλλ' οὐδ' ὡς ἀπαρασκεύους Ῥωμαίους εὗρε. δείσας γὰρ ὁ Ναρσῆς, ὅπερ ἐγένετο, μὴ σφίσιν ἀπροσδοκήτοις ἐπιπέσοιεν οἱ πολέμιοι, ἀπεῖπεν ἅπασι μήτε ἄριστον αἱρεῖσθαι μήτε ἀποδαρθεῖν μήτε μὴν ἀποθωρακίσασθαι τῶν πάντων μηδένα μήτε τοῦ χαλινοῦ μεθεῖναι τὸν ἵππον. οὐ μέντοι οἱ δὲ ἀποσίτους τὸ παράπαν αὐτοὺς εἴασεν, ἀλλ' ἐν τῇ τάξει καὶ τῇ τῶν ὅπλων σκευῇ ἀκρατισαμένους ἐκέλευσε διηνεκὲς οὕτως ἀποσκοποῦντας καραδοκεῖν τῶν πολεμίων τὴν ἔφοδον. τρόπῳ μέντοι τῷ αὐτῷ οὐκέτι ἐτάξαντο, ἀλλὰ Ῥωμαίοις μὲν C τὰ κέρα, ἐν οἷς κατὰ τετρακισχιλίους οἱ πεζοὶ τοξόται εἱστήκεισαν, ἐπὶ τὸ μηνοειδὲς τοῦ Ναρσοῦ γνώμῃ ἐτράπετο. Γότθοι δὲ οἱ πεζοὶ ἅπαντες ὄπισθεν τῶν ἱππέων ἀθρόοι ἵσταντο, ἐφ' ᾧ,

proferre, misit ad Romanum exercitum, et sermonem velle se conferre significavit. Annuit Narses, nugari ipsum asserens ac dare verba, qui prius bellandi fuisset cupidus, cum offerri colloquium posset, nunc autem id peteret in medio certaminis campo.

32. Hoc interim spatio advenere Gotthis duo millia bellatorum: quos ubi Totilas in castris esse audiit, appetente hora prandii, in tabernaculum suum concessit, et Gotthi, soluta acie, retro commearunt. Ad suum reversus Totilas diversorium, illa duo millia adesse iam videt, totumque exercitum prandere iubet. Mox armis indutis, summaque adhibita cura, ut cuncti militariter armati essent, copias in hostes educit, incautos aggressurum se et oppressurum ratus: at imparatos non offendit Romanos. Veritus enim Narses quod contigit, ne hostis inopinato ingrueret, edixit, ne quis prandaret, nec meridiaretur, neu loricam exueret, neu detraheret frenum equo. Nec tamen omnino impastus manere sivit: sed ipsius mandato, armati, ut erant, stantesque in ordinibus, ientarunt, intentis semper oculis animisque expectantes adventum hostium. Alio deinde modo ordinatae sunt acies: ac Romanae quidem cornua, in quibus peditum sagittariorum quatuor millia stabant, iubente Narsete, frontem lunarunt. Gotthicis vero peditatus omnis post

ἦν τοῖς ἱππεῦσι τραπῆναι ξυμβῇ, ἀναστρέφοντες μὲν ἐπ' αὐτοὺς οἱ φεύγοντες σώζοιντο, ἐπίκοινα δὲ ἀμφότεροι εὐθὺς χωρήσαιεν. προείρητο δὲ Γότθοις ἅπασι μήτε τοξεύματι μήτε ἄλλῳ ὁτῳοῦν ἐς συμβολὴν τήνδε ὧτι μὴ τοῖς δόρασι χρῆσθαι. διὸ δὴ Τωτίλαν πρὸς τῆς ἀβουλίας καταστρατηγηθῆναι τῆς αὐτοῦ ξυνηνέχθη· ὃς γε καθιστάμενος ἐς τήνδε τὴν μάχην οὐκ οἶδα ὅτῳ D ἀναπεισθεὶς παρείχετο τοῖς ἐναντίοις τὴν αὐτοῦ στρατιὰν οὔτε τῇ ὁπλίσει ἀντίξουν οὔτε τῷ ἄλλῳ ἀντίπαλον, ἐπεὶ Ῥωμαῖοι μὲν ἑκάστοις ὡς ἐπικαιρότατα ἦν ἐν τῷ ἔργῳ ἐχρῶντο, ἢ τοξεύοντες, ἢ δόρατα ὠθοῦντες, ἢ ξίφη διαχειρίζοντες, ἢ ἄλλο τι ἐνεργοῦντες τῶν σφίσι προχείρων κἀν τῷ παρόντι ἐπιτηδείων, οἱ μὲν ἱππεύοντες, οἱ δὲ καὶ πεζοὶ ἐς τὴν παράταξιν καθιστάμενοι, κατὰ τὸ τῇ χρείᾳ ξυνοῖσον, καὶ πῇ μὲν κύκλωσιν τῶν πολεμίων διαπρασσόμενοι, πῇ δὲ προσιόντας δεχόμενοι καὶ ταῖς ἀσπίσιν ἀποκρουόμενοι τὴν ἐπίθεσιν. οἱ δὲ τῶν Γότθων ἱππεῖς, τῶν πεζῶν σφίσιν ἀπολελειμμένων ὀπίσω, μόνοις θαρσοῦντες τοῖς P 655 δόρασιν ὁρμῇ ἀνεπισκέπτῳ ἐπῄεσαν, ἔν τε τῷ πόνῳ γενόμενοι τῆς σφετέρας ἀβουλίας ἀπώναντο. ἐπὶ μέσους γὰρ τοὺς πολεμίους ὁρμήσαντες ἔλαθον σφᾶς αὐτοὺς ἐν μέσῳ πεζῶν τῶν ὀκτακισχιλίων γενόμενοι, τοῖς τε τοξεύμασι πρὸς αὐτῶν βαλλόμενοι ἑκατέρωθεν ἀπεῖπον εὐθύς, ἐπεὶ οἱ τοξόται ἄμφω τοῦ μετώπου τὰ κέρα ἐπὶ τὸ μηνοειδὲς κατὰ βραχὺ ἔτρεπον, ἧπέρ μοι ἔμπροσθεν εἴρηται. πολλοὺς μὲν οὖν ἄνδρας, πολλὴν δὲ ἵππον ἐν τῷ

2. ἐπίκοινα L a pr. m. et P. ἐπίκοινοι HL. 3. μήτε — μήτε] μηδὲ — μηδὲ P. 7. οὔτε — οὔτε] οὐδὲ — οὐδέ P. 23. πολλὴν δὲ ἵππον] πολλοὶ δὲ ἵπποι H.

equites confertim stetit, ut si hi forte inclinarentur, ad eum refugerent, iunctisque viribus hostem invaderent e vestigio. Id vero Gotthis praeceptum commune erat, ne sagittis, aliove quopiam telo, nisi lanceis, in hoc proelio uterentur. Hic certe sua Totilas imprudentia deceptus est: qui in pugna hac inconda, nescio qua ratione inductus, copias suas obiecit hosti, armis rebusque caeteris impares: cum Romani singulis perapposite uterentur in dimicando, sive sagittas mitterent, sive hastas impellerent, sive gladios, aliudve quippiam, quod ad manum et ex usu esset, tractarent: partim equis, partim pedibus pro re nata pugnarent: iamque hostes circumvenirent, iam exciperent irruentes, et impetum scutis propellerent. At Gotthorum equites, relictis a tergo peditibus, solis confisi lanceis, coecoque impetu abrepti, ubi coepta est pugna, temeritatis suae fructum ceperunt. Nam facto in hostes medios impetu, se ab octo millibus peditum interceptos non adverterunt. Statim autem contraxere animum, sagittis hinc atque hinc appetiti; cum sagittarii, ut supra dixi, frontis cornua sensim iunxissent. Hac impressione multos viros equesque Gotthi prius ami-

πόνῳ τούτῳ Γότθοι ἀπέβαλον, οὔπω τοῖς ἐναντίοις ξυμμίξαντες, H 370
πολλῶν τε ἀνηκέστων κακῶν ἐς πεῖραν ἐλθόντες ὀψέ τε καὶ μόλις
ἐς τῶν πολεμίων ἀφίκοντο τὴν παράταξιν. ἐνταῦθα τῶν Ῥω-
μαίων τινὰς ἢ τῶν σφίσι ξυμμάχων βαρβάρων μᾶλλον τῶν ἄλλων
5 θαυμάζειν οὐκ ἔχω. μία γὰρ ἁπάντων προθυμία τε καὶ ἀρετὴ B
ἐναγώνιος ἦν, ἕκαστοί τε τῶν ἐναντίων ἐπιόντων σφίσιν ὡς καρ-
τερώτατα δεξάμενοι τὴν ἐπιδρομὴν ἀπεώσαντο. ἤδη δὲ ἀμφὶ τὰ
πρὸς ἑσπέραν ἦν καὶ τὰ στρατόπεδα ἐξαπίνης ἐκινήθη ἑκάτερα,
Γότθων μὲν ἐς ὑπαγωγήν, Ῥωμαίων δὲ ἐς τὴν δίωξιν. ὡρμη-
10 μένοι γὰρ ἐς αὐτοὺς Γότθοι οὐκ ἀντεῖχον τοῖς πολεμίοις, ἀλλ'
ἐνεδίδοσαν ἐπιόντων αὐτῶν καὶ τροπάδην ἀνέστρεφον, καταπε-
πληγμένοι αὐτῶν τῷ τε ὁμίλῳ καὶ τῇ διακοσμίᾳ. ἐς ἀλκήν τε
οὐδαμῇ ἔβλεπον, ὥσπερ φάσματα ἐπιπεσόντα σφίσι δειμαίνον-
τες, ἢ ἐξ οὐρανοῦ πολεμούμενοι. δι' ὀλίγου δὲ εἰς πεζοὺς αὖ-
15 τοῖς τοὺς σφετέρους ἀφικομένοις πολλῷ ἔτι μᾶλλον τὸ κακὸν ἤρε- C
το καὶ πρόσω ἐχώρει. οὐ γὰρ ἐν κόσμῳ τὴν ἀναχώρησιν ποιη-
σάμενοι ἐς αὐτοὺς ἦλθον, ὡς ἀναπνεύσοντές τε καὶ ξὺν αὐτοῖς
ἀναμαχούμενοι, ἢ παλίωξιν ἐγχειρίσοντες, ἢ ἄλλην τινὰ πολέμου
ἰδέαν, ἀλλ' οὕτως ἀτάκτως ὥστε αὐτῶν τισι καὶ διεφθάρθαι
20 τῆς ἵππου ἐπιπεσούσης ξυνέπεσε. διόπερ αὐτοὺς οἱ πεζοὶ οὔτε
διαστάντες ἐδέξαντο οὔτε διασωσάμενοι ἔστησαν, ἀλλὰ ξὺν αὐ-
τοῖς προτροπάδην ἅπαντες ἔφευγον, ἔνθα δὴ καὶ ἀλλήλους ὥσπερ

7. ἀμφὶ τὰ] ἀμφὶ τῶν HL. ἀμφὶ τὰ Hoesch. in annot. 15. ἀφι-
κομένοις L. ἀφικμένοις HP. 17. αὐτοὺς] αὐτοῖς HL: αὐ-
τοὺς Hm.

serunt quam cum hostibus manum conererent, pessimeque accepti vix tandem ad eorum aciem pervenerunt. Hic nescio quos prae caeteris mirer, Romanos quosdam, an Barbaros eorum socios. Nam in omnibus par alacritas animi et virtus aemula emicabat. Adversariorum assultum excipiebant singuli validissime et repellebant. Iam dies declinabat in vesperum, cum utraque acies se loco repente movit; sed ita, ut Gothica referret pedem, Romana instaret. Hanc enim adorti Gotthi non restiterunt: at cessere contra ruentibus, effuseque recurrerunt, eorum ingenti numero atque apta dispositione attoniti. De exerendis viribus minime cogitabant, tanquam si ad spectrorum occursum paverent, vel caelitus oppugnarentur. Brevi ad peditatum suum reversis, increvit ac multo longius processit malum. Neque enim eo se retulerunt composite, ut recepta anima, iunctisque viribus pugnam redintegrarent, vel fugam iniicerent persequentibus, aliudve certandi genus capesserent, verum adeo inordinati erant, ut eorum nonnulli equitatus Romani impetu occuburint. Quocirca ipsos peditatus Gotthicus non excepit diducta acie, nec parta illis salute substitit: at una fugerunt citato cursu: tum, quasi in tenebris digladiarentur, ita sese invicem concidebant. Romanus co-

ἐν νυκτομαχίᾳ διέφθειρον. ὃ τε τῶν Ῥωμαίων στρατὸς, τῆς ἐκείνων ἀπολαύοντες ὀρρωδίας, φειδοῖ οὐδεμιᾷ τοὺς ἐν ποσὶν ἀεὶ
D ἔκτεινον, οὔτε ἀμυνομένους οὔτε ἀντιβλέπειν τολμῶντας, ἀλλὰ σφᾶς αὐτοὺς τοῖς πολεμίοις παρεχομένους ὅ τι βούλοιντο χρῆσθαι, οὔτε δὴ αὐτοῖς τά τε δείματα ἐπεκάθιζε καὶ ὁ φόβος ἐκράτει. καὶ αὐτῶν ἑξακισχίλιοι μὲν ἐν τῷ ἔργῳ τούτῳ ἀπέθανον, πολλοὶ δὲ σφᾶς αὐτοὺς ἐνεχείρισαν τοῖς ἐναντίοις. οἳ δὴ αὐτοὺς
V 241 ἐν μὲν τῷ παρόντι ἐζώγρησαν, οὐ πολλῷ δὲ ὕστερον ἔκτειναν. οὐ μόνον δὲ Γότθοι ἀνήροντο, ἀλλὰ καὶ τῶν πάλαι Ῥωμαίων στρατιωτῶν πλεῖστοι, τῶν τὸ πρότερον μὲν ἀποταξαμένων τῇ Ῥωμαίων στρατιᾷ, ἀπηυτομοληκότων δὲ, ἥπερ μοι ἐν τοῖς ἔμπροσθεν λόγοις ἐρρήθη, παρὰ Τωτίλαν τε καὶ Γότθους. ὅσοις
P 656 δὲ δὴ τοῦ Γότθων στρατοῦ μήτε ἀπολωλέναι μήτε τῶν πολεμίων ταῖς χερσὶ ξυνηνέχθη γενέσθαι, οὗτοι διαλαθεῖν τε καὶ φυγεῖν ἴσχυσαν, ὡς αὐτῶν ἕκαστος ἵππου ἢ ποδῶν ἢ τύχης ἔσχεν ἢ καιροῦ ἢ χώρου φέροντος ἐς τοῦτο ἐπιτυχεῖν.

Ἤδη μὲν οἷν ἡ μάχη ἐς τοῦτο ἐτελεύτα καὶ ξυνεσκόταζε παντάπασιν ἤδη. Τωτίλαν δὲ φεύγοντα ἐν σκότῳ σὺν ἀνδράσιν οὐ πλέον ἢ πέντε οἷσιν, ὥνπερ ὁ Σκιπούαρ εἷς ἐτύγχανεν ὤν, τῶν τινες Ῥωμαίων ἐδίωκον, οὐκ εἰδότες ὡς Τωτίλας εἴη· ἐν
B τοῖς καὶ Ἄσβαδον τὸν Γήπαιδα ξυνέβαινεν εἶναι. ὅσπερ ἐπεὶ Τωτίλᾳ ἀγχοτάτω ἐγένετο, ὡς τῷ δόρατι αὐτὸν κατὰ τῶν νώτων παίσων ἐπῆει. Γοτθικὸν δέ τι μειράκιον, ἐκ τῆς Τωτίλα οἰκίας

3. οὔτε — οὔτε] οὐδὲ — οὐδὲ P. 14. ταῖς] τοῖς HLP.
17. ξυνεσκόταζε L. ξυνεσκότασε P.

pisse, arrepta, quam illorum consternatio dabat, opportunitate, obvios quosque immisericorditer mactabant, cum illi non oculos in hostem, nedum arma, audentes tollere, eius arbitrio se permitterent. Nec se remittebat ipsorum pavor: quin magis ac magis animos occupabat. Congressu illo ceciderunt sex Gotthorum millia: multi dedidere se hostibus: qui tum quidem ipsos cepere vivos; subinde vero interfecerunt. Nec solum Gotthi caesi sunt, sed pars etiam maxima Romanorum olim militum, qui prius a Romana militia, ut in superioribus libris narravi, ad Totilam et Gotthos defecerant. Demum Gotthis, qui mortem hostilesque manus vitarunt, latere et elabi licuit, prout cuique vel equi, vel pedum celeritas comitante fortuna favit, pro temporis ac loci opportunitate.

Iam proelium hunc habuerat exitum, tenebatque nox terras; adhuc Totilam fugientem in tenebris cum viris non amplius quinque, quo ex numero erat Scipuar, Romani aliquot insectabantur, nescientes Totilam cum esse. In his erat Asbadus Gepaes. Hic a tergo Totilae imminens, eiusque humeros lancea ferire destinans, irruebat, cum Gotthus adolescens eius, domesticus Totilae, fugae domini comes, casum tunc oblatum

φεύγοντι τῷ δεσπότῃ ἑπόμενον, τύχην τε ἀπαξιοῦν τὴν τότε παροῦσαν, ἀνέκραγε μέγα „Τί τοῦτο, ὦ κύων, τὸν δεσπότην τὸν σαυτοῦ πλήξων ὥρμηκας;“ ὁ μὲν οὖν Ἄσβαδος ἐπὶ Τωτίλαν τὸ δόρυ σθένει παντὶ ὠσεν, αὐτὸς δὲ πρὸς τοῦ Σκιπούαρ τὸν πόδα πληγεὶς αὐτοῦ ἔμεινε. καὶ αὐτὸς δὲ Σκιπούαρ πρός του τῶν διωκόντων πληγεὶς ἔστη, οἵ τε ξὺν Ἄσβάδῳ πεποιημένοι τὴν δίωξιν, τέτταρες ὄντες, ὅπως αὐτὸν διασώσοιντο, οὐκέτι ἐδίωκον, ἀλλὰ ξὺν αὐτῷ ὀπίσω ἀνέστρεφον. οἱ δὲ Τωτίλᾳ ἐπισπόμενοι, διώκειν σφᾶς ἔτι τοὺς πολεμίους οἰόμενοι, οὐδέν τι ἧσσον προσήλαυνον, καίπερ αὐτὸν καιρίαν πληγέντα καὶ λειποψυχοῦντα ἐπαγόμενοι, πρυτανευούσης αὐτοῖς τῆς ἀνάγκης τὸν βίαιον δρόμον. σταδίους δὲ ἀνύσαντες τέσσαράς τε καὶ ὀγδοήκοντα ἐς χωρίον ἀφίκοντο Κάπρας ὄνομα. οὗ δὴ τὸ λοιπὸν ἡσυχάζοντες Τωτίλα τὴν πληγὴν ἐθεράπευον, ὅσπερ οὐ πολλῷ ὕστερον τὸν βίον ἐξεμέτρησεν. ἐνταῦθά τε αὐτὸν οἱ ἐπισπόμενοι κρύψαντες τῇ γῇ ἀνεχώρησαν. αὕτη γέγονε Τωτίλᾳ τῆς τε ἀρχῆς καὶ τοῦ βίου καταστροφὴ, ἔτη ἕνδεκα Γότθων ἄρξαντι, οὐκ ἐπαξίως ἐπιγενομένη τῶν ἔμπροσθεν αὐτῷ πεπραγμένων, ἐπεὶ καὶ τὰ πράγματα πρότερον τῷ ἀνθρώπῳ ἐχώρησε, καὶ τοῖς ἔργοις οὐ κατὰ λόγον ἡ τελευτὴ ἐπεγένετο. ἀλλὰ καὶ νῦν ἡ τύχη ὡραϊζομένη τε διαφανὲς καὶ διασύρουσα τὰ ἀνθρώπεια τό τε παράλογον τὸ αὐτῆς ἴδιον καὶ τὸ τοῦ βουλήματος ἀπροφάσιστον ἐπιδέδεικται, Τωτίλᾳ μὲν τὴν εὐδαιμονίαν ἐξ αἰτίας οὐδεμιᾶς ἐπὶ χρόνου μῆκος αὐτο-

9. ἔτι] ἐπὶ L. 19. λόγον L. λόγου P.

indignans, contenta voce, *Quid agis*, inquit, *o canis, cur ictu petis dominum tuum?* Asbadus vero intenta totis viribus lancea Totilam perfodit: mox ipse, inflicto pedi a Scipuare vulnere, in eo loco haerere cogitur: haeret una Scipuar a persequentium quodam sauciatus. Illi etiam quatuor, qui cum Asbado hostes agitaverant, his omissis, ut eum servarent, cum ipso regressi sunt: dum Totilae comites, ab illis adhuc se premi rati, nihilo lentius proveherentur, quamvis eum letaliter saucium, et linquente animo collabentem deducerent: nempe cursum violentum ipsis necessitas imperabat. Emensi stadia LXXXIV. Capras perveniunt: id loco nomen: ubi intermissa fuga, curarunt vulnus Totilae: quem paulo post mortuum inibi comites mandarunt humo, et abscesserunt. Annos undecim Gotthis Totilas imperaverat, cum hunc regni ac vitae finem habuit, indignum rebus, quas ante gesserat. Cum enim priora incepta bene illi processissent, actis non respondit exitus vitae: sed tunc etiam Fortuna sese palam ostentans, et humana obterens, prodidit suam inopinato agendi vim, potestatemque decernendi indicta causa: siquidem abs re diuturnam Totilae largita ultro felicitatem, morti adeo miserae ipsum auctoritate sua addixit, nulla causa tunc apparente. Quae, meo quidem

H 371 ματίσασα, δειλὴν δὲ οὕτω τῷ ἀνθρώπῳ καταστροφὴν ἀπανθαδισαμένη ἐξ οὐ προσηκόντων ἐν τῷ παρόντι. ἀλλὰ ταῦτα μὲν ἀνθρώπῳ, οἶμαι, καταληπτὰ οὔτε γέγονε πώποτε οὔτε μήποτε ὕστερον ἔσται· λέγεται δὲ ἀεὶ καὶ δοξάζεται διαψιθυριζόμενα ἐς τὸν πάντα αἰῶνα, ὥσπερ ἑκάστῳ φίλον, λόγῳ τῷ εἰκότι δοκοῦντι εἶναι παρηγοροῦντι τὴν ἄγνοιαν. ἐγὼ δὲ ἐπὶ τὸν πρότερον λόγον ἐπάνειμι.

P 657 Τωτίλαν γοῦν Ῥωμαῖοι οὕτως ἐξ ἀνθρώπων ἀφανισθῆναι οὐκ ἔγνωσαν, ἕως αὐτοῖς γυνὴ μία, Γότθα γένος, ἔφρασέ τε καὶ τὸν τάφον ἐπέδειξεν. οἵ τε ἀκηκοότες, οὐχ ὑγιᾶ τὸν λόγον εἶναι οἰόμενοι ἐν τῷ χωρίῳ ἐγένοντο, καὶ τὴν θήκην ὀκνήσει οὐδεμιᾷ διορύξαντες ἐξήνεγκαν μὲν Τωτίλαν ἐνθένδε νεκρὸν, ἐπιγνόντες δὲ αὐτὸν, ὥς φασι, καὶ τούτου δὴ τοῦ θεάματος ἐμπλησάμενοι τὴν σφετέραν ἐπιθυμίαν αὖθις αὐτὸν τῇ γῇ ἔκρυψαν, ἔς τε Ναρσῆν τὸν πάντα αὐτίκα ἀνήνεγκαν λόγον. τινὲς δὲ οὐχ οὕτω τά γε κατὰ Τωτίλαν καὶ τήνδε τὴν μάχην ξυμβῆναι, ἀλλὰ τρόπῳ τῷ ἑτέρῳ φασίν· ὅνπερ μοι ἀναγράψασθαι οὔ τοι ἄπο

B τρόπου ἔδοξεν εἶναι. λέγουσι γὰρ οὐκ ἀπροφάσιστον οὐδὲ παράλογον τὴν ὑπαγωγὴν ξυνενεχθῆναι τῷ Γότθων στρατῷ, ἀλλὰ Ῥωμαίων ἀκροβολιζομένων τινῶν βέλος ἐκ τοξεύματος τῷ Τωτίλᾳ ἐξαπιναίως ἐπιπεσεῖν, οὐκ ἐκ προνοίας τοῦ πέμψαντος· ἐπεὶ

V 242 Τωτίλας ἐν στρατιωτῶν λόγῳ ὡπλισμένος τε καὶ παρατεταγμένος ὅπου δὴ τῆς φάλαγγος ἀπημελημένως εἱστήκει, οὐ βουλόμενος τοῖς πολεμίοις ἔνδηλος εἶναι, οὐδέ πη αὐτὸν ἐς ἐπιβουλὴν

1. δειλὴν] δειλίαν HL. 8. γοῦν] γὰρ HL. γοῦν HmP. ibid. οὕτως] οὕτω P.

iudicio sunt eiusmodi, ut nondum potuerint, nec possint unquam humana capi intelligentia. De his, nullo non tempore decantatis, sentire quisque et loqui solet ad libitum, oratione, quae videtur probabilis, ignorationem suam consolans. Ego vero ad propositum redeo.

Romani Totilam ita extinctum nescierunt; donec femina quaedam Gottha rem ipsis aperuit, ac tumulum indicavit. Mendacium suspicantes qui haec audierunt, veniunt in rem praesentem, atque effosso protinus loculo, educunt cadaver Totilae: quod cum, ut ferunt, agnovissent, ad satietatem spectatum reddiderunt sepulcro, ac rem totam Narseti e vestigio renuntiarunt. Quidam aliter casum Totilae et hoc proelium narrant: id quod mandare literis non alienum iudico. Aiunt Gothici exercitus fugam non sine causa nec temere contigisse: sed quodam Romanorum agmine velitante, confixum esse sagitta Totilam ex improviso, ac praeter propositum sagittarii; cum Totilas militis ritu armatus atque instructus, temere et sine ullo delectu loci staret in acie, note-

παρεχόμενος, ἀλλὰ τῆς τύχης ταῦτα σκευωρουμένης τινὸς καὶ ἰθυνούσης ἐπὶ τὸ τοῦ ἀνθρώπου σῶμα τὸν ἄτρακτον· καὶ αὐτὸν μὲν καιρίαν βληθέντα, ὡς ἔνι μάλιστα, περιώδυνον γεγενημένον C ἔξω γενέσθαι τῆς φάλαγγος ξύν τε ὀλίγοις κατὰ βραχὺ ὀπίσω ἰέναι. καὶ μέχρι μὲν ἐς Κάπρας τὸν ἵππον ἐλᾶν, ἐνταῦθα δὲ οὐκ ἀντέχοντα τῇ ταλαιπωρίᾳ λειποψυχήσαντα τὸ λοιπὸν εἶναι τὴν πληγὴν θεραπεύσαντι, οὐ πολλῷ τε ὕστερον αὐτῷ ἐπιγενέσθαι τὴν τέλειον ἡμέραν τοῦ βίου. τὴν δὲ Γότθων στρατιὰν οὔτε ἄλλως ἀξιόμαχον τοῖς ἐναντίοις οὖσαν, ἀλλὰ καὶ ἀπομάχου σφίσι παρὰ δόξαν γεγενημένου τοῦ ἄρχοντος, ἐν θάμβει γενέσθαι, εἰ μόνος αὐτὸς οὐκ ἐξ ἐπιβουλῆς τῶν πολεμίων ὁ Τωτίλας καιρίαν βληθείη, καὶ ἀπ' αὐτοῦ περιφόβους τε καὶ ἀθύμους γεγενημένους ἔς τε ὀρρωδίαν ὅρον οὐκ ἔχουσαν καὶ ὑπαγωγὴν οὕτως αἰσχρὰν ἐμπεπτωκέναι. ἀλλὰ περὶ μὲν τούτων λεγέτω ἕκαστος ὅπη αὐτῷ φίλον ἔσται.

λγ'. Ναρσῆς δὲ περιχαρὴς τοῖς συμπεπτωκόσι γενόμενος D ἐπαναφέρων οὐκ ἀνίει ἐς τὸν θεὸν ἅπαντα, ὅπερ καὶ ὁ ἀληθὴς λόγος ἐγίνετο, τά τε ἐν ποσὶ διῳκεῖτο. καὶ πρῶτα μὲν τῶν οἱ ἐπισπομένων Λαγγοβάρδων ἀλλαξείων τὰς ἀτοπίας (οἵ γε πρὸς P 658 τῇ ἄλλῃ ἐς τὴν δίαιταν παρανομίᾳ τάς τε οἰκοδομίας, αἷς ἂν ἐντύχοιεν, ἐνεπίμπρασαν καὶ γυναιξὶ ταῖς εἰς τὰ ἱερὰ καταφευγού-

7. θεραπεύσοντι L. 10. Ante τοῦ ἄρχοντος in L signum lacunae. 11. αὐτὸς] αὐτῆς H Reg. αὐτὸς Hm. 13. οὕτως] οὔτω P. 19. ἀλλαξείων] ἀλλάξας L. ibid. τὰς ἀτοπίας Scaliger. Libri τῆς ἀτοπίας. 21. ἐνεπίμπρασαν] Vulgo ἐνεπίμπρασαν.

scere nolens hostibus, nec se praecipue petendum offerens: verum haec agente fortuna, et in ipsius corpus sagittam dirigente, plagam eum letiferam accepisse; victumque acerbissimo doloris sensu, excessisse acie, et pedetentim cum paucis retro commeasse: cum autem Capras venisset invectus equo, ac dolore ibi praevalente, coepisset animo linqui, haud multo post adhibitum vulneri medicamentum, supremum diem obiisse: Gothorum vero exercitum, qui iam hosti longe impar viribus erat, ut suum etiam Principem ad pugnam invalidum vidit, obstupuisse, quod quamvis hostes non petiissent prae caeteris Totilam, unus tamen ipse letali plaga affectus esset: hinc factum, ut metu exanimati, ultra modum horruerint, seque in fugam coniecerint adeo turpem. Sed de his ad suum quisque arbitrium disserat.

33. Narses successu laetus, ad Deum omnia, verum utique auctorem, referebat perpetuo, atque instantia digerebat. Ac primum redimere pretio voluit indignam licentiam Langobardorum, quos secum duxerat: cum praeter alia inquinatissimae vitae scelera, obvias domos delerent igni, et feminis, quae sacris aedibus se commiserant, turpem vim

σαις βιαζόμενοι ἐπλησίαζον) χρήμασι μεγάλοις αὐτοὺς δεξιωσάμενος ἐς τὰ πάτρια ἤθη ἀφῆκεν ἰέναι, Βαλεριανόν τε καὶ Δαμιανὸν, τὸν αὐτοῦ ἀδελφιδοῦν, ξὺν τοῖς ἑπομένοις ἐξηγεῖσθαι τῆς ὁδοῦ ὄχρι ἐς τὰ Ῥωμαίων ὅρια σφίσι κελεύσας, ὅπως μηδενὶ ἐν τῇ ἀποπορείᾳ λυμήνωνται. ἐπειδὴ δὲ Λαγγοβάρδαι ἀπηλλάγησαν ἐκ Ῥωμαίων τῆς γῆς, Βαλεριανὸς ἐστρατοπεδεύσατο ἀμφὶ πόλιν Βερώναν, ὡς πολιορκήσων τε καὶ παραστησόμενος αὐτὴν βασιλεῖ. δείσαντές τε οἱ τὸ φυλακτήριον ταύτῃ ἔχοντες Βαλεριανῷ
B ἐς λόγους ἦλθον, ὡς σφᾶς τε αὐτοὺς καὶ τὴν πόλιν ὁμολογίᾳ ἐνδώσοντες. ἃ δὴ Φράγγοι μαθόντες, ὅσοι φρουρὰν ἐς τὰ ἐπὶ Βενετίας χωρία εἶχον, διεκώλυον προθυμίᾳ τῇ πάσῃ τῆς χώρας, ἅτε αὐτοῖς προσηκούσης, ἀξιοῦντες μεταποιεῖσθαι. καὶ ἀπ' αὐτοῦ ἄπρακτος ἐνθένδε παντὶ τῷ στρατεύματι Βαλεριανὸς ἀνεχώρησε. Γότθοι δὲ, ὅσοι ἀποφυγόντες ἐκ τῆς ξυμβολῆς διεσώθησαν, διαβάντες ποταμὸν Πάδον, πόλιν τε Τίκινον καὶ τὰ ἐκείνῃ χωρία ἔσχον, ἄρχοντά τε τὸν Τεΐαν κατεστήσαντο σφίσιν. ὃς δὴ τὰ χρήματα εὑρὼν ἅπαντα, ὅσα Τωτίλας ἔτυχεν ἐν Τικίνῳ καταθέμενος, Φράγγους ἐς ξυμμαχίαν ἐπαγαγέσθαι διενοεῖτο. Γότθους δὲ ὡς ἐκ τῶν παρόντων διεῖπέ τε καὶ διεκόσμει, ξυλλέ-
C γων σπουδῇ ἀμφ' αὐτὸν ἅπαντας. ταῦτα ὁ Νυρσῆς ἀκούσας Βαλεριανὸν μὲν ἐκέλευσε πᾶσι τοῖς ἑπομένοις ἀμφὶ Πάδον ποτα-

5. ἀποποριείᾳ] ἀπορίᾳ L. 7. Βερώναν] Vulgo Βερόναν. 15. Τίκινον P. τικίνον Lm. πικηνῶν Reg. πικηνῶν H. τῇ κηνῶν L. 17. Τωτίλας] τωτίλλας L. ibid. Τικίνῳ PLm. τῇ κηνῶν L. πικηνῷ H. 18. διενοεῖτο] διεσκοπεῖτο Reg. 19. Γότθους δὲ] γότθους τε L. ibid. συλλέγων L. 20. ἐν σπουδῇ HL. ibid. ὁ om. L. 21. ἐκέλευε L. ibid. ἑκομένοις] πολεμίοις L.

afferrent. Quare magna pecunia donatos remisit in patriam, Valeriano ac Damiano eius nepoti eorumque copiis demandata cura, eos ad Romani Imperii limitem deducendi, ut in via ab iniuria et maleficio temperarent. Postquam Langobardi ex Romano solo pedem extulerunt, castra Valerianus ad urbem Veronam posuit, ut eam obsidione Imperatori subiiceret. Qui in urbis praesidio locati erant, de illa secum tradenda cum Valeriano sunt collocuti, urgente metu. Hoc nuntio exciti Franci in agro Veneto stationarii, omni id studio prohibuere, regionem sibi vindicantes, ut suam: quocirca Valerianus inde cum omnibus copiis, re infecta, abscessit. Gotthi vero, qui ex proelio evaserant, traiecto Pado, urbem Ticinum circumiectaque loca occuparunt, ac sibi Regem crearunt Teïam: qui inventa omni pecunia, quam Ticini Totilas reposuerat, Francos ad belli societatem pellicere statuit, et Gotthos pro tempore et re composuit instruxitque, circa se omnes propere colligens. His Narses auditis, Valeriano mandavit, ut cum suis omnibus ad fluvium Padum

μὲν φυλακὴν ἔχειν, ὅπως μὴ Γότθοι ἀδεέστερον ξυστήσασθαι δυνατοὶ εἶεν, αὐτὸς δὲ παντὶ τῷ ἄλλῳ στρατῷ ἐπὶ Ῥώμην ἤει. ἐν Τούσκοις τε γενόμενος τὴν Ναρνίαν μὲν ὁμολογίᾳ εἷλε, καὶ H 372
Σπολιτινοῖς ἀτειχίστοις οὔσι φρουρὰν ἔλιπεν, ἀνοικοδομήσασθαι ὅτι τάχιστα ἐπιστείλας ὅσα τοῦ περιβόλου καθελόντες ἐτύγχανον Γότθοι. ἔπεμψε δὲ καί τινας ἀποπειρασομένους τοῦ ἐν Περυσίᾳ φυλακτηρίου. ἡγοῦντο δὲ τῶν ἐν Περυσίᾳ φρουρῶν αὐτόμολοι γεγονότες Ῥωμαῖοι δύο, Μελιγήδιός τε καὶ Οὔλιφος, ὅσπερ Κυπριανοῦ δορυφόρος γεγονὼς πρότερον, Τωτίλᾳ πολλά οἱ ἐπαγ- D
γειλαμένῳ ἀναπεισθεὶς Κυπριανὸν τότε ἄρχοντα τοῦ ἐνταῦθα φυλακτηρίου δόλῳ ἔκτεινεν. ὁ μὲν οὖν Μελιγήδιος λόγους τοῦ Ναρσοῦ ἐνδεξάμενος ἐβουλεύετο ξὺν τοῖς οἱ ἑπομένοις Ῥωμαίοις τὴν V 243
πόλιν ἐκδοῦναι. οἱ δὲ ἀμφὶ τὸν Οὔλιφον τῶν πρασσομένων αἰσθόμενοι ξυνίσταντο ἐπ' αὐτοὺς ἐκ τοῦ ἐμφανοῦς. καὶ Οὔλιφος μὲν ξὺν τοῖς οἱ ὁμογνωμονοῦσιν αὐτοῦ διεφθάρη, Μελιγήδιος δὲ παρέδωκε Περυσίαν Ῥωμαίοις αὐτίκα. τῷ μέντοι Οὐλίφῳ ξυνέβη τις τίσις ἐκ τοῦ θεοῦ δηλονότι ἐπιπεσοῦσα, ἐν αὐτῷ μάλιστα διεφθάρθαι τῷ χώρῳ, ἵνα δὴ αὐτὸς τὸν Κυπριανὸν διεχρήσατο. ταῦτα μὲν δὴ οὕτω κεχώρηκε.

Γότθοι δὲ οἱ ἐν Ῥώμῃ φυλακὴν ἔχοντες ἐπειδὴ Ναρσῆν τε P 659
καὶ τὸν Ῥωμαίων στρατὸν ἐπὶ σφᾶς ἰόντας ἄγχιστά πη ἐπύθοντο

1. *Γότθοι*] γότθων L. 3. *τὴν* om. L. 4. *Σπολιτινοῖς*] σπόλιτιν οἷς L. *ibid.* ἔλειπεν L. 7. *δὲ τῶν*] δὲ καὶ τῶν L. 8. *Ῥωμαῖοι*] ἐκ ῥωμαίων Reg. *ibid.* μελιγίδιος L. Et infra. *ibid.* *Οὔλιφος* PL. οὔλιθος H hic et infra. 12. *τὴν πόλιν ῥωμαίοις* Hm. 13. *ἐκδοῦναι*] ἐνδοῦναι H. εὐδοῦναι P.

agitaret custodiam, ne Gotthi liberius coirent: ipse cum reliquo exercitu Romam contendit. In Tuscia Narniam deditione cepit, ac Spoletinis, qui moenibus exuti erant, praesidium reliquit, iussitque reaedificari confestim murum, ubicumque dirutus a Gotthis fuerat. Misit etiam, qui praesidium Perusinum tentarent, cui praeerant transfugae Romani duo, Meligedius atque Uliphus. Hic antea, cum Cypriani Protector esset, inductus amplis pollicitationibus Totilae, eumdem Cyprianum dolo occiderat, tunc Praefectum loci praesidio. Narseti assentiens Meligedius, urbis Romanis dedendae consilium cum suis iniit. Quo cognito, in eos aperte Uliphus ipsiusque milites conspirarunt. Ibi demum caeso Ulipho cum eiusdem propositi sociis, statim Perusiam Meligedius Romanis tradidit. Caeterum in hoc eluxit divina ultio, quod ubi Cyprianum Uliphus interemerat, eodem loci ipse perierit. Ita res in illis partibus procedebant.

Gotthi vero, qui praesidio Romam tenebant, ut adversum se tenderet, iamque appropinquare Narsetem Romanumque exercitum intellexe-

εἶναι, παρεσκευάζοντο ὡς τὰ δυνατὰ σφίσιν ὑπαντιάσοντες. ἐτύγχανε δὲ Τωτίλας πολλὰς μὲν ἐμπρησάμενος τῆς πόλεως οἰκοδομίας, ἡνίκα δὴ αὐτὴν τὸ πρῶτον ἐξεῖλεν. ἐν ὑστάτῳ δὲ λογισάμενος, ὡς ἐς ὀλίγους ἀποκεκριμένοι οὐχ οἷοί τέ εἰσι τὸ λοιπὸν Γότθοι ἅπαντα τὸν περίβολον Ῥώμης διαφυλάξαι, τειχίσματι βραχεῖ ὀλίγην τινὰ τῆς πόλεως μοῖραν ἀμφὶ τὸν Ἀδριανοῦ περιβαλὼν τάφον καὶ αὐτὸ τῷ προτέρῳ τείχει ἐνάψας φρουρίου κατε-
B στήσατο σχῆμα. ἐνταῦθά τε τὰ σφίσιν αὐτοῖς τιμιώτατα καταθέμενοι Γότθοι ἐς μὲν τὸ ἀκριβὲς τὸ φρούριον τοῦτο ἐφύλασσον, τὸ δὲ ἄλλο τῆς πόλεως τεῖχος ἀπημελημένον ὑπερεώρων. φρουρὸς τοίνυν σφῶν ἐν τούτῳ τῷ χωρίῳ τηνικάδε ἀπολιπόντες ὀλίγους τινὰς οἱ λοιποὶ ἅπαντες ἀμφὶ τὰς ἐπάλξεις τοῦ τῆς πόλεως γενόμενοι τείχους τῶν πολεμίων ἀποπειράσασθαι τειχομαχούντων ἐν σπουδῇ εἶχον. ὅλον μὲν οὖν τὸν Ῥώμης περίβολον διὰ μεγέθους ὑπερβολὴν οὔτε Ῥωμαῖοι ἐπιόντες περιβάλλεσθαι εἶχον οὔτε Γότθοι φρουρεῖν. διασκεδαννύμενοι δὲ οἱ μὲν ὅπη παρατύχοι προσέβαλλον, οἱ δὲ ὡς ἐκ τῶν παρόντων ἠμύνοντο. καὶ Ναρσῆς μὲν τοξοτῶν ἐπαγόμενος μέγα τι χρῆμα ἐς μοῖράν τινα τοῦ
C περιβόλου ἐπέσκηπτεν, ἑτέρωθι δὲ Ἰωάννης ὁ Βιταλιανοῦ ξὺν τοῖς οἱ ἑπομένοις προσέβαλλε. Φιλημοὺθ δὲ καὶ οἱ Ἔρουλοι κατ' ἄλλο τι μέρος ἠνώχλουν, ἑκαστάτω τε αὐτῶν οἱ λοιποὶ εἵποντο. ἐτειχομάχουν δὲ ἅπαντες ὡς ἀπωτάτω ἀλλήλων ὄντες. καὶ κατ'

2. πολλὰς om. H: habet Hm. 4. ἐς ὀλίγους] ἐν ὀλίγοις Reg. 5. ῥώμης τὸν περίβολον L. 7. ἐνάψας] ἀνάψας Reg. 11. χωρίῳ] φρουρίῳ H. 13. ἀποπειράσασθαι] ἀποπειράσεντες HL. 17. προσέβαλλον] προέβαλλον L. 20. προσέβαλλε] προσέβαλε L. 21. ἑκαστάτω] ἑκάστοις Reg. 22. δὲ] τε L. ibid. ἀπωτάτω om. L.

runt, sese ad occurrendum totis viribus compararunt. Multa urbis aedificia Totilas igni corruperat, cum eam primum cepisset: deinde secum reputans Gotthos, ad modicum redactos numerum, non sufficere custodiendis muris omnibus Romae, partem urbis exiguam, circa Adriani molem, parvo muro cinxerat, eoque veteribus annexo moenibus, castelli speciem loco deerat. Ibi Gotthi rebus, quas pretiosissimas ducebant, repositis, castellum hoc sedulo custodiebant; reliquos urbis muros per indiligentiam negligebant. Tunc autem relictis eo loci paucis custodibus, caeteros omnes ad pinnas murorum urbis tulit impetus animi, periculum facturos oppugnatorum. At cum amplior murorum ambitus obstaret, quo minus totum circumcluderent aggressores Romani, et Gotthi defenderent; dispersi, impressionem illi, ut se dabat occasio, faciebant; hi pro re nata repellebant. Narses ingenti sagittariorum numero succinctus, muri partem adoriebatur; alteram Ioannes Vitaliani nepos cum suis; Philemuthus cum Erulis tertiam, sequentibus caeteris longo inter-

αὐτοὺς οἱ βάρβαροι ξυνιστάμενοι ἐδέχοντο τὴν ἐπίθεσιν. τὰ μέντοι ἄλλα τοῦ περιβόλου, ἵνα δὴ Ῥωμαίων οὐκ ἐγένετο προσβολή, ἀνδρῶν ἔρημα παντάπασιν ἦν, Γότθων ἁπάντων, ὅπη ἂν οἱ πολέμιοι ἐπισκήψαιεν, ἀγειρομένων, ᾗπέρ μοι εἴρηται. ἐν τούτῳ δὲ γνώμῃ Ναρσοῦ ὁ Δαγισθαῖος στρατιώτας τε παμπληθεῖς ἔχων καὶ τό τε Ναρσοῦ καὶ τὸ Ἰωάννου σημεῖον καὶ κλίμακας πολλὰς ἐπαγόμενος μοίρᾳ τινὶ τοῦ περιβόλου ἐξαπιναίως ἐπέσκηψε, φρουρῶν τὸ παράπαν ἐρήμῳ οὔσῃ. τάς τε κλίμακας εὐθὺς ἅπάσας οὐδενὸς ἀμυνομένου τῷ τείχει ἐρείσας οὐδενὶ πόνῳ ξὺν τοῖς ἑπομένοις ἐντὸς τοῦ περιβόλου ἐγένετο, τάς τε πύλας κατ' ἐξουσίαν ἀνέῳγεν. ὥνπερ αὐτίκα Γότθοι αἰσθόμενοι οὐκέτι ἐς ἀλκὴν ἔβλεπον, ἀλλ' ἔφευγον ἅπαντες ὅπη αὐτῶν ἑκάστῳ δυνατὰ ἐγεγόνει. καὶ οἱ μὲν εἰς τὸ φρούριον εἰσεπήδησαν, οἱ δὲ δὴ ἐς τὸν πόρτον ἐχώρησαν δρόμῳ. ἐνταῦθά μοι τοῦ λόγου ἔννοια γέγονεν ὅντινα ἡ τύχη διαχλευάζει τὰ ἀνθρώπεια τρόπον, οὐκ ἀεὶ κατὰ ταὐτὰ παρὰ τοὺς ἀνθρώπους ἰοῦσα οὐδὲ ἴσοις αὐτοὺς ὀφθαλμοῖς βλέπουσα, ἀλλὰ ξυμμεταβαλλομένη χρόνῳ καὶ τόπῳ, καὶ παίζει ἐς αὐτοὺς παιδιάν τινα παρὰ τὸν καιρὸν ἢ τὸν χῶρον ἢ τὸν τρόπον διαλλάσσουσα τὴν τῶν ταλαιπώρων ἀξίαν, εἴ γε ὁ Ῥώμην μὲν ἀπολωλεκὼς τὰ πρότερα Βέσσας οὐ πολλῷ ὕστερον ἀνεσώσατο Ῥωμαίοις τὴν τῆς Λαζικῆς Πέτραν, ἔμπα-

D

P 660

4. ἐπισκήψαιεν] διασκήψαιεν H. *ibid.* μοι om. L. 8. φρουρῶν Reg. φρουρᾶς P. 9. πόνῳ οὐδενὶ L. 10. ἐγένετο] ἐγένοντο L. 11. ἀνέῳγεν] ἀνέῳγον L. 12. ὅπη] ὅποι L. 13. ἐπεπήδησαν Reg. 15. διαχλευάζει] διασκευάζει Reg. *ibid.* ἀνθρώπεια] ἀνθρώπινα L. 17. συμμεταβαλλομένη L. 18. τόπῳ] τρόπῳ L. *ibid.* παιδείαν L. 19. τρόπον] τόπον H. 20. ὁ om. L. *ibid.* μὲν] ἡμῖν L. 21. τὴν om. L. *ibid.* τῆς Λαζικῆς] λαζικὴν H.

vallo. Nec minus inter se distabant oppugnatores, quorum impetum oppositi Barbari sustinebant. Vacabant prorsus reliquae muri partes, a quibus abstinebant Romani vim, coactis, ut dixi, Gotthis omnibus, ubicumque hostes ingruebant. Interea, Narsetis iussu, Dagisthaeus, magno septus militum globo, et cum ipsius Narsetis tum Ioannis vexillum secum habens, scalisque instructus plurimis, repente quamdam muri partem invadit, defensoribus omnino vacuam. Confestim scalis omnibus, nemine prohibente, applicitis, sine ullo negotio cum suis urbem ingressus, portas ad libitum recludit. His Gotthi statim animadversis, abiicere resistendi propositum, et cuncti, quo cuique licet, evadere. Alii confugere se in castellum; alii Portum cursu petere. Haec me narrantem cogitatio subit, quo pacto Fortuna res humanas irrideat, non aequabili motu mortales adiens, neque iisdem contuens oculis; at se pro tempore et loco vertens. Ludum quemdam inter ipsos ludit, vel tempore, vel loco, vel modo mutans miserorum conditionem. Certe Bessas, qui Ro-

λιν δὲ ὁ Δαγισθαῖος Πέτραν τοῖς πολεμίοις μεθεὶς ἀνεκτήσατο
H 373 ἐν χρόνῳ ὀλίγῳ βασιλεῖ Ῥώμην. ἀλλὰ ταῦτα μὲν γέγονέ τε τὸ ἐξ ἀρχῆς καὶ ἀεὶ ἔσται, ἕως ἂν ἡ αὐτὴ τύχη ἀνθρώποις ᾖ. Ναρσῆς δὲ τότε παντὶ τῷ στρατῷ ἐπὶ τὸ φρούριον πολεμίων ἦει. κατορρωδήσαντές τε οἱ βάρβαροι καὶ τὰ πιστὰ ὑπὲρ τῶν σωμάτων
κεκομισμένοι σφᾶς τε αὐτοὺς καὶ τὸ φρούριόν οἱ αὐτίκα δὴ μάλα
B παρέδοσαν, ἕκτον τε καὶ εἰκοστὸν ἔτος Ἰουστινιανοῦ βασιλέως τὴν αὐτοκράτορα ἀρχὴν ἔχοντος. οὕτω τε Ῥώμη ἐπὶ τούτου
V 244 βασιλεύοντος τὸ πέμπτον ἑάλω, ἥσπερ εὐθὺς ὁ Ναρσῆς τῶν πυλῶν τὰς κλεῖς βασιλεῖ ἔπεμψε.

C λδ'. Τότε δὴ τοῖς ἀνθρώποις διαφανέστατα ἐπιδέδεκται ὡς ἅπασιν, οἷσπερ ἔδει γενέσθαι κακῶς, καὶ τὰ εὐτυχήματα δοκοῦντα εἶναι εἰς ὄλεθρον ἀποκέκριται, κατὰ νοῦν τε ἀπαλλάξαντες ἴσως τῇ τοιαύτῃ εὐημερίᾳ ξυνδιαφθείρονται. Ῥωμαίων γὰρ τῇ τε ξυγκλήτῳ βουλῇ καὶ τῷ δήμῳ τὴν νίκην τήνδε πολλῷ ἔτι
μᾶλλον φθόρου αἰτίαν ξυνηνέχθη γενέσθαι τρόπῳ τοιῷδε. Γότθοι μὲν φεύγοντες καὶ τῆς Ἰταλίας τὴν ἐπικράτησιν ἀπογνόντες,
D ὁδοῦ ποιούμενοι πάριργον, τοὺς παρατυχόντας σφίσι Ῥωμαίους ὑδεμιᾷ διεχρῶντο φειδοῖ. οἱ δὲ βάρβαροι τοῦ Ῥωμαίων στρατοῦ ὡς πολεμίοις ἐχρῶντο πᾶσιν, οἷς ἂν ἐντύχοιεν ἐν τῇ ἐς τὴν
πόλιν εἰσόδῳ. πρὸς δὲ καὶ τόδε αὐτοῖς ξυνηνέχθη γενέσθαι. πολλοὶ τῶν ἀπὸ τῆς ξυγκλήτου βουλῆς, τοῦτο Τωτίλᾳ δεδογμέ-

1. μεθεὶς] προσθεὶς L. 8. τούτου] τοῦ L a pr. m. 14. εὐημερίᾳ] εὐδρομίᾳ H. ibid. συνδια— L. 15. συγκλήτῳ L. 16. φθόρου] φθόνου Reg. φθόνων L. 17. τὴν L a m. sec. 19. τοῦ] τῶν L. 20. ἐν addidi ex L. 22. συγκλήτου L.

mam prius perdiderat, haud multo post Romanis Petram Lazicae recuperavit. Rursus Dagisthaeus, qui Petram pene hostibus ereptam dimiserat, momento Romam Imperatoris ditioni restituit. Verum eiusmodi vices ab orbe condito extiterunt, eruntque semper, quamdiu eadem Fortuna hominibus dominabitur. Tum vero Narses intento infestoque omni exercitu ad castellum accessit. Territi Barbari, accepta salutis fide, eodem temporis puncto, se et castellum dediderunt, annum Imperii XXVI. agente Iustiniano Augusto. Sic Roma quintum capta est illo Principe: ad quem claves portarum urbis Narses protinus misit.

34. Id temporis, humano generi apertissime probatum est, quoscumque Deus perdere statuit, illis ea ipsa, quae prospera videntur, in perniciem vertere, ipsosque, rebus ex animi sententia gestis, cum sua illa felicitate extingui. Siquidem haec victoria Senatui populoque Romano gravius exitium attulit: quod ita contigit. Fugientes Gotthi, spe deposita obtinendae Italiae, obiter Romanos, in quos incidebant, mactabant, parcentes nemini. Barbari, in Romano militantes exercitu, obvios quosque ad urbis aditus hostiliter accipiebant; quibus malis istud acces-

νον, τὰ πρότερα ἔμενον ἐς τὰ ἐπὶ τῆς Καμπανίας χωρία. ὧνπερ τινες, ἐπεὶ Ῥώμην ἔχεσθαι πρὸς τοῦ βασιλέως στρατοῦ ἔγνωσαν, ἐκ Καμπανίας ἐξαναστάντες ἐς αὐτὴν ἦεσαν. ὃ δὴ Γότθοι μαθόντες, ὅσοι ἐν τοῖς ταύτῃ ὀχυρώμασιν ἐτύγχανον ὄντες, ἅπαντα διερευνώμενοι τὰ ἐκείνῃ χωρία τοὺς πατρικίους ἅπαντας ἔκτειναν. ἐν τοῖς καὶ Μάξιμος ἦν, οὗπερ ἐν τοῖς ἔμπροσθεν λόγοις ἐμνήσθην. ἐτύγχανε δὲ καὶ Τωτίλας, ἡνίκα Ναρσῇ ὑπαντιάσων ἐνθένδε ἦει, τῶν ἐκ πόλεως ἑκάστης δοκίμων Ῥωμαίων τοὺς παῖδας ἀγείρας καὶ αὐτῶν ἐς τριακοσίους ἀπολεξάμενος, P 661 οὕσπερ μάλιστα τὸ σῶμα καλοὺς ᾤετο εἶναι, τοῖς μὲν γειναμένοις ὅτι δὴ αὐτῷ ξυνδιαιτήσονται ὑπειπών, δμήρους δέ οἱ λόγῳ τῷ ἀληθεῖ ἐσομένους. καὶ αὐτοὺς Τωτίλας μὲν τότε ὑπὲρ ποταμὸν Πάδον ἐκέλευσεν ἰέναι, Τεΐας δὲ τανῦν ἐνταῦθα εὑρὼν ἅπαντας ἔκτεινε.

Ῥάγναρίς τε, Γότθος ἀνὴρ, ὅσπερ ἡγεῖτο τοῦ ἐν Ταραντίνοις φυλακτηρίου, καίπερ τὰ πιστὰ γνώμῃ βασιλέως πρὸς τοῦ Πακουρίου κεκομισμένος, Ῥωμαίοις τε προσχωρήσειν ὁμολογήσας, ἥπέρ μοι ἔμπροσθεν εἴρηται, παρασχόμενος δὲ καὶ Γότθους ἓξ ἐν ὁμήρων λόγῳ ἐπὶ ταύτῃ δὴ τῇ ὁμολογίᾳ Ῥωμαίοις, ἐπειδὴ Τεΐαν ἤκουσε βασιλέα καταστάντα Γότθοις, τούς τε Φράγγους ἐς ἐπικουρίαν ἐπαγαγέσθαι καὶ παντὶ τῷ στρατῷ τοῖς B πολεμίοις ἐθέλειν ὁμόσε ἰέναι, μεταπορευθεὶς τὴν βουλὴν ἐπιτε-

1. τῆς om. L. 3. ἦεσαν] ἤεισαν L. 13. *Πάδον ποταμὸν* L. *ibid. ἰέναι*] εἶναι HL. 17. *Πακουρίου*] *βακουρίου* HL. Et infra. 18. *μοι* om. L. *ibid. παρασχόμενος δὲ* Reg. *παρασχών τε* P. 22. *ἐπιτελεῖν*] *τελεῖν* L.

sit. Antea, iussu Totilae, degebant in Campaniâ Romani Senatores multi. Horum quidam, allato nuntio potitum Roma Caesarianum exercitum, eo migrarunt ex Campania. Quod ubi Gotthis, munita tenentibus regionis illius loca, compertum fuit, in tota provincia conquisiere Patricios, omnesque interfecere: in his fuit Maximus ille, cuius memini in superioribus libris. Praeterea, cum inde Narseti iret obviam Totilas, ex urbibus singulis nobilium Romanorum filios collegerat, lectisque ex eorum numero trecentis, quos forma ac specie egregios iudicabat, parentibus quidem dixerat, suos fore illos domesticos; re autem vera habere volebat obsides. Tum ipsos Totilas trans fluvium Padum miserat: iam vero Teïas eosdem ibi nactus, ad unum omnes occidit.

Ragnaris, genere Gotthus, praesidii Tarentini Praefectus, etsi de sententia Imperatoris a Pacurio fidem acceperat, seque, ut supra dixi, ad Romanos accessurum pollicitus, sponsionis huius obsides Romanis dederat Gotthos sex; ubi tamen Teïam Gotthorum Regem factum, Francorum auxilia accire, et cum hoste copiis omnibus decernere velle au-

λεῖν τὰ ὡμολογημένα οὐδαμῇ ἤθελε. σφαδάζων δὲ καὶ διατεινόμενος τοὺς ὁμήρους ἀπολαβεῖν ἐπενόει τάδε. πέμψας παρὰ τὸν Πακούριον ἤτει σταλῆναι οἱ τῶν Ῥωμαίων στρατιωτῶν ὀλίγους τινὰς, ἐφ' ᾧ ξὺν τῷ ἀσφαλεῖ ἔς τε τὸν Ἀρνοῦντα σφίσιν ἴέναι δυνατὰ εἴη ἐνθένδε τε διαπορθμευσαμένοις τὸν Ἰόνιον κόλπον ἐπὶ Βυζαντίου κομίζεσθαι. ὁ μὲν οὖν Πακούριος μακρὰν ἀπολελειμμένος τῶν τῷ ἀνθρώπῳ βεβουλευμένων τῶν οἱ ἑπομένων πεντή-
C κοντα στέλλει. ὁ δὲ αὐτοὺς τῷ φρουρίῳ δεξάμενος καθεῖρξεν εὐθὺς, τῷ τε Πακουρίῳ ἐσήμαινεν ὡς, εἴπερ αὐτῷ τοὺς στρατιώτας βουλομένῳ εἴη τοὺς αὖτοῦ ῥύεσθαι, ἀποδιδύναι δεήσει τοὺς Γότθων ὁμήρους. ταῦτα ἀκούσας ὁ Πακούριος ὀλίγους μέν τινας ἐπὶ τῇ τοῦ Ἀρνοῦντος φυλακῇ εἴασε, παντὶ δὲ τῷ ἄλλῳ στρατεύματι ἐπὶ τοὺς πολεμίους αὐτίκα ἦει. Ῥάγναρις δὲ τοὺς μὲν πεντήκοντα μελλήσει οὐδεμιᾷ ἔκτεινεν, ὡς ὑπαντιώσων δὲ τοῖς πολεμίοις ἐκ τοῦ Τάραντος τοὺς Γότθους ἐξῆγεν. ἐπειδή τε
D ἀλλήλοις ξυνέμιξαν, ἧσσῶνται Γότθοι. Ῥάγναρίς τε αὐτῶν ἀποβαλὼν πλείστους ξὺν τοῖς καταλοίποις δρασμῷ εἴχετο. ἐς μέντοι τὸν Τάραντα εἰσελθεῖν οὐδαμῇ ἴσχυσε, πανταχόθεν αὐτὸν περιβεβλημένων Ῥωμαίων, ἀλλ' ἐς Ἀχεροντίδα ἐλθὼν ἔμεινε. ταῦτα μὲν οὖν τοιαῦτα ἐγεγόνει. Ῥωμαῖοι δὲ οὐ πολλῷ ὕστερον τόν τε
V 245 πόρτον πολιορκήσαντες ὁμολογίᾳ εἷλον καὶ φρούριον ἐν Τού-

1. ὡμολογημένα] ὁμολογούμενα Hm. ibid. σφαδάζων] σκυδάζων Reg. 2. ὁμήρους] ὁμοίους L. 4 Ἀρνοῦντα] ὑδροῦντα Reg. ibid. ἴέναι σφίσιν L. 5. ἐνθένδε τε Reg. καὶ P. 6. Βυζαντίου] βυζαντίους Reg. 8. αὐτοὺς] αὐτὸς L. 11. ὁ om. L. 12. τῇ om. L. 13. στρατεύματι Reg. στρατῷ P. 16. αὐτῶν] αὐτοῦ H. 18. αὐτὸν] αὐτοῦ L. 20. τοιαῦτα] ταῦτα L. Fort. ταύτῃ.

diit, mutato consilio, promissis manere noluit. Ad dolos convertens animum, eoque intendens, ut reciperet obsides, haec machinatur. Destinat, qui suo nomine Pacurium rogent, ut Romanos aliquot milites ad se mittat, quo tutius Hydruntem cum suis eat, traiectoque sinu Ionio Byzantium proficiscatur. Nihil minus cogitans Pacurius, quam quod ille meditabatur, ex suorum numero quinquaginta mittit. Hos Ragnaris in castellum admissos, illico in custodiam tradit, et Pacurio significat, si milites recipere suos velit, necesse esse remittat Gotthorum obsides. Quo Pacurius audito, paucos Hydrunte praesidiarios reliquit, et cum caeteris copiis ad hostes properat. Ragnaris, abiecta omni cunctatione, quinquagenos illos perimit, et obviam iturus hosti, Tarento Gotthos educit. Commissa pugna, vincuntur Gotthi, et Ragnaris, amissa parte suorum maxima, cum reliquis aufugit. Septo undique a Romanis Tarento exclusus, Acherontidem sese confert, ibique manet. Sed haec hactenus. Haud multo post, cum Romani Portum obsedissent, inita compositione

σκοις, ὃ δὴ Νέπα καλοῦσι, καὶ τὸ ἐν Πέτρᾳ τῇ περτούσῃ ὀνο- H 374
μαζομένῃ ὀχύρωμα.

Τεΐας δὲ (οὐ γὰρ ἀξιομάχους τῷ Ῥωμαίων στρατῷ Γότθους κατὰ μόνας ᾤετο εἶναι) παρὰ Θευδίβαλδον τὸν Φράγγων ἄρχοντα ἔπεμψε, χρήματα πολλὰ προτεινόμενος, ἐπί τε ξυμμαχίαν παρακαλῶν. ἀλλὰ Φράγγοι, τὰ ξύμφορα, οἶμαι, βεβουλευμένοι, οὔτε ὑπὲρ τῆς Γότθων οὔτε ὑπὲρ τῆς τῶν Ῥωμαίων ὠφελείας ἐβούλοντο θνήσκειν, ἀλλὰ σφίσιν αὐτοῖς προσποιεῖν Ἰταλίαν ἐν σπουδῇ εἶχον, καὶ τούτου δὴ ἕνεκα τοὺς ἐν πολέμῳ P 662
κινδύνους ὑφίστασθαι μόνοι. ἐτύγχανε δὲ Τωτίλας ἔνια μὲν τῶν χρημάτων ἐν Τικίνῳ καταθέμενος, ᾗπέρ μοι ἔμπροσθεν εἴρηται, τὰ δὲ πλεῖστα ἐν φρουρίῳ ἰσχυρῷ μάλιστα, ὅπερ ἐν Κύμῃ τῇ ἐπὶ Καμπανίας ξυμβαίνει εἶναι, καὶ φρουροὺς ἐνταῦθα καταστησάμενος, ἄρχοντά τε αὐτοῖς τὸν ἀδελφὸν τὸν αὑτοῦ ξὺν Ἡρωδιανῷ ἐπιστήσας. τούτους δὴ βουλόμενος ὁ Ναρσῆς ἐξελεῖν ἐς Κύμην τινὰς τοὺς τὸ φρούριον πολιορκήσοντας ἔπεμψεν, αὐτὸς δὲ Ῥώμην διακοσμῶν αὐτοῦ ἔμεινε. καὶ ἄλλους στείλας ἐκέλευε Κεντουκέλλας πολιορκεῖν. Τεΐας δὲ ἀμφὶ τοῖς ἐν Κύμῃ φρουροῖς B
τε καὶ χρήμασι δείσας, ἀπογνούς τε τὴν ἀπὸ τῶν Φράγγων ἐλπίδα, τούς οἱ ἑπομένους διέτασσεν ὡς τοῖς πολεμίοις ὁμόσε χω-

1. ὀνομαζομένῃ Hm. Vulgo ὀνομαζόμενον. 3. τῷ] τῶν L. 7. οὔτε — οὔτε] οὐδὲ — οὐδὲ P. 8. ὠφελείας] ἐλευθερίας Reg. 10. μόνοι] μόνους L. 11. Τικίνῳ Lm et Maltretus. πικηνῷ H. τῇ κηνῶν L. 12. τῇ om. L. 13. φρουροὺς] φρουρὰς L. 14. τὸν om. L. ibid. ξὺν] σὺν L. 18. τοῖς Reg. τοὺς HP. ibid. φρουροῖς τε καὶ L. φρουροῖς καὶ Hm. φρουροὺς καὶ HP. 19. χρήμασι Hm. τὰ χρήματα HP.

ceperunt; item in Tuscia castellum, cui nomen Nepa, ac Petrae pertusae munitionem.

Teïas vero, Gotthos infirmiores iudicans, quam ut soli pugnare possent cum Romano exercitu, legatione missa ad Francorum Regem Theodebaldum, ad belli societatem ingentis pecuniae pollicitationibus eum invitavit. At Franci, suis, opinor, rationibus servientes, nec Gotthicae, nec Romanae rei causa volebant vitam profundere; sed Italiam sibi subdere, eiusque rei gratia bellum gerere cupiebant nulla impliciti societate Ticini quidem, uti antea diximus, partem aliquam gazae Totilas reposuerat; maximam vero commiserat castello munitissimo, quod Cumis est in Campania, locatoque ibi praesidio fratrem suum cum Herodiano praefecerat. Hos Narses expugnare constitutum habens, mittit Cumas, qui castellum obsideant; moratur ipse Romae, constituendis rebus urbis intentus: Centumcellarum quoque obsidionem aliis eo missis demandat. Tum Teïas Cumano praesidio gazaeque timens, et a Francis desperans, ita suos instruxit, ut pugnandi cum hoste consilium prae se ferret. Quo

ῥήσων. ὥνπερ αἰσθόμενος ὁ Ναρσῆς Ἰωάννην τε τὸν Βιταλιανοῦ ἀδελφιδοῦν καὶ Φιλημοὺθ ξὺν τῷ οἰκείῳ στρατεύματε ἐς τὰ ἐπὶ Τουσκίας χωρία ἰέναι κελεύει, ἐνταῦθά τε καθιζομένους καὶ τοῖς ἐναντίοις ἀναχαιτίζοντας τὴν ἐπὶ Καμπανίας ὁδὸν, ὅπως οἱ Κύμην πολιορκοῦντες ἀδεέστερον αὐτὴν ἢ βίᾳ ἢ ὁμολογίᾳ ἑξελεῖν δύναιντο. ἀλλὰ Τέϊας ὁδοὺς ἐν δεξιᾷ τὰς ἐπιτομωτάτας ἐπὶ τὸ πλεῖστον ἀφεὶς περιόδους τε πολλὰς καὶ μακροτάτας περιβαλλόμενος, διά τε τῆς παραλίας κόλπου τοῦ Ἰονίου ἰὼν, ἐς Καμπανίαν ἀφίκετο, τοὺς πολεμίους λαθὼν ἅπαντας. ὅπερ ἐπεὶ Ναρσῆς ἔμαθε, τούς τε ἀμφὶ τὸν Ἰωάννην καὶ Φιλημοὺθ μετεπέμπετο, οἳ τὴν ὁδὸν ἐν Τούσκοις ἐφρούρουν, καὶ Βαλεριανὸν ἅρτι Πέτραν ἑξαιροῦντα τὴν περτοῦσαν καλουμένην μετεκάλει ξὺν τοῖς ἑπομένοις, τάς τε δυνάμεις ξυνήγειρε, παντί τε καὶ αὐτὸς τῷ στρατῷ ὡς ἐς μάχην ξυντεταγμένος ἐς Καμπανοὺς ἴῃει.

λε'. Ἔστι δέ τι ὄρος ἐπὶ Καμπανίας ὁ Βέβιος, οὗπερ ἐν τοῖς ἔμπροσθεν λόγοις ἐμνήσθην, ὅτι δὴ πολλάκις ἀφίησιν ἦχον μυκηθμῷ ἐμφερῆ. καὶ ἐπειδὰν αὐτῷ τὸ τοιοῦτον ξυμβαίῃ, ὃ δὲ καὶ κόνεως ἐπὶ τούτῳ ζεούσης τε χρῆμα μέγα ἐρεύγεται. ταῦτα μὲν ἐς ἐκεῖνό μοι τοῦ λόγου ἐρρήθη. ἐπὶ τούτου δὴ τοῦ ὄρους, ἥπερ καὶ τῆς κατὰ τὴν Σικελίαν Αἴτνης, κενὰ τὰ ἐν μέσῳ ἐκ τῶν ἐσχάτων ἄχρι ἐς τὴν ὑπερβολὴν ἀπὸ ταὐτομάτου τετύχηκεν εἶναι,

2. Φιλημοὺθ] φιλιμοὺθ HL. 3. καθισομένους — ἀναχαιτίσοντας Reg. 4. καμπανίαν L. 6. ὁδοὺς μὲν L. ibid. ἐπιτομωτέρας Reg. 9. τοὺς δὲ πολεμίους L. 10. Φιλημοὺθ] φιλιμοὺθ HL. 17. τὸ τοιοῦτον ξυμβαίη Reg. τοῦτο ξυμβαίνει L. 18. τούτῳ] τοῦτο L. 20. τῆς om. L.

Narses cognito, Ioannem Vitaliani nepotem ac Philemuthum in Tusciam proprio cum exercitu destinavit, stativa illic habere iussos, hostiumque profectionem in Campaniam impedire; quo liberius Cumas vel caperent vi, vel ad deditionem perpellerent obsessores. Verum Telas, ubique fere relictis a dextera brevissimis itineribus, per multos longissimosque anfractus, ac per oram sinus Ionii, in Campaniam pervenit, nemine hostium advertente. Qua de re factus certior Narses, Ioannem et Philemuthum, qui in Tuscia transitum custodiebant, accersit, ac Valerianum, Petra pertusa recens potitum, cum ipsius copiis revocat: tum collectis viribus, in Campaniam cum universo exercitu ad proelium instructo contendit.

35. Est in Campania mons Vesuvius, de quo antea commemoravi, ex eo saepe sonum erumpere mugitui similem: cumque id accidit, subinde ipsum ardentis favillae vim magnam eructare. Haec ibi dixi. Porro, ut Aetnae in Sicilia, sic montis huius viscera ab imo pede ad verticem hiatu spontaneo patent, intus ardente igni perpetuo. Tam alta

οὗ δὴ ἔνερθεν διηνεκὲς τὸ πῦρ καίεται. ἐς τόσον δὲ βάθος τοῦτο δὴ τὸ κενὸν διήκειν ξυμβαίνει ὥστε δὴ ἀνθρώπῳ ἐν τῇ ἀκρωρείᾳ ἑστῶτι ὑπερκύπτειν τε τολμῶντι ἐνθένδε οὐ ῥᾳδίως ἡ φλὸξ ὁρατὴ P 663
γίνεται. ὁπηνίκα δὲ ξυνενεχθείη ἐν τῷ ὄρει τῷδε τὴν κόνιν, ἧπέρ μοι ἐρρήθη, ἐρεύγεσθαι, καὶ πέτρας ἀποτεμνομένη ἀπὸ τῶν τοῦ Βεβίου ἐσχάτων ἡ φλὸξ ὑπὲρ τὴν κορυφὴν τοῦ ὄρους τούτου μετεωρίζει, τὰς μὲν βραχείας, τὰς δὲ καὶ μεγάλας κομιδῇ οὔσας, ἐνθένδε τε αὐτὰς ἀποπεμπομένη ὅπη παρατύχοι διασκιδάννυσι. ῥέει δὲ καὶ ῥύαξ ἐνταῦθα πυρὸς ἐκ τῆς ἀκρωρείας κατατείνων ἄχρι ἐς τοῦ ὄρους τὸν πρόποδα καὶ ἔτι πρόσω, ἅπερ ἅπαντα καὶ κατὰ τὴν Αἴτνην γίνεσθαι πέφυκεν. ὄχθας δὲ ποιεῖται ὑψηλὰς ἑκατέρωθεν ὁ τοῦ πυρὸς ῥύαξ, τὰ ἔνερθεν τέμνων. καὶ φερομένη μὲν ἐπὶ τοῦ ῥύακος τὰ πρῶτα ἡ φλὸξ καιομένῃ εἰκάζεται B
ὕδατος ἐκροῇ· ἐπεὶ δὲ αὐτῇ ἀποσβεσθῆναι ξυμβαίη, ἀναστέλλεται μὲν τῷ ῥύακι ὁ δρόμος εὐθὺς, ἐπίπροσθέν τε ὁ ῥοῦς οὐδαμῇ πρόεισι, τὸ δὲ ὑφιζάνον τούτου δὴ τοῦ πυρὸς πηλὸς φαίνεται σποδιᾷ ἐμφερής.

Κατὰ τούτου δὴ τοῦ Βεβίου τὰν πρόποδα ὕδατος πηγαὶ ποτίμου εἰσί. καὶ ποταμὸς ἀπ' αὐτῶν πρόεισι Δράκων ὄνομα, ὃς δὴ ἄγχιστά πη τῆς Νουκερίας πόλεως φέρεται. τούτου τοῦ ποταμοῦ ἑκατέρωθεν ἐστρατοπεδεύσαντο ἀμφότεροι τότε. ἔστι H 375
δὲ ὁ Δράκων τὸ μὲν ῥεῦμα βραχὺς, οὐ μέντοι ἐσβατὸς οὔτε ἱππεῦσιν οὔτε πεζοῖς, ἐπεὶ ἐν στενῷ ξυνάγων τὸν ῥοῦν τήν τε γῆν

1. τόσον] τοσόνδε L. 2. Alterum δὴ om. L. 4. ἐν om. L. 7. τὰς δὲ καὶ L. Aberat καὶ. 10. τὸν πρόποδα] τοὺς πρόποδας L. 14. ἐκεὶ L. ἐπειδὰν P. *ibid.* ξυμβαίη L. ξυμβαίνη P. 16. τούτου δὴ] τοῦτον δὲ L. 19. 22. Δράκων] Σάρνος Maltretus. 20. τῆς om. L. *ibid.* τοῦ om. L.

est illa inanitas, ut si quis in culmine stans, audeat inde despicere, flammam aegre admodum deprehendat. Quoties autem contingit eruptio cineris, de qua dixi, etiam saxa ab imo flamma avellens, supra montis huius verticem ea tollit, partim exigua, partim grandia, atque illinc emittens, quovis temere spargit. Ibidem rivus igneus a cacumine ad radices, immo et longius profluit: quae omnia in Aetna quoque fieri solent. Ripas utrinque altas rivus ille igneus efficit, alveum excavans. Flamma, quae principio fertur in rivo, ardentis aquae effluvio similis est. Extincta flamma, cursum rivus illico supprimit, nec ulterius manat: quod autem ex igni subsidit, id limum favillae similem diceres.

Ad radices Vesuvii sunt fontes aquae dulcis, et aptae potui, amnisque ab his ortus, nomine Draco, proxime urbem Nuceriam labitur: tunc autem utraque eius ripa sedem praebuit utriusque castris exercitus. Etsi aquis non abundat Draco, transitum tamen equitibus pariter ac periti-

ἀποτεμνόμενος ὡς βαθύτατα ἐκατέρωθεν ὥσπερ ἀποχρεμπτιέ-
C νας ποιεῖται τὰς ὄχθας. πότερα δὲ τῆς γῆς ἢ τοῦ ὕδατος φέρε-
ται τὴν αἰτίαν ἡ φύσις οὐκ ἔχω εἰδέναι. καταλαβόντες δὲ τοῦ
ποταμοῦ τὴν γέφυραν Γότθοι, ἐπεὶ αὐτῆς ἐστρατοπεδεύσαντο
ἄγχιστα, πύργους τε ξυλίνους ταύτῃ ἐνθέμενοι μηχανάς τε ἄλλας
καὶ τὰς βαλλίστρας καλουμένας ἐνταῦθα πεποίηνται, ὅπως ἐν-
θένδε κατὰ κορυφὴν τῶν πολεμίων ἐνοχλοῦντες δύνωνται βάλ-
λειν. ἐκ χειρὸς μὲν οὖν γίνεσθαί τινα ξυμβολὴν ἀμήχανα ἦν,
τοῦ ποταμοῦ, ἧπέρ μοι εἴρηται, μεταξὺ ὄντος· ἀμφότεροι δὲ
ὡς ἀγχοτάτω τῆς κατ' αὐτὸν ὄχθης γενόμενοι τοξεύμασι τὰ πολλὰ
ἐς ἀλλήλους ἐχρῶντο. ἐγένοντο δὲ καὶ μονομαχίαι τινὲς, Γότ-
θου ἀνδρὸς, ὧν οὕτω τύχοι, ἐκ προκλήσεως τὴν γέφυραν δια-
D βαίνοντος. χρόνος τε μηνῶν δυοῖν τοῖν στρατοπέδοιν ἐς τοῦτο
ἐτρίβη. ἕως μὲν οὖν ἐθαλασσοκράτουν ἐνταῦθα οἱ Γότθοι,
ἐσκομιζόμενοι τὰ ἐπιτήδεια ναυσὶν ἀντεῖχον, ἐπεὶ τῆς θαλάσσης
ἐστρατοπεδεύοντο οὐ πολλῷ ἄποθεν. ὕστερον δὲ Ῥωμαῖοι τά τε
πλοῖα τῶν πολεμίων προδοσίᾳ Γότθου ἀνδρὸς εἷλον, ὃς δὴ ταῖς
ναυσὶν ἐφειστήκει πάσαις, καὶ αὐτοῖς νῆες ἀνάριθμοι ἦλθον ἔκ τε
Σικελίας καὶ τῆς ἄλλης ἀρχῆς. ἅμα δὲ καὶ ὁ Ναρσῆς πύργους
ξυλίνους ἐπὶ τοῦ ποταμοῦ τῇ ὄχθῃ καταστησάμενος δουλῶσαι
τῶν ἐναντίων τὸ φρόνημα παντελῶς ἔσχυσεν. οἷς δὴ οἱ Γότθοι
περίφοβοι γεγενημένοι καὶ πιεζόμενοι τῶν ἀναγκαίων τῇ ἀπορίᾳ ἐς
ὄρος ἄγχιστα ὃν καταφεύγουσιν, ὅπερ Ῥωμαῖοι γάλακτος ὄρος τῇ

3 ἡ φύσις L. Aberat ἡ. 5. τε om. L. 8. ἀμήχανα] ἀμήχανον Reg. 12. τύχοι] τύχῃ L. 13. τοῖν στρατοπέδοιν] τοῖς στρατιώταις Reg. 14. ἕως] καὶ τέως Reg. 15. τὰ] τε τὰ L. 22. γεγενημένοι] γενόμενοι Reg.

bus negat: eo quod in angustum se contrahens, humumque cavans altissime, praeruptas utrinque ripas efficiat. Id unde fiat, ex natura soli, an aquae, nescio. Gotthi, occupato fluminis ponte, cui castra applicuerant, ligneisque turribus eidem impositis, balistas, quas vocant, atque alias machinas illic statuerunt, ut e sublimi hostes lacessere et ferire possent. Pugnare quidem comminus prohibebantur, interiecto, ut dixi, flumine: sed propter eius ripas utrique stantes, sagittis plerumque se invicem petebant: nonnunquam singularia certamina edebantur; si forte unus aliquis Gotthus ex provocatione pontem transiret. Sic menses duos uterque consumpsit exercitus, et quandiu Gotthi in illis partibus imperio maris gavisi sunt, tandiu restiterunt, commeatus importantes navigiis, cum vicina mari castra haberent. Dein Romanis universam hostium classem Gotthus, qui illi praerat, prodidit, et innumerae naves ex Sicilia aliisque Imperii partibus advenerunt. Simul etiam Narses in fluvii ripa locatis turribus ligneis, Barbarorum animos percelit. His igitur territi, reique cibariae penuria pressi, confugiunt in montem proxi-

Λατίνων καλοῦσι φωνῇ· οὗ δὴ αὐτοῖς Ῥωμαῖοι ἐπισπέσθαι οὐδαμῇ εἶχον, τῆς δυσχωρίας ἀντιστατούσης. ἀλλὰ τοῖς βαρβάροις αὐτίκα ἐνταῦθα ἀναβεβηκόσι μετέμελεν, ἐπεὶ τῶν ἐπιτηδείων πολλῷ ἔτι μᾶλλον ἐσπίνιζον, σφίσι τε αὐτοῖς καὶ τοῖς ἵπποις ἐκπορίζεσθαι αὐτὰ οὐδεμιᾷ μηχανῇ ἔχοντες. διὸ δὴ τὴν ἐν ξυμβολῇ τοῦ βίου καταστροφὴν αἱρετωτέραν τῆς πρὸς τοῦ λιμοῦ εἶναι οἰόμενοι ὁμόσε τοῖς πολεμίοις παρὰ δόξαν ἐχώρουν, ἀπροσδόκητοί τε αὐτοῖς ἐξαπιναίως ἐπέπεσον. Ῥωμαῖοι δὲ αὐτοὺς ὡς ἐκ τῶν παρόντων ἀμυνόμενοι ἔστησαν, οὐ κατὰ τοὺς ἄρχοντας ἢ λόχους ἢ καταλόγους τὴν τάξιν καταπτησάμενοι, οὐδὲ τρόπῳ τῷ ἄλλῳ διακεκριμένοι ἀλλήλων, οὐδὲ τῶν σφίσι παραγγελλομένων ἐν τῇ ξυμβολῇ ἀκουσόμενοι, ἀλλ' ἀλκῇ τῇ πάσῃ, ὅπη ποτὲ πειρατύχοι, τοῖς πολεμίοις ἀντιταξόμενοι. Γότθοι μὲν οὖν τοὺς ἵππους ἀφέμενοι πρῶτοι πεζῇ μετωπηδὸν ἐς βαθεῖαν φάλαγγα ἔστησαν ἅπαντες, καὶ Ῥωμαῖοι δὲ ταῦτα ἰδόντες τοὺς ἵππους ἀφῆκαν, καὶ τρόπῳ τῷ αὐτῷ ἐτάξαντο πάντες.

Ἐνταῦθά μοι μάχη τε πολλοῦ λόγου ἀξία καὶ ἀνδρὸς ἀρετῇ οὐδὲ τῶν τινος λεγομένων ἡρώων, οἶμαι, καταδεεστέρα γεγράψεται, ἧς δὴ ὁ Τεῖας δήλωσιν ἐν τῷ παρόντι πεποίηται. Γότθους μὲν ἐς εὐτολμίαν ἡ τῶν παρόντων ἀπόγνωσις ὥρμα, Ῥωμαῖοι δὲ αὐτούς, καίπερ ἀπονενοημένους ὁρῶντες, ὑφίσταντο δυνάμει τῇ πάσῃ, τοῖς καταδεεστέροις ἐρυθριῶντες ὑποχωρεῖν, ἀμφότεροί τε θυμῷ ἐπὶ τοὺς πέλας πολλῷ ἴεντο, οἱ μὲν θανα-

5. ἔχοντες] ἔχουσι H. 10. λόχους] λοχαγοὺς H. 12. παρατύχοι L. παρατύχῃ P. 13. ἀντιταξόμενοι L ἀντιταξάμενοι P. 14. τῶν ἵππων ἀφέμενοι Reg. 23. ἀμφότεροι —, ἴεντο] Suidas s. v. ἀρτῶ. ibid. ἴεντο] ἵεντο P.

P 664
V 247
B
C

num, quem Romani Lactis montem Latine vocant. Eos Romanus exercitus illuc sequi non potuit, repugnante loci iniquitate. Verum Barbaros continuo poenituit eo ascendisse, ita crescente commeatus inopia, ut unde se equosque alerent non haberent. Quare satius esse rati mori in acie, quam fame absumi, hostem nihil tale opinantem adoriuntur, et improvisi repente impetum faciunt. Illos pro re ac tempore propulsantes Romani stant, non contributa in Duces, classes ac numeros acie, nec dispositis ordinibus inter se distincti, nec quae dabantur in acie mandata audientes; sed prout sese ferebat, hosti opponentes se totis viribus. Ac primum Gothi, dimissis equis, conversisque ad hostem frontibus, pedites stetere omnes, sic, ut alta esset eorum acies. Tum Romani, id conspicati, ipsi quoque amotis equis, eodem omnes modo in acie se composuerunt.

Proelium hic describam memorabile, in quo se Heroum nemini virtute bellica secundum probavit Teias illustrissimo argumento. Gothis animos dabat praesentis fortunae desperatio: Romani, quamvis desperatos viderent, viribus tamen omnibus sustinebant, inferioribus cedere eru-

τῶντες, οἱ δὲ ἀρετῶντες. καὶ ἡ μὲν μάχη πρωὶ ἤρξατο, Τέας δὲ πᾶσιν ἔνδηλος γεγενημένος καὶ τὴν μὲν ἀσπίδα προβεβλημένος, ἐπανατεινάμενος δὲ τὸ δόρυ, πρῶτος ξὺν ὀλίγοις τισὶ πρὸ τῆς φάλαγγος ἔστη. Ῥωμαῖοι δὲ αὐτὸν ἰδόντες, οἰόμενοί τε, ἢν αὐτὸς πέσῃ, διαλυθήσεσθαι τὴν ξυμβολὴν σφίσιν αὐτίκα δὴ μάλα, ξυνίσταντο ἐπ᾽ αὐτὸν ὅσοι ἀρετῆς μετεποιοῦντο, παμπληθεῖς ὄντες, καὶ τὰ δόρατα ἐς αὐτὸν ἅπαντες οἱ μὲν ὦθουν, οἱ δὲ ἐσηκόν-
D τιζον. αὐτὸς δὲ ὑπὸ τῇ ἀσπίδι κεκαλυμμένος ταύτῃ μὲν τὰ δόρατα ἐδέχετο πάντα, ἐμπίπτων δὲ ἐκ τοῦ αἰφνιδίου πολλοὺς διαχρῆτο. καὶ ὁπηνίκα οἱ τὴν ἀσπίδα ἔμπλεων οὖσαν πεπηγότων δοράτων θεῷτο, τῶν τινι ὑπασπιστῶν ταύτην παραδιδοὺς ἑτέραν ᾔρειτο. οὕτω μαχόμενος ἐς τῆς ἡμέρας τὸ τριτημόριον διαγέγονε, καὶ τότε δὴ δώδεκα μὲν αὐτῷ δόρατα ἐμπεπηγότα ἡ ἀσπὶς εἶχε, κινεῖν δὲ αὐτὴν ὅπῃ βούλοιτο καὶ ἀποκρούεσθαι τοὺς
H 376 ἐπιόντας οὐκέτι ἴσχυε. τῶν δέ τινα ὑπασπιστῶν μετεκάλει σπου-
δῇ, οὐ τὴν τάξιν λιπὼν οὐδὲ ὅσον ἄχρι ἐς δάκτυλον ἕνα οὐδὲ ἀναποδίσας, ἢ τοὺς πολεμίους ἐπὶ τὰ πρόσω ἐπαγαγόμενος, οὐδὲ ἐπιστραφείς, οὐδὲ τὰ νῶτα τῇ ἀσπίδι ἐρείσας, οὐ μὴν οὐδὲ πλάγιος γεγονὼς, ἀλλ᾽ ὥσπερ τῷ ἐδάφει ἐρηρεισμένος αὐτοῦ μετὰ
P 665 τῆς ἀσπίδος εἱστήκει, κτείνων δὲ τῇ δεξιᾷ χειρὶ καὶ ἀποκρουόμε-
νος τῇ λαιᾷ καὶ ἀναχαλῶν τὸ τοῦ ὑπασπιστοῦ ὄνομα. καὶ ὁ μὲν

7. ἐς αὐτὸν] ἐπ᾽ αὐτὸν L. 9. ἐδέχετο] ἐκδέχετο L. ibid. δὲ αὐτοὺς (fort. αὐτοῖς) ἐκ L. 10. ἔμπλεων L. ἔμπλεον P. 11. τινι om. L. 15. ἴσχυε] ἴσχυσε L.

bescentes: utrique sibi proximos impetebant animosissime: cum hi mortem, illi fortitudinis laudem quaererent. Inita mane pugna, Teias cunctis conspicuus, protectus clypeo, hastamque intendens, primus ante aciem cum paucis stetit. Quem ut Romani conspexerunt, protinus diremptum iri certamen rati, si is caderet, in ipsum conspirarunt quicumque valebant animo: quorum magnus erat numerus. Cuncti in eum hastas partim impellebant, partim iaculabantur: quas omnes ipse clypeo, quo tegebatur, excipiens, subito impetu multos de medio tollebat. Scutum infixis plenum hastilibus animadvertens, illo scutariorum cuidam tradito, alterum arripiebat. Cum sic decertans partem diei tertiam exegisset, accidit ut onustum haerentibus duodecim hastilibus clypeum haud movere posset ad libitum: neque aggressores eo repellere. Tum unum e Scutariis contente evocat, ne transversum quidem digitum se loco movens, nec referens pedem, neque hostem progredi sinens. Immo nec se convertit, nec scuto tergum applicuit, nec se flexit in latus; sed tanquam si affixus solo esset, sic in vestigiis haerebat cum clypeo, hostium caedem afficiens dextra, impetum sinistra reprimens, et nomine inclamans armigerum. Qui ubi recentem clypeum attulit, hoc ille statim mutavit

αὐτῷ μετὰ τῆς ἀσπίδος παρῆν, ὁ δὲ ταύτην εὐθὺς τῆς βαρυνομένης τοῖς δόρασιν ἀντηλλάσσετο. ἐν τούτῳ δέ οἱ χρόνου τινὰ βραχεῖαν στιγμὴν γυμνῷ γενέσθαι τὰ στέρνα ξυνέβη, τύχῃ τέ οἱ ξυνέπεσε τότε ἀκοντίῳ βεβλῆσθαι καὶ ἀπ' αὐτοῦ εὐθυωρὸν θνήσκει. καὶ αὐτοῦ τὴν κεφαλὴν ἐπὶ κοντοῦ μετεωρίσαντες τῶν Ῥωμαίων τινὲς στρατιᾷ ἑκατέρᾳ περιιόντες ἐδείκνυον, Ῥωμαίοις μὲν, ὅπως δὴ θαρσήσωσι μᾶλλον, Γότθοις δὲ, ὅπως ἀπογνόντες τὸν πόλεμον καταλύσωσιν. οὐ μὴν οὐδ' ὡς τὴν ξυμβολὴν κατέπαυσαν Γότθοι, ἀλλ' ἄχρι ἐς νύκτα ἐμάχοντο, καίπερ ἐξεπιστάμενοι τὸν βασιλέα τεθνάναι σφίσιν. ἐπειδὴ δὲ ξυνεσκόταζεν, αὐτοῦ ἑκάτεροι διαλυθέντες ἐν τῇ τῶν ὅπλων σκευῇ ἐνυκτέρευσαν. ἡμέρᾳ δὲ τῇ ἐπιγενομένῃ ἀναστάντες ὄρθρου τρόπῳ τῷ αὐτῷ αὖθις ἐτάξαντο καὶ μέχρι ἐς νύκτα ἐμάχοντο, καὶ οὔτε ὑπεχώρουν B ἀλλήλοις οὔτε πη ἐτρέποντο ἢ ἀνεπόδιζον, καίπερ ἀμφοτέρωθεν κτεινομένων πολλῶν, ἀλλ' ἀπηγριωμένοι τῷ ἐς ἀλλήλους ἀπηνεῖ ἔργου εἴχοντο, Γότθοι μὲν εὖ εἰδότες ὅτι δὴ τὴν ὑστάτην διαφέρουσι μάχην, Ῥωμαῖοι δὲ αὐτῶν ἐλασσοῦσθαι ἀπαξιοῦντες. ἐν ὑστάτῳ δὲ οἱ βάρβαροι παρὰ τὸν Ναρσῆν πέμψαντες τῶν λογί- V 248
μων τινὰς μεμαθηκέναι μὲν ἔλεγον ὡς πρὸς τὸν θεὸν σφίσιν ὁ ἀγὼν γένοιτο· αἰσθάνεσθαι γὰρ τὴν ἀντιταχθεῖσαν αὐτοῖς δύνα- C
μιν· καὶ τοῖς ξυμπεσοῦσι ξυμβάλλοντες τὴν τῶν πραγμάτων

1. αὐτῷ] αὐτοῦ H. 2. ἀνταλλάσσεται Reg. 3. γυμνῷ Reg. γυμνὰ P. 4. εὐθυωρὸν L corr. εὐθυωρὸς P. 8. κατέπαυσαν Reg. κατέλυσαν P. 10. τεθνάναι] τεθνᾶναι P. 12. αὖθις] εὐθὺς Reg. 13. οὔτε — οὔτε] οὐδὲ — οὐδὲ P. 16. ἔργου om. L. 17. ἐλασσοῦσθαι] ἀπαλλάσσεσθαι Reg. 18. λογίμων] λογίων Reg. 21. ξυμβάλλοντας P. ξυμβάλλοντες H et Reg.

alterum hastilibus gravem. Interea puncto temporis patuit illius pectus: tum forte iaculo confixus, momento efflavit animam. Ipsius caput conto impositum elatumque circumferentes Romani quidam, utrique exercitui ostendebant, Romano, ut contra iret audentior; Gotthico, ut omni spe deposita, arma componeret. Ac ne ita quidem certamini finem imposuerunt Gotthi; sed ad noctem id produxerunt; quamvis Regem suum obiisse iam probe scirent. Cum nox praelium diremisset, ibidem eam utrique traduxerunt armati. Postridie, luce prima consurgunt, ac similiter instructa acie, ad noctem dimicant, obstinati non cedere invicem, nec terga vertere, vel retroire, multis licet utrinque caesis: sed aspero efferati inter se odio coeptum urgent. Nimirum videbant Gotthi se postremum confligere: Romani illis concedere renuebant. Denique Barbari, missis Procerum nonnullis, Narseti significarunt, se iam intelligere, sibi bellum esse cum Deo: sentire se vim adversam, ductaque ex iis, quae accidissent, coniectura, rei veritatem tenere: velle in posterum ab ar-

ἀλήθειαν γνωσιμαχεῖν τὸ λοιπὸν βούλεσθαι καὶ ἀπολιπεῖν τὴν ἀγώνισιν, οὐ μέντοι βασιλεῖ ἐπακούσοντες, ἀλλὰ ξὺν τῶν ἄλλων βαρβάρων τισὶν αὐτόνομοι βιοτεύσοντες, ἐδέοντό τε εἰρηναίαν σφίσι τὴν ἀναχώρησιν ἐνδοῦναι Ῥωμαίους, οὐ φθονοῦντας αὐτοῖς λογισμοῦ σώφρονος, ἀλλὰ καὶ χρήμασι τοῖς αὐτῶν ὥσπερ ἐφοδίοις αὐτοὺς δωρουμένους, ὅπα δὴ ἐν τοῖς ἐπὶ τῆς Ἰταλίας φρουρίοις αὐτῶν ἕκαστος ἐναποθέμενος ἔτυχε πρότερον. ταῦτα ὁ μὲν Ναρσῆς ἐν βουλῇ ἐποιεῖτο. Ἰωάννης δὲ ὁ Βιταλιανοῦ παρῄνει δέησιν ἐνδείκεσθαι τήνδε, καὶ μὴ περαιτέρω θανατῶσιν ἀνθρώπους διὰ μάχης ἰέναι, μηδὲ ἀποπειράσασθαι τόλμης ἐν ἀπογνώσει φυομένης τοῦ βίου, ἣ καὶ τοῖς αὐτῇ ἐχομένοις καὶ τοῖς ὑπαντιάζουσι χαλεπὴ γίνεται. ἀρκεῖ γὰρ, ἔφη, τοῖς γε σώφροσι τὸ νικᾶν, τὸ δὲ ὑπεράγαν ἐθέλειν ἴσως ἂν καὶ ἐς τὸ ἀξύμφορον τρέποιτο. πείθεται τῇ ὑποθήκῃ Ναρσῆς, καὶ ξυνέβησαν ἐφ' ᾧ τῶν βαρβάρων οἱ ἀπολελειμμένοι χρήματα κεκομισμένοι τὰ αὐτῶν ἴδια ἐκ πάσης ἀπαλλάξονται Ἰταλίας εὐθὺς, πόλεμόν τε μηχανῇ οὐδεμιᾷ πρὸς Ῥωμαίους διοίσουσιν ἔτι. Γότθοι μὲν οὖν μεταξὺ χίλιοι τοῦ στρατοπέδου ἐξαναστάντες ἐς Τίκινόν τε πόλιν καὶ χωρία τὰ ὑπὲρ ποταμὸν Πάδον ἐχώρησαν, ὧν ἄλλοι τε ἡγοῦντο καὶ Ἰνδοῦλφ, οὗπερ πρότερον ἐπεμνήσθην. οἱ δὲ λοιποὶ ἅπαν-

1. γνώριμον σχεῖν. τὸ λοιπὸν P. γνωσιμαχεῖν (δὲ add. L et Hm) τὸ λοιπὸν Reg. ibid. καὶ L. μὲν P. μὲν καὶ H. 2. ἀγώνισιν] ἀπόγνωσιν H ibid. οὐ μέντοι] οὐκ ἐφ' ᾧ δὲ H. ibid. ἐπακούσοντες HL. ἐπακούσαντας P. 3. βιοτεύσοντες] βιωτεύσαντας P. βιωτεύσοντες HL. 12. τοῖς γε] τοῖς τε L. 13. ἴσως ἄν] ἴσως αὐτῶν L. ἴσως αὐτὸ Hm. 15. ἀπολελειμμένοι] ἀπολελειμένοι Reg. 16. ἀπαλλάξοντας] ἀπαλλάσσοιντο H. 18. Τίκινον P. τικῖνον Lm. τιγκηνῶν H. τηκηνόν L. 20. Ἰνδοῦλφ] ἰλδοῦφ HL. ibid. πρότερον] ἔμπροσθεν Reg.

mis cessare; non tamen ita, ut Imperatori servirent, sed cum aliis quibusdam Barbaris suis legibus viverent. Regarunt, ne discessum Romani suum turbarent, nec secum benigne agere gravarentur, sed viatici loco donarent pecunias, quas antea quisque in Italiae praesidiis reposuisset. Qua de re deliberanti Narseti, Ioannes Vitaliani nepos auctor fuit, ut annueret postulatui: cum hominibus perire volentibus pugnare desineret, nec periclitaretur audaciam, in ipsa natam vitae desperatione, non iis modo quos incitaret, sed obviis etiam funesta. *Nam*, inquit, *vincere satis habent viri prudentia ac moderatione praediti: ambitiosior autem cupiditas utique in perniciem vertit.* Sententia hanc amplexo Narseto, pacto convenit, ut qui supererant Barbari, cum rebus suis omni Italia confestim excederent, neque ulla ratione cum Romanis bellum amplius gererent. Hoc interim spatio Gothi mille, castris egressi, urbem Ticinum ac regionem Transpadanam petierunt, cum aliis Ducibus, tum Indul-

τες ὅρκια δόντες τὰ ξυγκείμενα πάντα ἐπέρρωσαν. οὕτω τε καὶ Κύμην καὶ τὰ λοιπὰ πάντα ἐξεῖλον Ῥωμαῖοι, καὶ τὸ ὀκτωκαιδέκατον ἔτος ξυνετελεύτα τῷ Γοτθικῷ πολέμῳ τῷδε, ὃν Προκόπιος ξυνέγραψεν.

phum secuti, de quo mentio supra incidit: caeteri omnes, interposito iureiurando, omnia pacta conventa firmarunt. Itaque Romani Cumas ac reliqua omnia ceepere praesidia, et annus exiit XVIII. belli huius Gothici, cuius historiam Procopius scripsit.

LIPSIAE TYPIS B. G. TEUBNERI.

3 2044 025 985 920

DATE DUE

DEMCO, INC. 38-2931